quo sint, neve tria principia polytheistarum more statuantur. » Sic et omnes Christo subjecti quæ sunt Unigeniti ad Patrem referunt, et ipsius creationis, cujus et Filius causa est, ad Patrem reducunt causam, quemadmodum inclytus Basilius ad Amphilochium capite octavo ait : « *Mea omnia tua sunt* (ait Dominus), tanquam ad ipsum (Patrem) origo rerum creatarum referenda sit, *et tua mea*, quod ipsi a Patre provenerit condendi auctoritas et causa! » Vide, quonam pacto consona sanctis dicentes eorum accuratissimam theologiam sequimur. Et causam, ut hi dicunt, ad ipsum Patrem referunt; et si per Filium omnia facta sunt et Filius causa est, attamen unum principium creationis confitebantur. Iste vero (Marcus Ephesius), artificiose obtrudens præpositionem *per* pro *cum* poni, Ario patrocinabitur, qui auditis illis verbis, omnia facta esse per Filium, etiam cum *Filio* (et *post* Filium) cuncta esse facta existimabat.

Ὁ δὲ τεχνολογῶν τὴν *διὰ* ἀντὶ τῆς *μετὰ* καὶ *σὺν*, τῷ Ἀρείῳ συνηγορήσει ἀκούοντι ; *Δι' Υἱοῦ τὰ πάντα ἐγένετο*, καὶ μετὰ τοῦ Υἱοῦ τὰ πάντα γεγενῆσθαι νομίζοντι.

ΕΦΕΣΟΥ.

Ὁ δὲ, ὅτι « μόνος αἴτιος ὁ Πατήρ, » καὶ ἐν ἄλλοις· « Τὸν Υἱὸν οὐ λέγομεν αἴτιον, οὐδὲ Πατέρα· » καὶ ἐν ἄλλοις· « Ὅσα ἁρμόζει πηγῇ, αἰτίᾳ, γεννήτορι, τῷ Πατρὶ μόνῳ προσαρμοστέα. » Οὐκ ἂν ὁ θεολογικώτατος οὗτος Δαμασκηνὸς τὴν *διὰ* τιθεὶς ἐπὶ τοῦ Υἱοῦ τὴν *ἐκ* ἀπηγόρευσεν· ἐν μὲν τῷ ὀγδόῳ τῶν Θεολογικῶν λέγων· « Ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα οὐ λέγομεν, Πνεῦμα δὲ Υἱοῦ ὀνομάζομεν, καὶ δι' Υἱοῦ φανεροῦσθαι καὶ μεταδίδοσθαι ἡμῖν ὁμολογοῦμεν (5)· ἐν δὲ τῷ τρισκαιδεκάτῳ πάλιν ὁ αὐτός· « Πνεῦμα Υἱοῦ οὐχ ὡς ἐξ αὐτοῦ, ἀλλ' ὡς δι' αὐτοῦ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον· μόνος γὰρ αἴτιος ὁ Πατήρ (6)· » ἐν δὲ τῇ πρὸς Ἰορδάνην ἐπιστολῇ πρὸς τῷ τέλει· « Πνεῦμα ἐνυπόστατον ἐκπόρευμα καὶ πρόβλημα, δι' Υἱοῦ δὲ καὶ οὐκ ἐξ Υἱοῦ, ὡς Πνεῦμα στόματος Θεοῦ Λόγου ἐξαγγελτικόν (7). » Ἐν δὲ τῷ εἰς τὴν θεόσωμον ταφὴν τοῦ Κυρίου λόγῳ (8)· « Πνεῦμα ἅγιον τοῦ Θεοῦ καὶ Πατρὸς, ὡς ἐξ αὐτοῦ ἐκπορευόμενον· ὅπερ καὶ τοῦ Υἱοῦ εἶναι λέγεται, ὡς δι' αὐτοῦ χορηγούμενον, καὶ τῇ κτίσει μεταδιδόμενον, ἀλλ' οὐκ ἐξ αὐτοῦ ἔχον τὴν ὕπαρξιν. »

EPHES. (V).

Alius vero dicit : « Solus causa Pater; » et alibi : « Quæcunque conveniunt fonti, causæ, genitori, ea soli Patri aptanda sunt. » Neque tunc (*a*), in theologia acutissimus hic Damascenus præpositionem *per* poneret, dum de Filio agit, et præpositionem *ex* rejiceret. Octavo enim Theologicorum capitum ait : « Ex Filio Spiritum non dicimus, Spiritum vero Filii nominamus, et per Filium manifestari nobisque suppeditari confitemur. » Et rursus idem capite decimo tertio : « Spiritus Filii, non ut ex ipso, sed ut per ipsum ex Patre procedens; solus enim causa Pater. » Et in epistola ad Jordanem prope finem : « Spiritus personaliter subsistens spiraculum et productum, per Filium vero et non ex Filio, ut Spiritus oris Dei Verbi enuntians. » In oratione autem in Dominici corporis sepulturam ait : « Spiritus sanctus Dei et Patris, ut ex ipso procedens; qui et Filii esse dicitur ut per illum suppeditatus et creaturis communicatus, sed non ut ex ipso exsistentiam habens. »

ΑΠΟΛΟΓΙΑ.

Καλῶς ὁ τίμιος οὗτος καὶ αἰδέσιμος τὰ τοῦ θείου Δαμασκηνοῦ συνῆψε. Καὶ περὶ μὲν τοῦ « μόνος αἴτιος ὁ Πατήρ, » ὅσον ἂν ὁ Θεὸς ἡμῖν ἐχορήγησεν, εἴπομεν· ἴσως δὲ καὶ πάλιν ἐροῦμεν Θεοῦ αὐτοῦ

RESPONS.

Recte honorabilis et venerandus iste vir verba divi Damasceni conjunxit. Ac primo quod attinet ad illud : « Solus causa Pater, » quæcunque Deus nobis largitus est, jam diximus; dicemus vero et

(1) Cod. Mon., f. 122 b, τοῦτο.
(2) Cod. cit. ἀναφέρωσιν.
(3) Idem citatur in Becci Epigr. 13 Græc. orth. t. II, p. 631.
(4) Mon., καθικούσης.
(5) Damascen. de fide orthod. l. I, c. 8, p. 141, 142 ed. Le Quien.
(6) Ibid. l. I, c. 13, p. 148 in fine.
(7) Ep. ad Jord. de Trishagio, c. 28, p. 497 ed. Le Quien.
(8) Hanc orationem tomo II Le Quienii contentam spuriam esse plerique censent; jam Hugo Etherianus textus authentiam in dubium vocasse cernitur. Vide de hac re Le Quieni notam ad l. I de F. O., c. 8, p. 141.

(*a*) Hæc cum iis connectenda, quæ supra, cap. 3, Marcum perorantem audivimus.

rursum Deo ipso opitulante ostendentes, nos veritati adhærere et in ipsa stare. Quæ vero profert : « Filium non dicimus causam neque Patrem, » non sic se habent in antiquis et vetustissimis exemplaribus ; verum ibi legitur : « Filium non dicimus causæ expertem (*a*) neque Patrem. » Et quod ita congruat, sive ipse sive alius quispiam dicit, manifestum est ex iis quæ superius idem divus Damascenus asserit in eodem capite. Ait enim : « Unus Pater est Pater, id est principii expers ; non enim est ab alio quopiam ; unus est Filius et non principii expers sive non causa carens. » Et post aliqua recapitulationem faciens ait : « Oportet cognoscere quod Patrem non dicimus ex alio, dicimus vero eum Filii Patrem ; Filium vero non dicimus principii expertem neque Patrem, dicimus vero eum ex Patre et Filium Patris. » Liquet ergo ex prædictis et ex recapitulatione, Sanctum istum non dixisse *causam* seu principium, sicut antea diximus (*b*). Moschampar autem qui vehementer contra Latinos commotus erat, ita exponit (*c*). Si enim Sanctus aliud significare voluisset, oportebat primo nominare *Patrem*, deinde *causam*. Quæ vero postea adducit (Marcus), nimirum verba : *Quæcunque conveniunt fonti, causæ, genitori, ea soli Patri aptanda sunt*, ea si quidem adjunxisset et *spiratorem*, magnum sane ei subsidium præbuissent ; quoniam vero non addidit *spiratorem*, haud magnum auxilium ex hoc venerabilis Ephesiorum antistes habuit. Nimirum si hic et *spiratorem* dixisset, omnino etiam significasset unice eum esse spiratorem, sicut et in hoc capite, quamvis sufficientia essent dicta ad probandum solum ex solo Patre esse Filium, tamen et hoc addidit dicens quod solus ex solo Patre unice genitus est. Quod spectat ad illud, « Neque tunc iste in theologia acutissimus præpositionem *per* poneret et præpositionem *ex* rejiceret ; ex Filio Spiritum non dicimus, » nos in hac doctrina ipsum sanctum doctorem verborum suorum interpretem producemus. Ac primo quidem *non dicimus* non æquivalet apud ipsum *non est* ; quod liquet ex eis quæ ipse declarat in synopticis capitulis. Ait enim capite 77, cujus inscriptio : Deiparam esse sanctam Virginem : « Christiparam non dicimus sanctam Virginem. » Sed quomodo intelligat hoc *non dicimus*, in alio suo sermone, cujus inscriptio : Verbum accuratissimum contra Deo invisam Nestorianorum

A συναιρουμένου (1) δεικνύντες, ὡς τῆς ἀληθείας ἐχόμεθα καὶ ἐν ταύτῃ ἑσμέν. Ὅθεν δὲ λέγει· « Τὸν Υἱὸν οὐ λέγομεν αἴτιον οὐδὲ Πατέρα, οὐχ οὕτως ἔχει ἐν τοῖς ἀρχαίοις καὶ παλαιοτάτοις βιβλίοις, ἀλλ' ὅτι, « τὸν δὲ Υἱὸν οὐ λέγομεν ἀναίτιον, οὐδὲ Πατέρα· » Καὶ ὅτι οὕτως ἁρμόζει, ἢ ὡς αὐτὸς ἢ ἕτερός τις λέγει, δῆλον ἐξ ὧν ἀνωτέρω ὁ αὐτὸς θεῖος Δαμασκηνὸς λέγει ἐν τῷ αὐτῷ κεφαλαίῳ· φησὶ γάρ· « Εἷς Πατὴρ ὁ Πατὴρ, τουτέστι ἀναίτιος (οὐ γὰρ ἔκ τινος), εἷς ὁ Υἱὸς καὶ οὐκ ἄναρχος, τουτέστιν οὐκ ἀναίτιος (2). » Καὶ μετά τινα ἐπανάληψιν ποιούμενός φησι· « Χρὴ γινώσκειν, ὅτι τὸν Πατέρα οὐ λέγομεν ἔκ τινος, λέγομεν δὲ αὐτὸν τοῦ Υἱοῦ Πατέρα· τὸν δὲ Υἱὸν οὐ λέγομεν ἀναίτιον (3) οὐδὲ Πατέρα· λέγομεν δὲ αὐτὸν ἐκ τοῦ Πατρὸς καὶ

B Υἱὸν τοῦ Πατρός. » Δῆλον οὖν ἐκ τῶν εἰρημένων καὶ ἐκ τῆς ἐπαναλήψεως, ὡς οὐκ *αἴτιον* ὁ ἅγιος εἴρηκε, καθὰ φθάσαντες ἔφημεν. Ὁ Μοσχάμπαρ δὲ ὁ σφοδρῶς κατὰ Λατίνων κινηθεὶς οὕτως ἐκτίθησιν· εἰ γὰρ ἄλλως ὁ ἅγιος ἐβούλετο, ὡς αὐτὸς φάσκει, πρῶτον ἐχρῆν εἰπεῖν *Πατέρα*, εἶτα *αἴτιον*· ἀλλ' οὐχ οὕτως εἴρηκε. Τὰ δὲ ἑξῆς· ἤγουν (4), « Ὅσα ἁρμόζει πηγῇ, αἰτίᾳ, γεννήτορι, τῷ Πατρὶ μόνῳ προσαρμοστέα, » εἰ καὶ [τὸ] *προβολεὺς* συνηριθμει, πολλὴν ἂν αὐτῷ τὴν συνηγορίαν παρεῖχεν. Ἐπεὶ δὲ τὸ *προβολεὺς* οὐ προσέθηκεν, οὐ πολλὴν ἐκ τούτου τὴν βοήθειαν ὁ αἰδέσιμος ἔσχεν Ἐφέσου. Εἰ γὰρ καὶ τὸ προβολεὺς ἔλεγε, πάντως ἂν καὶ τὸ μόνως προβολεὺς ἐδήλου, ὥσπερ καὶ ἐν τούτῳ τῷ

C κεφαλαίῳ καίτοι γε ἱκανῶν ὄντων δεῖξαι, ὅτι καὶ μόνος (5) ἐκ μόνου τοῦ Πατρός ἐστιν ὁ Υἱός, ἀλλὰ καὶ τοῦτο προσέθηκε καὶ φησιν, ὅτι μόνος ἐκ μόνου τοῦ Πατρὸς μόνως ἐγεννήθη. Πρὸς δὲ τὸ « Οὐκ ἂν ὁ θεολογικώτατος, οὗτος τὴν *διὰ* τίθεις τὴν *ἐκ ἀπηγόρευσεν* (6)· ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα οὐ λέγομεν » ἐν ταύτῃ τῇ θεολογίᾳ αὐτὸν τὸν ἅγιον ἐξηγητὴν τῶν αὐτοῦ προβαλούμεθα. Καὶ πρῶτον μὲν τὸ *οὐ λέγομεν* οὐ τίθησιν αὐτὸς ὁ ἅγιος ἀντὶ τοῦ *οὐκ ἔστι*· δῆλον γὰρ καὶ ἐξ ὧν αὐτὸς ἐν τούτοις τοῖς συνοπτικοῖς κεφαλαίοις δηλοῖ· φησὶ γὰρ ἐν τῷ οζ' κεφαλαίῳ, οὗ ἡ ἐπιγραφή· » Ὅτι Θεοτόκος ἡ ἁγία Παρθένος, » « Χριστοτόκον οὐ λέγομεν τὴν ἁγίαν Παρθένον· » ἀλλὰ πῶς (7) ἐνταῦθα νοεῖ τὸ *οὐ λέγομεν* ἐν ἑτέρῳ αὐτοῦ λόγῳ οὗ ἡ ἐπιγραφή·

D « Ἔπος (8) ἀκριβέστατον κατὰ τῆς θεοστυγοῦς αἱρέσεως (9) τῶν Νεστοριανῶν, » Ἡ δὲ ἀρχὴ τοῦ λόγου· « Πρὸς τοὺς Νεστοριανοὺς ὁμόφρονας, »

(1) Leg. συναιρομένου.
(2) Paulo aliter eadem verba adducit Andr. Camaterus c. 141. (Gr. orth. II, p. 497).
(3) Apud Camaterum (l. c. p. 498) αἴτιον.
(4) Mon., f. 125 a, ἤγουν.
(5) Mon. f. 123 b. μόνος.
(6) Marcian. ἀπηγόρευεν.
(7) Mon., ἔπος.
(8) Mon., ἀλλ' ὅπως.
(9) Mon., αἱρήσεως.

(*a*) Videlicet pro αἴτιον legendum esse ἀναίτιον contendit. Alii vero plures orthodoxi Græci αἴτιον legerunt.
(*b*) Scilicet Damascenum voluisse abjudicare Filio *innascibilitatem*, non vero causæ rationem.
(*c*) Georgius Moschampar, magnæ Ecclesiæ chartophylax, Becco æqualis et ab eo prorsus dissidens, multa scripsit contra Latinos, quorum aliqua idem patriarcha opusc. De libris suis (Gr. orth., t. II, p. 3) se refutasse scribit. Sed neque ejus scripta neque Becci refutationes adhuc reperta sunt. Vide Allatium De consens., l. II, c. 15, n. 15 et diatr. de Georgiis, p. 349. Andronicus tamen Camaterus legit ut supra Marcus eamdemque lectionem Beccus (Gr. orth., II, p. 501, n. 141 in fine) retinuit.

περὶ τὸ τέλος τοῦ λόγου οὕτω διασαφεῖ· » Διὸ καὶ Θεοτόκον τὴν ἁγίαν Παρθένον κηρύττομεν ὡς κυρίως καὶ ἀληθῶς ἐξ αὐτῆς σαρκωθέντα γεννήσασαν, Χριστοτόκον δὲ αὐτὴν ἴσμεν· Χριστὸν γὰρ ἐγέννησεν. Ἀλλ' ἐπεὶ ἐπ' ἀναιρέσει τῆς Θεοτόκου φωνῆς ὁ θεόλης Νεστόριος ταύτῃ κατεχρήσατο, οὐ Χριστοτόκον, ἀλλ' ἐκ τοῦ κρείττονος ταύτην Θεοτόκον ὀνομάζομεν. » Εἰ οὖν ὁ λόγος οὗτος ὁ διασαφῶν τὴν τοῦ ἁγίου τούτου διάνοιαν ἄγνωστος καὶ ἀφανὴς ἦν, πάντως ἂν μὴ Χριστοτόκον φρονεῖν τὴν ἁγίαν Παρθένον ἐλέγομεν διὰ τὸ λέγειν· « Χριστοτόκον δὲ τὴν ἁγίαν Παρθένον οὐ λέγομεν, » καὶ πῶς ἂν εἶχε τοῦτο λόγον; οἶδε γὰρ καὶ αὐτὸς μάλα καλῶς· Γρηγόριον τῆς θεολογίας ἐπώνυμον φάσκοντα ἐν τῷ περὶ τοῦ Πνεύματος λόγῳ· τῶν πραγμάτων τὰ μὲν οὐκ ἔστι, λέγεται δέ, τὰ δὲ ὄντα οὐ λέγεται (1).» Πῶς δὲ συμφωνήσει ὁ ἅγιος ἑαυτῷ λέγων ἐν τῷ τετάρτῳ (2) τῶν Θεολογικῶν· « Δεῖ τὸν Λόγον καὶ Πνεῦμα ἔχειν· καὶ γὰρ ὁ ἡμέτερος λόγος οὐκ ἀμοιρός ἐστι πνεύματος. » Εἰ οὖν ὁ Λόγος Πνεῦμα ἔχει, ὡς αὐτός φησι, καὶ μετά τινα ἐπιφέρει· « Ἐπὶ δὲ τῆς θείας φύσεως καὶ ἁπλῆς καὶ ἀσυνθέτου τὸ μὲν Πνεῦμα Θεοῦ εὐσεβὲς ὁμολογητέον διὰ τὸ μὴ εἶναι τὸν τοῦ Θεοῦ Λόγον ἐλλιπέστερον τοῦ ἡμετέρου λόγου, πάντως ἂν τὸ Πνεῦμα καὶ ἐκ τοῦ ἔχοντος αὐτό (3) ἐστι. Καὶ γὰρ ὀκταχῶς λέγεται τὸ *ἔχειν* παρὰ τῶν θύραθεν καὶ παρὰ τοῦ ἁγίου τοῦδε ἅτε συμφωνοῦντος αὐτοῖς· τὸ γὰρ ἔχειν ἢ κατὰ ποιόν ἐστιν οἷον ἕξιν καὶ διάθεσιν ἢ ἐπιστήμην, ἢ κατὰ ποσὸν, ὡς λέγει τις τὸ ξύλον τρεῖς πήχεις ἔχειν, ἢ ὡς κτῆμα, οἷον οἰκίαν ἢ ἀγρόν· ἢ ὡς τὰ περὶ τὸ σῶμα, οἷον ἱμάτιον ἢ χιτῶνα, ἢ ὡς γυναῖκα ἔχειν ἢ ὡς ἐν μορίῳ, οἷον ὁ δακτύλιος ἐν χειρί· ἢ ὡς μέρος, οἷον χεῖρα ἢ πόδα, ἢ ὡς ἐν ἀγγείῳ, ὡς μέδιμνος τοὺς πυρούς. Ἀλλὰ ταῦτα μὲν τίθεται δηλοῦντα τὴν τοῦ ἔχειν σαφήνειαν καὶ ὅπως ἡμεῖς μᾶλλον τῷ ἁγίῳ συμφωνοῦμεν. Ἀλλ' ἴωμεν καὶ ἐφ' ἑτέραν διασάφησιν. Οὐ γὰρ (4) τὸ « οὐ λέγομεν » τὸ « οὐκ ἔστι » δηλοῖ, ὡς αὐτὸς ὁ ἅγιός φησιν· ἀλλὰ καὶ ἐν ἑτέρῳ τρόπῳ φανερὸν γενήσεται, καὶ μάλιστα διὰ τοὺς λέγοντας, ὅτι τὸ *Διὰ τοῦ Υἱοῦ* τὸ φανεροῦσθαι καὶ μεταδίδοσθαι μόνον δηλοῖ, καὶ τὸ « μετὰ τοῦ Υἱοῦ » καὶ « σὺν τῷ Υἱῷ ἐκπορευόμενον, » εἰ καὶ προαπεδείχθη διὰ πολλῶν ἁγίων πρότερον, ὡς οὐ τοῦτο δηλοῖ, ὥσπερ οἱ ταῦτα λέγοντες βούλονται. Τοῦ μὲν Εὐνομίου λέγοντος ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον, τοῦ δὲ Νεστορίου ἐκ μόνου τοῦ Πατρὸς τὴν ὕπαρξιν ἔχειν, ὁ ἅγιος μήτε τῷ τοῦ Εὐνομίου δόγματι συμβαίνειν τὸν λόγον, μήτε τῷ (5) τοῦ Νεστορίου ἡγούμενος, ἀλλὰ διὰ μέσου τῶν δύο ὑπολήψεων

A hæresin, initium vero : « Ad Nestorianos consentientes, » prope finem orationis hoc pacto patefacit : « Idcirco et Deiparam sanctam Virginem prædicamus, utpote quæ proprie et vere ex ipsa incarnatum genuit; Christiparam vero eam novimus; Christum enim genuit. Sed quoniam ad evertendam Deiparæ vocem ea abusus est impius Nestorius, *non Christiparam, sed ex nobiliori Deiparam eam nominamus.* Si igitur oratio hæc declarans Sancti istius sententiam ignota et nullibi apparens foret, prorsus diceremus, eum sanctam Virginem non habere Christiparam propter ejusdem verba : « Christiparam vero sanctam Virginem non dicimus, » et quomodo hoc haberet rationem? Novit enim et ipse optime Gregorium qui a theologia cognomen sor-
B titus est, in oratione de Spiritu sancto dicere : « Rerum aliæ quidem non sunt, dicuntur autem, aliæ vero sunt et non dicuntur. » Quomodo vero concordaret sanctus doctor secum ipso, cum in quarto (septimo) capitum theologicorum dicat : « Oportet Verbum et Spiritum habere. Etenim et verbum nostrum spiritu non caret. » Si igitur Verbum Spiritum habet, ut ipse ait, et post aliqua infert : « In divina vero natura, quæ simplex et omnis compositionis expers est, Spiritus Dei pie est confitendus, quia Dei Verbum non est indigentius et minus perfectum, quam verbum nostrum, » omnino et Spiritus ex eo est, qui ipsum habet. Etenim habere octo modis dicitur a profanis et ab hoc sancto iis concordante. Dicitur enim habere : 1. secundum
C qualitatem, ut habere habitum, affectionem, vel scientiam; 2. secundum quantitatem, ut lignum tres ulnas habere; 3. tanquam possessio, v. g. habere domum vel agrum; 4. ut ea quæ sunt circa corpus, ut habere vestem vel tunicam; 5. ut habere uxorem; 6. ut in membro habere, v. gr. annulum in manu; 7. ut habere tanquam partem, v. gr. manum vel pedem; 8. ut in vase, v. gr., ut modius habet triticum. Sed hæc ponuntur quidem ut declarantia vocis habendi explicationem et quomodo nos magis sancto isti concordamus. Sed procedamus etiam ad aliam explicationem. Non enim verba *non dicimus* significant idem ac *non est*; verum et alio modo res patefiet (*a*) et maxime propter eos,
D qui dicunt vocem *per Filium* solum manifestationem et suppeditatem denotare atque idem valere ac procedere Spiritum *cum Filio*, licet jam superius per multos sanctos demonstratum fuerit, non id significare, ut horum assertores volunt. Cum Eunomius quidem diceret ex Filio Spiritum sanctum, Nestorius vero ex solo Patre exsistentiam eum

(1) Naz. Orat. 31 ed. nov. (ol. or. 37.)
(2) In marg. cod. Mon. rubro calamo, ἐν τῷ ζ'.
(3) Mon. et Marc., αὐτῷ.
(4) Cod. εἰ γὰρ-δηλοῖ, ὡς αὐτὸς ὁ ἅγιός φησιν· quod contextui contrarium. Aut legendum, Οὐ γάρ, aut pro ὁ ἅγιος ponendum ὁ ἀνὴρ, aut post οὐ λέγομεν addendum οὐ.
(5) Mon. f. 124 a, τό.

(*a*) Vel mutata lectione : etiamsi *non dicimus* idem denotaret ac *non est*, tamen alio modo res manifesta fiet.

habere, sanctus hic neque Eunomii neque Nestorii placito rationem concordare censens, verum per medium duarum suppositionum incedens et utriusque hæreseos placitum evertens, priori quidem occurrens, quæ *ex Filio solo* Spiritum esse alebat, ait : « Ex Filio Spiritum non dicimus ; » posteriori vero, quæ *ex solo Patre* eum affirmabat, semet opponens. Vocem *per Filium* ponit, quæ et dictionem *ex solo Patre* et aliam *ex solo Filio* evertit. In epistola enim ad Jordanem, « Verbum, inquit, per se subsistens fœtus (proles) et Spiritus per se subsistens spiramen ac productum, per Filium vero, et non ex Filio, ut Spiritus oris Dei Verbi annuntiativus. » Sanctos vero os Patris vocare unigenitum Filium, S. Anastasius declaravit, ut superius dictum est. Et rursum idem Damascenus ait : « Ipse est mens, Verbi abyssus, Verbi genitor et per Verbum productor Spiritus manifestantis. » Quid igitur ipse clarissimus scriptor, qui decernit præpositionem *per* loco *cum* dici et quisquis alius amplectitur præpositionem *per* pro *cum* et hoc in loco? Patet enim quod si *per* dicitur esse *cum*, quando agitur de processione Spiritus sancti, tunc mentem, Verbi abyssum, Verbi genitorem una cum Verbo producturum Spiritum sanctum secundum ipsius subtilem interpretationem. Vel igitur in divi et sancti Damasceni sermonibus de Spiritus sancti processione præpositionem *per* vere pro *per* amplectatur, vel, si loco præpositionis *cum* eam positam arbitratur, id etiam dicat de verbis illis : *Per Verbum productor* (*a*). Sed quoniam non refutationem scribere nobis mens est ob viri hujus venerandi reverentiam, verum solummodo veritatem explicare intendimus, age jam addamus et reliqua, de hac re, quantum vires nobis suppetunt, ad explicationem, ut clariorem adhuc tractationem faciamus. Divus Cyrillus cum Nestorii scripta ei ad manus venissent et cum Symbolum vidisset ab eo confictum, ut fere omnes norunt, duodecim capitula composuit contra impios illius libros ; unde et Theodoretus Cyri episcopus vehementer adversus ea cuncta commotus proprio scripto semet eis opposuit. Quorum capitulorum unum peculiari modo de Spiritu sancto agebat. Quare et ad declarandam veritatem hoc proferemus, prout se habet, deinde et omnia quæ Theodoretus opposuit, insuper et defensionem Cyrilli pro seipso et pro confirmatione duodecim capitulorum. Hoc vero capitulum ita ad verbum sonat : « Si quis unum Dominum Jesum Christum glorificatum esse dicit a Spiritu, quasi aliena usum ea

A χωρῶν (1) καὶ ἑκατέρων τῶν αἱρέσεων καθαιρῶν τὸ δόγμα, τῆς μὲν διὰ τὸ *ἐκ τοῦ Υἱοῦ μόνου* τὸ « ἐκ τοῦ Υἱοῦ οὐ λέγομεν, » τῆς δὲ *ἐκ μόνου τοῦ Πατρὸς* τὸ *Διὰ τοῦ Υἱοῦ* τίθησιν, ὅπερ τὸ *ἐκ μόνου τοῦ Πατρὸς* ἀναιρεῖ καὶ τὸ *ἐκ μόνου τοῦ Υἱοῦ*. Φησὶ γὰρ ἐν τῇ πρὸς Ἰορδάνην· « Λόγος δὲ ἐνυπόστατον γέννημα· διὸ καὶ ὁ Υἱός· καὶ Πνεῦμα ἐνυπόστατον ἐκπόρευμα καὶ πρόβλημα, δι' Υἱοῦ δέ, καὶ οὐκ ἐξ Υἱοῦ, ὡς Πνεῦμα στόματος Θεοῦ Λόγου ἐξαγγελτικόν. » Ὅτι δὲ στόμα τοῦ Πατρὸς οἱ ἅγιοι τὸν μονογενῆ Υἱὸν αὐτοῦ λέγουσιν, ὁ ἅγιος Ἀναστάσιος ἐδήλωσεν, καθὼς ἐν τοῖς ἔμπροσθεν εἴρηται. Καὶ ἔτι ὁ αὐτὸς Δαμασκηνός φησιν· « Αὐτός ἐστι νοῦς Λόγου ἄβυσσος Λόγου γεννήτωρ καὶ διὰ Λόγου προβολεὺς ἐκφαντορικοῦ Πνεύματος (2). » Τί B οὖν ὁ αὐτὸς ἄριστος λογογράφος ὁ νομοθετῶν τὴν *διὰ* ἀντὶ τῆς *σὺν* καὶ *μετὰ*, καὶ ὅστις ἕτερος στέργει τὴν *διὰ* ἀντὶ τῆς *μετὰ* καὶ *σὺν* καὶ ἐνταῦθα ; δῆλον γὰρ ὡς εἰ ἡ *διὰ μετὰ* καὶ *σὺν* λέγεται ἐπὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος, ὁ νοῦς ὁ Λόγου ἄβυσσος, ὁ Λόγου γεννήτωρ μετὰ τοῦ Λόγου ἢ σὺν τῷ Λόγῳ προβαλλεῖται τὸ Πνεῦμα τὸ ἅγιον κατὰ τὴν αὐτοῦ λεπτὴν ἐξήγησιν. Ἢ οὖν ἐν τοῖς τοῦ θείου καὶ ἱεροῦ Δαμασκηνοῦ λόγοις περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος τὴν *διὰ* ἀντὶ τῆς *διὰ* προθέσεως στεργέτω, ἢ ἀντὶ τῆς *μετὰ* καὶ *σὺν* τιθέμενος λεγέτω καὶ ἐπὶ τοῦ *διὰ Λόγου προβολεύς*. Ἀλλ' ἐπεὶ οὐκ ἐλέγχειν, βουλόμεθα διὰ τὸ τοῦ ἀνδρὸς τίμιόν τε καὶ αἰδέσιμον, ἀλλὰ μόνον τὴν ἀλήθειαν ἐθέλομεν διασαφεῖν, φέρε καὶ ἔτι προθῶ- C μεν καὶ τὰ λοιπὰ διατρανοῦντες περὶ τούτου κατὰ τὸ δυνατὸν ἡμῖν, ἵνα καὶ σαφέστερον τὸν λόγον ποιήσωμεν. Ὁ θεῖος Κύριλλος τοῖς συγγράμμασιν ἐντυχὼν Νεστορίου καὶ τὸ παρατλασθὲν σύμβολον καθὼς πάντες σχεδὸν ἴσασι, παρ' αὐτοῦ ἰδών, δύο καὶ δέκα κεφάλαια συνέθετο κατὰ τῶν μιαρῶν ἐκείνου συγγραμμάτων· ὅθεν καὶ Θεοδώρητος ὁ Κύρου σφοδρῶς κατ' ἐκείνων κινηθεὶς πάντα ἐγγράφως ἀντεῖπεν· ὧνπερ (3) τὸ ἓν ἰδιοτρόπως περὶ τοῦ ἁγίου Πνεύματος ἐδηλοῦτο· διὸ καὶ εἰς δήλωσιν τῆς ἀληθείας αὐτὸ προθήσομεν ὡς ἔχει, εἶτα καὶ τὰ τοῦ Θευδωρήτου πάντα, ἔτι δὲ καὶ τὰς ἀπολογίας ὑπέρ τε ἑαυτοῦ καὶ βεβαιώσεως τῶν δύο καὶ δέκα κεφαλαίων. Τὸ δὲ κεφάλαιον οὕτω κατὰ ῥῆμα διέξεισιν· « Εἴ τις τὸν ἕνα Κύριον Ἰησοῦν Χριστὸν D δεδόξασθαι παρὰ τοῦ Πνεύματος, ὡς ἀλλοτρίᾳ δυνάμει τῇ δι' αὐτοῦ χρώμενον καὶ παρ' αὐτοῦ λαβόντα τὸ ἐνεργεῖν δύνασθαι κατὰ πνευμάτων ἀκαθάρτων καὶ τὸ πληροῦν τὰς θεοσημείας, καὶ οὐχὶ δὴ μᾶλλον ἴδιον αὐτοῦ τὸ Πνεῦμά φησι, δι' οὗ ἐνήργει καὶ τὰς θεοσημείας, ἀνάθεμα ἔστω (4) Τούτου τοῦ κε-

(1) Mon., χορῶν.
(2) Dam. cap. theol. 13 apud Beccum Epigr. 1, p. 535. Refutat. XIII in Photii de Sp. S., cap. 17.
(3) Mon., f. 124 b, ὅτερ.

(4) Cyrilli anathem. IX, in Act. Conc. Ephes. Citatur quoque ab Andronico Camatero (Ap. Bec. Gr. orthod. t. II, p. 444).

(*a*) Sic omnes fere Damascenum explicant et cum aliis Patribus conciliant. Vide Hugonem Ether. c. Græc. l. III, c. 21 ; Niceph. Blem. orat. 1, c. 25 ; Beccum, orat. 2 de injusta depos. n. 20, et passim ; Constant. Meliteniotam orat. 1 ; Demetrium Cydon. op. de proc. Spirit. sancti ; Manuelem Calecam, l. III, Georg. Trapez. ad Joan. Cubucl. c. 1 ; Bessarionem, epist. ad Alex. Lasc. c. 9 ; et auctorem nostrum in Apol. contra Marci epistolam. (Hard. IX, 650.)

φαλαίου σὺν τοῖς ἄλλοις Θεοδώρητος ἐπελάβετο, καὶ γράφων πρὸς τοὺς ἐν Εὐφρατησίᾳ καὶ Ὑσροηνῇ καὶ Συρίᾳ καὶ Φοινίκῃ καὶ Κιλικίᾳ μονάζοντας (1) κατὰ τοῦ θείου Κυρίλλου φησίν· « Ἐν μὲν τῷ πρώτῳ κεφαλαίῳ τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν ἐκβάλλει, ἐν δὲ τῷ δευτέρῳ καὶ τρίτῳ κεφαλαίῳ, ὥσπερ ἐπιλαθόμενος ὧν ἐν προοιμίοις ἐξέθετο, τὴν κατὰ ὑπόστασιν ἕνωσιν εἰσάγει· ἐν δὲ τῷ τετάρτῳ κεφαλαίῳ ἀπαγορεύει τῶν εὐαγγελικῶν καὶ ἀποστολικῶν φωνῶν τὴν διαίρεσιν (2). Καὶ μετὰ ταῦτα, ὡς ᾤετο, διασύρας τὰ εἰρημένα καὶ βλάσφημα καὶ δυσσεβείας μεστὰ ἀποκαλέσας καὶ κακῶς ἐπεξεργασάμενος ἐπιφέρει· « Βλασφημεῖ δὲ καὶ εἰς τὸ ἅγιον Πνεῦμα, ὡς οὐκ ἐκ τοῦ Πατρὸς αὐτὸ λέγων ἐκπορεύεσθαι κατὰ τὴν τοῦ Κυρίου φωνήν, ἀλλ' ἐξ Υἱοῦ τὴν ὕπαρξιν ἔχειν. Ὁ δὲ ἅγιος, ὥσπερ κἀν τοῖς ἄλλοις κεφαλαίοις ἀπολογούμενος ὑπέρ τε τῆς ἀληθείας καὶ ἑαυτοῦ οὕτω καὶ ἐν τῷ θ' κεφαλαίῳ καὶ φησί (3)· « Φθάσαντες ἔφημεν, ὅτι τοῖς Νεστορίου βατταρισμοῖς, ἤγουν δυσφημίαις, καὶ τοῖς ἄγαν ἀτημελῶς εἰρημένοις ἡ τῶν κεφαλαίων μάχεται δύναμις. Ἐκείνου γὰρ λέγοντος περὶ τοῦ ἁγίου Πνεύματος· τοῦτο δὴ τὸ τηλικαύτην αὐτῷ χαριτάμενον δόξαν τὸ δαίμονσιν αὐτὸν φοβερὸν ἐργασάμενον τὸ τὴν ἀνάληψιν αὐτῷ τὴν εἰς οὐρανοὺς χαρισάμενον· καὶ ὡς περί (4) τινος τῶν καθ' ἡμᾶς ἀνθρώπου κοινοῦ τὰ τοιάδε πεφλυαρηκότος, γέγονεν ἀναγκαῖος (5) ὁ ἀναθεματισμός, οὐ κατά γε τῶν λεγόντων, δεδοξάσθαι παρὰ τοῦ ἁγίου Πνεύματος τὸν Ἰησοῦν, τουτέστιν ἐνανθρωπήσαντα τὸν τοῦ Θεοῦ Λόγον, κατ' ἐκείνων δὲ μᾶλλον, οἳ καὶ ἀνέδην αὐτὸν ὡς ἀλλοτρίᾳ δυνάμει τῇ διὰ τοῦ Πνεύματος κεχρῆσθαί φασι. Μεμνήμεθα δὲ τοῦ εἰπόντος σαφῶς περὶ τοῦ ἁγίου Πνεύματος· *ἐκεῖνος ἐμὲ δοξάσει* (6)· ἴσμεν δὲ πρὸς τοῦτῳ (7) τῇ τοῦ ἁγίου Πνεύματος ἐνεργείᾳ τὰς πονηράς τε καὶ ἀκαθάρτους δυνάμεις συντρίβοντα, ἀλλ' οὐχ οὕτω φαμὲν αὐτὸν, καθάπερ καὶ τῶν ἁγίων ἕκαστον, ὡς ἀλλοτρίᾳ δυνάμει κεχρῆσθαι τῇ διὰ τοῦ ἁγίου Πνεύματος. Ἦν γὰρ καὶ ἔστιν αὐτοῦ τὸ Πνεῦμα, καθάπερ ἀμέλει καὶ τοῦ Πατρός (8). Καὶ τοῦτο ἡμῖν εὖ μάλα σαφηνιεῖ γεγραφὼς ὁ θεσπέσιος Παῦλος· *Οἱ δὲ ἐν σαρκὶ ὄντες Θεῷ ἀρέσαι οὐ δύνανται· ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι, εἴπερ Πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν· εἰ δέ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ* (9). Ἐκπορεύεται μὲν γὰρ ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον κατὰ τὴν τοῦ Σωτῆρος φωνὴν, ἀλλ' οὐκ ἀλλότριόν ἐστι τοῦ Υἱοῦ· πάντα γὰρ ἔχει μετὰ τοῦ Πατρός. Καὶ τοῦτο αὐτὸς ἐδίδαξεν εἰπὼν περὶ τοῦ ἁγίου Πνεύματος· *Πάντα ὅσα ἔχει ἐ*

A virtute, quæ per ipsum est, et accepisse ab ipso facultatem operandi contra immundos Spiritus et adimplendi divina signa, et non potius proprium ipsius Spiritum dicit, per quem et divina signa operatus est, anathema sit. » Hoc capitulum una cum cæteris reprehendit Theodoretus, et scribens ad monachos in Euphratesia, Osroene, Syria, Phœnicia et Cilicia contra divum Cyrillum : « In primo quidem, inquit, capitulo œconomiam pro nobis susceptam eliminat; capitulo vero secundo ac tertio, velut oblitus eorum quæ in prœmiis exposuerat, unionem secundum hypostasin inducit; quarto vero denegat distinctionem evangelicarum et apostolicarum vocum, » etc. Et post hæc, ut putabat, dicta reprehendens et blasphema atque impietate plena ea vocans et male prorsus pertractans infert : « Blasphemat vero quoque in Spiritum sanctum, utpote non ex Patre secundum Domini vocem eum procedere, sed ex Filio exsistentiam habere dicens. » At Sanctus sicut in cæteris capitibus defensionem instituens tum pro veritate tum pro seipso, ita et in nono capitulo quoque ait : « Antea jam diximus, quod Nestorii nugis seu blasphemiis et ejus dictis admodum temerariis virtus capitulorum repugnat et obsistit. Cum namque ille de Spiritu sancto diceret : Is qui tantam Christo gloriam contulit, eum dæmonibus fecit terribilem, donavitque ei ad cœlos ascensionem, cumque de eo tanquam de communi aliquo secundum nos homine hæc deblateraret : Factus est necessarius hic anathematismus, non adversus eos qui dicunt clarificatum fuisse a Spiritu sancto Jesum, hoc est Verbum Dei hominem factum, sed potius adversus illos qui impudenter eum virtute, quæ est per Spiritum, tanquam aliena usum esse dicunt. Meminimus enim aperte de Spiritu sancto eum dixisse : *Ille me clarificabit;* novimus vero præterea sancti Spiritus operatione eum conterentem nequissimas immundasque virtutes; sed non ita dicimus eum, sicut unumquemque sanctorum tanquam aliena usum esse ea virtute, quæ est per Spiritum sanctum. Erat enim et est ejus Spiritus, sicut certe et Patris et hoc nobis bene satis explanat divus Paulus qui scripsit : *Qui autem in carne sunt, Deo placere non possunt. Vos autem non estis in carne, sed in spiritu, si quidem Spiritus Dei habitat in vobis. Si quis autem Spiritum Christi non habet, hic non est ejus.* Procedit enim ex Deo et Patre Spiritus sanctus secundum Servatoris vocem, sed non est alienus a Filio. Omnia enim habet cum Patre, et hoc ipse edocuit, cum diceret de Spiritu sancto : *Om-*

(1) Theodoreti ep. 151, t. IV Opp., p. 1293, ed. Schulze. Vide etiam ejus resp. ad Anathematismos ib. t. IV, p. 718. Porro plura in Gregorii allegatione omissa sunt, quæ Theodoretus ep. 151 (vide Patrolog. gr., Ser. I, tom. LXXXIII, p. 1417), habet.

(2) Hæ tres voces desunt in Monac. cod.

(3) Cyrilli verba, quæ sæpe in hac controversia citantur (Cf. et Andron. Camater. c. 101, Gr. orth. t. II. p. 445 seq.), hic variantes plures lectiones præbent. Vide et Allat., Vindic. Syn. Ephes. p. 35.

(4) Monac., f. 125 a, ὥσπερ.

(5) Al. ἀναγκαίως ut Allat. l. c.

(6) Joan. xvi, 14.

(7) Mon., f. 125 b, πρὸς τοῦτο.

(8) Hæc verba, ἦν γὰρ Πατρός, desunt in Mon. cod.

(9) Rom. viii, 8, 9.

pia quæcunque habet Pater, mea sunt; propterea dixi quia de meo accipiet et annuntiabit vobis. Ergo clarificavit quidem Christum Spiritus sanctus admirabilia opera operans, verumtamen ut Spiritus ejus, et non ut aliena virtus et eo præstantior, secundum quod intelligitur Deus (*a*). » Etenim quemadmodum Patris virtus dicitur et est revera Filius, ita et virtus Filii Spiritus sanctus; sicut et Verbum Patris Filius et Filii loeutio Spiritus sanctus, secundum divum Basilium. — Verum procedamus adhuc quoque ad Theodoreti verba, ut ea proferamus, sicuti se habent, ad perfectam persuasionem et convictionem, quo pacto tum Theodoretus scripsit dixitque, tum quo pacto Cyrillus sensit ac prædicavit. Verba autem Theodoreti in epistola ad Joannem Antiochenum sic se habent : « Qui cuncta sapienter moderatur Deus, et nostræ providens concordiæ et populorum procurans salutem nos in unum congregare præparavit et consonas inter se omnium sententias ostendit. In communi enim perlectis Ægyptiacis litteris earumque sensu accurate perpenso, invenimus consona a nobis dictis quæ inde directa sunt et palam contraria duodecim capitulis, quibus utpote a pietate alienis usque ad præsens adversarii perstitimus. Illa quidem habebant, carnaliter carnem factum esse Deum ex Deo Verbum, atque secundum hypostasin unionem et conventionem secundum unionem naturalem, et Dei Verbum primogenitum factum ex mortuis, abdicabant vero distinctionem vocum de Domino adhibitarum, et alia præterea continebant ab apostolicis quidem institutis aliena, hæreticorum vero zizaniorum germina. Quæ vero nunc directa sunt evangelica generositate decorantur. Prædicatur namque in his Dominus noster Jesus Christus et Deus perfectus et homo perfectus, atque duæ naturæ, earumque differentia et unitio inconfusa, non secundum mistionem et coagulationem, sed ineffabiliter et Deo decenter effecta et duarum naturarum proprietates integras plane conservans; et impassibilis quidem est Deus Verbum et inconvertibilis; templum vero passibile et morti ad modicum traditum et rursum uniti Dei virtute ressuscitatum; et Spiritus sanctus non ex Filio vel per Filium subsistentiam habens, verum ex Patre procedens, proprius tamen Filii, utpote consubstantialis, appellatus. Hanc rectitudinem in litteris ipsis conspicati et contraria omnino eis quæ ante conscripta fuerant, reperientes, collaudavimus Deum, qui blæsorum linguis medetur et male sonantem inar-

Πατήρ, ἐμά ἐστι· διὰ τοῦτο εἶπον ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν (1). Οὐκοῦν ἐδόξασε μὲν τὸν Χριστὸν τὸ Πνεῦμα τὸ ἅγιον, ἐνεργοῦν τὰ παράδοξα, πλὴν ὡς Πνεῦμα αὐτοῦ, καὶ οὐκ ἀλλοτρία δύναμις καὶ κρείττων αὐτοῦ καθ' ὃ νοεῖται Θεός. » Καὶ γὰρ ὥσπερ λέγεται καὶ ἔστι δύναμις τοῦ Πατρὸς ὁ Υἱός, οὕτω καὶ δύναμις τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον, ὡς καὶ Λόγος τοῦ Πατρὸς ὁ Υἱὸς, καὶ ῥῆμα τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον, κατὰ τὸν θεοφάντορα Βασίλειον. Ἀλλ' ἴωμεν μὲν καὶ ἔτι εἰς τὰ τοῦ Θεοδωρήτου, ὅπως καθὼς ἔχουσιν ἐκθῶμεν εἰς τελείαν πληροφορίαν (2), ὅπως τε Θεοδώρητος ἔγραφέ τε καὶ ἔλεγε, ὅπως τε Κύριλλος ἐφρόνει (3) καὶ ἐθεολόγει. Τὰ δὲ τοῦ Θεοδωρήτου ἔχουσιν οὕτως· ἐν τῇ ἐπιστολῇ τῇ πρὸς Ἰωάννην Ἀντιοχείας (4)· « Ὁ πάντα σοφῶς πρυτανεύων Θεὸς, καὶ τὰς ἡμετέρας προμηθούμενος ὁμονοίας, καὶ τῆς τῶν λαῶν κηδόμενος σωτηρίας, συναθροισθῆναι ἡμᾶς κατὰ ταυτὸν παρεσκεύασεν, καὶ συμφώνους ἀλλήλοις τὰς πάντων ἔδειξε γνώμας. Ἐν κοινῷ γὰρ ἀναγνόντες τὰ Αἰγύπτια γράμματα, καὶ ἐξετάσαντες αὐτῶν ἀκριβῶς τὴν διάνοιαν, εὕρομεν σύμφωνα τοῖς εἰρημένοις τὰ ἐκεῖθεν ἀπεσταλμένα καὶ ἀντικρυς ἐναντία τοῖς δώδεκα κεφαλαίοις, οἷς μέχρι τοῦ παρόντος ὡς ἀλλοτρίοις τῆς εὐσεβείας πολεμοῦντες διετελέσαμεν. Ἐκεῖνα μὲν εἶχε σαρκικῶς σάρκα γεγονότα τὸν ἐκ Θεοῦ Θεὸν Λόγον καὶ καθ' ὑπόστασιν ἕνωσιν καὶ σύνοδον τὴν καθ' ἕνωσιν φυσικὴν, καὶ τὸν Θεοῦ Λόγον πρωτότοκον γεγενημένον ἐκ νεκρῶν· ἀπηγόρευε δὲ καὶ τῶν περὶ τοῦ Κυρίου φωνῶν τὴν διαίρεσιν, καὶ ἕτερα πρὸς τούτοις εἶχε τῶν μὲν ἀποστολικῶν σπερμάτων ἀλλότρια, τῶν δὲ αἱρετικῶν ζιζανίων βλαστήματα. Τὰ δὲ νῦν ἀπεσταλμένα τῇ εὐαγγελικῇ εὐγενείᾳ καλύνεται. Θεὸς γὰρ τέλειος καὶ ἄνθρωπος τέλειος ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν αὐτοῖς ἀναγορεύεται καὶ φύσεις (5) δύο· καὶ τούτων διαφορὰ καὶ ἕνωσις ἀσύγχυτος (6) οὐ κατὰ κρᾶσιν καὶ φυρμὸν, ἀλλ' ἀπορρήτως καὶ θεοπρεπῶς γενομένη, καὶ τῶν δύο φύσεων ἰδιότητα ἀκρατῶς διαφυλάξασα· καὶ ἀπαθὴς μὲν ὁ Θεὸς Λόγος καὶ ἄτρεπτος, παθητὸς δὲ ὁ ναὸς, καὶ τῷ θανάτῳ πρὸς ὀλίγον παραδοθεὶς, καὶ πάλιν τῇ δυνάμει τοῦ ἐνοῦντος Θεοῦ ἐγερθείς. Καὶ τὸ Πνεῦμα τὸ ἅγιον οὐκ ἐξ Υἱοῦ ἢ δι' Υἱοῦ τὴν ὕπαρξιν ἔχον, ἀλλ' ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, ἴδιον δὲ (τοῦ Υἱοῦ), ὡς ὁμοούσιον, ὀνομαζόμενον. Ταύτην τὴν ὀρθότητα ἐν τοῖς γράμμασι θεασάμενοι καὶ ἐναντία ἐκ διαμέτρου τοῖς ἤδη πρότερον γραφεῖσιν εὑρόντες; ὑμνήσαμεν τὸν τὰς ψελλιζούσας γλώσσας ἰατρεύοντα, καὶ τὸν ἀπηχῆ φθόγγον εἰς ἰδέαν ἠχὴν μεταῤῥυθμίζοντα. » Τούτων

(1) Joan. xvi, 15.
(2) Mon., πληρωφορίαν.
(3) Sic Marc. Mon., ἐφρόνη.
(4) Hæc epistola exstat in Synodico adversus tragœdiam Irenæi, cap. 93. Mansi, Concil. t. V, p. 876.
(5) Mon., φύσις.
(6) Mon., ἀσύγχητος.

(*a*) Hisce utitur et Allatius, Vindic. Syn. Eph., c. 25, p. 169.

ἀκηκοὼ, ἤδη ὁ μακάριος Κύριλλος, ὡς συκοφαντούμενος τοιάδε γράφει πρὸς τὸν Εὐσέβιον (1)· ἡ δ' ἀρχὴ τῆς ἐπιστολῆς οὕτως ἔχει· « Τὴν μὲν παρὰ τῆς σῆς εὐλαβείας ἐπιστολὴν ἀνέγνων, » καὶ μετὰ βραχέα· « Περιφέρουσι γάρ, ὡς μανθάνω, τινὲς ἐπιστολὰς ὡς πρός με γραφείσας παρὰ τοῦ εὐλαβεστάτου καὶ θεοσεβεστάτου ἐπισκόπου Ἰωάννου· εἰκὸς δὲ αὐτὰς καὶ (2) πεπλασμένας εἶναι ἢ καὶ προσθήκας ἔχειν (3) τοῖς φρονοῦσι τὰ Νεστορίου καθ' ἡδονήν. Ἐγὼ γὰρ κατὰ τὸ δόξαν τῇ ἁγίᾳ συνόδῳ ἐν τῇ Ἐφεσίων μητροπόλει οὐ πρότερον αὐτῷ τὴν κοινωνίαν ἀποδέδωκα, εἰ μὴ ἀνεθεμάτισεν ἐγγράφως τὰ Νεστορίου δόγματα. » Καὶ μετά τινα ὅτι « Οὐδὲν τῶν καθῃρημένων ποιοῦμαι λόγον· ἀλλ' ἐν τούτῳ δεῖ μένειν αὐτοὺς τῷ σχήματι, ἐν ᾧ καὶ σύνεισι· συγκεχώρηκα δὲ τὴν εἰς ἐμὲ γενομένην παρ' αὐτῶν ὕβριν. » Καὶ μετὰ πολλὰ (4)· « Οὔτε γὰρ ἐκ μεταβολῆς πρὸς τὸ οὕτω φρονεῖν ἀφῖγμαι, οὔτε δὲ ἐν τόμῳ ἢ ἐπιστολῇ εἴτε ἐν βιβλίῳ εὑρίσκομαί τι τοιοῦτον ποτὲ εἰρηκώς. Τὸ δὲ συνουσιώσεως ὄνομα οὐδέ τί ποτέ ἐστιν, ἴσμεν ὅλως. Εἰκὸς δὲ τοὺς τοιαῦτα γράφοντας ἐκεῖσε ἀπολογουμένους περὶ τῆς προπετείας τῆς ἐν Ἐφέσῳ καθ' ἡμῶν γενομένης εὐρεσιολογεῖν τοιαῦτά τινα, ἵνα μὴ δοκοῖεν κεκινῆσθαι (5) μάτην. Ἐλέγχει γὰρ αὐτοὺς τὸ συνειδός. Ἀπολογείσθω τοίνυν ἡ σὴ εὐλάβεια τοῖς ἕτερα ἀνθ' ἑτέρων ἐκεῖσε λαλοῦσι· πάντα γὰρ γέγονεν ἀσφαλῶς. » Ὁρᾷς, ὅπως ὁ ἁγιός φησιν, ὅτι *πάντα γέγονεν ἀσφαλῶς;* Καὶ οὔτε ἐν τόμῳ, οὔτε ἐν ἐπιστολῇ, οὔτε ἐν βιβλίῳ τὰ ἐναντία τοῖς δώδεκα κεφαλαίοις ἐξέθετο· ὥστε φανερόν ἐστι τοῖς μὴ ἐθέλουσι τὸ ψεῦδος συνιστᾷν, ὡς τὰ παρὰ τοῦ Θεοδωρήτου εἰρημένα συκοφαντία ἐστὶ πρόδηλος. Οὐδαμῶς γὰρ ἐναντίως καὶ ἐκ διαμέτρου τῶν προτέρων ὁ ἅγιος Κύριλλος πεποίηκεν, ὡς ὁ Κύρου Θεοδώρητος διισχυρίζεται. Καὶ πάλιν ὁ αὐτὸς ἐν τῇ πρὸς Εὐόπτιον οὕτω γράφει κατὰ ῥῆμα· « Κύριλλος τῷ εὐλαβεῖ καὶ ποθεινοτάτῳ ἀδελφῷ καὶ συλλειτουργῷ Εὐοπτίῳ ἐν Κυρίῳ χαίρειν. » Ἐν ταύτῃ φησίν· « Δέδεγμαι καὶ νῦν εἰς πληροφορίαν τῆς ἐνούσης (6) διαθέσεως τῇ σῇ θεοσεβείᾳ, τὸν διαπεμφθέντα μοι τόμον, ὃν συνθεῖναι λέγεται κατὰ τῶν ἀναθεματισμῶν Θεοδώρητος ὁ Κύρου· καλεῖσθαι γὰρ οὕτω φασὶ τὸ πολίχνιον. Ἐντυχὼν δὲ τοῖς ἐγκειμένοις, ἀνέθηκα τῷ Κυρίῳ τὰς (7) ᾠδὰς, οὐ διαλέλοιπα δὲ κἀκεῖνο λέγων· Κύριε, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων καὶ ἀπὸ γλώσσης δολίας. Εὑρίσκω γὰρ ἐμαυτὸν συκοφαντούμενον πανταχῇ (8) καὶ ἐφ' ἑκάστῳ (9) τῶν κεφαλαίων ὑπομένοντα τοῦτο (10). Ἐνγενόηκα δὲ ὅτι καίτοι,

ticulatamque sonum in suavem vocem tradueit (a). Quæ cum audiisset beatus Cyrillus, tanquam calumniis appetitus, hæc scribit in epistola ad Eusebium, cujus initium est : « Epistolam a pietate tua scriptam perlegi, post pauca : Circumferunt enim, ut comperio, quidam epistolas tanquam ad me datas a religiosissimo et pientissimo episcopo Joanne. Verosimile vero est eas fictitias esse vel additamenta habere ad libitum et in favorem eorum qui cum Nestorio sentiunt. Ego enim secundum id quod visum est sanctæ synodo in Ephesiorum metropoli non prius ipsi reddidi communionem, nisi postquam scripto Nestorii dogmata anathematizasset. » Et aliquot interjectis, quod nullam de depositis mentionem facio ; sed in eo oportet ipsos habitu permanere, in quo et erant omnes. Indulsi autem injuriam, quæ in me facta est. » Et post multa : « Neque enim ex inconstantia et mutabilitate ad ita sentiendum deveni, neque in tomo vel epistola sive libro quid ejusmodi unquam locutus reperior. Coessentialionis (sive consubstantiationis), vero nomen neque quid sit omnino novimus ; verosimile autem est eos qui ista scribunt, ibi defensionem instituere de temerario ausu quo Ephesi in nos irruerunt, et inde talia quædam excogitare ac fingere, ne incassum permoti videantur. Arguit enim eos conscientia. Igitur defensionem faciat tua pietas apud eos qui alia pro aliis loquuntur ibi. Omnia enim sine discrimine gesta sunt. » Vides quomodo sanctus dicit ; « omnia sine discrimine gesta esse ? » Et neque in tomo neque in epistola neque in libro, contraria illis duodecim docuit capitulis. Unde liquet iis qui nolunt stabilire mendacium, ea quæ a Theodoreto dicta sunt, calumniam esse manifestam ; nullibi enim contrario atque prioribus opposito modo sanctus egit Cyrillus, ut Cyri Theodoretus asseverat. Ac rursum idem in epistola ad Evoptium, ita ad verbum scribit « Cyrillus religioso et desideratissimo fratri ac comministro Evoptio in Domino salutem. » In hac epistola ait : « Abundantius autem comprobatum est mihi tuæ pietatis erga me studium libro ab te exhibito, quem composuisse dicitur contra anathematismos Theodoretus Cyri episcopus (ita enim oppidulum nuncupari dicunt) ; lectis autem his quæ in eo habentur, gratias Deo egi cum hymnis, sine intermissione illud dicens : Domine, libera animam meam a labiis iniquis et a lingua dolosa. Reperio enim ubique me calumniis impeti, idque

(1) Nomen deest in codd. nostris. Hæc leguntur ep. 54 (Patrol. gr., Ser. I, tom. LXXVII, p. 288).
(2) Gr. ed. ἢ.
(3) Τὰς addunt Cyrilli ed.
(4) L. c. p. 289.
(5) Mon., f. 126 b, κεκοινῆσθαι.
(6) Mon., f. 126 b, ἀνούσης ; Marc., f. 136 b, ἐνούσης.
(7) Χαριστηρίους add. ed. et Allat., qui ista citat Vindic. Syn. Eph., c. 11, p. 33.
(8) Omissa verba εὑρίσκω — πανταχῇ in Mon.
(9) Allat., ἑκάστου.
(10) Hucusque Allat. l. c.

(a) Hac Theodoreti epistola utitur Allatius, Vindic. Syn. Ephes. c. 29, p. 137, c. 13, p. 45, qui eam descripsit ex cod. Vatic. 1431 p. 250, qui idem argumentum per plura capita pertractat.

per singula capita patientem. Intellexi vero, virum istum, licet, ut quidam probe gnari aiunt, non parum ad sermonem quod spectat exercitatus sit et sacrarum litterarum non mediocri scientia locupletatus, tantum abreptum esse ab intelligenda eorum capitulorum vi atque sententia. Quare equidem cæterum puto ac sentio, eum quorumdam cupiditatibus id largitum esse ut ignorasse ea videretur, eum in finem, ut non inelegantur et superflue ac præter rem, verum opportune et congrue convicilis in nos projectis putaretur usus fuisse. Quanquam nihil, ut equidem censeo, difficile et arduum est in iis quæ a nobis dicta sunt, neque intentionem habent difficile assequendam. Quoniam vero necessarium erat nos, licet jam de istis scripserimus, panca quædam et ad ipsum dicere, ne quis nos existimet silentium prætulisse ut condemnatos, breviter, prout licet, me defendam. Oportebat itaque ipsum libris divinitus inspiratis exercitatum, siquidem propositum omnino ipsi erat de divinis nostris mysteriis verba facere, sacrarum litterarum tantum plane meminisse et narrationem ita convenienter sacræ huic materiæ contexere, non vero fabulas nobis obtrudere vetustas atque adeo tritas, » et quæ sequuntur. Manifestum igitur est ex dictis, non aliter sensisse sanctum Cyrillum quam antea exposuerat, ut calumniando scribit Theodoretus, qui ait rectitu linem Ægyptiacarum litterarum se reperisse atque contraria prioribus capitulis, indeque laudasse Deum, qui linguas blæsorum sanat et inarticulatum sonum in suavem vocem traducit. Ipse namque Theodoretus potius non solum blæsus erat, sed et blasphema et impia dicta duodecim capitulis opposuit, quæ etiam sacrosancti Patres in œcumenicis synodis anathemati subjecerunt. Nam tomo tertio actione decima tertia sanctæ sextæ synodi ita scriptum invenies : « Si quis non anathematizat ea quæ Theodoretus scripsit contra rectam fidem sancti Cyrilli, et Ibæ epistolam dictam, atque Theodorum Mopsuestenum et ejus scripta, et si quis non recipit scripta sancti Cyrilli, et maxime quæ scripsit contra Theodorum et Theodoretum, Andream et Nestorium atque eos qui similia his vel ex iis uni senserunt vel sentiunt, anathema sit. » Atque firmus quidem veritatis præco divinorumque dogmatum interpres Cyrillus juxta Ephesiorum petitionem solutiones duodecim æquo numero positorum capitulorum confecit ; Theodoretus vero Cyri etiam usque ad sanctam et œcumenicam quartam synodum extra communionem mansit et non receptus est ab universa Ecclesia ; atque cum in sancta quarta synodo adesset, ac peteret ut sibi una cum cæteris Patribus ingredi liceret, non prius receptus est, quam ex

καθα φασι τῶν γνωρίμων τινὲς, οὐκ ἔξω τριβῆς, τό γε ἦνον εἰς λόγους, ὑπάρχων ὁ ἀνὴρ, συναγγερκὼς δὲ καὶ τῶν ἱερῶν γραμμάτων οὐ μετρίαν εἴδησιν ἀπεκομίσθη τοσοῦτον τοῦ συνιέναι τῶν κεφαλαίων τὴν δύναμιν. Ὥστε με λοιπὸν οἴεσθαί τε καὶ φρονεῖν, ὅτι ταῖς τῶν τινῶν ἐπιθυμίαις τὸ δοκεῖν ἠγνοηκέναι χαρίζεται, ἵνα μὴ ἀκόμψως καὶ περιττῶς, εὐαφόρμως δὲ μᾶλλον ταῖς καθ' ἡμῶν λοιδορίαις κεχρῆσθαι νομίζηται· καίτοι δυσχερὲς ἢ ἅπαντες οὐδὲν, ὡς γε οἶμαι παντελῶς· ἐν τοῖς παρ' ἡμῶν εἰρημένοις ἐστὶν οὔτε μὴν δυσέφικτον ἔχει τὴν προβολήν· ἐπειδὴ δὲ ἦν ἀναγκαῖον καίτοι γεγραφότας ἤδη περὶ τούτων ἡμᾶς ὀλίγα καὶ πρὸς αὐτὸν εἰπεῖν, ἵνα μή τις οἴηται σιωπᾷν ἐλέσθαι κατεγνωσμένους, ποιήσωμαι (1) τὴν ἀπολογίαν βραχυλογήσας ὡς ἔνι. Ἔδει μὲν οὖν αὐτὸν ταῖς θεοπνεύστοις ἐνησκημένον Γραφαῖς, εἴπερ ἦν ὅλως σκοπὸς αὐτῷ, τοὺς περὶ τῶν θείων ἡμῶν (2) μυστηρίων ποιεῖσθαι λόγους, τῶν ἱερῶν γραμμάτων διαμεμνῆσθαι μόνον, ἐξυφαίνειν τε οὕτως ἁγιοπρεπῶς τὴν ἀφήγησιν, καὶ μὴ μύθους ἡμῖν ἀρχαίους καὶ ὀδωδότας παρακομίζειν εἰς μέσον, » καὶ τὰ ἑξῆς (3). Δῆλον οὖν ἐκ τῶν εἰρημένων, ὡς ὁ θεσπέσιος Κύριλλος οὐκ ἄλλως ἐφρόνησεν ἢ ἐξέθετο, καθὼς ὁ Θεοδώρητος συκοφαντῶν γράφει, ὅτι τὴν ὀρθότητα τῶν Αἰγυπτίων γραμμάτων εὑρὼν, καὶ ἀπεναντία τῶν πρώτων κεφαλαίων τὸν ἰατρεύσαντα τὰς ψελλιζούσας γλώσσας καὶ τὸν ἀπηχῆ φθόγγον ματαρυθμίσαντα εἰς ἡδεῖαν ἁρμονίαν ἀνύμνησεν. Αὐτὸς γὰρ μᾶλλον οὐ μόνον ἐψέλλισεν, ἀλλὰ καὶ βλάσφημα καὶ δυσσεβῆ ἀπεναντί τοῖς δώδεκα κεφαλαίοις συνέθετο, ἅπερ καὶ οἱ ἐν ταῖς οἰκουμενικαῖς συνόδοις θεῖοι καὶ ἱεροὶ Πατέρες τῷ ἀναθέματι παρέπεμψαν. Ἐν γὰρ τόμῳ τρίτῳ, πράξει τρισκαιδεκάτῃ τῆς ἁγίας ἕκτης συνόδου οὕτως εὑρήσεις· « Εἴ τις οὐκ ἀναθεματίζει τὰ συγγράμματα Θεοδωρήτου τὰ κατὰ τῆς ὀρθῆς πίστεως τοῦ ἐν ἁγίοις Κυρίλλου, καὶ τὴν λεγομένην Ἶβα ἐπιστολὴν καὶ Θεόδωρον τὸν Μοψουεστίας καὶ τὰ συγγράμματα αὐτοῦ, καὶ εἴ τις οὐ δέχεται τὰ συγγράμματα τοῦ ἁγίου Κυρίλλου, καὶ μάλιστα τὰ κατὰ τοῦ Θεοδώρου καὶ Θεοδωρήτου καὶ Ἀνδρέου καὶ Νεστορίου καὶ τῶν τὰ ὅμοια αὐτοῖς καὶ ἑνὸς αὐτῶν πεφρονηκότων ἢ φρονούντων, ἀνάθεμα ἔστω. » Ὁ δὲ (4) γε στερρὸς τῆς ἀληθείας κήρυξ καὶ τῶν θείων δογμάτων ὑφηγητὴς κατὰ τὴν τῶν Ἐφεσίων τὰς ἐπιλύσεις τῶν δώδεκα ἰσαρίθμων κεφαλαίων πεποίηκεν· ὁ δὲ Κύρου Θεοδώρητος μέχρι καὶ τῆς ἁγίας οἰκουμενικῆς τετάρτης συνόδου ἀκοινώνητος ὑπῆρχε καὶ ἀπρόσδεκτος παρὰ πάσης τῆς Ἐκκλησίας· καὶ ἐν τῇ ἁγίᾳ τετάρτῃ συνόδῳ παραγενόμενος καὶ αἰτῶν συνεισελθεῖν τοῖς λοιποῖς Πατράσιν, οὐ πρότερον προσεδέχθη, εἰ μὴ ἐκ τοῦ Ῥώμης τοῦ μακαρίου Λέοντος ἐπιστολὰς ἐπεφέρετο· οἱ γὰρ τῆς συγκλήτου ἄρχοντες ἔλεγον, ὅτι ὁ βασιλεὺς κελεύει

(1) Monac., ποιήσωμεν.
(2) Mon., μυστηρίων ἡμῖν.
(3) Hucusque ep. 84 ad Evopt. Patrol. gr. ser. t. LXXVI. p. 385.
(4) Verba Ὁ δὲ — οὕτως εἰσεδέχθη adducit Allat. De syn. Phot. p. 265.

μὴ συνεισελθεῖν Θεοδώρητον· οἱ δὲ τοποτηρηταὶ τοῦ Ῥώμης ἔφησαν, ὡς ὁ Ῥώμης κελεύει συνεισελθεῖν, καὶ οὕτως εἰσεδέχθη (1). Καὶ τί δεῖ διεξιέναι καθ' εἱρμὸν, πάντων σχεδὸν τὰ τῆς τετάρτης συνόδου εἰδότων, ἐν οἷς καὶ ταῦτα ἀνάγραπτά εἰσιν; Ἡ δὲ ἐξήγησις τοῦ ἐνάτου κεφαλαίου οὕτως ἔχει· « Ἄνθρωπος γεγονὼς ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ ἐπιμεμένηκε καὶ οὕτω Θεὸς, πάντα ὑπάρχων ὅσα καὶ ὁ Πατὴρ δίχα μόνου τοῦ εἶναι Πατήρ· καὶ ἴδιον ἔχων τὸ ἐξ αὐτοῦ καὶ οὐσιωδῶς ἐμπεφυκὸς αὐτῷ Πνεῦμα ἅγιον εἰργάζετο τὰς θεοσημείας· ὥστε καὶ ἄνθρωπος γεγονὼς μεμένηκε καὶ οὕτω Θεὸς, ὥστε ἰδίᾳ δυνάμει ἐπεπλήρου τὰ θαύματα, » καὶ τὰ ἑξῆς. Ὅτι δὲ τὰ τοῦ Θεοδωρήτου κεφάλαια πάντα τῷ ἀναθέματι παρέπεμψαν, ἐν οἷς καὶ τὸ ἔννατον, ἀναγκαῖόν ἐστι τὰ παρὰ τῶν ἁγίων οἰκουμενικῶν ἐκθεῖναι συνόδων εἰς δήλωσιν τῆς ἀληθείας. Ἐν γὰρ τόμῳ ἑβδόμῳ, πράξει τεσσαρεσκαιδεκάτῃ, περὶ τῶν Θεοδωρήτου συγγραμμάτων μέμνηται καὶ ἀναθέματι καθυποβάλλει αὐτὰ ἡ προειρημένη ἕκτη ἁγία σύνοδος· καὶ ἐν τόμῳ ὀγδόῳ, πράξει ἑπτακαιδεκάτῃ (2), ἀπαριθμοῦσα πάσας τὰς αἱρέσεις (3) καὶ καθ' ὧν συνεθροίσθησαν, ἐπιφέρει πρὸς ταύταις καὶ τῇ τελευταίᾳ τούτων πέμπτῃ συνόδῳ τῇ ἐνταῦθα συναθροισθείσῃ κατὰ Θεοδώρου τοῦ Μοψουεστίας, Ὠριγένους, Διδύμου τε καὶ Εὐαγρίου καὶ τῶν συγγραμμάτων Θεοδωρήτου κατὰ τῶν δώδεκα κεφαλαίων τοῦ αἱδεσίμου Κυρίλλου· καὶ μετὰ τὸ ἐν Νικαίᾳ ἱερὸν καὶ θεῖον σύμβολον ἔτι δὲ καὶ τὸ ἐν Κωνσταντινουπόλει συντάττει καὶ τὰ γράμματα τοῦ Κυρίλλου μετὰ τῶν λοιπῶν ἁγίων. Καὶ πολλάκις εὑρήσεις ἐν ταύτῃ τῇ ἁγίᾳ συνόδῳ τὰ τοῦ Θεοδωρήτου κεφάλαια ἀναθέματι καθυποβληθέντα, μετὰ τῶν ἄλλων αἱρετικῶν. Ἐν τῇ ἁγίᾳ ἑβδόμῃ συνόδῳ μετὰ τὸ ἀναθεματίσαι Νεστόριον, Εὐτυχέα καὶ Διόσκορον, καὶ ἑτέρους ἐπιφέρει αὐτῇ καὶ τὰ συγγράμματα Θεοδωρήτου, ἃ κατὰ τῶν ὀρθῶν δώδεκα κεφαλαίων τοῦ ἐν ἁγίοις Κυρίλλου συνεγράψατο. Ἀρκετὸν τοίνυν ἐστὶ καὶ ἐκ τούτων δεῖξαι, ὡς τὰ τοῦ Κυρίλλου κεφάλαια οὐδέποτε μετεποιήθησαν, ἀλλὰ καὶ σεπτὰ ἡγήσαντο οἱ ἐν ταῖς οἰκουμενικαῖς συνόδοις (Πατέρες) καὶ σεβάσμια καὶ τῇ ἀληθεῖ πίστει τῶν ὀρθοδόξων σύμφωνα, τὰ δὲ κατ' αὐτῶν τοῦ Θεοδωρήτου οὐ μόνον ἐξύμφωνα, ἀλλὰ καὶ δυσσεβῆ. Διο καὶ τῷ ἀναθέματι παρεπέμφθησαν.

A Romano Pontifice beato Leone epistolas proferret. Nam senatus præsides dixerunt : Imperator vetat, ne simul ingrediatur Theodoretus ; legati vero Romani fati sunt, papam Romanum jubere ut ingrediatur ; atque sic admissus fuit. Et quid opus est secundum factorum seriem ea prosequi, cum fere omnes acta quartæ synodi noverint, in quibus et hæc consignata sunt? Explanatio vero noni anathematismi sic se habet : « Homo factus Dei unigenitus Filius mansit et sic Deus, omnia exsistens, quæcunque Pater sola paternitate excepta, et proprium habens eum, qui ex ipso est et essentialiter ipsi inest, Spiritum sanctum divina prodigia operatus est. Unde et homo factus mansit etiam sic B Deus, unde propria virtute complevit miracula, » et quæ sequuntur. Quod vero omnia Theodoreti capitula, in quibus est et nonum anathemati subjecerunt, necessarium est, quæ a sanctis et œcumenicis synodis dicta sunt, in veritatis manifestationem proponere. Etenim tomo septimo actione decima quarta de Theodoreti libris mentionem facit, eosque anathemati subjicit præfata sancta sexta synodus, et tomo octavo actione decima septima omnes hæreses enumerans contra quas synodi congregatæ sunt (*a*), inferi ad has et postremam earum quintam synodum hic congregatam contra Theodorum Mopsuestenum, Origenem, Didymum, Evagrium et scripta Theodoreti adversus duodecim capitula venerandi Cyrilli et post sacrosanctum Symbolum C Nicææ editum etiam Constantinopolitanum adjungit, atque Cyrilli epistolas et scripta cum cæteris sanctis. Et pluries reperies in hac sancta synodo Theodoreti capitula anathemati subjecta cum cæteris hæreticis. In sancta septima synodo post anathema dictum Nestorio, Eutychi et Dioscoro atque reliquis, eadem adjicit etiam scripta Theodoreti, quæ contra rectam fidem continentia duodecim capitula Cyrilli inter sanctos viventis exaraverat. Sufficiens igitur est vel ex his ostendere Cyrilli capita nunquam immutata vel retractata fuisse, verum et veneranda ac sacra esse Patribus in œcumenicis synodis congregatis atque veræ orthodoxorum fidei consonantia, ea vero, quæ contra ipsa conscripsit Theodoretus, non solum a veritate dissona, verum D etiam omnino impia ; propterea etiam anathemati subjecta fuerunt.

ΕΦΕΣΟΥ.

Δῆλον γὰρ ὡς ἔνθα μεσιτείαν αἰτιώδη δηλοῖ ἡ *διὰ* καὶ τὸ προσεχὲς αἴτιον, ὡς οἱ Λατῖνοι βούλονται, πάντως ἰσοδυναμεῖ τότε τῇ *ἐκ*, καὶ ἡ ἑτέρα τῆς ἑτέρας τὴν χρῆσιν ἀντιλαμβάνει, ὡς τὸ *Ἐκτησάμην ἄνθρωπον διὰ τοῦ Θεοῦ* ταυτὸν τῷ ἐκ Θεοῦ· καὶ *ὁ ἀνὴρ διὰ γυναικὸς*, τουτέστιν ἐκ γυναικός. Ἔνθα

EPHES. (VI).

Manifestum enim est, ubi mediationem causalem præpositio *per* denotat atque causam contiguam, quemadmodum Latini volunt prorsus eam æquivalentem esse præpositioni *ex* et alteram alterius usum vicissim recipere ; sicut illud : *Possedi hominem per Deum*, idem est atque *ex Deo* et *vir*

(1) Cf. Conc. Chalc. act. I ; Mansi, t. VI, p. 590 seq.

(2) Mansi Conc. t. XI, p. 652, 653, sess. 18.

(3) Vel legendum συνόδους vel καὶ post αἱρέσεις delendum ac supplendum : καθ' ὧν αἱ σύνοδοι συνῆλθ.

(*a*) Vel, omnes synodos enumerans, et contra quos (hæreticos) congregatæ fuere.

per mulierem, hoc est *ex muliere*. Ubi igitur præpositio *ex* rejecta et exclusa est, liquet etiam, una cum ea causam rejectam esse et exclusam. Relinquitur ergo, ut ita ex Patre per Filium procedere Spiritus sanctus dicatur secundum theologiæ implicitæ modum, eo sensu quo Spiritus ex Patre procedens per Filium manifestari vel cognosci vel effulgere vel apparere intelligitur. « Hoc enim, inquit magnus Basilius, hoc cognoscitivum suæ secundum hypostasin proprietatis habet signum, quod post Filium et cum Filio cognoscitur et quod ex Patre subsistit. » Hoc itaque et dictio *per Filium* sibi vult, nimirum cum Filio cognosci. Neque enim alia quædam proprietas Spiritus sancti ad Filium hoc loco assignata est, quam quod cum ipso cognoscitur, et non alia quædam ad Patrem, quam quod ex ipso subsistit.

A τοίνυν ἡ ἐκ ἀπηγόρευται, δῆλον ὅτι καὶ ἡ αἰτία ταύτῃ συναπηγόρευται. Λείπεται ἄρα τὸ (1) ἐκ Πατρὸς δι' Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον οὕτω λέγεσθαι κατὰ τὸν τῆς συνειπτυγμένης θεολογίας τρόπον, ὡς ἐκ Πατρὸς ἐκπορευόμενον δι' Υἱοῦ φανεροῦσθαι ἢ γνωρίζεσθαι ἢ ἐκλάμπειν ἢ πεφηνέναι νοεῖσθαι. « Τοῦτο γάρ, φησὶν ὁ μέγας Βασίλειος (2), « γνωριστικὸν τῆς κατὰ τὴν ὑπόστασιν ἰδιότητος σημεῖον ἔχει τὸ μετὰ τοῦ Υἱοῦ (3) σὺν αὐτῷ γνωρίζεσθαι, καὶ ἐκ τοῦ Πατρὸς ὑφεστάναι. » Τοῦτ' ἄρα καὶ τὸ *διὰ τοῦ Υἱοῦ* βούλεται τὸ μετ' αὐτοῦ γνωρίζεσθαι. Καὶ γὰρ οὐκ ἄλλη (4) τις ἰδιότης ἀποδίδοται τοῦ Πνεύματος ἐνταῦθα πρὸς τὸν Υἱόν, ἢ τὸ μετ' αὐτοῦ γνωρίζεσθαι, καὶ οὐκ ἄλλη τις πρὸς τὸν Πατέρα, ἢ τὸ ἐξ αὐτοῦ ὑφεστάναι (5).

B

APOLOGIA.

Divus Cyrillus in explanatione sua in prophetam Joel et divus Epiphanius præpositionem *ex* a Filio non removent, verum et mediationem edicunt Sancti et præpositionem *ex* potius confitentur. Ille enim : « Qua ratione, inquit, est Deus et ex Deo secundum naturam Filius (namque ex Deo et Patre generatus est), proprius ipsius et in ipso et ex ipso est Spiritus sanctus, quemadmodum scilicet ex (de) ipso Deo et Patre intelligitur. Et homo factum Dei Verbum permansit, et sic Deus, omnia exsistens, quæcunque et Pater, exceptis duntaxat paternitate, et proprium habens Spiritum sanctum, qui ex ipso est et ipsi essentialiter inest (*a*). » Et Epiphanius : « Quo modo nemo novit Patrem, nisi Filius, neque Filium nisi Pater, ita audeo dicere, quod neque Spiritum, nisi Pater et Filius, a quo procedit et a quo accipit, neque Filium vel Patrem nisi Spiritus sanctus vere clarificans, omnia docens, qui est a Patre et ex Filio. » Atque Chrysostomus, sermone in incarnationem Domini nostri Jesu Christi, et in illud : *Cuiris regioni præfecti sunt angeli :* « Venit Christus ad nos, dedit nobis Spiritum, qui ex ipso est, et assumpsit nostrum corpus (*b*). Item Nyssenus :

C

ΑΠΟΛΟΓΙΑ.

Ὁ θεῖος Κύριλλος ἐν τῇ εἰς τὸν προφήτην Ἰωὴλ ἐξηγήσει καὶ ὁ θεῖος Ἐπιφάνιος τὴν ἐκ ἐπὶ τοῦ Υἱοῦ οὐκ ἀπαγορεύουσιν, ἀλλὰ καὶ μεσιτείαν λέγουσιν οἱ ἅγιοι καὶ τὴν ἐκ ὁμολογοῦσι μᾶλλον. Ὁ μὲν γάρ φησιν· « Ἢ (6) μὲν γὰρ ἔστι Θεὸς καὶ ἐκ Θεοῦ κατὰ φύσιν ὁ Υἱὸς (γεγέννηται γὰρ ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς), ἴδιον αὐτοῦ τε καὶ ἐν αὐτῷ καὶ ἐξ αὐτοῦ τὸ Πνεῦμά ἐστι, καθάπερ ἀμέλει καὶ ἐξ (7) αὐτοῦ νοεῖται τοῦ Θεοῦ καὶ Πατρός (8). Καὶ ἄνθρωπος γεγονὼς ὁ τοῦ Θεοῦ Λόγος μεμένηκε καὶ οὕτω Θεὸς, πάντα ὑπάρχων ὅσα καὶ ὁ Πατὴρ, δίχα μόνου τοῦ εἶναι Πατὴρ, καὶ ἴδιον ἔχων τὸ ἐξ αὐτοῦ καὶ οὐσιωδῶς ἐμπεφυκὸς αὐτῷ Πνεῦμα ἅγιον (9). » Καὶ Ἐπιφάνιος· « Ὃν τρόπον οὐδεὶς ἔγνω τὸν Πατέρα εἰ μὴ ὁ Υἱὸς, οὐδὲ τὸν Υἱὸν εἰ μὴ ὁ Πατὴρ, οὕτω τολμῶ λέγειν ὅτι οὐδὲ τὸ Πνεῦμα, εἰ μὴ ὁ Πατὴρ καὶ Υἱὸς, παρ' οὗ ἐκπορεύεται καὶ παρ' οὗ λαμβάνει, οὐδὲ τὸν Υἱὸν ἢ τὸν Πατέρα, εἰ μὴ τὸ Πνεῦμα τὸ ἅγιον τὸ δοξάζον ἀληθῶς τὸ διδάσκον πάντα, ὁ παρὰ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ (10) ». Καὶ ὁ Χρυσορρήμων ἐν τῷ εἰς τὴν ἐνανθρώπησιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ εἰς τὸ *ἐκάστῳ κλίματι ἐφεστήκεσαν ἄγγελοι* · « Ἦλθεν ὁ Χριστὸς εἰς ἡμᾶς, ἔδωκεν ἡμῖν τὸ ἐξ αὐτοῦ Πνεῦμα, καὶ

D

(1) Τὸ, quod omittit Mon. 27, f. 128 b, legit Mon. 256, f. 124 a.

(2) Basil. ep. 38, a'. 43, ad Gregor. fratrem de discrimine usiæ et hypost., n. 4.

(3) Μετὰ τὸν Υἱόν legunt Basilii codices et scriptores plurimi. Vide Petav. de Trinit. l. VII, c. 6, n. 3. Sane hæc lectio præferenda videtur, quia μετὰ τοῦ Υἱοῦ et σὺν τῷ Υἱῷ tautologiam constituunt. Videndum Gregorii responsum.

(4) Mon. 27 et 256, ἀλη.

(5) Ad marg. cod. Monac. 27 est nota, quæ postremam hanc propositionem verbotenus repetit.

(6) Marc. ἦ vel ἦν.

(7) Mon. habet ἐπ'.

(8) Locus sæpissime allegatus, v. gr. a Niceph. Blem. orat. 2, n. 9; a Becco De un. Eccl., n. 28, Epigr. II; a Georgio Metochita contra Manuel. Cret. et a J. Plusiadeno in dial. (Gr. orth., t. I, p. 50, 138; II, p. 525, 1016; I, p. 634).

(9) Eadem Cyrilli verba paucis vocibus diversa jam ad superius Ephesii caput Gregorius noster dedit.

(10) Epiphan. Ancor. n. 16, 9; Camater. c. 126, 127 (Gr. orth., t. II p. 481 seq.). Bece. De un. Eccles n. 28 (Gr. orth., I, p. 142, 143.)

(*a*) Notum est, Græcos Patres ex lectione textus Deuteron. xxxii, 8, ipsis adoptata, ut ex Dan. x, 13, 20, communiter docere variis regionibus angelos præstitutos esse. Vide Gregorium Naz. orat. 28, n. 3, p. 521, orat. 42, n. 9, 27, p. 755, 768, ed. Clem.; Theodoret. q 3, in Genes.; Theodorum Studitam, orat. 1, in SS Angelos, c. 2 (Mai, Nova PP. Bibl. t. V, II, p. 3); et Photium in Amphiloch. quæst. q. 161.

(*b*) Vid. de hoc testimonio, cujus tamen authentia suspecta est, Petavium de Trinitate, l. VII, c. 3, n. 19. Verba *ex ipso* legerunt Beccus, De un. Eccl. (Gr. orth. t. I. p. 139), Manuel Calecas, Josephus Methonensis, aliique plurimi.

ἀνελίξετο τὸ ἡμέτερον σῶμα. » Καὶ ὁ Νύσσης· A « Τὸ μὲν γὰρ προσεχῶς ἐκ τοῦ πρώτου (1), τὸ δὲ διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου· ὥστε καὶ τὸ μονογενὲς ἀναμφίβολον ἐπὶ τοῦ Υἱοῦ μένειν, καὶ τὸ ἐκ τοῦ Πατρὸς εἶναι τὸ Πνεῦμα μὴ ἀμφιβάλλειν, τῆς τοῦ Υἱοῦ μεσιτείας καὶ ἑαυτῷ τὸ μονογενὲς φυλαττούσης, καὶ τῆς φυσικῆς πρὸς τὸν Πατέρα σχέσεως (τὸ Πνεῦμα (2)) μὴ ἀπειργούσης. » Δῆλον οὖν, ὅτι ἡ ἐκ οὐκ ἀπηγόρευται, ὡς αὐτός φησι, καὶ μεσιτείαν ἐνταῦθα δηλοῖ ἡ διά· ὡς γὰρ διὰ τοῦ προσεχῶς λέγοντος ἐκ τοῦ πρώτου. Εἰ δὲ ὁ θεῖος Δαμασκηνὸς τὴν ἐκ ἀπαγορεύει διὰ τοὺς προειρημένους λόγους, ἀλλ' ἑπομένως τὴν διὰ ἐπιφέρει, τὴν τοῦ Νεσιορίου καὶ Εὐνομίου κακοδοξίαν ἐκτρεπόμενος. Ἔνθα γὰρ τὴν ἐκ ἀπαγορεύει, ἐκ τοῦ Υἱοῦ λέγων οὐ λέγομεν, ἀλλὰ διὰ τοῦ Υἱοῦ ὁμολογοῦμεν ἐπιφέρει. Εἰ δὲ τὸ διὰ τοῦ Υἱοῦ τὸ μετὰ τοῦ Υἱοῦ ἐβούλετο ὁ ἅγιος, οὐδαμοῦ δὲ τῶν ἑαυτοῦ λόγων τοῦτο τέθεικε, πάνυ θαυμαστόν γε δοκεῖ καὶ παράδοξον, καὶ ταῦτα πολλάκις τῇ διὰ τῷ πιστικῷ τούτῳ ῥήματι χρώμενος· ἀλλὰ καὶ πλέον μᾶλλον σοφιστοῦ ἢ ἀσόφου ἐποίει οὗτος ὁ ἅγιος, εἰ τὴν μετὰ πρόθεσιν νοῶν τὴν διὰ ἐτίθει. Οἱ μὲν γὰρ σοφισταὶ ὁμωνύμους φωνὰς τιθέασιν, ἵνα συμπεράνωσιν οὐκ ἀναγκαῖα, ἀλλὰ κατὰ βούλησιν· οἱ δὲ ἄσοφοι ἄλλας κατ' ἄλλων λέξεις προφέρουσιν. Ὁ δὲ ἅγιος οὗτος καὶ σοφὸς ὢν καὶ θεολόγος, καὶ τὰ Εὐνομίου καὶ Νεστορίου καὶ Θεοδωρήτου ἀναγνούς, καὶ μήτε ἐκ μόνου τοῦ Υἱοῦ δεχόμενος τὸ Πνεῦμα τὸ ἅγιον, καθὼς ὁ (3) Εὐνόμιος ἔλεγε μήτε C ἐκ μόνου τοῦ Πατρὸς, καθὼς ὁ Νεστόριος ἐφρόνει καὶ Θεοδώρητος, καὶ ἐκ Πατρὸς δι' Υἱοῦ θεολογῶν τὸ ἅγιον Πνεῦμα ἐκπορεύεσθαι, εἰ τὴν διὰ τιθεὶς ἀντὶ τῆς μετὰ καὶ σὺν ἐννόει, καὶ πλέον σοφιστοῦ ἐποίει· ὃ πόῤῥω τῆς ἁγίας καὶ ἀνεπιλήπτου ἐν πᾶσι ψυχῆς ἐκείνου. Ἀλλὰ καὶ ἃ προφέρει ὁ αἰδέσιμος Ἐφέσου συμβιβάζων διὰ παραδειγμάτων, ὡς ἰσοδυναμοῦσαν τῇ διὰ τὴν ἐκ, μᾶλλον ἡμῖν συμφωνεῖ ἢ αὐτῷ φρονοῦντι τὴν διὰ ἀντὶ τῆς μετὰ καὶ σὺν, ὅπερ οὐδεὶς τῶν ἁγίων εἴρηκεν οὕτως ἐπὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος· καὶ ἣν συνεπτυγμένην θεολογίαν εἶναι φάσκει, τὸ δι' Υἱοῦ ἐκπορεύεσθαι, δηλονότι τὸ δι' Υἱοῦ φανεροῦσθαι ἢ γνωρίζεσθαι ἢ ἐκλάμπειν ἢ πεφηνέναι, τοῦτο ἡ Ἐκκλησία οὐ κηρύττει. Εἰ γὰρ τὴν εἰς τὸν κόσμον καὶ μόνον ψανέρωσιν δηλοῖ, καὶ οὐ δι' ἐκείνου ἐστὶ τὸ Πνεῦμα τὸ ἅγιον, πέφηνε δὲ αὐτὸ καὶ ἐκ τοῦ Πατρὸς, μὴ λεγέσθω (4) καὶ ἐκ τοῦ Πατρὸς εἶναι. Ἐν γὰρ τῷ περὶ τοῦ Πνεύματος λόγῳ ὁ μέγας Βασίλειός φησι· « Τὸ Πνεῦμα τὸ ἅγιον οὐδὲν ἔχον ἐπίκτητον ἐν ἑαυτῷ, ἀλλ' ἀϊδίως πάντα ἔχον, ὡς Πνεῦμα Θεοῦ καὶ ἐξ αὐτοῦ πεφηνός (5). » Τὸ δὲ *Οὐκ ἄλλη τις ἰδιότης τοῦ Πνεύματος πρὸς τὸν Υἱὸν ἢ τὸ μετ' αὐτοῦ γνωρίζεσθαι* οὐχ ὡς ὁ μέγας Βασίλειος λέγει, οὕτως ἐξέθετο καὶ αὐτός· ὁ γὰρ θεῖος Βασί-

« Aliud enim est proxime ex primo, aliud vero per id quod proxime exprimo; adeo ut Unigeniti ratio absque dubio in Filio permaneat et ex Patre esse Spiritum nemini sit dubium, Filii mediatione et ipsi Unigeniti rationem conservante et Spiritum a naturali ad Patrem habitudine minime arcente. » Itaque manifestum est præpositionem *ex* non amoveri (a Filio), quemadmodum ipse contendit, atque mediationem hic denotare præpositionem *per*, cum dicat *per id quod proxime ex primo*. Si vero divus Damascenus præpositionem *ex* removet propter eas, quas antea diximus, rationes, attamen consequenter præpositionem *per* infert, evertens malam Nestorii atque Eunomii opinionem; ubi enim præpositionem *ex* removet iis verbis : *Ex Filio Spiritum non dicimus*, infert tamen : *per Filium eum confitemur*. Quod si autem hic Sanctus *per Filium* idem esse ac *cum Filio* voluit, nullibi vero in suis scriptis hoc posuit, valde mirandum id videtur atque peregrinum, præsertim cum sæpe utatur præpositione *per* eadem casus forma; verum et multo amplius quam sophista vel insipiens homo fecisset iste sanctus, si præpositionem *cum* intelligens, tamen *per* posuisset. Etenim Sophistæ æquivocas voces ponunt, ut inde concludere possint non necessitate logica sequentia, sed suæ voluntati respondentia; insipientes vero alias pro aliis dictionibus proferunt. At iste sanctus, qui et sapiens et theologus erat atque Eunomii, Nestorii et Theodoreti scripta legerat, æque ex solo Filio procedere Spiritum sanctum, quemadmodum Eunomius dicebat, neque ex solo Patre, quemadmodum Nestorius atque Theodoretus sentiebant, admittens, sed ex Patre per Filium procedere theologica oratione prædicans, si præpositionem *per* ponens eam pro *cum* intellexisset, multo plura quam sophista fecisset; quod longe a sancta atque in omnibus irreprehensibili illius anima alienum est. Sed etiam ea quæ profert venerabilis Ephesi, deducens per exempla propositionem *ex* præpositioni *per* æquivalere, magis nobis concordant, quam ipsi sumenti *per* loco *cum*, quod nemo sanctorum ita dixit de sancti Spiritus processione et quam theologiam implicitam esse ait, per Filium procedere idem esse ac per Filium manifestari vel cognosci vel effulgere vel apparere, hoc Ecclesia minime prædicat. Si enim id denotat in mundum vel solum manifestationem, et Spiritus sanctus non est per Filium, apparuit autem ipse etiam ex Patre, non dicendum erit quoque eum ex Patre esse. Nam in libro *De Spiritu sancto*, magnus Basilius ait : « Spiritus sanctus nihil in se habet ascititium, sed ab æterno omnia possidet uti Spiritus Dei et ex eo apparens. » Quod vero ad ea verba spectat, « Non alia quædam proprietas est

(1) Hoc textu jam ad cap. 1 usus fuerat Noster.
(2) Τὸ Πνεῦμα deest in cod., tamen necessario est ponendum.
(3) Ὁ habet Marc., f. 218 b, omitt. Mon. f. 129 a.
(4) Mon., f. 129 b, μὴ λέγεσθαι.
(5) Eadem Basilii verba apud Beccum Epigr. 13 (Gr. orth., t. II, p. 630).

Spiritus sancti ad Filium quam quod cum eo cognoscitur; » non sicuti magnus Basilius dicit, ita ea ipse proposuit. Nam divus Basilius dicit *post Filium cognoscitur*, ut in vetustissimis exemplaribus reperies. Quod manifestum fit etiam ex aliis libris magni Basilii, qui de ordine theologicam tradit doctrinam et similiter capite decimo septimo eorum quæ scripsit ad Amphilochium : « Quemadmodum igitur, inquit, Filius se habet ad Patrem, ita et ad Filium Spiritus sanctus secundum formam et ordinem in baptismo traditum. Quod si Spiritus una cum Filio collocatur, Filius vero cum Patre, etiam Spiritus cum Patre collocabitur. Et rursum in iisdem : Unus vero etiam est Spiritus sanctus per unum Filium cum Patre conjunctus. Liquet igitur exinde, non scriptum esse : *Cum Filio*, sed : *post Filium et cum ipso Spiritum cognosci*. Cum enim dixisset *post Filium*, ne quis temporis posterioritatem id significare putaret, protinus intulit : *et cum ipso cognosci*, summam unitatem per hoc declarans eorumque inseparabilitatem. Non enim est proprietas spiritus relata ad Filium, quod cum ipso cognoscitur ; nam si hoc esset, etiam magnus Athanasius id edixisset. Sed quid dicit hic in epistola ad Serapionem, cujus initium : « Forsitan miraberis? » « Qualem, inquit, proprietatem Filii ad Patrem cognovimus, talem ad Filium habere Spiritum reperiemus, et quemadmodum Filius dicit : *Omnia quæcunque habet Pater, mea sunt*, ita et hæc omnia per Filium in Spiritu esse reperiemus. » Verum et illud quod divus Gregorius Nyssenus dicit, « Illud enim est proxime ex primo, hoc vero per id quod proxime ex primo » non consonat venerabilis Ephesii effato illo : « Non alia quædam proprietas est Spiritus sancti ad Filium, nisi quod cum ipso cognoscitur. »

λιος *μετὰ τὸν Υἱὸν καὶ σὺν αὐτῷ γνωρίζεσθαι* φάσκει, ὡς ἐν τοῖς παλαιοτάτοις τῶν βιβλίων εὑρήσεις. Καὶ ὅῆλον καὶ (1) ἐξ ἄλλων μὲν λόγων τοῦ μεγάλου Βασιλείου περὶ τάξεως θεολογοῦντος, ὡσαύτως δὲ καὶ ἐν τῷ ἑπταικαιδεκάτῳ κεφαλαίῳ τῶν πρὸς Ἀμφιλόχιον φάσκοντος· « Ὡς τοίνυν ἔχει ὁ Υἱὸς πρὸς τὸν Πατέρα, οὕτω καὶ πρὸς τὸν Υἱὸν τὸ Πνεῦμα κατὰ τὴν ἐν τῷ βαπτίσματι παραδεδομένην τοῦ Λόγου σύνταξιν. Εἰ δὲ τὸ Πνεῦμα τῷ Υἱῷ συντέτακται, ὁ δὲ Υἱὸς τῷ Πατρὶ, καὶ τὸ Πνεῦμα τῷ Πατρὶ δηλονότι (2). » Καὶ πάλιν ἐν τοῖς αὐτοῖς· « Ἓν δὲ καὶ τὸ ἅγιον Πνεῦμα δι' ἑνὸς Υἱοῦ τῷ Πατρὶ συναπτόμενον (3). » Δῆλον οὖν ἐντεῦθεν, ὡς οὐ *μετὰ τοῦ Υἱοῦ*, ἀλλὰ *μετὰ τὸν Υἱὸν* γέγραπται, *καὶ σὺν αὐτῷ γνωρίζεσθαι*. Εἰπὼν γὰρ *μετὰ τὸν Υἱὸν*, ἵνα μή τις ὑστεροχρονίαν νομίσῃ, εὐθὺς ἐπιφέρει· *καὶ σὺν αὐτῷ γνωρίζεσθαι*, τὴν ἄκραν ἕνωσιν (4) διὰ τούτου δηλῶν καὶ τὸ ἀχώριστον· οὐ γὰρ ἰδιότης τοῦ Πνεύματος πρὸς τὸν Υἱὸν τοῦ μετ' αὐτοῦ γνωρίζεσθαι· εἰ γὰρ τοῦτο ἦν, καὶ ὁ μέγας Ἀθανάσιος ἔλεγεν ἄν. Ἀλλὰ τί φησιν οὗτος ἐν τῇ πρὸς Σεραπίωνα ἐπιστολῇ, ἧς ἡ ἀρχή· « Ἴσως θαυμάσεις. Οἷαν γὰρ ἐγνωμεν ἰδιότητα τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα τοιαύτην ἔχειν τὸ Πνεῦμα πρὸς τὸν Υἱὸν εὑρήσομεν, καὶ ὥσπερ ὁ Υἱὸς λέγει, *Πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστιν*, οὕτω καὶ ταῦτα πάντα διὰ τοῦ Υἱοῦ εὑρήσομεν ὄντα ἐν τῷ Πνεύματι. » Ἀλλὰ καὶ ὃ λέγει ὁ Θεῖος Γρηγόριος ὁ Νύσσης (5), « Τὸ μὲν γὰρ προσεχῶς ἐκ τοῦ πρώτου, τὸ δὲ διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου, » οὐ συμφωνεῖ τῷ εἰρημένῳ παρὰ τοῦ αἰδεσίμου Ἐφέσου, τῷ « Οὐκ ἄλλη τις ἰδιότης τοῦ Πνεύματος πρὸς τὸν Υἱὸν, ἢ τὸ μετ' αὐτοῦ γνωρίζεσθαι. »

EPHES. (VII).

Si itaque proprium accurate cum eo, cujus est proprium, convertibile sit necesse est, non ergo aliam habitudinem ad Filium habet Spiritus sanctus, nisi quod cum ipso cognoscitur, sicut ad Patrem, quod ex ipso subsistit. Non igitur ex Filio subsistit vel esse habet Spiritus sanctus. Nam quid prohibuit, quominus per Filium procedere diceretur Spiritus sanctus eo modo quo per Filium omnia dicuntur esse facta ? Sed illud quidem dicitur præpositione *per* loco *ex* accepta, hoc vero nullo modo. Neque invenire quis ullibi poterit *per Filium* dici absque Patris mentione, sed *ex Patre per Filium* dicitur. Hoc autem causam non necessario tribuit Filio. Idcirco et dictio *ex Filio* prorsus non invenitur et perspicue proscribitur.

ΕΦΕΣΟΥ.

Εἰ τοίνυν τὸ ἴδιον ἀκριβῶς ἀντιστρέφειν ἀνάγκη πρὸς τὸ οὗ ἐστιν ἴδιον, οὐκ ἄρα σχέσιν ἑτέραν πρὸς τὸν Υἱὸν ἔχει τὸ Πνεῦμα τὸ ἅγιον, ἢ τὸ μετ' αὐτοῦ γνωρίζεσθαι, καθάπερ πρὸς τὸν Πατέρα τὸ ἐξ αὐτοῦ ὑφεστάναι. Οὐκ ἄρα ἐκ τοῦ Υἱοῦ ὑφέστηκεν, οὐδὲ τὸ εἶναι ἔχει τὸ Πνεῦμα τὸ ἅγιον. Ἐπεὶ τί ἐκώλυε δι' Υἱοῦ ἐκπορεύεσθαι λέγειν τὸ Πνεῦμα τὸ ἅγιον, ὥσπερ δι' Υἱοῦ τὰ πάντα γεγενῆσθαι λέγεται; Ἀλλ' ἐκεῖνο μὲν λέγεται τῆς *διὰ* κειμένης; ἀντὶ τῆς *ἐκ*, τοῦτο δὲ οὐδαμῶς. Οὐδ' ἂν εὕροι τις οὐδαμοῦ κείμενον οὕτω χωρὶς τοῦ Πατρὸς, ἀλλ' *ἐκ Πατρὸς δι' Υἱοῦ* λέγεται· τοῦτο δὲ τὴν αἰτίαν οὐκ ἐξ ἀνάγκης τῷ Υἱῷ δίδωσι· διὰ τοῦτο καὶ τὸ ἐξ Υἱοῦ παντελῶς οὐχ εὕρηται καὶ καθαρῶς ἀπηγόρευται.

APOLOGIA.

Si itaque proprium secundum veram doctrinam, ut et ipse honorandus iste vir exponit, cum eo cujus proprium est convertibile sit necesse est;

ΑΠΟΛΟΓΙΑ.

Εἰ τοίνυν τὸ ἴδιον κατὰ τὸν τῆς ἀληθείας λόγον, ὡς καὶ αὐτὸς ὁ τίμιος ἐκτίθησιν, ἀναγκαῖόν ἐστιν ἀντιστρέφειν πρὸς τὸ οὗ ἐστιν ἴδιον, ἔστι δὲ τὸ

(1) Καὶ omitt. Monac., habet Marcianus codex.
(2) Eadem apud Becc., Epigr. 4, l. c., p. 552. 553.
(3) Apud Beccum l. c., p. 553, ut ex cap. 18.
(4) Sic recte Marc. ; Monac. f. 129 b, Ἕννωσιν.
(5) Marc., f. 219 a, Νυσσαέων.

Πνεῦμα τὸ ἅγιον ἴδιον τοῦ Υἱοῦ, καθὼς παρὰ τῶν τῆς Ἐκκλησίας διδασκάλων θεολογεῖται, ἀνάγκη καὶ ἀντιστρέφειν. Ἀλλὰ δεῖ πρῶτον ἐκθεῖναι τὸ ποσαχῶς λέγεται τὸ ἴδιον μετὰ καὶ μικρᾶς διασαφήσεως, εἶτ' εὐθὺς ἅψασθαι τοῦ προκειμένου. Τὸ ἴδιον ἢ μόνῳ μὲν ὑπάρχει τῷ εἴδει, οὐ παντὶ δὲ, ὡς τὸ γεωμετρεῖν ἀνθρώπῳ, ἢ παντὶ μὲν τῷ εἴδει ὑπάρχει, οὐ μόνῳ δὲ, ὡς τὸ ὀπτὸν παντὶ ἀνθρώπῳ, ἀλλὰ καὶ ἑτέροις εἴδεσιν, ἢ ὅπερ παντὶ μὲν καὶ μόνῳ, οὐκ ἀεὶ δὲ, ὡς τὸ ἐν γήρᾳ πολιοῦσθαι, ἢ μόνῳ καὶ (1) παντὶ καὶ ἀεὶ, ὡς τὸ γελαστικὸν, κατὰ τὸ πεφυκέναι (2)· τοῦτο δὲ πάλιν τετραχῶς· ἀπὸ τῆς διοργανώσεως, ὡς τὸ πλατυώνυχον, ἀπὸ τῆς ἐνεργείας, ἢ ἐπὶ τὰ ἄνω τοῦ πυρὸς πρόοδος, ἀπὸ τῆς δυνάμεως, ὡς κατὰ τὴν θερμαντικὴν δύναμιν ὑπερβάλλει τὰ ἄλλα τὸ πῦρ, ἀπὸ τῆς ποιότητος, ὡς τὸ γελαστικὸν ἐν ἀνθρώπῳ. Ἀλλὰ ταῦτα μὲν εἴρηται εἰς (3) εἴδησιν τοῦ ποσαχῶς λέγεται τὸ ἴδιον. Ἔστι δὲ ἀληθῶς ἴδιον τοῦ Υἱοῦ τὸ Πνεῦμα, ὡς οἱ διδάσκαλοι θεολογοῦσι. Φησὶ γὰρ ὁ Κύριλλος· « Εἴ τις τὸν ἕνα Κύριον Ἰησοῦν Χριστὸν δεδοξάσθαι παρὰ τοῦ Πνεύματος ὡς ἀλλοτρίᾳ δυνάμει τῇ δι' αὐτοῦ χρώμενον καὶ παρ' αὐτοῦ λαβόντα τὸ ἐνεργεῖν δύνασθαι κατὰ πνευμάτων ἀκαθάρτων καὶ τὸ πληροῦν τὰς θεοσημείας, καὶ οὐχὶ δὴ μᾶλλον ἴδιον αὐτοῦ τὸ Πνεῦμά φησι, δι' οὗ καὶ ἐνήργησε τὰς θεοσημείας, ἀνάθεμα ἔστω (4). » Καὶ ἐν τῇ ἐπιλύσει τοῦ κεφαλαίου τούτου κατὰ τὴν τῶν Ἐφεσίων ἀξίωσίν φησιν· « Ἴδιον ἔχων τὸ ἐξ αὐτοῦ καὶ οὐσιωδῶς ἐμπεφυκὸς αὐτῷ Πνεῦμα ἅγιον (5). » Καὶ ἡ ἁγία πρώτη (6) σύνοδος διὰ Λεοντίου φησίν· « Εὕρηται τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορευόμενον μὲν ἐκ τοῦ Πατρὸς, ἴδιον δὲ τοῦ Υἱοῦ καὶ ἐξ αὐτοῦ ἀναβλύζον (7). » Καὶ Κύριλλος ἐν τῇ πρὸς Νεστόριον *τὸ ἐξ αὐτοῦ καὶ ἴδιον αὐτοῦ* τίθησιν (8). Ἀπεδείχθη οὖν μάλα περιφανῶς, ὡς ἐξ αὐτοῦ τοῦ Υἱοῦ καὶ ἴδιον αὐτοῦ τὸ Πνεῦμα τὸ ἅγιόν ἐστι (9), καὶ σχέσιν πρὸς τὸν Υἱὸν ἔχει, καὶ Πνεῦμα αὐτοῦ ἐστι, καθὼς καὶ ὁ ἐκ Δαμασκοῦ θεῖος Ἰωάννης ἐν τῷ ἑβδόμῳ τῶν θεολογικῶν φησι « Δεῖ καὶ τὸν Λόγον Πνεῦμα ἔχειν (10). » Διὸ καὶ πρὸς τὸν οὗ ἐστι Πνεῦμα ὡς εἰς πνέοντα ἡ προβολὴ ἀναφέρεται (11), καὶ πνέων ἔχει αὐτὸ ὁ Υἱός· ὡς καὶ Ἀθανάσιος ὁ μέγας φάσκει· « Τοῦτο τὸ χρῖσμα πνοή ἐστι τοῦ Υἱοῦ (12), καὶ ὁ θεῖος Ἐπιφάνιος· « Τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ πνέει (13). » Οὐκ ἄρα τὸ μετ' αὐτοῦ γνωρίζεσθαι ἔχει πρὸς τὸν Υἱὸν τὸ Πνεῦμα τὸ λέγεσθαι ἴδιον, ὡς αὐτὸς βούλεται ὁ (14) αἰδέσιμος Ἐφέσου,

A est autem Spiritus sanctus proprius Filii, quemadmodum ab Ecclesiæ doctoribus traditur, necesse est et convertibilis sit. Verum oportet primum explanare, quotupliciter dicatur proprium cum parva quoque explicatione, deinde statim præsentem materiam attingere. Proprium vel soli inest speciei, non vero omni, ut geometria homini, vel omni quidem speciei adest, non vero soli, velut bipedem esse homini, sed et aliis speciebus; vel quod omni et soli speciei inest, non vero semper, ut canescere in senectute, vel soli et omni et semper, veluti risibilem esse secundum naturam; hoc autem rursum quadrupliciter ab organisatione velut latis unguibus esse, ab operatione velut progressio ignis ad superna, a virtute, velut: secun-
B dum virtutem calefaciendi ignis cæteris rebus præstat, vel a qualitate, ut risibile in homine. Sed ista dicta sunt, ut sciatur, quotuplici modo dicatur proprium. Est autem vere proprius Filii Spiritus sanctus, ut doctores docent ac prædicant. Ait namque Cyrillus: « Si quis unum Dominum Jesum Christum glorificatum esse dicit a Spiritu, quasi aliena usum ea virtute, quæ per ipsum est, et accepisse ab ipso facultatem operandi contra immundos spiritus et adimplendi divina signa, et non potius proprium ipsius Spiritum dicit, per quem et divina signa operatus est, anathema sit. » Et in resolutione et explanatione hujus capitis facta secundum Ephesiorum rogationem, dicit: « Pro-
C prium habens Spiritum sanctum, qui ex ipso est et essentialiter ipsi inest. » Atque sancta prima synodus per Leontium (*a*) « Invenitur, inquit, Spiritus sanctus procedere quidem ex Patre, proprius vero esse Filii et ex eo emanans. » Rursum Cyrillus in epistola ad Nestorium Spiritum qui ex ipso et ipsius proprius est ponit. Demonstratum ergo est valde perspicue, ex ipso Filio et proprium Filii esse Spiritum sanctum, eumdem habitudinem ad Filium habere et ipsius Spiritus esse, sicut et divus Joannes Damascenus capitum theologicorum septimo ait: « Oportet ut Verbum Spiritum habeat. » Idcirco et ad eum, cujus Spiritus
D est, ut ad spirantem vel productorem refertur, et spirans eumdem habet Filius; sicut et Athanasius magnus ait: « Unctio hæc spiramen Filii est; » ac divus Epiphanius: « Spiritus ex Patre et ex Filio spirat. » Non ergo quod cum ipso cognoscitur, ratio est cur Filii proprius dicatur Spiritus,

(1) Καὶ ponit Marc., omitt. Monac.
(2) Πεφηκέναι Monac.
(3) Εἰς omitt. Monac.
(4) Anath. 9 jam supra ad cap. 5 productus.
(5) Cap. 5 pariter prolatus textus.
(6) Monac. α' (η' in marg).
(7) Iisdem verbis noster Gregorius utitur ad imp. Trapez., n. 20 (Gr. orth., t. I, p. 464, 465), sicut et Becc. De un. Eccl., n. 16 (ib. p. 106).
(8) Idem locus citatur a nostro loco superiori nota citato.
(9) Ἐστὶ deest in Monac., habet Marcianus.
(10) Damasc. F. O. l. c. 7.
(11) Codd. ἀναφαίρεται.
(12) Ep. ad Serap. epigr. 9 (Gr. orth. t. II, p. 608).
(13) In Ancorato epigr. 1 (ibid. p. 532).
(14) ὁ add. Monac., quod in Marc. recte deest.

(*a*) Acta hæc apocrypha esse nemini hodie dubium est. Citantur tamen a Nicephoro quoque Blemmida, orat. 1, n. 19 (Gr. orth., t. I, p. 25) tanquam a Leontio Cæsareæ episcopo nomine Nicæni concilii conscripta, eoque pariter titulo a Becco epigr. 1 (Gr. orth., t. II, p. 525).

ut ipse venerandus Ephesi antistes vult, sed quod A
refertur ad Filium ut ad spirantem, cum spiramen
ipsius sit secundum magnum Athanasium. Quod
vero spectat ad illud (Marci) : « Quid prohibuit
quominus per Filium procedere, » et cætera, et hoc
valde bene venerabilis iste adjunxit. Etenim novit
et ipse, prepositionem *per* poni loco præpositionis
ex ; atque nos ad hoc etiam ex sanctis testimonia
proferemus opportuna et idonea, quæ a doctoribus
et a divina pagina præpositionem *per* vice præpo-
sitionis *ex* usurpari probant. Nam sanctus Atha-
nasius adversus dicentes, differre inter se *ex quo* et
per quod, multa inducit ex evangelicis, apostolicis
ac propheticis libris, testimonia, ostendens, idem
esse *ex quo* et *per quod*. Basilius vero in compen- B
diosa ad Amphilochium oratione hoc pacto rem
explanat et ait : « Neque enim solum in theologia
harum vocum usus variat, verum etiam ea quæ
ab his significantur, sæpe numero invertuntur,
quoties altera alterius recipit significationem, ve-
luti *Possedi hominem per Deum*, idem dicendo
ac si diceretur *ex Deo*. » Atque ex quibus divus
Athanasius, ex ilsdem sine discrimine testimonia
protulit divinæ Scripturæ declarantia præposition-
nem *per* sumi pro *ex* magis necessario ; conse-
quenter vero etiam sacer Cyrillus, in epistola ad
Nestorium, cujus initium *Nugantur, sicut comperio*,
dicit necessarium esse confiteri Filium etiam se-
cundum carnem natum esse *per mulierem* ; et post C
pauca, *Factus est*, inquit, *secundum nos ex mu-
liere*. Et sæpe in hac epistola alternantes et com-
mutatas præpositiones quis reperiet, sanctumque
hunc modo præpositione *per* modo *ex* tanquam
æquivalentibus utentem. Inclytus autem Maximus
in dialogis cum Anomœo : « Puris omnia pura ;
apud nos secundum Scripturæ mentem *Per quem*
idem est ac si diceret *Ex quo* ; certe dicit Paulus ;
Fidelis Deus, per quem vocati estis in ministerium. »
Ac divus Chrysostomus, homilia quinquagesima
prima in Evangelium secundum Matthæum : « So-
let enim illud *per hoc* usurpare Scriptura vice dic-
tionis *ex hoc*, ut cum dicit : *Possedi hominem per
Deum* non secundam, sed primam causam exprime-
ns. Et rursum : *Nonne per Deum horum mani-* D
festatio est ? et quæ sequuntur. Manifestum est
itaque, præpositionem *per* idem valere ac præpo-
sitionem *ex*, ut et ipse hic venerabilis vir posuit
et nos adhuc magis per sanctos ipsi concordavimus,
cum multi sint et magni, qui perspicue tradunt præ-
positionem *per* causam significare et æquipollentem
præpositioni *ex*. Neque quis regerere potest, *per*
non significare causam, nisi et sanctum Joannem

ἀλλὰ τὸ ἀναφέρεσθαι εἰς αὐτὸν ὡς πνέοντα πνοὴ ὂν
αὐτοῦ κατὰ τὸν μέγαν Ἀθανάσιον. Τὸ δὲ *τί ἐκώ-
λυε δι' Υἱοῦ ἐκπορεύεσθαι*, καὶ τὰ ἑξῆς ; καὶ
τοῦτο μάλα καλῶς ὁ τίμιος οὗτος συνέταξε. Καὶ γὰρ
οἶδε καὶ αὐτὸς, ὡς ἡ *διὰ* ἀντὶ τῆς *ἐκ* τίθεται, καὶ
ἡμεῖς πρὸς τοῦτο καὶ ἐκ τῶν ἁγίων μαρτυρίας προ-
θήσομεν ἁρμοδίως ἐχούσας, ὡς ἡ *διὰ* ἀντὶ τῆς *ἐκ*
τίθεται παρὰ τῶν διδασκάλων καὶ τῆς θείας Γρα-
φῆς. Ὁ γὰρ ἅγιος Ἀθανάσιος πρὸς τοὺς λέγοντας
τὸ *ἐξ οὗ* καὶ *δι' οὗ* διαφέρει πολλὰς ἐκ τῶν εὐαγ-
γελικῶν καὶ ἀποστολικῶν καὶ προφητικῶν βίβλων
μαρτυρίας εἰσάγει, δεικνὺς ὡς ταυτόν ἐστι τῷ *ἐξ
οὗ* τὸ *δι' οὗ* · καὶ Βασίλειος ἐν τῷ εἰς τὸν Ἀμφι-
λόχιον κεφαλαιώδει λόγῳ οὕτω διασαφεῖ καί φησιν ·
« Ἤδη δὲ καὶ πρὸς τὰ ὑπ' ἀλλήλων σημαινόμενα
πολλάκις ἀντιμεθίσταται ἡ *διὰ* καὶ ἡ *ἐκ*, ὅταν ἡ
ἑτέρα τῆς ἑτέρας σημασίαν ἀντιλαμβάνῃ, οἷον ·
ἐκτησάμην ἄνθρωπον διὰ τοῦ Θεοῦ, ἴσον λέγων
τῷ (1) ἐκ τοῦ Θεοῦ (2). » Καὶ ἐξ ὧν ὁ θεῖος Ἀθανά-
σιος ἀπαραλλάκτως μαρτυρίας προὔφερεν ἐκ τῆς θείας
Γραφῆς δηλούσας, ὡς ἡ *διὰ* ἀντὶ τῆς *ἐκ* ἐκλαμβά-
νεται, μᾶλλον ἀναγκαίως · ἀκολούθως δὲ καὶ Κύ-
ριλλος ὁ (3) ἱερὸς ἐν τῇ πρὸς Νεστόριον, ἧς ἡ ἀρχὴ ·
Καταφλυαροῦσιν, ὡς μανθάνω φησὶν ἀναγκαῖον
ὁμολογεῖν, *ὅτι καὶ γεγέννηται κατὰ σάρκα διὰ
γυναικός* · καὶ μετ' ὀλίγα · *γεγέννηται καθ' ἡμᾶς
ἐκ γυναικός* (4). Καὶ πολλάκις ἐν ταύτῃ τῇ ἐπι-
στολῇ ὑπαλλαττομένας τὰς προθέσεις εὑρήσει τις,
ὁτὲ μὲν τῇ *διὰ*, ὁτὲ δὲ τῇ *ἐκ* ὡς ἰσοδυναμούσας ;
χρώμενον τὸν ἅγιον. Ὁ δὲ κλεινὸς Μάξιμος ἐν τοῖς
πρὸς Ἀνόμοιον (5) διαλόγοις φησί · « Τοῖς καθα-
ροῖς πάντα καθαρά · παρ' ἡμῖν κατὰ τὸν σκοπὸν
τῆς Γραφῆς τὸ *δι' οὗ* ταὐτόν ἐστι τῷ *ἐξ οὗ* · ἀμέ-
λει λέγει Παῦλος · *πιστὸς ὁ Θεός, δι' οὗ ἐκλήθητε
εἰς διακονίαν* (6). » Καὶ ὁ θεῖος Χρυσόστομος ἐν
τῇ τοῦ κατὰ Ματθαῖον (εὐαγγελίου) νδ' ὁμιλίᾳ ·
« Οἶδε γὰρ τὸ *δι' οὗ τὸ ὑφ' οὗ* λέγειν ἡ Γρα-
φὴ, ὡς ὅταν λέγῃ · *ἐκτησάμην ἄνθρωπον διὰ
τοῦ Θεοῦ* οὐ τὸ δεύτερον αἴτιον, ἀλλὰ τὸ πρῶτον
τιθεῖσα · καὶ πάλιν · » *Οὐχὶ διὰ* (7) *τοῦ Θεοῦ ἡ
διασάφησις αὐτῶν ἐστι* (8), καὶ τὰ ἑξῆς. Δῆλον
οὖν, ὡς ἡ *διὰ* πρόθεσις ταυτὸν δύναται τῇ *ἐκ*, ὡς ;
καὶ αὐτὸς ὁ τίμιος τέθεικε, καὶ ἡμεῖς δὲ μᾶλλον
διὰ τῶν Ἁγίων αὐτῷ συνεφωνήσαμεν, πολλῶν ὄν-
των καὶ μεγάλων, οἳ καὶ περιφανῶς τὴν *διὰ* αἰτίαν
σημαίνειν φασὶ καὶ ἰσοδυναμοῦσαν τῇ *ἐκ*. Καὶ οὐ
δύναταί τις ἀντιπεῖν (9), ὡς οὐκ αἰτίαν ἡ *διὰ* σημ-
αίνει, εἰ μὴ καὶ τὸν ἅγιον Ἰωάννην τὸν Χρυσό-
στομον ἀμαθῆ ἐθέλομεν δεῖξαι ῥητῶς τοῦτο λέγοντα.
Εἰ οὖν ἡ *διὰ* ἰσοδυναμεῖ τῇ *ἐκ*, ἐλέγετο δὲ παρὰ τῶν
διδασκάλων κεχωρισμένως τοῦ Πατρικοῦ ὀνόματος
ἢ τῆς Πατρικῆς ὑποστάσεως ἐκπορευόμενον τὸ

(1) Mon., f. 131 a, τῶν.
(2) Contextum accuratius dat Beccus, orat 1 de Un., n. 20 et epigr. 1. (Gr. orth., I, p. 114 ; II, p. 539).
(3) ὁ omitt. Marc., f. 220 b.
(4) Postrema verba ex Marc. cod. dedimus. Textus Cyrilli enucleatius occurrit in Becci epigr. 1.
(5) Marc. ἀνόμιον.
(6) Eadem Maximi verba dat Greg. ad imp. Trapez., n. 5 (Gr. orth., I, p. 427).
(7) Cod. Mon. ἐκ, alias διά.
(8) Idem textus apud Gregor. ad imp. Trapezunt., l. c.
(9) Codd. 2 : ἀντιπεῖν.

ἅγιον Πνεῦμα (1) δι' Υἱοῦ, ὡς αὐτὸς λέγει, οἱ κατὰ τὸν Ἀέτιον καὶ Εὐνόμιον πολλὴν ἂν πάροδον εἶχον· ἐπεὶ καὶ τοῦτο ἦν τὸ βουλόμενον αὐτοῖς δεῖξαι, ὡς ἐκ μόνου τοῦ Υἱοῦ ἐστι τὸ Πνεῦμα τὸ ἅγιον, καὶ Υἱὸν τοῦ Υἱοῦ ἔλεγον, ὡς Ἀθανάσιος μαρτυρεῖ, καὶ πάππον τὸν Πατέρα καὶ ἔχγονον τὸ Πνεῦμα (2) ὥσπερ καὶ ὁ μέγας Βασίλειος ἀπολογούμενος καθὰ καὶ Ἀθανάσιος : « Οὐ διὰ τὸ μὴ εἶναι ἐκ Θεοῦ δι' Υἱοῦ, ἀλλ' ἵνα ἡ Τριὰς μὴ νομισθῇ πλῆθος ἄπειρον, υἱοὺς ἐξ υἱῶν, ὡς καὶ ἐν ἀνθρώποις, ἔχειν ὑποπτευθεῖσα (3), » ἔφησεν. Εἰ οὖν ἁπλῶς καὶ ἀπολελυμένως χωρὶς τοῦ *ἐκ Πατρὸς* δι' Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον παρὰ τῶν διδασκάλων ἐλέγετο, ἐκ μόνου ἂν τοῦ Υἱοῦ ἐπιστεύετο παρὰ τῶν κακοδόξων καὶ ὁμοφρόνων Εὐνομίῳ τῷ λέγοντι *ἐκ μόνου τοῦ Υἱοῦ* καὶ τὴν αἰτίαν τῷ μονογενεῖ μόνῳ τιθέντι. Διὸ καὶ ἀεὶ συνημμένως *ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ* καὶ *ἐκ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ* οἱ Ἅγιοι κηρύττουσί τε καὶ λέγουσι, καὶ *ἐξ ἀμφοῖν οὐσιωδῶς*. Εἰ οὖν οὕτω κηρύττοντες καὶ τὴν *διὰ* οὕτως ἐπιστάμενοι λέγουσιν ὥσπερ τὴν *ἐκ*, πῶς κεχωρισμένως ἐτίθεσαν, ὡς αὐτὸς βούλεται ὁ αἰδέσιμος ἀνὴρ, καὶ πλέον τῶν σοφιστῶν ἢ ἀσόφων ἀξιῶν τοὺς θεολόγους ποιεῖν; Ἀλλὰ τίς ἂν τοῦτο φαίη εὐσεβὴς ἀνὴρ ἐπὶ τῶν μακαρίων καὶ ἁγίων ἐκείνων ἀνδρῶν, οἵτινες πολλοῖς πόνοις καὶ ἱδρῶσι τὰ θεῖα διετράνωσαν καὶ διευκρίνησαν (4) ὡς ἱεροκήρυκες;

A Chrysostomum imperitum declarare velimus, qui ita diserte dicit. Si igitur præpositio *per* æque valet ac *ex*, a doctoribus vero seorsim a nomine Patris vel a paterna hypostasi Spiritus sanctus per Filium procedens diceretur, ut ipse dicit, Aetii et Eunomii asseclæ facilem transitum haberent; quandoquidem et hoc ipsis propositum erat, ut ostenderent, ex solo Filio Spiritum sanctum esse, eumdemque Filii Filium dicebant, ut Athanasius testatur, et Patrem avum atque Spiritum nepotem; quemadmodum et magnus Basilius defensionem instituens, sicut et Athanasius, dixit : « Non quia non est ex Deo per Filium, sed ne Trinitas infinita putetur multitudo, filios ex filiis, ut in hominibus accidit, habere in suspicionem veniens. » Si itaque simpliciter et absolute absque illis verbis *ex Patre* per Filium Spiritus sanctus procedere apud doctores diceretur, ex solo esse crederetur Filio apud male sentientes eademque statuentes cum Eunomio, qui dictionem *Ex solo Filio* usurpabat et (Spiritus sancti) causam soli unigenito tribuebat. Propterea etiam semper conjunctim *ex Patre Filioque* et *ex Patre per Filium* sancti prædicant ac docent atque *ex utroque essentialiter*. Si itaque ita prædicantes atque præpositionem *per* tali pacto intelligentes dicunt, sicut præpositionem *ex* : quomodo seorsim et separatim *per* posuerunt, ut ipse hic venerandus vir contendit, qui et majora quam sophistas vel insipientes attentare theologos statuit? Verum quis unquam hoc diceret religiosus homo de beatis illis sanctisque viris, qui laboribus multis atque sudoribus divina dogmata exposuerunt et dijudicarunt ceu sacri præcones.

B

ΕΦΕΣΟΥ.

Τὰς δὲ τῶν Δυτικῶν Πατέρων καὶ (5) διδασκάλων φωνὰς, αἳ τὴν αἰτίαν τοῦ Πνεύματος τῷ Υἱῷ διδόασιν, οὔτε γνωρίζω (καὶ γὰρ οὐδὲ (6) μετεβλήθησάν ποτε πρὸς τὴν ἡμετέραν γλῶτταν οὐδ' ὑπὸ τῶν οἰκουμενικῶν συνόδων ἐδοκιμάσθησαν) οὔτε παραδέχομαι, τετμαιρόμενος, ὅτι διαφθαρμέναι εἰσὶ καὶ παρέγγραπτοι.

C

EPHES. (VIII).

Dicta vero Occidentalium Patrum atque doctorum, quæ causam Spiritus sancti Filio tribuunt, neque cognosco (neque enim translata unquam sunt in nostram linguam, neque ab œcumenicis synodis probatæ fuerunt (*a*), neque recipio, conjiciens, ea corrupta esse atque supposita.

ΑΠΟΛΟΓΙΑ.

Εἰ οὖν οὐκ ἐδοκιμάσθησαν αἱ τῶν Δυτικῶν (7) ἁγίων Πατέρων φωναὶ, οὐκ ἔδει αὐτοὺς ἁγίους ἀποκαλεῖν οὐ τὰς προκομιζομένας αὐτῶν μαρτυρίας ἐπὶ βεβαιώσει τῶν ὀρθῶν δογμάτων προσδέχεσθαι παρὰ τῶν οἰκουμενικῶν συνόδων, ἀλλ' ἀποστρέφεσθαι ταύτας καὶ ἀποστρακίζειν, διὰ τὸ ἀδοκιμάστους εἶναι, ὡς αὐτὸς νομοθετῶν φάσκει. Τοῦτο δὲ οὐδ' ἐν μιᾷ τῶν συνόδων γέγονε. Προεκομίσθησαν γὰρ

D

APOLOGIA.

Si igitur non probatæ sunt Occidentalium sanctorum Patrum voces, non oportebat eos sanctos appellare, neque testimonia ex iis prolata ad recta dogmata confirmanda recipi ab œcumenicis synodis, verum ea reficere ac procul amandare; propterea quod probata haud fuerunt, quemadmodum iste novus legislator decernit. Hoc autem in nulla synodorum factum est. Producta enim in iis sunt

(1) Marc. τὸ Πν. τὸ ἅγιον.
(2) Athanas. ad Serap., apud Beccum epigr. 45 (Gr. orth., II, p. 639).
(3) Basil. apud Bec. de proc. Sp. sancti c. 1, n. 11, epigr. 1 (ib. I, 243, II, 533).
(4) Mon., f. 131 b : διεκρίνησαν.
(5) Mon., 250 f. 124 b, omitt. πατ. καί.
(6) Mon. 256, οὐ.
(7) Mon., f. 131 b ; Marc., f. 271 a, hoc tantum loco sic habent.

(*a*) Neutrum Marci assertum verum prorsus est. Sæculo XV, præter Gregorii M. scripta jam pridem in Græcam linguam translata, Græce quoque exstabant Augustini libri De Trinitate, Anselmi De process. Spirit. sancti opusculum, aliaque opera Demetrii Cydonii versa. Sunt quidem hæc ex plurimis perpauca, attamen id non omnino est negligendum. Œcumenica vero concilia Latinorum Patrum auctoritatem agnovisse certum est, inter quæ quantum Hilarium, Ambrosium, Augustinum et Leonem eodem quo Græcos Patres ordine recensuit.

testimonia Ambrosii, Hilarii, Leonis et Augustini, et nemo in tantam audaciam prorupit, ut ejusmodi quid eructaret. Quid vero videtur ipsi sancti Maximi epistola dicens, Occidentales Patres dicere etiam ex Filio procedere Spiritum sanctum, quam ipse paulo ante protulit (*a*), ut declararet eos se non Filium causam facientes ostendisse. Quid vero? Nonne amplectitur Photium patriarcham qui id confitetur? Causam vero Latinos negare dicit divus Maximus; potius divus Basilius jam antea hanc negat, ut in superioribus demonstratum est. Namque quæcunque Filius habet, hæc non ex se ipso habet, neque esse, sed ex Patre tum esse tum omnia possidere habet, ut ipse, qui est ipsa veritas, ait: *Omnia quæcunque habet Pater, mea sunt.* Propterea dixi, quia de meo accipiet et annuntiabit vobis. Quod explanans divus Chrysostomus dicit: « De mea scientia accipiet, de iis quæ ego scio. » Patet igitur, ex Filio accipere Spiritum sanctum. Non est ergo alia res Filii scientia et alius Filius, ut divus Cyrillus in Thesauris tradit; Simplex et compositionis expers Deus apud omnes glorificabitur. » Proinde absurdum est de ipso dicere, cum talem habere scientiam, qualem habemus nos. Si enim ipse quidem aliud quidquam est, alia vero præter ipsum scientia, quæ in eo est, compositus erit et non simplex. Quoniam vero simplex est ex confesso, non aliud quidquam præter ipsum exsistit scientia, quæ est in ipso. Nos vero non ita. Sumus enim aliquid secundum essentiam, in essentia vero positam habemus scientiam (*b*). Et divus Athanasius, oratione tertia contra Arianos: « Nam et ipse, inquit, uti dictum est, Spiritum dat et quæcunque habet Spiritus, ea a Verbo habet. » Non aliter ergo habet hæc ex Filio et aliter ex Patre; uti enim sæpius dictum est, omnia ex Patre habet, quod patet ex iis quæ pluries dicta sunt! Patet quoque ex divi Basilii verbis in epistola ad Amphilochium ita dicentes: « Sextum illum apud Matthæum, Pater solus novit diem finis, et apud Marcum, quoniam videtur perspicue etiam Filium dividere ab hac scientia, ita intelligimus: Nemo novit, neque angeli Dei, sed neque Filius cognovisset, nisi nosset Pater, hoc est: causa quod Filius scit, a Patre est, et minime violenta et contorta est hæc expositio ei, qui recta et æqua mente audit. Et post ali-

A Ἀμβροσίου καὶ Ἱλαρίου καὶ Λέοντος καὶ Αὐγουστίνου, καὶ οὐδεὶς εἰς τοῦτο τολμήσας ἦλθεν, ὡς τοιοῦτόν τι ἐρεύξασθαι. Τί δὲ δοκεῖ αὐτῷ ἡ τοῦ ἁγίου Μαξίμου ἐπιστολὴ λέγουσα, τοὺς Δυτικοὺς Πατέρας λέγειν καὶ τοῦ Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον, ἣν μικρὸν πρόσθεν προὔθηκεν ἵν' ἐμφανίσῃ, ὡς οὐκ αἰτίαν τὸν Υἱὸν ποιοῦντας σφᾶς αὐτοὺς ἀπέδειξαν; Τί δ' οὐ στέργει Φώτιον τὸν πατριάρχην τοῦτο ὁμολογοῦντα; Τὴν δ' αἰτίαν ὁ θεῖος Μάξιμος ἀρνεῖσθαί φησι τοὺς Λατίνους· μᾶλλον ὁ θεῖος Βασίλειος πρότερον ταύτην ἀρνεῖται, ὡς προαποδέδεικται. Καὶ γὰρ ὅσα ὁ Υἱὸς ἔχει, οὐκ ἐξ ἑαυτοῦ ταῦτ' ἔχει, οὐδὲ τὸ εἶναι, ἀλλ' ἐκ τοῦ Πατρὸς καὶ τὸ εἶναι καὶ τὸ πάντα ἔχειν, ὡς αὐτὸς αὐτοαλήθεια ὢν ἔφη, *Πάντα ὅσα ἔχει ὁ Πατήρ, ἐμά ἐστι· διὰ τοῦτο εἶπον, ὅτι* B *ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν.* Ὅπερ ὁ θεῖος Χρυσόστομος (1) ἐξηγούμενος ἔφη· « Ἐκ τῆς ἐμῆς γνώσεως, ἐξ ὧν ἐγὼ αὐτὸς οἶδα. » Δῆλον οὖν, ὅτι ἐκ τοῦ Υἱοῦ λαμβάνει τὸ Πνεῦμα τὸ ἅγιον. Οὐκ ἔστι τοίνυν ἡ γνῶσις τοῦ Υἱοῦ ἄλλη καὶ ἄλλος ὁ Υἱός, ὡς ὁ θεῖος Κύριλλος ἐν τοῖς Θησαυροῖς φησιν· « Ἁπλοῦς καὶ ἀσύνθετος ὢν ὁ Θεὸς πρὸς (2) ἁπάντων ὁμολογηθήσεται. » Οὐκοῦν ἄτοπον τὸ λέγειν περὶ αὐτοῦ, τοιαύτην ἔχειν αὐτὸν τὴν γνῶσιν, ὁποίαν ἂν καὶ ἡμεῖς. Εἰ γὰρ αὐτὸς μὲν ἕτερόν τί ἐστιν, ἑτέρα δέ τις πρὸ αὐτὸν ἡ ἐν αὐτῷ γνῶσις, σύνθετός ἐστι καὶ οὐχ ἁπλοῦς· ἐπεὶ δὲ ἁπλοῦς ὁμολογουμένως οὐχ ἕτερόν τι παρ' αὐτὸν ἡ ἐν αὐτῷ γνῶσις. Ἡμεῖς δὲ οὐχ οὕτω, ἐσμὲν γάρ τι κατ' οὐσίαν, ἐν δὲ τῇ οὐσίᾳ κειμένην ἔχομεν τὴν γνῶσιν. Καὶ ὁ θεῖος Ἀθανάσιος ἐν τῷ C κατὰ Ἀρειανῶν τρίτῳ φησίν· « Καὶ αὐτὸς γάρ, ὥσπερ εἴρηται, τὸ Πνεῦμα δίδωσι, καὶ ὅσα ἔχει τὸ Πνεῦμα, ταῦτα παρὰ τοῦ Λόγου ἔχει (3). » Οὐκ ἄλλως οὖν ἔχει ταῦτα ἐκ τοῦ Υἱοῦ καὶ ἄλλως ἐκ τοῦ Πατρός· ὡς γὰρ πολλάκις εἴρηται, πάντα ἐκ τοῦ Πατρὸς ἔχει· καὶ δῆλον ἐκ τῶν πολλάκις εἰρημένων, ἀλλὰ δὴ καὶ ἐκ τῶν τοῦ θείου Βασιλείου ἐν τῇ πρὸς Ἀμφιλόχιον οὕτω φάσκοντος· « Τὸ παρὰ τῷ Ματθαίῳ κείμενον· *Ὁ Πατὴρ μόνος οἶδε τὴν ἡμέραν τοῦ τέλους* (4)· τοῦ δὲ Μάρκου... (5), ἐπειδὴ φανερῶς δοκεῖ καὶ τὸν Υἱὸν ἀπομερίζειν τῆς γνώσεως, οὕτω νοοῦμεν, ὅτι οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι τοῦ Θεοῦ, ἀλλ' οὐδ' ἂν ὁ Υἱὸς ἔγνω, εἰ μὴ ὁ Πατήρ, τουτέστιν D ἡ αἰτία τοῦ εἰδέναι τὸν Υἱὸν παρὰ τοῦ Πατρός· καὶ ἀβίαστός ἐστι τῷ εὐγνωμόνως ἀκούοντι ἡ ἐξήγησις αὕτη (6). » Καὶ μετά τινα· « Οὐδεὶς οἶδεν, οὐδὲ οἱ

(1) Chrys. hom. 78 in Joan.
(2) Πρός, habet Mon., deest in Marc.
(3) Iisdem Athanasii verbis (al. orat. 4) utitur Gregorius noster ad Imp. Trapez., c. 4. et Niceph. Blemmida, orat. 2, c. 6 (Gr. orth., t. I, 424, 44, 45).

(4) Matth., XXIV, 36.
(5) Deest aliquid, fortasse Marc. XIII, 32.
(6) Breviter Basilii textum adumbrat Beccus de process. Spirit. sanct. cap. 12 n. 18 (Gr. orth. t. I, p. 355.)

(*a*) Vide supra cap. 4.
(*b*) Recte Natalis Alexander, Hist. eccl., sæc. IX et X, dissert. 18, prop. 1; « Spiritus sanctus accipit a Filio non aliquid creatum, ut nos accipimus, sed divinum esse, cum nihil aliud possit accipere a Filio in Trinitate SS.; nam omne quod accepit et accipit et accipiet, id æternaliter habet. Et quod Filius a Patre audit, idem est quod scientia; scientia vero in divinis idem est quod esse: et audire a Patre, juxta expositionem Græcorum ac Latinorum Patrum, est accipere essentiam et scientiam a Patre: atque ita Spiritus audiens accipit a Filio, et auditio scientia est, et esse et divina essentia, quæ omnia Spiritus a Filio accipit. » Uberius idem argumentum illustrat Petavius, de Trinitate, l. VII, c. 5, n. 1 seq.

ἄγγελοι τοῦ Θεοῦ, ἀλλ' οὐδ' ἂν ὁ Υἱὸς ἔγνω, εἰ μὴ ὁ Πατήρ. Ἐκ γὰρ τοῦ Πατρὸς ὑπῆρχε δεδομένη ἡ γνῶσις· τοῦτο δὲ εὐφημότατον καὶ θεοπρεπές ἐστι περὶ τοῦ Υἱοῦ λέγειν ὅτι, οὗπερ ἐστὶν ὁμοούσιον, ἐξ αὐτοῦ καὶ τὸ γιγνώσκειν ἔχει. » Καὶ ὁ Νύσσης ἐν τῷ πρὸς Ἀβλάβιον· « Καὶ πάλιν ἀκούσαντες ὅτι *Ὁ Πατὴρ κρίνει οὐδένα* (1), ἡγούμεθα μάχεσθαι πρὸς ἑαυτὴν τὴν Γραφήν. Ὁ γὰρ κρίνων πᾶσαν τὴν γῆν διὰ τοῦ Υἱοῦ, ᾧ πᾶσαν δέδωκε τὴν κρίσιν, τοῦτο ποιεῖ, καὶ πᾶν τὸ παρὰ τοῦ Μονογενοῦς γινόμενον εἰς τὸν Πατέρα τὴν ἀναφορὰν ἔχει. »

qua : « Nemo novit, neque angeli Dei : sed neque Filius cognovisset, nisi novisset Pater. Ex Patre enim data erat scientia. Hoc vero maxime pium ac Deo conveniens est de Filio dicere quod cujus est consubstantialis, ex ipso etiam cognitionem habet (*a*). » Ac Nyssenus libello ad Ablabium : « Et rursum, inquit, audientes, *Pater neminem judicat*, putamus pugnare cum seipsa Scripturam. Nam qui judicat universam terram per Filium, cui omne judicium dedit, hoc facit, et omne quod ab Unigenito fit, id ad Patrem relationem habet. »

ΕΦΕΣΟΥ.

Διά τε πολλῶν ἄλλων καὶ διὰ τοῦ χθὲς καὶ πρώην προενεχθέντος παρ' αὐτῶν βιβλίου τῆς οἰκουμενικῆς ἑβδόμης συνόδου τὸν ὅρον ἔχοντος μετὰ καὶ τῆς ἐν τῷ συμβόλῳ προσθήκης· ὅπερ ἀναγνωσθὲν ὁπόσην αὐτοῖς αἰσχύνην κατέχεεν, ἴσασιν οἱ τότε παρόντες.

EPHÈS. (CAP. IX),

(Id conjicio) tum per multa alia tum per nuper ab illis prolatum volumen septimæ œcumenicæ synodi, definitionem continens una cum additamento in symbolo ; quod cum prælegeretur, quanta eos ignominia asperserit, norunt qui tum præsentes erant (*b*).

ΑΠΟΛΟΓΙΑ.

Εἰ γοῦν αὐτὸς τοῦτο οὐ πέπονθεν, ἔδει αὐτοῖς ἐγκαλεῖν· εἰ δὲ τὸ ἐν Νικαίᾳ τῆς ἁγίας πρώτης συνόδου σύμβολον οἰκείαις χερσὶν ἐν βιβλίῳ γράψας ἄλλως καὶ ἄλλως ἔγραψε καὶ προσθήκην καὶ ὑφαίρεσιν (2) ἔχει, πῶς ἐγκαλεῖ περὶ τούτου, καὶ ταῦτα τῶν Λατίνων ὁμολογούντων ἐς ἀεὶ τὴν ἀνάπτυξιν ἐν τῷ συμβόλῳ πεποιηκέναι ; Εἰ οὖν οὐχ ὁμολόγουν τὴν ἀνάπτυξιν πεποιηκέναι ἐν τῷ συμβόλῳ, καλῶς ἂν ὡς ψευδομένοις καὶ τὰ θεῖα καπηλεύουσιν ἢ παραχαράττουσιν ἐχρῆν ἐγκαλεῖν· εἰ δ' ἐκεῖνοι ἀεὶ τὴν προσθήκην ἔλεγον πεποιηκέναι καὶ τὴν φωνὴν ἐκ τῶν ἁγίων ἔχειν, ὡς καὶ αὐτὸς ὁ τίμιος ἐξ ἁπάντος ὁμολογήσει, ὅτι ἡ φωνὴ ἡ *καὶ ἐκ τοῦ Υἱοῦ* τῶν ἁγίων ἐστί, κατὰ τὰ ὡμολογημένα (3) παρά τε Φωτίου πατριάρχου καὶ τοῦ ἐν ἁγίοις Μαξίμου, τί καινὸν ἡγεῖται, εἰ κατὰ λήθην τοῦ γραφέως ἐγένετο ἐπὶ τὴν συνήθειαν ; καὶ ταῦτα αὐτοῦ τοῦτο παθόντος ἐν τῷ κατὰ Νίκαιαν συμβόλῳ, ὅπου καὶ Κύριλλος ὁ θεσπέσιος εἴρηκεν· « Οὐκ ἐπιτρέπομεν ἑαυτοῖς ἢ ἑτέροις λέξιν ἀμεῖψαι, ἤγουν μίαν παραβῆναι συλλαβήν· » οὗτος δὲ καὶ ἠμείψε καὶ παρέλειψε, ὡς οἶμαι, κατὰ λήθην· πῶς γὰρ ἂν ἄλλως ; Ὅτι δὲ ἐν τῷ κατὰ Νίκαιαν συμβόλῳ ὁ ἅγιος λέγει· « Οὐκ ἐπιτρέπομεν ἑαυτοῖς ἢ ἑτέροις, » φανερόν ἐστιν ἐκ τῶν τῆς ἁγίας τρίτης καὶ οἰκουμενικῆς συνόδου Πραχτικῶν· καὶ γὰρ ἐν πολλαῖς συνελεύσεσι τὸ τῆς

APOLOGIA.

Si quidem ipse hoc non esset passus, potuisset id Latinis exprobrare ; si vero sanctæ primæ synodi Nicææ congregatæ symbolum propriis manibus ipse in libro describens aliter et aliter scripsit, et additionem et detractionem habet, quomodo hac de re Latinos vituperat, præsertim cum ii confiteantur, se explicationem semper in symbolo fecisse? Si itaque non faterentur Latini, se explicationem fecisse in symbolo, recte oportebat eos accusare ut mentientes atque res divinas falsificantes ac corrumpentes ; si vero illi dicebant semper se additionem adjunxisse eamque dictionem ex sanctis habere, ut et ipse honorabilis iste vir omnino confitebitur, eam dictionem *etiam ex Filio* sanctorum esse, secundum confessionem tum Photii patriarchæ tum sancti Maximi, quid novum arbitratur, si secundum scriptoris oblivionem factum est, ut fieri assolet ? præsertim cum ipse hoc passus fuerit in Nicæno symbolo, ubi divus Cyrillus dixit : « Non permittimus nobis vel aliis dictionem mutare vel etiam unam syllabam præterire. » Iste vero permutavit et prætermisit, ut equidem puto, ex oblivione ; quomodo enim aliter id fecisset ? Quod vero circa Nicænum symbolum sanctus dicit : « Non permittimus nobis vel aliis », etc., liquidum est ex Actis sanctæ et œcumenicæ tertiæ synodi. Namque

(1) Joan. v, 22.
(2) Mon. f. 132 b, πρ. ὑφαίρουσιν.
(3) Mon. f. 133 a, ὁμολογημένα.

(*a*) De his Scripturæ locis varie disputant Patres tum Latini tum Græci. Ex Latinis consule Hilarium De Trinit. l. IX, fin., Ambrosium De fide, l. V, c. 8, 16 ; Augustinum, lib. LXXXIII quæst., 9, 60, De Genesi contra Manichæos, c. 22 ; Gregorium M. l. X, epist. 40 ; ex Græcis Gregorium Nazianzenum, orat. 36, p. 558, ed. Bill., et Joan. Damasc. de fide orthod., l. III, c. 21. Vide insuper Petavium, De Trinitate, l. II, c. 3.

(*b*) Alludit ad sessionem Ferrariæ habitam die 16 Oct. a. 1438, de qua Syropulus in Historia unionis ed. Creygthon. a. 1660, p. 171. Ex codice enim perantiquo septimæ synodi Latini ostendere moliebantur, jam tum symbolo vocem *Filioque* additam fuisse. Quod sane verum non erat et a Gemistio Plethone explodebatur. Verum Tarasii epistolam ad Orientales in eadem synodo lectam dictionem *per Filium* exhibuisse, certum est ; et inde argumentum desumi poterat, quo revera cum Nicephoro Blemmida, Becco, Manuele Caleca quam plurimi scriptores usi sunt.

in multis congressibus Nicænum symbolum, idque solum legerunt, nulla prorsus Constantinopolitani mentione facta, ut procedente oratione loco convenienti manifestum reddemus.

ἐν Νικαίᾳ, καὶ μόνον ἀνέγνωσαν, μηδ' ὅλως μνείαν τοῦ ἐν Κωνσταντινουπόλει ποιούμενοι, ὡς προϊόντος τοῦ λόγου ἐν τῷ προσήκοντι τόπῳ φανερὸν ποιήσομεν (1).

EPHES. (CAP. X).

Verum neque contraria œcumenicis synodis et communibus earumdem dogmatibus, sed neque prorsus non consentientia orientalibus doctoribus scripserunt Patres illi, neque iis non cohærentia, sicut per alia multa illorum dicta demonstratur.

ΕΦΕΣΟΥ.

Ἀλλ' οὐδ' ἐναντία ταῖς οἰκουμενικαῖς συνόδοις καὶ τοῖς κοινοῖς αὐτῶν δόγμασιν, ἀλλ' οὐδ' ὅλως ἀσύμφωνα τοῖς ἀνατολικοῖς διδασκάλοις ἔγραψαν οἱ Πατέρες ἐκεῖνοι, οὐδὲ αὐτοῖς ἀνακόλουθα, καθάπερ δι' ἄλλων πολλῶν ἐκείνων ῥητῶν ἀποδείκνυται.

APOLOGIA.

Mirabile quid et peregrinum loquitur venerandus Ephesiorum antistes. Ubinam enim prorsus perspicuum reddere potest, œcumenicas synodos ex solo Patre Spiritum sanctum procedere prædicasse, ex quo per contrarietatem et contradictionem sequitur et necessario concluditur, ex Filio eum non procedere? Existimo enim eum, quamvis multum laboret et sexcenties œcumenicarum synodorum exemplaria pervolvat, nullibi prorsus reperturum dictum, ex solo Patre procedere Spiritum sanctum; item id neque in reliquis doctoribus atque theologis reperiet. Quod si Photius patriarcha dixit, sed animadvertito, Photium non esse in sanctorum numero collocatum, licet una simul et eodem tempore vixerint Photius et Ignatius. Sed hic quidem inter sanctos adnumeratur et die vicesimo tertio Octobris in synaxariis locum habet. Photius vero nullo modo sanctitatis nomen consecutus est, licet operæ pretium fuerit, illius gesta silentio præterire, eo quod in ambone anathemati subjiciuntur, quæ adversus sanctum Ignatium Photiumque scripta sunt (*a*). Si vero quis Thessalonicensem objiciat voce *ex solo* (Patre) utentem, at vero hic quoque in propria confessione, quam Ecclesiæ Christi dedit ostendens, qualem habeat sententiam circa sacrosancta dogmata, istud non adjunxit. Ergo contraria et minime cohærentia non dicunt, ut ipse hic venerandus vir ait.

ΑΠΟΛΟΓΙΑ.

Θαυμάσιόν τι καὶ παράδοξον ὁ αἰδέσιμος Ἐφέσου λέγει. Ποῦ γὰρ ὅλως ἐμφανίσαι ἔχει, ὡς αἱ οἰκουμενικαὶ σύνοδοι ἐκ μόνου τοῦ Πατρὸς ἐκήρυξαν τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι, ᾧπερ ἕπεται ἐναντίως καὶ ἀντιφατικῶς τὸ ἐκ τοῦ Υἱοῦ μὴ (2) ἐκπορεύεσθαι, καί ἐστιν ἀναγκαίως ἀκόλουθον; Οἶμαι γὰρ, ὡς πολλὰ μογήσας καὶ μυριάκις τὰς τῶν οἰκουμενικῶν συνόδων ὑποτυπώσεις διελθών, οὐδαμῆ οὐδαμῶς εὑρήσει τὸ ἐκ μόνου τοῦ Πατρὸς ἐκπορεύεσθαι τὸ ἅγιον Πνεῦμα· ὡσαύτως καὶ τῶν λοιπῶν διδασκάλων καὶ θεολόγων. Εἰ δ' ὁ Φώτιος πατριάρχης εἶπεν, ἀλλ' ὅρα, ὅτι ἐν ἁγίοις οὐ συντέταχται· καίτοι γε ἐν τῷ αὐτῷ τε καὶ ἑνὶ καιρῷ Φώτιος καὶ (3) Ἰγνάτιος· ἀλλ' ὁ μὲν σὺν ἁγίοις τέτακται καὶ ἐν τῇ εἰκοστῇ τρίτῃ τοῦ Ὀκτωβρίου ἐν τοῖς συναξαρίοις μετὰ τῶν ἁγίων συντάττεται· ὁ δὲ Φώτιος οὐδαμῶς τοῖς ἁγίοις συνηρίθμηται, εἰ καὶ δίκαιον τὰ κατ' αὐτὸν παραδραμεῖν διὰ τὸ ἐπ' ἀμβωνος τὰ κατὰ τοῦ ἐν ἁγίοις Ἰγνατίου καὶ αὐτοῦ τοῦ Φωτίου ἀναθεματίζεσθαι (4). Εἰ δὲ τὸν Θεσσαλονίκης εἴποι τις τὸ *ἐκ μόνου* λέγοντα, ἀλλὰ καὶ οὗτος ἐν τῇ οἰκείᾳ ὁμολογίᾳ, ἣν δέδωκε τῇ Ἐκκλησίᾳ Χριστοῦ δεικνὺς, ὁποίαν ἔχει τὴν δόξαν περὶ τὰ ἱερὰ καὶ θεῖα δόγματα, οὐ συνέταξε τοῦτο. Οὐκοῦν ἐναντία καὶ ἀνακόλουθα οὐ λέγουσιν, ὡς αὐτὸς ὁ τίμιος λέγει.

EPHES. (CAP. XI).

Propterea ejusmodi periculosas voces de sancti Spiritus processione rejicio.

ΕΦΕΣΟΥ.

Διὰ τοῦτο τὰς τοιαύτας ἐπικινδύνους φωνὰς περὶ τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως ἀθετῶ.

APOLOGIA.

Quales voces rejicit vir iste honorabilis? An eas, quæ Spiritum dicunt *proprium ipsius*, Filii nimirum, et *ex ipso*? At antea demonstratum est, sanctam tertiam synodum una cum divo Cyrillo potius dicere. An eas quæ dicunt *ex Patre per Filium*? At et istas sancta œcumenica septima synodus cum Athanasio et Basilio aliisque sanctis, qui ante ipsam floruere, deprædicat, et postmodum divus Damascenus. An eas quæ dicunt *ex Patre et ex Filio*? At admodum clare per sanctissi-

ΑΠΟΛΟΓΙΑ.

Ποίας φωνὰς ἀθετεῖ ὁ τίμιος οὗτος; τὰς λεγούσας *Ἴδιον αὐτοῦ*, τοῦ Υἱοῦ δηλονότι, καὶ *ἐξ αὐτοῦ*; Ἀλλὰ τοῦτο προαποδέδεικται ὡς ἡ ἁγία τρίτη σύνοδος μετὰ καὶ τοῦ θεσπεσίου Κυρίλλου μᾶλλον λέγει. Ἀλλὰ τὰς *ἐκ Πατρὸς δι' Υἱοῦ*; Ἀλλὰ καὶ ταύτας ἡ ἁγία οἰκουμενικὴ ἑβδόμη σύνοδος μετὰ Ἀθανασίου καὶ Βασιλείου καὶ ἄλλων ἁγίων τῶν πρὸ ταύτης θεολογεῖ καὶ ἐς ὕστερον ὁ θεῖος Δαμασκηνός. Ἀλλὰ τὰ: *ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ*; Καὶ μάλα τρανῶς διὰ τοῦ ἱεροῦ καὶ θείου Μαξίμου

(1) Mon. f. 133 a, ποιήσωμεν.
(2) Μὴ deest in Monac.; sensus tamen id poscit.
(3) Ὁ addit Allatius, qui a verbis Εἰ δ' ὁ Φώτιος ista adducit contra Creyghton. p. 309.
(4) Hucusque Allatii allegatio, l. c.

(*a*) Hæc pericope ex Allatii versione data.

ἀποδέδεικται, ὡς οἱ τῆς ἑσπέρας ἅγιοι τοῦτο λέγουσιν. Ἀλλὰ τὰς *ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ* καὶ τὰς *ἐξ ἀμφοῖν οὐσιωδῶς*, καὶ ὡς *προχεῖται καὶ πρόεισιν ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον*; Ἀλλ' αὐτὰ Κυρίλλου καὶ τῶν διδασκάλων τῆς Ἐκκλησίας φωναί εἰσιν· ἀλλὰ καὶ τὸν μέγαν Ἀθανάσιον ἀκούομεν λέγοντα τὸν Υἱὸν μείζονα τοῦ Πνεύματος καὶ ἴσον, καὶ πιστεύομεν τοῦτο καὶ ὁμολογοῦμεν. Φησὶ γὰρ ἐν τῷ κατὰ Ἀρειανῶν τρίτῳ, οὗ ἡ ἀρχή· « Αἱ μὲν αἱρέσεις, ὅσαι κατὰ τῆς ἀληθείας·» — « Τοιαῦτα μὲν οὖν τοῖς Ἰουδαίοις ὡς ἄνθρωπος ἔλεγεν ὁ Κύριος· τοῖς δὲ μαθηταῖς τὴν θεότητα καὶ τὴν μεγαλειότητα δεικνὺς ἑαυτοῦ, οὐκ ἔτι ἐλάττονα ἑαυτὸν τοῦ Πνεύματος, ἀλλὰ μείζονα καὶ ἴσον ὄντα σημαίνων ἐδίδου μὲν τὸ Πνεῦμα καὶ ἔλεγεν· Ἐγὼ *αὐτὸ ἀποστελῶ· κἀκεῖνος ἐμὲ δοξάσει, καὶ ὅσα ἀκούσει λαλήσει* (1). » Τὸ οὖν *μεῖζον* ὁ μέγας Βασίλειος εἰς τὰ ἀντιλεγόμενα τῆς Γραφῆς οὕτως ἐξηγεῖται· « Ἢ μεγέθει ἢ χρόνῳ ἢ ἀξιώματι ἢ ὡς αἴτιον μεῖζον λέγεται (2)· » καὶ Γρηγόριος δὲ ὁ Νύσσης ἐν τῷ πρὸς Εὐνόμιον τρίτῳ, οὗ ἡ ἀρχή· « Οὐκ ἦν ἄρα, ὡς ἔοικε, τὸ πάντας ἐθέλειν εὐεργετεῖν, » φησίν· « Εἰ μέν τινα χρονικὴν ἔμφασιν ὑπερτίθει (3) τῆς τοῦ Μονογενοῦς ὑποστάσεως ὁ τὸν Πατέρα τοῦ Υἱοῦ μόνῳ τῷ τῆς αἰτίας λόγῳ προθεωρῶν, εἰκότως ἂν ὁ τῆς ἀϊδιότητος ἡμῖν περὶ τοῦ Υἱοῦ λόγος ἐκινδυνεύετο. » Καὶ μετά τινα· « Ὡς γὰρ συνάπτεται τῷ Πατρὶ ὁ Υἱός, καὶ τὸ ἐξ αὐτοῦ εἶναι ἔχων, οὐχ ὑστερίζει κατὰ τὴν ὕπαρξιν, οὕτω πάλιν καὶ τοῦ Μονογενοῦς ἔχεται τὸ Πνεῦμα τὸ ἅγιον, ἐπινοίᾳ μόνῃ κατὰ τὸν τῆς αἰτίας λόγον προθεωρουμένου τῆς τοῦ Πνεύματος ὑποστάσεως. » Ταῦτα ἡμεῖς πιστεύομέν τε καὶ κηρύττομεν· καὶ εἰ βούλεται ἀθετεῖν, ἀθετείτω· ἐγὼ γάρ, οἶμαι, οὐδ' ἡμᾶς εἴποι ἂν ἄλλως ὁμολογοῦντας, οὐδ' αὐτὸς ταύτας ἀρνήσεται τὰς φωνάς, εἰ τοῖς θείοις ἐθέλει συμφωνεῖν Πατράσιν· ἡμεῖς γὰρ ταῖς τῶν ἁγίων καὶ διδασκάλων θεολογίαις ἐμμένομεν καὶ ὁλοσχερῶς ταύτας κατέχομεν, καὶ τοῖς ἱεροῖς αὐτῶν δόγμασιν ἐξακολουθοῦμεν μηδόλως ἐθέλοντες ἄλλως πιστεύειν, ἢ ὡς οἱ Πατέρες ἐδίδαξαν, οἱ τῆς Ἐκκλησίας φωστῆρες καὶ διδάσκαλοι, τὸ ἀρχαῖον καὶ πατροπαράδοτον δόγμα ἀσφαλῶς κατέχοντες, κἂν ἄλλως οἱ κακολογοῦντες ἡμᾶς λέγωσι καὶ τὰ ἡμέτερα διασύροντες.

A mum Maximum ostensum est, occidentales sanctos ita loqui. An eas quæ dicunt *ex essentia Filii*, quæ *ex ambobus essentialiter*, et quod *profunditur et prodit ex Patre et Filio Spiritus sanctus*? Sed hæc Cyrilli ac doctorum Ecclesiæ locutiones sunt. Verum et magnum Athanasium audimus dicentem, Filium esse Spiritu majorem eique æqualem, et hoc credimus atque confitemur. Ait enim oratione tertia (*a*) contra Arianos, cujus initium : « Hæreses, quæcunque contra veritatem : » — « Talia itaque Judæis dixit Dominus tanquam homo ; discipulis vero deitatem et magnitudinem suam ostentans, non minorem semetipsum Spiritu, sed majorem et æqualem significans elargiebatur Spiritum dicebatque : *Ego eum mittam*, et : *Ille me clarificabit, et quæcunque audiet, loquetur.* » Illud *majus* Basilius Magnus in controversa Scripturæ loca ita exponit : « Vel magnitudine vel tempore vel dignitate vel ut causa majus aliquid dicitur. » Et Gregorius Nyssenus libro tertio (*b*) contra Eunomium, cujus initium : « Fieri, ut videtur, non potest, ut quis de omnibus bene mereatur, » dicit : « Si temporalem quamdam intercapedinem hypostasi Unigeniti anteponeret, qui Patrem sola principii ratione Filio præintelligit, jure censeri posset doctrina de Filii æternitate in periculum vocari. » Et nonnullis interjectis : « Quemadmodum enim Patri Filius conjungitur, et cum ex illo originem ducat, exsistentia tamen posterior non est : ita rursum Spiritus sanctus ad Unigenitum se habet, adeo ut sola cogitatione secundum causæ rationem ipse prius quam Spiritus sancti hypostasis concipiatur. » Hæc nos et credimus et prædicamus ; et si ipse hæc vult repudiare, repudiet ; puto enim equidem, neque nos aliter confitentes dicet, neque has abnegabit voces ipse, si divinis Patribus velit consentire. Nos enim sanctorum doctorumque theologicis institutionibus inhæremus easque ex integro retinemus, et sacra eorum dem dogmata sequimur, nullo prorsus modo aliter credere volentes, quam sicut docuerunt Patres, Ecclesiæ lumina et doctores, dogma antiquum et a majoribus traditum firmiter retinentes, licet aliter dicant ii qui nobis maledicunt ac nostras doctrinas irrisui habent.

B

C

D

ΕΦΕΣΟΥ.

Καὶ συμφωνῶν (4) τῷ ἁγίῳ Δαμασκηνῷ *ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα οὐ λέγω*, κἂν ὁστισοῦν ἕτερος τοῦτο λέγειν δοκῇ.

EPHES. (CAP. XII).

Et concordans sancto Damasceno *ex Filio Spiritum non dico*, licet alius qualiscunque tandem id dicere videatur.

ΑΠΟΛΟΓΙΑ.

Καὶ μάλιστά γε ἡμεῖς τῷ ἁγίῳ Δαμασκηνῷ συμ-

APOLOGIA.

Sancto Damasceno maxime nos in omnibus

(1) Joan. xv, 26 ; xvi, 13, 14.

(2) Confer et alium Basilii locum, l. I c. Eunom. a Constantino Meliteniota, orat. 1, n, 38 (Gr. orth. t. II, p. 750) allatum.

(3) Al. textus habet, ὑπερτίθει.

(4) Ita Monac. 256, f. 124 b; συμφωνῶ habet Mon. 27 f. 134 a.

(*a*) Est oratio prima § 50, ed. Montfaucon. Primam dicit etiam Beccus, qui epigr. 13 (Gr. orth. t. II, p. 630) et alibi eadem plane ratione hunc celeberrimum textum protulit. De quo uberius disputavimus in Animadversionibus ad Photii librum de Spirit. sanct. mystagogia, cap. 4, § 23.

(*b*) Apud Beccum epigr. 1 (Gr. orth. t. II, p. 521), lib. I.

concordamus ejusque theologiam amplectimur. Ex Filio enim Spiritum procedere neque dicimus, neque unquam dicemus, sed ex Patre et ex Filio, atque ex Patre per Filium. Etenim dicere Spiritum sanctum ex Filio, et non præmittere dictionem *ex Patre*, causam principalem esse Filium subindicat, quod Eunomius prædicabat, sicuti dictionem ex *solo Patre* Nestorius. Hic autem sanctus per medium harum duarum suppositionum incedens neque ex Filio dicit, neque ex solo Patre, sed ex Patre per Filium. Atque ex hoc utriusque partis sententiæ conteruntur, quemadmodum in superioribus diffusius explicavimus, neque nunc oportet eadem repetere. Nam formula *ex Filio* utebatur Eunomius, separans inde Spiritum a Patre, ut divus Basilius probat libris suis contra eumdem; dictionem vero *ex Patre per Filium* et *ex Patre et Filio* cum copulativa conjunctione *et* bene ac recte explanat, qui id dicit, paternam hypostasim fontem esse sancti Spiritus, et ex hoc fonte esse Filium sancti Spiritus fontem, sicut magnus Athanasius libro de Incarnatione Verbi ait: « Novit siquidem apud Patrem Filium esse fontem Spiritus sancti. » Ac Gregorius Theologus oratione de Spiritu sancto docet, Patrem oculo, Filium fonti, sanctum vero Spiritum fluvio comparari ac similiter se habere. Ait enim: « Enimvero cum mentis curiositate multum diuque mecum considerassem atque orationem undequaque explorarem, rei tantæ imaginem quamdam exquirens, cui tandem rerum inferiorum divina illa natura comparanda sit, reperire non potui. Quamvis enim exiguam aliquam similitudinem invenerim, major tamen pars me fugit, humique me cum meo exemplo reliquit. Oculum quemdam et fontem ac fluvium mihi proposui, quemadmodum alii quoque, ut viderem, num Pater cum oculo, Filius cum fonte, Spiritus sanctus cum fluvio proportione quadam conveniret. Hæc enim nec tempore discernuntur, nec ob continuitatem a se invicem abrumpuntur, ac tribus insuper proprietatibus quodammodo scindi videntur, » et quæ sequuntur.

φωνοῦμεν ἐν ἅπασι καὶ τὴν αὐτοῦ θεολογίαν ἐνστερνιζόμεθα. Ἐκ τοῦ Υἱοῦ γὰρ τὸ Πνεῦμα ἐκπορεύεσθαι οὔτ' εἴπομεν οὔτε μὴν ἐροῦμεν, ἀλλ' ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ (1), καὶ ἐκ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ. Τὸ γὰρ λέγειν τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ, καὶ μὴ προηγούμενον ἔχειν τὸ *ἐκ τοῦ Πατρὸς*, ἀρχικὸν αἴτιον τὸν Υἱὸν παρεμφαίνει, ὅπερ Εὐνόμιος ἐκήρυττεν, ὥσπερ τὸ *ἐκ μόνου τοῦ Πατρὸς* Νεστόριος. Ὁ δὲ ἅγιος διὰ μέσου τῶν δύο ὑπολήψεων χωρῶν (2) οὔτε ἐκ τοῦ Υἱοῦ λέγει, οὔτε ἐκ μόνου τοῦ Πατρός, ἀλλ' ἐκ Πατρὸς δι' Υἱοῦ· καὶ ἐκ τούτου ἀμφοτέρων αἱ δόξαι συντρίβονται, καθὼς ἐν τοῖς ἔμπροσθεν πλατύτερον διασαφήσαμεν, καὶ οὐ δεῖ τὰ αὐτὰ ἀνακυκλεῖν. Τὸ γὰρ *ἐκ τοῦ Υἱοῦ* Εὐνόμιος ἔλεγεν, ἀφαιρῶν τοῦτο ἀπὸ τοῦ Πατρὸς, ὡς ὁ θεῖος Βασίλειος ἀποδείκνυσιν ἐν τοῖς Ἀντιῤῥητικοῖς· τὸ δὲ *ἐκ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ* καὶ *ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ* μετὰ τοῦ *καὶ* συμπλεκτικοῦ συνδέσμου μάλα καλῶς διασαφεῖ ὁ τοῦτο λέγων, ὡς ἡ πατρικὴ ὑπόστασις πηγή ἐστι τοῦ ἁγίου Πνεύματος, καὶ ἐκ ταύτης τῆς πηγῆς ἐστιν ὁ Υἱὸς πηγὴ τοῦ ἁγίου Πνεύματος, ὡς ὁ Ἀθανάσιος ὁ μέγας ἐν τῷ Περὶ τῆς ἐνσάρκου οἰκονομίας· « Οἶδε γάρ, φησὶ, παρὰ Θεῷ Πατρὶ τὸν Υἱὸν τὴν πηγὴν τοῦ ἁγίου Πνεύματος (3). » Καὶ Γρηγόριος ὁ Θεολόγος ἐν τῷ περὶ τοῦ ἁγίου Πνεύματος λόγῳ τὸν μὲν Πατέρα ὀφθαλμῷ, τὸν δὲ Υἱὸν πηγῇ, τὸ δὲ ἅγιον Πνεῦμα ποταμῷ ἀναλόγως ἔχειν· φησὶ γάρ (4)· « Ὢ; ἐγωγε πολλὰ διασκεψάμενος πρὸς ἐμαυτὸν τῇ φιλοπραγμοσύνῃ τοῦ νοῦ καὶ πανταχόθεν τὸν λόγον εὐθύνας καὶ ζητῶν εἰκόνα τινὰ τοῦ τοσούτου πράγματος, οὐκ ἔσχον, ᾧ τινι χρὴ τῶν κάτω τὴν θείαν φύσιν παραβάλλειν (5)· κἂν γὰρ μικρά τις ὁμοίωσις εὑρεθῇ, φεύγει τὸ πλεῖον, ἀφὲν με κάτω μετὰ τοῦ ὑποδείγματος· ὀφθαλμόν τινα καὶ πηγὴν καὶ ποταμὸν ἐνενόησα (καὶ γὰρ καὶ ἄλλοι) μὴ τῷ μὲν ὁ Πατὴρ, τῷ δὲ ὁ Υἱὸς, τῷ δὲ τὸ ἅγιον Πνεῦμα ἀναλόγως ἔχῃ (6). Ταῦτα γὰρ οὔτε χρόνῳ διέστηκεν, οὔτε ἀλλήλων ἀπέῤῥηκται τῇ συνεχείᾳ, καὶ (7) δοκεῖ πως τρισὶν ἰδιότησι τέμνεσθαι,» καὶ τὰ ἑξῆς.

EPHES. (CAP. XIII).

Neque dico Filium Spiritus sancti causam neque productorem, ne secundum principium in Trinitate et exinde duæ causæ duoque principia intelligantur.

APOLOGIA.

Paulus apostolus atque inclytus Athanasius rationem reddent, ille in epistola ad Thessalonicenses, hic in ejus explanatione oratione secunda contra Arianos. Paulus quidem ait: *Ipse autem*

ΕΦΕΣΟΥ.

Οὔτε λέγω τὸν Υἱὸν τοῦ Πνεύματος αἴτιον οὐδὲ (8) προβολέα, ἵνα μὴ δεύτερος αἴτιος ἐν τῇ Τριάδι, κἀντεῦθεν δύο αἴτιοι καὶ δύο ἀρχαὶ γνωρισθῶσι.

ΑΠΟΛΟΓΙΑ.

Παῦλος ὁ ἀπόστολος σὺν τῷ κλεινῷ Ἀθανασίῳ τὸν λόγον ἀποδώσουσιν, ὁ μὲν ἐν τῇ πρὸς Θεσσαλονικεῖς Ἐπιστολῇ, ὁ δὲ ταύτην ἐξηγούμενος ἐν τῷ κατὰ Ἀρειανῶν δευτέρῳ· ὧν ὁ μέν φησιν· *Αὐτὸς*

(1) Mon. 27, f. 134 a omittit verba ἐκ τοῦ Πατρὸς καί.
(2) Mon. cit. χορῶν.
(3) Levi verborum discrimine idem textus allegatur a Becco in Camat. Animadv. c. 8, et Constantino Meliteniota, orat. 2 n. 37 (Gr. orth. t. II, p. 304, 305, 747), et alias passim.
(4) Greg. Naz. orat. 37, p. 611 ed. Billii, nunc orat. 31. Eo loco utuntur Isaias Cypr. ep. ad Nicol. Scleg.; Constant. Meliten. orat. 1 n. 29; Georg. Metoch. c. Max. Planud. (Gr. orthod. t. I, p. 397, 398; t. II, p. 706, 707, 944).
(5) Παραβαλεῖν in ed. Greg.
(6) Cod. Mon. ἔχειν.
(7) Bill. κἄν.
(8) Monac. 256, f. 124 b omitt. duas voces αἴτιον οὐδέ.

δὲ ὁ Θεὸς Πατὴρ καὶ ὁ Κύριος Ἰησοῦς Χριστὸς κατευθύναι (1) τὴν ὁδὸν ἡμῶν πρὸς ὑμᾶς (2)· τὴν ἑνότητα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐφύλαξεν· οὐ γὰρ εἶπε· κατευθύναιεν (3), ὡς παρὰ δύο διδομένης, παρὰ τούτου καὶ τούτου, διπλῆς χάριτος (4), ἀλλὰ κατευθύναι ἵνα δείξῃ, ὡς ὅτε Πατὴρ καὶ ὁ Υἱὸς (5) δίδωσι ταύτην. » Οὐκοῦν ὥσπερ οὗτοι οἱ ἅγιοι οὐ συναλείφουσι τὸν Πατέρα καὶ τὸν Υἱὸν, οὐδ' ἡμεῖς διὰ τὸ λέγειν ἓν αἴτιον τὸν Πατέρα καὶ τὸν Υἱόν. Ἔτι πέμπει μὲν ὁ Πατὴρ τὸ Πνεῦμα τὸ ἅγιον, πέμπει δὲ καὶ ὁ Υἱὸς, ἀλλ' οὐ δύο εἰσὶν οἱ πέμποντες, ἵνα καὶ δύο ἀρχαὶ νομισθῶσι καὶ δύο τὰ αἴτια. Ἀλλὰ καὶ ὃ λέγει Γρηγόριος ὁ Θεολόγος, « Ἀξίωμα ἔχει ὁ πέμπων πρὸς τὸν πεμπόμενον, » κατὰ τί τὸ ἀξίωμα νοήσομεν? Φησὶ γὰρ ἐν τῷ περὶ τοῦ Πνεύματος λόγῳ (6)· « Ἐρωτήσω τὸν Πατέρα καὶ ἄλλον Παράκλητον πέμψει ὑμῖν, τὸ Πνεῦμα τῆς ἀληθείας (7)· ἵνα μὴ ἀντίθεος εἶναι δόξῃ (8) καὶ ὡς ἀπ' ἄλλης τινὸς ἐξουσίας ποιεῖσθαι τοὺς λόγους· εἶτα· Πέμψει μὲν, ἐν δὲ τῷ ὀνόματί μου· τὸ ἐρωτήσω παρεὶς, τὸ πέμψει (9) τετήρηκεν· εἶτα πέμψω (10) τὸ οἰκεῖον ἀξίωμα· εἶτα ἥξει (11) ἡ τοῦ Πνεύματος ἐξουσία. » Τὸ ἀξίωμα οὖν οὐδὲν ἄλλο λέγεται παρὰ τῶν διδασκάλων ἡ ἀρχὴ, ἡ αἰτία, καθὼς ὁ ἱερὸς Χρυσόστομος ἐν τῇ λθ' ὁμιλίᾳ τοῦ κατὰ Ἰωάννην φησίν· ὥς (τινων) ἀπὸ τῶν Ἀρειανῶν ἐρωτώντων, Καὶ πῶς τῆς αὐτῆς οὐσίας ὁ πέμπων καὶ ὁ πεμπόμενος; ἀποκρίνεται· « Πάλιν ἐπὶ τὰ ἀνθρώπινα καταφέρεις τὸν λόγον, καὶ οὐκ ἐννοεῖς, ὅτι ταῦτα δι' οὐδὲν εἴρηται, ἀλλ' ἵνα καὶ τὸν αἴτιον ζῶμεν, καὶ εἰς τὴν τοῦ Σαβελλίου μὴ καταπέσωμεν (12) νόσον. » Ἀλλά τι καὶ μικρὸν προθῶμεν ἐκ τοῦ θείου Αὐγουστίνου σύμφωνον ὂν περὶ τῆς πέμψεως τῷ τοῦ θαυμασίου Γρηγορίου. Φησὶ γὰρ ἐν τῇ τετάρτῳ βίβλῳ (περὶ (13) Τριάδος) κεφαλαίῳ εἰκοστῷ· « Οὐδὲ γὰρ μάτην τὸ αὐτὸ Πνεῦμα Πατρὸς καὶ Υἱοῦ Πνεῦμα λέγεται, οὔτε μὴν συνορῶ, τί ποτε ἕτερον σημᾶναι ἠβούλετο, ἡνίκα ἐμφυσήσας εἰς τὸ πρόσωπον τῶν μαθητῶν εἶπε· Λάβετε Πνεῦμα ἅγιον· οὐδὲ γὰρ τὸ σωματικὸν ἐκεῖνο ἐμφύσημα σὺν αἰσθήσει τοῦ σωματικῶς θιγγάνειν προῖὸν (14) ἐκ τοῦ στόματος ἡ οὐσία τοῦ ἁγίου Πνεύματος ἦν, ἀλλ' ἔνδειξις διὰ καταλλήλου δηλώσεως, μὴ μόνον ἐκ τοῦ Πατρὸς, ἀλλὰ καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον. » Καὶ μετά τινα· « Καὶ ὅπερ ὁ Κύριός φησιν· Ὃν ἐγὼ ὑμῖν πέμψω παρὰ τοῦ Πατρὸς, δείκνυσι τὸ Πνεῦμα τοῦ Πατρὸς ὂν καὶ τοῦ Υἱοῦ. Καὶ γὰρ εἰπὼν, ὃν πέμψει ὁ Πατὴρ, προσέθηκεν, ἐν τῷ ὀνόματί μου· οὐ μέντοι εἶπεν· Ὃν

A *Deus et Pater et Dominus Jesus Christus dirigat viam nostram ad vos.* (Athanasius vero addit): « His verbis unitatem Patris et Filii servavit. Nam non dixit: *dirigant*, quasi duplex gratia a duobus, nempe ab illo et illo, daretur, sed *dirigat*, ut illam a Patre et Filio dari significaret. » Itaque sicut sancti isti non contraxerunt in unam personam Patrem et Filium, ita nec nos, eo quod dicimus unum principium Patrem et Filium esse. Præterea mittit Pater Spiritum sanctum, mittit enim quoque Filius, sed non duo sunt mittentes, ne duo existimentur principia et duæ causæ. Sed et quod dicit Gregorius Theologus: « Dignitatem habet mittens præ misso, » quomodo in eo dignitatem intelligemus? Ait enim in oratione de Spiritu
B sancto: « *Ego rogabo Patrem, et alium Paracletum mittet vobis, Spiritum veritatis*, quæ quidem verba dixit (Salvator), ne adversarius quisquam Deus esse aut quasi ab alia quadam potestate sermonem facere videretur. Postea *mittet* quidem, inquit, cæterum *in nomine meo*; hic omisso *rogandi* verbo *mittendi* verbum retinuit. Mox dicit: *mittam*, ut propriam dignitatem ostendat; tum denique: *veniet*, quo verbo Spiritus potestas indicatur. » Dignitas igitur apud doctores nihil aliud dicitur, quam principium vel causa, sicut sacer Chrysostomus homilia tricesima nona in Joannis Evangelium ait tanquam quibusdam ab Arianis interrogantibus: Et quomodo ejusdem
C substantiæ sunt mittens et missus? respondet: « Rursum ad humanas res sermonem demittis et non intelligis, hæc ob nihil aliud dici, nisi ut cunsantem videamus, neve in Sabellii morbum incidamus. » Verum brevem quoque textum proferamus ex divo Augustino, qui mirabilis Gregorii verbis circa missionem omnino concordans est. Dicit enim libro quarto (De Trinitate) capite vicesimo: « Neque enim frustra idem Spiritus Patris et Filii Spiritus dicitur. Nec video, quid aliud significare voluerit, cum sufflans in faciem discipulorum ait: *Accipite Spiritum sanctum*. Neque enim flatus ille corporeus cum sensu corporaliter
D tangendi procedens ex ore substantia Spiritus sancti fuit, sed demonstratio per congruam significationem, non tantum a Patre, sed et a Filio procedere Spiritum sanctum. » Et nonnullis interjectis: « Et quod Dominus dicit: *Quem ego mittam vobis a Patre*, ostendit Spiritum Patris esse et Filii. Namque dicendo: *Quem mittet Pater*,

(1) Κατευθῆναι habet Mon. 27 f. 134 b.
(2) I Thessal. 3, 11. Hic excidisse videntur verba: ὁ δὲ ἐξηγεῖται οὕτως, vel similia; sequuntur enim immediate Athanasii verba orat. 3 c. Arianos, n. 11 (Opp. t. I, p. 561, ed. Paris., 1698).
(3) Ed. Athan. κατευθύνοιεν.
(4) Monac. omitt. διπλῆς χάριτος.
(5) Athan. ed. ὅτι ὁ Πατὴρ δι' Υἱοῦ.
(6) Greg. Naz. orat. cit. p. 608 ed. vet.
(7) Joan. xiv, 16, 17.
(8) Τις addunt edita.
(9) Mon., πέμψειν. Locus est Joan. xiv, 26 (cf. xvi, 7).
(10) Joan. xv, 26.
(11) Joan. xvi, 8, 13.
(12) Mon., καταπέσομεν.
(13) Titulum operis omisit Gregorius. Eumdem textum adducit libro ad imp. Trapez. c. 20 (*infra col.* 246).
(14) Marc. f. 224 b, προῖών.

adjecit *in nomine meo;* non tamen dixit : Quem mittet Pater a me quomodo dixit : *Quem mittam vobis a Patre*, ostendens, totius divinitatis, vel ut rectius dicam deitatis Patrem principium esse. » Ac magnus Basilius in sermone *De fide*, cujus est initium : « Dei boni gratia, » versus finem ait : « Neque Spiritu sancto a semetipso faciente quidquam, atque Patre quidem mittente Filium, Filio vero mittente Spiritum sanctum. Ita sentimus, et ita credimus in Trinitatem consubstantialem. » Et libro quinto apostolicarum Constitutionum, capite decimo : « Unum Deum unius Filii Patrem, non plurium unius Paracleti per Christum, aliorum vero ordinum creatorem, unum conditorem, diversæ creaturæ per Christum factorem. » Videlicet utrumque dicitur *per Christum*. Qui igitur dicunt, præpositionem *per* loco *cum* poni, num dicent utrumque hoc in loco cum Christo? Quomodo omnino possunt ista discernere? An vero dicent viros a Spiritu sancto illuminatos hanc theologiam ignorasse et ipsum sapientissimum Clementem? Puto neminem eorum qui veritati adhærent id dicturum.

A πέμψει ὁ Πατὴρ παρ' ἐμοῦ, ὃν τρόπον εἶπεν· *Ὃν πέμψω ὑμῖν παρὰ τοῦ Πατρὸς*, δεικνὺς, ὡς ὅλης τῆς θειότητος (1), ἢ βέλτιον φάναι, ὡς ὅλης τῆς θεότητος ὁ Πατὴρ ἐστιν ἀρχή. » Καὶ ὁ μέγας Βασίλειος ἐκ τοῦ *Περὶ πίστεως* λόγου, οὗ ἡ ἀρχή· « Θεοῦ τοῦ ἀγαθοῦ χάριτι, » περὶ τὸ τέλος φησί· « Μήτε τοῦ ἁγίου Πνεύματος ἀφ' ἑαυτοῦ λαλοῦντος, μήτε τοῦ Υἱοῦ ἀφ' ἑαυτοῦ τι ποιοῦντος, καὶ τοῦ μὲν Πατρὸς πέμποντος τὸν Υἱὸν, τοῦ δὲ Υἱοῦ πέμποντος τὸ ἅγιον Πνεῦμα (2), οὕτω φρονοῦμεν καὶ οὕτω πιστεύομεν εἰς Τριάδα ὁμοούσιον. » Καὶ ἐν τῷ πέμπτῳ βιβλίῳ τῶν ἀποστολικῶν Διατάξεων, κεφαλαίῳ δεκάτῳ· « Ἕνα Θεὸν ἑνὸς Υἱοῦ Πατέρα, οὐ πλειόνων ἑνὸς Παρακλήτου διὰ Χριστοῦ· τῶν δὲ ἄλλων ταγμάτων ποιητήν· ἕνα δημιουργὸν, διαφόρου B κτίσεως (3) διὰ Χριστοῦ ποιητήν. » Ἀμφότερα γάρ φασι *διὰ Χριστοῦ*. Οἱ γοῦν λέγοντες τὴν *διὰ* ἀντὶ τῆς *μετὰ* καὶ *σὺν*, καὶ ἀμφότερα ταῦτα μετὰ Χριστοῦ φήσουσιν ἢ σὺν τῷ Χριστῷ; Πῶς ὅλως ἔχουσι διαστεῖλαι ταῦτα; Ἢ ἠγνοηκέναι φήσουσι τοὺς ὑπὸ τοῦ ἁγίου Πνεύματος ἐλλαμφθέντας (4) τὴν θεολογίαν ταύτην καὶ τὸν σοφώτατον Κλήμεντα; Οἶμαι οὐδένα τῶν τῆς ἀληθείας ἐχομένων τοῦτο ἐρεῖν.

EPHES. (CAP. XIV).

Neque enim essentialis hoc loco causa intelligitur, ita ut communis et in tribus personis exsistat. Et propterea duo principia nullo umquam pacto Latini effugient, quandiu Filium dixerint sancti Spiritus principium. Sed principium personale est et personas distinguens. Igitur secundum ista obsequens sanctis et œcumenicis septem synodis et a Deo illustratis Patribus, qui in iisdem claruerunt, *Credo in unum Deum, Patrem omnipotentem*, et quæ sequuntur in symbolo.

ΕΦΕΣΟΥ.

Οὐδὲ γὰρ οὐσιῶδες ἐνταῦθα τὸ αἴτιον, ἵνα κοινὸν καὶ ἐν *τρισὶ* προσώποις ὑπάρχῃ (5). Καὶ διὰ τοῦτο τὰς δύο ἀρχὰς οὐδαμῇ οὐδαμῶς οἱ Λατῖνοι φεύξονται, μέχρις ἂν τὸν Υἱὸν λέγωσιν ἀρχὴν τοῦ Πνεύματος· ἡ δὲ ἀρχὴ προσωπικόν ὑπάρχει καὶ C διακρῖνον τὰ πρόσωπα. Κατὰ πάντα τοίνυν ἑπόμενος ταῖς ἁγίαις καὶ οἰκουμενικαῖς ἑπτὰ συνόδοις καὶ τοῖς ἐν αὐταῖς διαλάμψασι θεοφόροις Πατράσι « Πιστεύω εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, » καὶ τὰ ἑξῆς τοῦ συμβόλου.

APOLOGIA.

Essentialis, inquit, hoc loco causa non est. Et vere. Nam si esset essentialis, etiam communis foret. Sed neque personale quid est, ut progrediens sermo manifestabit. Quid igitur dicet de Patre et de mittente? Hæc enim non convertuntur et duo sunt; duo ergo erunt per ipsum principia Pater et mittens. Puto eum nec hoc dicturum, si vera sentire ac dicere velit; neque enim sufficiet dicere mittentem non causam esse ejus qui mittitur. Verum de his satis. Puto autem neque hypostaticum eum dicturum causam, sicut et antea dictum est. Etenim ipse hypostases servabit, quemadmodum et Dominus tradidit qui sacrosanctæ Trinitatis mysterium nos docuit in salutaris baptismi traditione, in nomine Patris et Filii et Spiritus sancti discipulos baptizare jubens, ac per verba *in nomine* unam essentiam indicans, per adjecta vero *Patris et Filii et Spiritus sancti* proprietates ostendens,

ΑΠΟΛΟΓΙΑ.

Οὐσιῶδες ἐνταῦθα τὸ αἴτιον οὐκ ἔστι, φησί· καὶ ἀληθῶς. Εἰ γὰρ οὐσιῶδες, καὶ κοινὸν ἂν ἦν· ἀλλ' οὐδὲ προσωπικὸν, ὡς προϊὼν ὁ λόγος δηλώσει. Τί οὖν ἐρεῖ ἐπὶ τοῦ Πατρὸς καὶ τοῦ πέμποντος; Ταῦτα γὰρ οὔ τε ἀντιστρέφει καὶ δύο εἰσί· δύο γοῦν ἔσονται κατ' αὐτὸν ἀρχαὶ ὁ Πατὴρ καὶ ὁ πέμπων· οἶμαι οὐδὲ τοῦτο ἐρεῖ, εἰ τἀληθῆ βούλεται φρονεῖν καὶ λέγειν· οὐ γὰρ ἀρκέσει λέγειν τὸν πέμποντα μὴ αἰτίαν εἶναι τοῦ πεμπομένου; Ἀλλὰ περὶ μὲν τούτων ἄλις. Ἀλλ' οἶμαι οὐδ' ὑποστατικὸν φαίη ἄν, ὡς καὶ D προείρηται· καὶ γὰρ αὐτὸς τὰς ὑποστάσεις φυλάξει, ὡς καὶ ὁ Κύριος παρέδωκεν ὁ τὸ τῆς Τριάδος ἡμῖν παραδοὺς μυστήριον ἐν τῇ τοῦ σωτηρίου βαπτίσματος παραδόσει, εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος βαπτίζειν εἰπών, διὰ μὲν τοῦ *εἰς ὄνομα* εἰπεῖν τὴν μίαν οὐσίαν ἐμφαίνων, διὰ δὲ τοῦ ἐπαγαγεῖν *Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος* τὰς ἰδιότητας δεικνὺς,

(1) Marc. sic recte habet; Mon. 27, f. 135 b. θεότητος.
(2) Hæc postrema allegat Constant. Meliten. prat. 1, n. 35 (Gr. orth. t. I, p. 743).
(3) In Monac. rasura; verba sunt ex Marc.
(4) Marc. f. 225 a, ἐλλαφθέντας.
(5) Mon. 27, ὑπάρχει. Recte Mon. 256, f. 125 a.

καθ' ἃς τὰ πρόσωπα ὑφίσταται κατὰ τὰς ἑαυτῶν ὑπάρξεις ἐν τοῖς ἰδίοις ἀκοινώνητα ὄντα. Δείκνυται οὖν τὸ αἴτιον οὔθ' ὑποστατικὸν εἶναι, ἀλλ' οὐδ' οὐσιῶδες, ἵνα κοινὸν ὑπάρχῃ καὶ ταῖς τρισὶν ὑποστάσεσιν, ἀλλ' οὐδ' ἑνὶ προσώπῳ. Λείπεται ἄρα δυσὶ προσώποις εἶναι κοινὸν καὶ μὴ συναλείφεσθαι, μηδὲ δυαρχίαν εἶναι, ὡς αὐτὸς ὁ αἰδέσιμος μᾶλλον νομοθετῶν διδάσκει, ὃς καὶ ἀκούων τὸν Υἱὸν αἰτίαν καὶ ἀρχὴν, δύο τὰ αἴτια καὶ δύο ἀρχὰς νομίζει. Ἀλλ' ἡμεῖς ἀκούοντες τοῦ ἐπιστηθείου Ἰωάννου ἐν τῇ Ἀποκαλύψει λέγοντος ἐν τῷ ἐννάτῳ (1) κεφαλαίῳ· *Τάδε λέγει ὁ μάρτυς ὁ πιστὸς καὶ ἀληθινὸς, ἡ ἀρχὴ τῆς κτίσεως τοῦ Θεοῦ*, καὶ Γρηγορίου τοῦ Θεολόγου φάσκοντος (2)· « Ἡ ἐκ τῆς ἀρχῆς ἀρχὴ τὸ ἐκμαγεῖον τοῦ ἀρχετύπου, » παρὰ δύο ἀρχῶν οὐ νομίζομεν τὴν κτίσιν γεγονέναι· αὐτὸς γὰρ ἔφη· « Πάντα τοῦ Μονογενοῦς ἐπὶ τὴν πρώτην αἰτίαν ἀναφέροντα (3). » Καὶ Βασίλειος ὁ Μέγας ἐν τῇ πρὸς τὸν ἴδιον ἀδελφὸν περὶ οὐσίας καὶ ὑποστάσεως (4), ἧς ἡ ἀρχή· « Ἐπειδὴ πολλοὶ τὸ κοινὸν τῆς οὐσίας, » φησί· « Πάλιν ὑπὸ τῆς Γραφῆς ὁδηγούμεθα εἰς τὸν τῆς χορηγίας (5) τῶν ἀγαθῶν τῶν διὰ τοῦ Πνεύματος ἡμῖν ἐνεργουμένων ἀρχηγὸν καὶ αἴτιον τὸν μονογενῆ Θεὸν εἶναι πιστεύειν· πάντα γὰρ δι' αὐτοῦ γεγενῆσθαι καὶ ἐν αὐτῷ συνεστάναι παρὰ τῆς ἁγίας Γραφῆς ἐδιδάχθημεν (6). Ὅταν τοίνυν καὶ πρὸς ἐκείνην ὑφωθῶμεν τὴν ἔννοιαν, πάλιν ὑπὸ τῆς θεοπνεύστου χειραγωγίας ἀναγόμενοι διδασκόμεθα, ὅτι δι' ἐκείνης μὲν πάντα τῇ δυνάμεως ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παράγεται· οὐ μὴν οὐδὲ ἐξ ἐκείνης ἀνάρχως, ἀλλά τίς ἐστι δύναμις ἀγεννήτως καὶ ἀνάρχως ὑφεστῶσα, ἥτις ἐστὶν αἰτία τῆς ἁπάντων τῶν ὄντων αἰτίας. »

dens, secundum quas personæ subsistunt, juxta suas proprias exsistentias in propriis suis incommunicabiles exsistentes. Demonstratur ergo, causæ rationem neque hypostaticam neque essentialem esse, ita ut etiam vel tribus personis communis sit vel uni tantum conveniat personæ. Relinquitur igitur, ut duabus personis communis sit, hæ vero minime contrahantur, neque dualitatem principiorum inde sequi existimetur, quemadmodum ipse venerandus vir potius legislatoris adinstar docet, qui etiam, dum audit, Filium causam et principium esse, duas putat induci causas ac duo principia. Sed nos audientes Joannem, qui in pectore Domini recubuit, in Apocalypsi capite nono dicentem : *Hæc dicit testis fidelis et verus, qui est principium creaturæ Dei ;* atque Gregorium Theologum aientem : « Principium ex principio, primi exemplaris exemplatum, » a duobus principiis non putamus factam esse creaturam ; ipse enim dixit : « Omnia quæ sunt Unigeniti, ad primam causam referuntur. » Et magnus Basilius, in epistola ad proprium fratrem, cujus initium : « Quoniam multi commune essentiæ, » inquit : « Iterum per Scripturam ducimur et instruimur, ut suppeditationis eorum bonorum, quæ Spiritus sanctus in nobis operatur, auctorem et causam esse credamus unigenitum Deum. Per sacram enim Scripturam edocti sumus, per ipsum facta esse et in ipso consistere omnia. Quando igitur ad illam cogitationem subvehimur, iterum divinitus inspiratæ Scripturæ veluti manuductione introducti perdocemur, quod per illam quidem potentiam, ex eo quod non est, ad esse producantur omnia ; ita tamen, ut neque ex illa absque initio producantur, sed quod sit potentia quædam ingenite et sine principio subsistens, quæ causa sit illius causæ, per quam omnia facta sunt. »

ΕΦΕΣΟΥ.

Τοῦτο τὸ ἱερὸν τῆς πίστεως μάθημά τε καὶ σύμβολον τὸ (7) παρὰ μὲν τῆς πρώτης καὶ δευτέρας τῶν συνόδων ἐκτεθὲν, παρὰ δὲ τῶν λοιπῶν κυρωθὲν καὶ βεβαιωθὲν ὅλῃ ψυχῇ δεχόμενος καὶ φυλάττων ἀποδέχομαι καὶ ἀσπάζομαι πρὸς ταῖς εἰρημέναις ἑπτὰ συνόδοις καὶ τὴν μετ' αὐτὰς ἀθροισθεῖσαν ἐπὶ τοῦ εὐσεβοῦς Βασιλείου βασιλέως Ῥωμαίων καὶ τοῦ ἁγιωτάτου πατριάρχου Φωτίου, τὴν καὶ οἰκουμενικὴν ὀγδόην ἀνομασθεῖσαν, ἣ (8) καὶ τῶν τοποτηρητῶν παρόντων Ἰωάννου τοῦ μακαρίου πάππα τῆς πρεσβυτέρας Ῥώμης, Παύλου καὶ Εὐγενίου τῶν ἐπισκόπων καὶ Πέτρου πρεσβυτέρου καὶ καρδιναλίου ἐκύρωσε μὲν καὶ ἀνεκήρυξε τὴν ἑβδόμην οἰ-

EPHES. (CAP. XV.)

Hoc sacrum fidei institutum ac symbolum, quod a prima et secunda œcumenicarum synodorum expositum, a reliquis vero confirmatum corroboratumque est, tota anima recipiens et custodiens suscipio et amplector cum prædictis septem synodis etiam synodum post ipsas congregatam sub pio Basilio Romanorum imperatore et sanctissimo patriarcha Photio, œcumenicam quoque octavam nuncupatam (*a*), quæ etiam præsentibus legatis Joannis beatissimi papæ vetustioris Romæ, videlicet Paulo et Eugenio episcopis, et Petro presbytero et cardinali, confirmavit et promulgavit, septimam œcumenicam synodum eamque præceden-

(1) Sic in Mon. et Marc. ; est vero Apoc. III, 14.

(2) Naz. Orat. 32 (nunc 42), p. 520 ed. Colon.

(3) Similia habet Naz. or. 39, p. 490 ; 32, l. c., 37, p. 601 ed. vet. Vide Becci Ep. in Camat. c. 40, 64 (Gr. orth., t. II, p. 369-374).

(4) Basil. ep. 43 ad Gregor. fratrem. Citatur a Camatero, c. 26 (Gr. orth., t. II, p. 341 seq.).

(5) Al., χάριτος.

(6) Al., δεδιδάγμεθα.

(7) Τό omitt. Mon. 27 ; habet Mon. 256, f. 126 a.

(8) Ἣ habent tres codices, Mon. 27, 256 et Marc.

(*a*) Intelligit synodum exeunte anno 879 et ineunte 880 Constantinopoli celebratam, quæ ex Photii mente veram octavam synodum ante decennium absolutam oblitterare debebat, cujusque acta leguntur apud Mansi Concil., t. XVII.

tibus adjungendam esse decrevit, restituit vero propriæ sedi sanctissimum Photium, condemnavit deinde et anathemati subjecit non secus ac synodi œcumenicæ anteriores eos qui auderent additionem quamdam innovare vel detractionem vel universim alterationem aliquam in prædicto symbolo.

APOLOGIA.

Et nos quam maxime sanctissimi Spiritus custodiente virtute et sanctorum apostolorum Deo acceptis precibus, tota animæ promptitudine et affectu ita ut primo expositum fuit, sanctorum apostolorum Symbolum amplectimur ac diligimus, quod a venerabili Ephesio in disputationibus œcumenici concilii (*a*) non susceptum est, a nobis autem suscipitur et prædicatur, ut divi Dionysii testimonio firmatum, qui ita dicit: « Hunc hymnum alii confessionem appellant, alii vero divini cultus symbolum. » Et in Constitutionibus eorumdem apostolorum, quas sacer Clemens octo libris collegit, in traditione sancti baptismatis descriptum est, ut et ipse novit; nam tenuit eas Constitutiones in Italia; quæ amisit in coryphæorum terra, tenet nunc Naupacti antistes; sed et in hac magna urbe similia etiam sunt exemplaria eadem continentia. Verum etiam sancta tertia œcumenica synodus mentionem facit hujus sacrosancti symboli. Dicit enim in epistola ad (Theodosium II) imperatorem: « Non potuimus fidei et pietatis dogmata non discutere. Ac primo actorum monumentis religiosum pietatis vestræ placitum suo fulgore præmisimus; posthac sacræ fidei editionem addidimus, quæ primo a sanctissimis apostolis nobis tradita fuit, postea vero exposita a trecentis decem et octo Patribus in metropoli Nicææ congregatis. » Verum non sicut ipse in disputationibus dixit, unam discentibus normam fecerunt Patres unientes Symbolum Nicænum cum eo, quod Constantinopoli editum est (*b*). Etenim sancta et œcumenica tertia synodus in pluribus congressibus nullibi Constantinopolitani Symboli mentionem fecit. Sed et ipse hic reverendus acta concilii quarti transcribens, sicut et primi in hoc quidem, quemadmodum ab antiquo et a principio editum fuit Symbolum, ita descripsit; in quarto vero divisim expositum fuit et Nicænum et Constantinopolitanum Symbolum. Et post lectum Nicænum omnes acclamarunt: « Hæc orthodoxorum fides et æterna fides! Et in hoc baptizati fuimus, et in hoc baptizavimus, et in hoc baptizamus. Papa Leo ita credidit. Papa Leo ita docuit, » et quæ sequuntur. Mandato vero

A κουμενικὴν σύνοδον, καὶ ταῖς πρὸ αὐτῆς συντάττεσθαι διωρίσατο, ἀποκατέστησε τῷ οἰκείῳ θρόνῳ τὸν ἁγιώτατον Φώτιον, κατέκρινε δὲ καὶ ἀνεθεμάτισε, καθάπερ καὶ αἱ πρὸ αὐτῆς οἰκουμενικαὶ σύνοδοι τοὺς τολμῶντας προσθήκην τινὰ ἢ ὑφαίρεσιν ἢ ὅλως ἀναλλαγὴν (1) ἐπὶ τῷ προρρηθέντι συμβόλῳ.

ΑΠΟΛΟΓΙΑ.

Καὶ ἡμεῖς μάλιστά γε τῇ τοῦ παναγίου Πνεύματος φρουρητικῇ δυνάμει καὶ ταῖς τῶν ἁγίων ἀποστόλων θεοπροσδέκτοις εὐχαῖς, ὅλῃ ψυχῆς προθυμίᾳ καὶ διαθέσει ὡς πρώτως ἐκτεθὲν τὸ τῶν αὐτῶν ἁγίων ἀποστόλων σύμβολον στέργομέν τε καὶ ἀσπαζόμεθα, τὸ παρὰ μὲν τοῦ αἰδεσίμου Ἐφέσου ἐν ταῖς διαλέξεσι τῆς οἰκουμενικῆς συνόδου μὴ παραδεχόμενον, παρ' ἡμῶν δὲ στεργόμενόν τε καὶ κηρυττόμενον, ὡς παρὰ τοῦ θείου Διονυσίου μαρτυρούμενον, οὑτωσὶ λέγοντος· « Τὸν ὕμνον τοῦτον οἱ μὲν ὁμολογίαν καλοῦσιν, οἱ δὲ τὸ τῆς θρησκείας σύμβολον. » Καὶ ἐν ταῖς Διατάξεσι δὲ τῶν αὐτῶν ἀποστόλων, ἃς (2) ὁ ἱερὸς Κλήμης συνέταξεν ἐν ὀκτὼ βιβλίοις, ἐν τῇ παραδόσει τοῦ ἁγίου βαπτίσματος, ἀνάγραπτόν ἐστιν, ὡς καὶ αὐτὸς οἶδε· καὶ γὰρ κατεῖχε ταύτας εἰς τὴν Ἰταλίαν· ἅπερ ἀπώλεσεν· εἰς τὴν τῶν κορυφαίων χώραν, κατέχει νῦν ὁ Ναυπάκτου. Ἀλλὰ καὶ ἐν τῇδε τῇ μεγαλοπόλει ἕτεραι ὁμοιαί εἰσιν οὕτως ἔχουσαι. Ἀλλὰ καὶ ἡ ἁγία καὶ οἰκουμενικὴ τρίτη σύνοδος μνείαν ποιεῖται τοῦ ἱεροῦ τούτου καὶ θείου συμβόλου· φησὶ γὰρ πρὸς τὸν βασιλέα (3)· « Τὰ (4) τῆς πίστεως καὶ εὐσεβείας (5) ἐκινοῦμεν δόγματα· προλάμπειν τῶν πραττομένων ὑπομνημάτων τυπώσαντες (6) τὸ θεοσεβὲς δόγμα (7) τῆς ἡμετέρας εὐσεβείας· μεθ' ὃ τὴν ἔκθεσιν τῆς εὐσεβοῦς πίστεως προθέντες τῆς πρότερον μὲν παρὰ τῶν ἁγιωτάτων ἀποστόλων παραδεδομένης ἡμῖν, μετὰ δὲ ταῦτα ἐκτεθείσης παρὰ τῶν τιη' τῶν ἐν τῇ Νικαέων μητροπόλει (8). » Ἀλλ' οὐδ' ὡς αὐτὸς ἐν ταῖς διαλέξεσιν ἔλεγεν, ὅτι ἓν μάθημα ἐποίησαν οἱ Πατέρες ἑνώσαντες τότε ἐν Νικαίᾳ καὶ τὸ ἐν Κωνσταντινουπόλει. Ἡ γὰρ ἁγία καὶ οἰκουμενικὴ τρίτη σύνοδος ἐν πολλαῖς συνελεύσεσιν οὐδαμοῦ τοῦ ἐν Κωνστσντινουπόλει ἐμνημόνευσεν. Ἀλλὰ καὶ αὐτὸς ὁ τίμιος τὰ Πρακτικὰ τῆς τετάρτης συνόδου μεταγράψας καὶ τῆς πρώτης, ἐν μὲν ταύτῃ καθὼς ἄνωθέν τε καὶ ἀπ' ἀρχῆς ἐτέθη τὸ σύμβολον, οὕτως ἔγραψεν· ἐν δὲ τῇ τετάρτῃ διῃρημένως ἐξέθετο καὶ τὸ ἐν Νικαίᾳ καὶ τὸ ἐν Κωνσταντινουπόλει. Καὶ ἀναγνωσθέντος τοῦ ἐν Νικαίᾳ, οἱ πάντες ἐβόησαν, ὡς, « Αὕτη ἡ πίστις τῶν ὀρθοδόξων καὶ αἰωνία (9) πίστις· καὶ ἐν τούτῳ ἐβαπτίσθημεν, καὶ ἐν τούτῳ

(1) Mon. 27 f. 136 b, ἐναλαγήν.
(2) Sic recte Marc. f. 226 a; Mon. 27, f. 137 a, ὡς.
(3) Exstat epistola, et hæc ejus verba leguntur apud Mansi Conc., t. IV, p. 1234.
(4) Περὶ add. edit. conc.
(5) Ἀναγκαίως add. edit.
(6) Τυπώσαντες deest in codd. nostris.
(7) Ed. γράμμα.
(8) Συνηγμένον addunt ed.
(9) Marc. f. 226 b, αἰωνίων.

(*a*) Nimirum concilii Florentini.
(*b*) Vide Marci Ephesii Dialogum qui inscribitur *Latinus, sive De additamento in Symbolo*, ex codice Monacensi a nobis editum infra in Marco.

ἐβαπτίσαμεν, καὶ ἐν τούτῳ βαπτίζομεν. Ὁ πάππας Λέων οὕτω ἐπίστευσεν, ὁ πάππας Λέων οὕτως ἐδίδαξεν, » καὶ τὰ ἑξῆς (1). Κελεύσει δὲ τῶν ἐνδοξοτάτων ἀρχόντων ὑπὸ Ἀετίου διακόνου ὑπὸ βιβλίου ἀνεγνώσθη καὶ τὸ τῶν ἐν Κωνσταντινουπόλει, ὡς καὶ πλατύτερον ἐξεθέμεθα ἐν ἑτέρᾳ πραγματείᾳ. Ἀλλὰ καὶ τὰς ἀποστολικὰς διδασκαλίας (2), τάς τε ἐγγράφους καὶ ἀγράφους, καθὼς Παῦλος ὁ ἀπόστολος παραινεῖ (3), τηροῦμέν τε καὶ φυλάττομεν, καθὼς ὁ θεῖος Βασίλειος ἐν τοῖς πρὸς Ἀμφιλόχιον (4) φησι· « Τῶν ἐν τῇ Ἐκκλησίᾳ πεφυλαγμένων δογμάτων καὶ κηρυγμάτων τὰ μὲν ἐκ τῆς ἐγγράφου διδασκαλίας ἔχομεν, τὰ δὲ ἐκ τῆς τῶν ἀποστόλων παραδόσεως διαδοθέντα ἡμῖν ἐν μυστηρίῳ παρεδεξάμεθα, ἅπερ ἀμφότερα τὴν ἰσχὺν ὁμοίαν ἔχει πρὸς τὴν εὐσέβειαν, καὶ τούτοις οὐδεὶς ἀντερεῖ (5) · οὔκουν ὅστις γε κατὰ μικρὸν τῶν θεσμῶν τῆς Ἐκκλησίας πεπείραται. Εἰ γὰρ ἐπιχειρήσαιμεν τὸ ἄγραφα τῶν ἐθῶν ὡς μὴ μεγάλην ἔχοντα δύναμιν παραιτεῖσθαι, λάθοιμεν ἂν εἰς αὐτὰ τὰ καίρια ζημιοῦντες τὸ Εὐαγγέλιον, μᾶλλον δὲ εἰς ὄνομα ψιλὸν περιστῶντες τὸ κήρυγμα. » Ἀλλὰ δὴ καὶ τὰς ἁγίας οἰκουμενικὰς συνόδους, ἔτι δὲ καὶ τὰς τοπικὰς τὰς παρὰ τῶν οἰκουμενικῶν συνόδων στερχθείσας στέργομέν τε καὶ ἐνστερνιζόμεθα. Ἔτι δὲ καὶ τὰς τῶν μακαρίων καὶ ἁγίων διδασκάλων φωνὰς τὰς ἐπὶ συστάσει τῶν ὀρθῶν δογμάτων, ἐξ ὧν εἰς βεβαίωσιν τῆς ἀληθοῦς πίστεως μαρτυρίας προσεδέξαντο ἐν ταῖς συνόδοις κατὰ καιρούς. Περὶ δὲ τῶν τῆς ὀγδόης συνόδου μάλα καλῶς οἶδεν αὐτὸς ὁ αἰδέσιμος τὰ ταύτης Πρακτικὰ ἐν τῇ βίβλῳ τῆς μόνης τοῦ τιμίου Προδρόμου τῆς καὶ Πέτρας ὀνομαζομένης ἡνωμένα ὄντα μετὰ τῶν (6) τῆς ἕκτης καὶ ἑβδόμης, τὰ συνιστῶντα Ἰγνάτιον καὶ ἐγχειρίζοντα αὐτῷ τὴν καθέδραν Κωνσταντινουπόλεως, Φώτιον δὲ ὡς ἐπιβάτην ἐξελαύνοντα καὶ ἀναθεματίζοντα. Τὸν δέ γε Ἰγνάτιον ἐν τοῖς ἁγίοις συνέταξεν ἡ Ἐκκλησία, καθὰ προγέγραπται· εἰ καὶ ἐν τῷ Συνοδικῷ συντέτακται (7) τῷ Φωτίῳ (8) καὶ τὰ κατ' αὐτῶν γραφέντα τε καὶ πραχθέντα τῷ ἀναθέματι καθυποβάλλονται, ἵνα μὴ γνώριμα τοῖς πᾶσι γένωνται (9) τὰ τοῦ Φωτίου. Εἰ καὶ οἱ χρονογράφοι (10), ὅ τε Κεδρηνὸς καὶ Μανασσῆς καὶ Γλυκᾶς καὶ Σκυλίτζης, καὶ ὁ εὑρισκόμενος ἐν βιβλίῳ τῆς μονῆς τῆς Περιβλέπτου βίος τοῦ ἁγίου Ἰγνατίου διασαφοῦσιν, ὅσα τε πέπονθεν ὁ θεῖος Ἰγνάτιος παρὰ A gloriosissimorum principum ab Aetio diacono ex libro lectum est et Symbolum Constantinopoli expositum, ut etiam uberius in alio tractatu declaravimus. Sed etiam apostolicas doctrinas, tum scriptas tum non scriptas, sicut et Paulus apostolus hortatur, servamus et custodimus, quemadmodum divus Basilius in scriptis ad Amphilochium ait: « Eorum dogmatum prædicationumque (*a*), quæ in Ecclesia servantur, quædam habemus ex doctrina scripto tradita, quædam rursus ex apostolorum traditione communicata nobis in mysterio recepimus; quæ ambo vim eamdem habent ad pietatem, et hisce nemo semet opponet: nullus certe, qui vel tenui experientia noverit, quæ sint Ecclesiæ instituta. Nam si consuetudines, quæ scripto proditæ B non sunt, tanquam haud multum habentes momenti aggrediamur rejicere, imprudentes ac nescii Evangelium in ipsis rebus præcipuis lædemus, imo potius prædicationem ad nudum nomen contrahemus. » Sed etiam sanctas œcumenicas synodos ac præterea locales quoque, quæ ab œcumenicis conciliis receptæ fuerunt, recipimus atque amplectimur. Insuper etiam beatorum ac sanctorum doctorum voces, quæ ad recta dogmata constituenda faciunt, ex quibus ad veram fidem confirmandam testimonia in synodis juxta tempora recepta fuere. De Actis vero octavæ synodi bene novit hic reverendus, Acta illius in codice monasterii venerandi Præcursoris, quod etiam Petra nuncupatur, haberi con- C juncta cum Actis sexti et septimi concilii, quæ confirmant Ignatium, illique cathedram Constantinopolitanam in manus tradunt, sed Photium veluti insultorem (invasorem) ejiciunt et anathemate feriunt (*b*). Porro Ignatium inter sanctos Ecclesia collocavit, ut supra scripsimus, licet in Synodico Ignatius et Photius conjuncti reperiantur, et scripta contra eos et actitata anathemati subjiciantur, ne Photii omnia omnibus innotescant. Quanquam etiam chronographi, tum Cedrenus tum Manasses, tum Glycas et Scylitza, et quæ in volumine monasterii Periblepti Vita sancti Ignatii (*c*) legitur palam faciunt, quæ sanctus Ignatius passus est a Photio, et quomodo sanctus Ignatius decreto synodi in propriam sedem restitutus est, et Cosmidii monaste- D rium Photium exsulem custodiebat (*d*). Nos porro

(1) Conc. Chalc. act. II; Mansi, t. VI, p. 955.
(2) Mon. 27, f. 136 a, διδασκαλείας.
(3) II Thess. II, 14.
(4) Basil. de Sp. S. c. 27, n. 66. Patrol. Gr., t. XXXII, p. 188.
(5) Mon., ἀναιρεῖ. Marc., ἀνταιρεῖ.
(6) Τῶν omittit Allatius, qui *ista* allegat contra Creyghton., p. 280.
(7) Allat., τέταχται.
(8) Allat., τῷ Ἰγνατίῳ καὶ Φωτίῳ. Mon. 27, f. 137 b., Τῷ Ἰγνατίῳ. Cum Synodici verba non adducantur, superior lectio præferenda videtur.
(9) Allat., γένηται.
(10) Mon. 27, οἱ χρονικοὶ χρονογράφοι. Marc. et Allat. ut supra.

(*a*) De discrimine inter δόγμα et κήρυγμα vide Petavium, De Trinitate, Præfat. cap. I, § 5.
(*b*) Marcus octavam synodum dixerat synodum Photianam, anno 879 Constantinopoli celebratam, de qua vide Allatii scriptum De octava synodo Photiana, Romæ 1662. Sed Gregorius noster hic loquitur de octava synodo anno 869 congregata, quæ merito ab Occidentalibus octava universalis dicitur.
(*c*) Videlicet biographia S. Ignatii a Niceta Davide conscripta. Mansi Concil., t. XVI.
(*d*) Hucusque Allatii versio magna ex parte adoptata.

Acta ab Ephesio producta, ac si essent octavæ synodi, recipiemus, (*a*) necnon quam ipse appellat Joannis papæ epistolam, licet in multis suspecta sit (*b*), eo quod tota in omnibus Græce dictata esse comprehendatur, et nullum in se Latinæ dictionis genium præferat. Et alia quoque ratione, quod primum in hac synodo ante alia omnia lectitanda fuisset, tum deinceps apponenda, quæ Photio sedem Constantinopolitanam astruerent. Quod alio modo peractum est. Nam cum papæ locum tenentes advenissent et Photio datas litteras ac missa munia consignassent, et omophorium et sticharium et sandalia, nullo examine prævio, obtulissent, statim ipse Photius eos excepit et quæ ad ipsum missa fuerant, ut Acta ejusdem synodi contestantur atque Photii verba (*c*): «Christus Deus noster, qui cœlum nubibus circumvolvit, nostramque naturam, ut renovaret expurgaretque, sibi assumpsit, ipse fratrem nostrum et comministrum et spiritualem Patrem nostrum et in præsenti vita custodia tuta protegat, et in futuro sæculo nuptiali indumento circumambiat, dignumque cœlestis illius thalami demonstret.» Necessitas itaque flagitabat coram omnibus epistolam legi et legatorum professionem scriptam recipi, et his peractis ea quæ ad throni et præsulatus restitutionem pertinebant compleri. Nihilominus nos ipsam ut œcumenicam recipimus perquam libentissime, nec non ipsam epistolam. Quid igitur ea pronuntiat? « Opinamur autem, neque tuam sanctitatem ignorare, tanquam quæ prudens et plena sapientia est, nos reliquos nostros episcopos ad ita sentiendum adigere volentes non levi implicari difficultate, quod rem adeo divinam ita derepente immutare haud facile valuerit quisquam, licet per breve tempus illud initium ceperit, nec multorum annorum spatio firmitatem obtinuerit. Propterea nobis bene visum est, ne quis vi a nobis adducatur desistere ab additamento, quod in symbolo jam apposuit, sed potius cum prudentia præparare paulatim adhortantes blasphemiam abjurare. *Pascite enim gregem qui in vobis est, non violenter, sed leniter, neque uti clero prædominantes, sed forma gregis et exemplaria facti*, summus apostolorum princeps Petrus dicebat,» et cætera. Et hæc verba ex Epistola excerpta sunt. Quis porro non audiit, a Latinis potius per ignem desertores fidei (male sentientes) probari? Qua ratione (Joannes papa) sic rectam fidem violantes

A Φωτίου, καὶ ὅπως ὁ Ἰγνάτιος ἐπανῆλθεν εἰς τὸν ἴδιον θρόνον κρίσει τῆς συνόδου· τὸν δὲ Φώτιον ἐξώριστον εἶχεν ἡ τοῦ Κοσμιδίου (1) μονή. Ἡμεῖς δὲ καὶ τὰ Πρακτικὰ τὰ παρὰ τοῦ Ἐφέσου προκομιζόμενα ὡς τῆς ὀγδόης συνόδου δεξόμεθα· ἔτι δὲ καὶ ἣν (2) λέγει ἐπιστολὴν τοῦ ἁγιωτάτου πάππα Ἰωάννου, καίτοι γε πολὺ τὸ ὕποπτον ἔχουσαν διὰ τὸ εἶναι ὅλην δι' ὅλου (3) Ἑλληνικὴν τὴν γραφὴν καὶ μηδὲν ἔχειν ἐν ἑαυτῇ ἰδίωμά τι (4) Λατινικόν. Ἄλλως τε ἐν ταύτῃ τῇ συνόδῳ πρῶτον ὤφειλεν αὕτη ἀναγνωσθῆναι, εἶτα δέξασθαι τὸν Φώτιον τὰ ἐγχειριζοντα τὴν καθέδραν Κωνσταντινουπόλεως. Τὸ δὲ οὐχ οὕτως ἐγένετο· ἀλλ' ἅμα τῷ παραγενέσθαι τοὺς τοποτηρητὰς τοῦ πάππα καὶ τῷ Φωτίῳ κομίσαι τὰ σταλέντα, τό τε ὠμοφόριον καὶ τὸ στιχάριον καὶ τὰ σανδάλια μηδεμιᾶς προηγησαμένης ἐξετάσεως, εὐθὺς ὁ Φώτιος δέδεκται αὐτοὺς καὶ τὰ κομισθέντα αὐτῷ, ὡς τὰ Πρακτικὰ τῆς συνόδου ταύτης μαρτυροῦσι καὶ τὸ, « Χριστὸς ὁ Θεὸς ἡμῶν, εἰπεῖν, ὁ νεφέλαις τὸν οὐρανὸν περιβάλλων καὶ τὴν ἡμετέραν φύσιν ἀναχωνεῦσαι καὶ καθᾶραι (5) στολισάμενος, αὐτὸς τὸν ἀδελφὸν καὶ συλλειτουργὸν καὶ πνευματικὸν Πατέρα ἡμῶν, καὶ ἐν τῷ παρόντι βίῳ φρουρὰν ἄσυλον καὶ σωτηρίαν ἀσφαλῆ στολίσαι, κἀν τῷ μελλόντι αἰῶνι τὸν νυμφικὸν περιβάλλοι χιτῶνα ἄξιον τοῦ μακαρίου ἐκείνου νυμφῶνος ἀναδεῖξαι (6). » Ἔδει οὖν πρότερον ἐν κοινῷ (7) ἀναγνῶναι τὴν ἐπιστολὴν καὶ τὴν ὁμολογίαν τῶν πρέσβεων ἔγγραφον λαβεῖν, καὶ οὕτω τὰ τὴν τοῦ θρόνου καὶ τῆς ἀρχιερωσύνης ἀναχήρυξιν δηλοῦντα δέξασθαι. Ὅμως γε μέντοι ἡμεῖς ὡς οἰκουμενικὴν σύνοδον αὐτὴν δεξόμεθα ἀσμενέστατα, ὡσαύτως (8) καὶ τὴν ἐπιστολήν. Τί οὖν φησιν αὕτη; « Οἰόμεθα δὲ μηδὲ τὴν σὴν ἱερότητα ἀγνοεῖν ὡς οὖσαν νουνεχῆ τε καὶ πλήρη σοφίας, ὅτι τε τοὺς λοιποὺς ἡμῶν ἐπισκόπους καταπεῖσαι οὕτω φρονεῖν εἰς δυσχέρειαν ἡμῖν οὐ μικρὰν ἐμπίπτει, ὅτι πρᾶγμά τι θειότερον οὕτω ταχέως μεταβαλεῖν οὐδεὶς ἂν εὐκόλως δυνηθείη, εἰ καὶ βραχεῖ χρόνῳ τὴν ἀρχὴν εἴληφε, καὶ οὐκ ἔστι παγιωθὲν ἐκ πολλῶν ἐνιαυτῶν. Καὶ διὰ ταῦτα καλῶς ἔδοξεν ἡμῖν, ἵνα μὴ μετὰ βίας ἀναγκασθῇ τις παρ' ἡμῶν ἐᾶσαι τὴν προσθήκην, ἣν ἔφθασεν (9) ἐν τῷ συμβόλῳ προθεῖναι· ἀλλὰ μᾶλλον μετὰ οἰκονομίας παρασκευάσαι κατὰ βραχὺ παραινοῦντας ἀποστῆναι τῆς βλασφημίας. *Ποιμαίνετε γὰρ τὸ ἐν ὑμῖν ποίμνιον, οὐκ ἀναγκαστῶς* (10), *ἀλλ' ἑκουσίως, οὐδ' ὡς κατακυριεύοντες τοῦ κλήρου, ἀλλ' ὡς τύποι γενόμενοι, ὁ ἄκρος τῶν ἀπο-*

(1) Mon., Κοσμοδίου μονή. Hucusque Allat. l. c.
(2) Mon., f. 138 a, ἔτι δὲ ἣν. Marc., f. 227 b, ἔτι δὲ καὶ ἣν. Allat. ut supra, qui hæc proferi op. cit., p. 237 seq.
(3) Mon., διόλου.
(4) Marc., ἰδιώματι.
(5) Mon., ἀναχονεῦσαι καὶ καθάρσαι.
(6) Photii verba in act. I concilii cit. Mansi XVII, p. 390-392.
(7) Ἐν κοινῷ habet Allat., omitt. Monac.
(8) Ὡσαύτως habet Mon., omitt. Allat.
(9) Sic Allat. Mon., ἔφθασαν.
(10) Sic Mon. Allat., ἀναγκαστικῶς.

(*a*) Benignius et mitius loquitur auctor agens de pseudo-synodo Photiana, quæ omnino explodenda est.
(*b*) Certe suppositiliam et spuriam eam esse omnia probant. Vide Patrol. Gr., ser. 1, t. CII, p. 382, not. 89.
(*c*) Aliter Allatius l. c., p. 239 : *Dixisseque ille.* Deest tamen ei apodosis.

στόλων Πέτρος ἔφη (1), » καὶ τὰ ἑξῆς. Καὶ ταῦτα μὲν ἐκ τῆς ἐπιστολῆς. Τίς δὲ οὐκ ἀκήκοεν, ὡς Λατῖνοι τοὺς κακοδόξους μᾶλλον διὰ πυρὸς (2) δοκιμάζουσι; Πῶς δὲ οὐκ ἀνεθεμάτισεν οὕτω βλασφημοῦντας; Ποῦ δὲ ἐν τῇ κακοδοξίᾳ μᾶλλον ἁρμόζει τὸ μὴ κατακυριεύειν τοῦ κλήρου; Τοῦτο γὰρ Ἄρειος καὶ Μακεδόνιος καὶ οἱ σὺν αὐτοῖς εἶπον ἄν, ὅτι γέγραπται· « Μὴ κατακυριεύετε τοῦ κλήρου· » καὶ πάντες ὁμοίως οἱ τῶν ὀρθῶν δογμάτων ἀλλότριοι. Ποῦ δὲ ὁ κανὼν ὁ θεσπίζων· « Ὁ κοινωνῶν τῷ (3) ἀκοινωνήτῳ καὶ αὐτὸς ἀκοινώνητος (4) ἔσται; » Δῆλον οὖν ὡς οὐχ αἵρεσις τὸ *καὶ ἐκ τοῦ Υἱοῦ* προστεθὲν ἐν τῷ θείῳ συμβόλῳ. Εἰ γὰρ αἵρεσις ἦν τοῦτο, οἱ οὕτω ψάλλοντες τῷ ἀναθέματι καθυπεβάλλοντο, εἰ καὶ τὴν τοῦ πυρὸς δίκην διέφυγον. Ἀλλ' ὁ μακαριώτατος πάππας Ἰωάννης καὶ ἡ περὶ αὐτὸν (5) σύνοδος τοῦτο οὐκ ἐποίησε· καίτοι γε τοσαύτην ἀκρίβειαν ἐν τοῖς ἐκκλησιαστικοῖς τηροῦντες, ὡς καὶ διὰ τὸ συντάξαι τὸ τοῦ Ἀνθίμου ὄνομα ἐν τοῖς διπτύχοις τὴν ἀνατολικὴν Ἐκκλησίαν, ἀποσχισθῆναι ἀπὸ ταύτης τὴν Ῥωμαϊκὴν Ἐκκλησίαν. Ἀλλ' ἀναγκαῖον προθεῖναι ἐκ ταύτης τῆς συνόδου, ἀφ' ἧς ὁ αἰδέσιμος προκομίζει Ἐφέσου ὅπως τε λέγει, ὅτι ὁ ἀποστολικὸς θρόνος πολλὴν τὴν ἰσχὺν ἔχει, καὶ σύνοδος ῥᾴται σύνοδον λύουσα διὰ τὴν κοινὴν ὠφέλειαν, καὶ ὅσα αὖτη διαλαμβάνει, καὶ μαρτυρίας προκομίζει (6), ἃς καὶ ὡς ἔχουσιν ἐκθήσομεν (7), ἵνα γνῷ αὐτός τε καὶ εἴ τις ἕτερος, ὡς οὐ μόνον ἐξ ἄλλων ἀποδείξεων δυνάμεθα συστῆσαι τὴν γενομένην ἀνάπτυξιν παρὰ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας, ἀλλὰ καὶ ἀπὸ ταύτης τῆς συνόδου. Φησὶ γὰρ αὕτη ἐν τῇ δευτέρᾳ αὐτῆς Πράξει οὕτως (8)· « Καὶ δὴ νομίσαντες ἁρμόδιον εἶναι τὴν Ἐκκλησίαν τοῦ Θεοῦ εἰρηνοποιῆσαι, ἀπεστείλαμεν ἀποκρισιαρίους ἡμῶν, ἐκπληροῦντες (9) τὸ θέλημα ὑμῶν· εἰ καὶ ἡ ὑμετέρα εὐσέβεια τὸν ἄνδρα βιασαμένη ἔφθασε καὶ πρὸ ἡμῶν ἀποκαταστῆσαι πρὸ τοῦ παραγενέσθαι τοὺς ἡμετέρους τοποτηρητὰς αὐτόθι, ὅμως ἡμεῖς τοῦτο θεραπεύομεν, οὐκ ἐκ τῆς ἡμετέρας αὐθεντίας, καίπερ ἔχοντες ἐξουσίαν τοῦτο ποιεῖν, ἀλλ' ἐκ τῶν ἀποστολικῶν διατάξεων καὶ πατρικῶν θεσπισμάτων τὰς ἀποδείξεις φέροντες· οὐ τοὺς θεσμοὺς τῆς Ἐκκλησίας τοὺς ἀνέκαθεν παραδεδομένους λύοντες, ἀλλ' ἐν οἷς ἡ τούτων ἀκρίβεια ἀπαράτρεπτος συντηρουμένη διασῴζει καὶ λυμαίνεται τὴν ὁλοκληρίαν τοῦ σώματος τῆς Ἐκκλησίας πρὸς τὸ συμφέρον ἄγειν τὰ παρ' αὐτῆς (10). Καὶ γὰρ ὁ τῆς ἐν Νικαίᾳ συνόδου δεύτερος κανὼν οὕτω λέγει

non trādidit anathemati? Ubinam vero contra malam doctrinam accommodabitur, clero non prædominari? Hoc siquidem Arius, Macedonius eorumque asseclæ dixissent, scriptum esse: «Ne prædominemini clero,» et omnes insimul catholicorum dogmatum conculcatores. Ubinam vero erit canon decernens: « Qui communicat cum illo, qui extra communionem est, et ipse extra communionem erit? » Manifestum itaque est non hæresim esse illud *etiam ex Filio* Symbolo divino appositum. Namque si hæresis esset hoc, qui ita concinunt, anathemati subjicerentur, licet ignis pœnam evaderent. Sed beatissimus papa Joannes et synodus ab eo celebrata illud non peregit, et si perquam exquisitissime res ecclesiasticas observarent, adeo ut, quod in diptychis orientalis Ecclesia Anthimi (*a*) nomen apposuisset, idcirco Ecclesia Romana ab ea scissa sit. Sed necessarium est addere ex ea ipsa synodo, ex qua reverendus Ephesius sua habet, qua ratione ea asserat, thronum apostolicum magnum habere robur, et quomodo propter universale bonum synodus synodum dissolvens conspiciatur, et quæcunque ipsa comprehendat et testimonia producat, quæ, uti se habent exponemus, ut agnoscat ipse et si quis alius est, nos non solum ex aliis demonstrationibus expositionem per Romanam Ecclesiam factam stabilire posse, verum etiam ex hac ipsa synodo. Dicit enim ipsa (*b*) in secunda sua actione hæc: « Atque omnino congruum censentes Ecclesiam Dei pacificare, misimus legatos vestram perficientes voluntatem: licet pietas vestra Photio vim inferendo nos prævenerit, in illo restituendo videlicet, antequam legati nostri istuc venissent: nos tamen hæc sanamus et supplemus, non ex nostra auctoritate, licet hoc etiam faciendi potestatem habeamus, sed ex apostolicis constitutionibus et sanctorum Patrum decretis horum demonstrationes afferentes, non Ecclesiæ regulas ab antiquo traditas solventes, sed ubi earum nimis exacta et immutabilis observantia divellit et destruit totam compagem corporis Ecclesiæ, ibi ejus res ad id quod conducit trahere ab ipsamet Ecclesia edocti. Secundus enim canon Nicænæ synodi hæc habet: Quoniam frequenter vel a necessitate vel alio quovis modo coguntur homines ecclesiasticos canones transgredi. Nec non papa Gelasius de eadem re inquit: Ubi vis non apponitur, sanctorum Patrum statuta inconcussa ma-

(1) I Petr. v, 2, 3.
(2) Allat. l. c. p. 238, διὰ π. μᾶλλον.
(3) Sic recte Marc. et Allat; Monac., τό.
(4) Mon. ἀκηνώνητος.
(5) Mon., ἑαυτῶν.
(6) Sic Allat. Mon. f. 139 a, προκομίζειν.
(7) Allat., ἐκθήσωμεν.
(8) Hucusque Allat. l. c. p 238.
(9) Al., ἐκπληροῦντας.
(10) Ita codd. nostri. Sic et apud Bevereg. Pand. can. t. II, p. 276.

(*a*) Melius quam Anthimi hanc in rem quadraret Acacii historia, cujus gratia revera diuturnum schisma exortum est.

(*b*) Sunt hæc deprompta ex Joannis VIII epistola ad Basilium Macedonem, quæ duplici textu nobis servata est: altera Latino et genuino, altera Græco et a Photio falsificato, quo et epistola in secunda sessione Photiani concilii recitata fuit. Porro ea verba leguntur apud Baronium, a. 879, n. 22 seq.; Mansi, Conc. t. XVII, 397 seq.

neant. Similiter etiam sanctissimus papa Leo in eodem spiritu præcipit dicens : Ubi vis non præcedit, immobilia permaneant sanctorum Patrum statuta; ubis vero necessitas et vis reperitur, ibi id ad quod prodest Ecclesiæ Dei, ille qui potestatem habet dispenset. Et necessitate enim juxta divinum Apostolum etiam legis fit traslatio. Felix præterea papa consona etiam habet dicens : De hoc oportet animadvertere, ut ubi necessitas contigerit, sæpenumero etiam constitutiones Patrum transgredi liceat. Sancta etiam synodus Carthaginensis ait tricesimo quinto capitulo : Mandamus, ut Donatistarum clerici iterum ad Ecclesiam revertantur, licet etiam a synodo fuerint damnati. Synodus quoque synodum abrogasse cernitur propter unionem et concordiam Ecclesiæ. Et Innocentius papa ait, capite quinto : Isti a Bonoso hæretico ordinati recipiantur, ne iterum scandala in Ecclesia Dei oriantur. Neque damnatis solum istis, licet tales essent, et ex ipsorum promptuariis exsistentibus (*a*), hæc apostolica sedes ecclesiasticæ pacis curam gerens auxiliatricem manum porrexit ; verum etiam orthodoxis episcopis et patriarchis ad ipsam confugientibus. Et paucis interjectis : Cum enim semel hæc apostolica sedes claves accepisset regni cœlorum a primo et magno pontifice Jesu Christo per principem apostolorum Petrum, cum illi dixisset : *Tibi dabo claves regni cœlorum, et quæcunque ligaveris super terram, erunt liga in cœlis ; et quæcunque solveris super terram, erunt soluta in cœlis* : habet facultatem universim ligandi atque solvendi et secundum prophetam Jeremiam evellendi atque plantandi. Hac de causa nos auctoritate usi principis apostolorum Petri cum universa, quæ apud nos est, sanctissima Ecclesia asseveramus, quod recipimus Photium. » Quid itaque in his est, quod nos debemus addiscere? Primum quidem, synodum a synodo ob utilitatem dissolvi. Deinde confirmatur urgente necessitate canones item unionis causa et concordiæ Ecclesiæ relaxari, et apostolicum thronum possidere claves regni cœlorum, ligandi atque solvendi, eradicandi atque plantandi. Si itaque hanc synodum uti œcumenicam amplectitur, et testimonia ex ipsa profert, quid novum aut præter exspectationem factum fuisse opinatur ab ipsa synodo, cum una cum primo præsule talem sibi auctoritatem asserente et in tali agnito ab octava Synodo concesserit, etiam nunc cani sacrum Symbolum cum dicta expositione in Romana Ecclesia, in Orientali vero, prout a principio contextum est?

A Ἐπειδὴ πολλάκις, εἴτε ὑπ' ἀνάγκης, εἴτε ἄλλως πως ἐπειγομένων τῶν ἀνθρώπων παραβαίνεσθαι τοὺς ἐκκλησιαστικοὺς κανόνας συμβαίνει. Ἔτι δὲ καὶ ὁ πάππας Γελάσιος περὶ τοῦ αὐτοῦ λέγει, ὅτι Ὅπου βία οὐ πρόκειται, ἀμετάτρεπτοι μενέτωσαν οἱ τῶν ἁγίων Πατέρων θεσμοί. Ὡσαύτως καὶ ὁ ἁγιώτατος πάππας Λέων ἐν τῷ αὐτῷ διακελεύεται πνεύματι λέγων · Ὅπου οὐ πρόκειται βία, ἀσάλευτοι διαμενέτωσαν οἱ θεσμοὶ τῶν ἁγίων Πατέρων· ὅπου δὲ ἀνάγκη καὶ βία εὑρίσκεται, ἐκεῖ πρὸς τὸ συμφέρον τῆς Ἐκκλησίας Θεοῦ ὁ τὴν ἐξουσίαν ἔχων οἰκονομείτω. Ἐξ ἀνάγκης γὰρ κατὰ τὸν θεῖον Ἀπόστολον καὶ νόμου μετάθεσις γίνεται. Καὶ Φῆλιξ (1) δὲ ὁ πάππας τούτοις συνηγορεῖ λέγων· Καὶ περὶ τούτου χρὴ σκέψασθαι, ἵνα ὅπου ἀπαντήσῃ ἀνάγκη, πυλλάκις αἱ συστάσεις τῶν Πατέρων παραβαίνονται. Οὐκοῦν ἀλλὰ καὶ (2) ἡ ἁγία σύνοδος ἡ ἐν Καρθαγένῃ ἐν λε' κεφαλαίῳ λέγει· Κελεύομεν, ἵνα οἱ κληρικοὶ πάλιν τῶν Δονατιστῶν εἰς τὴν Ἐκκλησίαν ἀνακάμψωσιν, καίπερ καὶ πρώην ὑπὸ συνόδου καθαιρεθέντες· καὶ σύνοδος ὁρᾶται σύνοδον λύουσα διὰ τὴν ἕνωσιν καὶ ὁμόνοιαν τῆς Ἐκκλησίας. Καὶ Ἰννοκέντιος δὲ ὁ πάππας λέγει ἐν τῷ πέμπτῳ κεφαλαίῳ· Οὗτοι οἱ χειροτονηθέντες ὑπὸ Βονόσου (3) τοῦ αἱρετικοῦ δεχέσθωσαν, ἵνα μὴ πάλιν σκάνδαλα ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ ἀναφυῇ. Καὶ οὐ μόνον τούτοις, καίπερ οὖσι τοιούτοις, καὶ ἐξ αὐτῶν οὖσιν ἐξαιρέσεως (4), ἡ ἀποστολικὴ αὕτη καθέδρα καθαιρεθεῖσι τῆς ἐκκλησιαστικῆς εἰρήνης φροντίδα ποιουμένη χεῖρα βοηθείας ὤρεξεν (5), ἀλλὰ καὶ ὀρθοδόξοις ἱεράρχαις καὶ πατριάρχαις εἰς αὐτὴν καταφυγοῦσιν. Καὶ μετά τινα· Καθάπαξ γὰρ ὁ ἀποστολικὸς οὗτος θρόνος λαβὼν τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν παρὰ τοῦ πρώτου καὶ μεγάλου ἀρχιερέως Ἰησοῦ Χριστοῦ διὰ τοῦ κορυφαίου τῶν ἀποστόλων Πέτρου, εἰπόντος πρὸς αὐτόν· *Σοὶ δώσω τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν· καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς· καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς* (6), ἔχει ἐξουσίαν καθόλου δεσμεῖν τε καὶ λύειν καὶ κατὰ τὸν προφήτην Ἱερεμίαν ἐκριζοῦν καὶ καταφυτεύειν (7) · διὰ τοῦτο καὶ ἡμεῖς τῇ αὐθεντίᾳ τοῦ κορυφαίου τῶν ἀποστόλων Πέτρου χρώμενοι μετὰ πάσης τῆς καθ' ἡμᾶς ἁγιωτάτης Ἐκκλησίας παρεγγυώμεθα δέξασθαι τὸν Φώτιον. » Τί οὖν (8) ἔστιν ἐν τούτοις μαθεῖν; Πρῶτον μέν, ὅτι σύνοδος σύνοδον λύει δι' ὠφέλειαν· εἶτα συνίσταται, ὅτι ἀνάγκης ἐπικειμένης παραλύονται κανόνες δι' ἕνωσιν καὶ ὁμόνοιαν τῆς Ἐκκλησίας· καὶ ὅτι ὁ ἀποστολικὸς θρόνος ἔχει τὰς κλεῖς τῆς βασιλείας (9) τῶν οὐρανῶν, τοῦ δεσμεῖν τε καὶ λύειν καὶ ἐκριζοῦν καὶ καταφυτεύειν (10). Εἰ οὖν ταύτην

(1) Cod. Mon. 27, f. 139 a, Φίλιξ.
(2) Melior lectio οὐ μὴν δὲ ἀλλά reperitur alias.
(3) Cod. Mon , Βονόσου. Sic et Bevereg. l. c.
(4) Mon. ἐξ αἱρήσεως. Bever. eadem habet.
(5) Mon. ὥρυξεν.
(6) Matth. xvi, 19.
(7) Jerem. I, 10.
(8) Hæc usque ad finem cap. rursum habet Allat. l. c. p. 239.
(9) Τῆς βασιλείας omitt. Mon. 27, f. 139 b.
(10) Mon. cit., φυτεύειν.

(*a*) Apud Baron. l. c. n. 23 : « Licet tales essent, ut ex illis fuissent ut hæretici damnati. »

οἰκουμενικὴν σύνοδον στέργει καὶ μαρτυρίας ἐξ αὐτῆς προφέρει, τί καινὸν καὶ παράδοξον ἡγεῖται τὴν οἰκουμενικὴν σύνοδον πεποιηκέναι μετὰ καὶ αὐτοῦ τοῦ πρώτου ἀρχιερέως τοῦ οὕτω τὴν ἐξουσίαν λέγοντος ἔχειν καὶ δεχομένου παρὰ τῆς ὑγδόης συνόδου συγχωρήσασαν, καὶ νῦν ψάλλεσθαι τὸ ἱερὸν σύμβολον μετὰ καὶ τῆς (1) ἀναπτύξεως ἐν τῇ Ῥωμαϊκῇ Ἐκκλησίᾳ, ἐν δὲ τῇ Ἀνατολικῇ, ὡς ἀρχῆθεν ἐτέθη ;

ΕΦΕΣΟΥ.

« Εἴ τις γὰρ, φησὶ, παρὰ τοῦτο τὸ ἱερὸν συμβόλον τολμήσει ἕτερον ἀναγράψασθαι ἢ προσθεῖναι ἢ ὑφελεῖν, καὶ ὅρον ὀνομάσαι ἀποθρασυνθείη, κατάκριτος καὶ πάσης Χριστιανικῆς πολιτείας ἀπόβλητος. » Τὰ δ' αὐτὰ (2) καὶ ὁ πάππας Ἰωάννης πρὸς τὸν ἁγιώτατον Φώτιον ἐπιστέλλων φησὶ πλατύτερόν τε καὶ καθαρώτερον περὶ τῆς ἐν τῷ συμβόλῳ ταύτης προσθήκης.

ΑΠΟΛΟΓΙΑ.

Περὶ τούτου οὐ χρὴ ἀπολογίαν δοῦναι. Οὐδεὶς γὰρ ἕτερον σύμβολον ἀνάγραπτον πεποίηκεν, οὐδὲ καθάπερ ἡ ἐν Τύρῳ σύνοδος καὶ ἡ ἐν Ἀντιοχείᾳ καὶ ἡ ἐν Σελευκίᾳ καὶ ἡ ἐν Κωνσταντινουπόλει ἐπὶ Εὐδοξίου καὶ ἡ ἐν τῇ Νίκῃ τῆς Θράκης, καὶ ἡ ἐν Σιρμίῳ, καὶ ἡ ἐν Ἐφέσῳ, ἐν ᾗ ἐξῆρχε Διόσκορος, καὶ σύμβολον ἕτερον ἐπεποιήκεσαν (3), οὕτω καὶ νῦν γέγονεν, ἵνα ἁρμόσῃ τὰ παρ' αὐτοῦ εἰρημένα.

ΕΦΕΣΟΥ.

Αὕτη ἡ σύνοδος καὶ κανόνας ἐξέθετο τοὺς ἐν πᾶσι τοῖς κανονικοῖς βιβλίοις εὑρισκομένους. Κατὰ τοὺς ὅρους τοίνυν αὐτῆς (4) καὶ τῶν πρὸ αὐτῆς συνόδων τὸ ἱερὸν τῆς πίστεως σύμβολον ἀκίνητον δεῖν φυλάττεσθαι κρίνων, ὡς ἐξεδόθη, καὶ (5) οὓς ἀποδέχονται συναποδεχόμενος καὶ οὓς ἀποβάλλονται συναποβαλλόμενος, οὐδέποτε εἰς κοινωνίαν προσδέξομαι τοὺς τολμήσαντας ἐν τῷ ἱερῷ συμβόλῳ τὴν καινοτομίαν προσθεῖναι περὶ τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως, ἕως ἂν ἐμμένωσι (6) τῇ τοιαύτῃ καινοτομίᾳ. Ὁ γὰρ κοινωνῶν, φησὶ, τῷ ἀκοινωνήτῳ, καὶ αὐτὸς ἀκοινώνητος ἔστω (7).

ΑΠΟΛΟΓΙΑ.

Καὶ τὸν κανόνα, ὃν Θεόφιλος ὁ Ἀλεξανδρείας κατὰ τοῦ ἱεροῦ καὶ θείου Χρυσοστόμου προεκόμισεν, ἐν πᾶσι τοῖς κανονικοῖς τῶν βιβλίων εὕροι ἄν τις. Ἀλλ' ὁ θεῖος Χρυσόστομος ὑπὸ Ἀρειανῶν γεγενῆσθαι τοῦτόν φησι, καθὼς ἐν τῷ βίῳ αὐτοῦ κατὰ ῥῆμα ἔχει οὕτως · « Τρεῖς δὲ τῶν ὑπ' αὐτοῦ ἐπισκόπων ἐκπέμπει, κανόνα δοὺς εἰς κατηγορίαν, ὃν οἱ Ἀρειανοὶ πρότερον κατὰ τοῦ στερρροῦ τῆς Ἐκκλη-

A

B

C

D

EPHES. (CAP. XVI.)

Nam « Si quis, inquit, præter hoc sacrum Symbolum aliud conscribere ausus fuerit, vel addere vel detrahere aliquid, et definitionem hoc appellare, damnatus talis et ab omni Christiano consortio abjectus erit (*a*). » Eadem quoque papa Joannes in epistola ad sanctissimum Photium uberius et clarius dicit de hoc in Symbolo additamento (*b*).

APOLOGIA.

De his non oportet apologiam promere. Nemo enim aliud Symbolum litteris consignatum edidit, neque sicut synodus Tyri celebrata et ea quæ Antiochiæ, et quæ Seleuciæ, et quæ Constantinopoli sub Eudoxio, et quæ Nicæ Thraciæ, et quæ Sirmii habita fuit, atque Ephesina Dioscoro præside coacta (*c*), quæ aliud Symbolum fecerant, ita et nunc factum est, unde ab eo dicta minime quadrant.

EPHES. (CAP. XVII).

Hæc synodus etiam canones edidit, qui in omnibus canonicis libris reperiuntur (*d*). Secundum ipsius igitur sanctiones atque synodorum ante ipsam habitarum sacrum fidei Symbolum immotum custodiendum esse judicans, prout editum fuit, atque eos, quos recipiunt, una cum iis recipiens, quosque abjiciunt simul cum eis abjiciens, nunquam in communionem admittam eos qui audent in sacro Symbolo innovationem addere de Spiritus sancti processione, quandiu in ejusmodi innovatione persistent. Nam qui communicat, inquit, cum eo, cui communicandum non est, et ipse extra communionem esto.

APOLOGIA.

Etiam canonem, quem Theophilus Alexandrinus contra sacrosanctum Chrysostomum protulit, in omnibus canonicis libris quis reperiet. Sed divus Chrysostomus ab Arianis hunc conditum esse dicit, prout in ejus Vita his ipsis verbis legitur : « Tres vero episcoporum sibi subjectorum mittit, canonem dans in accusationem, quem Ariani prius contra firmum Ecclesiæ

(1) Αὐτῆς Allat. l. c.
(2) Sic Mon. 256 f. 126 a ; Mon. 27, f. 140 a, ταῦτα καί.
(3) Cod., πεποιήκεσαν.
(4) Mon. 27, αὐτοῖς.
(5) Καί deest in Mon. 27.
(6) Τε add. Mon. 27.
(7) Ἀκηνώντος Mon. 27.

(*a*) Exstant ista in actione sexta et septima synodi Photianæ. Vide Mansi Concil. t. XVII, p. 520 E. 521, A.

(*b*) Nimirum in synodo Photiana generatim quodlibet additamentum proscriptum est; supposita vero Joannis VIII epistola, quæ inter acta conciliabuli non est, diserte de additione *Filioque* agit.

(*c*) Priores sex synodi sæculo quarto ab Arianis habitæ una cum Ephesino latrocinio anni 449 alterius symboli prolati et formularum fidei sæpius immutatarum reæ traducuntur.

(*d*) Tres hi canones leguntur in concil. Phot. Mansi t. XVI, p. 549, 550; t. XVII, p. 497, 504. Licet hos canones Balsamon, Blastares aliique habent, tamen non in omnibus canonicis libris reperiuntur; desunt v. gr. in Aristini et Symeonis Magistri collect. (apud Voellum et Justelli. Bibl. jur. can. vet. t. II, p. 675-748).

propugnaculum Athanasium protulerunt dicentem : « Si quis episcopus vel presbyter juste aut injuste depositus ad suas functiones revertatur absque synodo ecclesiastica, non amplius tali locum dari defensionis (*a*). » Non ergo mirandum est, si tres isti Photii canones in codicibus reperiuntur. Quin imo et ex his unum (*b*) resolverunt, cum Mauroblachiæ Anthimi illius negotium tractaretur. Hic siquidem cum angelicum (monasticum) habitum induis et, rursus adhortante synodo pontificalia munera exsecutus erat (*c*). Et Gothiæ (*d*) Holobolus ante suum ex hac vita exitum cum idem fecisset, ut præsul judicatus et ut præsul in monasterio Christi philanthropi humatus est, venerabili et sanctissimo patriarcha Matthæo (*e*) nec non Serrarum, Berrhœæ et allis metropolitis præsentibus. Et prorsus canon iste nullo erat in usu ; quin et reperitur ejus usus prohibitus a sancto Theodoro Studita (*f*), ut in ejus Interrogationibus et Responsionibus legitur. Verum nos et hanc recipimus, sicuti prædiximus, et quos hæc suscipit, et nos suscipimus. Namque ipsa, ut beati Joannis papæ epistola testatur, eos qui cum additamento sacrum Symbolum canunt, in communione habuit (*g*). Nos vero cum judicio et sententia universæ œcumenicæ synodi eam, quæ in confesso est, explicationem et explanationem, non complementum ejus quod deficiat, recipimus, et maxime quidem ob prædicta sanctæ hujus synodi verba, quam profert Ephesi antistes.

A σίας ἐρείσματος Ἀθανασίου προέτεινον, « Εἴ τις ἐπίσκοπος, λέγοντα, ἢ πρεσβύτερος δικαίως ἢ ἀδίκως καθαιρεθεὶς ἐπ' αὐτῷ ἐπανέλθοι συνόδου δίχα τῆς Ἐκκλησίας, τῷ τοιῷδε μηκέτι δίδοσθαι χώραν ἀπολογίας. » Οὐ θαυμαστὸν οὖν, εἰ (1) καὶ οἱ τρεῖς τοῦ Φωτίου κανόνες ἐν τοῖς βιβλίοις εὑρίσκονται (2) μᾶλλον δὲ καὶ τὸν ἕνα παρέλυσαν ἐπὶ τοῦ Μαυροβλαχίας Ἀνθίμου ἐκείνου. Οὗτος γὰρ εἰς ἑαυτὸν τὸ ἀγγελικὸν σχῆμα ἀναπληρώσας, πάλιν ὑπὸ συνόδου προτραπεὶς τὰ ἀρχιερατικὰ ἐνήργει. Καὶ Γοτθίας (3) δὲ ὁ Ὀλώβωλος (4) τὰ ὅμοια ποιήσας (5) ἐν τῷ τέλει αὐτοῦ ὡς ἀρχιερεὺς ἐκρίθη, καὶ ὡς ἀρχιερεὺς ἐκηδεύθη ἐν τῇ μονῇ τοῦ φιλανθρώπου Χριστοῦ, παόντος καὶ τοῦ ἁοιδίμου καὶ ἁγιωτάτου πατριάρχου κυρίου (6) Ματθαίου καὶ τοῦ Σερρῶν B καὶ τοῦ Βερροίας καὶ τῶν λοιπῶν ἀρχιερέων. Καὶ μέχρι παντὸς ὁ κανὼν οὗτος οὐκ ἐστέργετο, εἰ μὴ ὅτι εὑρέθη κεκωλυμένος ὑπὸ τοῦ ἁγίου Θεοδώρου τοῦ Στουδίτου, καθὼς περιέχεται ἐν ταῖς ἐρωτοαποκρίσεσιν αὐτοῦ (7). Ἀλλ' ἡμεῖς καὶ ταύτην στέργομεν, ὡς προειρήκαμεν, καὶ οὓς αὕτη ἀποδέχεται, καὶ ἡμεῖς ἀποδεχόμεθα. Καὶ γὰρ τοὺς μετὰ προσθήκης τὸ ἱερὸν σύμβολον ψάλλοντας, ὡς ἡ ἐπιστολὴ τοῦ μακαρίου Ἰωάννου πάππα μαρτυρεῖ, κοινωνοὺς εἶχεν. Ἡμεῖς δὲ μετὰ κρίσεως (8) καὶ διακρίσεως ἁπάσης τῆς οἰκουμενικῆς συνόδου τὴν ὁμολογηθεῖσαν ἀνάπτυξιν καὶ σαφήνειαν, καὶ οὐ τὴν ἀναπλήρωσιν τοῦ ἐλλείποντος, δεχόμεθα, καὶ μάλιστά γε διὰ τὰ προειρημένα τῆς ἁγίας συνόδου ταύτης, ἣν προ- C κομίζει ὁ Ἐφέσου.

EPHES. (CAP. XVIII).

Et divus Chrysostomus explanans Pauli verba : *Si quis evangelizet vobis præter id quod accepistis, anathema sit.* « Non dixit, inquit, si contraria annuntient vel totum evertant, sed et si parvum quid evangelizent præter id quod accepistis, si quodcunque de loco moveant, sit anathema. » Et rursus idem : « Dispensatione utendum, ubi non prævari-

ΕΦΕΣΟΥ.

Καὶ ὁ θεῖος Χρυσόστομος ἐξηγούμενος τό· *Εἴ τις εὐαγγελίζεται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα* (9)· « Οὐκ εἶπε, φησὶν, ἐὰν ἐναντία καταγγέλλωσιν ἢ τὸ πᾶν ἀνατρέπωσιν, ἀλλὰ κἂν μικρόν τι εὐαγγελίζωνται παρ' ὃ παρελάβετε, κἂν τὸ τυχὸν παρακινήσωσιν, ἀνάθεμα ἔστωσαν. » Καὶ ὁ αὐτὸς αὖθις· « Οἰκονομητέον, ἔνθα μὴ παρανομητέον. » Καὶ ὁ

(1) Et omitt. Mon. 27, f. 140 b ; habet Allatius qui ista citat contra Creyght., p. 285.

(2) Allat. l. c. p. 286 vertit, « Licet hi tres Photii canones habeantur in codicibus, *in observatione non esse.* » Hæc posteriora tamen in Græco textu non habet, sicut nec codices nostri.

(3) Mon. 27. Γοτθεία ;.

(4) Ita Marc. et Mon. 27. Allat. Ὀλόβωλος. Le Quien, qui hæc citat in Oriente Christ., t. I, p. 124 Ὀλόβολος.

(5) Le Quien l. c., τετίμηται.

(6) Allat, κυροῦ.

(7) Hucusque Allatius l. c.

(8) Mon. ,μεταχρίσεως.

(9) Gal. I, 9.

(*a*) Concil. Antioch. a 341, can. 4. Cf. can. 12 ejusdem synodi et can. ap. 27 (al. 29). De quibus agit Hefele in Historia conciliorum. t. I, p. 489, 495 ; t. II, p. 84. Quæ ad Chrysostomum hoc titulo depositum spectant, narrat Palladius in ejus Vita, c. 9.

(*b*) Nimirum Photii canonem secundum, qui statuit, ut si quis episcopus ad vitam monasticam descendere et pœnitentiæ locum implere voluerit, antistitis dignitatem non amplius retineat.

(*c*) Hæc adducit Le Quien, Or. Christ. t. I, p. 1251.

(*d*) Gothia est episcopatus in provincia Mœsiæ inferioris. Vide Le Quien, l. c. t. I, p. 1246, ubi hæc quoque verba allegantur.

(*e*) Matthæus I Constantinopolitanam sedem tenuit ab anno 1591 usque ad annum 1410. De quo vide Le Quien l. c. t. I, p. 305. Cuper in Serie patriarcharum Byzantinorum (Acta SS., t. I Aug., n. 1106-1109, p. 183, 184) ejus patriarchatum ponit inter annos 1398 et 1407. D

(*f*) Atqui Theodorus Studita jamdiu ante hanc Photii synodum, ubi canon ille promulgatus fuit, diem obierat supremum. Allatius in sua versione. l. c. p. 286, rem ita inflecit : « Quin ejusdem, ut in S Theodorii Studitæ Interrogationibus et Responsionibus adnotatur, usus prohibetur. »

(*g*) Fallax ea est conclusio. Joannis VIII spuria illa epistola nec Actis Photianæ synodi est inserta nec in ea commemorata ; in plurimis, quos ego vidi, codicibus, omnino seorsim ab ea synodo legitur, et multi codices, quibus acta habent, ne vestigium quidem ejusdem epistolæ suppeditant.

μέγας Βασίλειος ἐν τοῖς Ἀσκητικοῖς· « Φανερὰ ἔκπτωσις πίστεως καὶ ὑπερηφανίας κατηγορία (1) ἢ ἀθετεῖν τί τῶν γεγραμμένων ἢ ἐπεισάγειν τι τῶν μὴ γεγραμμένων, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰπόντος· *Τὰ ἐμὰ πρόβατα τῆς φωνῆς μου ἀκούει* (2), καὶ πρὸ τούτου (3) εἰρηκότος· *Ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσουσιν* (4), *ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ, ὅτι οὐκ οἴδασι τὴν φωνὴν τῶν ἀλλοτρίων* (5).

ΑΠΟΛΟΓΙΑ.

Τὸ *ὁμοούσιον* καὶ τὸ *Θεοτόκος*, *ἡ ἀεὶ παρθένος Μήτηρ Χριστοῦ τοῦ Θεοῦ*, οἱ ἀπόστολοι οὐκ εὐαγγελίσαντο, ἀλλ' οὐδ' ὅσα οἱ ἅγιοι ἐξήπλωσαν ἐν τοῖς ἱεροῖς αὐτῶν συγγράμμασιν· ἃ πάντα ἡ Ἐκκλησία ἐνστερνίζεται παραδεξαμένη ταῦτα καὶ πιστεύει. Τί οὖν καὶ περὶ τῆς ἐναλλαγῆς (6) τῆς προθέσεως, τῆς ἐν τῷ Εὐαγγελίῳ Κυριακῆς φωνῆς λεγούσης, *Ὁ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται*, παρὰ δὲ τῶν ἑκατὸν πεντήκοντα ἁγίων Πατέρων τῶν ἐν Κωνσταντινουπόλει *ἐκ τοῦ Πατρὸς ἐκπορεύεται*, εἶποι (7) ἄν; Πρόδηλον ἄρα, ὅτι περὶ κακοδοξίαν εἶπον καὶ μόνον οἱ ἅγιοι· οὐ γὰρ αὐτοὶ ἑαυτοῖς ἐναντία εἶπον· δῆλον γὰρ ὡς ἐν τῷ Εὐαγγελίῳ οὐ γέγραπται, *δι' Υἱοῦ ἐκπορευόμενον* τὸ Πνεῦμα τὸ ἅγιον, οὐδὲ *ἐκ τῆς οὐσίας τοῦ Πατρὸς*, ὡς ὁ θεῖος Ἰωάννης ὁ Δαμασκηνὸς θεολογεῖ, οὐδ' *ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ*. Οὐκ ἄρα χώραν ἔχουσι τὰ εἰρημένα παρὰ τοῦ αἰδεσίμου Ἐφέσου, καὶ ἡ προκομιζομένη παρ' αὐτοῦ ῥῆσις τοῦ θείου Ἀποστόλου, ὡσαύτως καὶ ἡ ἐξήγησις τοῦ Χρυσοστόμου Πατρός.

ΕΦΕΣΟΥ.

Καὶ ἐν (8) τῇ πρὸς μονάζοντας ἐπιστολῇ· « Οἵτινες τὴν ὑγιῆ πίστιν προσποιοῦνται ὁμολογεῖν, κοινωνοῦσι δὲ τοῖς ἑτερόφροσι, τοὺς τοιούτους, εἰ μετὰ παραγγελίαν μὴ ἀποστῶσι, μὴ μόνον ἀκοινωνήτους ἔχειν, ἀλλὰ μηδὲ ἀδελφοὺς ὀνομάζειν. » Καὶ πρὸ τούτων ὁ θεοφόρος Ἰγνάτιος ἐν τῇ πρὸς τὸν θεῖον Πολύκαρπον τὸν (9) Σμύρνης ἐπιστολῇ· « Πᾶς ὁ λέγων, φησὶ, παρὰ τὰ διατεταγμένα, κἂν ἀξιόπιστος ᾖ, κἂν νηστεύῃ, κἂν παρθενεύῃ, κἂν σημεῖα ποιῇ, κἂν προφητεύῃ, λύκος σοὶ φαινέσθω ἐν προβάτου δορᾷ προβάτων φθορὰν κατεργαζόμενος. » Καὶ τί δεῖ πολλὰ λέγειν; Ἅπαντες οἱ τῆς Ἐκκλησίας διδάσκαλοι, πᾶσαι αἱ σύνοδοι καὶ πᾶσαι αἱ θεῖαι Γραφαὶ φεύγειν τοὺς ἑτερόφρονας παραινοῦσι καὶ τῆς αὐτῶν κοινωνίας διίστασθαι (10).

ΑΠΟΛΟΓΙΑ.

Εἰ καὶ τὰ προειρημένα ἀρκέσουσιν εἰς ἐναργῆ

candum. » Et magnus Basilius in Asceticis : « Manifesta fidei desertio et superbiæ crimen vel contemnere quid eorum, quæ scripta sunt, vel inducere quid non scriptum, cum Dominus noster Jesus Christus dicat : *Oves meæ vocem meam audiunt*, et jam antea dixerit : *Alienum autem non sequentur, sed fugient ab eo, quia non noverunt vocem alienorum.*

APOLOGIA.

Voces illas : *Consubstantialis*, *Deipara*, *semper Virgo Mater Christi Dei*, apostoli non evangelizaverunt, sed neque quæcunque sancti explicuerunt in sacris suis scriptis, quæ omnia Ecclesia amplectitur hæc suscipiens atque credit. Quid igitur dixerit de commutatione præpositionis, cum in Evangelio Dominica vox edicat, *Qui* (*Spiritus*) *a Patre procedit*, centum vero quinquaginta sancti Patres Constantinopoli congregati : *Ex Patre procedit*? Manifestum ergo, sanctos circa malam opinionem eamque solam locutos esse ; neque enim ipsi sibimet ipsis contraria locuti sunt. Liquet enim, in Evangelio non scriptum esse *Per Filium procedere* Spiritum sanctum, neque *ex essentia Patris*, ut divus Joannes Damascenus prædicat, neque ex *essentia Filii*. Non ergo locum habent ea quæ dicta sunt a reverendo Ephesiorum antistite, et producta ab eo divi Apostoli locutio, atque similiter sancti Chrysostomi explanatio.

EPHES. (CAP. XIX).

Et in epistola ad monachos : « Qui sanam fidem se confiteri simulant, communicant autem cum diversa sentientibus, tales, si post admonitionem non desistant, non solum communionis extorres habendos, sed nec fratrum nomine esse salutandos. » Et ante istos deifer Ignatius in litteris ad divum Polycarpum Smyrnæ episcopum ait : « Omnis qui loquitur præter constituta, etiamsi fide dignus sit, etiamsi jejunet, etiamsi virginitatem servet, etiamsi signa faciat, etiamsi prophetizet, lupus tibi censeatur, in pelle ovium perniciem ovium operans (*a*). » Et quid oportet plura dicere? Omnes Ecclesiæ doctores, omnes synodi et universæ divinæ Scripturæ ad aliter sentientes vitandos et ut ab eorum communione alieni simus nos cohortantur.

APOLOGIA.

Et si superius dicta sufficient ad plene eviden-

(1) Sic Mon. 256 b, et Marc. f. 230 a ; Mon 27, f. 141 a, ὑπερηφανία καὶ κατηγορία.
(2) Joan. x, 27.
(3) Mon. 27, πρὸ τοῦ
(4) Mon. 256, ἀκολουθήσωσιν.
(5) Joan. x, 5. Marc., τῶν ἀλλοτρ. τὴν φωνήν.
(6) Ita Mon. 27. f. 141 a ; Marc. f. 230 b, τῆς ἀλλαγῆς.
(7) Mon. 27, εἶπει.
(8) Καὶ ἡ habet Mon. 27, f. 141 a.
(9) Τόν omitt. Mon. 27.
(10) Mon. 27, f. 141 b ad marg. habet hanc notam sub nomine Pfusiadeni : Ὅτι δεῖ ἀποστρέφεσθαι τοὺς ἑτερόφρονας, καλῶς ἂν λέγεις, ᾧ λῷστε· ὅτι δέ εἰσιν ἑτερόφρονες οἱ Λατῖνοι, πειρᾶσαι μὲν ἀποδεῖξαι οὔπω (cod. οὕπω) δέ γε ἀποδεικνύεις.

(*a*) Hæc, ni fallor, non habentur in genuinis Ignatii septem epistolis, sed in uberiori recensione quæ spuria censenda est. Sensus tamen est Ignatii, qui sæpe communionem hæreticorum fugiendam esse docet. Ad Polyc. c. 3 ; Smyrn. c. 4 ; Philad. c. 3 ; Trall. c. 6, 11 ; Eph. c. 8, 9, 10.

terque probandum, posteriores synodos, non solum eas, quæ post deiferum Ignatium, sed etiam eas quæ post sanctum Basilium et Joannem aureo eloquio clarum congregatæ sunt, multa explanasse et explicasse, atque neminem id prohibuisse, attamen ex dialogo quoque sancti Maximi aliqua proferemus utpote prædictis sanctis longe posterioris, ad eam ostendendam veritatem, quod non omnis explicatio et explanatio prohibetur, ac rursum quod non omnis expositio et interpretatio, quæ sacrosanctis definitionibus addita est, aliam per introductionem aliarum vocum constituit definitionem, verum et ea quæ prius in quæstionem non venerant, posterius vero explanata sunt, merito suscipiuntur et custodiuntur. Ait enim Maximus in Apologia compendio exposita, quam pro Chalcedonensi synodo compilavit, cujus initium : « Quoniam admodum generose aut ignaviter, ut aptius dicam : » —« Quodsi de veritate ipsa vera dicenda sunt, omnes post Nicænam synodum a Deo electi Patres, et omnis orthodoxorum et sanctorum hominum cœtus, non aliam fidei definitionem propriorum verborum introductione et additione induxerunt, ut vos nimium perperam obloquentes et plane insanientes decernitis, sed eam ipsam veluti primam et unicam a sanctis trecentis decem et octo Patribus sanctam firmiter confirmarunt, dilucidantes eam et enarratione sua apertius enucleantes propter eos, qui illam et illius dogmata ad propriam impietatem constabiliendam detorquebant et perperam exponebant. » Quid igitur, si pari quoque modo Latini fecissent propter eos qui Filium Patri inæqualem dicebant, sacro Symbolo addentes explanationem, vocem videlicet *Filioque*, quam et ipse divus Maximus in propria epistola (*a*) Patrum vocem esse testatur? Præterea ex disputatione sancti Maximi cum eo qui Anomœi (Macedonii) sententiam sectabatur, ubi Macedonianus dicit ad Maximum : « An igitur subscribis expositioni Luciani? » *Maximus* : « Quid condemnasti expositionem a trecentis decem et octo sanctis Patribus Nicææ Bithynii congregatis promulgatam, ut et aliam quæras? » *Macedon.* : « Tu vero quid condemnasti Luciani confessionem? » *Orthodoxus.* : « Condemnavi additionem, quam expositioni Luciani apposuistis; possumque ostendere, additionem illi adversari. » *Macedon.* : « Et vos nonne addidistis Nicænæ? » *Orthod.* : « Sed non illi contraria. » *Macedon.* :

πληροφορίαν, ὡς αἱ μεταγενέστεραι σύνοδοι, οὐ μόνον αἱ μετὰ τὸν θεοφόρον Ἰγνάτιον. ἀλλὰ καὶ αἱ μετὰ τὸν ἱερὸν Βασίλειον καὶ ἔτι τὸν Χρυσοῦν τὴν γλῶτταν, πολλὰ διετράνωσαν καὶ ἐξήπλωσαν, καὶ οὐδεὶς κεκώλυκε τοῦτο, ἀλλ' οὖν εἰς ἔνδειξιν τῆς ἀληθείας, ὡς οὐ κωλύεται πᾶν τὸ ἐξαπλούμενον καὶ σαφηνιζόμενον, καὶ ἐκ τοῦ διαλόγου τοῦ θείου Μαξίμου προθήσομεν, ὡς ὑστάτου (1) ὄντος τῶν προειρημένων ἁγίων, καὶ ὡς οὐ πᾶν τὸ ἐξαπλούμενον καὶ σαφηνιζόμενον καὶ τοῖς θείοις ὅροις προστιθὲν οὐκ ἄλλον ὅρον ἐμποιεῖ διὰ τῆς ἐπεισαγωγῆς, ἀλλὰ καὶ τὰ μὴ ζητηθέντα πρότερον, ἑρμηνευθέντα δὲ ὕστερον καλῶς προσδέχονται καὶ φυλάττονται. Φησὶ γὰρ ὁ Μάξιμος ἐν τῇ συντόμῳ ἀπολογίᾳ (2) αὐτοῦ, ἣν ποιεῖται ὑπὲρ τῆς ἐν Χαλκηδόνι συνόδου, ἧς ἡ ἀρχή· « Ἐπειδὴ (3) λίαν γενναίως ἢ ἀγενῶς εἰπεῖν οἰκειότερον· » — « Εἰ γὰρ (4) ἔστι τἀληθῆ ὑπὲρ ἀληθείας εἰπεῖν, πάντες οἱ μετὰ τὴν Νικαέων θεόκριτοι Πατέρες, καὶ πᾶσα σύνοδος ὀρθοδόξων καὶ ἁγίων ἀνδρῶν, οὐκ ἄλλον πίστεως ὅρον διὰ τῆς ἐπεισαγωγῆς τῶν οἰκείων ῥημάτων παντελῶς ἐπεισήγαγον, ὡς ὑμεῖς ἀποφαίνεσθε (5) πλεῖστον παραληροῦντες καὶ τὸ ὅλον μαινόμενοι, ἀλλ' αὐτὴν ὡς πρῶτον καὶ μόνον τὸν ἐκ τῶν ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ (6) Πατέρων νομοθετηθέντα βεβ ἰως ἐκύρωσαν, τρανοῦντες αὐτὸν καὶ οἷον ἐπεξηγούμενοί τε καὶ ἐπεξεργαζόμενοι διὰ τοὺς ἐκείνου καὶ τὰ ἐκείνου δόγματα πρὸς τὴν οἰκείαν κακῶς ἐκλαμβάνοντας καὶ παρεξηγουμένους δυσσέβειαν. » Τί οὖν, εἰ καὶ ὁμοίως Λατῖνοι ἐπεποιήκεσαν διὰ τοὺς ἀνίσου τὸν Υἱὸν λέγοντας τῷ Πατρὶ, προσθέντες τὴν ἀνάπτυξιν τῷ ἱερῷ συμβόλῳ, τὴν *καὶ ἐκ τοῦ Υἱοῦ* φωνὴν, ἣν καὶ αὐτὸς ὁ θεῖος Μάξιμος μαρτυρεῖ ἐν τῇ οἰκείᾳ ἐπιστολῇ ὡς ἔστι τῶν Πατέρων φωνή : Ἔτι ἐκ τῆς διαλέξεως τοῦ ἁγίου Μαξίμου, ἣν ποιεῖται μετὰ τοῦ τὰ Ἀνομοίου (7) φρονοῦντος, φησὶν ὁ Μακεδόνιος (8) πρὸς τὸν Μάξιμον· « Ὑπογράφεις οὖν τῇ ἐκθέσει τοῦ Λουκιανοῦ ; » *Μάξιμος* · « Τί κατέγνως τῆς ὑπὸ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ Πατέρων ἁγίων τῶν ἐν Νικαίᾳ τῆς Βιθυνίας ἐκτεθείσης, ἵνα καὶ ἄλλην περιβλέψῃ ; » *Μακεδ.* « Σὺ τί κατέγνως τῆς τοῦ Λουκιανοῦ ; » *Ὁ Ὀρθόδοξος* · « Κατέγνων τῆς προσθήκης, ἧς προσεθήκατε ἐν τῇ ἐκθέσει τοῦ Λουκιανοῦ· καὶ ἔχω δεῖξαι, ὅτι προσεθήκατε ἐναντία (9) αὐτῆς. » *Μακεδον.* « Ὑμεῖς οὐ προσεθήκατε τῇ ἐν Νικαίᾳ ; » *Ὀρθόδ.* « Ἀλλ' οὐκ ἐναντία αὐτῇ (10). » *Μακεδον.* « Ὅλως προσεθήκατε. » *Ὀρθόδ.* « Τὰ τότε μὴ ζητηθέντα νῦν ἡρμήνευσαν οἱ Πατέρες εὐσεβῶς. » Τί οὖν ἐρεῖ ἐπὶ τοῖς εἰρη-

(1) Ita Monac.; Marc. f. 239 b, ὑποστάτου.
(2) Al., ὁμολογία. Sic habet noster lib. ad imp. Trapez. c. 16 (*infra*, *col.* 231), ubi idem Maximi scriptum allegat.
(3) Sid. codd.; alias, ἐπεὶ δέ.
(4) Hæc profert Gregorius op. cit., col. 235 et jam ante col. 206.
(5) Ita recte Marc. ; Mon. 27, f. 142 a, ἀποφαίνεσθαι.
(6) Mon., ὠκτῷ.
(7) Forte Μακεδονίου, ut Gregor. l. c., p. 449.
(8) Hic et in sequentibus legitur in codd. Μακεδόνιος ; legendum foret, Μακεδονιανός.
(9) L. ad imp. Trapez. c. 16, col. 231, ἐναντίον. Mon. 27 omittit verba ἧς προσεθήκατε — δεῖξαι ὅτι.
(10) Hæc etiam habet auctor l. c.

(*a*) Epistola ad Marinum. Vide supra, cap. 4.

μένοις; Ἠγνόησεν ὁ θεῖος Μάξιμος τοὺς ὅρους, ἵνα δι' αὐτῶν ἀπελέγξῃ μᾶλλον τὸν μὴ καλῶς λέγοντα; Οὐδαμῶς· οἶδε γὰρ καὶ αὐτὸς τὴν ἀπόφασιν τῆς ἱερᾶς καὶ ἁγίας τετάρτης συνόδου, καθὼς περιέχεται ἐν τῷ προσφωνητικῷ τῷ πρὸς τὸν βασιλέα (1), οὕτω θεσπίζουσαν· « Εἰ δέ τις μέχρι τούτου στῆναι τοῖς (2) πίστει συνηγορεῖν βουλομένοις προστάττει τὴν ἄδειαν, μάλιστα μὲν τοῖς αἱρετικοῖς τοῦτο νομοθετείτω τὸ πρόσταγμα· ἐκείνους παύσῃ τῆς ἀδικίας, μὴ τοὺς ποιμένας τῆς ἀντιλήψεως. Πᾶς γὰρ νόμος τοῖς πονηροῖς ἀπαγορεύει τὴν ἁμαρτίαν, οὐ τοὺς κριτὰς ἀπείργει τῆς ἐξουσίας. Ἄλλως τε μανθανέτωσαν, ὡς καὶ νῦν ἔξεστιν ἀμφισβητήσεως ἀναφυείσης ταῖς τῶν Πατέρων ἑρμηνείαις τὴν ἡμετέραν ἐπισυνάπτειν ὁμολογίαν, ὡς οὐκ ἀπᾴδον τῆς ἐκείνων διανοίας ἐπιδεικνύμεθα φρόνημα. » Ἡμεῖς τοσοῦτον ἔγνωμεν ἐκ τῶν Πατέρων τὸ διάταγμα. Καὶ οὕτως φρονοῦμεν ἑξακολουθοῦντες τοῖς ὑπὸ τῶν ἁγίων εἰρημένοις, μηδὲν ἔξω τῶν παραδεδομένων ἡμῖν ποιοῦντες; (δηλοῦσι γὰρ τὰ ἐν πάσῃ τῇ ὁμολογίᾳ ἀπολελογημένα, ὡς ἅπαν ὃ λέγομεν οὐκ ἐκ τοῦ ἡμετέρου φρονήματός ἐστιν, ἀλλ' ἐκ τῆς τῶν θεολόγων καὶ ἁγίων Πατέρων διδασκαλίας)· μηδὲν ἄλλο τι φρονεῖν ἐθέλοντες, ἢ ὡς οἱ τρισμακάριοι Πατέρες καὶ διδάσκαλοι τῆς Ἐκκλησίας Χριστοῦ παρὰ τοῦ τελεταρχικοῦ καὶ θείου Πνεύματος ἐλλαμφθέντες διετράνωσαν.

A « Attamen omnino addidistis. » *Orthod.* : « Ea quæ tunc non in quæstionem venerant, ea nunc Patres pie explanaverunt. » Quid igitur dicet de his dictis? An ignoravit divus Maximus definitiones, ut exinde magis refutaret eum qui non bene loquebatur? Nullo modo. Novit enim et ipse prædicationem sacrosanctæ quartæ synodi, quemadmodum continetur in acclamatione ad imperatorem, quæ ita sancit : « Si quis autem censet hucusque consistendum illis esse, qui fidem pro facultate defendere cupiunt, maxime quidem hoc præceptum hæreticis promulgare debebit; illos ab iniqua impugnatione removens, non avertens a protectione pastores. Omnis enim lex improbis hominibus delicta prohibet, non judicibus adimit potestatem. Alias autem doceantur, nunc quoque licere, ut ambiguitate exorta Patrum interpretationibus nostram adjungamus confessionem, tanquam qui in nullo discordem intelligentiæ eorum deferimus sententiam. » Nos in tantum cognovimus ex Patribus præceptum. Et sic nos sentimus sequentes dicta sanctorum, nihil præter ea quæ nobis tradita sunt facientes (ea enim quæ in tota confessione pro defensione allata sunt declarant, omne quod dicimus, non ex nostra esse sententia, sed ex doctrina theologorum ac sanctorum Patrum), nihil aliud quidpiam sentire volentes, B nisi sicut ter beati Patres ac doctores Ecclesiæ Christi a Spiritu divino perfectam initiationem tribuente illuminati dilucidarunt atque explanarunt.

ΕΦΕΣΟΥ.

Τούτων οὖν (3) ἐγὼ πάντων καταφρονήσας; ἀκολουθήσω τοῖς ἐν προσχήματι πεπλασμένης εἰρήνης ἑνωθῆναι κελεύουσι, τοῖς τὸ ἱερὸν καὶ (4) θεῖον σύμβολον κιβδηλεύουσι (5), καὶ τὸν Υἱὸν ἐπεισάγουσι δεύτερον αἴτιον τοῦ ἁγίου Πνεύματος; Τὰ γὰρ λοιπὰ τῶν ἀτοπημάτων ἐῶ τό γε νῦν ἔχον· ὧν καὶ ἐν μόνον ἱκανὸν ἦν ἡμᾶς ἐξ αὐτῶν διαστῆσαι. Μὴ πάθοιμι τοῦτό ποτε, Παράκλητε ἀγαθέ, μηδ' οὕτως ἐμαυτοῦ καὶ τῶν καθηκόντων λογισμῶν ἀποπέσοιμι, τῆς δὲ σῆς διδασκαλίας καὶ τῶν ὑπὸ σοῦ ἐμπνευσθέντων μακαρίων ἀνδρῶν ἐχόμενος προστεθείην πρὸς τοὺς ἐμοὺς πατέρας, εἰ μή τι ἄλλο, ἐντεῦθεν ἀποφερόμενος τὴν εὐσέβειαν.

C EPHES. (CAP. XX).

Egone itaque hisce omnibus spretis sequar eos, qui sub prætextu confictæ pacis unionem præcipiunt, eos qui sacrosanctum symbolum adulterant et Filium secundam sancti Spiritus causam inducunt? Nam reliquas absurditates in præsentia prætermitto. Quarum vel una sufficiens foret ad nos ab ipsis prorsus separandos. Ne id unquam patiar, o bone Paraclete, neque adeo a memetipso et a decentibus cogitationibus unquam decidam, verum firmiter inhærens tuæ doctrinæ atque beatis viris a te inspiratis apponar ad patres meos, si non quid aliud abhinc deferens, certe tamen pietatem.

ΑΠΟΛΟΓΙΑ.

Ἡμεῖς τὴν πεπλασμένην ἕνωσιν οὔτε ἐθελήσαμέν ποτε οὔτε μὴν ἐθελήσομεν, ἐπεὶ πᾶν τὸ πεπλασμένον συνεζευγμένην ἔχει τὴν πλάνην· αἱ δὲ συστάσεις καὶ μαρτυρίαι τῶν ἱερῶν καὶ θείων Πατέρων αἱ (6) ἐνταῦθα γεγραμμέναι καὶ ἐν ἄλλαις πραγματείαις περὶ ταύτης τῆς ἑνώσεως ἐκτεθειμέναι πρὸς τὰ ὑπ' αὐτοῦ (7) εἰρημένα καὶ τῶν ὁμοίως ἐχόντων αὐτοῖς

D APOLOGIA.

Nos conflctam unionem neque desideravimus aliquando neque unquam desiderabimus, cum omne conflctum conjunctum habeat errorem. Sed documenta ac testimonia sanctorum et divinorum Patrum, quæ tum hic consignata, tum in aliis lucubrationibus de hac unione (*a*) exposita fuerunt ad ea quæ ab ipso dicta sunt et quæ his similiter

(1) Vide Mansi Concil. t. VII, p. 455. Eumdem textum affert Gregorius ad imp. Trapez. col. 239.
(2) Marc. f. 231 b, τῆς.
(3) Οὖν habet Mon. 256, f. 127 a.; omitt. Mon. 27, f. 142 b.
(4) Ἱερὸν καί omitt. Mon. 256.
(5) Ita Mon. 256 ; Mon. 27 habet κεβδηλεύσασι.
(6) Αἱ omitt. Allat., qui hæc adducit c. Creyght. p. 145.
(7) Allat. l. c., αὐτῶν.

(*a*) Hoc quoque loco Gregorius ad alia sua scripta provocat; hisque verbis inter alia Allatius contra Creyghton., p. 145 et 146, utitur ad probandum eumdem plurium librorum fuisse auctorem.

se habent, aperte declarant, nos nihil conflictum peregisse neque spurium quidquam introduxisse in sacrum Symbolum, quemadmodum olim illi qui vocem *ejusdem substantiæ* cum voce *similis substantiæ* commutarunt. Neque secundam causam sancti Spiritus dicimus Filium, ut ipse putat; sic enim et duos deos crederemus, sicut ipse somniatur. Attamen et de his sufficiens supra datum est responsum. Quod autem spectat ad reliquas absurditates, quas silentio præterit, si quidem de beatitudine ac fruitione sanctorum loquitur, quam maxime ipse sibimet repugnat in ea oratione, quam in sanctum Eliam edidit. Ait enim : « Ego vero, quod nunc licet ipsi, sicut et animabus sanctorum, ubicunque vult, secundum tempus commorari, dum in propriis templis libenter mansionem facit et iis qui ope singulis vicibus indigent, advenit, et necessarium et verum esse censeo; non vero propterea eum cœlos derelinquere dixerim ac lumen ibi resplendens et cum angelis assistentiam coram summo Domino; sic enim minus quam cæteri sancti haberet is, qui super omnes fere est, si quidem ideo, quia carne indutus est (*a*), a communione cum ipsis et a contemplatione Dei ad faciem separatus esset, qua eximio modo per omnem vitam fruebatur. » Per hoc igitur clarum est confiteri et ipsum, sanctos beatitudine perfrui (*b*), nisi forte aliud quidpiam censet beatitudinem a contemplatione Dei ad faciem. De Dei autem in præsenti vita ad faciem contemplatione silere præstat (*c*). Quod deinde ad azyma pertinet, Eusebius, Eutychius Constantinopolitanus, Epiphanius Cypri, Joannes Chrysostomus, et alii sanctorum defensionem dabunt (*d*). De primatu vero Romani pontificis sufficiens erat ex synodo octava, cui ipse testimonium perhibet, ad plenam persuasionem efficiendam eum stabilire. Sed et Theodorus Studita et sanctarum synodorum Acta perspicue eum confirmant. Atque quamlibet ex his quæstionem propria lucubratione tractavimus, ut cognoscentes, hæc eum exprobrare Latinis. Quando igitur et alia cognoveri-

παριστῶσιν, ὡς οὐδὲν πεπλασμένον πεποιήκαμεν οὐδὲ κίβδηλόν τι (1) ἐπεισηγάγομεν ἐν τῷ ἱερῷ συμβόλῳ, ὡς οἱ τότε οἱ τὸ *ὁμοούσιον* ἀντὶ τοῦ *ὁμοιουσίου* (2) ἐναλλάξαντες; (3)? Οὐδὲ δεύτερον αἴτιον τὸν Υἱὸν λέγομεν τοῦ ἁγίου Πνεύματος, ὡς αὐτὸς νομίζει· ἦ γὰρ ἂν καὶ δύο τοὺς θεοὺς ἐπιστεύομεν, ὡς αὐτὸς φαντάζεται. Ὅμως γε μέντοι καὶ περὶ τούτων ἱκανῶς ἀπελογησάμεθα πρότερον. Τὰ δὲ λοιπὰ τῶν ἀτοπημάτων, ἃ σιωπῶν παρατρέχει, εἰ μὲν περὶ τῆς ἀπολαύσεως τῶν ἁγίων λέγει, καὶ μάλιστα αὐτὸς ἑαυτῷ μάχεται ἐν τῷ λόγῳ τῷ παρ' αὐτοῦ ἐκτεθέντι εἰς τὸν ἅγιον Ἠλίαν. Φησὶ γάρ· « Ἐγὼ δ' ὅτι μὲν ἔξεστιν αὐτῷ, καθάπερ καὶ ταῖς τῶν ἁγίων ψυχαῖς ὅποι ποτὲ βούλεται κατὰ καιρὸν ἐπιχωριάζειν, ναοί; τε οἰκείοις ἐμφιλοχωρεῖν (4) καὶ τοῖς ἑκάστοτε (5) δεομένοις ἐπιφοιτᾷν ἀναγκαῖόν τε ἡγοῦμαι (6) καὶ ἀληθὲς εἶναι· οὐ μὴν διὰ ταῦτα φαίην ἂν αὐτὸν τῶν οὐρανῶν ἀπολείπεσθαι καὶ τῆς ἐκεῖσε λαμπροφορίας καὶ μετὰ τῶν ἀγγέλων δεσποτικῆς παραστάσεως· ἦ γὰρ ἂν εἶχεν ἔλαττον τῶν ἄλλων ἁγίων ὁ ὑπὲρ πάντας σχεδὸν, εἴ γε διὰ τὸ τὴν σάρκα φορεῖν ἀφειστήκει τῆς μετ' αὐτῶν κοινωνίας καὶ τῆς τοῦ Θεοῦ πρὸς πρόσωπον θεωρίας;, ἧς καὶ παρὰ πάντα τὸν βίον ἐξαιρέτως ἀπῄλαυσε (7). » Γνώριμον οὖν ἐστι διὰ τούτου, ὡς τοὺς ἁγίους τῆς μακαριότητος καὶ αὐτὸς ὁμολογεῖ ἀπολαύειν, εἴπερ μὴ ἕτερόν τι νομίζει τὴν μακαριότητα τῆς πρὸς πρόσωπον Θεοῦ θεωρίας. Περὶ μὲν τῆς ἐν τῷ παρόντι θεωρίας τῆς πρὸς πρόσωπον σιγᾷν ἄμεινον. Περὶ δέ γε τῶν ἀζύμων Εὐσέβιος, Εὐτύχιος ὁ Κωνσταντινουπόλεως, Ἐπιφάνιος ὁ Κύπρου, Ἰωάννης ὁ Χρυσόστομος καὶ ἕτεροι τῶν ἁγίων ἀπολογήσονται. Περὶ δὲ τοῦ τοῦ πάππα πρωτείου ἥρκει καὶ ἐκ τῆς μαρτυρουμένης παρ' αὐτοῦ ὀγδόης συνόδου εἰς ἐναργῆ πληροφορίαν τοῦτο συστῆσαι. Ἀλλὰ καὶ Θεόδωρος ὁ Στουδίτης καὶ τὰ Πρακτικὰ τῶν ἁγίων συνόδων σαφῶς παριστῶσι περὶ τούτου. Καὶ ἕκαστον ζήτημα ἀπὸ τούτων ἰδίαν πραγματείαν πεποιήμεθα, ὡς ταῦτα γινώσκοντες ἐγκαλεῖν αὐτὸν τοῖς Λατίνοις. Ἂν οὖν καὶ ἕτερα γνῶμεν, εἰ μὲν ἀληθῆ, καὶ ἡμεῖς μετ' αὐτοῦ στησόμεθα συνεγκαλοῦντες· εἰ δὲ ὡς τὰ προειρημένα, σιγῇ παραδραμούμεθα κανονικῶς

(1) Omitt. Allat. τι.
(2) Ita recte Marc. f. 232 a, dum Mon. habet, ὁμουσίου.
(3) Mon. 27, f. 143 a, ἐναλάξαντες.
(4) Mon. 27, ἐμφιλοχωρῶν.
(5) Mon. cit., ἑκάστῳ τε.
(6) Sic recte Marc.; Mon., ἡγούμεθα.

(7) In Mon. et Marc. nota Plusiadeni legitur : Ὅρα τὸν ἀλλαχόθεν μὲν μὴ ὁμολογοῦντα, τοὺς ἁγίους εἶναι εἰς τὴν τοῦ Θεοῦ βασιλείαν, ἐνταῦθα δὲ προφανῶς τῆς πρὸς πρόσωπον αὐτοῦ θεωρίας ἀπολαμβάνοντας διισχυριζόμενον· ὃ καὶ θαυμαστὸν δοκεῖ τοῖς ἐγέφροσι. Πῶς οὐ νοεῖ, ὅτι προδήλως αὐτὸς ἑαυτῷ ἀντιλέγει ;

(*a*) De Elia cum carne in cœlum rapto Patres in IV Reg. II, 11, sæpe disputant.

(*b*) Nimirum ante universalem resurrectionem, quod Marcus cum aliis Græcis negasse constat. Vide conc. Florent., Hard. t. IX, p. 19 seq., Syrop. Hist. conc. Florent. p. 136. Hinc Plusiadenus (1) notat : « Vide hominem alias non confitentem sanctos esse in regno Dei, hoc vero loco perspicue asseverantem eos contemplatione Dei ad faciem frui sanctos · quod et mirabile videtur prudentibus. Quomodo non intelligit se aperte sibi ipsi contradicere ? »

(*c*) Ultima Marci verba supra citata eum errorem indicant, posse hominem in hac mortali vita Deum facie ad faciem conspicere.

(*d*) Vide de azymis dialogum Plusiadeni pro concilio Florent ; Ihlarionem monachum De pane mystico (Gr. orth. t. I, p. 637 seq., 655 seq.), et Le Quien, dissert. 6 Damascenica, et in Panoplia adv. schisma Græcorum.

(1) Sive Josephus Methonensis. Vide tomum superiorem.

τοῦτο ποιοῦντες. Φασὶ γάρ· Πρότερον τὸ βαρύτερον ἔγκλημα δεῖ γυμνάζεσθαι, καὶ εἰ τὸ πρότερον οὐ δεχθείη, οὐδὲ τὰ λοιπὰ ἐξετάζεσθαι· τοῦτο καὶ οἱ νόμοι θεσπίζουσι. Περὶ δέ γε τῆς εὐχῆς, ἣν ἐν τῷ τέλει εὔχεται, εἰ μὲν ἐξακολουθεῖ τοῖς Πατράσιν, πάντως καὶ τὸ αἰτούμενον ἐπακολουθήσει· εἰ δ' ἄλλως; καὶ κατὰ πεισμονὴν, τὸ ἐσόμενον πρόδηλον. Καὶ ἡμεῖς, εἰ μὲν διά τι τοῦ αἰῶνος τούτου τὴν ἕνωσιν τηροῦμεν (1), εἴημεν κολασθησόμενοι, ὅπερ καὶ ἀναγκαίως ἕπεται· εἰ δὲ τοῖς ἴχνεσι τῶν Πατέρων ἐξακολουθοῦμεν, καὶ τὴν εἰρήνην καὶ ὁμόνοιαν τῆς Ἐκκλησίας Χριστοῦ δι' αὐτὸν τὸν εἰρηνοποιήσαντα καὶ καταλλάξαντα ἡμᾶς τῷ ἰδίῳ Πατρὶ, καὶ ἔτι διὰ τὸ συμφέρον τῶν Χριστιανῶν καὶ τὴν τῆς πίστεως ἐξάπλωσιν, ἥτις ὑπὸ τῶν ἀθέων καθ' ἑκάστην ὡς εἰπεῖν στενοῦται καὶ σχεδὸν εἰς τὸ μὴ ὂν χωρεῖ, ὅση ἡμῖν δύναμις, c[illegible]χειν σπουδάζομεν, συνεσόμεθα καὶ ἡμεῖς τοῖς θείοις Πατράσιν ἐν τῇ τοῦ Χριστοῦ παρουσίᾳ, εἰ καὶ μέγα ἐστὶ καὶ παρὰ τὴν ἡμετέραν πολιτείαν τὸ αἰτούμενον. Παράσχοι δὲ ὁ Θεὸς καὶ τῷ αἰδεσίμῳ Ἐφέσου ἰδεῖν πρὸς τὴν ἀλήθειαν, ἐάσαντι πάντα τὰ κατὰ πεισμονὴν καὶ τὸ ἐθελόγνωμον, καὶ μὴ πρὸς τὴν ὑπεροχὴν τῶν αὐτοῦ λόγων ἀποβλέποντι καταφρονεῖν τῶν χθαμαλωτέρων, εἰ λόγου τι καὶ οὗτοι λέγουσιν ἄξιον, καὶ μάλιστα τὴν σύστασιν ἔχουσιν ἐκ τῶν θείων Πατέρων· ὧν ταῖς εὐπροσδέκτοις εὐχαῖς ὁμαλίσαι Κύριος καὶ ἀπευθύναι τὰς γνώμας πρὸς ἕν, ὅπως γένηται μία ποίμνη καὶ εἷς ποιμήν· ᾧ ἡ δόξα καὶ ἡ αἴνεσις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

mus, siquidem vera sunt, et nos cum ipso consistemus simul ea exprobrantes, si vero ut prædicta, silentio ea præteribimus, canonice id facientes. Aiunt enim : Prius oportet gravius, quod impingitur, crimen denudari, et si prius non admittatur, reliqua non examinanda sunt. Idem quoque leges sanciunt. Quod demum spectat ad precationem, quam in fine recitat, siquidem Patribus obedit eosque sequitur, omnino id quod rogat, consequetur; si vero aliter et secundum suasionem arbitrariam, id quod futurum erit manifestum est; et nos, si quidem propter rem quampiam hujus mundi unionem tenemus, pœnas omnino dabimus, quod et necessario sequitur; si vero vestigia Patrum presse sequimur, et pacem concordiamque Ecclesiæ Christi propter ipsum, qui pacificavit et reconciliavit nos proprio Patri, et adhuc propter utilitatem Christianorum et fidei explicationem, quæ ab impiis quotidie, ut ita dicam, in angustias redigitur et fere in nihilum demigrat, conservare, quantum nobis suppetunt vires, studemus, tunc simul erimus et nos cum divis Patribus in Christi adventu, licet res flagitata magna sit et supra nostræ vitæ instituta. Concedat autem Deus venerabili Ephesio, ut ad veritatem respiciat, cunctis ex mero voluntatis arbitrio et inani persuasione profectis valedicat, neve respectu habito ad suarum rationum excellentiam humiliores spernat, si quid et hi ratione dignum loquuntur, et maxime ex divis Patribus confirmationem habent. Quorum Deo acceptis precibus exæquet, emolliat ac dirigat sententias in unum Dominus, ut fiat unum ovile et unus pastor; cui laus et gloria in sæcula sæculorum. Amen.

1) Mon., τηρῶμεν.

ΓΡΗΓΟΡΙΟΥ ΙΕΡΟΜΟΝΑΧΟΥ

ΤΟΥ ΜΕΓΑΛΟΥ ΠΡΩΤΟΣΥΓΚΕΛΛΟΥ ΚΑΙ ΠΝΕΥΜΑΤΙΚΟΥ

ΤΟΥ ΥΣΤΕΡΟΝ ΧΡΗΜΑΤΙΣΑΝΤΟΣ ΠΑΤΡΙΑΡΧΟΥ, ΚΑΙ ΕΝ ΡΩΜΗ ΤΑΦΕΝΤΟΣ ΚΑΙ ΘΑΥΜΑΤΟΥΡΓΟΥΝΤΟΣ

ΑΠΟΛΟΓΙΑ ΕΙΣ ΤΗΝ ΤΟΥ ΕΦΕΣΟΥ ΕΠΙΣΤΟΛΗΝ

ΕΚ ΔΙΑΦΟΡΩΝ ΑΓΙΩΝ.

—

GREGORII HIEROMONACHI

MAGNI PROTOSYNCELLI ET A CONFESSIONIBUS

QUI POSTMODUM CREATUS EST PATRIARCHA, ET ROMÆ SEPULTUS CORUSCAVIT MIRACULIS,

RESPONSIO AD EPISTOLAM MARCI EPHESII

EX VARIIS SANCTORUM SENTENTIIS (1).

—

EPHESIUS.

A Omnibus ubique terrarum degentibus Christianis et insulas habitantibus, Marcus Ephesiorum metropolita salutem in domino.

GREGORIUS.

Exordium, quo venerabilis Ephesius utitur, omnes ubique terrarum homines et insularum incolas excitat ad ejus sermones audiendos : Nos contra hæc dicimus cunctis terrarum orbis habitatoribus, suas ut aures prius dent ejus dictis, nostra deinde audiant. Namque hac de causa verba ejus præponimus, et nostras responsiones subjicimus, ut veritas omnibus patefiat. Sicut enim sol, qui sensu percipitur, exoriens, mundumque sua luce complens, et seipsum ponit ob oculos, et inferiora facit ut conspici possint : quoniam B exorto sole non opus est qui nobis lucem indicet, ipso radio solis præsentiam ostendente ; nec est, qui dicat alteri : Intuere solem : ita verus quoque divinorum dogmatum sermo et sanctorum Patrum linguarum solis instar effulgens, veritatem aperit hominibus, qui mente non cæcutiant ; certamque fidem facit de divinorum sinceritate dogmatum, deque integritate et puritate fidei ; et invitat omnes, ut ad veritatis castra transfugiant. Ut enim tenebras, cum nihil sint, luminis præsentia fugat : nam quod nihil est, rei quæ natura sua constat, non valet obsistere ; ita divini Spiritus illustratio per sacra deiferorum Patrum eloquia et veritatem

ΕΦΕΣΙΟΣ.

Τοῖς ἁπανταχοῦ τῆς γῆς καὶ τῶν νήσων εὑρισκομένοις Χριστιανοῖς Μάρκος ἐπίσκοπος τῆς Ἐφεσίων μητροπόλεως ἐν Κυρίῳ χαίρειν.

ΓΡΗΓΟΡΙΟΣ.

Τὸ μὲν προοίμιον τοῦ αἰδεσίμου Ἐφέσου τοὺς ἁπανταχοῦ γῆς καὶ τῶν νήσων πρὸς ἀκρόασιν τῶν αὐτοῦ διεγείρει· ἡμεῖς δὲ πάλιν πρὸς τοὺς κατοικοῦντας πάντα τῆς γῆς τὰ πέρατά φαμεν, ἀκροᾶσθαι τῶν αὐτοῦ λογίων πρότερον, εἶτα τῶν ἡμετέρων. Διὰ τοῦτο γὰρ καὶ προτίθεμεν τὰ αὐτοῦ πρότερον, εἶτα τὰς ἡμετέρας ἐπάγομεν ἀπολογίας, ἵνα ἡ ἀλήθεια φανερὰ τοῖς πᾶσι γένηται. Ὥσπερ γὰρ ὁ αἰσθητὸς ἥλιος ἀνατέλλων καὶ τὸν κόσμον φωτίζων δείκνυσί τε ἑαυτὸν, καὶ τὰ ὑπ' αὐτὸν γενόμενα πράγματα φανερὰ καθίστησι· καὶ γὰρ ἡλίου φανέντος οὐ δεόμεθα τῶν διδασκόντων καὶ δεικνυόντων ἡμῖν τὸ φῶς, αὐτῆς τῆς ἀκτῖνος δήλην ποιούσης τὴν τοῦ ἡλίου φανέρωσιν· οὐδ' ἔστιν ὁ λέγων τῷ πλησίον, Βλέπε τὸν ἥλιον· οὕτω καὶ ὁ τῶν θείων δογμάτων λόγος διὰ τῆς τῶν ἱερῶν Πατέρων γλώττης ἐμφαινόμενος, ἡλίου δίκην λάμπων, τὴν ἀλήθειάν τε ἐμφαίνει τοῖς μὴ τὴν διάνοιαν τυφλώττουσι, καὶ πληροφορίαν παρέχει τῆς τε εἰλικρινείας τῶν θείων δογμάτων, καὶ τοῦ καθαροῦ καὶ ἀδόλου τῆς πίστεως, καὶ πάντας αὐτομολεῖν ποιεῖ πρὸς τὴν ἀλήθειαν. Καὶ γὰρ ὥσπερ ἡ παρουσία τοῦ φωτὸς τὸ ἀνούσιον σκότος ἀπελαύνει· οὐδὲ γὰρ δύναται τὸ ἀνούσιον πρὸς τὸ ἐνούσιον ἀντιβαίνειν· οὕτω καὶ ἡ τοῦ θείου

(1) Interprete Joan. Matthæo Caryophyllo. Labbe, *Concil.* tom. XIII. Marci epistola edita est in τόμῳ ἀράτῳ Dosithei, Iassiæ in Moldavia, anno 1698.

Πνεύματος ἔλλαμψις διὰ τῆς τῶν θεοφόρων Πατέρων θεολογίας τήν τε ἀλήθειαν ἐμφαίνει, τούς τε λέγοντας καὶ ἐχομένους τῆς τούτων διανοίας ἢ συγγράφοντας φωτίζει, καὶ τοῖς ἀκροῦσι τὸν ἄνωθεν σωτήριον φωτισμὸν ἐπιβραβεύει. Ἕνεκεν οὖν τῆς κοινῆς ταύτης ὠφελείας, καὶ τῆς ἀληθείας ἀνευρέσεως (ἥτις ὀφείλει ζητεῖσθαι οὐ μόνον ἐπὶ τῶν θείων δογμάτων, ἀλλὰ καὶ ἐπὶ παντὸς ἄλλου πράγματος, καθώς φησιν ὁ Κύριος· *Ζητεῖτε καὶ εὑρήσετε*) ταύτην καὶ ἡμεῖς ἐκζητήσωμεν ἐκ τῆς τῶν διδασκάλων θεολογίας, καὶ τὴν αὐτοαλήθειαν Χριστὸν τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν, ὅπως τὸν φωτισμὸν καὶ τὴν ἄνωθεν χάριν καταπέμψας καταυγάσῃ τὸ τῆς διανοίας ἡμῶν ὄμμα, εἰς τὸ μὴ κατόπιν τῆς ἀληθείας ἐλθεῖν· αὐτὸς γάρ ἐστιν ὁ εἰπών· *Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν*· καὶ· *Ἃ̓ς ὁ αἰτῶν λαμβάνει.* Αὐτοαλήθεια γὰρ ὢν ἀληθείας ἐκζητεῖ, καθὼς καὶ θεῖος Δαυὶδ φησίν· *Ἀλήθειας ἐκζητεῖ Κύριος*· καὶ· *Ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου.* Ἐπεὶ οὖν καὶ ὁ αἱδέσιμος οὗτος τοῖς ἁπανταχοῦ γῆς ἐπιστέλλει καὶ τῶν νήσων εὑρισκομένοις Χριστιανοῖς, ὡς ἂν ἐκ τῶν ἤδη πρὸς αὐτοὺς ἐπεσταλμένων τὴν τῆς πίστεως ἀλήθειαν λάβωσι, καὶ τοὺς τῶν Λατίνων ἕνωσιν τηροῦντας ἀποστραφῶσι, φέρε καὶ ἡμεῖς ταῦτα δὴ τὰ ἐπεσταλμένα ἐξετάσωμεν· καὶ εἰ μὲν ὁ τίμιος οὗτος τῆς ἀληθείας ἔχεται, καὶ ἡμεῖς μετ' αὐτοῦ στησόμεθα ταύτην ἀνακηρύττοντες, καὶ αὐτὸν μεγαλύνοντες, ὡς τῆς ἀληθείας ἐχόμενον· εἰ δὲ πόῤῥω που τῆς ἀληθείας λέγει, τὰ τῶν ἁγίων Πατέρων προθέντες, δι' αὐτῶν τὴν ἀπολογίαν τοῖς ἐντυγχάνουσι κατάδηλον ποιήσομεν· ὅπως γνῶσιν, ὁπότερον μέρος τἀληθῆ λέγει, καὶ τὸ λευκότερον μεθ' ἑαυτοῦ ἔχει, τίς δὲ ὁ παρασυλλογιζόμενος καὶ τὰ ψευδῆ λέγων καὶ ἀμαυρά. Ἀλλ' ἐπεὶ καὶ ἄμφω τὰ μέρη αὐτός τε δηλοῖ, καὶ ἡμεῖς τὸ κρεῖττον καὶ ἀληθὲς κατέχειν νομίζομεν, ἔπεσθαι πάντως ἀνάγκη ταῖς τῶν θεοφόρων Πατέρων μαρτυρίαις ὥσπερ φωτί· ἵνα δύο χρωμάτων ὄντων, ἐρυθροῦ τε καὶ μέλανος, ἑκάστου λέγοντος τὸ ἐρυθρὸν κατέχειν καὶ βασιλικὸν καὶ χρήσιμον, διὰ τί ὑπὸ τοῦ φωτὸς μὴ ἐλέγχεσθαι τὸ ἑκάστου, τοῦ μὲν ἡ πλάνη, τοῦ δὲ φανερωθῇ ἡ ἀλήθεια· οὐκ ἄλλοθεν δὲ τὸ φῶς, ὡς εἴρηται, εἰ μὴ ὑπὸ τῶν θεοφόρων καὶ ἁγίων Πατέρων, οἵτινες ὑπὸ τοῦ θείου Πνεύματος ἐλλαμφθέντες τοῦ τῆς ἀληθείας δόγμασι, δίκην ἡλίου φωτίζουσι τοὺς ἐκζητοῦντας ὁλοσχερῶς καὶ τὸν νοῦν αὐτῶν ἐρευνῶντας. Ποθήσαντες γὰρ ἐξεζήτησαν, καὶ ἐκζητήσαντες εὗρον, ὡς φησιν ἡ Σοφία· *Οἱ ζητοῦντές με γὰρ εὑρήσουσί με*· καὶ ἡμᾶς εἰς τοῦτο προτρέπουσιν, ἵνα μὴ ψιλῷ τῷ γράμματι τῆς ἀληθείας ἐκπέσωμεν, ὡς οἱ Ἰουδαῖοι. Τοῦτο σὺν τοῖς ἄλλοις Πατράσι καὶ Βασίλειος ὁ Μέγας ἐν τῷ κατ' Εὐνομίου πρώτῳ λόγῳ φησίν· ὡς, Εἴ τις ἀβασανίστως κατὰ τὴν πρόχειρον ἐκδοχὴν ψιλῷ παρίστασθαι φιλονεικοίη τῷ πράγματι, πρὸς Ἰουδαϊκοὺς καὶ γραώδεις μύθους ἀνατραπείς, πτωχὸς παντελῶς τῶν ἀξίων περὶ Θεοῦ νοημάτων κατα-

A ipsam declarat; et ea usurpantes, mentemque doctorum sequentes scribentesque illuminat, et audientibus salutarem desuper illuminationem largitur. Itaque ad communem hanc omnium utilitatem, et veritatis adinventionem (quæ non solum in divinis dogmatibus, sed etiam quavis alia in re quæri debet juxta dictum Domini : *Quærite et invenietis* [1]) illam et nos perquiramus ex doctorum sententiis; fusisque ad Christum Deum nostrum, qui ipsa veritas est, precibus petamus, ut missa nos luce suæ gratiæ, mentis nostræ oculum illustret, ne quæsita veritas nos effugiat. Ipse enim est qui dixit : *Sine me nihil potestis facere* [2]; et : *Omnis qui petit, accipit* [3]. Cum sit enim ipsa veritas, vera requirit, ut testatur et sanctus David : B *Veritatem requirit Dominus* [4]; et : *Veritatem meditabitur guttur meum* [5]. Quoniam ergo venerabilis hic vir scribit ad omnes ubique terrarum insularumque incolas Christianos, ut, quemadmodum prioribus suis jam significaverat litteris, fidei veritatem accipiant, et aversentur eos, qui pactam cum Latinis unionem tuentur; age nos quoque examinemus hæc ipsa quæ scribit; et si quidem egregius vir a veritate non abhorret, nos etiam cum ipso stabimus eam deprædicantes, ipsumque laudibus extollentes, utpote veritatis amicum; sin autem longe aberrat a veritate, prolatis sanctorum dictis, palam legentibus faciemus, quid ad ejus scripta respondeamus; ut intelligant, utra pars verum dicat, et secum veritatis candorem habeat; quæ C contra vitiosis utatur syllogismis, et obscuritate mendacii tenebrosis. Sed quoniam ipse profert quæ sunt utriusque partis, et nos sentire melius, et veritatem a nobis esse arbitramur, est plane necessarium sanctorum Patrum sequi testimonia quasi facem prælucentem, ut veluti duobus propositis coloribus, rubro et nigro, si unusquisque dicat se rubrum et regium et pretiosum habere, non præsente lumine, per quod discerni possit quid quisque habeat, perspiciatur luce, quis falsum, quis verum asserat. Porro lumen hoc non aliunde, quam a Deo plenis sanctis Patribus haberi potest, ut diximus : qui a sancto Spiritu illustrati per veritatis dogmata, solis instar illu- D minant eos qui tota mente exquirunt, et sensum illorum scrutantur. Nam illi desiderio incensi exquisierunt, et exquirentes invenerunt, ut ait Sapientia : *Qui quæruntme, invenient me* [6]; et nos ad hoc idem faciendum hortantur, ne litteram sequentes nudam, ut Judæi, ad veritatem ipsam non perveniamus. Hoc sane tum reliqui Patres, tum Basilius Magnus primo contra Eunomium libro docet : Si quis enim, inquit, nulla disquisitione adhibita rem ita intelligendam esse contendat, ut sese primo offert aspectu, is ad Judaicas et seniles fabulas devolutus, inops omnino a sensibus Deo dignis consenescet. Itaque quod pro-

[1] Matth. VII, 7. [2] Joan. XV, 5. [3] Matth. VII, 8. [4] Psal. XXX, 24. [5] Prov. VIII, 7. [6] Sap. VI, 13.

misimus, venerabilis Ephesii dicta prius singula exponentes, tum nostras etiam responsiones apponemus fultas deiferorum sanctorumque Patrum testimoniis, ut fiat per ea manifesta veritas. Nam sermo fide dignorum auctoritate firmatus evidentem habet sui demonstrationem.

A

γηράσει. Κατὰ γοῦν τὴν ἐπαγγελίαν ἡμῶν πρότερον τὰ τοῦ αἰδεσίμου Ἐφέσου προθέντες κατὰ μέρος, ἑπομένως καὶ τὰς ἡμετέρας ἀπολογίας ἐπιθήσομεν μετὰ καὶ τῆς τῶν θεοφόρων Πατέρων καὶ ἁγίων μαρτυρίας, ἵν' ἐξ αὐτῶν ἡ ἀλήθεια φανερὰ γένηται· ὁ γὰρ ἐξ ἐνδόξων λόγος βεβαιούμενος ἀναντίῤῥητον ἔχει τὴν ἀπόδειξιν.

EPHES.

Qui dira nos captivitate captivarunt, atque in Latinorum rituum dogmatumque Babylonem abstrahere voluerunt, id quidem perducere ad exitum nequaquam potuerunt, natura absonum esse perspicientes, et præterea impossibile, sed in media quadam itineris parte subsistentes tum ipsi, tum sectatores eorum, neque jam sunt amplius quod erant, neque illud evasere, ad quod tendebant; nam relicta quidem est ab iis Hierosolyma, quæ vere est pacis visio, et Sion mons, hoc est firma et inconcussa fides; verum fieri et dici unquam Babylonii nec volunt, nec possunt; hanc sane ob causam vocandi merito Græco-Latini, usitato autem nomine vulgo appellati Latinizantes.

B

ΕΦΕΣ.

Οἱ τὴν κακὴν ἡμᾶς αἰχμαλωσίαν αἰχμαλωτεύσαντες, καὶ πρὸς τὴν Βαβυλῶνα τῶν Λατινικῶν ἐθῶν καὶ δογμάτων θελήσαντες κατασῦραι, τοῦτο μὲν οὐκ ἠδυνήθησαν ἀγαγεῖν εἰς πέρας αὐτόθεν τε ἀπεμφαῖνον ὁρῶντες, καὶ ἄλλως ἀδύνατον, ἐν μέσῳ δέ που τῆς ὁδοῦ καταμείναντες αὐτοί τε καὶ ὅσοι τούτοις ἐπηκολούθησαν, οὔτ' ἐκεῖνο λοιπὸν μεμενήκασιν, οὔτε τοῦτο γέγονασιν· Ἱεροσόλυμα μὲν ἀπολιπόντες, τὴν ὡς ἀληθῶς ὅρασιν τῆς εἰρήνης, καὶ τὸ Σιὼν ὄρος, τὴν βεβαίαν πίστιν καὶ ἄσειστον· καὶ Βαβυλώνιοι δὲ γενέσθαι ποτὲ καὶ κληθῆναι μήτε βουλόμενοι μήτε δυνάμενοι, καὶ διὰ τοῦτ' ἂν δικαίως κληθέντες Γραικολατῖνοι, καλούμενοι δ' οὖν ὑπὸ τῶν πολλῶν Λατινόφρονες.

C

RESP.

Cum epistolæ suæ vir eximius titulum prænotaverit, ad omnes ubique locorum et insularum, et salutem illis impertiverit, statim exorditur ab historia captivitatis, quæ facta est quondam ab Jerusalem in Babylonem, sermonem volens suavitate quadam perfundere, et auditores attentos reddere ad audienda quæ dicentur. Nam allegorici sermonis proprium est, ut ad voluntatem dicentis et rem exprimentis dicta accommodet; idcirco attulit hanc historiam, ut schemate allegorico pro sua voluntate uteretur. Licet ergo nobis etiam nihil a veritate discedentibus dicere: Nos Hierosolymam potius tenere, et eam incolere, quam interpretantur pacem, quam Dominus etiam præcepit servandam, cum diceret: *Pacem meam do vobis, pacem meam relinquo vobis* [1]. Hanc igitur tenentes Domini vocem, qua id jubetur, veluti Sion montem, eos qui scindunt Christi Ecclesiam, Babylonios vocamus: nos vero nec fuimus unquam Babylonii, ut qui confusionem et schisma vitemus; nec voluntas unquam erit ut fiamus, cum vere illius discipuli simus, qui mandatum dedit, ut pacem sequamur. Subsannando porro nos vocat Græco-Latinos, adinvento, ut putavit, novo quodam et congruente nomine: at nos illud nequaquam pro subsannatione habemus, sed verum esse fatemur. Cum enim Constantinus Magnus Roma profectus nobilissimos ab urbe Romanos optimates incolas duxerit eam in urbem, quæ nuper tum condita ejus nomine est insignita, quæque Nova Roma nuncupata est; eorum posteri, Græce loquentes, sed oriundi ab illis, jure sunt vocandi Græco-Latini; Hellenas enim Græcos vocant Latini. Atque ita quod nobis præstantissimus vir objicit ut

D

ΑΠΟΛΟΓΙΑ.

Τοῖς ἁπανταχοῦ γῆς καὶ τῶν νήσων ἐπιστεῖλας ὁ τίμιος οὗτος ἀνὴρ, καὶ χαίρειν προσειπών, εὐθὺς ἀπὸ ἱστορίας ἄρχεται τῆς πάλαι ποτὲ γενομένης αἰχμαλωσίας ἀπὸ Ἱερουσαλὴμ εἰς Βαβυλῶνα, τὸν λόγον ἡδύτερον κατασκευάσαι βουλόμενος, καὶ τοὺς ἀκροατὰς διεγεῖραι πρὸς τὴν τῶν ῥηθησομένων ἀκρόασιν. Ὁ γὰρ ἀλληγορικὸς λόγος πρὸς τὴν θέλησιν τίθεται κυρίως τοῦ χρωμένου τὸν λόγον ἢ τὸ πρᾶγμα, καθ' ὃ λέγεται· διὸ καὶ τὴν ἱστορίαν προῦθηκε ταύτην, ἵνα τῷ ἀλληγορικῷ σχήματι χρήσηται καθὼς βούλεται. Ἔξεστιν οὖν καὶ ἡμῖν ἀληθεύουσιν εἰπεῖν, ὡς τὴν Ἱερουσαλὴμ μᾶλλον κατέχομεν, καὶ ἐν ταύτῃ ἐσμὲν, ἥτις ἑρμηνεύεται εἰρήνη, ἣν καὶ ὁ Κύριος ἡμῖν ἐνετείλατο λέγων· *Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν.* Ταύτην οὖν τὴν τοῦ Κυρίου φωνὴν τὴν τοῦτο κελεύουσαν ὥσπερ τὸ Σιὼν ὄρος κατέχοντες, τοὺς σχίζοντας τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν Βαβυλωνίους καλοῦμεν· Βαβυλώνιοι δὲ ἡμεῖς οὔτε γεγόναμεν, ὡς τὴν σύγχυσιν καὶ τὸ σχίσμα ἀποστρεφόμενοι, οὔτε ποτὲ θελήσομεν γενέσθαι, μαθηταὶ ὄντες κατὰ ἀλήθειαν τοῦ κελεύοντος· *Εἰρήνην διώκετε.* Γραικολατίνους δὲ ἡμᾶς διασύρων ὀνομάζει, καινότερόν τι ὄνομα καὶ προσῆκον ὡς ἐνόμισεν εὑρών· ὅπερ ἡμεῖς οὐ διασυρμὸν τοῦτο λογιζόμεθα, ἀλλ' ἀληθὲς εἶναι ὁμολογοῦμεν. Τοῦ γὰρ μεγάλου Κωνσταντίνου ἐκεῖθεν ὁρμωμένου, καὶ τοὺς λίαν εὐγενεστάτους μεγιστᾶνας Ῥωμαίων ἐκ Ῥώμης μετοικισαμένου εἰς τὴν ἐπ' ὀνόματι αὐτοῦ ἀνεγερθεῖσαν πόλιν, τὴν καὶ Νέαν Ῥώμην ὀνομασθεῖσαν, οἱ ἐξ ἐκείνων φύντες τὴν μὲν τῶν Ἑλλήνων ἐξασκήσαντες γλῶτταν, καὶ διὰ ταύτης φθεγγόμενοι, τὸ δὲ γένος ἐκεῖθεν ἔλκοντες, εἰκότως καὶ Γραικολατῖνοι ὀφείλουσι λέγεσθαι, διότι οἱ Λατῖνοι

[1] Joan. xiv, 27.

τοὺς Ἕλληνας Γραικοὺς ὀνομάζουσι· καὶ ὅπερ αὐτὸς ὁ τίμιος ἀνὴρ καθ' ἡμῶν προφέρει, ἡμεῖς ἀληθές τε εἶναι ἡγούμεθα καὶ ὁμολογοῦμεν. Ἐῶμεν νῦν λέγειν, ὅτι καὶ οἱ βασιλεύοντες ἡμῶν Ῥωμαῖοι εἶσιν ἐκεῖθεν ἕλκοντες τὸ γένος. Ἀλλὰ τὸ περὶ Γραικολατίνων παιδιᾶς χάριν εἴρηται· διὰ γὰρ τῆς τοῦ Χριστοῦ χάριτος ἐκ παντὸς τρόπου δεικνύντες ὡς ταὐτηθὲς ζητοῦμεν, καὶ τοὺς μὴ ταύτης ἐστερημένους εἰς κοινωνίαν δεχόμεθα, εἴτε Γραικοί εἰσιν, εἴτε Λατῖνοι, εἴτε βάρβαροι, εἴτε Σκύθαι. Ἓν γὰρ μόνον οἴδαμέν τε καὶ λέγομεν, ὅτι οἱ τῆς οἰκουμενικῆς συνόδου τῇ ἀποφάσει μὲ στέργοντες καὶ ἑπακολουθοῦντες, ἐκεῖνοι καὶ ἕτερον ὄνομα λαμβάνουσιν, ὡς Ἀρειανοὶ μὴ στέργοντες τῇ τῆς συνόδου ἀποφάσει, ἀλλὰ τῷ Ἀρείῳ, Ἀρειανοὶ ἐκλήθησαν· καὶ οἱ τῷ Εὐνομίῳ Εὐνομιανοί, καὶ οἱ τῷ Νεστορίῳ Νεστοριανοί· οὐ μὴν δὲ καὶ οἱ τῇ οἰκουμενικῇ ἀποφάσει στέργοντες ἕτερον ὄνομα λαμβάνουσιν. Ὅτι δὲ καὶ οἰκουμενικὴ σύνοδος ἡ ἐν Φλωρεντίᾳ, οὐδεὶς ἂν ἀρνήσαιτο. Ἀλλ' ὁ λόγος ἐπὶ τὸ πρόσω χωρῶν ἐν τῷ προσήκοντι τόπῳ περὶ τούτου τὴν ἀπόδειξιν ποιήσει. Οὕτως οὖν ἀρξάμενος, καὶ οὕτω τὸν λόγον κατασκευάσας, ὥδέ πως πάλιν ἄρχεται·

probrum, nos verum opinamur atque fatemur. Prætereo nunc illud, quod imperatores nostri Romani sunt, et originem inde trahunt. Verum Græco-Latini vox dicta est joci causa. Nos enim Christi beneficio veritatem quavis ratione quæri a nobis ostendentes, quicunque illam habent, omnes ad communionem admittimus, sive Græci, sive Latini sint, sive Barbari, sive Scythæ. Nam illud unum et scimus et dicimus, eos qui sententiæ generalis concilii non acquiescunt, nec eam sequuntur, aliud quoque nomen sortiri, ut Ariani, quod non synodi sententiam, sed Arium secuti sint, Ariani dicti, et qui Eunomium, Eunomiani, et qui Nestorium, Nestoriani; eos vero qui œcumenicam amplectuntur sententiam, nequaquam mutare nomen. Œcumenicam porro fuisse Florentinam synodum, nemo negaverit. Cæterum ubi ad ulteriora progressi erimus, hac de re suo loco demonstrationem afferemus. Ita igitur exorsus, atque in hunc modum composito sermonis principio, rursus hoc pacto orditur:

ΕΦΕΣ.

Οὗτοι τοίνυν οἱ μιξόθηρες ἄνθρωποι κατὰ τοὺς ἐν μύθοις ἱπποκενταύρους· μετὰ τῶν Λατίνων μὲν ὁμολογοῦσι τὸ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι, καὶ τὸν Υἱὸν αἴτιον ἔχειν τῆς ἑαυτοῦ ὑπάρξεως· οὕτω γὰρ καὶ ὁ αὐτῶν ὅρος διαλαμβάνει· μεθ' ἡμῶν δὲ τὸ ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι λέγουσιν.

EPHES.

Isti ergo homines, juxta fabulosos hippocentauros semiferi, cum Latinis quidem fatentur Spiritum sanctum ex Filio procedere et habere Filium subsistentiæ suæ causam: hæc enim sunt definitionis ipsorum verba; nobiscum autem dicunt illum ex Patre procedere.

ΑΠΟΚ.

Πάλιν ἀπὸ ἱστορίας ἄρχεται Ἑλληνικῆς, τῆς μὴ οὔσης μὲν, ἀναπλασθείσης δὲ ὑπὸ τῶν κενεμβατούντων τὸν λογισμὸν καὶ τὴν διάνοιαν· ἔδει γὰρ αὐτὸν ἐκ τῶν ὄντων ὑπόδειγμα λαβεῖν, ἵνα τούτῳ καὶ προσηκόντως ἐφαρμόσῃ. Πᾶς γὰρ λογογραφῶν ἐκ τῶν ἀληθῶς ὄντων προφέρει τὰς ὁμοιώσεις καὶ τὰ παραδείγματα, καὶ μάλιστα ἐπὶ τῶν ἐκκλησιαστικῶν ὑποθέσεων. Ἀλλ' ὁ αἰδέσιμος οὗτος τὸ μὴ ὂν ὡς ὂν προθεὶς, καὶ ὥσπερ πράγματος ὑποκειμένου ἐξομοιώσας, μιξόθηρας ἡμᾶς ὀνομάζει, ὑπὸ θυμοῦ κινούμενος, ἵν' εὐλογώτερον εἴπωμεν· δῆλον γὰρ ὡς πάντη ἀπεοικὸς τὸ παράδειγμα· ἐκ γὰρ τοῦ μηδαμῇ μηδαμῶς ὄντος ἐξομοιοῖ· πῶς οὖν ἐφαρμόσει τοῦτο μετὰ τοῦ ὄντος καὶ ὑφεστηκότος; Ἀλλ' ἵνα μὴ πρὸς οὐδὲν ἐλέγχοντες δόξωμεν, ἀφέντες τὸν προκείμενον σκοπὸν (οὐ γὰρ ἐλέγχειν τοῦτον βουλόμεθα θυμούμενόν τε καὶ ὀργιζόμενον, ἀλλὰ τὴν ἀλήθειαν ἐρευνᾶν, καὶ ταύτην φανεροῦν), φέρε καθ' εἱρμὸν τὰ παρ' αὐτοῦ εἰρημένα ἐξετάσωμεν. Φησὶ γὰρ οὕτως· Μετὰ τῶν Λατίνων μὲν ὁμολογοῦσι τὸ, ἐκ τοῦ Υἱοῦ, καὶ τὰ λοιπά· μεθ' ἡμῶν δὲ τὸ ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι λέγουσι. Ταῦτα δὲ λέγων ἀγνοεῖν προσποιεῖται, ὅτι καὶ Λατῖνοι ἐκ τοῦ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι μεθ' ἡμῶν ὁμολογοῦσι· τὸ δὲ καὶ ἐκ τοῦ Υἱοῦ μετὰ Λατίνων μὲν ὁμολογοῦμεν, παρὰ δὲ τῶν ἁγίων τοῦτο μαθόντες λέγομεν. Ὅτι δὲ οὕτως ἔχει, αὐτοὺς τοὺς

RESP.

A profana rursus orditur historia rei quæ nunquam fuit, sed conficta est inanibus futilium ingeniorum commentis. Oportebat vero ipsum e rebus quæ sunt exemplum petere, quod posset etiam congruenter adaptare. Omnis enim serius scriptor similitudines adhibet, et exempla non fictitia, præsertim in rebus ecclesiasticis. At reverendus iste posito quod nullum est, ac si esset, allatoque simili quasi rei natura constantis, vocat nos semifera animalia, ira profecto incensus, ut congruentius dicamus; liquet enim exemplum esse penitus absonum, quandoquidem exemplum sumit e re prorsus commentitia; quomodo ergo quadraverit in naturam exsistentem et reapse consistentem? Sed ne videamur ad id quod nihil est respondere, omisso illo quod nobis est propositum (nolumus enim redarguere hominem ira inflammatum, sed veritatem perquirere, et eam patefacere), age, dicta ejus ordine singula expendamus. Ait igitur: Cum Latinis quidem fatentur illud, ex Filio, etc., nobiscum autem dicunt, ex Patre procedere. Hæc dicens nescire te simulat, Latinos quoque nobiscum fateri, Spiritum sanctum ex Patre procedere; ex Filio vero etiam nos quidem fatemur cum Latinis, verum hoc ipsum a sanctis edocti asserimus. Id ita esse, doctores ipsos ac theologos testes proferamus, non omnes aut omnia, quæ de hac materia scripserunt,

sed quosdam, et pauca illorum dicta, ut aliquatenus probemus nos hoc asserere desumptum a sanctis.

τινας, καὶ ἐξ αὐτῶν ὀλίγα εἰς μερικήν τινα γομεν.

Itaque sanctus Cyrillus in sermone ad Theodosium imperatorem, qui ita incipit : Supremum humanæ gloriæ culmen, sic ait : Baptizaturum inquit Jesum in igne et Spiritu sancto ; non quod Spiritum baptizatis deberet infundere alienum quasi servus et minister, sed cum suprema potestate ut natura Deus illum, qui ex ipso est, et ejus proprius est. In epistola quoque ad Nestorium, cujus initium est : Cum Salvator noster diserte pronuntiet, Quamvis, inquit, Spiritus suam habeat peculiarem subsistentiam, qua intelligitur per sese exsistens Spiritus, non Filius, est tamen haud alienus a Filio : dictus quippe est Spiritus veritatis, veritas autem est Christus : et effunditur ab illo non secus atque ab ipso Deo Patre. Quod vero sanctus Pater per vocem, effunditur, intelligat processionem, ipsemet declarat in expositione Symboli. Ait enim : Et effunditur, hoc est procedit, tanquam ex fonte a Deo Patre. Hic illud, effunditur, ab illo non secus atque ab ipso Patre ; quomodo intelligendum ? Si enim dixisset solum, effunditur, alius quoque sensus locum haberet ; sed cum addat, Non secus atque ab ipso Patre, omnem detorquere sensum volentibus præcidit occasionem. Et magnus Basilius in opusculis contra Eunomium, in capite, cujus inscriptio est : Quod ut se habet Filius ad Patrem, ita Spiritus se habeat ad Filium : Idcirco, ait, Filius quidem est Dei Verbum, verbum autem Filii Spiritus : *Portans enim*, inquit, *omnia verbo virtutis suæ*[a] ; et quia verbum Filii, propterea gladium inquit Spiritus, quod est verbum Dei : vivum porro et efficax est Dei verbum et sermo. Sanctus autem Ambrosius (ad quem scribens divinus Basilius : Age, inquit, vir Dei, quando Christi Evangelium non ab hominibus accepisti aut didicisti, sed ipse te Dominus transtulit de judicibus terræ ad apostolicam dignitatem), libro primo De Spiritu sancto ad Gratianum imperatorem, cap. 10, Sed neque, inquit, cum de Patre exit, de loco recedit, et quasi corpus a corpore separatur ; neque cum in Patre est, quasi in corpore tanquam corpus includitur. Spiritus quoque sanctus cum procedit ex Patre et Filio, non separatur a Patre, non separatur a Filio. Quemadmodum enim separari potest a Patre, qui spiritus oris ejus est ? quod utique et æternitatis indicium, et divinitatis exprimit unitatem. Sanctus Agatho in sua epistola quam misit subscriptionibus centum et viginti episcoporum munitam ad sanctam synodum sextam, de beato Augustino hæc habet : Beatus Augustinus præstantissimus doctor. Et rursus : Veritatis prudentissimus prædicator beatus Augustinus. Hic igitur beatus Augustinus

διδασκάλους τε καὶ θεολόγους τοὺς τοῦτο λέγοντας εἰς μέσον προθῶμεν ; οὐ πάντας οὐδὲ πάντα τὰ ὑπ' αὐτῶν ἐν ταύτῃ τῇ ὑποθέσει εἰρημένα, ἀλλὰ πληροφορίαν, ὅτι ἐκ τῶν ἁγίων λαβόντες λέ-

Καὶ δή φαμεν, ὡς ὁ θεῖος Κύριλλος ἐν τῷ πρὸς βασιλέα Θεοδόσιον λόγῳ, οὗ ἡ ἀρχὴ, Τῆς μὲν ἐν ἀνθρώποις εὐκλείας τῆς ἀνωτάτω, φησὶ· Βαπτίζειν ἔφη τὸν Ἰησοῦν ἐν πυρὶ καὶ ἁγίῳ Πνεύματι, οὐ τὸ ἀλλότριον τοῖς βαπτιζομένοις ἐνιέντα Πνεῦμα δουλοπρεπῶς καὶ ὑπηρετικῶς, ἀλλ' ὡς Θεὸν κατὰ φύσιν μετ' ἐξουσίας τῆς ἀνωτάτω τὸ ἐξ αὐτοῦ καὶ ἴδιον αὐτοῦ. Καὶ ἐν τῷ πρὸς Νεστόριον λόγῳ, οὗ ἡ ἀρχὴ, Τοῦ Σωτῆρος ἡμῶν λέγοντος ἐναργῶς, φησίν· Εἰ καὶ ἔστιν ἐν ὑποστάσει τὸ Πνεῦμα ἰδικῇ, καὶ δὴ καὶ νοεῖται καθ' ἑαυτὸ, καθὸ Πνεῦμά ἐστι καὶ οὐχ Υἱὸς, ἀλλ' οὖν ἔστιν οὐκ ἀλλότριον αὐτοῦ· Πνεῦμα γὰρ ἀληθείας ὠνόμασται, καὶ ἔστι Χριστὸς ἡ ἀλήθεια· καὶ προχεῖται παρ' αὐτοῦ, καθάπερ ὁμέλει καὶ ἐκ τοῦ Θεοῦ καὶ Πατρός. Ὅτι δὲ τὸ προχεῖται ἀντὶ τοῦ ἐκπορεύεται ὁ ἅγιος λέγει, παρίστησι τοῦτο ὁ αὐτὸς ἐν τῇ τοῦ συμβόλου ἐξηγήσει· φησὶ γάρ· Καὶ προχεῖται, ἤγουν ἐκπορεύεται, ὡς ἀπὸ πηγῆς τοῦ Θεοῦ καὶ Πατρός. Ἀλλὰ τὸ προχεῖται παρ' αὐτοῦ καθάπερ ἁμέλει καὶ ἐκ τοῦ Πατρὸς, τί ἂν νοήσοι τις ; Εἰ γὰρ τὸ προχεῖται ἁπλῶς ἔλεγεν, εἶχε χώραν ἄλλο τι νοεῖν· εἰ δὲ, καθάπερ ἁμέλει καὶ ἐκ τοῦ Πατρὸς, οὐδεμίαν πρόφασιν κατέλιπε τοῖς ἐθέλουσι λέγειν. Καὶ ὁ μέγας Βασίλειος ἐν τῷ κατ' Εὐνομίου, ἐν ἑνὶ τῶν κεφαλαίων, οὗ ἡ ἐπιγραφὴ, Ὅτι ὡς ὁ Υἱὸς πρὸς τὸν Πατέρα ἔχει, οὕτω τὸ Πνεῦμα πρὸς τὸν Υἱὸν, φησὶ· Διὰ τοῦτο καὶ Θεοῦ μὲν Λόγος ὁ Υἱὸς, ῥῆμα δὲ Υἱοῦ τὸ Πνεῦμα· *Φέρων γὰρ*, φησὶ, *τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ* · καὶ ἐπειδὴ ῥῆμα τοῦ Υἱοῦ, διὰ τοῦτο τὴν μάχαιράν φησι τοῦ Πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ· λόγος δὲ Θεοῦ καὶ ῥῆμα ζῶν καὶ ἐνεργόν. Ὁ δὲ ἅγιος Ἀμβρόσιος (ᾧ ὁ θεῖος Βασίλειος ἐπιστέλλων ἔλεγεν· Ἄγε δὴ, ὦ ἄνθρωπε τοῦ Θεοῦ, ἐπειδὴ οὐ παρ' ἀνθρώπων παρέλαβες ἢ ἐδιδάχθης τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ, ἀλλ' αὐτός σε ὁ Κύριος ἀπὸ τῶν κριτῶν τῆς γῆς ἐπὶ τὴν προεδρίαν τῶν ἀποστόλων μετέθηκεν), οὗτος δὴ πρὸς Γρατιανὸν τὸν βασιλέα ἐν τῷ πρώτῳ βιβλίῳ τῷ Περὶ τοῦ ἁγίου Πνεύματος, κεφαλαίῳ δεκάτῳ, φησίν· Ἀλλ' οὔτε ἐπειδὰν ἐκ τοῦ Πατρὸς ἐξέρχεται, ἀπὸ τόπου ἀναχωρεῖ, καὶ ὡσεὶ σῶμα χωρίζεται ἀπὸ σώματος· οὐδὲ γὰρ ἐν τῷ Πατρὶ ὡς δεῦθεν ἐν σώματι ἄτε δὴ σῶμα ἐμπεριεχόμενος. Καὶ τὸ Πνεῦμα δὲ τὸ ἅγιον ἡνίκα ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορεύεται, οὐ χωρίζεται τοῦ Πατρὸς, οὐ χωρίζεται τοῦ Υἱοῦ· τίνα γὰρ τρόπον δύναται χωρίζεσθαι τοῦ Πατρὸς, Πνεῦμα στόματος αὐτοῦ ὄν ; ὅ πάντως καὶ τῆς ἀϊδιότητος δεῖγμά ἐστι, καὶ τῆς θεότητος ἐμφαίνει τὴν ἑνότητα. Ὁ ἅγιος Ἀγάθων ἐν τῇ ἐπιστολῇ αὐτοῦ, ἣν πρὸς τὴν ἁγίαν ἕκτην σύνοδον

[a] Hebr. I, 3.

ἔπεμψε, παρὰ ἑκατὸν εἴκοσιν ἐπισκόπων βεβαιουμένην, περὶ τοῦ μακαρίου Αὐγουστίνου τοιάδε φάσκει· Ὁ μακάριος Αὐγουστῖνος ὁ ἐξοχώτατος διδάσκαλος· καὶ πάλιν· Ὁ σοφώτατος τῆς ἀληθείας κήρυξ ὁ μακάριος Αὐγουστῖνος. Οὗτος οὖν ὁ μακάριος Αὐγουστῖνος πρὸς Ὠρόσιον γράφων οὕτω φησί· Τὸ Πνεῦμα τὸ ἅγιον οὐκ ἐκ τοῦ Πατρὸς εἰς τὸν Υἱὸν ἐκπορεύεται, καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται ἐπὶ τῷ ἁγιάσαι τὴν κτίσιν, ἀλλ' ἅμα ἐξ ἀμφοτέρων ἐκπορεύεται. Καὶ πάλιν ὁ αὐτὸς ἐν τῷ κατὰ Μαξιμίνου γ' βιβλίῳ φησί· Ζητεῖς παρ' ἐμοῦ, εἰ ἐκ τῆς οὐσίας τοῦ Πατρός ἐστιν ὁ Υἱὸς, ἐκ τῆς οὐσίας τοῦ Πατρός ἐστι καὶ τὸ Πνεῦμα τὸ ἅγιον, διὰ τί ὁ μὲν εἷς ἐστιν Υἱὸς, τὸ δὲ ἕτερον οὐκ ἔστιν Υἱός; Ἰδοὺ ἀποκρίνομαι, κἂν τε λάβῃς, κἂν τε μὴ λάβῃς· Ἐκ τοῦ Πατρός ἐστιν ὁ Υἱὸς, ἐκ τοῦ Πατρός ἐστι καὶ τὸ Πνεῦμα τὸ ἅγιον· ἀλλ' ἐκεῖνος γεννητὸς, τοῦτο ἐκπορευόμενον. Διὸ ἐκεῖνος μὲν Υἱός ἐστι τοῦ Πατρὸς, ἀφ' οὗ ἐγεννήθη, τοῦτο δὲ τὸ Πνεῦμα ἑκατέρου, ὅτι ἐξ ἀμφοτέρων ἐκπορεύεται. Ἀλλὰ διὰ τοῦτο περὶ ἐκείνου λέγων ὁ Υἱὸς ἔφη· *Ἐκ τοῦ Πατρὸς ἐκπορεύεται*, ὅτι ὁ Πατὴρ τῆς ἐκπορεύσεως αὐτοῦ ἐστιν ἀρχηγός· ὃς τοιοῦτον Υἱὸν ἐγέννησε, καὶ ἐν τῷ γεννᾷν δέδωκεν αὐτῷ, ἵνα καὶ ἐξ αὐτοῦ ἐκπορεύηται τὸ Πνεῦμα τὸ ἅγιον. Καὶ γὰρ εἰ μὴ ἐξεπορεύετο τὸ Πνεῦμα τὸ ἅγιον καὶ ἐξ αὐτοῦ, οὐκ ἂν εἶπε τοῖς μαθηταῖς· *Λάβετε Πνεῦμα ἅγιον*· καὶ τοῦτο ἐδίδου ἐμφυσῶν, ἵνα καὶ παρ' αὐτοῦ ἐκπορεύεσθαι παραδηλῶν, ἀποκεκαλυμμένως ἐμφυσῶν ἀποδείξῃ, ὅπερ πνέων κεκαλυμμένως ἐδίδου. Ἐπειδήπερ οὖν εἰ ἐγεννᾶτο, οὐ μόνον ἐκ τοῦ Πατρὸς, οὔτε μόνον ἐκ τοῦ Υἱοῦ, ἀλλ' ἐξ ἀμφοῖν δήπουθεν ἂν ἐγεννᾶτο, ἀναντιῤῥήτως Υἱὸς ἀμφοῖν ἂν ἐλέγετο· καὶ διὰ τοῦτο, Υἱὸς γὰρ ἀμφοῖν οὐδαμῶς εἶναι δύναται, οὐκ ἔδει γεννηθῆναι αὐτὸ ἐξ ἀμφοῖν. Ἀμφοῖν ἄρα Πνεῦμά ἐστιν, ἐκπορευόμενον ἐξ ἀμφοῖν. Καὶ κατωτέρω ἐν τῷ αὐτῷ κεφαλαίῳ· ἀρκείτω τοίνυν ἡμῖν, ὅτι ὁ Υἱὸς οὐκ ἔστιν ἐξ ἑαυτοῦ, ἀλλ' ἐξ οὗ ἐγεννήθη· οὐκ ἔστιν ἐξ ἑαυτοῦ τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' ἐξ οὗ ἐκπορεύεται· καὶ ἐπεὶ παρ' ἀμφοτέρων ἐκπορεύεται, ὡς ἤδη ἀπεδείξαμεν, ὅθεν Πνεῦμα Πατρὸς εἴρηται· καὶ τὰ λοιπά. Ὁ δὲ ἅγιος Ἀναστάσιος, περὶ οὗ ἡ ἁγία ἕκτη σύνοδος λέγει· Ἀποδεχόμεθα τὸν ἅγιον Ἀναστάσιον· καὶ Θεόδωρος ὁ Μελιτηνῆς ἀπεκρίθη· Ἅγιον ἀποκαλεῖ πᾶσα ἡ Ἀνατολὴ τοῦτον τὸν τῆς ὁσίας μνήμης Ἀναστάσιον, τὸν γενόμενον ἐπίσκοπον Ἀντιοχείας· καὶ τὸν μὴ δεχόμενον αὐτὸν ὁ Θεὸς ἀναθεματίσῃ. Καὶ πάντες ὁμοφώνως εἶπον τὸ Ἀμήν· οὗτος οὖν ὁ ἅγιος ἐν τῷ λόγῳ αὐτοῦ, οὗ ἡ μὲν ἐπιγραφὴ, *Περὶ τῶν καθ' ἡμᾶς ὀρθῶν δογμάτων τῆς ἀληθείας*, ἡ δὲ ἀρχὴ, Τῶν περὶ τῆς ὑγιοῦς ἡμῶν πίστεως, οὕτω φησί· Τοῦ δὲ σώματος τὸ ἴδιωμα λαβόντες ὡς παράδειγμα, τὴν ἀλληλουχίαν τῶν θείων παρεστήσαμεν διὰ τῆς τῶν μελῶν ἀναλογίας τε καὶ εἰκασίας. Ταύτῃ γὰρ καὶ πνεῦμα στόματος αὐτοῦ, δῆλον τοῦ Θεοῦ, τὸ Πνεῦμα τὸ ἅγιον λέγεται, στόματος ὄντος τοῦ Μονογενοῦς· καί· Πνεῦμα πάλιν ἐξ αὐτοῦ ἐκπορευόμενον καὶ ἀποστελλόμενον, οὐ μόνον παρὰ τοῦ Πατρὸς, ἀλλὰ καὶ παρὰ τοῦ Υἱοῦ·

A ad Orosium scribens : Spiritus, inquit, sanctus non procedit ex Patre ad Filium, et a Filio ad sanctificandam creaturam ; sed ab utroque simul procedit. Rursus idem libro tertio contra Maximum : Quæris a me, si de substantia Patris est Filius, de substantia Patris est etiam Spiritus sanctus, cur unus Filius sit, et alius non sit Filius? Ecce respondeo, sive capias, sive non capias : De Patre est Filius, de Patre est Spiritus sanctus : sed ille genitus est, iste procedens ; ideo ille Filius est Patris, de quo est genitus ; iste autem Spiritus utriusque, quoniam ab utroque procedit. Sed ideo cum de illo Filius loqueretur, ait : *De Patre procedit*[9], quoniam Pater processionis ejus est auctor, qui talem Filium genuit, et gignendo ei de-
B dit ut etiam de ipso procederet Spiritus sanctus. Nam nisi procederet et de ipso, non diceret discipulis : *Accipite Spiritum sanctum*[10] ; eumque insufflando daret, ut a se quoque procedere significans, aperte ostenderet flando, quod spirando dabat occulte. Quia ergo si nasceretur, non tantum de Patre, nec tantum de Filio, sed de ambobus utique nasceretur, sine dubio Filius diceretur amborum. Ac per hoc, quia Filius amborum nullo modo est, non oportuit nasci eum de ambobus. Amborum est ergo Spiritus sanctus procedendo de ambobus. Et infra in eodem capite ; satis sit ergo nobis, quia non est a seipso Filius, sed ab illo, de quo natus est : non est a seipso Spiritus sanctus, sed ab illo de quo procedit ; et quia de utroque procedit, sicut jam ostendimus,
C unde et Spiritus Patris dictus est, etc. Sanctus autem Anastasius, de quo sancta synodus sexta, Suscipimus, inquit, sanctum Anastasium ; et Theodorus Melitenæ episcopus respondit : Sanctum vocat universus Oriens hunc beatæ memoriæ Anastasium, Antiochenum olim episcopum ; et qui hunc non recipit, illum Deus anathematizet ; et responderunt omnes una voce, Amen : hic ergo sanctus in sermone, qui inscriptus est, *De rectis quæ nos credimus dogmatibus veritatis*, cujus tale est initium : Eorum quæ de recta fide nostra, sic ait : Ex eo porro quod proprium corporis est, petito exemplo, declaravimus, quomodo in divinis alterum sit in altero ex proportione et similitudine membrorum.
D Hac enim ratione et spiritus oris ejus, Dei videlicet, Spiritus sanctus dicitur, cum os sit Unigenitus. Et rursus : Spiritus, qui ab eo procedit et mittitur, non a Patre solum, sed etiam a Filio. Et quibusdam interpositis : Itaque, inquit, Dominus ostendens eum se esse, a quo exsistit Spiritus insufflans in discipulos aiebat : *Accipite Spiritum sanctum*. Esse porro sermonem illum hujus auctoris, testabitur Constantinopolitanorum synodus contra Acindynum celebrata ; profert enim inde testimonia. Testis erit etiam Nilus Cabasilas.

[9] Joan. xv, 26. [10] Joan. xx, 22.

καὶ μετά τινα· Καὶ μὴν ὁ Κύριος ἐξ αὐτοῦ δεικνὺς αὐτὸ ὑπάρχειν, ἐμφυσῶν τοῖς ἑαυτοῦ μαθηταῖς ἔλεγε· *Λάβετε Πνεῦμα ἅγιον*. Ὅτι δὲ τοῦδε ὁ λόγος, μαρτυρήσει καὶ ἡ σύνοδος ἡ κατὰ Ἀκινδύνου, μαρτυρίας ἐκ τούτου προκομίζουσα· καὶ κῦρ Νεῖλος ὁ Καβασιλᾶς.

Ad hæc Epiphanius, de quo sanctus Theodorus Studita ad finem secundi sui libri contra Iconomachos ait: Epiphanium scimus et sanctum et miraculorum virtute maximum. Rursus idem in sua ad Naucratum epistola, quæ sic incipit: Altera tibi iterum cautela, fili dilecte: Ea vero, inquit, quæ a me quæsisti de hæreseon et baptismatum differentia singulatim, plura sunt quam modus epistolæ ferre possit. Et rursus: Superfluum est ea percensere, quæ a deifero Epiphanio inventa sunt et descripta diligentius, quam ab alio quovis Patre. Sacrum ergo de hæresibus librum ejus evolve, et quæ scire cupis, pernosces omnia. Sancta quoque sexta synodus tomo quarto, actione decima, de sancto hoc ita loquitur: Lecta sunt et multorum aliorum testimonia, nec non auctoritates sancti Epiphanii ex Panariis, sermone sexagesimo nono. Rursus eadem synodus hæc habet: Et persuadet hoc nobis eximius Pater noster Epiphanius tractatu contra Arianos. Sancta insuper generalis septima synodus actione sexta: Libri, inquit, sancti Patris nostri Epiphanii, Ancoratus, et reliqui notissimi sunt per totum orbem, et sonus eorum longe lateque vagatur, et fere per omnes ecclesias disseminati sunt. Itaque hic sanctus in dictis libris, tractatu adversus Semiarianos in Panariis: Fatentur, inquit, deitatem unam et principatum et dominium; personas pariter in proprietatibus hypostaticis pie agnoscunt; Patrem in majestate paterna subsistentem intelligentes, Filium quoque non partem aliquam Patris, sed plane perfectum ex perfecto natum et subsistentem asserentes; et Spiritum sanctum quem sacra Scriptura Paracletum nominat, ex Patre per Filium subsistere existimantes. Et in Ancorato: Spiritus sanctus, Spiritus veritatis est, lumen tertium, ex Patre et Filio. Et post pauca: Sicut enim *Nemo novit Patrem nisi Filius, nec Filium nisi Pater* [11], ita pariter dicere audeo, nec Spiritum, nisi Pater et Filius, a quo procedit et a quo accipit, nec Filium et Patrem, nisi Spiritus sanctus qui vere glorificat, qui docet omnia, qui est a Patre et Filio. Et rursus: Semper igitur erat Pater, semper erat Filius, et Spiritus ex Patre et Filio spiratus. Itaque perspicuum est et plane manifestum, et a nobis et a Latinis vocem illam, Etiam ex Filio, desumptam esse a doctoribus et theologis: ex quibus sanctæ synodi œcumenicæ, dum quæstio theologica tractaretur, adhibebant testimonia, ut explicatum est.

Ὁ δὲ ἅγιος Ἐπιφάνιος, περὶ οὗ ὁ ἅγιος Θεόδωρος ὁ Στουδίτης ἐν τῷ τέλει τοῦ β' αὐτοῦ βιβλίου τοῦ κατὰ Εἰκονομάχων λέγει· Ἐπιφάνιον ἴσμεν καὶ ἅγιον καὶ μέγιστον ἐν θαυματουργίαις· καὶ πάλιν ὁ αὐτὸς ἐν τῇ πρὸς Ναύκρατον ἐπιστολῇ αὐτοῦ, ἧς ἡ ἀρχή, Πάλιν ἑτέρα σοι φυλακή, τέκνον ἠγαπημένον, φησίν· Ἃ δὲ ἐπεζήτησας ἀποκριθῆναί με περί τε τῶν αἱρέσεων καὶ βαπτισμάτων κατ' ἔπος, ἐπιστολῆς ὑπερβαίνει μέτρον· καὶ πάλιν· Περιττολογεῖν ἐστι τὰ αὐτὰ ἀφηγεῖσθαι, ἃ ὁ θεοφόρος Ἐπιφάνιος ἐξεῦρε καὶ διέγραψεν, ὡς οὐδεὶς τῶν Πατέρων· ἔντυχε οὖν τῇ περὶ αὐτῶν ἱερᾷ αὐτοῦ βίβλῳ, κἀκεῖσε διαγνώσῃ ἃ μαθεῖν ἐφίεσαι. Ἡ δὲ ἁγία οἰκουμενικὴ ἕκτη σύνοδος ἐν τόπῳ τετάρτῳ, πράξει δεκάτῃ, περὶ τοῦδε τοῦ ἁγίου τάδε λέγει· Ἀνεγνώσθησαν καὶ ἄλλων πολλῶν μαρτυρίαι, ἔτι καὶ χρήσεις τοῦ ἁγίου Ἐπιφανίου ἐκ τῶν *Παναρίων*, ἀπὸ λόγου ξθ'· καὶ πάλιν ἡ αὐτὴ λέγει· Καὶ πειθέτω ἡμᾶς ὁ περιφανὴς Πατὴρ ἡμῶν Ἐπιφάνιος ἐν τῷ κατὰ Ἀρειομανιτῶν λόγῳ. Καὶ ἡ ἁγία οἰκουμενικὴ ζ' σύνοδος ἐν τῇ ἕκτῃ πράξει αὐτῆς οὕτω λέγει· Αἱ βίβλοι τοῦ ἁγίου Πατρὸς ἡμῶν Ἐπιφανίου, ἥ τε λεγομένη Ἀγκυρωτός, καὶ αἱ λοιπαὶ εἰς πᾶσαν τὴν οἰκουμένην διαβεβόηνται, καὶ ὁ φθόγγος αὐτῶν ἐξῆχηται, καὶ παρὰ μικρὸν κατὰ πᾶσαν Ἐκκλησίαν διεσπαρμέναι εἰσίν. Οὗτος οὖν ὁ ἅγιος ἐν τοῖς εἰρημένοις βιβλίοις, ἐν μὲν τοῖς *Παναρίοις* ἐκ τοῦ κατὰ Ἡμιαρείων λόγου φησίν· Ὁμολογοῦσι μίαν θεότητα καὶ βασιλείαν καὶ ἀρχήν· ὁμοίως τὰ πρόσωπα ἐν ταῖς ἰδιότησι τῶν ὑποστάσεων εὐσεβῶς γνωρίζουσι· τὸν Πατέρα ἐν τῇ πατρικῇ αὐθεντίᾳ ὑφεστῶτα νοοῦντες, καὶ τὸν Υἱὸν οὐ μέρος ὄντα τοῦ Πατρός, ἀλλὰ καθαρῶς τέλειον ἐκ τελείου γεγεννημένον καὶ ὑφεστῶτα ὁμολογοῦντες· καὶ τὸ Πνεῦμα δὲ τὸ ἅγιον, ὃ ἡ θεία Γραφὴ Παράκλητον ὀνομάζει, ἐκ Πατρὸς δι' Υἱοῦ ὑφεστῶτα γνωρίζοντες. Ἐν δὲ τῷ Ἀγκυρωτῷ· Πνεῦμα ἅγιον, Πνεῦμα ἀληθείας ἐστί, φῶς τρίτον, παρὰ Πατρὸς καὶ Υἱοῦ· καὶ μετ' ὀλίγα· Ὃν γὰρ τρόπον *Οὐδεὶς ἔγνω τὸν Πατέρα εἰ μὴ ὁ Υἱός, οὐδὲ τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ*, οὕτω τολμῶ λέγειν ὅτι οὐδὲ τὸ Πνεῦμα, εἰ μὴ ὁ Πατὴρ καὶ ὁ Υἱός, παρ' οὗ ἐκπορεύεται, καὶ παρ' οὗ λαμβάνει· καὶ οὐδὲ τὸν Υἱὸν καὶ τὸν Πατέρα, εἰ μὴ τὸ Πνεῦμα τὸ ἅγιον, τὸ δοξάζον ἀληθῶς, τὸ διδάσκον τὰ πάντα, ὃ παρὰ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ· καὶ μετά τινα· Τοίνυν Πατὴρ ἦν ἀεί, καὶ Υἱὸς ἦν ἀεί, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς καὶ Υἱοῦ πνέει. Πρόδηλον οὖν ἐστι καὶ φανερόν, ὅτι καὶ ἡμεῖς τε καὶ οἱ Λατῖνοι παρὰ τῶν διδασκάλων καὶ θεολόγων τῆς Ἐκκλησίας, τὸ καὶ ἐκ τοῦ Υἱοῦ, παρελάβομεν· ἐξ ὧν καὶ αἱ ἅγιαι οἰκουμενικαὶ σύνοδοι μαρτυρίαις ἐπὶ ζητήσει θεολογικοῦ πράγματος προεκόμιζον, ὡς προδεδήλωται.

EPHES.

Et cum illis quidem licite ac rationabiliter fuisse appositum Symbolo additamentum aiunt;

ΕΦΕΣ.

Καὶ μετ' ἐκείνων μὲν θεμιτῶς καὶ εὐλόγως τὴν προσθήκην ἐν τῷ συμβόλῳ γεγονέναι φασί· μεθ'

[11] Matth. xi, 27.

ἡμῶν δὲ λέγειν ταύτην οὐ καταδέχονται· καίτοι γε τὸ θεμιτῶς καὶ εὐλόγως γενόμενον τίς ἂν παραιτήσαιτο λέγειν;

ΑΠΟΛ.

Τὸ μὲν οὖν θεμιτῶς καὶ εὐλόγως λέγει, τὸ δὲ πρὸ τούτου παρασιωπᾷ· ποῖον δή τοῦτο; Τὸ τὴν τῶν ῥημάτων ἐκείνων ἀνάπτυξιν, καὶ ἐκ τοῦ Υἱοῦ, χάριν τοῦ τὴν ἀλήθειαν σαφηνισθῆναι, ἀνάγκης τότε ἐπικειμένης, θεμιτῶς καὶ εὐλόγως; ἐν τῷ συμβόλῳ προστεθῆναι. Τί οὖν; πᾶσαν ἀνάπτυξιν καὶ σαφήνειαν ἀνάγκη ἀεὶ προσκεῖσθαι τῷ κειμένῳ, καὶ χωρὶς ταύτης μὴ ἀναγινώσκεσθαι τὸ κείμενον τῆς θείας Γραφῆς; Ἢ διὰ τὸ μὴ ἀναγινώσκεσθαι οὕτω συνημμένως, οὐ θεμιτῶς καὶ εὐλόγως ἐροῦμεν τὴν ἀνάπτυξιν γεγονέναι καὶ τὴν σαφήνειαν τὴν μετὰ τοῦ κειμένου ἡνωμένην; Καὶ τίς ἂν τοῦτο ἐρεῖ νοῦ καὶ φρενῶν κύριος; Ἡμεῖς γὰρ ἴσμεν τὴν ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ δεκάλογον παρὰ Βασιλείου τοῦ Μεγάλου σαφηνισθεῖσαν· καὶ τὸ αὐτὸ ἅπαν ἱερὸν Εὐαγγέλιον παρὰ Ἰωάννου τοῦ Χρυσοστόμου τὴν σαφήνειαν δεξάμενον, καὶ παρὰ τοῦ θεσπεσίου Κυρίλλου καὶ ἄλλων· ἀλλ' οὐ μετὰ τῆς ἐξηγήσεως καὶ σαφηνείας ἀεὶ ἐπ' Ἐκκλησίαν ἀναγινώσκεται, διὸ εἰ μὲν τὸ ἐλλεῖπον ἢ τὸ παραλελειμμένον ἐλέγομεν προστεθῆναι ἢ ἀναπληρωθῆναι, εἶτα οὐ μετὰ τοῦ προστεθέντος εἰς ἀναπλήρωσιν ἐψάλλομεν, καλῶς ἂν εἶχεν ἐγκαλεῖν ἡμῖν· ἐπεὶ δὲ ἀνάπτυξιν ἀκούει καὶ σαφήνειαν, ἡ δὲ ἀνάπτυξις οὐκ ἀεὶ μετὰ τοῦ κειμένου ἀναγινώσκεται, οὐ δικαίως ἐγκαλεῖ ἡμῖν. Τοῦτο μόνον ἐστὶν ἀνάγκη, ὅτι πᾶν τὸ ἐξαπλούμενον ἢ σαφηνιζόμενον ἐκ τῶν ἁγίων δεῖ ἔχειν τὴν μαρτυρίαν· καὶ, ὅ τι ἂν ποιήσῃ σύνοδος, οὐκ ἄλλον ὅρον ποιεῖ διὰ τῆς ἐπεισαγωγῆς τῶν προστεθέντων, ἀλλ' αὐτὸν ἐκεῖνον τὸν πρῶτον ὅρον ἐξαπλοῖ καὶ ἐπεξεργάζεται. Καὶ ὅτι τοῦθ' οὕτως ἔχει, ἄκουσον καὶ τοῦ ἱεροῦ Μαξίμου οὕτω βεβαιοῦντος· φησὶ γὰρ ἐν τῇ συντόμῳ ἀπολογίᾳ αὐτοῦ, ἣν ποιεῖται ὑπὲρ τῆς ἐν Καλχηδόνι συνόδου, ἧς ἡ ἀρχή· Ἐπειδὴ λίαν γενναίως ἢ ἀγεννῶς εἰπεῖν οἰκειότερον· Εἰ γὰρ ἔστι τἀληθῆ ὑπὲρ ἀληθείας εἰπεῖν, πάντες οἱ μετὰ τὴν Νικαίων θεόχριτοι Πατέρες, καὶ πᾶσα σύνοδος ὀρθοδόξων καὶ ἁγίων ἀνδρῶν, οὐκ ἄλλον πίστεως ὅρον διὰ τῆς ἐπεισαγωγῆς τῶν οἰκείων ῥημάτων παντελῶς ἐπεισήγαγον, ὡς ὑμεῖς ἀποφαίνεσθε, πλεῖστον παραληροῦντες καὶ τὸ ὅλον μαινόμενοι· ἀλλ' αὐτὸν εἰς πρῶτον καὶ μόνον τὸν ἐκ τῶν τιη' Πατέρων νομοθετηθέντα βεβαίως ἐκύρωσαν, τρανοῦντες αὐτὸν καὶ οἷον ἐπεξηγούμενοί τε καὶ ἐπεξεργαζόμενοι διὰ τοὺς ἐκεῖνον καὶ τὰ ἐκείνου δόγματα πρὸς τὴν οἰκείαν κακῶς ἐκλαμβάνοντας καὶ παρεξηγουμένους δυσσέβειαν.

ΕΦΕΣ.

Καὶ μετ' ἐκείνων μὲν τὸ ἄζυμον σῶμα τοῦ Χριστοῦ λέγουσι, μεθ' ἡμῶν δὲ αὐτοῦ μεταλαμβάνειν οὐκ ἂν τολμήσαιεν.

ΑΠΟΛ.

Ὅτι μὲν οὖν ἐγκαλεῖ ἡμῖν, καὶ διασύρει ἕνεκεν τῶν ἀζύμων, οἶδεν· ὅτι δὲ ὁ Κύριος δι' ἀζύμου τὴν μυστικὴν ἐτέλεσε θυσίαν τότε, οὐκ οἶδεν, οὐδὲ ἀδιάφορον ἡγεῖται τὸ δι' ἐνζύμου ἢ δι' ἀζύμου τὴν θυ-

nobiscum vero illud exprimere neutiquam volunt; quanquam quod licite ac rationabiliter factum est, quis recuset exprimere?

RESP.

Definitionis verba illa: Licite ac rationabiliter, ponit, antecedentia vero tacet; et quænam hæc, verborum scilicet illorum, Filioque, explicationem veritatis declarandæ gratia, et imminente tunc necessitate, licite ac rationabiliter Symbolo fuisse appositam. Quid igitur? necesse est omnem explicationem et declarationem textui semper adjici, nec legi potest sine illa textus sacræ Scripturæ? An quia recitamus Symbolum sine adjectione explicationis, dicemus explanationem et declarationem textui appositam nec licite, nec rationabiliter factam? Et quis hoc dicat mentis suæ compos? Scimus decem Evangelii Joannis capita fuisse a magno Basilio commentariis illustrata; et idem integrum sacrum Evangelium a Joanne Chrysostomo declaratum, nec non a præstantissimo doctore Cyrillo, et aliis: non semper tamen illud in ecclesia legitur cum enarratione. Quare si diceremus additum esse quod deerat, et supplemento perfectum quod non erat integrum, deinde caneremus Symbolum absque addito supplemento, esset cur merito ab illo reprehenderemur. At quando factam audit explicationem declarationemque, ea vero non semper cum textu legitur, nullo sane merito nos accusat. Hoc unum est necessarium, ut sanctorum testimoniis probatum sit omne quod explanatione declaratur. Nam quidquid statuerit synodus, per ea quæ infert addendo, non aliam definitionem condit, sed ipsam primam definitionem explicat, et explicatione dilatat. Quod autem hoc verum sit, audi sanctum Maximum ita testimonium tribuentem. Is enim in compendiosa sua pro synodo Chalcedonensi apologia, cujus initium est: Quoniam nimis generoso animo, vel ut aptius dicam, ignavo, Si enim, inquit, licet verum pro veritate proloqui, omnes post Nicænam synodum a Deo selecti Patres, omneque orthodoxorum sanctorumque omnium concilium, nullo modo aliam induxere fidei definitionem suis ipsis verbis utendo, ut vos dicitis plurimum delirantes et penitus insanientes; sed ipsam uti primam et unicam, quæ a sanctis trecentis decem et octo Patribus sancita est, firmam et ratam esse voluerunt, dilucidantes eam, et veluti apertius enucleantes, propter eos qui illam illiusque dogmata pravis interpretationibus ad suam ipsorum detorquent impietatem.

EPHES.

Et eum illis quidem azymum Christi corpus esse dicunt, nobiscum vero illud ad communionem sumere non ausint.

RESP.

Objurgare quidem, et detrahere nobis propter azyma novit, ignorat autem per azymum a Domino fuisse olim peractum mysticum sacrificium; nec putat indifferens, sive per azymum, sive per fer-

mentatum conficere, sed omnia frustra esse arbitratur, sacerdotium, altare, Dominicam vocem: *Hoc facite in meam commemorationem*; et divina verba: *Hoc est corpus meum*; et: *Hic est sanguis meus* [13], et reliquos ritus qui observantur, si non adsit ejusdem massæ, seu ejusdem materiæ modicum acidumque fermentum. Quod vero Dominus ac Deus noster legale Pascha prius celebrarit, deinde mysteria discipulis tradiderit, audi sanctum Patrem Chrysostomum homilia octogesima prima sic dicentem: Sed quam ob causam Pascha celebrabat? Ostendens per omnia usque ad ultimum diem, se non esse legi contrarium. Attende quid dicat: Ne legi esset contrarius, Pascha celebrabat. Num ergo perfregit legem, asservans fermentatum panem? Quod vero etiam per septem dies illo tempore fermentum non exstaret, testis erit idem sacer Chrysostomus in priorem ad Corinthios Epistolam: Dicamus, inquit, prius, cur de cunctis finibus pellatur fermentum; quid ergo sibi vult hoc ænigma? Omni nequitia liberum oportet esse fidelem. Sicut enim ibi peribat is, apud quem repertum esset vetus fermentum, ita e nobis ille, apud quem erit nequitia. Neque enim sub legis umbra, pœnæ graves constitutæ, nobis autem haud multo graviores. Si enim domos ita repurgant, ut murium quoque cavernas rimentur, multo magis decet nos perscrutari secreta animi. Cum igitur cavernas murium rimarentur, et sanctus Pater affirmet Christum ad ultimum usque diem non fuisse legi contrarium, et ideo Pascha celebrasse; certe contrarius fuisset, si Pascha celebrasset, et fermentatum servasset. Esse porro id lege vetitum, audi verba ejus præcipientis: *Septem diebus azyma comedetis: die primo non erit fermentum in domibus vestris. Quicunque comederit fermentum, peribit anima illa de Israel.* Et paulo post: *Primo mense, quarta decima die mensis, ad vesperam comedetis azyma usque ad diem vicesimam primam ejusdem mensis ad vesperam: septem diebus fermentum non invenietur in domibus vestris: qui comederit fermentatum, peribit anima ejus de cœtu Israel* [14]. Quod vero Christus servato legis præscripto Pascha celebrarit, Judæi vero nequaquam illud servarint, sed diem transgressi fuerint, audi oris aurei Patrem homilia octogesima quarta in Joannem, dum verba illa exponit: *Adducunt Jesum a Caipha in prætorium*: Cur enim illuc eum duxerunt, ubi omnes congregati erant? Ut res fieret communi omnium pontificum consensu; erat enim ille tunc pontifex, et omnes illum præstolabantur. Ita pernoctabant vigilabantque hujus rei causa: Non enim, inquit, comederant Pascha tunc, sed propterea vigilabant. Nam post illa verba: *Erat autem mane*, Joannes intulit, *Et ipsi non introierunt in prætorium, ut non contaminarentur, sed ut manducarent Pascha* [15]. Quid ergo ad hæc dicemus? Illud sane, quod altera die

A σίαν τελεῖσθαι. Ἀλλ', ὡς οἶεται, πάντα, ἥ τε ἱερωσύνη, καὶ τὸ θυσιαστήριον, καὶ ἡ φωνὴ ἣν προήκατο ὁ Κύριος, *Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν*, καὶ τὰ θεῖα ῥήματα, *Τοῦτό ἐστι τὸ σῶμά μου*, καὶ, *Τοῦτό ἐστι τὸ αἷμά μου*, καὶ πᾶσα τελετὴ, ἀργά εἰσι διὰ τὸ μὴ ἔχειν ἐκ τοῦ αὐτοῦ ὑποκειμένου, ἢ ἐκ τῆς αὐτῆς ὕλης ὀξώδη μικρὰν ζύμην. Ὅτι δὲ ὁ Κύριος ἡμῶν καὶ Θεὸς νομικὸν Πάσχα ἐτέλεσεν, εἶτα τὰ μυστήρια δέδωκε τοῖς μαθηταῖς, ἄκουσον τοῦ θείου Χρυσοστόμου ἐν ὁμιλίᾳ πα' λέγοντος· Τίνος δὴ ἕνεκεν τὸ Πάσχα ἐτέλει; Διὰ πάντων δεικνὺς μέχρι τῆς ἐσχάτης ἡμέρας, ὅτι οὐκ ἔστιν ἐναντίος τῷ νόμῳ. Ὅρα τί φησιν· Ἵνα μὴ ἐναντίος γένηται τῷ νόμῳ, τὸ Πάσχα ἐπετέλει. Τί οὖν; ἐναντίον τοῦ νόμου ἐποίει φυλάττων τὸν ἄζυμον
B ἄρτον; Ἀλλ' ὅτι καὶ ἐν ἑπτὰ ἡμέραις κατ' ἐκεῖνο καιροῦ ἡ ζύμη οὐχ εὑρίσκετο, μαρτυρήσει τοῦτο πάλιν ὁ θεῖος Χρυσόστομος ἐν τῇ πρὸς Κορινθίους πρώτῃ Ἐπιστολῇ· Πρότερον εἴπωμεν, διὰ τί ἐκ τῶν ὁρίων πάντων ἀπελαύνεται ἡ ζύμη· τί οὖν ἐστι τὸ αἴνιγμα; Πάσης πονηρίας; ἀπηλλάχθαι δεῖ τὸν πιστόν. Ὥσπερ γὰρ ἐκεῖνος ἀπόλλυται, ὅπου ἂν εὑρεθῇ παλαιὰ ζύμη, οὕτω καὶ παρ' ἡμῖν ἔνθα ἂν εὑρεθῇ πονηρία· οὐ γὰρ δήπου ἐπὶ μὲν τῆς σκιᾶς πολλὴ ἡ κόλασις, ἐπὶ δὲ ἡμῶν οὐ πολλῷ μείζων· εἰ γὰρ τὰς οἰκίας οὕτω καθαίρουσιν, ὡς καὶ μυῶν ὀπὰς περιεργάζεσθαι, πολλῷ μᾶλλον ἡμᾶς τὴν ψυχὴν διερευνᾶσθαι δεῖ. Ἐπεὶ οὖν μυῶν ὀπὰς περιειρ-
C γάζοντο, ὁ δὲ ἅγιος λέγει, ὅτι μέχρι τῆς ἐσχάτης ἡμέρας, ἵνα μὴ ἐναντίος γένηται τῷ νόμῳ, τὸ Πάσχα ἐπετέλει, μᾶλλον ἂν ἐναντίος ἦν τὸ Πάσχα τελῶν καὶ τὸ ἄζυμον φυλάττων. Ὅτι δὲ ὁ νόμος ἀπαγορεύει τοῦτο, ἄκουσον οὕτω προστάττοντος· φησὶ γάρ· *Ἑπτὰ ἡμέρας ἄζυμα ἔδεσθε· ἀπὸ δὲ τῆς ἡμέρας τῆς πρώτης ἀφανιεῖτε ζύμην ἐκ τῶν οἰκιῶν ὑμῶν, Πᾶς ὃς ἂν φάγῃ ζύμην, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐξ Ἰσραήλ· καὶ μετά τινα· Ἐναρχόμενοι τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρα τοῦ μηνὸς τοῦ πρώτου, ἀφ' ἑσπέρας ἔδεσθε ἄζυμα ἕως ἡμέρας μιᾶς καὶ εἰκάδος τοῦ μηνὸς ἕως ἑσπέρας· ἑπτὰ ἡμέρας ζύμη οὐχ εὑρεθήσεται*
D *ἐν ταῖς οἰκίαις ὑμῶν. Πᾶς ὃς ἂν φάγῃ ζυμωτὸν, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ συναγωγῆς Ἰσραήλ.* Ὅτι δὲ κατὰ νόμον ὁ Χριστὸς τὸ Πάσχα ἐτέλεσεν, οἱ δὲ Ἰουδαῖοι παρανόμως ἐποίησαν παραβιάσαντες τὸ Πάσχα, ἄκουσον τοῦ Χρυσοστόμου Πατρὸς ἐν πδ' ὁμιλίᾳ τοῦ κατὰ Ἰωάννην, εἰς τό· *Ἄγουσι τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον*· Διὰ τί ἐκεῖ ἀπήγαγον αὐτὸν, ἔνθα ἅπαντες ἦσαν συνηγμένοι; Ἵνα μετὰ γνώμης πάντων ποιήσωσι τῶν ἀρχιερέων· ἐκεῖνος γὰρ ἦν τότε ἀρχιερεὺς, καὶ πάντες ἦσαν αὐτὸν ἀναμένοντες. Οὕτω διενυκτέρευον καὶ ἠγρύπνουν ἐπὶ τούτῳ· οὐδὲ γὰρ ἔφαγον τότε τὸ Πάσχα, φησὶν, ἀλλὰ διὰ τοῦτο ἠγρύπνουν· εἰπὼν γὰρ, ὅτι *Πρωΐα ἦν*, ὁ Ἰωάννης ἐπήγαγεν· *Οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ Πάσχα.* Τί οὖν

[13] Luc. xxii, 19; I Cor. xi, 24. [14] Exod. xii, 15 seqq. [15] Joan. xviii, 28.

ἐστιν εἰπεῖν; Ὅτι ἐν ἑτέρᾳ ἔφαγον, καὶ τὸν νόμον ἔλυσαν διὰ τὴν ἐπιθυμίαν τὴν περὶ τὴν σφαγὴν ταύτην. Οὐδὲ γὰρ ὁ Χριστὸς παρέβη τὸν καιρὸν τοῦ Πάσχα, ἀλλ' ἐκεῖνοι οἱ πάντα τολμῶντες καὶ μυρίους καταπατοῦντες νόμους. Τούτων οὕτως ἐχόντων πῶς κατηγορήσομεν τοὺς μετὰ ἀζύμων τὴν θυσίαν τελοῦντας; Περὶ δὲ ἡμῶν αὐτῶν οὕτω λέγομεν, ὅτι οὕτω παρειλάδομεν, καὶ οὕτω στέργομεν, ὡς οἱ ἀπόστολοι κατ' οἶκον κλῶντες ἄρτον τὴν θυσίαν ἐπετέλουν· καὶ οὐδαμοῦ φαίνεται ὡς ἄζυμον ζητοῦντες τὴν θυσίαν ἐπετέλουν. Καὶ πάλιν ἐν ταῖς τῶν ἀζύμων ἡμέραις μηδαμοῦ ἐν Ἱεροσολύμοις ἐνζύμου εὑρισκομένου, οὐδαμοῦ πάλιν φαίνεται, ὅτι ἔνζυμον αἰτοῦντες, οὕτως ἐποίουν. Ἤδεισαν γὰρ, ὅτι τὸ αὐτό ἐστιν ὑποκείμενον, ὁ ἐκ τοῦ σίτου ἄλευρος. Οὐ γὰρ διὰ τὸ μὴ ἔχειν μικρὰν ζύμην, ἤδη πάντα τὰ τελούμενα ἀργὰ, καὶ μάλιστα τὰ τοῦ Κυρίου ῥήματα, ἅτινα καὶ μεταποιοῦσι τὸν ἄρτον καὶ τὸν οἶνον σὺν τῷ ὕδατι εἰς σῶμα καὶ αἷμα αὐτοῦ. Ὅτι δὲ αὐτὰ τὰ ῥήματα μεταῤῥυθμίζουσι τὴν ὕλην ταύτην εἰς τὰ εἰρημένα, ἄκουσον τοῦ θείου Χρυσοστόμου ἐν τῷ λόγῳ, οὗ ἡ ἐπιγραφὴ, *Εἰς τὴν προδοσίαν τοῦ Ἰούδα, καὶ εἰς τὸ μυστικὸν δεῖπνον τοῦ Σωτῆρος, καὶ κατὰ Ἰουδαίων*· ἡ δὲ ἀρχὴ τοῦ λόγου· Ἐβουλόμην, ἀγαπητοὶ, τῆς κατὰ τὸν πατριάρχην πάλιν ὑποθέσεως. Πάρεστι καὶ νῦν ὁ Χριστὸς ἐκεῖνος τὴν τράπεζαν ταύτην κοσμῶν· ὁ γὰρ τὴν τράπεζαν ἐκείνην κοσμήσας τότε, οὗτος καὶ ταύτην διακοσμεῖ νῦν. Οὐ γὰρ ἄνθρωπός ἐστιν ὁ ποιῶν τὰ προκείμενα γενέσθαι σῶμα καὶ αἷμα Χριστοῦ, ἀλλ' αὐτὸς ὁ σταυρωθεὶς ὑπὲρ ἡμῶν Χριστός. Σχῆμα πληρῶν ὁ ἱερεὺς μόνον ἕστηκε, καὶ προσφέρει τὴν δέησιν τὰ ῥήματα φθεγγόμενος ἐκεῖνα· ἡ δὲ χάρις καὶ ἡ δύναμίς ἐστι τοῦ Θεοῦ ἡ πάντα ἐργαζομένη. *Τοῦτό μού ἐστι τὸ σῶμα*, φησὶ· τοῦτο τὸ ῥῆμα τὰ προκείμενα μεταῤῥυθμίζει. Καὶ καθάπερ ἐκείνη ἡ φωνὴ ἡ λέγουσα· *Αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν*, ἐῤῥέθη μὲν ἅπαξ, διὰ παντὸς δὲ τοῦ χρόνου γίνεται ἔργον, δυναμοῦσα τὴν φύσιν τὴν ἡμετέραν πρὸς παιδοποιΐαν· οὕτω καὶ αὕτη ἡ φωνὴ ἅπαξ λεχθεῖσα παρὰ τῆς θείας γλώττης ἐκείνης, τὸ, *Τοῦτό μού ἐστι τὸ σῶμα*, καθ' ἑκάστην τράπεζαν ἐν ταῖς ἐκκλησίαις, ἐκείνου τοῦ ῥήματος ἡ δύναμις μέχρι τῆς σήμερον, καὶ ἄχρι τῆς αὐτοῦ παρουσίας τὴν θυσίαν ἀπηρτισμένην ἐργάζεται. Εἰ οὖν τοῦτο τὸ ῥῆμα εἰς σῶμα Χριστοῦ καὶ αἷμα τὰ προκείμενα μεταποιεῖ, καὶ φρικτὰ μυστήρια ἀπεργάζεται, ἀδυνατεῖ δὲ ταῦτα εἶναι τέλεια διὰ τὸ μὴ ἔχειν μικρὰν ζύμην, θαῦμα ἂν εἴη· καὶ ταῦτα ἐν ταύτῃ τῇ ὕλῃ τοῦ Χριστοῦ τελέσαντος, ὡς προαποδέδειχται.

comederunt, et a lege discesserunt cædis hujus faciendæ desiderio. Neque enim Christus tempus Paschæ non observavit, sed illi qui nihil non audebant, et leges innumeras perrumpebant. Cum hæc ita se habeant, qua ratione erunt a nobis reprehendendi, qui azymo sacrificant? De nobis autem ipsis dicimus, ita nos accepisse, et nostram consuetudinem ratam habere; et apostoli domi panem frangentes sacrificium factitabant; neque usquam apparet, quæsitum esse ab illis panem azymum ad sacrificandum. Rursus cum dies essent azymorum, et fermentatus panis non esset Hierosolymis, nusquam similiter apparet, quæsito fermentato illos consecrasse, quod scirent materiam esse eamdem, nempe farinam triticeam. Neque enim quod modicum non adsit fermentum, invalida jam erunt omnia quæ ad sacrificium spectant, præsertim Domini verba, quæ panem et vinum cum aqua transmutant in corpus ejus et sanguinem? Quod autem verba hæc materiam illam transmutent in ea quæ diximus, audi ex divino Chrysostomo in oratione, quæ inscribitur: *In Judæ proditionem, et mysticam Salvatoris cœnam, et contra Judæos;* orationis autem initium hoc est: Volebam sane, dilectissimi, rursus patriarchæ argumentum, etc. Adest nunc etiam Christus ipse mensam hanc ornans: qui enim tunc mensam illam ornavit, idem nunc et hanc ipsam condecorat. Neque enim homo est, qui facit ut proposita fiant corpus et sanguis Christi, sed qui pro nobis crucifixus est, ipse Christus. Figuram tantum gerens stat sacerdos, et preces offert, dum verba illa enuntiat; verum gratia et efficacia Dei est, quæ operatur omnia. *Hoc est*, inquit, *corpus meum*; verba hæc propositam transmutant materiam. Et quemadmodum vox illa: *Crescite et multiplicamini et replete terram* [15], prolata quidem est semel, sed perpetuis temporibus fit opus, naturam nostram ad procreationem corroborans: ita et hæc vox semel missa ab illa divina lingua: *Hoc est corpus meum*, in singulis altaribus per ecclesias virtute sua efficit, ut ad hanc diem et usque ad futurum ejus adventum sacrificium integrum peragatur. Si ergo verba hæc transmutant materiam propositam in corpus et sanguinem Christi, efficiuntque ut sint tremenda mysteria; mirum profecto fuerit, si perfecta illa esse non possint, quod non adsit modicum fermentum; idque cum in tali materia Christus ipse confecerit, ut probavimus.

ΕΦΕΣ.

Ἀρ' οὐχ ἱκανὰ ταῦτα τὴν γνώμην αὐτῶν διαδεῖξαι, καὶ ὅτι οὐκ ἀληθείας ἔρευναν ποιούμενοι τοῦ; Λατίνοις συνῆλθον, ἣν ἐν χερσὶν ἔχοντες προδιδώκασιν, ἀλλὰ χρυσοχοῆσαι βουλόμενοι, καὶ πεπλασμένην οὐκ ἀληθῆ συστήσασθαι ἕνωσιν;

EPHES.

An non satis hæc sunt ad declarandum animum eorum, quod non indagandæ veritatis studio, quam in manibus habentes prodidere, in unum cum Latinis convenere locum; sed voluntate expiscandi aurum, et fictam, non veram unionem conciliandi?

[15] Gen. I, 28.

RESP.

Quod nos veritatem indagantes potius, per eam conjuncti fuerimus cum Latinis, constat plane omnibus, qui contentiones non amant : nam veritatis inquisitio per sanctorum theologiam habita est, non ut ipse ait, quod et ipsam quam habebamus, veritatem prodiderimus. Alioquin hoc idem de quavis œcumenica synodo dici posset, relicta videlicet prima fide, aliam esse ab iis editam. Verum hoc nusquam scriptum est, quod explanando novam fidem conderent. Hujus rei testis erit et sanctus Maximus in illo tractatu, cujus antea mentionem fecimus. Qua enim, inquit, ratione, et quo pacto sanctam Chalcedonensem synodum, cum illa Patrum vocibus aperte usa sit, criminamini? et quasi novam fidei definitionem condideB rit, passim conviciis illam tum scriptis, tum dictis proscinditis? *Nolite*, inquit Dominus, *judicare secundum faciem, sed justum judicium judicate* [16]. Cur in una eademque materia de Patribus synodi Chalcedonensis conquerimini, et antiquiores hoc ipso crimine liberatis? Nam si licet accusare Patres Chalcedonensis concilii, ut aliam fidei definitionem promulgantes, eo quod voces adhibuerint, quæ non habentur in definitione Patrum Nicænorum ; sequitur omnino, ut hoc idem ob eamdem causam dici possit et contra Cyrillum, et contra centum quinquaginta Patres : sed si de illis hoc dici non licet, non video cur liceat de hac synodo. Quod igitur paternas secuti voces, per eas unionem perfecerimus, jam demonstratum est : idcirco nec jure nos insimulat, quod veritatem, quæ a nobis erat, prodiderimus. Sed neque auro inhiantes unionem confecimus ; nam et ipse æque ac nos constituta salaria sumebat, et nummum aureorum expers non erat : quin etiam de pecunia, quæ huc missa erat ad commeatum navigationis, nec non Venetiis, et menstrua quæ dabantur inibi, similiter et ipse accipiebat. Nescio porro, an quia sancti Eugenii depinxerit imaginem, ut eam papæ offerret, et sermonem ad eum scripserit, in quo præter alia dicebat : Pater Abraham, eleva manus tuas, et benedic filiis tuis, qui tibi ab oriente veniunt ; et nihil ex eo mercedis habuerit, nec aurum expiscatus fuerit ; hujusmodi verba eructet.

ΑΠΟΛ.

Ὅτι μὲν οὖν ἀληθείας ἔρευναν ποιούμενοι μᾶλλον, διὰ ταύτης Λατίνοις ἡνώθημεν, πρόδηλον καὶ φανερὸν τοῖς μὴ φιλονεικεῖν ἐθέλουσι· διὰ γὰρ τῆς τῶν ἁγίων θεολογίας ἡ ἔρευνα γέγονε, καὶ οὐχ ὡς αὐτός φησιν, ὅτι προδεδώκαμεν καὶ ἣν εἴχομεν· τοῦτο γὰρ καὶ ἐπὶ πάσης οἰκουμενικῆς συνόδου ἐλέγετο ἄν, ὅτι τὴν πρώτην πίστιν ἐάσαντες, ἑτέραν ἔσχον. Ἀλλ' οὐδαμοῦ τοῦτο γέγραπται, ὅτι διὰ τῆς ἐξαπλώσεως ἑτέραν πίστιν ἔσχον. Μαρτυρήσει τοῦτο καὶ ὁ ἐν ἁγίοις Μάξιμος ἐν τῷ προμνημονευθέντι λόγῳ αὐτοῦ· φησὶ γάρ· Τίνι λόγῳ καὶ πῶς τὴν ἐν Καλχηδόνι ἁγίαν σύνοδον, καίτοι πατρικαῖς προδήλω; ἀποχρησαμένην φωναῖς, αἰτιᾶσθε, καὶ ὡς ἄλλον πίστεως ὅρον εἰσάγουσαν, τῇδε κἀκεῖσε καὶ ἐγγράφως καὶ ἀγράφως διαλοιδορεῖτε καὶ διασκώπτετε ; *Μὴ κατ' ὄψιν κρίνητε, διὰ τὸν εἰπόντα Θεὸν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνατε.* Τίς ἡ ἐπὶ τῆς αὐτῆς καὶ μιᾶς ὑποθέσεως τῶν ἐν Καλχηδόνι Πατέρων ἔγκλησις ὑμῶν, καὶ τίς ἡ τῶν προλαβόντων ἀνάρρησις; Εἰ γάρ ἐστι κατὰ τῆς Καλχηδονέων ἄλλον αἰτιᾶσθαι πίστεως ὅρον διὰ τὰς οὐκ ἐγκειμένας τῷ ὅρῳ τῆς Νικαέων φωνάς, τοῦτό γε πάντως ἕψεται λέγειν διὰ τὴν αὐτὴν αἰτίαν καὶ κατὰ Κυρίλλου καὶ κατὰ τῶν ἑκατὸν πεντήκοντα· εἰ δὲ κατ' αὐτῶν οὐκ ἔστι, πῶς κατ' ἐκείνης, συνιδεῖν οὐκ ἔχω. Ὅτι οὖν πατρικαῖς ἑπόμενοι φωναῖς, διὰ τούτων τὴν ἕνωσιν πεποιήκαμεν ἀποδέδεικται· διὸ οὐδὲ δικαίως ἐγκαλεῖ, ὅτι ἣν εἴχομεν προδεδώκαμεν· ἀλλ' οὐδὲ χρυσοχοῆσαι βουλόμενοι τὴν ἕνωσιν πεποιήκαμεν· καὶ γὰρ καὶ αὐτὸς ὁμοίως ἡμῖν τὸ τεταγμένον ἐλάμβανε, καὶ τῶν χρυσίνων στατήρων οὐκ ἀμέτοχος ἦν· ἀλλὰ καὶ ἐκ τῶν σταλέντων ἐνταῦθα δι' ἐφόδια τοῦ πλοῦ, καὶ ἐν τῇ Βενετίᾳ, καὶ τὸ κατὰ μῆνα διδόμενον ἐκεῖσε, ὁμοίως ἐλάμβανεν. Οὐκ οἶδα δὲ, εἰ διότι τὸν ἅγιον Εὐγένιον ἱστόρησεν, ἵνα δῷῃ τῷ πάππᾳ, καὶ ὅτι προσφωνητικὸν ἔγραφε πρὸς ἐκεῖνον, γράφων καὶ τοῦτο· Πάτερ Ἀβραὰμ, ἔπαρον τὰς χεῖράς σου, καὶ εὐλόγησον τὰ τέκνα σου ἥκοντά ἐξ ἑῴας· καὶ μὴ λαβὼν ἀντιμισθίαν τούτων, μηδὲ χρυσοχοήσας, τὰ τοιαῦτα ἐρεύγεται.

EPHES.

Sed quemadmodum cum illis conjuncti fuerint, considerandum. Nam omne quod cum alio conjungitur, per aliquod certe medium unitur. Quod igitur ad sententiam de Spiritu sancto attinet, visi sunt illis conjungi, sanctientes illum a Filio etiam suam subsistentiam habere ; at cætera omnia differunt, nec est inter eos quidquam unum, aut medium, aut commune.

ΕΦΕΣ.

Τίνα δὲ καὶ τρόπον αὐτοῖς ἡνώθησαν, ἐπισκεπτέον. Πᾶν γὰρ τὸ ἑτέρῳ ἑνούμενον δι' ἑνός τινος μέσου πάντως ἑνοῦται. Τῇ μὲν οὖν δόξῃ τῇ περὶ τοῦ ἁγίου Πνεύματος ἔδοξαν ἑνωθῆναι σὺν αὐτοῖς, ἀποφηνάμενοι καὶ ἐκ τοῦ Υἱοῦ τοῦτο ἔχειν τὴν ὕπαρξιν· τὰ δ' ἄλλα πάντα διάφορα, καὶ οὐδὲν ἐν αὐτοῖς ἕν, οὐδὲ μέσον, οὐδὲ κοινόν.

RESP.

Nos medio ad unionem usi sumus theologia sanctorum, non relicto eo, quod antea tenebamus, ut jam satis bene perspicueque demonstratum est.

ΑΠΟΛ.

Ἡμεῖς διὰ μέσου ἡνώθημεν τῆς τῶν ἁγίων θεολογίας, οὐ καταλιπόντες ἣν εἴχομεν πρότερον, ὡς προαποδέδεικται μάλα καλῶς καὶ περιφανῶς· κατὰ

[16] Joan. VII, 24.

γὰρ τὰ ἄνωθεν εἰρημένα παρὰ τῶν θεοφόρων Πατέ- A
ρων πᾶν τὸ ἐξαπλούμενον καὶ ἐπεξεργαζόμενον οὐκ
ἀνατρέπει τὸ πρῶτον, οὐκ ἀλλοιοῖ, ἀλλ' οὐδ' ἀμαυ-
ροῖ οὐδ' ἀφανίζει, ἀλλὰ μᾶλλον συνίστησι καὶ δια-
τρανοῖ, καὶ φανερώτερον καθίστησιν. Ὅτι δὲ ἀληθὴς
ἡ περὶ τοῦ ἁγίου Πνεύματος δόξα ἡ καὶ ἐκ τοῦ Υἱοῦ,
προαποδέδεικται, ὅτι τῶν μακαρίων Πατέρων ἐστὶν
ἡ φωνὴ αὕτη. Μεσότητα δὲ οὐδ' ὅλως ἐνοήσαμεν
ἄλλην, εἰ μὴ τὴν ἀλήθειαν, ἣν καὶ Γρηγόριος ὁ
Θεολόγος φησί· Μεσότητα δὲ ταὐτὸν εἶπω, τὴν ἀλή-
θειαν λέγω· καὶ ἀλλαχοῦ· Ἡμεῖς δὲ τὴν μέσην ὁδὸν
καὶ βασιλικὴν βαδίζοντες, ἐν ᾗ καὶ τὸ τῶν ἀρετῶν
ἔστηκεν ἀκρότατον. Ταύτην μόνην τὴν μεσότητα
καὶ ἡμεῖς ἀεὶ στέργομεν κυρίως, εἰδότες ὅτι τὸ μέ-
σον ἐστὶ καὶ ἐνούσιον, τὰ δὲ παρ' ἑκάτερα τοῦ μέσου
κακία ἀνούσιος· καὶ οὔτε ἐκ μόνου τοῦ Πατρὸς, B
οὔτε μὴν ἐκ μόνου τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον
ἐκπορεύεσθαι λέγομεν, ἀλλὰ τὴν μέσην ὁδὸν τῶν
ἁγίων καὶ ἐκ τοῦ Πατρὸς, καὶ ἐξ Υἱοῦ, καὶ διὰ τοῦ
Υἱοῦ.

Nam juxta supra citatas sententias Patrum Deo plenorum, omne quod explanatur et latius explicatur non evertit, non immutat, non obscurat, non tollit denique quod prius est, sed confirmat potius et declarat, dilucidiusque constituit. Esse porro veram de Spiritu sancto sententiam, quod a Filio quoque procedat, jam probatum est evidenter, eo quod scilicet hæc vox a sanctis Patribus desumpta sit. Medium vero nullum venit nobis in mentem præter veritatem : quo etiam Gregorius Theologus illam nomine vocat (1), Medium, inquit, cum dico, veritatem dico. Et rursus alibi (2), Nos vero, inquit, media regiaque via incedentes, in qua etiam summitas virtutum consistit. Hoc unum perpetuo nobis quoque medium probatur, quod proprie tale est, scimus enim medium esse rem natura constantem, extrema vero malum, quod nihil est. Itaque Spiritum sanctum neque ex solo Patre, neque ex solo Filio procedere dicimus, sed mediam tenentes sanctorum viam, fatemur et ex Patre, et ex Filio, sive per Filium.

ΕΦΕΣ.

Ἀλλὰ δύο μὲν σύμβολα καὶ παρηλλαγμένα λέγε-
ται πάλιν, ὥσπερ καὶ πρότερον· δίτται δὲ καὶ διά-
φοροι λειτουργίαι τελοῦνται, ἡ μὲν δι' ἐνζύμου
θυσίας, ἡ δὲ δι' ἀζύμου.

EPHES.

Sed duo diversa Symbola nunc quoque recitantur, sicut et antea ; duo quoque sunt differentia sacrificiorum genera, alterum quod pane fermentato conficitur, alterum quod azymo.

ΑΠΟΚ.

Δύο μὲν σύμβολα οὐκ εἰσιν, οὐδὲ παρηλλαγμένα·
ἓν γάρ ἐστι τὸ τῆς πίστεως σύμβολον, ὃ ψάλλομεν
ἡμεῖς τε καὶ Λατῖνοι· οὐ γὰρ διὰ τὴν σαφήνειαν, ἣν C
ἐδέξατο παρ' ἐκείνων, ἤδη ἄλλο σύμβολόν ἐστιν. Εἰ
δὲ καὶ δύο ἦσαν, οὐδ' οὕτως ἂν ἐκαλοῦντο δύο· καὶ
γὰρ καὶ τὸ ἐν Νικαίᾳ σύμβολόν ἐστιν ἄλλο, καὶ τὸ
τῶν ἀποστόλων ἕτερον· ἀλλὰ κατὰ τὸν νοῦν οὐ δια-
φέρουσι, διὰ τοῦτο οὐδὲ παρηλλαγμένα. Δίτται δὲ
λειτουργίαι οὔτε εἰσὶν, οὔτε λέγονται, διότι εἷς ἐστιν
ὁ σκοπὸς τοῦ τὸν ἱερέα ὑπηρέτην γενέσθαι τῆς τοι-
αύτης θυσίας· καὶ ταύτην ἔχει θεμέλιον πᾶς ἱερεὺς
ἀρχόμενος τῆς θείας μυσταγωγίας, τὴν κυριακὴν
φωνὴν, ἣν ὁ Κύριος προήκατο· *Τοῦτο ποιεῖτε εἰς*
τὴν ἐμὴν ἀνάμνησιν, διὰ τοῦ ἐκ τοῦ σίτου ἄρτου
καὶ τοῦ οἴνου καὶ τοῦ ὕδατος· ὥστε διὰ τούτων, καὶ
διὰ πάσης τελετῆς, καὶ τῶν κυριακῶν θείων ῥημά-
των, καὶ τοῦ θυσιαστηρίου τελεῖσθαι τὸ μυστήριον, D
καὶ γίνεσθαι σῶμα καὶ αἷμα τοῦ Σωτῆρος Χριστοῦ,
αὐτοῦ μεταποιοῦντος τῇ παντοδυνάμῳ θεότητι. Καὶ
αὐτὸς δὲ ὁ τίμιος ἀνὴρ ὁμολογήσει, ὅτι καὶ πρὸ τοῦ
ἱεροῦ Βασιλείου καὶ τοῦ θείου Χρυσοστόμου ἡ τελετὴ
τῆς θείας λειτουργίας οὐ διέλειπεν, ἀλλ' οὐ διὰ τῶν
ἐκθέσεων τῶν εἰρημένων ἁγίων ἐτελεῖτο· πῶς γὰρ,
μήπω γεγονότων; Καὶ πάλιν γενομένων, οὐδεὶς ἂν
ἔχοι δεῖξαι, ἐν τοῖς ἑσπερίοις διὰ τῶν ἐκθέσεων τῶν
εἰρημένων ἁγίων ἐτελεῖτο ἡ μυστικὴ αὕτη θυσία·
ἀλλ' οὐδέποτε δίτται λειτουργίαι ἐρρέθησαν, διότι
μία ἡ διὰ τῶν θείων ῥημάτων, καὶ τοῦ σκοποῦ,
καὶ τῆς ὕλης, καὶ τοῦ ἱερέως ὑπηρέτου τάξιν
ἔχοντος, καὶ τῆς ἄνωθεν θείας χάριτος τελουμένη.

RESP.

Duo certe Symbola non sunt, nec diversa : nam fidei Symbolum, quod nos et Latini canimus, unum est ; neque enim ob declarationem, quam illi apposuerunt, aliud propterea Symbolum est. Quod si etiam duo essent, ne tunc quidem vocarentur duo, siquidem aliud Patrum Nicænorum, aliud apostolorum Symbolum est ; hæc tamen quia sensu non differunt, nequaquam diversa vocantur. Duo quoque sacrificiorum genera nec sunt, nec dicuntur, quoniam scopus unus est, ut scilicet sacerdos fiat minister hujus sacrificii : et hoc est omni sacerdoti sacris operaturo fundamentum, Dominica vox quam protulit Dominus : *Hoc facite in meam commemorationem*, per triticeum panem et vinum cum aqua ; ut per hæc, et ritus omnes, et sacratissima Domini verba, et aliare, perficiatur mysterium, fiatque corpus et sanguis Christi Salvatoris, ipsomet transmutante omnipotentis vi deitatis. Nam et ipse venerabilis Ephesius fatebitur, divinum sacrificium celebrari solitum etiam ante tempora sanctorum Basilii et Chrysostomi, non tamen eo ritu, quem ipsi exposuerunt : quinam, cum posteriores illi fuerint ? Et postquam illi modum celebrandi missam exposuere, nemo probare poterit, Occidentalem Ecclesiam eo modo fuisse usam : nec tamen duo sacrificandi genera dicta unquam sunt, eo quod una sit vocum divinarum virtus, et intentio, et materia, et sacerdotis ministerio fungentis facultas, et cœlestis gratia quæ operatur. Nam, ut supra dictum est, intentio est

(1) Orat. de theol. I.

(2) Orat. apologet.

conficiendi quod dixit Dominus : *Hoc facite in meam commemorationem*, materia farina, sive panis triticeus, et vinum cum aqua, super quæ Dominus dixit : *Hoc est corpus meum* ; et : *Hic est sanguis meus* ; sitque materia hæc semper corpus ipsius virtute ejus qui hæc transmutat. Unum est igitur hoc sacrificium, dum fiat juxta normam et præscriptum nobis a Domino traditum, ut explicatum est. De azymo vero et fermentato jam allata demonstratio est ; nam sanctus Pater Chrysostomus homilia quinquagesima in Matthæum : Credite, inquit ; illa nunc etiam cœna fit, in qua et ipse accumbebat ; nihil enim hæc differt ab illa, cum non homo hic, ipse vero illic sit operatus. Verum satis probatum est, quid sit de hoc mysterio sentiendum. In nostri porro officii lectionibus, de beato Gregorio mense Martio et hoc habemus : Gregorius e medio vitæ sublatus, et in medium angelorum cœtum evocatus. Et : Sanctus Gregorius in omni scientiarum genere et in Scripturis versatus multos a se compositos libros reliquit. Et paucis interjectis : Non humanis, inquit, ratiocinationibus et studiosa tantum eruditione conscriptos, sed per Spiritum sanctum, quemadmodum eo vita functo Petrus archidiaconus ejus narravit. Visam enim a se aiebat albam columbam, dum ille scriberet, ad os ejus advolantem, et veluti suggerentem et dictantem quæ scribebantur. Et non multo post : Aiunt autem ex hujus institutione factum, ut quadragesimali tempore apud Romanos Missæ sacrificium integrum peragatur, quod apud illos hodieque servatur. Sed non propterea disjuncti fuimus, neque illius ævi homines duo missarum genera dixerunt ; et neque illos ipsi unquam culpavimus, neque illi nos coegerunt ad hujusmodi consuetudinem ; quoniam hæc veritati fidei nihil officiunt.

EPHES.

Bina quoque baptismata ; unum quod trina immersione confertur, alterum quod aquæ infusione a summo vertice ; et unum quidem, quod chrisma etiam adhibet, alterum vero quod adhibere illud nihil prorsus necesse habet.

RESP.

Bina certe baptismata nemo unquam dixit. Unum quippe est sacrum baptisma, quod fit in nomine Patris, et Filii, et Spiritus sancti ; et qui ita baptizatur, perfectus est Christianus. Significantur autem per Patrem, et Filium et Spiritum sanctum tres divinæ hypostases ; per commune vero nomen unitas et identitas essentiæ, nec non æqualitas et inseparabilitas et indistinctio potentiæ trium personarum. Et quisquis ita baptizatur, ita baptismus non iteratur : quod si addito aliquo vel ablato baptizetur, tunc nec dicitur, nec est baptismus. Baptismus enim ex Deo proprie est ; quemadmodum divinus Pater Chrysostomus quinquagesima in Matthæum homilia docet : Nam minister, inquit, est sacerdos ; sicut enim cum ba-

A Καὶ γὰρ, ὡς προείρηται, ὁ σκοπός ἐστιν, ὅτι ὁ Κύριος εἶπε· *Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν*· ὕλη ὁ ἐκ τοῦ σίτου ἄλευρος ἤτοι ἄρτος, καὶ ὁ οἶνος, καὶ τὸ ὕδωρ, ἐφ' οἷς ὁ Κύριος εἶπε· *Τοῦτό ἐστι τὸ σῶμά μου*, καὶ, *Τοῦτό ἐστι τὸ αἷμά μου*· καὶ ἀεὶ εἰς σῶμα αὐτοῦ ἡ ὕλη γίνεται τῇ τοῦ μεταποιοῦντος αὐτὰ δυνάμει. Μία οὖν ἐστιν ἡ θυσία αὕτη, εἰ μόνον κατὰ τὸν παραδοθέντα ἡμῖν ὑπὸ τοῦ Κυρίου ὅρον τε καὶ λόγον τελεῖται, καθὼς ἐδηλώσαμεν. Περὶ δὲ δι' ἐνζύμου ἢ δι' ἀζύμου προαπεδείχθη· καὶ γὰρ ὁ ἱερὸς Χρυσόστομος ἐν τῇ ν' ὁμιλίᾳ τοῦ κατὰ Ματθαῖόν φησι· Πιστεύσατε τοίνυν, ἐκεῖνο καὶ νῦν τὸ δεῖπνόν ἐστιν, ἐν ᾧ καὶ αὐτὸς ἀνέκειτο· οὐδὲν γὰρ ἐκείνου τοῦτο διενήνοχεν· οὐδὲ γὰρ τοῦτο μὲν ἄνθρωπος ἐργάζεται, ἐκεῖνο δὲ αὐτός. Ἀλλὰ τὸ περὶ μυστηρίου ἀρκούντως ἐδείχθη.

B Ἐν τοῖς συναξαρίοις δὲ ἡμῶν περὶ τοῦ μακαρίου Γρηγορίου ἐν τῷ Μαρτίῳ μηνὶ καὶ τοῦτο περιέχεται· Ὁ Γρηγόριος ἐκ μέσου μὲν τοῦ βίου, ἐν μέσῳ δὲ τοῦ χοροῦ τῶν ἀγγέλων γενόμενος· καί· Ὅσιος Γρηγόριος πάσης σοφίας καὶ Γραφῆς ἔμπειρος πολλὰ συγγράμματα καταλέλοιπε· καὶ μετ' ὀλίγα· Οὐ δι' ἀνθρωπίνων συλλογισμῶν καὶ τῆς ἐν λόγοις σοφίας μόνον συντεθέντα, ἀλλὰ διὰ Πνεύματος ἁγίου, ὡς μετὰ τὴν αὐτοῦ ἐκ τοῦ βίου ἀνάλυσιν Πέτρος ὁ ἀρχιδιάκονος αὐτοῦ ἐξηγήσατο, ἰδεῖν λέγων περιστερὰν λευκὴν ἐν τῷ γράφειν αὐτὸν τῷ αὐτοῦ προσεγγίζουσαν στόματι, καὶ οἷον ἐξηγουμένην καὶ προορμῶσαν πρὸς τοῖς γεγραμμένοις· καὶ μετὰ βραχέα· Φασὶ δὲ, ὅτι ἐπιτελεῖσθαι λειτουργίαν τελείαν παρὰ C Ῥωμαίοις ἐν ταῖς νηστίμοις ἡμέραις οὗτός ἐστιν ὁ νομοθετήσας, ὅπερ κρατεῖται μέχρι τῆς σήμερον παρ' αὐτοῖς. Ἀλλ' οὐ διὰ τοῦτο ἐσχίσθημεν, οὐδὲ διττὰς λειτουργίας ὠνόμασαν οἱ τότε ὄντες· ἀλλ' οὐδ' ἡμεῖς ποτε ἐκείνοις ἐνεκαλέσαμεν, ἀλλ' οὐδ' ἡμᾶς ἠνάγκασαν οὕτω ποιεῖν. Ταῦτα γὰρ τὴν τῆς πίστεως ἀλήθειαν οὐ παραβλάπτουσιν.

ΕΦΕΣ.

Διττὰ δὲ βαπτίσματα, τὸ μὲν διὰ τριττῆς καταδύσεως τελειοῦν, τὸ δὲ δι' ἐπιχύσεως ὕδατος ἐκ κορυφῆς ἄνωθεν· καὶ τὸ μὲν τῷ μύρῳ προσχρώμενον, τὸ δ' οὐδ' ὁτιοῦν αὐτοῦ χρείαν ἔχον.

ΑΠΟΛ.

e nostris studiosus, haudquaquam contemnendus sensus : Filio scilicet non aliter esse notum illum diem et horam, ac illa sint nota Patri. Nam quid colligitur? Quoniam Pater novit, idcirco et Filius, cum certum sit, hoc a nullo alio sciri et capi posse, quam a natura divina. Creaturarum quoque causalitatem, cum sit illarum Filius etiam conditor et opifex, Basilius Magnus ad Patrem refert. Nam octavo capite libri ad Amphilochium hæc habet : Ait enim ad Deum et Patrem Dominus : *Omnia mea tua sunt*, quod illi accepta referatur causalitas creaturarum, *et tua mea* [16], quod inde illi proveniat vis et facultas creandi : quorum autem virtus æqualis est, erit plane etiam operatio æqualis; Christus enim Dei virtus et Dei sapientia; atque ita omnia per ipsum facta sunt. Idem præterea Basilius in opusculis, quibus confutat Eunomium (14), egregie admodum ostendit arguens quod ille soli Unigenito tribuerit causam, Patrique illam denegaret, et creaturam Filii diceret Spiritum. Itaque sanctus non soli Filio, sed Patri quoque tribuendam causalitatem astruens : Illud vero, inquit, quis plane ignorat, nullam Filii operationem esse a Patre sejunctam, nec esse omnino quidquam, quod Filius habeat, alienum a Patre? *Omnia enim*, inquit, *mea tua sunt, et tua mea*. Quomodo igitur soli Unigenito ascribit causalitatem Spiritus, atque ad deprimendam ejus naturam creaturis illum adnumerat? Si igitur hæc dicit ad constituenda duo principia sibi invicem opposita, cum Manichæo et Marcione pessum ibit : sed si res omnes ab una causa pendere vult, quod factum a Filio dicitur, ad primam causam refertur. Ut licet omnia producta credamus per Deum Verbum, Deo tamen universorum integrum illud reservemus, ut ipse sit rerum omnium causa. Atque ita intelligimus credimusque a sancto quoque Maximo causalitatem reduci ad Patrem.

τοῦ Θεοῦ Λόγου πιστεύωμεν, ἀλλὰ τὸ πάντων αἴτιον νοοῦμεν καὶ πιστεύομεν καὶ τὸν ἱερὸν Μάξιμον πρὸς

EPHES.

Quid præterea? Latinos, inquit, nunquam habuimus ut hæreticos, sed tantum schismaticos. Sumpserunt autem hoc ab iis ipsis Latinis; nam illi nos vocant schismaticos, nihil habentes, cur nos de nostra accusent sententia, sed quoniam a debita illis, ut putant, descivimus obedientia. An vero sit æquum, a nobis etiam idem illis præstari, et accusandi non sint de sententia ipsi sua, considerandum.

RESP.

Ita est, illi nos vicissim vocabant schismaticos. Quid enim culparent in nobis † orthodoxi orthodoxis? Si enim vere in fide illi errarent, non schismaticos, sed hæreticos nos vocarent. Nam

[16] Joan. XVII, 10.

(14) Orat. 2 contra Eunomium.

κοπῆς ἐξηγήσει οὕτω φησίν· Ὥσπερ τῶν ἄλλων ἕκαστον, οὕτω δὴ καὶ ἡ γνῶσις τῶν μεγίστων ἐπὶ τὴν αἰτίαν ἀναφερέσθω τιμῇ τοῦ γεννήτορος. Δοκεῖ δέ μοί τις μηδ' ἂν ἐκείνως ἀναγνοὺς, ὡς τῶν καθ' ἡμᾶς φιλολόγων τις, μικρὸν ἐννοῆσαι, ὅτι οὐδὲ ὁ Υἱὸς ἄλλως οἶδε τὴν ἡμέραν ἢ τὴν ὥραν ἢ ὡς ὁ Πατήρ· τὸ γὰρ συναγόμενον ὁποῖον; Ἐπειδὴ ὁ Πατὴρ γινώσκει, διὰ τοῦτο καὶ ὁ Υἱός· ὡς δῆλον, ὅτι μηδενὶ γνωστὸν τοῦτο, μηδὲ ληπτὸν, πλὴν τῆς πρώτης φύσεως. Ἀλλὰ καὶ τῶν δημιουργημάτων ὁ μέγας Βασίλειος τὴν αἰτίαν, ὧν καὶ ὁ Υἱὸς δημιουργός τε καὶ αἴτιος ὑπάρχει, ἐπὶ τὸν Πατέρα ἀναφέρει· φησὶ γὰρ πρὸς τὸν Θεὸν καὶ Πατέρα ὁ Κύριος, καθὼς φησι Βασίλειος ὁ Μέγας ἐν τῷ ἡ' τῶν πρὸς Ἀμφιλόχιον· *Τὰ ἐμὰ πάντα σά ἐστιν*, ὡς ἐπ' αὐτὸν τῆς ἀρχῆς τῶν δημιουργημάτων ἀναγομένης· *καὶ τὰ σὰ ἐμά*, ὡς ἐκεῖθεν αὐτῷ τῆς αἰτίας τοῦ δημιουργεῖν καθηκούσης. Ὧν δὲ ἡ δύναμις ἴση, ἴση που πάντως καὶ ἡ ἐνέργεια· Χριστὸς γὰρ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία· καὶ οὕτω πάντα δι' αὐτοῦ ἐγένετο. Ὁ αὐτὸς δὲ Βασίλειος μάλα καλῶς παρίστησιν ἐν τοῖς κατ' Εὐνομίου ἀντιῤῥητικοῖς, ἐλέγχων ἐκεῖνος, ὅπως τὴν αἰτίαν μόνον τῷ Μονογενεῖ ἐτίθει, ἀφαιρῶν ταύτην ἐκ τοῦ Πατρὸς, καὶ ποίημα τοῦ Υἱοῦ τὸ Πνεῦμα λέγων. Ὁ ἅγιος πιστούμενος, ὡς καὶ ὁ Πατὴρ ἐστιν αἴτιος, καὶ οὐ μόνος ὁ Υἱὸς, φησίν· Ἐκεῖνο δὲ τίνι τῶν ἁπάντων ἄδηλον, ὅτι οὐδεμία ἐνέργεια τοῦ Υἱοῦ ἀποτετμημένη ἐστὶ τοῦ Πατρὸς, οὐδ' ἔστι τι ἐν τοῖς οὖσι τῷ Υἱῷ ὑπάρχον, ὃ τοῦ Πατρὸς ἠλλοτρίωται; *Πάντα γὰρ*, φησὶ, *τὰ ἐμὰ σά ἐστι, καὶ τὰ σὰ ἐμά*. Πῶς οὖν τοῦ Πνεύματος τὴν αἰτίαν τῷ Μονογενεῖ μόνῳ προστίθησι, καὶ κατηγόρημα τῆς φύσεως αὐτοῦ τὴν τούτου λαμβάνει δημιουργίαν; Εἰ μὲν οὖν δύο ἀρχὰς ἀντιπαρεξάγων ἀλλήλαις ταῦτά φησι, μετὰ Μανιχαίου καὶ Μαρκίωνος συντριβήσεται· εἰ δὲ μιᾶς ἐξάπτει τὰ ὄντα, τὸ παρὰ τοῦ Υἱοῦ γεγενῆσθαι λεγόμενον πρὸς τὴν πρώτην αἰτίαν τὴν ἀναφορὰν ἔχει. Ὥστε κἂν πάντα εἰς τὸ εἶναι παρῆχθαι διὰ εἶναι τὸν Θεὸν τῶν ὅλων οὐκ ἀφαιρούμεθα. Καὶ οὕτω τὸν Πατέρα ἀναφέρειν τὴν αἰτίαν.

ΕΦΕΣ.

Τί ἔτι; Οὐδέποτε, φησὶ, τοὺς Λατίνους ὡς αἱρετικοὺς εἴχομεν, ἀλλὰ μόνον Σχισματικούς. Τοῦτο μὲν οὖν παρ' αὐτῶν ἐκείνων εἰλήφασι· σχισματικοὺς γὰρ ἡμᾶς ἐκεῖνοι καλοῦσιν, οὐδὲν ἡμῖν ἐγκαλεῖν ἔχοντες περὶ τὴν ἡμετέραν δόξαν, ἀλλ' ὅτι τῆς ὑποταγῆς αὐτῶν ἀπεσχίσθημεν, ἣν ὀφείλομεν, ὡς ἐκεῖνοι νομίζουσιν. Εἰ δὲ καὶ ἡμᾶς τοῦτο δίκαιον ἐκείνοις ἀντιχαρίζεσθαι, καὶ οὐδὲν αὐτοῖς ἐγκαλοῦμεν περὶ τὴν δόξαν, σκεπτέον.

ΑΠΟΛ.

Ὅτι μὲν οὖν κἀκεῖνοι Σχισματικοὺς ἡμᾶς ἔλεγον, ἀληθές· τί γὰρ ἂν καὶ εἶχον ἡμῖν ἐγκαλεῖν ὀρθοδόξοις οὖσι, κἀκεῖνοι † ὀρθόδοξοι ὄντες; Εἰ γὰρ κυρίως κακόδοξοι ὑπῆρχον, οὐ Σχισματικοὺς ἡμᾶς ἐκάλουν

ἀλλ' αἱρετικούς, διότι πάντες οἱ αἱρετικοὶ τοὺς ὀρθοδόξους αἱρετικοὺς ἀπεκάλουν καὶ οὐ Σχισματικούς· καὶ ἡμεῖς δὲ αἱρετικοὺς ἐκείνους οὔτε νομίζομεν, οὔτε λέγομεν· εἰ γὰρ αἱρετικοὺς εἴχομεν, οὐκ ἂν ὁ αὐτῶν πάππας μακαριώτατος καὶ ἁγιώτατος καὶ ἄκρος ἀρχιερεὺς παρὰ τῆς ἡμετέρας Ἐκκλησίας ἐτιτλογραφεῖτο· τοὺς γὰρ κακοδόξους μετὰ τὴν τοσοῦτου καιροῦ παρίππευσιν οὐχ οὕτω γράφουσιν οἱ ὀρθόδοξοι.

† Ὀρθοδόξους ἐκείνους λέγει τοὺς Γραικούς, οἷς οὐχὶ τῷ ἀποκλείειν τὸν Υἱὸν τῆς προβλητικῆς δυνάμεως, ἀλλὰ διὰ τὸ νομίζειν διαρχίαν ὑπὸ τῶν Λατίνων δογματίζεσθαι, ὑποπτος ἦν ἡ πρὸς ἐκείνους ἕνωσις· ὡς ἔστιν ἰδεῖν ἐν τῷ ὅρῳ τῆς ἐν Φλωρεντίᾳ συνόδου, καὶ οἵτινες ἑτοίμως εἶχον ὑπὸ οἰκουμενικῆς διορθωθῆναι συνόδου.

ΕΦΕΣ.

Τὴν μὲν αἰτίαν τοῦ σχίσματος ἐκεῖνοι δεδώκασι, τὴν προσθήκην ἐξενεγκόντες ἀναφανδὸν, ἣν ὑπ' ὀδόντα πρότερον ἔλεγον· ἡμεῖς δὲ αὐτῶν ἐσχίσθημεν πρότερον, μᾶλλον δὲ ἐσχίσαμεν αὐτοὺς καὶ ἀπεκόψαμεν τοῦ κοινοῦ Ἐκκλησίας σώματος.

ΑΠΟΛ.

Ὅτι μὲν τὴν αἰτίαν τοῦ σχίσματος ἐκεῖνοι δεδώκασι διὰ τῆς ἐν τῷ συμβόλῳ προσθήκης †, δῆλον· οὐχ ὅτι ταύτην ὑπ' ὀδόντα ἔλεγον· μαρτυρήσει γὰρ καὶ αὐτὸς τὴν φωνὴν ταύτην προϊόντος τοῦ λόγου τὴν, Ἐκ τοῦ Υἱοῦ, ὅτι οἱ τῆς Ἑσπέρας ἅγιοι ἔλεγον· τὸν γὰρ νοῦν ἴσως καὶ αὐτὸς ἀρνήσεται, καὶ ἄλλως νοήσει, ὥςπερ δὴ καὶ νοεῖ, τὴν δὲ λέξιν αὐτὴν τὴν καὶ Ἐκ τοῦ Υἱοῦ, οὐ δυνηθεὶς ἀρνήσασθαι, ἐπεὶ καὶ τὸν ἅγιον Μάξιμον εἰσάγει μάρτυρα διὰ τὸν σκοπὸν, ὃν βούλεται συστῆσαι, καὶ μέρος τῆς ἐπιστολῆς αὐτοῦ τίθησιν, εἰ καὶ τὸ, Διὰ τοῦ Υἱοῦ, παρατρέχει. Πῶς οὖν ὑπ' ὀδόντα ἔλεγον, ἣν παρὰ τῶν ἁγίων παρέλαβον; Ἀλλ' ὅτι μόνοι τὰ κοινὰ βουλόμενοι ποιεῖν, αἱ λοιπαὶ ἐκκλησίαι οὐ κατεδέξαντο· διὸ καὶ τοὺς τὰ κοινὰ βουλομένους ποιεῖν καὶ μόνους κατελίπομεν· καὶ μέχρι παντὸς ἂν μόνους κατελίπομεν, εἰ μὴ κατεδέξαντο ὑπὸ οἰκουμενικῆς συνόδου κατὰ τὴν ἀρχαίαν τάξιν τὰ κοινὰ ἐξετάζεσθαι καὶ κανονίζεσθαι, ὅπερ καὶ νῦν γέγονε.

† Ἡ ἐν τῷ συμβόλῳ καλουμένη προσθήκη παρὰ Λατίνων ἐλέγετο καθ' ὃν ἦν χρόνον ὁ Φώτιος, ὡς αὐτὸς ἐκεῖνος μαρτυρεῖ ἐν τῇ ἐγκυκλίῳ αὐτοῦ ἐπιστολῇ καὶ ἐν ἄλλοις, ὅπου κατὰ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας γράφει. Δῆλον οὖν ὡς οὐ γέγονεν ἡ προσθήκη αἰτία τοῦ σχίσματος, εἴπερ λεγομένης τῆς προσθήκης οἱ μετὰ τὸν Φώτιον οὐκ ἐσχίζοντο. Δῆλον δὲ κἀκεῖνο, ὡς καὶ ἐν ἄλλαις πρὸ τῆς ἐν Φλωρεντίᾳ συνόδοις οἰκουμενικαῖς σπουδὴ γέγονε περὶ ἑνώσεως, ὑφ' ὧν καὶ τὸ περὶ τῆς ἐκπορεύσεως δόγμα λαμπρῶς ἐξητάσθη.

ΕΦΕΣ.

Διὰ τί εἰπέ μοι; πότερον ὡς ὀρθὴν ἔχοντας δόξαν, ἢ ὀρθῶς τὴν προσθήκην ἐξενεγκόντας; καὶ τίς ἂν τοῦτο εἴποι, μὴ σφόδρα τὸν ἐγκέφαλον διασεσεισμένος; ἀλλ' ὡς ἄτοπα καὶ δυσσεβῆ φρονοῦντας, καὶ παραλόγως τὴν προσθήκην ποιήσαντας. Οὐ-

A omnes hæretici orthodoxos non schismaticos, sed hæreticos vocare consueverunt. Nos quoque illos nec hæreticos habemus, nec vocitamus; nam si hæreticos haberemus, certe nostra Ecclesia eorum pontificem beatissimi summique pontificis titulis non insigniret: prave enim in fide sentientes post tantum temporis decursum orthodoxi his nominibus non insigniunt.

† Orthodoxos vocat Græcos illos qui, quod a Latinis duo poni crederent principia, suspectam habebant unionem illorum, non quod Filium excluderent a principio Spiritus sancti, ut videre licet in definitione concilii Florentini, quodque parati essent ab B Ecclesia corrigi.

EPHES.

Causam certe schismatis illi dederunt, additamento palam apposito, quod antea clam mussitabant. Ipsi vero non ab iis priores sejunximus; imo vero illos segregavimus ac præcidimus a communi Ecclesiæ corpore.

RESP.

Certum est illos dedisse causam schismatis per additamentum in Symbolo †, non quod illud antea mussitarent, nam et ipsemet testis erit infra, vocem, Ex Filio, sanctis occidentalibus fuisse in usu: sensum enim fortasse negabit, et aliter vocem intelliget, quemadmodum plane intelligit; at vocem C ipsam: Et ex Filio, negare non poterit, cum et sanctum Maximum testem proferat ad probandum quod sibi propositum est, partemque epistolæ ejus citet, quamvis illud, Per Filium, suppresserit. Quomodo ergo mussitabant, quod a sanctis traditum habebant? Verum quia soli volebant efficere quæ communia sunt, cæteræ ecclesiæ non sunt hoc passæ. Idcireo solos reliquimus, quod negotia vellent communia gerere; et solos certe illos in perpetuum reliquissemus, ni voluissent pro vetere instituto per generalem synodum communia examinari et regulari, quod et factum modo est.

† Additamentum, quod Græci vocant in Symbolo, D tempore Photii recitabatur a Latinis, ut Photius ipse testatur in sua encyclica et aliis opusculis, quæ adversus Romanam Ecclesiam scripsit. Constat ergo causam schismatis non fuisse additamentum; nam Græci post Photium adhuc uniti erant. Constat præterea, etiam ante Florentinum in aliis generalibus conciliis tractatum esse negotium unionis, in quibus dogma de sancti Spiritus processione satis superque agitatum est.

EPHES.

Qua de causa, obsecro? num ut recte sentientes, aut ob additamentum rite appositum? et quis hoc dicat, nisi sit prorsus mente permotus? ergo ut absurda et impia sentientes, et temerarios additamenti auctores. Ut hæreticos igitur sumus aver-

sati : et hanc ob causam sumus ab illis dissociati. Quid enim aliud causæ fuerit ? Aiunt vero piæ leges : Hæreticus est, et hæreticorum legibus subjacet, qui vel minimum a recta fide declinat.

RESP.

Non alia de causa, quam prædicta : qua permoti argumentabantur, qui contra illos scripta edebant, absurda quæ videbantur ex additamento sequi, objicientes et fatentes quidem illud, Ex Filio, vocem esse sanctorum Patrum, sensum vero negantes, atque ex ea vel duo principia, vel personarum confusionem inferentes. Quanquam si ita esset, non Latini, sed sancti Patres essent in crimine, qui primi vocem hanc emisere. Cæterum illi, quæ sequi aliquibus videntur ex hac voce absurda, subjiciunt anathemati: idcirco nullo modo sumus mente permoti, quo nos ipse convicio lacerat. Nec vero Latinos aversati sumus, ut absurda et impia prædicantes ; nam si absurda et impia prædicarent, ecclesia nostra et imperatores nostri non misissent assiduas legationes ad flagitandam synodum. Hæreticos enim ab Ecclesiæ corpore semel abscissos catholici nullo loco habent : at vero e nostris, qui sapientia et virtute plurimum excelluerunt, Macarius Nicomediensis, et Euthymius, qui ad sedem postea Constantinopolitanam evectus est, et Joasaph Ephesius, et Macarius abbas monasterii titulo Pantocratoris, illuc profecti benedictionem papæ accipiebant, quin imo et qui hæc ipsa scribit, fecit quod et alii. Non ergo aversati sumus eos ut hæreticos. Verum quia legem profert, Latini quoque legem citabunt : Neminem videlicet damnari absentem. Lex enim ita præcipit : Quod si reus citatus non se sistat, pœna tantum tenenetur, quod judicium declinaverit, donec in jus adducatur. Idcirco et e diptychis expunctum fuit nomen papæ. Esse porro hæreticum, qui de recta fide deflexerit, non opus est legibus probare : nam persuasum habent hoc omnes Christiani, et prædicatur ab omnibus tam ante legem, quam post legem. Verum hoc ipse, cum ibi præsens esset et disputaret, non demonstravit ; imo disputationis tempore disputationem detrectavit ; nam si hoc demonstrasset, nullus omnino Christianus unionem cum Latinis admisisset, præsertim Ecclesiæ præsules, et clerici qui subscripserunt. Nemo enim sive minor, sive major Christi beneficio voluisset suscipere unionem Latinorum, si demonstrasset ipse non recte illos sentire. Sed quemadmodum in hac epistola vocem, Ex solo, pronuntiat: ita quoque ibi cum hoc idem, Ex solo, inferret, Latini Patrum testimonio protulere : ipse vero disputare amplius noluit, nec omnino ad synodum accedere voluit : cum tamen is qui cum eo disputabat, præsente imperatore, et optimatibus, et præsulibus, et universo populo clamaret : Accedat volo dominus reverendus Ephesius, ut responsiones audiat ad ea quæ dixit, reddatque rationem de iis.

οὖν ὡς αἱρετικοὺς αὐτοὺς ἀπεστράφημεν, καὶ διὰ τοῦτο αὐτῶν ἐχωρίσθημεν · διὰ τί γὰρ ἄλλο ; φασὶ γὰρ οἱ φιλευσεβεῖς νόμοι · Αἱρετικός ἐστι, καὶ τοῖς κατὰ τῶν αἱρετικῶν νόμοις ὑπόκειται, ὁ καὶ μικρὸν γοῦν τι παρεκκλίνων τῆς ὀρθῆς πίστεως.

ΑΠΟΛ.

Διὰ τὴν προειρημένην αἰτίαν καὶ μόνην, καθ' ἣν οἱ κατ' αὐτῶν συγγράφοντες ἔλεγον τὰ ἀπὸ τῆς προσθήκης ὑπονοούμενα ἄτοπα ἐγκαλοῦντες, καὶ τὸ Ἐκ τοῦ Υἱοῦ, ὁμολογοῦντες μὲν εἶναι τῶν Πατέρων φωνὴν, τὴν δὲ ἔννοιαν ἀρνούμενοι, καὶ ὡς εἰς δύο ἀρχὰς, ἢ συναλοιφὴν τὴν φωνὴν ἀνάγοντες · καίτοι γε εἰ τοῦτο ἦν, οὐ πρὸς αὐτοὺς τὸ ἔγκλημα, ἀλλὰ πρὸς τοὺς ἁγίους Πατέρας τοὺς ταύτην τὴν φωνὴν πρώτως εἰπόντας · αὐτοὶ δὲ ἐκ τῆς φωνῆς ταύτης ὑπονοούμενα ἄτοπα τῷ ἀναθέματι καθυποβάλλουσι. Διὸ οὐδὲ διασεσεισμένοι ὅλως τὸν ἐγκέφαλον, ὡς αὐτὸς ἡμᾶς διαλοιδορεῖ · ἀλλ' οὐδ' ὡς ἄτοπα καὶ δυσσεβῆ κηρύττοντας αὐτοὺς ἀπεστράφημεν · εἰ γὰρ ἄτοπα καὶ δυσσεβῆ ἐκήρυττον, οὐκ ἂν ἡ καθ' ἡμᾶς Ἐκκλησία τε καὶ βασιλεία συνεχεῖς πρεσβείας ἐποίουν, σύνοδον αἰτοῦντες γενέσθαι · τοὺς γὰρ αἱρετικοὺς ἅπαξ τοῦ τῆς ἐκκλησίας πληρώματος ἀποτεμόντες οἱ ὀρθόδοξοι, οὐδαμῶς ἀξιοῦσι λόγου · ἀλλ' οἱ ἡμέτεροι οἱ κατὰ σοφίαν καὶ ἀρετὴν θαυμάσιοι, Νικομηδείας τε Μακάριος, καὶ Εὐθύμιος ὁ ἐσύστερον ἐπὶ τὴν προεδρίαν τῆς Κωνσταντινουπόλεως προβιβασθείς, καὶ Ἰωάσαφ ὁ Ἐφέσου, καὶ Μακάριος ὁ τῆς μονῆς τοῦ Παντοκράτορος προϊστάμενος ἐκεῖσε παραγενόμενοι εὐλογίαν παρὰ τοῦ πάππα ἐλάμβανον · ἀλλὰ καὶ αὐτὸς ὁ ταῦτα γράφων ὁμοίως τοῖς ἄλλοις πεποίηκεν · οὐκοῦν οὐχ ὡς αἱρετικοὺς αὐτοὺς ἀπεστράφημεν. Ἐπεὶ δὲ καὶ νόμον προβάλλεται, καὶ Λατῖνοι νόμον ἐροῦσιν · ὡς Ἀπὼν οὐδεὶς καταδικάζεται · οὕτω γάρ φησιν ὁ νόμος · Ἐὰν δὲ κληθεὶς ὁ κατηγορούμενος οὐκ ἀπαντήσει, τῷ τῆς φευγοδικίας καὶ μόνον ὑπόκειται ἐπιτιμίῳ, ἕως οὗ ἀπαντήσῃ εἰς τὸ κριτήριον. Διὰ τοῦτο καὶ τῶν διπτύχων τὸ τοῦ πάππα ὄνομα ἐξεβλήθη ! ὅτι δὲ ὁ ἐκκλίνων τῆς ὀρθοδόξου πίστεως αἱρετικός ἐστιν, οὐ χρεία νόμου · πάντες γὰρ οἱ Χριστιανοὶ τοῦτο πιστεύουσι καὶ κηρύττουσι καὶ πρὸ τοῦ νόμου, καὶ μετὰ τὸν νόμον. Ἀλλ' οὐκ ἀπέδειξε τοῦτο ἐκεῖσε παρὼν καὶ διαλεγόμενος ; ἀλλὰ μᾶλλον ἐν τῷ καιρῷ τῆς διαλέξεως ἀπείπατο τὴν διάλεξιν · εἰ γὰρ τοῦτο ἀπεδείκνυεν, οὐδεὶς ἂν Χριστιανοῖς συνέθετο καταδέξασθαι τὴν τῶν Λατίνων ἕνωσιν, καὶ μάλιστα οἱ τῆς Ἐκκλησίας προστάται καὶ κληρικοὶ ὑπογράψαντες · οὐδεὶς γὰρ διὰ τῆς χάριτος τοῦ Χριστοῦ, οὐ μικρὸς, οὐ μέγας, ἠθέλησε καταδέξασθαι τὴν τῶν Λατίνων ἕνωσιν, εἰ αὐτὸς ἀπεδείκνυεν αὐτοὺς κακοδόξους · ἀλλ' ὥσπερ ἐν ταύτῃ τῇ ἐπιστολῇ τὸ Ἐκ μόνου, λέγει, οὕτω κἀκεῖσε τὸ Ἐκ μόνου, συμπεραίνων, οἱ Λατῖνοι τὰς τῶν Πατέρων μαρτυρίας προκομίσαντες, αὐτὸς ἀπηνήνατο τὴν διάλεξιν, μηδόλως ἐθελήσας ἀπαντῆσαι · καίτοι γε τοῦ προσδιαλεγομένου βοῶντος ἐνώπιον βασιλέως, καὶ ἀρχόντων, καὶ ἀρχιερέων, καὶ παντὸς τοῦ λαοῦ, τὸν κύριον τὸν αἰδέσιμον τὸν Ἐφέσου ἐθέλω ἐλθεῖν, ἵνα ἀκούσῃ

τὰς ἀπολογίας εἰς ἃ ἐκεῖνος εἶπε, καὶ λόγον ἀποδοῦναι. Ἀλλ' οὐκ ἠθέλησεν ἀπαντῆσαι, πολλὰ παρὰ πάντων ἀναγκασθείς. Πῶς οὖν ταῦτα λέγει νῦν, ἃ μήτ' ἄλλοι εἶπον, μήτ' αὐτὸς ἐδυνήθη ἀποδεῖξαι; Ἐκεῖσε οὖν ὑπῆρχεν ἡ πάλη, καὶ οἱ λόγοι, καὶ αἱ ἀπολογίαι, καὶ οὐκ ἠθέλησεν ἀπαντῆσαι, καὶ νῦν λέγει ὅσα καὶ βούλεται· διὸ οὐδὲ χρεία πολλῆς ἀπολογίας.

ΕΦΕΣ.

Εἰ μὲν οὖν οὐδέν τι παρεκκλίνουσιν οἱ Λατῖνοι τῆς ὀρθῆς πίστεως, μάτην αὐτοὺς ὡς ἔοικεν ἀπεκόψαμεν· εἰ δὲ παρεκκλίνουσιν ὅλως, καὶ ταῦτα περὶ τὴν θεολογίαν τοῦ Πνεύματος, εἰς ὃ βλασφημῆσαι κινδύνων ὁ χαλεπώτατος, αἱρετικοί εἰσιν ἄρα, καὶ ὡς αἱρετικοὺς αὐτοὺς ἀπεκόψαμεν.

ΑΠΟΛ.

Εἴτε παρεκκλίνουσιν εἴτε μή, προαποδέδεικται Τὸ δὲ βλασφημῆσαι περὶ τὴν θεολογίαν τοῦ Πνεύματος, ὅπως ὁ Κύριος τό τε τοῖς Ἰουδαίοις εἰρηκεν, οὐκ οἶδα πῶς ἀγνοεῖ· ἡμεῖς γὰρ εἰς ὁποτέραν τῶν θείων ὑποστάσεων βλασφημήσει τις, κινδύνων, λέγομεν, ἐστὶν ὁ χαλεπώτατος· ἐπίσης γὰρ τὰ θεῖα πρόσωπα ὁμολογοῦμεν ἔν τε ἀϊδιότητι καὶ δυνάμει καὶ θεότητι· καὶ ὃς εἰς πρόσωπον τῶν θεαρχικῶν ὑποστάσεων βλασφημήσει, οὐχ ἕξει ἄφεσιν οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι. Τοῦτο καὶ ὁ μέγας Ἀθανάσιος ἐν τῇ ἐξηγήσει τοῦ εὐαγγελικοῦ ῥητοῦ, *Πάντα μοι παρεδόθη*, διαβεβαιοῖ. Ὁ γὰρ εἰς ὁποτέραν φησὶ τῶν θείων ὑποστάσεων βλασφημῶν οὐχ ἕξει ἄφεσιν οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι. Καὶ Γρηγόριος ὁ Θεολόγος οὕτω φησίν· ὡς Ὅ τι ἂν τῶν τριῶν κάτω βάλῃς, τὸ πᾶν ἔσῃ καθῃρηκὼς, καὶ σεαυτῷ τὴν τελείωσιν. Καὶ οἱ Λατῖνοι οὖν ἐκ τῶν τριῶν οὐδὲν κάτω βάλλουσιν· ἐπίσης γὰρ τὰ θεῖα πρόσωπα ὁμολογοῦσιν ἔν τε δυνάμει καὶ κυριότητι καὶ θεότητι, καὶ ἀϊδιότητι. Πῶς οὖν λέγει, ὅτι εἰς τὸ Πνεῦμα τὸ ἅγιον βλασφημοῦσι; Πόθεν τοῦτο μαθὼν λέγει; Ὅτι δὲ λέγει, αἱρετικοί εἰσι, καὶ ὡς αἱρετικοὺς αὐτοὺς ἀπεκόψαμεν, ἀναμνησθήτω πρότερον Ἰωάννου τοῦ Ἀντιοχείας καὶ Κυρίλλου· ἀμφότεροι γὰρ τῆς ὀρθῆς πίστεως εἶχοντο, ἀλλὰ διὰ τὸ μὴ προσεῖναι τὸν Κύριλλον, ἀλλὰ ἀποφήνασθαι κατὰ Νεστορίου πρὸ τοῦ παραγενέσθαι τὸν Ἰωάννην, κατὰ Κυρίλλου τοῦ θείου οἱ περὶ τὸν Ἰωάννην Ἀντιοχείας ἔγραφον· καὶ τοῦτο μαρτυρήσουσι τὰ τῆς τρίτης συνόδου Πρακτικά. Εἰ δὲ ὡς αἱρετικοὺς ἀπεκόψαμεν, ὡς αὐτός φησιν, ἐμφανισάτω τὴν κατ' αὐτῶν ἀπόφασιν τῆς συνόδου, ὅπως καὶ πότε κατεδικάσθησαν· καὶ εἰ ἐμμένωσι τῇ κριθείσῃ κακοδοξίᾳ, δι' ἣν κατεδικάσθησαν· ἵνα καὶ ἡμεῖς τὴν κρίσιν γνόντες καὶ τὴν ἀπόφασιν στέρξωμεν ἀσμενέστατα. Ἀλλ' οὐκ ἔχει ταῦτα δεῖξαι· ποῦ γὰρ ἔχει δεῖξαι, ὅτι αἵρεσιν κηρύττουσιν οἱ Λατῖνοι; εἰ μὴ, ὅτι ἔπεται. Οἱ δὲ Λατῖνοί φασιν, εἰ καὶ ἕπεται, ὑμεῖς λέγετε· ἀλλ' οὖν ἡμεῖς, οὐχ ἕπεται,

A At ipse noluit accedere multis sane omnium cohortationibus sollicitatus. Quomodo ergo nunc ea dicit, quæ nec ab aliis dicta sunt, nec ab ipso demonstrari potuerunt? Ibi lucta erat, ibi disputationes et responsiones, et noluit accedere: nunc dicit quæcunque vult. Itaque non opus est longa responsione.

EPHES.

Si igitur Latini a recta fide nihil deflectunt, nequidquam illos plane præcidimus, sed si certe deflectunt, idque circa divinitatem Spiritus, in quem blasphemare periculum est omnium exitiosissimum, hæretici ergo sunt, atque ut hæreticos a fidelium cœtu abscidimus.

B RESP.

An illi deflectant necne, jam demonstratum est. Blasphemare autem circa divinitatem Spiritus, quo sensu fuerit Judæis a Domino dictum, cur nesciat, ignoro. Nos enim periculum esse dicimus exitiosissimum, in quamcunque quis blasphemet divinam personam; nam eas et æternitate et potentia et divinitate fatemur æquales: ut quicunque in divinam aliquam hypostasin blasphemaverit, hoc ei neque in hoc sæculo neque in futuro remittatur. Ita sentit magnus Athanasius exponens illud evangelicum: *Omnia mihi tradita sunt.* Qui enim, inquit, in unam divinarum hypostaseon blasphemaverit, non remittetur ei neque in hoc sæculo, neque in futuro. Et C Gregorius Theologus (15) Quidquid, inquit, ex tribus de gradu dejeceris, totum profecto deturbaveris, et perfectionis sacramentum tibi deperdideris. Ita ergo Latini nullam e tribus personis de gradu dignitatis dimovent, cum fateantur illas esse æquales potentia, principatu, deitate et æternitate. Quomodo ergo dicit eos in Spiritum sanctum blasphemare? Unde vero sumptum hoc asserit? Quod porro ait, hæreticos esse, atque ut hæreticos fuisse a nobis præcisos; redeat prius in memoriam Joannis Antiocheni et Cyrilli: nam recte fidem uterque defendebat; quia tamen Cyrillus non exspectaverat, sed ante Joannis adventum tulerat contra Nestorium sententiam, Joannes Antiochenus scriptis sanctum Cyrillum exagitavit: testabuntur D hoc Acta tertiæ synodi. Si autem illos ut hæreticos resecuimus, quod ipse affirmat, ostendat sententiam synodi, quæ illos damnaverit, quove modo et quando hoc illa fecerit; et an illi damnatas sequantur opiniones, ob quas lata fuerit in eos sententia; ut agnito judicio nos quoque libentissime pronuntiatam amplectamur sententiam. At nunquam hæc ostenderit; unde enim probaverit hæresin a Latinis defendi? Dicet id colligi per sequelam; at vero Latini respondent, id sequi, sed apud vos; nam talem sequelam ipsi negamus; primo quidem, quod

[37] Matth. xi, 27.

(15) Orat. in S. baptisma.

vocem hanc docent sancti Patres nostri, deinde quia non ita intelligimus, ut ex hac voce aut personalis distinctio tollatur, aut ita personæ uniantur ut sequatur confusio, quod vos sequi enixe asseveratis : nam et unitatem perbene intelligimus, et distinctionem egregie declaramus, ut neque duo sint principia Spiritus sancti Pater et Filius, neque in productione ejusdem una sint persona Pater et Filius ; ita enim duo quoque essent mittentes, cum et Pater mittat et Filius. At res non ita se habet, siquidem vox illa, Ex solo, apud nullum sanctum est, a nullo dicta reperitur : quinam ? cum ipsi his utantur vocibus, Ex Patre et Filio ; et per Filium ; et ex utroque substantialiter. Inter has enim voces et illam, Ex solo, contradictionis est oppositio. Eam sicut istæ propositiones ; Dum sol super terram est, dies est, et nox non est ; et rursus, Dum ille subter terram est, nox est, dies non est ; ita etiam hæc duo nunquam convenient, Ex solo, et ex Filio et per Filium et ex ambobus substantialiter ; et hæc quidem pronuntiata sunt a doctoribus et Ecclesiæ theologis, quos sanctæ generales synodi pro sanctis habendos promulgarunt, quorumque scripta complectuntur ; vox autem, Ex solo, post schisma et contentiones audita est. Quod si res theologicas ex consequentiis judicare voluerimus, in multa sane absurda delabemur. Ita enim, quia Deum de Deo dicimus, duo ergo sint dii, et non unus quem credimus ; et quia natum dicimus, tempus intelligamus ; et quia descendit de cœlis, loco circumscribamus ; et quid opus est plura congerere, quæ inferri videntur per consequentias ? Nam qui prave sentit, ea quæ dicta sunt per sequelas omnia concludet. At nos cum simus homines ficti ex argilla et luto, non possumus de Deo congruentibus uti sermonibus. Quapropter humano more res omnes divinas explicamus. Nec oportet ea consequentiis, sed ex confessione nos redarguere ; vere enim cum Deo de rebus Dei judicamus.

A

B

C

D

EPIIES.

Cur vero eos qui ab illis ad nos transeunt, chrismate inungimus ? an non liquet, ut hæreticos ? Ait enim septimus œcumenicæ synodi secundæ canon : Eos qui ab hæreticis accedunt ad rectam fidem, et partem consequentium salutem, recipimus ordine et consuetudine quam subjiciemus. Arianos quidem, et Macedonianos, et Sabbatianos, et Novatianos qui se Catharos et Aristeros vocant ; et Quartodecimanos, et Apollinaristas recipimus libellum dantes, et anathematizantes omnem hæresin, quæ non sentit ut sancta Dei catholica et apostolica Ecclesia ; nec non consignatos sive unctos primum sacro chrismate in fronte, oculis, naribus, ore et auribus. Et consignantes eos dicimus : Signaculum doni Spiritus sancti. Vides, quibus adde numeremus eos qui a Latinis ad nos perfugiunt ? Si ergo hi omnes hæretici sunt, illi quoque inter hæreticos numerandi. Quid porro de his Theodorus Balsamon, doctissimus patriarcha Antiochenus,

ὁμολογοῦμεν· πρῶτον μὲν ὅτι οἱ Πατέρες ἡμῶν οἱ ἅγιοι ταύτην λέγουσι τὴν φωνήν· δεύτερον, ὅτι οὐχ οὕτω νοοῦμεν, ὡς ἀπὸ ταύτης τῆς φωνῆς ἡ παρασαλεύεται ἡ προσωπικὴ διάκρισις, ἢ ἐνοῦται οὕτως ὡς συναλείφεσθαι, ὡς ὑμεῖς διισχυρίζεσθε· ἀλλὰ καὶ τὴν ἕνωσιν νοοῦμεν πάνυ καλῶς, καὶ τὴν διάκρισιν μάλα θαυμασίως, καὶ ἐντεῦθεν οὔτε δύο ἀρχαί εἰσιν ὁ Πατὴρ καὶ ὁ Υἱὸς τοῦ ἁγίου Πνεύματος, οὔτε ἓν πρόσωπόν ἐστιν ὁ Πατὴρ καὶ Υἱὸς ἐν τῇ προβολῇ τοῦ ἁγίου Πνεύματος· ἢ γὰρ ἂν καὶ δύο ἦσαν οἱ πέμποντες, ἐπεὶ πέμπει ὁ Πατὴρ καὶ ὁ Υἱός· ἀλλ' οὐχ οὕτως ἔχει· τὸ μὲν γὰρ, Ἐκ μόνου, οὔτε ἐστὶν, οὔτε ἐῤῥέθη παρά του τῶν ἁγίων· πῶς γάρ; αὐτῶν λεγόντων, Ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, καὶ διὰ τοῦ Υἱοῦ, καὶ ἐξ ἀμφοῖν οὐσιωδῶς. Ταῦτα γὰρ πρὸς τὸ, Ἐκ μόνου, ἀντίφασίς ἐστιν. Ὡς γὰρ ἡλίου ὄντος ὑπὲρ γῆν ἡμέρα ἐστὶ, νὺξ οὐκ ἔστι, καὶ πάλιν, ἡλίου ὑπὸ γῆν ὄντος νὺξ ἐστὶν, ἡμέρα οὐκ ἔστιν· οὕτως οὐδ' ἐκ μόνου, καὶ, Ἐκ τοῦ Υἱοῦ καὶ διὰ τοῦ Υἱοῦ καὶ ἐξ ἀμφοῖν οὐσιωδῶς, συμφωνήσει ποτέ· ταῦτα γὰρ λέγεται παρὰ τῶν διδασκάλων καὶ θεολόγων τῆς Ἐκκλησίας, οὓς αἱ ἅγιαι οἰκουμενικαὶ σύνοδοι ἁγίους ἀνεκήρυξαν, καὶ τὰ αὐτῶν ἐνστερνίζονται· τὸ δὲ, Ἐκ μόνου, μετὰ τὸ σχίσμα καὶ τὴν φιλονεικίαν. Καὶ γὰρ ἐὰν ἀπὸ τοῦ, ἕπεται, κρίνειν βουλώμεθα τὰ τῆς θεολογίας, εἰς πολλὰ ἄτοπα ἐμπεσεῖν ἔχομεν· καὶ Θεὸν ἐκ Θεοῦ λέγοντες, ἄρα δύο Θεοί, καὶ οὐχ εἷς ὁ παρ' ἡμῖν πιστευόμενος Θεός· καὶ γεννηθέντα λέγοντες, χρόνον ἐννοήσωμεν· καὶ κατελθόντα ἐκ τῶν οὐρανῶν, τόπῳ περιγράψωμεν. Καὶ τί δεῖ περαιτέρω χωρεῖν, ὅσα ἀπὸ τοῦ, ἕπεται, νομισθήσεται; πάντα γὰρ τὰ προκείμενα ἐρεῖ τις τῶν κακοδόξων ἀπὸ τοῦ, ἕπεται. Ἀλλ' ἡμεῖς ἄνθρωποι ὄντες ἐκ πηλοῦ καὶ χώματος οὐ δυνάμεθα λόγους εὑρεῖν ἁρμόζοντας τῷ Θεῷ· διὸ καὶ πάντα τὰ περὶ τὸν Θεὸν ἀνθρωποπρεπῶς λέγομεν, καὶ οὐ δεῖ κατακρίνειν ἡμᾶς ἀπὸ τοῦ ἕπεσθαι, ἀλλὰ ἀπὸ τοῦ ὁμολογεῖν· καὶ ἀληθῶς μετὰ τοῦ Θεοῦ τὰ τοῦ Θεοῦ κρίνομεν.

ΕΦΕΣ.

Διὰ τί δὲ καὶ χρίομεν τῷ μύρῳ τοὺς ἐξ αὐτῶν ἡμῖν προσιόντας; οὐκ εὔδηλον ὡς αἱρετικοὺς ὄντας; Λέγει γὰρ ὁ τῆς ἑβδόμης οἰκουμενικῆς συνόδου κανὼν ἕβδομος· Τοὺς προστιθεμένους τῇ ὀρθοδοξίᾳ καὶ τῇ μερίδι τῶν σωζομένων ἀπὸ αἱρετικῶν δεχόμεθα κατὰ τὴν ὑποτεταγμένην ἀκολουθίαν καὶ συνήθειαν· Ἀρειανοὺς μὲν, καὶ Μακεδονιανοὺς, καὶ Σαββατιανοὺς, καὶ Ναυατιανοὺς τοὺς λέγοντας ἑαυτοὺς Καθαροὺς καὶ Ἀριστεροὺς, καὶ Τεσσαρεσκαιδεκατίτας, ἤγουν Τετραδίτας, καὶ Ἀπολιναριστὰς δεχόμεθα διδόντας λιβέλλους, καὶ ἀναθεματίζοντας πᾶσαν αἵρεσιν μὴ φρονοῦσαν ὡς φρονεῖ ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ καὶ ἀποστολικὴ Ἐκκλησία, καὶ σφραγιζομένους ἤτοι χριομένους πρῶτον τῷ ἁγίῳ μύρῳ τό τε μέτωπον, καὶ τοὺς ὀφθαλμοὺς, καὶ τὰς ῥῖνας, καὶ τὸ στόμα, καὶ τὰ ὦτα· καὶ σφραγίζοντες αὐτοὺς λέγομεν· Καὶ σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου. Ὁρᾷς τίσι συντάττομεν τοὺς ἐκ Λατίνων ἡμῖν προσιόντας; Εἰ οὖν οὗτοι πάντες

αἱρετικοὶ, δῆλον κἀκεῖνοι. Τί δὲ ὁ σοφώτατος πατριάρχης Ἀντιοχείας Θεόδωρος ὁ Βαλσαμὼν ἐν ταῖς πρὸς Μάρκον τὸν ἁγιώτατον πατριάρχην Ἀλεξανδρείας ἀποκρίσεσι περὶ τούτων γράφει; *Ἐρώτησις Μάρκου.* Αἰχμάλωτοι Λατῖνοι καὶ ἕτεροι παρουσιάζοντες εἰς τὰς καθολικὰς ἐκκλησίας ἡμῶν ζητοῦσι μεταλαμβάνειν τῶν θείων ἁγιασμάτων. Εἰ οὖν ἐγχωρητέον τοῦτό ἐστι, ζητοῦμεν μαθεῖν. *Ἀπόκρισις Θεοδώρου. Ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστι· καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ σκορπίζει.* Ἐπεὶ οὖν πρὸ χρόνων πολλῶν ἀπεσχίσθη τῆς δυτικῆς Ἐκκλησίας, τῆς Ῥώμης φαμὲν, τὸ περιώνυμον ἄθροισμα ἐκ τῆς τῶν ἑτέρων τεσσάρων ἁγιωτάτων πατριαρχῶν κοινωνίας, ἀποσχοινισθὲν εἰς ἔθη (*a*) καὶ δόγματα τῆς καθολικῆς Ἐκκλησίας, καὶ τῶν ὀρθοδόξων ἀλλότρια· διὰ γὰρ τοῦτο οὔτε ἐν ταῖς θείαις ἱεροτελεσίαις κοινῆς [illegible] πατριαρχικῶν ὀνομάτων ἀναφορᾶς ὁ πάππας ἠξίωται· οὐκ ὀφείλει γένος Λατινικὸν ἐν χειρὸς ἱερατικῆς διὰ τῶν θείων καὶ ἀχράντων μυστηρίων ἁγιάζεσθαι, εἰ μὴ κατάθηται πρότερον ἀποσχέσθαι τῶν Λατινικῶν δογμάτων τε καὶ συνηθειῶν, καὶ κατὰ κανόνας κατηχηθῇ, καὶ τοῖς ὀρθοδόξοις ἐξισωθῇ. Ἀκούεις; ἀπεσχίσθησαν οὐ μόνον εἰς ἔθη, ἀλλὰ καὶ δόγματα τῆς Ἐκκλησίας ἀλλότρια· τὰ δὲ τῶν ὀρθοδόξων ἀλλότρια πάντως αἱρετικά· καὶ ὅτι κατὰ κανόνας κατηχηθῆναι ὀφείλει, καὶ τοῖς ὀρθοδόξοις ἐξισωθῆναι; Εἰ δὲ κατηχηθῆναι, δηλονότι καὶ τῷ μύρῳ χρισθῆναι. Πόθεν οὖν ἡμῖν ἀνεφάνησαν ἐξαίφνης ὄντες ὀρθόδοξοι οἱ διὰ τοσούτων χρόνων καὶ ὑπὸ τοσούτων Πατέρων καὶ διδασκάλων κριθέντες; αἱρετικοί;

A respondens ad quæsita Marci sanctissimi patriarchæ Alexandrini, scriptum reliquit? *Interrogatio Marci.* Captivi Latini et alii ad nostras catholicas ecclesias accedentes petunt divinæ sanctificationis communionem. An sit concedendum hoc, scire cupimus. *Responsio Theodori. Qui non est mecum, contra me est: et qui non colligit mecum, dispergit* [28]. Quoniam igitur ante multos annos Ecclesiæ Occidentalis, Romanæ inquam, celebris illa portio divulsa est a consortio reliquorum sanctissimorum quatuor patriarcharum, per mores et dogmata a catholica Ecclesia et orthodoxis aliena. Nam propterea et in divinis sacrificiis papa non inscribitur communi nominum patriarchalium commemorationi; idcirco non debet homo Latinus sacerdotali manu B per divina et immaculata mysteria sanctificari, ni prius Latinorum dogmata moresque velit ejurare, et canonice catechismo initietur, et in numerum orthodoxorum referatur. Audis? divulsi sunt non modo per mores, sed etiam dogmata quæ non agnoscit Ecclesia; quæ vero non agnoscunt orthodoxi, hæretica certe sunt. Audis etiam, initiandum esse canonice, atque in numerum orthodoxorum referendum? Quod si initiandus est, chrismate etiam profecto ungendus. Unde ergo nobis repente orthodoxi apparuerunt, qui per tot tempora, et per tot Patres et doctores hæretici judicati sunt?

ΑΠΟΛ.

Τὸν κανόνα προκομίσας τὸν νομοθετοῦντα τίνας δεῖ χρίειν, μηδὲν περὶ τῶν Λατίνων λέγοντα, καὶ ἐπισυνάψας καὶ τὴν τοῦ Βαλσαμὼν πρὸς τὸν Ἀλεξανδρείας ἀπόκρισιν καὶ μόνην, ἐπιφέρει· Οἱ διὰ τοσούτων Πατέρων κριθέντες αἱρετικοί. Πρόδηλον οὖν, ὡς οὐχ ὑπὸ πολλῶν Πατέρων ἐκρίθησαν, ἀλλ' ὑπὸ τοῦ Βαλσαμὼν καὶ μόνου, καὶ ταῦτα μετὰ τὸ σχίσμα καὶ τὴν φιλονεικίαν. Εἰ οὖν ὁ Ἀλεξανδρείας μετὰ τοσούτων χρόνων παρίππευσιν (τριακόσιοι γὰρ χρόνοι παρῆλθον) οὐκ οἶδε περὶ τοῦ ὅπως δεῖ τοὺς ἀπὸ Λατίνων προσερχομένους προσδέχεσθαι, πρόδηλον ὡς οὐχ αἱρετικοὶ ὑπὸ πολλῶν Πατέρων ἐκρίθησαν· πάντως γὰρ καὶ ὁ Ἀλεξανδρείας καὶ αἱ λοιπαὶ ἐκκλησίαι ἐγίνωσκον ἂν τὴν κατὰ Λατίνων κρίσιν τε καὶ καταδίκην. Ἀλλὰ καὶ Λατίνοι τοὺς ἡμετέρους † ἔχριον καὶ χρισμαρισμένους ὠνόμαζον. Ὅτι δὲ οὐ κατὰ δίκαιον λόγον ταῦτα ἐγίνοντο, δῆλον, ὅτι ἐν τῇ ἑνώσει ἡμῶν οὐδένα λόγον εἶχον εἰπεῖν καθ' ἡμῶν, ἀλλ' ὀρθόδοξοι ὄντες παρὰ τῶν ὀρθοδόξων ὀρθόδοξοι ἐκρίθημεν.

RESP.

Cum protulisset canonem præcipientem, quinam sint consignandi, ubi nulla mentio de Latinis, et subjecisset responsionem unius Balsamonis ad Alexandrinum, intulit: Qui per tot Patres hæretici judicati sunt. Liquet ergo a Balsamone tantum, non a multis Patribus tales esse judicatos, idque post schisma et concertationem. Certe si Alexandrinus post tot exacta tempora (jam enim anni trecenti abierant) ignorabat, quomodo recipiendi essent Latini, perspicuum est illos non fuisse hæreticos a multis Patribus judicatos; nota enim fuissent procul dubio Alexandrino et reliquis ecclesiis judicium et sententia, qua damnati essent La- D tini; verum Latini etiam nostros consignabant †, et chrismatos appellabant. Sed hæc non fuisse in æquo et bono facta constat ex eo, quod in nostra unione nihil habuerunt quod nobis objicerent, sed eum essemus orthodoxi, habiti sumus ab orthodoxis orthodoxi.

† Ἔχρισαν ἐνίοτε οἱ Λατῖνοι τοὺς Γραικοὺς μετὰ προσδιορισμοῦ καὶ διαστολῆς, ἐπειδήπερ οἱ πρεσβύτεροι οὐκ εἰσὶν οἰκεῖοι τοῦ μυστηρίου τούτου ὑπηρέται.

† Episcopi Latini Græcos aliquando sub conditione consignabant, vel quia ministri hujus sacramenti excommunicati fuerant et pro laicis habiti, quales erant in Bulgaria sacerdotes Photii, vel quia presbyteri, qui apud Græcos sacramentum hoc parsim conferunt, non sunt ordinarii confirmationis ministri.

[28] Luc. xi, 23.

(*a*) Editio Dosithei in *Τόμῳ Ἀγάπης*, ἄθροισμα, ἥτις ἐκ τῶν ἑτέρων τεσσάρων πατριαρχῶν κοινωνίας ἀποσχισθεῖσα, εἰς ἔθη, etc.

EPHES.

Quis illos tam facile orthodoxos fecit? Aurum, si quod verum est, fateri velis, et lucra tua : imo vero aurum non illos fecit orthodoxos, sed te reddens illis assimilem in hæreticorum partem detrusit.

RESP.

Facile illos orthodoxos fecit voluntas, qua dogma in Ecclesiam ab eis inductum passi sunt examinari per synodum œcumenicam †, quod antea non patiebantur; et præterea sanctorum Patrum allatæ sententiæ, quæ Spiritum sanctum etiam ex Filio asserunt; et prolatum ex epistola sancti Maximi testimonium, quo probatur sententias illas esse germanas; et Patrum dicta, quos et ipsi pro sanctis habemus et Ecclesiæ doctoribus : quin et publicus anathematismus duorum principiorum, et confusionis personarum, de quibus accusabantur; ut plane fatebitur et ipse, qui ibidem aderat et audiebat. Auri vero rursus mentionem facit, vel aurum amans, vel carens auro, quod ipse expetit.

† Auctoris sententia : nam dogma hoc, ut dictum est, in aliis conciliis jam antea discussum erat.

EPHES.

Sed si medium, inquit, aliquod inter dogmata excogitemus, per illud et cum iis conjungemur, et res nostras optime componemus, cum nihil lateri cogamur præter ea quæ nobis consueta sunt et a Patribus tradita. Hoc illud est quod ab initio multos decepit, persuasitque sequi homines, qui eos ad prærupta impietatis abduxerunt. Nam esse quid medium inter utramque sententiam rati, ut contingit in quibusdam contrariis, ultro in perniciem incurrerunt. Verum dictio quidem reperiri poterit media inter duas opiniones, æquivace utramque significans, sed contrariis sententiis interjectam esse mediam sententiam de re eadem, est impossibile; alioquin erit etiam quid medium inter verum et falsum, affirmationemque et negationem. Atqui non est; etenim de omni re aut affirmatio, aut negatio. Si ergo Latinorum dogma verum est, quod ex Filio procedat, nostrum quod ex Patre solo, erit falsum, propter quod et dissidium secutum est : si contra nostrum verum est, dogma illorum erit falsum. Inter hæc igitur quidnam erit medium? Profecto nihil; nisi dictio aliqua ad utramque sententiam accommodata instar cothurni. Hæc ergo pacem conciliare poterit? Et quid agemus, quando nostros invicem sensus et opiniones examinabimus? Fierine poterit, ut contraria sentientes utrique orthodoxi vocemur? Ego certe non crediderim; tuum erit hoc scire, qui omnia misces, et rebus omnibus facile nomina adaptas.

RESP.

Nos a principio et a primis Patribus accepimus, atque a Gregorio Theologo, medium in fide tenere; nam veritas consistit in medio; quæ vero extrema sunt, excessus vocantur et defectus, ut necessario

ΕΦΕΣ.

Τίς αὐτοὺς οὕτω ῥᾳδίως ὀρθοδόξους πεποίηκεν; Ὁ χρυσὸς, εἰ βούλοιο τἀληθῆ λέγειν, καὶ κέρδη τὰ σά· μᾶλλον μὲν οὖν ἐκείνους οὐ πεποίηκεν ὀρθοδόξους, σὲ δὲ ποιήσας ἐκείνοις ὅμοιον, εἰς τὴν αἱρετικὴν ἀπεώσατο μοῖραν.

ΑΠΟΛ.

Ῥᾳδίως αὐτοὺς ὀρθοδόξους πεποίηκεν ἡ θέλησις αὐτῶν τοῦ κριθῆναι ὑπὸ οἰκουμενικὴν † σύνοδον τὸ παρ' αὐτῶν ἐν τῇ Ἐκκλησίᾳ εἰσαγόμενον, ὅπερ πρότερον οὐ κατεδέχοντο· ἔτι δὲ καὶ τὰ ἐμφανισθέντα τῶν θείων Πατέρων ῥητὰ, τὰ καὶ ἐκ τοῦ Υἱοῦ λέγοντα τὸ Πνεῦμα τὸ ἅγιον· καὶ ἡ ἀπὸ τῆς ἐπιστολῆς μαρτυρία τοῦ θείου Μαξίμου, δηλοῦσα ὅτι γνήσιά εἰσι ταῦτα· καὶ τῶν Πατέρων αἱ φωναὶ, οὓς καὶ ἡμεῖς ὁξάζομεν ἁγίους καὶ διδασκάλους τῆς Ἐκκλησίας· ἀλλὰ καὶ ὁ ἐνώπιον πάντων ἀναθεματισμὸς τῆς διαρχίας καὶ τῆς συναλοιφῆς, δι' ἃ ἐνεκαλοῦντο, ὡς καὶ αὐτὸς ὁμολογήσει παρὼν ἐκεῖσε καὶ ἀκούων. Χρυσοῦ δὲ πάλιν μέμνηται ἢ χρυσὸν φιλῶν, ἢ χρυσοῦ ἐστερημένος τοῦ παρ' αὐτοῦ φιλουμένου.

† Δόξα τοῦ συγγραφέως· πάλαι γὰρ ἐξήτασται ἐν ἄλλαις συνόδοις τὸ δόγμα τοῦτο.

ΕΦΕΣ.

Ἀλλ' εἰ μεσότητά τινα, φησὶν, ἐπινοήσαιμεν τῶν δογμάτων, ἐκείνοις τε συναφθησόμεθα δι' αὐτῆς, καὶ πρὸς ἡμᾶς αὐτοὺς καλῶς ἕξομεν, οὐδὲν ἀναγκαζόμενοι λέγειν παρὰ τὰ εἰωθότα καὶ παραδεδομένα. Τοῦτ' ἐστὶν ἐκεῖνο, τὸ τοὺς πολλοὺς ἐξ ἀρχῆς ἀπατῆσαν, καὶ πεῖσαν ἀκολουθεῖν τοῖς εἰς τὸν κρημνὸν τῆς δυσσεβείας ἀπάγουσι. Πιστεύσαντες γὰρ εἶναί τι μέσον ἀμφοῖν τῶν δοξῶν, ὅπερ ἐπί τινων ἐναντίων συμβαίνει, πρὸς τὸ δεινὸν ηὐτομόλησαν. Ἀλλὰ λέξιν μὲν ἐνδέχεται μέσην δύο δοξῶν εὑρεθῆναι, τὴν ἀμφοτέρας σημαίνουσαν ὁμωνύμως, δόξαν δὲ μέσην ἐναντίων δοξῶν περὶ τοῦ αὐτοῦ πράγματος, ἀδύνατον· εἰ δὲ μὴ καὶ ἀληθείας καὶ ψεύδους; ἔσται τι μέσον, καὶ καταφάσεως καὶ ἀποφάσεως· ἀλλ' οὐκ ἔστιν· ἐπὶ παντὸς γὰρ ἡ κατάφασις, ἢ ἡ ἀπόφασις. Εἰ μὲν οὖν τὸ Λατινικὸν ἀληθὲς δόγμα, τὸ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι, ψευδὲς τὸ ἡμέτερον, τὸ ἐκ τοῦ Πατρὸς μόνου, διὰ τοῦτο γὰρ ἐχωρίσθημεν· εἰ δὲ τὸ ἡμέτερον ἀληθὲς, ψευδὲς ἂν εἴη δήπου τὸ ἐκείνων. Τί οὖν ἂν εἴη μέσον τούτων; Οὐδέν· πλὴν εἰ μὴ λέξις πρὸς ἄμφω τὰς δόξας; ὁρῶσα, καθάπαρ τις κόθορνος. Αὕτη οὖν ἡμᾶς ἑνωθῆναι ποιήσει; Καὶ τί δράσομεν, ὅταν ἀλλήλους; ἐξετάσομεν περὶ τῶν νοημάτων καὶ τῶν δοξῶν; Ἕνι καὶ ἀμφοτέρους ἡμᾶς προσειπεῖν ὀρθοδόξους τοὺς τἀναντία φρονοῦντας; Ἐγὼ μὲν οὐκ οἶμαι· σὺ δ' ἂν εἰδείης ὁ πάντα φύρων, καὶ πάντα ῥᾳδίως ἐπονομάζων.

ΑΠΟΛ.

Ἡμεῖς ἄνωθέν τε καὶ ἐκ πρώτων παρελάβομεν. καὶ παρὰ Γρηγορίου τοῦ Θεολόγου τὴν μεσότητα ἐν τῇ πίστει φυλάττειν, ἔπει ἡ μεσότης ἐστὶ καὶ ἀλήθεια· τὰ δὲ παρ' ἑκάτερα τοῦ μέσου ὑπερβολαὶ λέ-

γονται καὶ ἐλλείψεις, καὶ ἐξ ἀνάγκης καὶ τὸ ἀνούσιον ἔχουσι. Καλῶς οὖν μετὰ Γρηγορίου τοῦ Θεολόγου ταῦτα λέγομεν. Μεσότητα δὲ ὅταν εἴπω, φησὶ, τὴν ἀλήθειαν λέγω, πρὸς ἣν βλέπειν κολῶς ἔχομεν καὶ μόνον, καὶ τὴν φαύλην συναίρεσιν παραιτούμενοι, καὶ τὴν ἀτοπωτέραν διαίρεσιν· καὶ πάλιν· Ἡμεῖς τὴν μέσην ὁδὸν βαδίζοντες καὶ βασιλικὴν, ἐν ᾗ καὶ τὸ τῶν ἀρετῶν ἵστηκεν ἀκρότατον. Ταύτην καὶ ἡμεῖς λέγομεν· ἣν δὲ αὐτὸς λέξιν μέσην δύο δοξῶν εἰσάγει, οὐκ οἴδαμεν πόθεν καὶ παρὰ τοῦ λαβὼν φάσκει· διὸ ὃ οὔτε ἡμεῖς οἴδαμεν λέγειν, οὔτ' ἄλλους ἠκούσαμεν λέγοντας, πῶς ἀπολογίαν δῶμεν; Αὐτὸς γὰρ εἰσάγει τὰ μὴ παρὰ τῶν ἁγίων εἰρημένα, καὶ κατὰ τὴν θέσιν αὐτοῦ κατάφασιν ποιεῖ καὶ ἀπόφασιν. Τὸ γὰρ, Ἐκ μόνου, οἱ ἅγιοι οὐ λέγουσιν, ἀλλὰ, διὰ τοῦ Υἱοῦ, καὶ, Ἐξ ἀμφοῖν, ὡς προαπεδείχθη. Διὸ καὶ τὰ μὴ εἰρημένα παρὰ τῶν ἁγίων ἡ Ἐκκλησία οὐκ ἐφρόνει ποτέ· ἡμεῖς δὲ τὰ παρὰ τῶν ἁγίων εἰρημένα στέργομέν τε καὶ φυλάττομεν, καὶ φυλάξομεν, μηδὲν περὶ μεσότητος ἄλλης λέγοντες, πλὴν τῆς παραδεδομένης παρὰ τῶν ἁγίων, κἂν αὐτὸς ταύτην ἀναπλάττῃ, ὡς βούλεται.

A sint etiam nihil. Itaque cum Gregorio Nazianzeno (16) recte dicimus: Medium vero cum dico, veritatem dico, ad quam unam respicere sine vitio possumus, nec prave contrahentes, nec absurdius dividentes; et rursus: Nos media regiaque via incedentes, in qua etiam situm est virtutum fastigium. Hoc ergo et nos medium fatemur. Vocem autem inter duas sententias mediam, quam ipse inducit, unde habeat, et a quo sumptam proferat, nescimus. Quare quod et nobis ignotum est, et dictum ab aliis nunquam audivimus, ad hoc quomodo respondeamus? Inducit enim ipse quæ non sunt dicta a sanctis, et ex suo sensu statuit affirmationem et negationem; cum sancti nunquam, Ex solo, dixerint, sed, per Filium, et, Ex utroque, ut jam antea ostensum B est. Quapropter Ecclesia nunquam sensit, quæ non accepit a sanctis; sed ea recipimus et observamus quæ dicta a sanctis habemus, et nunquam ab illis recedemus, aliud medium non agnoscentes præter illud, quod sancti nobis tradiderunt, licet ipse suo arbitratu novum confingat medium.

ΕΦΕΣ.

Βούλει παρὰ Γρηγορίου τοῦ Θεολόγου μαθεῖν, οἷα περὶ τῆς μεσότητος γράφει; Ἡ πρὸς πάντας ὁρῶσα τοὺς παριόντας εἰκὼν, ὁ κοινὸς ἀμφοτέρων τῶν ποδῶν κόθορνος, ἡ κατὰ πάντα ἄνεμον λίκμησις, ἐξουσίαν λαβοῦσα, τὴν ἔγγραφον (*a*) κακουργίαν καὶ τὴν κατὰ τῆς ἀληθείας ἐπίνοιαν. Τὸ γὰρ ὅμοιον κατὰ τὰς Γραφὰς τῆς εὐσεβείας πρόσχημα ἦν τῷ C χαλκῷ τῆς ἀσεβείας περικείμενον. Ταῦτα μὲν οὖν περὶ τῆς (*b*) ἐπινοηθείσης τότε μεσότητος· περὶ δὲ τῆς αὐτὴν ἐξευρούσης συνόδου τοιάδε πάλιν φησίν· Εἴτε τὸν Χαλάννης πύργον, ὃς καλῶς τὰς γλώσσας ῥισεν, ὡς ὄφελόν γε καὶ ταύτας, ἐπὶ κακῷ γὰρ ἡ ἐμέσυμφωνία· εἴτε τὸ Καϊάφα συνέδριον, ᾧ Χριστὸς κατακρίνεται· εἴτε τι ἄλλο τοιοῦτον τὴν σύνοδον ἐκείνην ὀνομαστέον, ἣ πάντα ἀνέτρεψε καὶ συνέχεε, τὸ μὲν εὐσεβὲς δόγμα καὶ παλαιὸν καὶ τῆς Τριάδος συνήγορον καταλύσασα τῷ βαλεῖν χάρακα, καὶ μηχανήμασι κατασείσασα τὸ ὁμοούσιον, τῇ δὲ ἀσεβείᾳ θύραν ἀνοίξασα διὰ τῆς τῶν γεγραμμένων καὶ λεγομένων μεσότητος· σοφοὶ γὰρ ἐγένοντο τοῦ κακοποιῆσαι, τὸ δὲ καλοποιῆσαι οὐκ ἔγνωσαν. Τοσαῦτα μὲν ἡμῖν ἀρκεῖ περὶ τῆς μεσότητος· ὅτι τε οὐδ' D ἔστιν ὅλως μεσότης ἱκανῶς ἀποδεδειχόσι, καὶ ὅτι τὰ τοιαῦτα ζητεῖν ἀσεβὲς καὶ τῆς Ἐκκλησίας ἀλλότριον.

EPHES.

Visne ex Gregorio Nazianzeno scire (16*) quæ ipse de mediis scribat? Imago, inquit, quoquoversum in omnes prætereuntes intuens, communis utriusque pedis cothurnus, ventilatio ad omnem ventum, arrepta facultate per scriptam calliditatem et versutiam adversus veritatem. Nam similitudinis nomen juxta Scripturas prætextus pietatis erat, quo hamus impietatis obtegebatur; et hæc quidem de medio tunc excogitato. De synodo vero, quæ talis medii fuit inventrix, rursus hæc ait: Sive Chalannæ turrim, quæ linguas rite divisit (utinam divisisset et istas, in malo quippe fuit consensio); sive concilium Caiphæ, in quo Christus condemnatur; sive alio non absimili nomine vocemus eam synodum, quæ omnia evertit et miscuit, dogma pium et antiquum demolita, quod Trinitati suffragabatur: vallo enim sepsit, et machinis fidem consubstantialitatis labefactavit: impietati vero fores aperuit, mediorum scriptione et usurpatione vocabulorum; etenim ingeniosi fuere ad malefaciendum, quid vero sit recte facere, ignorarunt. Hæc nobis de medio sufficiant; satis enim ostendimus nullum plane medium dari; nec non impium esse et a sensu Ecclesiæ alienum, hujusmodi media quærere.

ΑΠΟΛ.

Ταῦτα δὲ λέγων ὁ τίμιος οὗτος προσποιεῖται ἄγνοιαν, ὅπως ἄλλως νοεῖται τὸ ὁμοιούσιον, καὶ ἄλλως τὸ ὁμοούσιον· τὸ γὰρ ὁμοιούσιον οὐ ταυτὸν τῇ οὐσίᾳ κατὰ τὸν τεχνίτην εἰπεῖν, οὐδὲ κατὰ τὴν τῶν ἁγίων Πατέρων ἀληθῆ ἐξήγησιν. Τὸ μὲν γὰρ, ἤγουν τὸ *ὁμοούσιον*, τὸ ἀπαράλλακτον τῆς οὐσίας δηλοῖ· τὸ δὲ *ὁμοιούσιον* τὸ ὁμοιώσει ὅμοιον· ὡς τό·

RESP.

Dum hæc dicit egregius vir, nescire se simulat, aliud significari per homœusion, et aliud per homousion. Nam quod homœusion est, non habet eamdem essentiam, si quis vocem more grammaticorum explicet, aut etiam secundum veram sanctorum Patrum expositionem. Quia vox, *homousion*, significat essentiæ nulla cum varietate identitatem;

(16) Orat de theolog. 1.

(16*) Orat. in Athan.

(*a*) γεόγραφον Dosith. (*b*) πρόσχημα ἦν περὶ τῆς id. omissis intermediis.

homœusion vero rem assimulatione non dissimilem, quale est illud : *Simile est regnum cœlorum grano sinapis* [29] ; et illud : *Cum Christus apparuerit, similes ei erimus* [30] ; hæc enim non indicant similitudinem essentialem. At vero in Dei Filio Salvatore nostro non ita, sed consubstantialem ipsum novimus, Christum ipsum audientes dicentem : *Ego et Pater unum sumus* [31]. Ubi per illud, *unum*, identitatem essentiæ cum invariabilitate declaravit; per illud autem, *sumus*, duas expressit hypostases. Cæterum Ariani, quia non credebant Dei veri et Patris Filium eamdem quam et Pater habere substantiam, remota prorsus omni variatione, esseque illi æqualem, si generationem excipias, mutarunt homousion in homœusion : idque medium nominabant, et simplicioribus imponebant. Hoc in nos et Latinos quomodo quadrabit, qui Patrem et Filium et Spiritum sanctum unum Deum pariter fatemur; et quidquid est Pater et Filius, hoc esse Spiritum sanctum, sive virtutem, sive principatum dicas, sive potestatem et deitatem, proprietatibus immotis manentibus ?

A

B

EPHES.

Quid ergo faturum est mediis hisce Græcolatinis, qui medium amplectentes, ex Latinorum institutis et dogmatibus quædam aperte approbant; aliqua vero probant quidem, sed ipsi nequaquam amplectenda duxerint, alia vero ne probant quidem ? Devitandi sunt non secus atque colubri ; non secus atque illi, cum sint etiam deteriores, qui Christum cauponantur, habentque illum quæstui : *Hi enim sunt*, ut inquit Apostolus, *qui existimant quæstum esse pietatem ;* de quibus ipse subjungit : *Hujusmodi homines devita* [32] ; non enim ut addiscant, sed ut sibi aliquid asciscant, ad illos transfugiunt. Quæ vero societas luci ad tenebras, aut quæ conventio Christi ad Belial ? Et quæ pars fideli cum infideli ?

C

RESP.

Ad hæc nulla responsione est opus ; contumelias enim in nos jacit ira percitus, ac inflammatus. Bene ergo dicat, necne, responsiones quas dedimus et daturi sumus, ostendunt, et patebit hoc cordatis hominibus.

EPHES.

Siquidem nos cum Damasceno et cunctis Patribus, ex Filio vero Spiritum non dicimus : isti autem cum Latinis ex Filio Spiritum dicunt.

D

RESP.

Nos quoque cum sancto Damasceno Spiritum non dicimus ex Filio, sed etiam ex Filio ; nam conjunctio copulativa optime indicat Spiritum et ex Patre et ex Filio. Dicere autem absolute Spiritum ex Filio, denotat Filium esse causam originariam, quæ erat Eunomii et sequacium ejus sententia. Nos vero cum Damasceno et universis Patribus dicimus et

Ὅμοια ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν κόκκῳ σινάπεως · καὶ · Ὅταν ὁ Χριστὸς φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα · οὐ τῇ οὐσίᾳ δηλοῖ. Ἐπὶ δὲ τοῦ Υἱοῦ τοῦ Θεοῦ τοῦ Σωτῆρος ἡμῶν οὐχ οὕτως, ἀλλ' ὁμοούσιον ἐγνωμεν, αὐτοῦ τοῦ Χριστοῦ ἀκούοντες λέγοντος · Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν · διὰ τοῦ, ἕν, τὸ ταυτὸν τῆς οὐσίας ἐμφαίνων καὶ ἀπαράλλακτον · διὰ δὲ τοῦ, ἐσμὲν, τὰς δύο ὑποστάσεις δηλῶν. Ὅθεν οἱ περὶ τὸν Ἄρειον μὴ φρονοῦντες τὸν Υἱὸν τοῦ ἀληθινοῦ Θεοῦ καὶ Πατρὸς τῆς αὐτῆς οὐσίας κατὰ πάντα ἀπαράλλακτον, καὶ ἴσον τῷ Πατρὶ πλὴν τοῦ γεννᾷν, ἀμείβοντες τὸ ὁμοούσιον, τὸ ὁμοιούσιον ἐτίθεσαν, καὶ μεσότητα ὠνόμαζον ἀπατῶντες τοὺς ἀφελεστέρους. Πῶς ἐφαρμόζει τοῦτο ἐφ' ἡμῶν τε καὶ Λατίνων, οἵτινες κοινῶς ὁμολογοῦμεν τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα ἕνα Θεόν · καὶ πάντα ὅσα ὁ Πατὴρ, ταῦτα καὶ ὁ Υἱός · καὶ ὅσα ὁ Πατὴρ καὶ ὁ Υἱὸς, ταῦτα καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἓν τε δυνάμει καὶ κυριότητι καὶ ἐξουσίᾳ καὶ θεότητι, τηρουμένων τῶν ἰδιοτήτων ἀκινήτων;

ΕΦΕΣ.

Ἀλλὰ τί, φησὶ, δράσομεν πρὸς τοὺς μέσους τούτους Γραικολατίνους, οἱ τὴν μεσότητα περιέποντες, τὰ μὲν ἐπαινοῦσι τῶν Λατινικῶν ἐθῶν καὶ δογμάτων ἀναφανδὸν, τὰ δ' ἐπαινοῦσι μὲν, ἀλλ' οὐκ ἂν ἔλοιντο, τὰ δ' οὐδ' ἐπαινοῦσιν ὅλως ; Φευκτέον αὐτοὺς, ὡς φεύγει τις ἀπὸ ὄφεως · ὡς αὐτοὺς ἐκείνους, ἢ κἀκείνων πολλῷ δήπου χείρονας τοὺς Χριστοκαπήλους καὶ Χριστεμπόρους. Οὗτοι γάρ εἰσι, κατὰ τὸν θεῖον Ἀπόστολον, *οἱ πορισμὸν ἡγούμενοι τὴν εὐσέβειαν* · περὶ ὧν ἐπάγει λέγων · Ἀφίστασο ἀπὸ τῶν τοιούτων · οὐ γὰρ ἵνα μάθωσιν, ἀλλ' ἵνα λάθωσι πρὸς ἐκείνους αὐτομολοῦσι. Ποία δὲ κοινωνία φωτὶ πρὸς σκότος, ἢ συμφώνησις Χριστῷ πρὸς Βελίαρ ; Ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου ;

ΑΠΟΛ.

Ἐνταῦθα οὐδεμία ἀπολογίας χρεία · ὕβρεις γὰρ καθ' ἡμῶν προφέρει θυμούμενος μᾶλλον καὶ ὀργιζόμενος. Εἴτε οὖν καλῶς λέγει, εἴτε μὴ, αἱ προαναγεγραμμέναι ἀπολογίαι δηλοῦσι, καὶ ἔτι αἱ ὁδῷ προβαίνουσαι · καὶ ὁ νοῶν νοήσει.

ΕΦΕΣ.

Ἡμεῖς μὲν γὰρ μετὰ τοῦ Δαμασκηνοῦ καὶ τῶν Πατέρων ἁπάντων, ἐκ τοῦ Υἱοῦ δὲ Πνεῦμα οὐ λέγομεν · οὗτοι δὲ μετὰ τῶν Λατίνων ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα λέγουσι.

ΑΠΟΛ.

Καὶ ἡμεῖς μετὰ τοῦ ἁγίου Δαμασκηνοῦ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα οὐ λέγομεν, ἀλλὰ καὶ ἐκ τοῦ Υἱοῦ · διότι ὁ συμπλεκτικὸς σύνδεσμος περίστησι μάλα καλῶς καὶ ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ · τὸ δ' ἐκ τοῦ Υἱοῦ ἀπολελυμένως λέγειν, προκαταρκτικὸν αἴτιον τὸν Υἱὸν τίθησιν, ὅπερ ὁ Εὐνόμιος καὶ οἱ κατὰ τὸν Εὐνόμιον ἐφρόνουν. Ἡμεῖς δὲ μετὰ τοῦ Δαμασκηνοῦ

[29] Matth. XIII. 31. [30] I Joan. III, 2. [31] Joan. X, 30. [32] I Tim. IV, 15.

καὶ τῶν Πατέρων ἁπάντων καὶ ἐκ τοῦ Υἱοῦ, καὶ διὰ τοῦ Υἱοῦ λέγομεν· τὸ μὲν γάρ ἐστιν Εὐνομίου, ἐκ μόνου τοῦ Υἱοῦ τὸ Πνεῦμα λέγοντος, καὶ βαθμοὺς θεοτήτων εἰσάγοντος· τὸ δὲ, Καὶ ἐκ τοῦ Υἱοῦ, τῶν Πατέρων ἐστὶ φωνή. Ἀλλὰ καὶ ἐξηγητὴν τῶν ἑαυτοῦ λόγων τὸν Δαμασκηνὸν Ἰωάννην διασαφοῦντα τὰ ἑαυτοῦ προεκομίσαμεν, καὶ καλῶς τὴν διασάφησιν τὴν περὶ τούτου πεποιήκαμεν ἐν τοῖς ἔμπροσθεν.

A ex Filio et per Filium. Illud enim asserebat Eunomius, nimirum ex solo Filio; qui gradus etiam deitatum inducebat. Vox autem, Et ex Filio, accepta est a Patribus. Certe nos Joannem Damascenum protulimus verba sua exponentem, suique ipsius interpretem; et satis hoc in antecedentibus declaravimus.

ΕΦΕΣ.

Καὶ ἡμεῖς μὲν μετὰ τοῦ θείου Διονυσίου μόνην πηγὴν τῆς ὑπερουσίου θεότητος τὸν Πατέρα λέγομεν, οὗτοι δὲ μετὰ τῶν Λατίνων καὶ τὸν Υἱὸν πηγὴν τοῦ ἁγίου Πνεύματος λέγουσιν, ἐκβάλλοντες αὐτὸ δηλαδὴ τῆς θεότητος.

EPHES.

Et nos quidem cum sancto Dionysio solum superessentialis deitatis fontem dicimus Patrem; isti vero cum Latinis Filium quoque fontem Spiritus sancti affirmant, excludentes nimirum a deitate Spiritum.

ΑΠΟΚ.

Ἡσαύτως, καὶ ἡμεῖς μετὰ τοῦ θείου Διονυσίου καὶ πάντων τῶν ἁγίων μόνην πηγὴν καὶ ἀρχὴν τῆς θεότητος τὸν Πατέρα ἐγνωμεν, οὐδὲ προεπινοεῖται ταύτης ἄλλη· ἀλλὰ μὴν ἐκ ταύτης τῆς πηγῆς τοῦ Πατρὸς πηγὴν τὸν Υἱὸν γινώσκομεν τοῦ ἁγίου Πνεύματος. Φησὶ γὰρ ὁ πολὺς τὰ θεῖα ὁ μέγας Ἀθανάσιος ἐν τῷ *Περὶ ἐνσάρκου ἐπιφανείας* λόγῳ, οὗ ἡ ἀρχὴ, Οἱ κακοτέχνως τὰς θείας Γραφὰς βουλόμενοι νοεῖν· Οἶδε γὰρ παρὰ τῷ Θεῷ Πατρὶ ὄντα τὸν Υἱὸν πηγὴν τοῦ ἁγίου Πνεύματος· καὶ ὁ μέγας Βασίλειος· Πηγὴ ζωῆς ὁ Υἱός· φησὶ γὰρ ὁ Δαβὶδ πρὸς τὸν Πατέρα· *Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς.* Καὶ πάλιν ἕτερος προφήτης λέγει περὶ τῶν Ἰουδαίων· *Ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος*· ὕδωρ δὲ ζῶν ὀνομάζεται τὸ Πνεῦμα τὸ ἅγιον· περὶ οὗ ὁ Κύριος εἴρηκεν ἐν τοῖς Εὐαγγελίοις· *Ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος*· τοῦτο δὲ ἔλεγε περὶ τοῦ Πνεύματος, ὃ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν. Δι' ὧν δείκνυσι σαφῶς πηγὴν τοῦ ζῶντος ὕδατος ἤτοι τοῦ Πνεύματος ὄντα τὸν Υἱόν. Καὶ ὁ Χρυσοῦς τὴν γλῶτταν ἐν τῷ λόγῳ τῷ εἰς τὸ μυστήριον τοῦ βαπτίσματος, οὗ ἡ ἀρχὴ, Πάλιν ἡμῖν ἡ τοῦ μακαρίου Δαβὶδ πνευματικὴ κιθάρα, φησί· Διὰ τοῦτο ὁ Σωτὴρ δείκνυσιν ἑαυτὸν πηγὴν ζωῆς, καὶ ὕδωρ ζῶν τὸ Πνεῦμα τὸ ἅγιον. Συμφώνως καὶ ὁ ἅγιος Ἀμβρόσιος ἐν τῷ πρὸς Γρατιανὸν βασιλέα πρώτῳ βιβλίῳ ἐν ιη' κεφαλαίῳ· Τοίνυν ὥσπερ τὸ ῥῆμα τῆς ζωῆς ζωή ἐστιν, οὕτω καὶ τῆς ζωῆς τὸ Πνεῦμα ζωή ἐστι. Δέχου δή, ὅτι καθάπερ ὁ Πατὴρ πηγὴ ζωῆς ἐστιν, οὕτω καὶ τὸν Υἱὸν ὅτι πλεῖστοι πηγὴν ζωῆς ἐμνημόνευσαν σημαινόμενον, ὅτι παρὰ σοὶ, φησὶ, Θεὲ παντοδύναμε, ὁ Υἱός σου πηγὴ ζωῆς ἐστι, τουτέστι πηγὴ τοῦ ἁγίου Πνεύματος· ὅτι Πνεῦμα ζωή ἐστι, καθὼς ὁ Κύριος φησί· *Τὰ ῥήματα ἃ ἐγὼ ἐλάλησα ὑμῖν, πνεῦμά εἰσι καὶ ζωή.* Καὶ γὰρ ὅπου τὸ πνεῦμα, καὶ ζωή· καὶ ὅπου ζωὴ, καὶ τὸ Πνεῦμα τὸ ἅγιόν ἐστι. Πολλοὶ μέντοι ἐν τῷδε τῷ χωρίῳ τὸν Πατέρα βούλονται μόνον πηγὴν σημαίνεσθαι, καίπερ ὁρῶντες τί ὑπέμνησεν ἡ Γραφή· *Παρὰ*

B

RESP.

Et nos pariter cum sancto Dionysio (17) et sanctis omnibus solum fontem et principium deitatis novimus Patrem, et nullum alium illi præintelligi; verum ex fonte hoc, nempe Patre, Filium scimus fontem sancti Spiritus. Ait enim rerum divinarum peritissimus Athanasius Magnus, in oratione de Dei Verbi in carne apparitione, quæ incipit: Qui divinas Scripturas malitiose volunt intelligere: Novit enim apud Deum Patrem Filium esse fontem sancti Spiritus. Et Basilius Magnus, Fons, inquit, vitæ est Filius. Dicit enim David ad Patrem: *Quoniam apud te est fons vitæ* [31]; et rursus alius propheta de Judæis: *Me dereliquerunt fontem aquæ vivæ* [32]; aqua vero viva nominatur sanctus Spiritus, de quo Dominus in Evangelio: *Qui biberit ex aqua, quam ego dabo ei, flumina de ventre ejus fluent aquæ vivæ* [33]; hoc autem dicebat de Spiritu, quem accepturi erant credentes in eum. Per quæ manifesto docet, Filium esse fontem aquæ vivæ, videlicet Spiritus. Aurei quoque oris Pater sermone in sacramentum baptismi, cujus initium: Rursus nobis beati David spiritalis cithara, Propteres, inquit, Salvator ostendit se fontem vitæ, et viventem aquam esse Spiritum sanctum. Similiter et sanctus Ambrosius, libro primo ad Gratianum imperatorem, capite decimo octavo: Itaque, inquit, sicut verbum vitæ vita est, ita et vitæ Spiritus, vita est. Accipe nunc, quia sicut Pater fons vitæ est, ita etiam Filium plerique fontem vitæ memorarunt significatum, eo quod apud te, inquit, Deus omnipotens, Filius tuus fons vitæ sit, hoc est, fons Spiritus sancti; quia Spiritus vita est, sicut Dominus ait: *Verba quæ ego locutus sum vobis, spiritus et vita sunt* [34]. Quia ubi spiritus, et vita; et ubi vita, etiam Spiritus sanctus. Plerique tamen hoc loco Patrem volunt tantummodo fontem significatum, quanquam videatur quod Scriptura memoraverit: *Apud te*, inquit, *fons vitæ*; hoc est apud Patrem Filius; quoniam Verbum apud Deum, quod erat in principio, et erat apud Deum; sed sive Patrem quis

C

D

[31] Psal. xxxv, 10. [32] Jerem. II, 13. [33] Joan. VII 38. [34] Joan. VI, 64.

(17) Cap. 2 *De divinis nominibus.*

hoc loco, sive Filium intelligat fontem, fontem utique intelligimus non aquæ istius quæ creatura est, sed divinæ illius gratiæ, hoc est Spiritus sancti; ipse est enim aqua viva. Et Gregorius Theologus, orat one in Spiritum, quæ incipit: Et hæc quidem de Filio dicta sint, Oculum, inquit, et fontem et fluvium mente apprehendi; nam hoc idem et aliis in mentem venit. Si ergo quia dicimus, Filium esse Spiritus sancti fontem de fonte, hoc est ipso Patre, secundum hosce divinos sanctosque Patres; ideo Spiritum, ut contendit ipse, a deitate excludimus; certe ipse quoque Filium a deitate excludet, eo quod solus Pater sit Filii et Spiritus sancti fons. Sed quemadmodum ipse hoc ut absurdum negaverit, ita multo aptius veriusque idem de nobis intelligat. Credimus enim in Trinitatem ejusdem essentiæ, potentiæ et deitatis, quanquam injuria sicut in aliis, hac etiam in re nobis obtrectat. καλῶς καὶ ἀληθῶς· καὶ περὶ ἡμῶν νοείτω· εἰς Τριάδα ἕνα, εἰ καὶ ἀδίκως ἡμᾶς καὶ ἐν τούτῳ ὡς καὶ ἐν τοῖς

A σοὶ πηγὴ ζωῆς ἐστι· τουτέστι παρὰ τῷ Πατρὶ ὁ Υἱός· ὅτι ὁ Λόγος πρὸς τὸν Θεὸν, ὃς ἦν ἐν ἀρχῇ. καὶ ἦν πρὸς τὸν Θεόν. Ἀλλ' εἴτε τὸν Πατέρα ἐν τῷδέ τις τῷ χωρίῳ, εἴτε τὸν Υἱὸν νοοίη πηγὴν, πηγὴν πάντως· νοοῦμεν οὐ τούτου τοῦ ὕδατος, ὅπερ κτίσις ἐστὶν, ἀλλὰ τῆς θείας· ἐκείνης γάριτος, δηλαδὴ τοῦ ἁγίου Πνεύματος· αὐτὸ γάρ ἐστι τὸ ὕδωρ τὸ ζῶν. Καὶ Γρηγόριος δὲ ὁ Θεολόγος; ἐν τῷ *Περὶ Πνεύματος* λόγῳ, οὗ ἡ ἀρχὴ, Ὁ μὲν δὴ περὶ τοῦ Υἱοῦ λόγος τοιοῦτος, φησὶν· Ὀφθαλμόν τινα καὶ πηγὴν καὶ ποταμὸν ἐνενόησα, καὶ γὰρ καὶ ἄλλοι. Εἰ οὖν διότι λέγομεν, ὅτι πηγὴ ὁ Υἱὸς τοῦ ἁγίου Πνεύματος ἐκ πηγῆς τοῦ Πατρὸς κατὰ τοὺς ἱεροὺς καὶ θείους τούτους Πατέρας, ἐκβάλλομεν αὐτὸ τῆς θεότητος, ὡς αὐτὸς διισχυρίζεται, πάντως ἂν καὶ αὐτὸς ἐκβάλλοι

B τὸν Υἱὸν τῆς θεότητος διὰ τὸ τὸν Πατέρα μόνον εἶναι πηγὴν τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Ἀλλ' ὅπερ ἂν αὐτὸς ὡς ἄτοπον ἐκφεύγοι, τοῦτο μᾶλλον γὰρ πιστεύομεν ὁμοούσιον καὶ ὁμοδύναμον καὶ Θεὸν ἄλλοις διασύρει.

EPHES.

Et nos quidem cum Gregorio Nazianzeno † Filium a Patre causalitate distinguimus; isti vero cum Latinis causalitate illos conjungunt.

RESP.

Conjungimus Patrem et Filium natura et deitate ut Patrem et Filium, non causalitate. Alioquin ex verbis suis ipse quoque conjunget Filium et Spiritum sanctum, cum sit et dicatur uterque causatus. Unum est, obloqui vult, et causas rimatur quascunque vult, imo vero quascunque fingit. Quare ad minus necessaria multis demonstrationibus non indigemus.

† Idem iste auctor Gregorius protosyncellus in responsione ad confessionem Marci Ephesii, eidem Marco hæc eadem objicienti sic respondet: Nazianzenus vero ubi dixit: Omnia quæ Pater habet, sunt Filii præter causam, intulit: Omnia vero, quæ Filius habet, sunt Spiritus, præter filiationem: causam dicens ratione generationis, ut ipsemet explicat oratione prima *De theologia*: Filius enim, inquit, siquidem ut causam accipias Patrem, non est sine principio; nam Pater est principium, utpote causa. Itaque argumentum Ephesii æquivocatione laborat.

EPHES.

Et nos quidem cum venerabili Maximo et illorum temporum Romanis, et cum Patribus occidentalibus Filium non statuimus causam Spiritus sancti. Isti vero Filium secundum Græcos causam, secundum Latinos principium Spiritus in definitione, seu potius deformatione sua pronuntiant: honoranda quippe est a nobis hoc nomine, cum et formidinis pleni subscriptioni ejus assensum præbuerint.

RESP.

Debebat sane vir præstantissimus integram epistolæ partem exponere, quæ huc spectat; et non

ΕΦΕΣ.

Καὶ ἡμεῖς μὲν μετὰ τοῦ Θεολόγου Γρηγορίου † τῇ αἰτίᾳ διακρίνομεν τοῦ Υἱοῦ τὸν Πατέρα· οὗτοι δὲ μετὰ τῶν Λατίνων τῇ αἰτίᾳ τούτους συνάπτουσιν.

ΑΠΟΛ.

Συνάπτομεν τὸν Πατέρα καὶ τὸν Υἱὸν τῇ φύσει καὶ θεότητι ὡς Πατέρα καὶ Υἱὸν, οὐ τῇ αἰτίᾳ. Εἰ δ' ὡς αὐτὸς λέγει, συνάψει καὶ αὐτὸς τὸν Υἱὸν καὶ τὸ Πνεῦμα, διὰ τὸ ἄμφω αἰτιατὰ εἶναι καὶ λέγεσθαι. Ἓν μόνον ὁρῶμεν, ὅτι βούλεται διασύρειν,

C καὶ πολλὰς ἐννοεῖ αἰτίας ὅσας καὶ βούλεται, μᾶλλον δὲ ὅσας ἀναπλάττει. Διὸ οὐδὲ πολλῶν ἀποδείξεων δεόμεθα εἰς τὰ μὴ ἀναγκαῖα.

† Αὐτὸς οὗτος Γρηγόριος ὁ πρωτοσύγκελλος; ἐν τῇ ἀπολογίᾳ πρὸς τὴν τοῦ Ἐφέσου ὁμολογίαν ἀποκρινόμενος πρὸς τοῦτό φησιν· Ὁ δὲ Θεολόγος εἰπὼν· Πάντα ὅσα ἔχει ὁ Πατὴρ, τοῦ Υἱοῦ, πλὴν τῆς αἰτίας· ἐπιφέρει· Πάντα δὲ ὅσα τοῦ Υἱοῦ, καὶ τοῦ Πνεύματος, πλὴν τῆς υἱότητος· αἰτίαν λέγων ἐνταῦθα τὴν κατὰ τὸ γεννᾶν, καθὼς αὐτὸς διασαφεῖ ἐν τῷ λόγῳ *Περὶ δόγματος καὶ καταστάσεως ἐπισκόπων*· φησὶ γάρ· Ὁ δὲ Υἱὸς, ἐὰν μὲν ὡς αἴτιον τὸν Πατέρα λαμβάνῃς, οὐκ ἄναρχος· ἀρχὴ γὰρ ὁ Πατὴρ Υἱοῦ, ὡς αἴτιος· οὐδὲν ἄρα συμπεραίνει ὁ

D Ἐφέσου, ὁμωνυμίᾳ χρησάμενος.

ΕΦΕΣ.

Καὶ ἡμεῖς μετὰ τοῦ σεπτοῦ Μαξίμου καὶ τῶν τότε Ῥωμαίων καὶ τῶν δυτικῶν Πατέρων οὐ ποιοῦμεν τὸν Υἱὸν αἰτίαν τοῦ Πνεύματος· οὗτοι δὲ κατὰ μὲν τοὺς Γραικοὺς αἰτίαν, κατὰ δὲ τοὺς Λατίνους ἀρχὴν τοῦ Πνεύματος τὸν Υἱὸν ἐν τῷ ὅρῳ αὐτῶν ἀποφαίνονται· τιμᾷν γὰρ αὐτὸν οὕτω δίκαιον γράφοντας, ἐπεὶ καὶ ὀρρωδοῦντες αὐτοὶ τούτῳ συνέθεντο

ΑΠΟΛ.

Ἔδει γὰρ τὸν τίμιον ἄνδρα τοῦτον ὅλον ἐκθεῖναι τὸ μέρος τῆς ἐπιστολῆς τὸ περὶ τούτου φάσκον,

καὶ μὴ τὸ μὲν διὰ τοῦ Υἱοῦ παραδραμεῖν, τὸ δέ· Οὐκ αἰτίαν ποιοῦντας τὸν Υἱὸν σφᾶς αὐτοὺς ἀπέδειξαν· καὶ μόνον προκομίζειν. Ἀλλ' ἡμεῖς τὸ χωρίον ὅλον ἐκθήσομεν, ἵνα καὶ σαφεστέρα γένηται ἡ δήλωσις, ὡσαύτως καὶ ἡ ἀπάντησις. Φησὶ γάρ· Τῶν τοῦ νῦν ἁγιωτάτου πάππα συνοδικῶν οὐκ ἐν τοσούτοις ὅσοις γεγράφατε κεφαλαίοις οἱ τῆς βασιλίδος ἐπελάβοντο, ὀυσὶ δὲ μόνοις· ὧν τὸ μὲν ὑπάρχει περὶ θεολογίας, ὅτι τε, φησὶν, εἶπεν, ἐκπορεύεσθαι κἀκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον· τὸ δ' ἄλλο περὶ τῆς θείας σαρκώσεως. Καὶ μετὰ πάνυ βραχέα· Καὶ τῷ μὲν πρώτῳ συμφώνους παρήγαγον χρήσεις Ῥωμαίων Πατέρων, ἔτι γε μὴν καὶ Κυρίλλου Ἀλεξανδρείας ἐκ τῆς πονηθείσης αὐτῷ εἰς τὸν εὐαγγελιστὴν Ἰωάννην ἱερᾶς πραγματείας· ἐξ ὧν οὐ τὸν Υἱὸν αἰτίαν ποιοῦντας τοῦ Πνεύματος σφᾶς αὐτοὺς ἀπέδειξαν. Μίαν γὰρ ἴσασιν Υἱοῦ καὶ Πνεύματος τὸν Πατέρα αἰτίαν, τοῦ μὲν κατὰ γέννησιν, τοῦ δὲ κατ' ἐκπόρευσιν· ἀλλ' ἵνα τὸ δι' αὐτοῦ προϊέναι δηλώσωσι, καὶ ταύτῃ τὸ συναφὲς τῆς οὐσίας καὶ ἀπαράλλακτον παραστήσωσιν. Οὐκ ἔδει οὖν τὸν αἰδέσιμον ἄνδρα τοῦτον λέγειν τὸ, Ἐκ μόνου· ἰδοὺ γὰρ προφανῶς καὶ ἀριδήλως ὁ ἅγιος Μάξιμος μαρτυρεῖ, ὡς οἱ ἅγιοι Πατέρες οἱ τῆς Ἑσπέρας μετὰ καὶ τοῦ θείου Κυρίλλου καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι τὸ ἅγιον Πνεῦμα θεολογοῦσιν. Εἰ οὖν καὶ ἐκ τοῦ Υἱοῦ, δῆλον ὡς οὐκ ἐκ μόνου τοῦ Πατρὸς, ὡς αὐτὸς πολλάκις εἴρηκε. Περὶ δὲ τοῦ, οὐκ αἰτίαν τὸν Υἱὸν ποιοῦντας, τουτέστιν οἷαν ὁ Εὐνόμιος ἔλεγεν, ὡς καὶ ἐν τοῖς ἔμπροσθεν ἐδηλώσαμεν· καὶ γὰρ αἰτίαν κυρίως οἱ ἅγιοι τὴν ἀρχοειδῆ καὶ προκαταρκτικὴν εἰώθασι λέγειν, καθὼς καὶ ὁ Θεολόγος Γρηγόριος δηλοῖ ἐν τῷ εἰς τὸν κατάπλουν τὸν ἀπ' Αἰγύπτου, φάσκων οὕτως· Θεὸς ἐν τρισὶν ἵσταται τοῖς μεγίστοις, αἰτίῳ, καὶ δημιουργῷ, καὶ τελειοποιῷ, τῷ Πατρὶ λέγω καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι. Τί οὖν, οὐκ αἴτιος ὁ Υἱὸς τῆς τοῦ κόσμου δημιουργίας; Πῶς οὖν φαμεν ἐν τῇ ὁμολογίᾳ τῆς πίστεως, *Δι' οὗ τὰ πάντα ἐγένετο*; Ἀλλ' ὁ Θεολόγος καὶ ὁ Βασίλειος τὸ, αἴτιος, ἐπὶ μόνου τοῦ Πατρὸς ἔφησαν. Ἀλλ' οὐδὲ μάτην ὁ θεῖος Μάξιμος τὸ, Δι' αὐτοῦ προϊέναι, ἐπιφέρει· ἐπεὶ ἀδύνατον διὰ τοῦ Υἱοῦ προϊέναι, καὶ μὴ καὶ τὸν Υἱὸν αἴτιον ὑπάρχειν τῆς τοῦ Πνεύματος ἐκπορεύσεως. Τοῦτο καὶ Γρηγόριος ὁ Νύσσης μάλα καλῶς βεβαιοῖ ἐν τῷ κατ' Εὐνομίου ἀντιῤῥητικῷ αὐτοῦ λόγῳ πρώτῳ, λέγων οὕτως· Εἰ μὲν οὖν χρονικὴν ἔμφασιν ὑπερτίθη τῆς τοῦ Μονογενοῦς ὑποστάσεως ὁ τὸν Πατέρα τοῦ Υἱοῦ μόνῳ τῷ τῆς αἰτίας λόγῳ προθεωρῶν, εἰκότως ἂν ὁ τῆς ἀϊδιότητος ἡμῖν περὶ τοῦ Υἱοῦ λόγος ἐκινδυνεύετο. Καὶ μετά τινα· Ὡς γὰρ συνάπτεται τῷ Πατρὶ ὁ Υἱὸς, καὶ τῷ ἐξ αὐτοῦ εἶναι οὐχ ὑστερίζει κατὰ τὴν ὕπαρξιν· οὕτω πάλιν τοῦ Μονογενοῦς ἔχεται τὸ Πνεῦμα τὸ ἅγιον, ἐπινοίᾳ μόνῃ κατὰ τὸν αἰτίας λόγον προθεωρουμένου τῆς τοῦ Πνεύματος ὑποστάσεως. Καὶ Βασίλειος ἐν τῷ πρὸς Ἀμφιλόχιον ἐν τῷ ις' κεφαλαίῳ, οὗ ἡ ἐπιγραφὴ, *Ὅτι ἀχώριστον ἐπὶ πάσης ἐννοίας Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα*,

illud, Per Filium, præterire silentio; illas vero tantum vocas afferre, Ostenderunt a se Filium non statui causam Spiritus sancti. Ergo nos locum integrum exponemus, ut res clarius intelligatur, et objectioni dilucidius respondeatur. Ait igitur: In synodicis sanctissimi papæ, qui nunc præest, litteris non tot capita, ut scripsistis, regiæ urbis incolæ notarunt, sed duo tantum; quorum alterum ad divina spectat, quod Spiritum sanctum aiunt etiam ex Filio procedere dixerit, alterum vero ad incarnationem. Et paucis admodum interjectis: Et in primum quidem consonas Romanorum Patrum attulere sententias, nec non Cyrilli Alexandrini ex sacris ejus in Joannem commentariis; per quas evidenter ostenderunt, sese non statuere Filium Spiritus sancti causam (unam quippe norunt causam Filii et Spiritus Patrem, illius per generationem, hujus per processionem), sed voluisse significare Spiritum produci per Filium; et hac ratione probare essentiæ nulla cum varietate communionem. Non ergo debebat egregius hic vir usurpare vocem, Ex solo. En quippe sanctus Maximus aperte palamque testatur, sanctos Patres Occidentales una cum sancto Cyrillo asserere Spiritum sanctum etiam ex Filio procedere; quod si etiam ex Filio, constat, non ex Patre solo, quod sæpe dictum ab ipso est. Porro autem voces illæ, sese Filium non statuere causam, intelligendæ sunt de causa qualem ponebat Eunomius, quemadmodum declaravimus. Causam enim proprie primordialem sancti Patres nuncupare solent, ut Gregorius Nazianzenus docet oratione ad eos qui ex Ægypto adnavigarunt, his verbis: Deus in tribus hisce maximis subsistit, causa, creatore et perfectore, Patre, inquam, et Filio, et Spiritu sancto. Anne igitur Filius non erit auctor creationis mundi? Quomodo ergo in fidei confessione dicimus: *Per quem omnia facta sunt?* Verum Nazianzenus et Basilius causæ nomen soli Patri tribuunt. Nec vero frustra divinus Maximus infert verba illa, Per ipsum produci; cum impossibile sit per Filium procedere, quin sit et ipse Filius causa processionis Spiritus. Hoc idem egregie admodum confirmat etiam Gregorius Nyssenus prima sua oratione inter eas, quibus confutat Eunomium, per hæc verba: Nam si spatium temporis ante personam unigeniti statueret, qui Patrem Filio præintelligit sola causæ prioritate, jure profecto nobis Filii æternitas periclitaretur. Et paulo post: Quemadmodum enim conjunctus est Patri Filius, nec est illo posterior, quod ab ipso sit: ita et Spiritus sanctus Unigenitum sequitur, sola mentis consideratione antecedente Filio hypostasin Spiritus ratione causalitatis. Et Basilius in libro ad Amphilochium, capite decimo sexto, cui titulus: *Quod inseparabilis sit Spiritus sanctus a Patre et Filio in quovis rerum conceptu.* Comprehende, inquit, animo Patrem, rerum quæ fiunt primordialem causam, creatricem Filium, perfectricem Spiritum sanctum. Hi omnes causalitatem referunt ad Patrem, cum

Filius etiam horum omnium causa sit : aut certe negent, in his dictis Filio tribui causam, et corrigant errorem errore. Sed clariora sunt dicta illa sanctorum, quibus ex Filio etiam dicitur esse Spiritus sanctus, quæ sanctus Maximus agnoscit, asserentia Filium esse causam non aliam a Patre ; nam quidquid habet Filius, naturaliter a Patre habet. Ita sanctus Cyrillus in illud Joannis, *Et ego rogabo Patrem*, Bona, inquit, naturalia Dei Patris, cum essentialiter communia sibi Filius habeat, habet etiam Spiritus ea ratione, qua Pater illum habere intelligitur, non ascititium, aut extrinsecus advenientem, stulti enim, aut potius insani fuerit ita sentire, sed quemadmodum unusquisque nostrum suum in seipso continet spiritum, et ex intimis visceribus foras emittit : nam propterea etiam corporaliter insufflavit Christus, ut ostenderet, ita ex divina essentia divino modo effundi, quod ex ipsa est, quemadmodum ex ore humano spiritus corporeus exhalatur. Cum igitur Spiritus sit Dei Patris et Filii, cur non eadem sit illis potestas, sive conjunctim, sive separatim intelligantur ? Pater enim est Pater, non Filius, et Filius non Pater, sed Filius. Attamen Pater in Filio, et Filius in Patre. Idem sanctus Cyrillus exponens illud Joelis prophetæ, *Effundam de Spiritu meo* [36], Nam qua, inquit, Filius Deus est, et ex Deo naturaliter ; natus enim est de Deo Patre ; proprius ipsius, et in ipso, et ex ipso est Spiritus, non secus ac de ipso Deo Patre intelligitur. Et beatus Leo papa primo in Pentecosten sermone, qui incipit : Hodiernam solemnitatem, dilectissimi, hæc habet : Cum Spiritus sanctus Patris Filiique sit Spiritus, non sicut quæcunque creatura, quæ et Patris et Filii est, sed sicut cum utroque vivens et potens, et sempiternus, et ex eo quod est Pater Filiusque, subsistens.

καὶ Πατρός. Καὶ ὁ μακάριος Λέων ὁ πάππας ἐν τῷ εἰς τὴν Πεντηκοστὴν πρώτῳ λόγῳ, οὗ ἡ ἀρχὴ, Τὴν σήμερον πανήγυριν, ἀδελφοὶ ποθεινότατοι, οὕτω φησί· Τὸ δὲ Πνεῦμα τὸ ἅγιον Πατρὸς καὶ Υἱοῦ Πνεῦμα ὄν, οὐχ ὡς τι τῶν κτισμάτων, ἅπερ Πατρὸς εἰσι καὶ Υἱοῦ ἀλλ' ὡς μετ' ἀμφοτέρων ζῶν καὶ δυνάμενον, καὶ ἀϊδίως ἐκ τούτου ὅπερ ἐστὶν ὁ Πατὴρ καὶ ὁ Υἱὸς ὑφιστάμενον.

Et sanctus Hilarius in sermone, qui legitur post Pentecosten, die festo sanctæ Trinitatis, ita loquitur : Credimus in sanctam Trinitatem, hoc est Patrem et Filium et Spiritum sanctum, unum Deum omnipotentem, unius essentiæ, unius naturæ, unius potestatis, opificem creaturarum omnium ; ex quo omnia, per quem omnia, in quo omnia ; Patrem a se ipso, non ab alio ; Filium ex Patre genitum, Deum verum de Deo vero, lumen verum de lumine vero, non duo lumina, sed unum lumen ; Spiritum sanctum a Patre et Filio æqualiter procedentem. Et beatus Augustinus quinto de Trinitate, sic ait : Si ergo et quod datur, in principium habet eum, a quo datur : quia nonaliunde accepit illud, quod ab ipso procedit, fatendum est Patrem et Filium principium esse Spiritus sancti, non duo principia. Sed sicut Pater et

Καὶ ὁ ἅγιος Ἱλάριος ἐν τῷ λόγῳ τῷ μετὰ τὴν Πεντηκοστὴν ἀναγινωσκομένῳ ἐν τῇ ἑορτῇ τῆς ἁγίας Τριάδος οὕτω φησί· Πιστεύομεν εἰς τὴν ἁγίαν Τριάδα, τουτέστι τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα, ἕνα Θεὸν παντοδύναμον, μιᾶς οὐσίας, μιᾶς ὑπάρξεως, μιᾶς ἐξουσίας, δημιουργὸν πάντων τῶν κτισμάτων· ἐξ οὗ πάντα, δι' οὗ πάντα, ἐν ᾧ πάντα· Πατέρα ἀφ' ἑαυτοῦ, ἀλλ' οὐκ ἀφ' ἑτέρου· Υἱὸν ἐκ τοῦ Πατρὸς γεννητὸν, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, φῶς ἀληθινὸν ἐκ φωτὸς ἀληθινοῦ, οὐ μὴν δύο φῶτα, ἀλλ' ἓν φῶς· Πνεῦμα ἅγιον παρὰ Πατρὸς καὶ Υἱοῦ ἐπίσης ἐκπορευόμενον. Καὶ ὁ μακάριος Αὐγουστῖνος ἐν τῷ πέμπτῳ περὶ Τριάδος τοιάδε φησίν· Εἰ τοίνυν καὶ ὃ δίδοται ἀρχὴν ἔχει τοῦτον, ἀφ' οὗ δίδοται, καὶ γὰρ οὐκ ἀλλοθεν ἔλαβεν ὃ παρ' αὐτοῦ ἐκπορεύεται, ὁμολογητέον ἐστὶ τὸν

[36] Joel II, 28.

Πατέρα καὶ τὸν Υἱὸν ἀρχὴν εἶναι τοῦ ἁγίου Πνεύ- A
ματος, οὐ δύο ἀρχάς· ἀλλὰ καθάπερ ὁ Πατὴρ καὶ ὁ
Υἱὸς εἷς Θεὸς, καὶ πρὸς τὴν κτίσιν ἀναφορικῶς εἷς
κτίστης καὶ εἷς Κύριος, οὕτως ἀναφορικῶς πρὸς τὸ
Πνεῦμα τὸ ἅγιον μίαν ἀρχὴν, καθάπερ πρὸς τὴν
κτίσιν ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἀρχὴ μία εἰσὶν, ὥσπερ εἷς δημιουργὸς καὶ εἷς
Κύριος.

Filius unus Deus, et ad creaturam relative unus creator et unus Dominus : sic relative ad Spiritum sanctum unum principium : ad creaturam vero Pater et Filius et Spiritus sanctus unum principium, sicut unus creator et unus Dominus.

Δέδεικται σαφῶς, ὅτι αἱ χρήσεις, ἃς μαρτυροῖ ὁ
θεῖος Μάξιμος, καὶ τὸν Υἱὸν αἴτιον τῆς τοῦ Πνεύ-
ματος ὑπάρξεως μαρτυροῦσιν. Ὅτι δὲ διὰ τῶν δύο
ῥῥ λέγει τιμᾶν τὸν ὅρον (οὕτω γὰρ, φησὶ, τιμᾶν
αὐτὸν δίκαιον· καὶ τὰ ἑξῆς), πρῶτον μὲν θαυμάζω
τὴν τοῦ ἀνδρὸς εὐλάβειαν, καὶ ὅτι οὐκ οἶδεν ὅσον
τιμῆς ἄξιον τὸ θεῖον ὄνομα. Εἰ γὰρ τὰ ὑπὸ τοῦ
Δαθὰν καὶ Ἀβειρὼν κατασκευασθέντα εἰς ὑπουρ-
γίαν καὶ λατρείαν Θεοῦ ὁ θεόπτης Μωϋσῆς οὐκ
ἠθέλησε κοινὰ εἶναι, διὰ τὸ ἅπαξ εἰς ὑπουργίαν B
Θεοῦ καὶ λατρείαν ὀνομασθῆναι· τοῦτο γὰρ καὶ ὁ
Θεὸς τῷ θεράποντι αὐτοῦ ἐνετείλατο· αὐτὸς ἐν τῷ
ὄρῳ τὸ τοῦ Θεοῦ φρικτὸν ὄνομα περιέχοντι Πατρὸς
καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος πολλαχοῦ μηδ' ὅλως
εὐλαβηθεὶς τοιαῦτα ἐρεύγεται; Ἀλλ' ἡμεῖς πάντο-
θεν τὸ σεμνὸν περιποιούμενοι ἐν ταῖς ἀπολογίαις,
ἀναπολόγητον τοῦτο ἐῶμεν, ὥσπερ καὶτἆλλα, ἅπερ
ὑπὸ θυμοῦ καὶ ὀργῆς, ὡς ἔοικε, κινούμενος λέγει,
μηδ' ὅλως διὰ τῶν ἐλέγχων ἁπανταχῦ βουλόμενοι·
μόνην γὰρ τὴν ἀλήθειαν φανεροῦν ἐθέλοντες, τἆλλα
παρορῶμεν, ἅπερ οὐ πρὸς αὐτὴν φέρουσιν, ἀλλὰ
πρὸς μόνην ἐπίδειξιν.

Perspicue ostensum est, dicta sanctorum, quibus sanctus Maximus dat testimonium, etiam Filio tribuere causalitatem subsistentiæ Spiritus. Quod vero definitionem quæ ὅρος Græce dicitur, honorandam esse ait per duplex ρρ, scribendo ὄρρον, hoc est extremam caudam (ita enim, inquit, illam honorari æquum est, etc.), primum quidem miror pietatem hominis; quodque ignoret, Dei nomen quanto sit in honore habendum. Nam si vasa a Dathan et Abiron conflata ad ministerium et cultum Dei, Moses ille divino aspectu dignatus noluit esse communia, quod semel fuerint Dei ministerio et cultui dicata (ita enim Deus ipse famulo suo mandaverat), quomodo vir iste in definitionem, quæ continet et sæpe repetit formidabile Dei nomen, Patris et Filii et Spiritus sancti, nihil veritus talia eructat? Verum nos respondendo, ubique modestiam sectantes, nihil ad hoc dicimus, ut ad alia quoque ab ipso per bilem plane et iracundiam prolata, quæ redarguere non est in animo : solam quippe veritatem denudare volentes, cætera parvipendimus quæ non eo tendunt, sed ostentationem præ se ferunt.

ΕΦΕΣ.

Καὶ ἡμεῖς μὲν μετὰ τοῦ φιλοσόφου καὶ μάρτυρος C
Ἰουστίνου, ὡς ὁ Υἱὸς ἐκ τοῦ Πατρὸς, οὕτω καὶ τὸ
Πνεῦμα ἐκ τοῦ Πατρὸς λέγομεν· οὗτοι δὲ μετὰ τῶν
Λατίνων τὸν μὲν Υἱὸν ἀμέσως, τὸ δὲ Πνεῦμα ἐμ-
μέσως ἐκ τοῦ Πατρὸς λέγουσι. Καὶ ἡμεῖς μὲν μετὰ
τοῦ Δαμασκηνοῦ καὶ τῶν Πατέρων ἁπάντων τὴν
διαφορὰν τῆς γεννήσεως καὶ ἐκπορεύσεως ἀγνοεῖν
ὁμολογοῦμεν· οὗτοι δὲ μετὰ τοῦ Θωμᾶ καὶ τῶν Λα-
τίνων τῷ ἐμμέσῳ καὶ ἀμέσῳ διαφέρειν φασὶ τὰς
προόδους.

EPHES.

Et nos quidem cum Justino philosopho et martyre dicimus : Quemadmodum ex Patre Filius, ita etiam ex Patre Spiritus ; isti vero cum Latinis Filium quidem immediate, Spiritum vero ex Patre mediate asserunt. Et nos quidem cum Damasceno et cunctis Patribus differentiam generationis et processionis ignorare fatemur ; isti vero cum Thoma et Latinis mediatione et immediatione hanc differre aiunt productiones.

ΑΠΟΛ.

Καὶ ἡμεῖς ἐκ τοῦ Πατρὸς λέγομεν τὸν Υἱὸν καὶ
τὸ Πνεῦμα, πλὴν τοῦ τρόπου τῆς ὑπάρξεως, ὡς
αὐτὸς πάλιν ὁ ἅγιος, κἂν αὐτὸς τοῦτο παρέδραμεν.
Εἰ γὰρ καὶ ἀμφοτέρων ὁ Πατὴρ αἴτιός ἐστιν, ἀλλὰ
τοῦ μὲν ἔστι κατὰ γέννησιν, τοῦ δὲ κατ' ἐκπό- D
ρευσιν· καὶ τοῦ μὲν ὡς γεννήτωρ, τοῦ δὲ ὡς προ-
βολεύς· καὶ τοῦ μὲν προσεχῶς καὶ ἀμέσως, δηλαδὴ
τοῦ Υἱοῦ ἐκ τοῦ Πατρὸς, τοῦ δὲ διὰ τοῦ προσεχῶς
ἐκ τοῦ Πατρὸς, τουτέστιν ἐμμέσως καὶ διὰ τοῦ
Υἱοῦ, τουτέστι τοῦ Πνεύματος. Κα. ταῦτα μαθόντες
οὐ παρὰ Λατίνων, ὡς αὐτός φησιν, ἀλλὰ ἀμφότερα
ἀπὸ τῶν τῆς Ἐκκλησίας διδασκάλων. Καὶ ὁ μὲν
Γρηγόριος ὁ Θεολόγος, Τὸ τῆς ἐκφάνσεως διάφορον,
φησὶ, διάφορον καὶ τὴν κλῆσιν πεποίηκεν. Ὁ δὲ
Νύσσης Γρηγόριος ἐν τῷ πρὸς Ἀβλάβιον λόγῳ
φησί· Τὸ μὲν γάρ ἐστι προσεχῶς ἐκ τοῦ πρώτου,

RESP.

Nos quoque Filium et Spiritum ex Patre dicimus, diverso tamen subsistendi modo, ut ipsemet sanctus exprimit, licet iste hoc transilierit (18). Etsi enim Pater est causa utriusque, tamen illius per generationem, hujus vero est per processionem : et illius quidem ut genitor, hujus vero ut productor : et illius quidem proxime et immediate, scilicet Filii ; hujus vero per illum qui proxime ex Patre est, hoc est, mediate, et per Filium, sancti videlicet Spiritus. Et hæc ipsi non a Latinis didicimus, ut iste ait, sed utrumque ab Ecclesiæ doctoribus. Nam Gregorius Nazianzenus (19), Diversus, inquit, productionis modus diversam quoque appellationem fecit. Et Gregorius Nyssenus, in tractatu ad Ablabium. Ille enim est, inquit, proxime a primo ; hic vero per illum qui proxime est a pri-

(18) In Expositione fidei.

(19) Orat de Spiritu sancto.

mo : ut certa maneat et Filio ratio unigeniti, et Spiritus ex Patre sine dubio sit ; nam quia Filius medius est, et sibi rationem unigeniti integram servat, et Spiritui naturalem cum Patre conjunctionem non adimit. Cyrillus quoque, in *Thesauris*, Generat, inquit, Filium Pater nullo exsistente intermedio. Idem rursus in illud, *Omnia per ipsum facta sunt*, Intelligimus, inquit, Patrem simul cum Filio exsistere propter invariationem essentiæ, summamque inter illos absque ullo medio habitudinem. Magnus præterea Athanasius, sermone contra Arianos, cujus initium tale est : Ariani, ut videre est, cum semel statuerint, Non, inquit, Spiritus conjungit Patri Verbum, sed potius a Verbo Spiritus hoc accipit. Et sanctus Basilius, sermone secundo contra Eunomium, Ut enim, ait, stulta esset interrogatio, si quis, an sit aliquid ingenito principioque carente Patre anterius, quæreret : ita hic etiam si quis de eo quærat, qui coæternus Patri est, inter quem et genitorem nihil intervenit medium. Hos igitur secuti doctores utrumque affirmamus ; et si reprehendere nos vult, reprehendat adhuc. Certe digniores et ipse et alii testes habebunt, quos ipsi proferimus, quam dicta sua et ipse et alii. Propterea voces illas *mediate*, et *immediate*, apte admodum vereque usurpamus, sequentes doctrinam sanctorum, quamvis ipsi non probentur.

A

B

EPHES.

Et nos quidem increatæ et divinæ naturæ increatam dicimus et voluntatem et operationem, ut Patres docent : isti vero cum Latinis et Thoma voluntatem quidem idem esse dicunt atque essentiam, sed divinam operationem creatam asserunt, sive illa nuncupetur deitas, sive divinum et immateriale lumen, sive Spiritus sanctus, sive quiddam aliud ejusmodi. Atque ita deitatem creatam, et creatum lumen divinum, et creatum Spiritum sanctum colunt improbæ creaturæ.

C

RESP.

Nos et Latini ex sanctorum Patrum et Gregorii Nazianzeni doctrina (quem Dei stabilimentum vocant ; et jure quidem optimo, propter eminentem scientiam dogmatumque altitudinem) profitemur eum ipso, quæ profert in oratione, quam discedens Constantinopoli habuit his verbis. Creatura igitur Dei vocetur, nam hoc etiam nobis magna res est ; Deus autem minime. Aut certe tunc admittam rem creatam esse Deum, cum et ipse fuero proprie Deus. Res enim ita se habet. Si Deus est, creatura non est ; nostri enim ordinis est creatura, qui dii non sumus ; si vero creatura, Deus non est, habuit enim initium temporis ; quod autem habuit initium temporis, aliquo tempore non erat. Quod vero tale est, ut non esse sit illo antiquius, hoc non est proprie dictum ens. Quod autem non est proprie dictum ens, quomodo fuerit Deus ? Nulla igitur ex tribus personis creatura est ; neque quod pejus est, facta propter me ; ne non solum creatura, sed

D

ΕΦΕΣ.

Καὶ ἡμεῖς μὲν τῆς ἀκτίστου καὶ θείας φύσεως ἄκτιστον καὶ τὴν θέλησιν καὶ τὴν ἐνέργειαν εἶναί φαμεν κατὰ τοὺς Πατέρας· οὗτοι δὲ μετὰ Λατίνων καὶ τοῦ Θωμᾶ τὴν μὲν θέλησιν ταυτὸν τῇ οὐσίᾳ, τὴν δὲ θείαν ἐνέργειαν κτιστὴν εἶναι λέγουσι, κἂν τε θεότης ὀνομάζοιτο, κἂν τε θεῖον καὶ ἄϋλον φῶς, κἂν τε Πνεῦμα ἅγιον, κἂν τί τι τοιοῦτον ἕτερον· καὶ οὕτω κτιστὴν θεότητα, καὶ κτιστὸν θεῖον φῶς. Καὶ κτιστὸν Πνεῦμα ἅγιον τὰ πονηρὰ πρεσβεύουσι κτίσματα.

ΑΠΟΛ.

Ἡμεῖς καὶ Λατῖνοι τοῖς θείοις Πατράσιν ἀκολουθοῦντες καὶ Γρηγορίῳ τῷ Θεολόγῳ, ὃν καὶ συστατικὸν τῆς πίστεως ὀνομάζουσι· καὶ γὰρ οὕτως ἔχει διὰ τὸ περιὸν τῆς σοφίας, καὶ τὸ τῶν δογμάτων ὕψος· σὺν αὐτῷ ὁμολογοῦμεν, ὡς ἐν τῷ συντακτηρίῳ ἀποφαίνεται· Κτίσμα δὲ Θεοῦ μὲν λεγέσθω, μέγα γὰρ ἡμῖν καὶ τοῦτο, Θεὸς δὲ μηδαμῶς. Ἤ τότε δέξομαι κτίσμα εἶναι Θεὸν, ὅταν κἀγὼ γένωμαι κυρίως Θεός. Ἔχει γὰρ οὕτως· εἰ μὲν Θεὸς, οὐ κτίσμα, μεθ' ἡμῶν γὰρ τὸ κτίσμα τῶν οὐ θεῶν· εἰ κτίσμα δὲ, οὐ Θεὸς, ἤρξατο γὰρ χρονικῶς· ὃ δὲ ἤρξατο, ἦν ὅτε οὐκ ἦν· οὗ δὲ πρεσβύτερον τὸ οὐκ ἦν, τοῦτο οὐ κυρίως ὄν· τὸ δὲ μὴ κυρίως ὂν πῶς Θεός ; Οὔτε οὖν κτίσμα τῶν τριῶν οὐδὲν, οὔτε, ὃ τούτου χεῖρον δι' ἐμὲ γενόμενον, ἵνα μὴ κτίσμα ᾖ μόνον, ἀλλὰ καὶ ἡμῶν ἀτιμότερον. Πῶς οὖν ἡμεῖς τὸ μὴ ἀρξάμενον χρονικῶς ἐν τῇ μακαρίᾳ Τριάδι ἐννοήσομεν κτιστόν ; Καὶ ὁ Θεῖος Βασίλειος ἐν τοῖς *Ἀντιῤῥητικοῖς*, ἐν κεφαλαίῳ, οὗ

ἡ ἐπιγραφὴ, Περὶ τοῦ ἁγίου Πνεύματος, φησὶν, ὅτι τὰ κοινὰ τῆς κτίσεως ἀκοινώνητα τῷ ἁγίῳ Πνεύματι, καὶ τὰ ἴδια τοῦ Πνεύματος ἀκοινώνητα τῇ κτίσει, ἐξ ὧν συνάγεται μὴ εἶναι κτίσμα τὸ Πνεῦμα· ὅτι τὰ κοινὰ τῷ Πατρὶ καὶ τῷ Υἱῷ, ταῦτα κοινὰ καὶ τῷ Πνεύματι· ὅτι ἐν οἷς χαρακτηρίζεται Θεὸς ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἐν τῇ Γραφῇ, ἐν αὐτοῖς χαρακτηρίζεται καὶ τὸ Πνεῦμα τὸ ἅγιον· ἐξ ὧν συνάγεται τῆς αὐτῆς θεότητος τὸ Πνεῦμα τῷ Πατρὶ, ὅτι τὰ μόνῳ προσόντα τῷ Πατρὶ ὡς Θεῷ καὶ οὐχ ὡς Πατρὶ, καὶ τῷ Υἱῷ ὡς Θεῷ, ταῦτα μόνῳ πρόσεστι καὶ τῷ Πνεύματι, οὐκ ἔτι δὲ καὶ τῇ κτίσει, ὡς τὰ ἀκοινώνητα ὀνόματα καὶ πράγματα τῇ κτίσει μόνῃ κοινὰ τῇ Τριάδι· ἐξ ὧν συνάγεται ὁμοούσιος ἡ Τριάς.

A nobis etiam inhonoratior sit. Quomodo igitur nos, quod nullum habuit initium temporis, in sancta Trinitate creatum opinemur? Et sanctus Basilius in opusculis contra Eunomium capite cui titulus *De Spiritu sancto*: Communia, inquit, creaturæ non sunt communicabilia sancto Spiritui; et quæ sunt Spiritus sancti propria, non sunt creaturæ communicabilia; ex quibus colligitur, Spiritum non esse creaturam. Quod ea quæ sunt Patri et Filio communia, sunt ipsi quoque Spiritui communia: quod notis, per quas Pater et Filius Deus in Scriptura designatur, iisdem quoque describitur Spiritus sanctus. Unde concluditur, eamdem esse Patri et Spiritui deitatem, quod ea quæ soli Patri insunt ut Deo non ut Patri, quæque Filio ut Deo, soli quoque insunt Spiritui, non autem creaturæ; qualia sunt nomina et res creaturæ incommunicabiles, uni Trinitati communes; ex quibus Trinitatis consubstantialitas probatur.

Οὕτω δοξαζόντων ἡμῶν, πῶς τοιαῦτα φθέγγεται; Τίς οὖν ἐστι ὁ δοξάζων, ὡς αὐτός φησι, κτίσμα τὸ Πνεῦμα, δι' οὗ θεούμεθα; Τοσοῦτον οἴεται ἀμαθαίνειν ἡμᾶς περὶ τὴν εὐσέβειαν, ὡς κτίσμα λατρεύειν; Ὁ κτίσμα λατρεύων μὴ ἴδῃ ἑωσφόρον ἀνατέλλοντα, ὡς φησιν ὁ Θεολόγος Γρηγόριος· οὐδὲν γὰρ κτιστὸν ἐν τῇ ἁγίᾳ καὶ μακαρίᾳ Τριάδι τῇ ἀπαραλλάκτῳ καὶ ἀμερίστῳ οὐσίᾳ καὶ ἐνεργείᾳ ἐννοοῦμεν· τοῦτο γὰρ ἀλλότριον τῆς τοῦ Χριστοῦ Ἐκκλησίας.

B Cum nos ita sentiamus, cur iste talia loquitur? Quis vero opinatur, ut ipse ait, Spiritum, per quem deificamur, esse creaturam? An tanta nos censet ignorantia religionis laborare, ut creaturæ latriam offeramus? Qui latriam creaturæ offert, non videat Luciferum orientem, ut verbis utar Gregorii Nazianzeni (20): etenim in sancta beataque Trinitate, quæ sine ulla varietate una indivisa est essentia et operatio, nihil plane creatum intelligimus; alienum quippe id est ab Ecclesia Christi.

ΕΦΕΣ.

Καὶ ἡμεῖς μὲν οὔτε τοὺς ἁγίους ἀπολαβεῖν τὴν ἡτοιμασμένην αὐτοῖς βασιλείαν καὶ τὰ ἀπόῤῥητα ἀγαθὰ, οὔτε τοὺς ἁμαρτωλοὺς εἰς τὴν γέενναν ἐμπεσεῖν ἤδη φαμέν· ἀλλ' ἐκδέχεσθαι τὸ ἴδιον ἑκατέρους κλῆρον, καὶ εἶναι τοῦτο καιροῦ τοῦ μέλλοντος μετὰ τὴν ἀνάστασιν καὶ τὴν κρίσιν. Οὗτοι δὲ μετὰ τῶν Λατίνων τοὺς μὲν αὐτίκα μετὰ θάνατον ἀπολαβεῖν ἤδη τὰ κατ' ἀξίαν ἐθέλουσι, τοῖς δὲ μέσοις, εἴτουν τοῖς ἐν μετανοίᾳ τετελευτηκόσι, πῦρ αὐτοὶ καθάρσιον ἑτερόν τι τῆς γεέννης ὑπάρχον ἀναπλάσαντες ἀποδιδοῦσιν, ἵνα δι' αὐτοῦ, φησὶ, καθαιρόμενοι τὰς ψυχὰς μετὰ θάνατον ἐπὶ τὴν βασιλείαν καὶ αὐτοὶ μετὰ τῶν δικαίων ἀποκατασταθῶσι· τοῦτο δὲ καὶ ὁ ὅρος αὐτῶν περιέχει.

C EPHES.

Et nos quidem nec sanctos dicimus paratum sibi regnum obtinuisse et arcana illa bona, nec peccatores jam esse in gehennam contrusos; sed utrosque esse in expectatione sortis, quæ illos manet; idque pertineret ad futurum tempus post resurrectionem et judicium. Isti vero cum Latinis hos quidem statim post mortem pro meritis volunt aut præmio, aut pœna jam esse affectos: medios vero, hoc est illius qui non sine pœnitentia decesserunt, ignem ipsi purgatorium confingentes diversum a flammis gehennæ assignant; ut per illum, ut ainnt, purgatis animabus post mortem, ii quoque cum justis cœlesti regno fruantur. Hæc enim continet definitio ipsorum.

ΑΠΟΛ.

Ἐνταῦθα καὶ ἑαυτῷ ὁ αἰδέσιμος οὗτος ἐν προοιμίοις ἀντιλέγει, καὶ οὐ μόνον ἑαυτῷ, ἀλλὰ καὶ πᾶσι τοῖς ᾠδομένοις ἐπ' ἐκκλησίας, καὶ πᾶσι τοῖς ἁγίοις. Διὸ χρεών ἐστι πρότερον τὰ αὐτοῦ προσθεῖναι, μετὰ δὲ ταῦτα καὶ ὀλίγα τινὰ ἐκ τῶν ἁγίων. Οἱ ἐν τῇ περιωνύμῳ νήσῳ Κρήτῃ ἠξίωσαν αὐτὸν τὸν αἰδέσιμον Ἐφέσου λόγον ποιῆσαι, ἵνα ἀναγινώσκωσιν ἐν τῇ ἐτησίᾳ μνήμῃ τοῦ ἁγίου Ἠλίου. Ὁ δὲ δεξάμενος τὴν οὐκ ἀμισθον παράκλησιν, τὴν μὲν ἀπὸ τοῦ ἁγίου, τὴν δὲ καὶ ἀπὸ τοῦ οἴνου μετὰ οὐτωσί πως ὀνομαζομένου βαρελίου, λόγον ἐποίησεν, οὗ ἡ ἀρχὴ,

D RESP.

Hic non modo secum venerabilis hic vir principio pugnat, sed etiam cum omnibus quæ in ecclesia canuntur, et universis plane sanctis. Quapropter ejus verba prius afferenda sunt; postea e sanctis citanda pauca. Incolæ celeberrimæ insulæ Cretæ rogaverant hunc ipsum venerabilem Ephesi præsulem, ut sermonem scriberet, quem annua sancti Eliæ celebritate in officio legerent. Annuit ille, petitionique eorum satisfaciens non absque mercede, tum a sancto ipso exigenda, tum exacta per vinum in vase, quod vulgo barile vocant, scri-

(20) Orat. de Spiritu sancto.

psit sermonem, cujus principium tale est: Opus profecto esset nobis sermo granditate verborum turgidus atque in cœlestia pervolans, dum cupimus per eum una cum sancto Dei aspectu dignato sublimia petere. In hoc ipso igitur verba hæc habet: Ego vero licere quidem ipsi, sicut et animabus sanctorum, quocunque voluerit, per tempus sese conferre, sibique dicata templa invisere, atque ad eos accedere, qui ejus opem implorant, necessarium arbitror et verum esse; non tamen propterea dixerim abesse illum a cœlis et micantibus illic splendoribus, aut cum angelis et ipsum non assistere Domino; ita enim fieret, ut cæteris sanctis minus haberet, qui fere omnibus anteit, si quia carnem gestat, orbatus esset eorum consortio, et clara Dei visione non frueretur, cujus præcipue fruitione non caruit per totum vitæ curriculum. Testimonio mihi est illud etiam, quod in eum his verbis canit Ecclesia: Propheta Christi præco tu nunquam a sede majestatis abjungeris, et singulis ægrotantibus semper ades, in excelsis fundens pro omnibus preces, orbi terrarum beneficia tribuis, et laudibus ubique celebraris. En vir eximius palam aperteque asseverat sanctos frui clara Dei visione, et sanctum Eliam vel cum ipso corpore hujusmodi visione non deflci. Doceat ergo nos, an paratum regnum et arcana illa bona diversum quid sint a clara Dei visione, ita enim fruitio illa erit visione Dei quid majus. At nemo sanctorum ad hanc diem dixit, esse quidpiam, quod una visione Dei plus conferat ad fruitionem: sicut etiam nemo dixit, quod ipse asserit, in hujus scilicet vitæ curriculo ejusmodi visionem concedi. Quod vero sancti Deum clare nunc videant, congruenter vereque affirmat; habet enim hujus rei testes et alios, nempe sanctos, inter quos Patrem doctoremque Joannem Chrysostomum, qui in illo sermone, cujus inscriptio est: *Quod peccatores deplorandi sint, quodque dormientibus magnam afferant utilitatem sacrificia pro illis oblata:* initium vero sermonis tale: Mors, fratres, res est indifferens, Gaudeamus, inquit, propter justos non solum superstites, sed etiam vita functos. Illi dum adhuc hanc lucem aspiciunt, miserandi omnibus sunt, quoniam offendunt, hi vero ubi etiam illuc migraverint, beati sunt, quoniam evolarunt ad Christum. Peccatores ubicunque fuerint, procul a rege sunt, et propterea deflendi; justi autem sive hic, sive ibi vitam agant, cum rege sunt: atque ibi propius conjunctiusque, non per speculum, non per fidem, sed coram ipsum intuentes. Et Gregorius Nazianzenus ad finem sermonis in sanctum Cyprianum, Et radiantem, inquit, fulgorem sanctæ Trinitatis, cui nunc astas. Idem fusius de hac ipsa re in funebri oratione in sororem. At quid opus est afferre multa testimonia? Nam in tractatu, quem de hac materia edidimus, copiosius explicatiusque disseruimus, apologiam

A Ἔδει μὲν ἀληθῶς ἡμῖν οὐρανοδρόμου τοῦ λόγου, συνεπαρθῆναι δι' αὐτοῦ τῷ θεόπτῃ προθυμουμένοις· ἐν τούτῳ φησίν· Ἐγὼ δ' ὅτι μὲν ἔξεστιν αὐτῷ, καθάπερ καὶ ταῖς τῶν ἁγίων ψυχαῖς, ὅποι ποτὲ βούλεται κατὰ καιρὸν ἐπιχωριάζειν, ναοῖς τε οἰκείοις ἐμφιλοχωρεῖν, καὶ τοῖς ἑκάστοτε δεομένοις ἐπιφοιτᾷν, ἀναγκαῖόν τε ἡγοῦμαι καὶ ἀληθὲς εἶναι· οὐ μὴν διὰ ταῦτα φαίην ἂν αὐτὸν τῶν οὐρανῶν ἀπολείπεσθαι, καὶ τῆς ἐκεῖσε λαμπροφορίας, καὶ μετὰ τῶν ἀγγέλων δεσποτικῆς παραστάσεως· ἦ γὰρ ἂν ἧττον εἶχε τῶν ἄλλων ἁγίων ὁ ὑπὲρ πάντας σχεδὸν, εἴ γε διὰ τὸ τὴν σάρκα φορεῖν ἀφειστήκει τῆς μετ' αὐτῶν κοινωνίας καὶ τῆς τοῦ Θεοῦ πρὸς πρόσωπον θεωρίας, ἧς καὶ παρὰ πάντα τὸν βίον ἐξαιρέτως ἀπήλαυσε. Μαρτυρεῖ μοι τῷ λόγῳ καὶ τὸ εἰς αὐτὸν παρὰ τῆς B Ἐκκλησίας ᾀδόμενον οὕτως ἔχον· Προφῆτα κήρυξ Χριστοῦ τοῦ θρόνου τῆς μεγαλωσύνης οὐδέποτε χωρίζῃ, καὶ ἑκάστῳ ἀσθενοῦντι ἀεὶ παρίστασαι, ἐν τοῖς ὑψίστοις λειτουργῶν τὴν οἰκουμένην εὐλογεῖς πανταχοῦ δοξαζόμενος. Ἰδοὺ λαμπρῶς καὶ προφανῶς ὁ τίμιος οὗτος τῆς πρὸς πρόσωπον θεωρίας τοῦ Θεοῦ τοὺς ἁγίους ἀπολαύειν διισχυρίζεται, καὶ τὸν ἅγιον Ἠλίαν καὶ μετὰ τοῦ σώματος τῆς τοιαύτης ἀξιοῦσθαι θεωρίας φάσκει. Εἰ οὖν ἄλλο τί ἐστὶν ἡ ἡτοιμασμένη βασιλεία καὶ τὰ ἀπόῤῥητα ἀγαθὰ εἰ μὴ ἡ τοῦ Θεοῦ θεωρία ἡ πρόσωπον πρὸς πρόσωπον, ἐμφανισάτω ἡμῖν· ἔσται γὰρ ἐκείνη μείζων τῆς θεωρίας αὐτοῦ τοῦ Θεοῦ ἡ ἀπόλαυσις. Ἀλλ' οὐδεὶς τῶν ἁγίων μέχρι καὶ τήμερον τοῦτ' εἴρηκεν, ὅτι ἔστι τι μεῖζον εἰς ἀπόλαυσιν, εἰ μὴ μόνη ἡ τοῦ C Θεοῦ θεωρία. Ἀλλὰ καὶ τὸ παρὰ τοῦτον τὸν βίον τοιαύτης ἀξιοῦσθαι θεωρίας, ὡς αὐτός φησιν, οὐδεὶς εἴρηκε· τὸ δὲ πρόσωπον πρὸς πρόσωπον ὁρᾷν τοὺς ἁγίους νῦν τὸν Θεὸν καλῶς καὶ ἀληθῶς λέγει· ἔχει γὰρ καὶ ἄλλους τῶν ἁγίων λέγοντας τοῦτο, ἀλλὰ καὶ τὸν Πατέρα καὶ διδάσκαλον Ἰωάννην τὸν χρυσοῦν τὴν γλῶτταν· φησὶ γὰρ ἐν τῷ λόγῳ, οὗ ἡ ἐπιγραφή· *Ὅτι τοὺς ἁμαρτωλοὺς δεῖ θρηνεῖν καὶ ὅτι μεγάλως ὠφελοῦσι τοὺς κεκοιμημένους αἱ ὑπὲρ αὐτῶν λειτουργίαι*· ἡ δὲ ἀρχὴ τοῦ λόγου· Θάνατος, ἀδελφοί, τῶν ἀδιαφόρων ἐστί· Χαίρωμεν δὲ ἐπὶ τοῖς δικαίοις μὴ ζῶσι μόνον, ἀλλὰ καὶ τετελευτηκόσιν. Ἐκεῖνοι καὶ ἐνταῦθα ὄντες ἐλεεινοὶ πᾶσίν εἰσιν, ἐπειδὴ προσκρούουσιν· οὗτοι καὶ ἐκεῖ D μεταστάντες μακάριοι, ὅτι πρὸς Χριστὸν ἀπῆλθον· Οἱ ἁμαρτωλοὶ ὅπου ἂν ὦσι πόῤῥω τοῦ βασιλέως εἰσὶ, διὰ τοῦτο καὶ δακρύων ἄξιοι· οἱ δὲ δίκαιοι ἄν τε ἐνταῦθα, ἄν τε ἐκεῖ, μετὰ τοῦ βασιλέως εἰσὶ, κἀκεῖ μᾶλλον καὶ ἐγγύτερον, οὐ διὰ ἐσόπτρου, οὐ διὰ πίστως, ἀλλὰ πρόσωπον πρὸς πρόσωπον. Καὶ Γρηγόριος δὲ ὁ Θεολόγος ἐν τῷ τέλει τοῦ λόγου τοῦ εἰς τὸν ἅγιον Κυπριανὸν φησι· Καὶ τὴν τῆς ἁγίας Τριάδος ἔλλαμψιν, ἧς νῦν παραστάτης (21)· ἔτι πλατύτερον ὁ αὐτὸς περὶ τούτου ἐν τῷ εἰς τὴν ἀδελφὴν ἐπιταφίῳ. Καὶ τί δεῖ πολλὰς εἰσάγειν μαρτυρίας; Ἐν γὰρ τῇ περὶ τούτου πραγματείᾳ πλατύτερον εἴπομεν καὶ σαφέστερον, ὑπεραπολογούμε-

(21) Deest ὑπάρχεις aut quid simile.

νοι τοῦ ἐν τῷ ὄρῳ τετάρτου κεφαλαίου. Καὶ ὁ ἐντυχὼν ἐκείνοις καὶ τὰς λοιπὰς εὑρήσει μαρτυρίας. Εἰ οὖν οἱ ἅγιοι παρίστανται τῇ ἁγίᾳ Τριάδι, καὶ πρόσωπον πρὸς πρόσωπον ὁρῶντες τὸν Θεὸν οὐκ ἀπολαμβάνουσι τελείως, ἀλλὰ ἄλλο τί ἐστιν ἡ ἀπόλαυσις, ἐμφανισάτω αὐτὸς, καὶ ἡμεῖς σιγήσομεν. Ἀλλ' οὐκ ἔχει τι πλέον δεῖξαι, εἰ μὴ τὴν θεωρίαν ταύτην. Ἓν μόνον ἐστὶν, ᾧ οἱ πολλοὶ καὶ διαφωνοῦντας τοὺς ἁγίους νομίζουσιν, ὅτι ποτὲ μὲν τελείως λέγουσιν ἀπολαμβάνειν τοὺς ἁγίους, ποτὲ δὲ οὐ τελείως. Ὅταν γὰρ περὶ τῶν ψυχῶν αὐτῶν ἐννοοῦσι καὶ λέγουσιν, ἀπολαμβάνειν τελείως φασὶν· ὅταν δὲ περὶ τοῦ ὅλου ἀνθρώπου, οὐ τελείως· πῶς γὰρ τῆς κοινῆς ἀναστάσεως μὴ ἐλθούσης τὸ συναμφότερον ἀπολαμβάνοι; Διὸ καθὸ μὲν ψυχαὶ τελείως ἀπολαμβάνουσιν οἱ ἅγιοι, καθὸ δὲ οὐ μόνον ψυχαὶ ἦσαν, ἀλλὰ σώματα ἐνεδέδυντο, οὐ τελείως ἀπολαμβάνουσιν. Ὡς γὰρ εἶδος ἐν τῷ σώματι ἡ ψυχὴ· καὶ ἡ μὲν ὕλη, ὅπερ ἐστὶ τὸ σῶμα, οὔπω ἀνέστη, οὐδ' ἀπέλαβεν· ἡ δὲ ψυχὴ τελείως ἀπολαμβάνει. Ὅτι δὲ τὸ συναμφότερον ἠγωνίσατο, οὔπω τελείως λέγομεν ἀπολαμβάνειν. Ὅταν δὲ ἀπὸ μέρους τὸ πᾶν λογιζόμεθα καὶ τοῦ τιμιωτέρου, τελείως λέγομεν ἀπολαμβάνειν τοὺς ἁγίους. Μαρτυρήσει τοῦτο καὶ ὁ μακάριος Γρηγόριος ὁ Διάλογος ἐν τῷ κεφαλαίῳ τῶν *Διαλόγων*. Ἐπεὶ πῶς ἄλλως ἔχομεν ἐνγοεῖν, ὅτι εἰ μὴ τέλειον ἀπέλαβον τὸν στέφανον ἐν οὐρανοῖς, ἵνα πρεσβεύωσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν; Εἰ γοῦν οὐκ ἀπέλαβον τὸ τέλειον, οὐδὲ πρεσβεύουσιν, ἀλλ' οὐδὲ πρεσβεύσουσιν, ἐν γὰρ τῷ μέλλοντι πρεσβεία οὐκ ἔσται. Ἀλλ' ὅτι καὶ ἐν πυρὶ κολάζονται πρὸ τῆς κοινῆς ἀναστάσεως οἱ μὴ ἐνταῦθα ἱκανοποιήσαντες, ἀπὸ διηγήσεως τῶν Πατέρων καὶ περὶ τούτου ἐμφανέστερον ποιήσομεν. Ἐν τῷ ἐπ' ἐκκλησίας ἀναγινωσκομένῳ λόγῳ, τῷ ἐπιγραφὴν ἔχοντι, Ἰωάννου μοναχοῦ καὶ πρεσβυτέρου τοῦ Δαμασκηνοῦ, μετὰ τῶν ἄλλων τῶν ὁμοίων τούτῳ καὶ τοῦτο περιέχεται· ὅτι τις τῶν θεοφόρων Πατέρων μαθητὴν ἔχων ἐν ἀμελείᾳ βιοῦντα, καὶ τοῦτον πρὸς τὸ τοῦ βίου πέρας ῥᾳθύμως ἐπιφθάσαντα, ὁ πανοικτίρμων καὶ φιλόψυχος Κύριος μετὰ δακρύων αἰτησαμένου τοῦ γέροντος, ὡς κατὰ τὸν Λάζαρον πλούσιον, ἐν τῇ φλογὶ καιομένου μέχρι τοῦ τραχήλου ὑπέδειξεν· ὡς ἐντεῦθεν πολλὰ τοῦ ἁγίου πονήσαντος, καὶ σὺν δάκρυσι τὸν Θεὸν ἐκλιπαρήσαντος, παντελεύθερον καὶ τοῦ πυρὸς λελυτρωμένον ἐν ὀπτασίᾳ τῷ γέροντι δεδεῖχθαι· διὰ γὰρ τῆς ἀμελείας τὴν κόλασιν ὑπέμεινε, διὰ τοῦτο καὶ εὐίλατος ἡ τοιαύτη ἁμαρτία. Εἰ οὖν τοῦτο ψεῦδος, καὶ τὸ παρὰ Λατίνοις πουργατώριον ψεῦδός ἐστιν· εἰ δὲ τοῦτο ἀληθὲς, ἐπεὶ καὶ τὸ πλήρωμα τοῦ Εὐαγγελίου ἐκ τῶν βίων τῶν ἁγίων Πατέρων πιστεύομεν, πάντως ἀληθῆ εἶσι καὶ ἃ σὺν Λατίνοις λέγομεν, κἂν αὐτὸς ἀπαρέσκηται. Καὶ Μαλαχίας δὲ ὁ προφήτης φησίν· *Ὡς πῦρ ἐν χωνευτηρίῳ, καὶ ὡς ποιὰ πλυνόντων πλυνεῖ καὶ καθαριεῖ ὁ Θεός τινας*. Τὸ πῦρ οὖν ἐκεῖνο τὸ αἰώνιον οὐ καθαριεῖ τινας, οὐδὲ πλυνεῖ.

pro quarto definitionis capite scribentes, quam qui legerit, inveniet aliorum quoque testimoniorum congeriem. Itaque si sanctæ Trinitati assistunt sancti, et coram præsentes Dei faciem intuentur, nec tamen perfecta fruuntur beatitudine, sed alia in re consistit beatitas ostendat ipse, et nos silebimus : verum nihil poterit ostendere visione Dei sublimius. Unum est, in quo sanctos multi dissentire existimant, quod ii modo perfectam dicant a sanctis acquiri beatitudinem, modo vero non perfectam. Nam cum sermo est illis de animabus sanctorum, perfectam aiunt haberi beatitudinem ; cum vero de toto homine, nondum perfectam. Qui enim frui possit utraque hominis conjuncta pars ante communem resurrectionem ? Idcirco sancti, quod attinet ad animas, perfecte beati sunt ; quod vero ad corpora, quibus induti erant, cum non essent nudæ animæ, non sunt perfecte beati. Est enim in corpore anima ut forma, et materia quidem, scilicet corpus, nondum surrexit, nec præmiis affectum est ; anima vero perfectum beatitudinis statum assequitur. Et quoniam homo ex utroque constat, et pars utraque labores sustinuit, ideo nondum perfectam esse dicimus beatitudinem. Cum vero totum a nobiliori intelligimus, completam dicimus a sanctis possideri beatitudinem. Hujus rei testis erit beatus Gregorius papa in libro *Dialogorum* (22). Alioquin qua ratione concipiamus animo, sanctos intercedere pro animabus nostris, si illa perfecta beatitudinis corona sunt redimiti ? Si ergo plenam beatitudinem nondum adepti sunt, nec intercedunt, nec intercedent ; in futuro enim sæculo nulla erit intercessio. Cæterum eos etiam qui in hac vita non satisfecerunt, ignis cruciatum ante communem resurrectionem pati, probabimus ex narratione Patrum. Legitur in ecclesia sermo hac inscriptione, Joannis monachi et presbyteri Damasceni ; in quo cum multa alia consimilia narrentur, habetur hoc etiam, fuisse Patrem quemdam sanctitate conspicuum, qui discipulum haberet vitam negligentius traducentem ; hunc igitur ubi eadem negligentia e vita cessisset, clementissimus animarumque amator Deus ad preces et lacrymas senis, ut alterum evangelicum epulonem, ostendit usque ad cervicem flammis immersum : ut propterea vir sanctus post multum sudorem et lacrymas ad Deum cum precibus fusas, liberum omnino illum et e flammarum pœnis ereptum per visum conspexerit : namque ob negligentiam pœnis fuerat addictus, idcirco veniam hujusmodi peccatum impetravit. Si falsum est hoc, purgatorium quoque, quod Latini asserunt, est falsum. Si verum (nam et ipsi evangelicæ historiæ fidem habemus per ea quæ legimus in Actis sanctorum Patrum), vera profecto erunt, quæ nos cum Latinis dicimus, licet ipsi non probentur. Propheta quoque Malachias, *Quasi ignis*, inquit, *conflans, et quasi herba fullonum purgabit Deus et emundabit*

(22) Lib. IV, c. 2.

quosdam [37]. Atqui ignis ille æternus neminem purgabit, nullius maculas absterget. Quod si peccatoribus ad finem vitæ per solam confessionem pœna omnis remittitur, superflua certe eruni, quæcunque seu manente in vita, seu defuncto pœnitente observanda statuit Ecclesia pro vivis atque defunctis. Illud præterea certum est, peccatores sine pœnitentia decedentes ad æterna migrare supplicia : nam sanctus Maximus Cubicularío scribens sic ait : Quis mei similium, dilectissime, peccatorum sordibus pollutus non paveat sanctorum angelorum præsentiam, a quibus ex hac vita jussu Dei discessurus, vi et iracunde e corpore vel invitus extruditur? Quis sibi conscius scelerum non reformidet ferocissimum et inhumanum impiorum dæmonum occursum, cum eorum unusquisque per aeris spatium miseram animam post egressum ad sese tenacissime pertrahat, et illa manifestis convicta criminibus spem omnem acquirendæ beatitudinis miserabiliter abjiciat? Ita post habitam in aere per spiritualia nequitiæ quæstionem, rationisque supputationem, sequitur præcipitatio ad inferos et incolatus : ubi densissimæ tenebræ et altissimum silentium ; ubi damnatorum animæ pro alimento habent acerbissimos gemitus, et amarissimas lacrymas, et mœrorem in perditissimo statu : omni tempore nihil aliud præstolantes, quam æquo judicio ferendam de meritis suis sententiam. Hanc illis perpetuam tristitiam ac dolorem facit resurrectionis spes, terribilis Christi adventus dies, horroris plenissimus ad tribunal accessus, totius vitæ reddenda ratio, per quam qui ad Christi dexteram stabunt, promissa ineffabilium bonorum præmia consequentur, qui vero ad sinistram, ignem habebunt æternum, et tenebras exteriores, et vermem perpetuo rodentem, et stridorem dentium, et jugiter manentem lacrymam, et semper duraturam ignominiam. Et beatus Gregorius papa libro *Dialogorum* citato (23) ait :

Petrus. Inquisitioni meæ sufficienter jam video satisfactum ; sed hoc est adhuc, quod quæstione animum pulsat ; quia cum superius dictum sit, esse jam sanctorum animas in cœlo, restat procul dubio ut iniquorum quoque animæ esse non nisi in inferno credantur ; et quid hac de re veritas habeat, ignoro. Nam humana æstimatio non habet, peccatorum animas ante judicium posse cruciari.

Gregorius. Si esse sanctorum animas in cœlo sacri eloquii satisfactione credidisti, oportet ut per omnia esse credas et iniquorum animas in inferno. Quia ex retributione æternæ justitiæ, ex qua justi jam gloriantur, necesse est per omnia ut et injusti crucientur. Nam sicut electos beatitudo lætificat, ita credi necesse est, quod a die exitus sui ignis reprobos exurat.

[37] Malach. III, 3.

(23) Lib. IV, c. 28.

Εἰ οὖν οἱ ἁμαρτάνοντες ἀπὸ μόνης ἐξομολογήσεως ἐν τῷ τέλει τοῦ βίου συγχωροῦνται, περισσὰ πάντα ὅσα μετὰ θάνατον ἢ καὶ ζῶντος τοῦ ἐξομολογουμένου ἡ Ἐκκλησία νενομοθέτηκε ποιεῖν ὑπὲρ τῶν ζώντων τε καὶ τεθνεώτων. Ἀλλὰ καὶ οἱ ἀμετανόητως ἀποθνήσκοντες ἁμαρτωλοὶ εἰς κόλασιν ἀπέρχονται. Φησὶ γὰρ ὁ θεῖος Μάξιμος πρὸς Κουβικουλάριον γράφων· Τίς γάρ, ἀγαπητέ, τῶν κατ' ἐμὲ ῥύπος ἁμαρτημάτων κατεστιγμένος οὐ φοβεῖται τὴν τῶν ἁγίων ἀγγέλων ἐπιστασίαν, ὑφ' ὧν κατὰ τὴν θείαν ψῆφον τῆς παρούσης ζωῆς τὸ πέρας δεχόμενος βίᾳ τοῦ σώματος μετ' ὀργῆς ἐξωθεῖται καὶ μὴ βουλόμενος; Τίς κεκηλιδωμένην ἑαυτῷ συνεπιστάμενος τὴν συνείδησιν, οὐ δέδοικε τὴν ὠμοτάτην τῶν πονηρῶν δαιμόνων καὶ βαρβαρώδη ὑπάντησιν, ἑκάστου τούτων κατὰ τὸν ἀέρα μετὰ τὴν ἔξοδον πρὸς ἑαυτὸν ἀφειδῶς τὴν ἀθλίαν ψυχὴν ἑλκοντος; καὶ τῷ ἐλέγχῳ τῶν αὐτῇ πεπραγμένων τῆς ἐπὶ τοῖς μέλλουσιν ἀγαθοῖς ἐλπίδος ἐλεεινὴν ἀπόγνωσιν; Μετὰ δὲ τὴν γενομένην κατὰ τὸν ἀέρα πρὸς τὰ πνευματικὰ τῆς πονηρίας διάγνωσίν τε καὶ λογοθέτησιν ἡ πρὸς τὸν ᾅδην κατάπτωσις διαδέχεται καὶ παροίκησις· ἐν ᾧ σκότος βαθὺ καὶ βαθυτάτη σιγὴ· τροφὴν ἔχουσαι αἱ ἐκεῖσε καταδεδικασμέναι ψυχαὶ τοὺς δριμυτάτους στεναγμοὺς, καὶ τὰ πικρότατα δάκρυα, καὶ τὴν ἐπὶ τοῖς δεινοῖς κατήφειαν· ἐκδεχόμεναι διὰ παντὸς οὐδὲν ἄλλο ἢ μόνην τὴν ἐπὶ τῇ δικαίᾳ ψήφῳ δικαίαν ἀνταπόδοσιν. Ταύτην οὖν συνίστησιν αὐτοῖς τὴν ἄπαυστον λύπην καὶ ὀδύνην ἡ τῆς ἀναστάσεως ἐλπὶς, ἡ τῆς φοβερᾶς τοῦ Χριστοῦ παρουσίας ἡμέρα, ἡ φρικωδεστάτη παράστασις, ἡ περὶ τῶν βεβιωμένων πάντων ἀπολογία· καθ' ἣν οἱ μὲν ἐκ δεξιῶν τοῦ Χριστοῦ στάντες λήψονται τῶν ἀπορρήτων ἀγαθῶν τὰς ἐπαγγελίας, οἱ δὲ τὴν ἀριστερὰν στάσιν λαχόντες τὸ πῦρ τὸ αἰώνιον, καὶ τὸ ἐξώτερον σκότος, καὶ τὸν ἀκοίμητον σκώληκα, τὸν βρυγμὸν τῶν ὀδόντων, καὶ τὸ διηνεκὲς δάκρυον, καὶ τὴν ἀπέραντον αἰσχύνην. Καὶ ὁ μακάριος Γρηγόριος ὁ Διάλογος ἐν τῷ προμνημονευθέντι λόγῳ τῶν διαλόγων φησίν·

Πέτρος διάκονος. Συντίθεμαι· τοῦτο δὲ ἀκμὴν ἀπορῶ, εἰ καθὼς τὰς τῶν ἁγίων ψυχὰς ἐν τῷ οὐρανῷ εἶναι ἀπεδείχθη, οὕτω καὶ τὰς τῶν ἁμαρτωλῶν ἐν τῷ ᾅδῃ εἶναι πιστευτέον. Τί δὲ περὶ τούτου τοῦ ζητήματος ἡ ἀλήθεια ἔχει ἀγνοῶ· ἡ γὰρ τῶν πολλῶν ὑπόληψις οὐκ ἔχει τὰς τῶν ἁμαρτωλῶν ψυχὰς πρὸ τῆς κρίσεως δύνασθαι τιμωρεῖσθαι.

Γρηγόριος. Ἐὰν τὰς τῶν ἁγίων ψυχὰς ἐν τῷ οὐρανῷ εἶναι ἐπίστευσας, δέον ἐστὶν ἵνα καὶ τὰς τῶν ἀδίκων ψυχὰς ἐν τῷ ᾅδῃ εἶναι ἐκ παντὸς πιστεύσῃς. Ἐκ γὰρ τῆς ἀνταποδόσεως τῆς ἀϊδίου δικαιοσύνης, ἐξ ἧς οἱ δίκαιοι δοξάζονται, ἀναγκαῖον καὶ ἀκόλουθόν ἐστιν, ἵνα καὶ οἱ ἄδικοι πάντως κολάζωνται. Καθάπερ γὰρ τοὺς ἐκλεκτοὺς ἡ μακαριότης εὐφραίνει, οὕτω πιστεύειν χρὴ ὅτι καὶ τοὺς ἀδίκους ἀπὸ τῆς ἡμέρας τῆς ἐξόδου αὐτῶν τὸ πῦρ καταφλέγει.

Ἰδοὺ δέδεικται σαφῶς, ὅτι καὶ οἱ ἀμετανοήτως ἀποθνήσκοντες εἰς κόλασιν ἀπέρχονται, ἐκδεχόμενοι καὶ τὴν ἐπένδυσιν τῶν σωμάτων, ἵνα τὸ συναμφότερον κολάζηται, ὅτε καὶ τελεία λέγεται κυρίως καὶ ἔστιν ἡ ἀπέραντος κόλασις. Οὐ χρεία οὖν τοῦ λοιποῦ ἐπιδεικνύειν περὶ τούτου, ἀρκούντων τῶν εἰρημένων· εἰ δὲ καὶ τούτοις οὐ πεισθήσεται, οὐδ' ὅσα ἄν τις εἴπῃ, πεισθήσεται.

Perspicue ostensum est, eos qui sine pœnitentia diem suum obeunt, migrare ad pœnas luendas, exspectantes interim suorum assumptionem corporum, ut pars utraque supplicia ferat; quando revera perfecta est et dicitur futura sine fine pœnarum exactio. Quare non opus est probare hoc pluribus, cum sint satis quæ attulimus: quibus si fidem habere noluerit, nec etiam habebit aliis, quantumvis multa congeramus.

ΕΦΕΣ.

Καὶ ἡμεῖς μὲν ἀποστρεφόμεθα τὸ Ἰουδαϊκὸν ἄζυμον, τοῖς ἀποστόλοις κανονίζουσιν ὑπακούοντες· οὗτοι δὲ ἐν τῷ αὐτῶν ὅρῳ σῶμα Χριστοῦ τὸ παρὰ τῶν Λατίνων ἱερουργουμένων ἀποφαίνονται.

EPHES.

Et nos quidem Judaicum azymum aversamur, obtemperantes apostolorum canonibus; isti vero in sua definitione, quod Latini sacrificant, Christi corpus esse affirmant.

ΑΠΟΚ.

Ὢ; ἔοικεν οὖν ὁ τοῦ Θεοῦ ἄνθρωπος οὗτος ἀγνοεῖ, ὅσον τὸ διάφορον τοῦ Ἰουδαϊκοῦ Πάσχα καὶ τῶν ἀζύμων, καὶ τῆς μυστικῆς ἱερουργίας. Ὁ γὰρ ἀποστολικὸς κανὼν τοὺς μετὰ Ἰουδαίων τὸ Πάσχα τελοῦντας, ὅπερ ἐστὶν ὁ ἀμνὸς καὶ τὰ ἄζυμα, κωλύει· ὅπερ καὶ ἡ ἐν Νικαίᾳ σύνοδος διὰ πολλῆς σπουδῆς εἶχε τοῦτο κατορθῶσαι· ὅπερ καὶ κατορθώσασα τῇ Ἀλεξανδρέων Ἐκκλησίᾳ γράφει· Εὐαγγελιζόμεθα ὑμῖν καὶ περὶ τῆς συμφωνίας τοῦ ἁγιωτάτου Πάσχα, ὅτι ταῖς ὑμετέραις εὐχαῖς κατωρθώθη καὶ τοῦτο τὸ μέρος· ὥστε πάντας τοὺς τῆς Ἑῴας ἀδελφοὺς, τοὺς μετὰ Ἰουδαίων τὸ πρότερον ποιοῦντας, σύμφωνα Ῥωμαίοις καὶ ὑμῖν καὶ πᾶσι τοῖς ἐξ ἀρχῆς μεθ' ἡμῶν φυλάσσουσι, τὸ Πάσχα ἐκ τοῦ δεῦρο μεθ' ἡμῶν ἄγειν. Τελείας οὖν ἀναστάσεως γενομένης ἀτελῶς τινες ἑορτάζοντες ταύτην οὐκ ἐρυθριῶσιν. Αὐτὸς δὲ οὐκ οἶδ' ὅπως εἰπεῖν, προσποιούμενος μὴ εἰδέναι ὅσα τε λέγουσιν οἱ ἅγιοι, καὶ μάλιστα ὅτι ὁ Χριστὸς τὸ νομικὸν Πάσχα τελέσας, μετὰ δὲ ταῦτα τὴν μυστικὴν ἐκείνην θυσίαν τετέλεκε, καὶ μετέδωκεν αὐτὸς τὴν μυστικὴν καὶ φρικτὴν ἱερουργίαν, καὶ τὰ θεῖα ῥήματα τά· *Τοῦτό ἐστι τὸ σῶμά μου*· καὶ· *Τοῦτό ἐστι τὸ αἷμά μου*· πάντα τὰ τελούμενα κατὰ τὸν δοθέντα παρὰ τῆς Ἐκκλησίας Χριστοῦ ὅρον τε καὶ κανόνα εἰς τὴν τοῦ Ἰουδαϊκοῦ Πάσχα τελετὴν ἀναφέρει, καὶ τὸν κανόνα προβάλλεται. Οὐκ οἶδεν οὖν ὁ τοῦ Θεοῦ ἄνθρωπος, ὡς ἔοικε· κρεῖττον γὰρ τοῦτο λέγειν ἡμᾶς· ἢ οἶδε μὲν, ἑκουσίως δὲ ταῦτα λέγει, ἐξαπατῶν τοὺς ἀφελεστέρους. Ἡμεῖς δέ φαμεν, ὅτι τέσσαρα περιεῖχεν ὁ παλαιὸς νόμος· κριτικὰ, μυστικὰ ἢ τυπικὰ, ἀμφότερα γὰρ ἐν δηλοῦσιν· ἠθικὰ, καὶ σκιώδη. Καὶ τὰ μὲν κριτικὰ ἡμέρωσεν ὁ Κύριος· τὴν γὰρ ἐπὶ μοιχείᾳ κατειλημμένην τοῦ νόμου κελεύοντος λιθοβολεῖν, ὁ Κύριος εἶρηκεν· *Ὅστις οὐχ ἥμαρτε, βαλλέτω λίθον ἐπ' αὐτήν*· καὶ πάλιν· *Ὀδόντα ἀντὶ ὀδόντος*· καὶ τό· *Ὅστις σε ῥαπίσει*. Καὶ τί δεῖ λέγειν κατὰ μέρος, πάντων ταῦτα εἰδότων ἀκριβῶς; Τὰ ἠθικὰ ηὔξησε διὰ τῆς εὐαγγελικῆς διδασκαλίας· ὅπερ θεμέλιον ἔχοντες οἵ τε ἀπόστολοι καὶ οἱ διδάσκαλοι πολλὰ περὶ ἀρετῆς εἶπον, καὶ τὴν κακίαν ἐστηλίτευσαν

RESP.

Nescit profecto bonus iste vir quantum differat inter Judaicum Pascha et azyma, et mysticum sacrificium. Nam apostolicus canon prohibet celebrari Pascha cum Judæis, hoc est agnum et azyma comedi; ad quod etiam Nicæna synodus magnum adhibuit studium, et re feliciter transacta, scripsit Alexandrinæ Ecclesiæ his verbis: Nuntium vobis nuntiamus jucundum de consensione in celebrando sacratissimo die festo Paschæ: nam vestris precibus effectum est, ut fratres quoque omnes Orientales, qui antea cum Judæis Pascha celebrabant, nunc cum Romanis, vobisque, et omnibus qui ab initio hunc morem tenuimus, solemnitatem Paschæ deinceps agant. Perfecta enim resurrectione facta, quidam imperfecte illam celebrantes non erubescunt. Sed nescio quomodo vir iste simulans se ignorare quæ dicuntur a sanctis, et præsertim ut Christus, ubi juxta legis mandatum Pascha peregisset, mysticum illud sacrificium fecerit, tradideritque ipse tremendum rei sacræ mysterium, et divina illa verba: *Hoc est corpus meum*; et: *Hic est sanguis meus*; omnia quæ sunt ex institutione et decreto Ecclesiæ Christi defectit ad Judaici Paschatis celebrationem, et objicit canonem. Versatur ergo plane vir bonus in ignoratione rerum? Satius enim est ita dicere; aut certe non ignorans, sed sciens prudensque ita loquitur ad circumveniendos simpliciores. Nos autem dicimus, in lege fuisse rerum genera quatuor, judicialia, mystica seu figuralia (idem namque per utrumque significatur), moralia, et umbras. Et judicialia quidem a Domino mitiora reddita; nam mulierem in adulterio deprehensam, cum lex juberet lapidibus obrui, Dominus per illa verba dimisit: *Qui sine peccato est, primus in illam lapidem mittat* [38]. Et rursus: *Dentem pro dente* [39]. Et: *Si quis te percusserit* [40]. Et quid attinet referre singula, cum sint omnibus notissima? Moralia per evangelicam aucta prædicationem; quo fundamento innixi apostoli et doctores multa de virtute disseruerunt, et invecti sunt in vitia, illa expellentes, morumque integritatem explicantes, atque in animis hominum inserentes. Figuralia

[38] Joan. VIII, 7. [39] Matth. V, 38. [40] ibid. 39.

vero seu mystica abrogata, circumcisionem, Sabbatum, immolationes animalium, Pascha et agnum. Quapropter Hierosolymis tantum observari illa voluerat, ut facilis esset eorum abrogatio, templo et urbe funditus eversis. Cum enim alibi non esset fas illa servare, certe finem habitura erant. Umbras demum in lucem veritatis fuisse mutatas. Iste autem incruentum tremendumque sacrificium, quod virtute Spiritus et ipsius Christi Patrisque perficitur: indivisa enim sunt opera sanctæ Trinitatis, licet vox illa efficax sit Salvatoris: *Hoc est corpus meum;* et: *Hic est sanguis meus;* qua panis et vinum cum aqua transmutantur in corpus et sanguinem Christi, ut inquit Chrysostomus; ad Judaici Paschatis observationem refert, et canonem perverse interpretatur. At nos mysticas omnes Judæorum cæremonias pro impuris et profanis habemus, ut Chrysostomus etiam in sermonibus contra Judæos habitis apertius probat, inter quas et Pascha numeratur: cum extra templum Hierosolymitanum contra divinum præceptum fiant. De hac materia mystici sacrificii jam antea diximus, nec opus est repetere eadem: quanquam ab ipso coacti hoc loco disputavimus, haud sane libentes, ipse enim causam dedit.

A καὶ ἀπεδίωξαν, τὴν δὲ σεμνότητα ἐτράνωσαν, καὶ ταῖς τῶν ἀνθρώπων ψυχαῖς ἐνεφύτευσαν. Τὰ δὲ τυπικὰ ἃ καὶ μυστικὰ καλοῦσιν ἀπέκοψε· τὴν περιτομήν, καὶ τὸ Σάββατον, καὶ τὰς ζωοθυσίας, καὶ τὸ Πάσχα, καὶ τὸν ἀμνόν. Διὰ τοῦτο καὶ ταῦτα ἐν Ἱεροσολύμοις ἐκέλευσε καὶ μόνον τελεῖσθαι, ἵνα καὶ ῥᾳδίως ἡ κατάλυσις αὐτῶν γένηται, τοῦ ναοῦ καὶ τῆς πόλεως κατασκαφέντων, ἄλλοθεν δὲ μὴ δυναμένων ταῦτα τελεῖν παύσωνται. Τὰ δὲ σκιώδη ἀνεμόρφωσεν, ἀντὶ σκιᾶς τὴν ἀλήθειαν μορφώσας. Αὐτὸς δὲ τὴν ἀναίμακτον καὶ φρικτὴν θυσίαν, τὴν τελειουμένην παρὰ τοῦ Πνεύματος καὶ αὐτοῦ Χριστοῦ καὶ τοῦ Πατρὸς, ὡς ἀδιαιρέτων ὄντων τῶν ἔργων τῆς ἁγίας Τριάδος, εἰ καὶ αὕτη ἡ φωνὴ τοῦ Σωτῆρός ἐστιν, ἡ κελεύουσα· *Τοῦτό ἐστι τὸ σῶμά μου·* καὶ· *Τοῦτό ἐστι τὸ αἷμά μου·* ἡ τὸν ἄρτον, καὶ τὸν οἶνον καὶ τὸ ὕδωρ εἰς σῶμα Χριστοῦ μεταῤῥυθμίζουσα καὶ αἷμα, ὡς φησιν ὁ θεῖος Χρυσόστομος· εἰς τὴν τοῦ Ἰουδαϊκοῦ Πάσχα τελετὴν ἀνάγει, καὶ τὸν κανόνα παρεξηγεῖται. Ἀλλ' ἡμεῖς πάντα τῶν Ἰουδαίων τὰ μυστικὰ ἀκάθαρτα, ὡς καὶ ὁ Χρυσόστομος ἐν τοῖς κατὰ Ἰουδαίων λόγοις τρανότερον παρίστησιν, ὧν ἓν ἐστι καὶ τὸ Πάσχα, ὡς ἔξω τοῦ ναοῦ τοῦ ἐν Ἱεροσολύμοις παρὰ τὴν τοῦ θείου νόμου κέλευσιν τελούμενα. Προείπομεν καὶ περὶ τῆς μυστικῆς ταύτης θυσίας, καὶ οὐ χρὴ περὶ τούτου παλιλλογεῖν· εἰ καὶ ἐνταῦθα ὑπ' αὐτοῦ ἀναγκαζόμενοι λέγομεν, ὅσα δῆτα καὶ λέγομεν καὶ μὴ βουλόμενοι, αὐτὸς γὰρ ὁ αἴτιος.

B

EPHES.

Et nos quidem contra leges, jussa et decreta Patrum dicimus appositum esse Symbolo additamentum. Isti vero licite et rationabiliter factum illud asserunt: adeo norunt veritati et sibi ipsis congruentia dicere.

C

ΕΦΕΣ.

Καὶ ἡμεῖς μὲν ἀθεμίτως, καὶ παρανόμως, καὶ τοῖς Πατράσιν ἐξ ἐναντίου τὴν ἐν τῷ συμβόλῳ προσθήκην γεγενῆσθαί φαμεν· οὗτοι δὲ αὐτὴν θεμιτῶς καὶ εὐλόγως διορίζονται γεγενῆσθαι· τοσοῦτον οἴδασι τῇ ἀληθείᾳ καὶ ἑαυτοῖς συμφωνεῖν.

RESP.

Nos omnem explicationem et declarationem non contrariam sententiæ sanctorum, sed per ipsos potius firmatam, a synodo quovis in loco appositam recipimus. In hac sententia est etiam sanctus Maximus, ut constat ex ejus dialogo cum Eunomiano. Interrogat enim ibi Macedonius Maximum, et: Subscribisne, inquit, expositioni Luciani? *Maximus.* Quid enim est causæ, cur improbata expositione sanctorum Patrum trecentorum decem et octo Nicææ in Bithynia congregatorum, inquiras aliam? — *Macedonius.* Tu vero qua de causa improbas Luciani expositionem? — *Orthodoxus.* Improbo quod addidistis contrarium fidei Patrum. — *Macedonius.* Quasi vos non addideritis ad fidem Nicænam. — *Orthodoxus.* Addidimus, sed non contraria. — *Macedonius.* Omnino addidistis. — *Orthodoxus.* Quæ tunc in disquisitionem non venerant, Patres postea pie exposuerunt. Idcirco nos etiam hujus et aliorum Patrum testimonio fulti asserentium, expositionem sacræ Scripturæ congruentem non esse vetitam, suffragati sumus veritati. An negare ipse poterit, universam sacram Scripturam admittere explanationem? Quare id quod additum est Symbolo urgente necessitate, visum est jure optimo appositum.

D

ΑΠΟΑ.

Καὶ ἡμεῖς πᾶσαν ἀνάπτυξιν καὶ σαφήνειαν μὴ ἐναντίαν οὖσαν τῇ δόξῃ τῶν ἁγίων, ἀλλ' ἐξ αὐτῶν μᾶλλον βεβαιουμένην, παρὰ συνόδου προστεθεῖσαν, ὅπου ἂν προστεθῇ, δεχόμεθα. Τοῦτο καὶ Μάξιμος ὁ θεῖος βεβαιοῖ ἐν τῇ διαλέξει αὐτοῦ τῇ πρὸς τὸν τὰ Εὐνομίου φρονοῦντα. Φησὶ Μακεδόνιος πρὸς τὸν Μάξιμον· Ὑπογράφεις οὖν τῇ ἐκθέσει Λουκιανοῦ; *Μάξιμος.* Τί κατέγνως τῆς ὑπὸ τῶν τιη' Πατέρων ἁγίων τῶν ἐν Νικαίᾳ τῆς Βιθυνίας ἐκτεθείσης, ἵνα καὶ ἄλλην περιβλέψῃς; — *Μακεδόνιος.* Σὺ τί κατέγνως τῆς τοῦ Λουκιανοῦ; — *Ὁ Ὀρθόδοξος.* Κατέγνων τῆς προσθήκης, ἧς προσεθήκατε ἐναντία αὐτῇ. — *Μακεδόνιος.* Ὑμεῖς γὰρ οὐ προσεθήκατε τῇ ἐν Νικαίᾳ; — *Ὁ Ὀρθόδοξος.* Ἀλλ' οὐκ ἐναντία αὐτῇ. — *Μακεδόνιος.* Ὅλως προσεθήκατε. — *Ὀρθόδοξος.* Τὰ τότε μὴ ζητηθέντα νῦν ἡρμήνευσαν οἱ Πατέρες εὐσεβῶς. Διὸ καὶ ἡμεῖς τὴν τούτου μαρτυρίαν ἔχοντες καὶ τῶν λοιπῶν Πατέρων τῶν λεγόντων, ὅτι ἀνάπτυξις οὐ κωλύεται συμφωνοῦσα τῇ ἱερᾷ Γραφῇ, τῇ ἀληθείᾳ συνηγορήσαμεν. Οὐ γὰρ δύναται αὐτὸς ἀντειπεῖν, ὅτι πᾶσα ἡ θεία Γραφὴ ἀνάπτυξιν δεχομένη οὐ κωλύεται· διὸ καὶ τὸ προστεθὲν, ἀνάγκης γενομένης, ἐν τῷ συμβόλῳ δίκαιον ἔδοξε προσκεῖσθαι. Καὶ ἔτι ἐκ τῆς βιβλι-

πανσυλλέκτου Ἀνθολογίας Εὐλογίου πατριάρχου Ἀλεξανδρείας· φησὶ γάρ· Ἀλλὰ γὰρ τῆς αἱρέσεως πάλιν ἡ ἀπόνοια τὴν τετάρτην μέμφεται σύνοδον, ὡς ὅρον ἐκθεμένην, διατεινομένη τὴν τοιαύτην ἐπιχείρησιν ὑπὸ τῆς κατὰ τὴν Ἔφεσον πρώτης συνόδου παντελῶς ἀποκεκωλῦσθαι. Καίτοι γε εἰ κατὰ τὸν λῆρον αὐτῶν ἀπεῖργεν ἡ σύνοδος ἕτερον μηδόλως προάγειν, αὐτὴ καθ' ἑαυτῆς πρὸ τῶν ἄλλων τὴν καταδικάζουσαν ἐξήνεγκε ψῆφον· ὁρίζει γὰρ αὐτὸ τοῦτο τυποῦσα, ἃ μηδετέρα τῶν πρὸ αὐτῆς διωρίσατο. Ἀλλὰ καὶ ἡ καθ' ὑπόστασιν ἕνωσις αὐτῆς ἐστιν ὅρος, ὃ ταῖς πρεσβυτέραις τῶν συνόδων οὐ διώρισται. Ναὶ δὴ καὶ τὴν ἐν Κωνσταντινουπόλει τῶν ρν' ἁγίων Πατέρων ἐξ ὧν αὐτοὶ ληροῦσι παραγράφονται, ἥτις τῶν Πνευματομάχων τὴν αἵρεσιν καθελοῦσα, τῷ κατὰ τὴν Νίκαιαν ἐκφωνηθέντι ὅρῳ τὴν περὶ τοῦ ἁγίου Πνεύματος θεολογίαν προσθεῖσα συνήρμοσεν. Εἰ γὰρ αἱ προλαβοῦσαι προστιθεῖσαι τὸν μῶμον ἐκφεύγουσιν, οὐδ' αἱ μετ' αὐτὰς ἐν τοῖς ὁμοίοις ἀνομοίως ἕξουσι τὴν κατάγνωσιν. Οὕτω τὸ ἀσύνετον πάντα φύρει καὶ διαστρέφει. Καὶ γὰρ ἡ ἐν Ἐφέσῳ σύνοδος πίστιν μὲν ἑτέραν, ἧς ἐναντία τὰ δόγματα πρὸς τὴν ἐν Νικαίᾳ καθέστηκε σύνοδον, παντελῶς ἐκτίθεσθαι διεκώλυσεν· ἀκηράτων δὲ τῶν ἐν αὐτῇ σωζομένων, ἅπερ ὁ καιρὸς ἀπαιτεῖ προστιθέναι αὐτῆς τε γέγονεν ἔργον, καὶ τῶν πραγμάτων ἡ φύσις διδάσκαλος, καὶ τῆς Ἐκκλησίας ὁρᾶται τοῦτο στέργουσα διὰ παντὸς ἡ παράδοσις. Διὸ καὶ κατὰ τὴν Ἀλεξάνδρειαν, οὗπω τῆς οἰκουμενικῆς συγκροτηθείσης συνόδου, τοὺς ἐν αὐτῇ τῶν ἱερέων λογάδας ὁ θεσπέσιος ἀθροισάμενος Κύριλλος, καὶ πίστιν διαθέμενος ἔγγραφον, τῷ Νεστορίῳ διεπέμψατο. Καὶ μετά τινα ἐν τῇ αὐτῇ βίβλῳ Ἐφραιμίου τοῦ Μεγάλου καὶ ταῦτα εὑρήσεις· Πάλιν δὲ ἐπηρεάζουσιν οἱ αἱρετικοὶ τὴν τετάρτην σύνοδον, λέγοντες, ὡς ἐδεδογμάτιστο μηδενὶ ἐξεῖναι προφέρειν, ἢ συγγράφειν, ἢ συντιθέναι, ἢ φρονεῖν πίστιν ἑτέραν, παρ' ἣν ἐξέθετο αὐτή· καίτοι οὐ τοῦτο ἡ σύνοδος διωρίσατο, κἂν ἀναισχύντως οὗτοι καταψεύδωνται· ἀλλὰ τὴν πίστιν, ἣν οἱ τριακόσιοι δέκα καὶ ὀκτὼ ἅγιοι Πατέρες ἐξέθεντο, τιμῶσά τε καὶ θειάζουσα, παρὰ ταύτην ἔφησε μηδενὶ ἐξεῖναι προφέρειν ἑτέραν πίστιν, καὶ τὰ ὑπόλοιπα. Δῆλον δέ ἐστιν ἐξ αὐτῶν μάλιστα τῶν συνοδικῶν φωνῶν, ὧν καὶ μόνων ἀναγινωσκομένων οὐδεμιᾶς ἄλλης δεῖται κατασκευῆς ἡ συστάσεως ἐπιδειχθεῖσα ἡ ἀλήθεια. Καὶ οὐχ ὥρισε μόνον τοῦτο, ἔπραξε δὲ ἄλλως· ἀλλ' ὡς ὥρισεν, οὕτω πανταχοῦ διαπραττομένη γνωρίζεται. Καὶ γὰρ τοὺς τῇ εὐσεβείᾳ προσιόντας οὐκ ἄλλο σύμβολον ἀλλὰ τῶν τιη' ἁγίων ἐκδιδάσκει καὶ παραδίδωσι. Γέλωτα δὲ μᾶλλον καθ' ἑαυτῶν ἡ διαβολὴν τῆς συνόδου καταχέουσιν ἐν οἷς φασιν αὐτὴν ὑπὸ πολλῶν διασύρεσθαι· πόσαι γὰρ τῆς πρώτης καὶ οἰκουμενικῆς ἁγίας συνόδου κατεῖπον σύνοδοι καίτοι ἀρχιερέων οὖσαι πλήρωμα; Τὴν δὲ τῶν ρν' οὐδ' εἰ γέγονε τινὲς τῶν Αἰγυπτίων εἰδέναι ἠθέλησαν. Ἀλλ' ἐάσωμεν τὸ ἀλόγιστον· τῶν γὰρ ἁγίων Πατέρων οὕτω διασαφούντων, καὶ λήρους ἀναισχύντους καὶ ἀλογίστους ταῦτα ἀποφηναμένων τοῖς τὰ τοιαῦτα φθεγγομέ-

A Hoc idem probatur ex Florilegio collectaneorum e libro cujusvis generis Eulogii patriarchæ Alexandrini. Sic enim ait : Rursus hæreticorum amentia de quartæ synodi definitione conqueritur, asseverans primam synodum Ephesinam hoc penitus fieri prohibuisse. Quod si, ut illi nugantur, synodus vetuit quidvis aliud omnino proferri, certe in seipsam prior illa tulit sententiam. Ipsa enim definit quæ nulla prior definiverat synodus : siquidem ipsius auctoritate recepta est vox illa, Hypostatica unio, de qua synodi antiquiores nil sanxerant. Quin et Constantinopolitanum centum quinquaginta sanctorum Patrum concilium pro suis nugis rejiciunt ; a quo profligata hæresis oppugnantium Spiritum, et additis Nicæno Symbolo verbis de sancti Spiritus B divinitate, fides congruenter explicata est. Si enim priores synodi addendo reprehensionem fugiunt, non debent posteriores in similibus dissimiliter vituperationem subire. Ita desipientium mens confundit omnia pervertitque. Nam Ephesina synodus fidem diversam, cujus dogmata fidei Nicænæ adversentur, omnino prohibuit : dum tamen illibata illa servetur, addi poterunt quæ occasio tulerit, sicut ipsamet addidit : hoc et magistra rerum natura docet, et Ecclesiæ usus juxta perpetuam traditionem confirmat. Propterea vir admirabilis Cyrillus, œcumenica synodo nondum celebrata, congregatis provinciæ suæ episcopis, Alexandrinæ fidei scripsit expositionem, quam Nestorio misit. Et infra in C eodem libro verba hæc magni Ephræmii reperies : Rursus hæretici quartam synodum calumniantur dicentes decretum fuisse ante illam, ne cui liceret proferre, aut scribere, aut componere, aut tenere aliam fidem, præter eam quæ erat exposita : quanquam synodus non hoc decreverat, licet impudenter ipsi mentiantur : sed fidem a trecentis decem et octo Patribus expositam summo in honore habens præceperat, ne cui fas esset aliam proferre fidem, et quæ sequuntur. Id certe ex ipsis synodi vocibus maxime constat ; patebit enim ipsa per se veritas nulla probatione indigens, si solum eæ legantur. Nec ita quidem decrevit, aliud vero fecit ; sed illud ubique servavit, quod ab ea decretum fuit. Nam ad veram accedentes religionem non alio D Symbolo, quam a trecentis decem et octo Patribus edito, instituit. Risum vero potius in se movent, quam petunt calumniis synodum, dum aiunt multos illi obtrectare. Nam de prima sancta et œcumenica synodo quot synodi detraxerunt, cum et ipsæ cœtus essent episcoporum? Quid dicam de synodo centum quinquaginta Patrum, de qua Ægyptii quidam, ne si facta quidem fuerit, scire voluerunt? Sed missa faciamus deliramenta : Nam sanctis Patribus ita exponentibus, et nugas hæc esse impudentes verbaque futilia affirmantibus, quid nos ad proferentes ea dicamus? Refellamusne illos, an vero dicta probemus? Utrumque negaverit, quicunque suæ mentis est compos.

νοις, τί ἂν καὶ ἐροῦμεν ἡμεῖς; Ἀντιφθεγξόμεθα τούτοις, ἢ στέρξωμεν τὰ παρ' αὐτῶν λεγόμενα; Οὐκ ἐγωγε οἶμαι, ἐπεὶ πᾶς νοῦ καὶ φρενῶν κύριος.

EPHES. A

Et nos quidem papam ut unum de patriarchis habemus, idque si recte de fide sentiat; isti vero illum Christi vicarium, patrem et doctorem omnium Christianorum magna gravitate pronuntiant.

RESP.

Nec ipsi duos aut tres esse dicimus papam, sed unum patriarcharum: est tamen etiam inter ejusdem ordinis plures unus primarius. Ait enim sanctus Pater Chrysostomus homilia decima septima in Acta apostolorum: Vide, ut etiam inter illos septem unus fuerit præpositus, et primas tenens; nam etsi communis erat ordinatio, majorem tamen ille assecutus est gratiam. Cæterum omnem episcopum dicimus Christi esse successorem, et in cathedra Jesu Dei mei sedentem. Ipse enim dicit: *Qui recipit vos, me recipit* [41], et, *Qui vos audit, me audit* [42]. Et hæc quidem communia sunt; æqualiter enim est in omnibus sacerdotium, quod attinet ad conferendum baptismum, et faciendum sacrificium, et peccata confitentibus dandam absolutionem, et sacrum chrisma conficiendum, et monachum tondendum, et oleum benedicendum, ungendumque ad maculas peccatorum delendas, et sacerdotem per gradus promovendum; eamdem enim vim et easdem vires habet unusquisque ad functiones rerum ecclesiasticarum obeundas; et hoc pro certo habemus, quippe ut acceptum a Patribus. Sed etiam quod de papa dicimus, non ex nobis dicimus. Nam Theodorus Studita scribens ad Michaelem imperatorem nomine omnium hegumenorum, in epistola quæ sic incipit: Nos omnes in unum congregati jussu vestri a Deo coronati imperii, humillimi episcopi et hegumeni: Si quid vero, inquit, dubitat, aut minus solutum credit sacra tuæ mentis excellentia a religioso præsule, jubeat magna sua et a Deo confirmata potentia, ut quæ ad universorum utilitatem zelo rerum divinarum flagrat, a seniore Roma mitti sibi hujus rei declarationem, ut per antiquam traditionem ab initio servatum est. Hæc est, imitator Christi imperator, supremus apex Dei Ecclesiarum, cui primus præsedit Petrus, ad quem Dominus: *Tu es Petrus, et super hanc petram ædificabo Ecclesiam meam; et portæ inferi non prævalebunt adversus eam* [43]. Idem Theodorus in alia epistola ad Naucratium, cujus initium est: Non complebuntur aures meæ vocibus auditionum: Deum, inquit, hominesque in præsenti contestor; sejunxerunt se a corpore Christi, a coryphæa sede, in qua Christus posuit fidei claves; adversus quam non prævaluerunt per omne sæculum, nec prævalebunt usque ad finem sæculi inferi portæ, ora videlicet hæreticorum, sicut promisit ille qui

ΕΦΕΣ.

Καὶ ἡμεῖς μὲν τὸν πάππαν ὡς ἕνα τῶν πατριάρχων λογιζόμεθα, καὶ τοῦτό γε ἂν ὀρθόδοξος ᾖ· οὗτοι δὲ αὐτὸν βικάριον τοῦ Χριστοῦ, καὶ πατέρα, καὶ διδάσκαλον τῶν Χριστιανῶν ἁπάντων μάλα σεμνῶς ἀποφαίνονται.

ΑΠΟΚ.

Ἀλλ' οὐδ' ἡμεῖς ὡς δύο καὶ τρεῖς αὐτὸν λέγομεν, ἀλλ' ὡς ἕνα τῶν πατριαρχῶν· ἀλλὰ καὶ ἐν τοῖς ὁμοταγέσιν ἐστί τις πρωτεύων. Φησὶ γὰρ ὁ θεῖος Χρυσόστομος ἐν τῇ ἑπταικαιδεκάτῃ ὁμιλίᾳ τῶν Πράξεων· Ὅρα πῶς καὶ ἐν τοῖς ἑπτὰ ἦν τις πρόκριτος καὶ τὰ πρωτεῖα εἶχεν· εἰ γὰρ ἡ χειροτονία κοινὴ ἦν, ἀλλ' ὅμως ἐπεσπάσατο χάριν πλείονα. Πάντα δὲ ἀρχιερέα διάδοχον Χριστοῦ λέγομεν, καὶ ἐπὶ τῆς καθέδρας καθήμενον τοῦ Ἰησοῦ μου καὶ Θεοῦ· αὐτὸς γάρ ἐστιν ὁ λέγων· *Ὁ δεχόμενος ὑμᾶς ἐμὲ δέχεται*· καὶ, *Ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει*. Καὶ ταῦτα μὲν κοινῶς πρὸς πάντας· ἐπίσης γὰρ ἡ ἱερωσύνη πρὸς τὸ ὑπουργῆσαι τὸ θεῖον λουτρὸν, καὶ τὴν ἱερὰν μυσταγωγίαν τελέσαι, καὶ συγχώρησιν ἁμαρτιῶν δοῦναι τοῖς ἐξομολογουμένοις, καὶ ἱερὸν χρίσμα τελέσαι, καὶ μοναχὸν ἀποκεῖραι, καὶ ἔλαιον ἁγιάσαι, καὶ χρίσαι πρὸς ἀπόνηψιν ἁμαρτιῶν, καὶ ἱερέα κατὰ βαθμὸν χειροθετῆσαι· καὶ εἰς πάντα τὰ ἐκκλησιαστικὰ τὴν αὐτὴν ἰσχὺν καὶ ἴσην ἕκαστον οἴδαμεν ἔχειν. Καὶ οὕτως ἐγνωμεν ἀκριβῶς παρὰ τῶν Πατέρων ταῦτα λαβόντες. Καὶ ὃ δὲ λέγομεν, οὐκ ἐξ ἡμῶν τοῦτο λέγομεν· φησὶ γὰρ Θεόδωρος ὁ Στουδίτης γράφων πρὸς Μιχαὴλ τὸν βασιλέα ἐκ προσώπου πάντων τῶν ἡγουμένων ἐν τῇ ἐπιστολῇ ἧς ἡ ἀρχὴ, Ἡμεῖς ἐπὶ τὸ αὐτὸ συνελεηλυθότες κατὰ κέλευσιν τῆς θεοστέπτου ὑμῶν βασιλείας, ἐλάχιστοι ἐπίσκοποι καὶ ἡγούμενοι· Εἰ δέ τι ἀμφιβαλλόμενον ἢ ἀπιστούμενον τῇ θείᾳ ὑμῶν μεγαλονοίᾳ διαλύεσθαι παρὰ τοῦ ἀρχιερέως εὐσεβῶς, ἡ μεγάλη καὶ θεοστήρικτος αὐτῆς χεὶρ, ὡς ζηλοτυποῦσα τὰ θεῖα ἐπ' ὠφελείᾳ τοῦ παντὸς, κελευσάτω παρὰ τῆς πρεσβυτέρας Ῥώμης δέξισθαι τὴν διασάφησιν, ὡς ἄνωθεν καὶ ἐξ ἀρχῆς πατροπαραδότως ἐξεδόθη. Αὕτη, Χριστομίμητε βασιλεῦ, ἡ κορυφαιοτάτη τῶν ἐκκλησιῶν τοῦ Θεοῦ, ἧς Πέτρος πρωτόθρονος, πρὸς ὃν ὁ Κύριός φησι· *Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς*. Καὶ πάλιν ὁ αὐτὸς ἐν ἑτέρᾳ ἐπιστολῇ πρὸς Ναυκράτιον, ἧς ἡ ἀρχὴ, Οὐ πλησθήσεται τὸ οὖς μου ἀπὸ φωνῶν ἀκροάσεων, φησὶ· Μαρτυρῶ ἄρτι κατενώπιον Θεοῦ καὶ ἀνθρώπων, ἑαυτοὺς ἀπέρρηξαν τοῦ σώματος τοῦ Χριστοῦ, τοῦ κορυφαίκοῦ θρόνου, ἐν ᾧ Χριστὸς ἔθετο τὰς κλεῖς τῆς πίστεως, ἧς οὐ κατίσχυταν ἀπ' αἰῶνος οὐδ' ἂν κατισχύσωσι μέχρι συντελείας αἱ πύλαι τοῦ ᾅδου, τὰ τῶν αἱρετικῶν δηλαδὴ στόματα, ὡς ἡ τοῦ ἀψευδοῦς ὑπόσχεσις. Ἐν δὲ τῇ ἁγίᾳ τρίτῃ συνόδῳ

[41] Matth. x, 14. [42] Luc. x, 16. [43] Matth. xvi, 18.

Ἀρκάδιος ἐπίσκοπος εἶπε· Κελευσάτω ἡ ὑμετέρα μακαριότης τὰ προσενεχθέντα ὑμῖν γράμματα τοῦ ἁγίου καὶ μετὰ πάσης προσκυνήτεως ὀνομαζομένου πάππα Καιλεστίνου τῆς ἀποστολικῆς καθέδρας ἐπισκόπου ἀναγνωσθῆναι· ἐξ ὧν γνῶναι δυνήσεται ἡ ὑμετέρα μακαριότης, ὁποίαν ἔχει φροντίδα πασῶν τῶν ἐκκλησιῶν. Τὰ αὐτὰ καὶ Πρόϊκτος. Καὶ μετὰ πάνυ βραχέα φησί· Κύριλλος Ἀλεξανδρείας εἶπεν· Ὑποδεχθὲν τὸ γράμμα τοῦ ἁγιωτάτου καὶ κατὰ πάντα ὁσιωτάτου τῆς ἁγίας ἀποστολικῆς Ἐκκλησίας ἐπισκόπου τῆς Ῥωμαίων Καιλεστίνου, μετὰ τῆς προσφόρου τιμῆς ἀναγινωσκέσθω. Ἐν δὲ τῇ ἁγίᾳ τετάρτῃ συνόδῳ ὁ βασιλεὺς ἐν τῷ γράμματι ὃ καὶ θεῖον γράμμα ἐπιγράφει, τοιάδε φησίν· Ἵνα ὁ μακαριώτατος ἐπίσκοπος τῆς Ῥωμαίων πόλεως, ᾧ τὴν ἱερωσύνην κατὰ πάντων ἡ ἀρχαιότης παρέσχε, χώραν καὶ εὐπορίαν ἔχῃ περὶ πίστεως καὶ ἱερέων ἀνακρίνειν. Ἐπεὶ οὖν πίστεως καὶ ἱερέων εὐπορίαν ἔχει τοῦ ἀνακρῖναι, δικαίως καὶ διδάσκαλος τῶν Χριστιανῶν ἁπάντων ἐν τῷ ὅρῳ γράφεται.

ΕΦΕΣ.

Γένοιντο πατρὸς εὐτυχέστεροι, τὰ δ' ἄλλα ὅμοιοι· καὶ γὰρ δὴ κἀκεῖνος οὐκ εὐτυχεῖ, τὸν ἀντιπάππαν ἔχων ἐπιεικῶς διοχλοῦντα· καὶ οὗτοι τὸν Πατέρα μιμεῖσθαι καὶ τὸν διδάσκαλον οὐκ ἀνέχονται.

ΑΠΟΛ.

Καὶ ἡμεῖς εὐχόμεθα τοσούτους διδασκάλους πλουτῆσαι ἐπ' Ἐκκλησίας διδάσκοντας ἐν ταῖς ἑορτασίμοις ἡμέραις καὶ ἐν ταῖς Κυριακαῖς ὅσους καὶ ἡ τῶν Λατίνων Ἐκκλησία πλουτεῖ, καὶ περὶ τὰ ἐκκλησιαστικὰ εὐτυχεῖ, καὶ τοσούτους μοναχοὺς ἀκτήμονας ἔχει. Λέληθε δὲ αὐτὸν, ὅτι ἀντιπάππας ἐβούλετο μὲν γενέσθαι, ὑπὸ δὲ τῶν καλῶς φρονούντων καὶ καλῶς διευθετούντων τὰ κοινὰ, καὶ τὴν τιμὴν ἑαυτῶν περιποιουμένων (25). Καὶ διὰ ταῦτα καὶ τὸ μὴ εἶναι σχίσμα ἐν Ἐκκλησίᾳ Χριστοῦ, ὅπερ ἐστὶ χεῖρον πάντων τῶν κακῶν, ἀντιπάππας οὐκ ἐγένετο. Ἀλλὰ καὶ ἡ ἐν Βασιλείᾳ σύνοδος διελύθη, καὶ τὰ πάντα ἐν γαλήνῃ καὶ ἡσυχίᾳ. Οὐκ ἔδει οὖν αὐτὸν ἄνθρωπον τοιοῦτον τῆς Ἐκκλησίας κατεύχεσθαι, ἀλλὰ μᾶλλον ὑπερεύχεσθαι τὰ χρείττω καὶ βελτίω.

ΕΦΕΣ.

Φεύγετε οὖν αὐτοὺς, ἀδελφοὶ, καὶ τὴν πρὸς αὐτοὺς κοινωνίαν· οἱ γὰρ τοιοῦτοι ψευδαπόστολοι, ἐργάται δόλιοι, μετασχηματιζόμενοι εἰς ἀποστόλους Χριστοῦ· καὶ οὐ θαυμαστόν· *Αὐτὸς γὰρ ὁ Σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός*. Οὐ θαῦμα οὖν, εἰ καὶ οἱ διάκονοι αὐτοῦ μετασχηματίζονται ὡς διάκονοι δικαιοσύνης, ὧν τὸ τέλος ἔσται κατὰ τὰ ἔργα αὐτῶν. Καὶ πάλιν ἀλλαχοῦ περὶ τῶν αὐτῶν ὁ αὐτὸς ἀπόστολος· *Οἱ τοιοῦτοι τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ οὐ δουλεύουσιν, ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ, καὶ διὰ τῆς χρηστολογίας καὶ εὐλογίας ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων· ὁ μέντοι*

A non mentitur. Et in tertia sancta synodo Arcadius episcopus dixit: Præcipiat vestra beatitudo litteras sancti et omni cum veneratione nominandi papæ Cælestini, sedis apostolicæ episcopi, vobis allatas recitari, ex quibus vestra beatitudo perspicere poterit, quali omnes ecclesias cura ille complectatur. Projectus quoque iisdem est usus verbis. Et paucis interpositis: Cyrillus, inquit, Alexandrinus dixit: Suscepta sanctissimi et per omnia sacratissimi Cælestini episcopi sanctæ apostolicæ Ecclesiæ Romanæ epistola cum honore condecente recitetur. Similiter in sancto concilio quarto (24), in sacris Valentiniani ad Theodosium litteris, hæc scripta leguntur: Ut beatissimus Romanæ urbis episcopus, cui principatum sacerdotii super omnes antiquitas contulit, locum et facultatem habeat B de fide et sacerdotibus judicandi. Cum igitur facultas illi sit exercendi judicium de fide et sacerdotibus, jure Christianorum omnium doctor in definitione inscribitur.

EPHES.

Fiant patre feliciores, cætera similes: nam et ille adversa utitur fortuna antipapam habens, satis molestiarum illi exhibentem; et istis patrem et doctorem suum imitari non patitur animus.

RESP.

Utinam nobis tot essent concionatores in Ecclesia diebus festis ac Dominicis populum docentes, quot summa felicitate visuntur in Latina Ecclesia, quotque monachi extremam amplexi paupertatem. C Ignorat vero ipse de antipapa, voluisse quidem illum dignitatem arripere, sed a prudentioribus, et rempublicam recte administrantibus, honoremque suum tutantibus fuisse rejectum. Ex quo factum est, ut antipapa non sit, ne etiam in Ecclesia Dei schisma esset, quod est malorum omnium gravissimum. Basileensis quoque synodus dissoluta est, omniaque in pace sunt et summa tranquillitate. Quare non oportebat, talem virum imprecationes in Ecclesiam jacere, sed precari potius ut ei fauste prospereque eveniant omnia.

EPHES.

Fugite ergo, fratres, illos et communionem eorum; sunt enim pseudapostoli, subdoli operarii, D transfigurantes se in apostolos Christi. Et non mirum: *Ipse enim Satanas transfigurat se in angelum lucis* [11]. Non est ergo magnum, si ministri ejus transfigurentur velut ministri justitiæ; quorum finis erit secundum opera ipsorum. Rursus idem apostolus de iisdem alio in loco: *Hujuscemodi*, inquit, *Domino nostro Jesu Christo non serviunt, sed suo ventri, et per dulces sermones et benedictiones seducunt corda innocentium* [12]. *Sed firmum fundamentum fidei stat, habens signaculum hoc* [13].

[11] II Cor. xi, 14. [12] Rom. xvi, 19. [13] II Tim. ii, 19

(24) Conc. Chalced. part. I, epist. 25.

(25) Ἐν. λείπει κεκώλυται ἢ τι τοιοῦτον.

Et alibi rursus : *Si quis vobis evangelizaverit præter id quod accepistis, licet angelus de cœlo, anathema sit* [a]. Videtis prophetice dictum illud : *Licet angelus de cœlo*, ne quis eminentiam papæ obtendat. Et dilectus discipulus : *Si quis*, inquit, *venit ad vos, et hanc doctrinam non affert, nolite recipere eum in domum, nec Ave ei dixeritis : qui enim dicit illi Ave, communicat operibus ejus malignis* [b]. *μὴ λαμβάνετε, καὶ χαίρειν αὐτῷ μὴ λέγετε· ὁ γὰρ λέγων αὐτῷ χαίρειν κοινωνεῖ τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς.*

Cum hæc vobis sint a sanctis apostolis præscripta, state in traditionibus quas accepistis, sive scriptas, sive non scriptas ; ne improborum errore traducti a propria excidatis firmitate. Deus autem qui omnia potest, et illis, ut suum agnoscant errorem, præstet, et nos veluti purum selectumque frumentum ab illis tanquam pravis zizaniis secernens, in horreo suo reponendos colligat in Christo Jesu Domino nostro, quem decet omnis gloria, honor, et adoratio.

RESP.

Ad hæc sane, quæ hic profert, nulla esset danda responsio ; nam suo more jacit in nos contumelias : tamen dicemus pauca. Vox, Consubstantialis, et vox Deipara, et quæcunque sancti explanarunt, non sunt ab apostolis explicite tradita. Nos tamen omnia, quæ Patres nostri de rebus divinis locuti latius explicarunt, tanquam apostolicas recipimus traditiones. Itaque si sancti illi pœnis per apostolum constitutis tenentur, et nos tenemur. Quæ porro in nos profert ex Epistolis apostolorum, non faciunt ad rem. Traditiones enim apostolicas tam scriptas quam non scriptas orationibus illorum fulti constanter tenemus, credentes in Trinitatem consubstantialem, Deumque incarnatum, ex semper Virgine Dei Genitrice natum. Sed hæc dicta sint non contentiosæ ostentationis ergo ; neque enim rixari et contendere volumus, sed veritatem scrutari duce nobis divinitus tradita scientia et doctrina sanctorum, a quibus sacra dogmata explicata sunt, non alia via persuadere volentes hominibus, quam ea, quæ nobis per lumina Ecclesiæ patet. Testis cogitationum Dominus, qui rationem ab omni mendacium proferente reposcet. Nos enim inimici pacis esse nec habuimus, nec habebimus unquam in animo ; nam si pacem amittamus, hostes illorum erimus, quibus a Christo dictum est : *Pax vobis*, sed hanc tenere volumus et optamus. Potens autem est Deus pacem donare et confirmare per universam Ecclesiam suam : ut omnes unanimiter idem sentientes et profitentes, Christo Deo, cui sic placitum est, gloriam tribuamus, quoniam ipsum decet gloria in sæcula. Amen.

[a] Galat. I, 8. [b] II Joan. x, 11.

A *στερρὸς θεμέλιος τῆς πίστεως ἔστηκεν ἔχων τὴν σφραγῖδα ταύτην.* Καὶ ἀλλαχοῦ πάλιν· *Εἰ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, κἂν ἄγγελος ἐξ οὐρανοῦ, ἀνάθεμα ἔστω.* Βλέπετε προφητικῶς τὸ, *κἂν ἄγγελος ἐξ οὐρανοῦ*, ἵνα μὴ τις τὴν ὑπεροχὴν τοῦ πάππα προβάλληται. Καὶ ὁ ἠγαπημένος μαθητής· *Εἴ τις ἔρχεται πρὸς ὑμᾶς, καὶ ταύτην τὴν διδαχὴν οὐ φέρει, εἰς οἰκίαν αὐτὸν*

Τούτων ὑμῖν ὑπὸ τῶν ἁγίων ἀποστόλων διωρισμένων, στήκετε κρατοῦντες τὰς παραδόσεις, ἃς παρελάβετε τάς τε ἐγγράφους καὶ ἀγράφους· ἵνα μὴ τῇ τῶν ἀθέσμων πλάνῃ συναπαχθέντες ἐκπέσητε τοῦ ἰδίου στηριγμοῦ. Θεὸς δὲ ὁ πάντα δυνάμενος ἐκείνους τε ἐπιγνῶναι τὴν οἰκείαν πλάνην παρασκευάσειε, καὶ ἡμᾶς αὐτῶν ἀπαλλάξας ὡς πονηρῶν ζιζανίων οἷα καθαρὸν καὶ εὔχρηστον σῖτον εἰς τὰς ἑαυτοῦ ἀποθήκας συνάξειεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις.

ΑΠΟΛ.

Ἔδει μὲν ἡμᾶς μηδεμίαν ἀπολογίαν δοῦναι, ἐν οἷς ἐνταῦθα προφέρει· συνήθως γὰρ ποιεῖ προφέρων ὕβρεις καθ' ἡμῶν· ὅμως ἐροῦμεν ὀλίγα. Καὶ γὰρ τὸ, Ὁμοούσιον, καὶ τὸ, Θεοτόκος, καὶ ὅσα οἱ ἅγιοι διετράνωσαν, αὐταῖς λέξεσιν οἱ ἀπόστολοι οὐκ εὐηγγελίσαντο. Ἀλλ' ἡμεῖς ὅσα τε οἱ Πατέρες ἡμῶν ἐθεολόγησαν καὶ ἐξήπλωσαν, ὡς ἀποστολικὰς παραδόσεις καὶ ταῦτα στέργομεν. Εἰ οὖν ὑπὸ τὸ ἐπιτίμιον τοῦ Ἀποστόλου οἱ ταῦτα ἐκθέμενοι, καὶ ἡμεῖς ἐσμεν. Ὅσα δὲ ἐκ τῶν ἀποστολικῶν Ἐπιστολῶν καθ' ἡμῶν προφέρει, οὐ συμβάλλουσι πρὸς ἡμᾶς. Τὰς γὰρ παραδόσεις τῶν ἀποστόλων, τάς τε ἐγγράφους καὶ ἀγράφους, ταῖς εὐχαῖς αὐτῶν στηριζόμενοι βεβαίως κατέχομεν, εἰς Τριάδα πιστεύοντες ὁμοούσιον, καὶ Θεὸν σεσαρκωμένον ἐκ τῆς ἀειπαρθένου Θεοτόκου γεννηθέντα. Ἀλλὰ ταῦτα μὲν εἴρηται οὐ κατὰ φιλόνεικον ἀπόδειξιν, οὐδὲ γὰρ βουλόμεθα ἐρίζειν τε καὶ φιλονεικεῖν, ἀλλὰ τὴν ἀλήθειαν ἐρευνᾷν διὰ τῆς ὁδηγούσης ἡμῖν παρὰ Θεοῦ γνώσεως καὶ τῆς τῶν ἁγίων διδασκαλίας, οἵτινες τὰ θεῖα δόγματα διετράνωσαν· οὐκ ἄλλως βουλόμενοι πείθειν ἀνθρώπους ἢ ὡς οἱ τῆς Ἐκκλησίας φωστῆρες διδάσκουσι. Μάρτυς ὁ τῶν ἐννοιῶν Δεσπότης, ὃς ἀπαιτήσει λόγον πάντα τὸν λαλοῦντα τὸ ψεῦδος. Καὶ γὰρ ἐχθροὶ εἰρήνης οὔτε ἠθελήσαμεν, οὔτε ποτὲ θελήσομεν γενέσθαι· ἐὰν γὰρ τὴν εἰρήνην ἀπολέσωμεν, ἐχθροὶ ἐσμεν ἐκείνων τῶν ἀκουσάντων παρὰ Χριστοῦ· *Εἰρήνη ὑμῖν*· ἀλλὰ ταύτην θέλομεν καὶ ποθοῦμεν κατέχειν· δυνατὸς δὲ ὁ Θεὸς εἰρήνην δοῦναι καὶ πῆξαι καὶ βραβεῦσαι ἐν τῷ πληρώματι τῆς αὐτοῦ Ἐκκλησίας, ἵνα πάντες ὁμοθυμαδὸν τὸ ἓν φρονοῦντες καὶ λέγοντες τῷ οὕτως εὐδοκήσαντι Χριστῷ τῷ Θεῷ δόξαν ἀναπέμψωμεν· ὅτι αὐτῷ πρέπει δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΓΡΗΓΟΡΙΟΥ ΠΡΩΤΟΣΥΓΚΕΛΛΟΥ

ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΠΡΟΣ ΤΟΝ ΒΑΣΙΛΕΑ ΤΡΑΠΕΖΟΥΝΤΟΣ.

—

GREGORII PROTOSYNCELLI

PATRIARCHÆ CONSTANTINOPOLITANI

AD IMPERATOREM TRAPEZUNTIS.

(L. Allatio interprete, *Græcia Orthodoxa*, t. I.)

—

α'. Ἡμεῖς, ὦ θειότατε βασιλεῦ, χρείαν ἔχομεν οὐ μόνον τῇ σῇ ὑψηλοτάτῃ βασιλείᾳ λόγον ἀποδοῦναι καὶ ἱκανοποιεῖν, ἀλλὰ καὶ παντὶ τῷ αἰτοῦντι ἡμᾶς λόγον περὶ τῆς ἐν ἡμῖν ἐλπίδος, ὡς ἐκ τοῦ κοινοῦ διδασκάλου τῆς Ἐκκλησίας τοῦ μακαριωτάτου Πέτρου κατὰ τὴν θείαν φωνὴν ἐπ' αὐτοῦ θεμελιωθείσης τοῦτο παραλαβόντες. Εἰ οὖν τοῦτο πᾶσιν ὀφείλομεν, πολλῷ γε μᾶλλον σοὶ, ὑψηλότατε βασιλεῦ, ἅτε παρὰ Θεοῦ κατὰ σειρὰν τὸ βασιλεύειν λαχόντι, καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ τῇ γνώσει, καὶ τοῖς ἄλλοις προτερήμασι καὶ ἀνδραγαθίαις ἐκ προαιρέσεως ἀγαθῆς τὴν βασιλείαν διαφερόντως κοσμοῦντι, καὶ τὸ μέγιστον καὶ ὄντως ἄξιον χρῆμα βασιλείας τὴν ὀρθοδοξίαν ὅση δύναμις ἀσπαζομένῳ καὶ κατέχοντι, ὅπερ μᾶλλον τὸν βασιλέα κοσμεῖ, καὶ λαμπρὸν ἀπεργάζεται, καὶ ζωὴν καὶ ὑγείαν δωρεῖται, καὶ τρόπαια καὶ νίκας παρέχει, καὶ τοῖς ὑπὸ χεῖρα ἄξιον βασιλείας ἀναδείκνυσι. Καὶ τί δεῖ τὰ καθ' ἕκαστον ἀπαριθμεῖν, ὅσων αὕτη πρόξενος γίνεται; Αὕτη καὶ μόνη τῷ βασιλεῖ κἂν τῷ παρόντι, κἂν τῷ μέλλοντι πάντα τὰ ἀγαθὰ δωρήματα παρέχει, ὥστε συμβασιλεύειν τῷ ζῶντι καὶ αἰωνίῳ καὶ μόνῳ ἀληθεῖ Βασιλεῖ. Ἃ πάντα τὰ προειρημένα ἔχειν μὲν τὴν σὴν βασιλείαν κατανοῶ καὶ δοξάζω· ἀεὶ δὲ αὔξειν τῷ τούτων δοτῆρι Θεῷ καὶ εὔχομαι καὶ εὔξομαι, καὶ εἰρηνικὴν διὰ πάντων τὴν σὴν βασιλείαν ἐκ παντὸς διατηρεῖν, καὶ μετὰ πολλὴν ζωὴν, καὶ διαδοχὴν ὁμοίαν τε καὶ ἀρίστην τὴν οὐράνιον καὶ ἀΐδιον βασιλείαν. Ταῦτα ἀεὶ εὔχομαι καὶ εὔξομαι.

β'. Ἀποκρίνομαι οὖν πρὸς τοὺς ὅρους τῶν μακαρίων καὶ ἁγίων Πατέρων, προσθεὶς πρότερον καὶ περὶ τοῦ ζητήματος μικρὸν, καὶ διὰ τὴν ἐπιταγὴν τοῦ Χριστοκήρυκος Πέτρου, καὶ διὰ τὴν ἐν Χριστῷ διάθεσιν, ἣν ἔχω πρὸς τὴν ὑψηλοτάτην σου βασιλείαν. Μόνον παρακαλῶ, ἵνα μετὰ μακροθυμίας ἀκούσῃ τῶν λεγομένων, καὶ μὴ ὥς τινες τῶν ἐνταῦθα, μᾶλλον δὲ οἱ πλείονες ματαιάζοντες φωνοῦσι, καὶ μόνον ἐκταράττουσιν, ὡς « Τὸ πάτριον κατέχο-

1. Necesse est, resque ipsa cogit, divinissime imperator, non tantum tuæ excelsissimæ majestati rationem, sed omnibus etiam qui eam a nobis exposcunt, de nostra spe, ut ex communi Ecclesiæ magistro beatissimo Petro, divino oraculo super eumdem fundatæ, accepimus, reddere atque persolvere. Id itaque si debemus omnibus, multo magis tibi, excelsissime imperator, qui a Deo majorum tuorum imperium assecutus es, illudque non cognitione solum, et aliis prærogativis, rebusque fortiter gestis probo proposito consilioque insistens, excellenter condecoras, et quod potissimum est atque imperio dignum, rectam fidem, quantum potes, amplecteris, et constanter retines, quæ præ reliquis imperatorem exornat, illustriorem reddit, vitam sanitatemque impertitur, tropæa atque victorias congessit, dignumque imperio subditis commonstrat. Et quid opus est singula recensere, quæ illa late fuseque conciliat? Illa sola imperatori, et hoc et futuro sæculo omnia bona muneratur, ut una cum vivo, sempiterno, soloque vero Rege imperet. Quæ omnia tuam majestatem possidere, et reor, et firmiter teneo, eaque semper auctiora fieri a Deo eorum datore, supplex exoro, exoraboque, tum præterea ut quietum ac prorsus tranquillum ab omni noxa tuum imperium conservet, et post diuturnam vitam, et similem atque optimam filiorum successionem, cœleste regnum æviternumque elargiatur. Hæc indemisse obsecro obsecraboque.

2. Respondeo itaque ad beatorum sanctorumque Patrum decreta, si prius pauca de Quæstione addidero, tum ut Christi præconi Petro obediam, tum ut meæ erga excelsissimam tuam majestatem propensioni morem geram. Unum tantum te rogo ut æquo animo audias, neque te geras, ut quidam, qui istic sunt; qui mentis desipientes clamitant tantummodo, turbasque cient: « Rem a Patribus nobis traditam tenemus: non est cur aliis aures

præbeamus. » Et nihilominus nos, veritate, et munere, gratiaque Domini et Servatoris nostri Jesu Christi et Dei, paternum dogma rebus in omnibus integrum tenemus, et conservamus, et conservabimus, ut procedens oratio apertissime declarabit. Propterea que simplicibus verbis hæc exponimus, industriis, et dictionum plicis, illisque perobscuris eliminatis, ne quæ a nobis dicuntur, aut scribuntur perniciem afferant, in hoc quoque communem omnium Dominum ac Magistrum æmulati, dicentem : *Sermo et prædicatio ne sit in persuasibilibus humanæ sapientiæ verbis, sed in ostensione Spiritus et virtutis, ut fides nostra non sit in sapientia hominum, sed in virtute Dei* [1]. Quapropter nos quoque, illius doctrinam sequentes, quæ nobis tradita sunt a Christi Ecclesia dicimus et prædicamus, non sermonibus venustis scitisque, neque ab externis petitis argumentationibus, ut dictum est, sed ex Patrum monitis et scripto nobis tradita traditione, verba nostra scriptaque comprobamus, Patrumque nostrorum in omnibus vestigia sequimur, sequemurque, neque unquam aliter communiscemur : quemadmodum sacram tuam et imperialem animam imaginamur, et credimus, nunquam aliter se habituram.

3. Neque propter de novo statis temporibus quæstiones exortas, et male opinantium nova commenta, fidem aliam sanctos Patres id ævi in unum coactos propriorum verborum nova inductione edidisse affirmabimus, ut sanctus Maximus palam explicat, cum hunc in modum edisserit : « Namque si pro veritate vera enuntianda sunt, omnes post Nicænam synodum a Deo electi Patres, universæque synodi recte sentientium, et sanctitate illustrium Patrum, non aliam fidei definitionem propriorum verborum additione prorsus superinduxerunt, veluti vos nimium perperam obloquentes, et plane insanientes decernitis, » et quæ sequuntur, quæ tempore opportuno ad veritatem nostram explanandam in medium adducemus. Namque unaquæque sancta atque œcumenica synodus superaddidit, quod verbis ipsis haud erat in sacra Scriptura explicitum, sed illa sua additione aliam novamque fidem minime concinnavit, licet additum nullo in loco antea enuntiatum esset; et ante omnia *homousion*, sive *consubstantiale*, neque in sacra Scriptura, neque etiam in gentilium monumentis, imo nec a sanctis apostolis expresse traditum hæc synodus addidit; non ideo tamen apud eos qui veritatem sedulo exquirunt, aliam fidem condidisse reputata est. Non alia ratione et sancta œcumenica secunda synodus sanctissimum Spiritum Deum esse pronuntiavit, et vere, quemadmodum et prima homousion. Sed id nusquam in divinis Litteris erat. Sanctaque item tertia synodus vocem, *Deipara*. Quæ omnia verissima sunt, eoque modo se habent, quo sancti divino Spiritu conciti decreverunt. Et quarta item synodus, duas naturas et unionem secun-

[1] I Cor. II, 4.

A μεν· καὶ πλέον οὐκ ἐθέλομεν ἀκούειν. » Καίτοι γε ἐπ' ἀληθείας καὶ δωρεᾶς καὶ χάριτος τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ, ἡμεῖς τὸ πάτριον δόγμα ἐν πᾶσι τηροῦμεν, καὶ φυλάττομεν, καὶ φυλάξομεν, ὡς προῖὼν ὁ λόγος παραστήσει σαφέστατα. Διὰ τοῦτο καὶ ἐν ἁπλοϊκοῖς ῥήμασι ταῦτα ἐκτίθεμεν, μηδὲ κομψὸν ῥῆμα τιθέντες, μήτε πλοκὰς λέξεων εἰς τὰ ἀσαφῆ καὶ δηλήματα εἶναι τὰ παρ' ἡμῶν λεγόμενα, ἢ γραφόμενα, κἂν τούτῳ τὸν κοινὸν μιμούμενοι δεσπότην καὶ διδάσκαλον φάσκοντα, ὅτι *Ὁ λόγος καὶ τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖ ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως, ἵνα ἡ πίστις ἡμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ' ἐν δυνάμει Θεοῦ.* Διὸ καὶ ἡμεῖς ἑπόμενοι τῇ τούτου B διδασκαλίᾳ, τὰ παραδοθέντα ἡμῖν ἀπὸ τῆς Ἐκκλησίας Χριστοῦ λέγομέν τε καὶ κηρύττομεν οὐ λόγοις κομψοῖς καὶ συλλογισμοῖς ἐκ τῶν ἔξωθεν, ὡς προλέλεκται, ἀλλ' ἐκ τῆς τῶν Πατέρων διδασκαλίας, καὶ τῆς ἐγγράφου ἡμῶν παραδόσεως πιστοῦντες τὰ παρ' ἡμῶν λεγόμενά τε καὶ γραφόμενα, καὶ τοῖς Πατράσιν ἡμῶν ἐν ἅπασιν ἀκολουθοῦμεν καὶ ἀκολουθήσομεν, καὶ οὐδέποτε ἄλλως ἕξομεν· ὥσπερ οὐδὲ τὴν σὴν ἱερὰν καὶ βασιλικὴν ψυχὴν ἐννοοῦμεν καὶ πιστεύομεν ἄλλως ἕξειν πώποτε.

γ'. Οὐδὲ διὰ τὰς ἀναφυείσας κατὰ καιρὸν ζητήσεις, καὶ τῶν κακοδόξων καινοφωνίας ἄλλην πίστιν τοὺς ἁγίους Πατέρας ἐροῦμεν τοὺς κατὰ καιρὸν συναχθέντας πεποιηκέναι διὰ τῆς ἐπεισαγωγῆς τῶν C οἰκείων ῥημάτων, ὡς καὶ ὁ θεῖος Μάξιμος διασαφεῖ λέγων οὕτως· « Εἰ γάρ ἐστι τἀληθῆ ὑπὲρ ἀληθείας εἰπεῖν, πάντες οἱ μετὰ τὴν Νικαέων θεόκριτοι Πατέρες, καὶ πᾶσα σύνοδος ὀρθοδόξων καὶ ἁγίων ἀνδρῶν οὐκ ἄλλον πίστεως ὅρον διὰ τῆς ἐπεισαγωγῆς τῶν οἰκείων ῥημάτων παντελῶς ἐπεισήγαγον, ὡς ὑμεῖς ἀποφαίνεσθε πλεῖστον παραληροῦντες, καὶ τὸ ὅλον μαινόμενοι· » καὶ τὰ ἑξῆς· ἐν τῷ προστίκοντι τόπῳ ἐκθήσομεν, διατρανοῦντες τὴν ἀλήθειαν ἡμῶν. Καὶ γὰρ ἑκάστη ἁγία καὶ οἰκουμενικὴ σύνοδος προσέθηκεν, ὃ μὴ ῥητῶς προσέκειτο τῇ θείᾳ Γραφῇ, ἀλλ' οὐκ ἄλλην πίστιν πεποίηκε διὰ τῆς ἐπεισαγωγῆς· καίτοι γε τοῦ προστεθέντος οὐδαμοῦ προκηρυττομένου ὄντος. Αὐτίκα γὰρ τὸ *ὁμοούσιον*, ὃ μήτε ἐν D τῇ ἱερᾷ Γραφῇ εὑρισκόμενον ὑπάρχει, μήτε ἐν Ἑλληνικῇ, ἀλλ' οὐδὲ τῶν ἁγίων ἀποστόλων τοῦτο ῥητῶς εἰπόντων, ἡ σύνοδος αὕτη προσέθηκεν, ἀλλ' οὐδαμῶς ἐνομίσθη παρὰ τοῖς τὴν ἀλήθειαν ἐκζητοῦσιν, ἑτέραν πίστιν πεποιηκέναι. Ὡσαύτως δὲ ἡ ἁγία οἰκουμενικὴ δευτέρα σύνοδος Θεὸν τὸ πανάγιον Πνεῦμα εἶρηκεν, καὶ ἀληθῶς, ὥσπερ καὶ τὸ ὁμοούσιον. Ἀλλ' οὐδαμοῦ ἐν τῇ Γραφῇ τοῦτο εὑρίσκετο. Καὶ ἡ ἁγία δὲ τρίτη σύνοδος τὸ, *Θεοτόκος*. Καὶ ἀληθῶς ἔχουσι μὲν ταῦτα, καὶ οὕτως· ὡς καὶ οἱ ἅγιοι πνευματοκινήτως ἐθεσμοθέτησαν. Καὶ ἡ τετάρτη δὲ τὰς δύο φύσεις, καὶ τὴν καθ' ὑπόστασιν ἕνωσιν, καὶ ἡ πέμπτη δὲ τὰ δύο θελήματα, καὶ ἕνα τὸν θέλοντα, καὶ ἡ ἕκτη δὲ τὰς δύο ἐνεργείας, καὶ ἕνα τὸν ἐνεργοῦντα. Ἀλλ' οὐδαμοῦ εὑρήσεις ταῦτα

κείμενα ἐν τῇ Γραφῇ. Ἀλλ' αἱ σύνοδοι θαῤῥοῦντως; προσέθηκαν, ἐκ τῶν θείων Γραφῶν ταῦτα συνάγουσαι, ἀληθῆ γε ὄντα. Καὶ οὐκ ἐντεῦθεν ἑτέραν πίστιν πεποιήκασιν, ὡς καὶ προλαβὼν ὁ θεῖος Μάξιμος σαφέστατα ἐδήλωσεν, εἰπών· « Πᾶσα σύνοδος ὀρθοδόξων καὶ ἁγίων ἀνδρῶν οὐκ ἄλλον πίστεως ὅρον διὰ τῆς ἐπεισαγωγῆς τῶν οἰκείων ῥημάτων παντελῶς ἐπεισήγαγον, ὡς ὑμεῖς ἀποφαίνεσθε, » καὶ τὰ ἑξῆς. Καὶ ἡ ἁγία δὲ οἰκουμενικὴ ἑβδόμη σύνοδος ἐκ Πατρὸς δι' Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον ἐθεολόγησε. Καὶ πρὸ ταύτης πλεῖστοι τῶν ἁγίων οὕτω γε ἐθεολόγησαν, *καὶ ἐξ αὐτοῦ τοῦ Υἱοῦ, καὶ ἴδιον αὐτοῦ τε, καὶ ἐξ αὐτοῦ*, ὡς ὁ Κύριλλος ἐν τοῖς *Ἀναθεματισμοῖς* ὁ θεσπέσιος, καὶ Βασίλειος πρὸς τοὺς λέγοντας, Διατί μὴ Υἱὸς τοῦ Υἱοῦ τὸ Πνεῦμα; ἀπολογούμενος· « Οὐ διὰ τὸ μὴ εἶναι ἐκ Θεοῦ δι' Υἱοῦ, ἔφησεν, ἀλλ' ἵνα ἡ Τριὰς μὴ νομισθείη πλῆθος ἄπειρον υἱοὺς ἐξ υἱῶν, ὡς καὶ ἐν ἀνθρώποις ἔχειν ὑποπτευθεῖσα. » Καὶ πρὸ τούτου τοῦ κεφαλαίου φησὶν ὁ αὐτὸς ἅγιος· « Διὰ τοῦτο καὶ Θεοῦ μὲν Λόγος ὁ Υἱὸς, ῥῆμα δὲ Υἱοῦ τὸ Πνεῦμα· » καὶ τὰ ἑξῆς.

« Propterea et Dei quidem Verbum Filius, Verbum autem Filii Spiritus, » et quæ sequuntur.

δ'. Συνελθοῦσαι τοίνυν καὶ ἡ Ἀνατολικὴ Ἐκκλησία καὶ ἡ Δυτική, καὶ οἰκουμενικῆς συνόδου γενομένης, καὶ ἐξέτασιν ποιήσασαι, ὡς τί ἂν βούλοιντο οἱ τῆς Ἀνατολικῆς Ἐκκλησίας διδάσκαλοι, καὶ τῆς Δυτικῆς λέγειν περὶ τῆς ἐκπορεύσεως τοῦ παναγίου Πνεύματος· Εἰ ἄρα ἐκ μόνου τοῦ Πατρὸς ἐκπορεύεται τὸ Πνεῦμα τὸ ἅγιον, ἢ καὶ ἐκ τοῦ Υἱοῦ, ἢ πῶς ὀφείλει νοεῖσθαι τὸ ἐκ Πατρὸς δι' Υἱοῦ. Καὶ εἰ συνεισφέρει ὁ Υἱὸς εἰς τὴν ἀΐδιον πρόοδον τοῦ ἁγίου Πνεύματος, ἢ ἐκ μόνου τοῦ Πατρός ἐστιν, ὥσπερ καὶ ὁ Υἱὸς ἐκ μόνου τοῦ Πατρὸς, καὶ εἰ λαμβάνει ὁ Υἱὸς ἀπὸ τοῦ Πνεύματος, ὥσπερ λαμβάνει τὸ Πνεῦμα παρὰ τοῦ Υἱοῦ. Ἀλλὰ ταῦτα μὲν ἐν ταῖς Γραφαῖς οὐχ εὗρον. Τὸ δὲ Πνεῦμα τὸ ἅγιον λαμβάνειν, καὶ τὸ εἶναι ἔχειν δι' Υἱοῦ, ταῦτα πολλαχοῦ εὗρον. Ἀθανάσιος γὰρ ἡ τῆς ἀληθείας κρηπὶς ἐν τῷ κατὰ Ἀρειανῶν τρίτῳ φησὶν, « Πάντα ὅσα ἔχει τὸ Πνεῦμα, ταῦτα παρὰ τοῦ Λόγου ἔχειν. » Ἀλλά τίς ἂν φαίη τῶν εὖ φρονούντων, ὡς μὴ ἁπλοῦν πάντη πάντως εἶναι τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἐπὶ τῶν ἁπλῶν πᾶν ὅπερ λαμβάνει, τούτων γὰρ ἐπὶ τῶν συνθέτων γίνεται, ἀλλ' ὅπερ ἂν λέγοιτο λαμβάνειν τὸ ὅλον ἐστίν; Ἀλλὰ καὶ περὶ τούτου ἐν τῷ αὐτῷ λόγῳ φησίν· « Οὐ γὰρ καὶ ὁ Υἱὸς μετέχων ἐστὶ τοῦ Πνεύματος, ἵνα διὰ τοῦτο καὶ ἐν τῷ Πατρὶ γένηται, οὐδὲ λαμβάνων ἐστὶ τὸ Πνεῦμα, ἀλλὰ μᾶλλον τὸ Πνεῦμα παρὰ τοῦ Λόγου λαμβάνει. » Διὰ τοῦτο καὶ παρὰ τῶν διδασκάλων ἀμέσως λέγεται ὁ Υἱὸς ἐκ τοῦ Πατρὸς, ὡς φησὶ Κύριλλος ἐν τοῖς *Θησαυροῖς*· » Γεννᾷ ὁ Πατὴρ τὸν Υἱὸν ἀμεσιτεύτως. « Καὶ πάλιν ὁ αὐτὸς εἰς τὸ ῥητὸν τὸ, *Πάντα δι' αὐτοῦ ἐγένετο*, λέγει· « Συνεῖναι τῷ Υἱῷ τὸν Πατέρα νοοῦμεν διὰ τὸ ἀπαρίλλακτον τῆς οὐσίας, καὶ τὸ ἄκρον προσεχές τε καὶ ἄμεσον αὐτοῦ. » Καὶ ὁ Νύσσης Γρηγόριος ἐν τῷ πρὸς Ἀβλάβιον λόγῳ φάσκει, « Τὸ μὲν γάρ ἐστι προσεχῶς ἐκ τοῦ πρώτου. » Καὶ οὐδαμοῦ φαίνονται

A dum hypostasim: et quinta duas voluntates, et unum volentem; et sexta duas operationes et unum operantem: quæ tamen nunquam in Scriptura inveneris. Sed synodi confidenter colligentes ea uti vera ex sacris Litteris addiderunt, neque propterea fidem aliam composuere, quemadmodum jam supradictus divus Maximus apertissime illis declaravit: « Omnis synodus recte sentientium et sanctitate illustrium virorum non aliam fidei definitionem propriorum verborum additione prorsus superinduxit, veluti vos decernitis, » et reliqua. Tum præterea sancta œcumenica septima synodus ex Patre per Filium Spiritum sanctum procedere tradidit, et ante eam sanctorum plurimi dicendi illum modum usurparunt, et *ex ipso Filio*, et *proprium* B *illius*, et *ex illo* ut divinus Cyrillus in Anathematismis, et Basilius illis qui dicebant: Quare non Filius Filii Spiritus? respondens, dixit: « Non quod non esset ex Deo per Filium, sed ne Trinitas numerus innumerus reputaretur, et filios ex filiis, ut apud homines fieri suevit, habere, in suspicionem veniret. » Et ante illud caput idem sanctus dicebat:

4. Quare cum in unum et Orientalis et Occidentalis Ecclesia convenissent, et œcumenico concilio celebrato, examinassent quid Orientalis atque Occidentalis Ecclesiæ magistri de processione sanctissimi Spiritus statuissent: num ex solo Patre procederet Spiritus sanctus, an etiam ex Filio, et C quomodo illud intelligendum sit, *ex Patre per Filium*, et, an aliquid conferat Filius in æviternam Spiritus sancti processionem, vel an ex solo Patre est, veluti et Filius ex solo Patre est, et an accipit Filius a Spiritu, quemadmodum accipit Spiritus a Filio; at ista quidem in Scripturis nulla sunt: verumtamen Spiritum sanctum accipere, et quod sit, habere ex Filio, passim invenere. Namque Athanasius veritatis fundamentum, oratione tertia adversus Arianos dicit: « Quæcunque habet Spiritus, ex Filio habet. » Sed quis, dummodo sapit, diceret, Spiritum sanctum non esse prorsus et per omnia simplicem; at ex simplicibus quidquid accipit, quod in compositis aliter sit, totum accipere dicitur? Ante etiam in hac eadem oratione D scribit: « Neque enim Filius particeps est Spiritus, ut per illum in Patre fiat, neque accipit Spiritum, sed potius Spiritus a Verbo accipit. » Ideoque a doctoribus immediate dicitur Filius ex Patre, ut tradit Cyrillus in *Thesauris*: « Generat Pater Filium absque ullo medio. » Rursusque idem in Expositione dicti: *Omnia per ipsum facta sunt*, ait, « Simul esse cum Filio Patrem intelligimus propter essentiam per omnia similem, illinsque summum continens, atque immediatum. » Nyssenus item Gregorius, oratione ab Ablabium scribit, « Hoc enim est continenter ex primo. » Nulloque in loco sancti Patres ab ipso Servatore nostro ad sanctam œcumenicam septimam synodum ex solo Patre Spiritum sanctum enuntiarunt, quemadmodum

Filium ex solo Patre generari prodiderunt, sed per Filium et proprium ipsius, et ex ipso; et præ cæteris Cyrillus in Actis sanctæ et œcumenicæ Synodi tertiæ, in duodecim Capitibus, et in *Thesauris*, « ex essentia Patris, et ex essentia Filii, et exsistens ex ipso, » affirmat.

A οἱ ἅγιοι ἀπ' αὐτοῦ τοῦ Σωτῆρος ἡμῶν μέχρι καὶ τῆς ἁγίας οἰκουμενικῆς ἑβδόμης συνόδου, ἐκ μόνου τοῦ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον εἰρηκότες, ὥσπερ τὸν Υἱὸν ἐκ μόνου τοῦ Πατρὸς ἀθεολόγησαν γεννᾶσθαι, ἀλλὰ διὰ τοῦ Υἱοῦ, καὶ ἴδιον αὐτοῦ, καὶ ἐξ αὐτοῦ, ὡς φησὶ Κύριλλος ἐν τοῖς Πρακτικοῖς τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τρίτης ἐν τοις δώδεκα Κεφαλαίοις, καὶ ἐν τοῖς *Θησαυροῖς*, « ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, καὶ ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ, καὶ ὑπάρχον ἐξ αὐτοῦ » θεολογῶν.

5. Ex solo porro Patre sanctos Filium generari, tradidisse, audi. Magnus siquidem Basilius in *Antirrheticis* inquit : « Unigenitus Filius, quod solus ex solo generatur. » Et Theologus Gregorius, oratione secunda de Filio : « Unigenitus enim, non quod solus ex solo, jet solum, sed quod etiam singulariter. » Et Maximus contra Anomœum edisserens, « Quandoquidem solus ex solo. » Et Thaumaturgus Gregorius, « Unus Deus Pater Verbi, et B unus Dominus solus ex solo. » Et inclytus Damascenus Oratione de Triade, cujus principium *Credimus itaque :* « Solus ex solo Patre Filius solus generatus est. » Anastasium item, et alios plerosque sanctos repereris, id idem asseverantes. Attamen ex solo Patre ante sanctam œcumenicam synodum nemo dixit, per Filium vero, ut prænotavimus, sancti selectiores et sancta septima synodus. Octava itaque præcedenti septimæ per Filium Spiritum sanctum procedere asseveranti insistens, examinansque quid illa præpositio *per* insinuaret, ex Evangelio, Symbolo, et doctoribus Ecclesiæ intellectum hauriens, causam denotare decrevit. Etenim ab Evangelio dicitur : *Omnia per ipsum facta sunt*, et *: Per quem omnia facta sunt*, sacrosanctum Symbolum definit, Paulusque Apostolus : *Per voluntatem Jesu Christi;* et *: Benedictus Deus per quem vocati estis in ministerium.* Quæ omnia causam significant. Aut igitur, et in hisce per causam non innuere comprehendant, maloque malum medeantur; aut sanctos non recte scripsisse, cum dicerent, Spiritum per Filium procedere, affirment, et alio sensu eos *per* accepisse, quod nec ue periti neque theologi fuerit. Sed quis similia de sancta œcumenica synodo aliisque asserere auderet? Licet Pater Chrysostomus ad verbum hæc tradat : « Solet enim per hoc, illud ab hoc Scriptura usurpare, ut cum dicit, *Possedi hominem per Deum*, non secundam, sed primam causam exprimens, » et D quæ sequuntur. Videsne divum Chysostomum affirmare, *per* causam apud Scripturam notare? Divinus item Maximus in Dialogis adversus Anomœum ait : « Puris omnia pura apud nos secundum Scripturæ mentem. *Per quem* idem est, ac si diceret, *ex quo.* » Et superaddit apostolicum testimonium, cum Paulus dicat : *Per quem, fidelis Deus, vocati estis in ministerium* [1]. Et Nyssenus Gregorius, Filium causam aperte dicit Spiritus sancti his ipsissimis verbis, Oratione ad Anomœum : « Siquidem aliquod temporarium intervallum apponeret Unigeniti hypostasi, qui Patrem ante Filium sola cau-

ε'. Ὅτι δὲ ἐκ μόνου τοῦ Πατρὸς οἱ ἅγιοι τὸν Υἱὸν θεολογοῦσι γεννᾶσθαι, ἄκουσον. Φησὶ γὰρ ὁ μέγας Βασίλειος ἐν τοῖς *Ἀντιῤῥητικοῖς*, « Μονογενὴς ὁ Υἱὸς διὰ τὸ μόνος ἐκ μόνου γεννᾶσθαι. » Καὶ Γρηγόριος ὁ Θεολόγος ἐν τῷ περὶ Υἱοῦ δευτέρῳ· « Μονογενὴς δὲ οὐχ ὅτι μόνος ἐκ μόνου καὶ μόνον, ἀλλ' ὅτι καὶ μονοτρόπως. » Καὶ Μάξιμος δὲ μετὰ Ἀνομοίου διαλεγόμενος φάσκει, « Ἐπειδὴ μόνος ἐκ μόνου. » Καὶ ὁ Θαυματουργὸς δὲ Γρηγόριος λέγει· « Εἷς Θεὸς Πατὴρ Λόγου, καὶ εἷς Κύριος μόνος ἐκ μόνου. » Καὶ Δαμασκηνὸς δὲ ὁ κλεινὸς ἐν τῷ περὶ Τριάδος λόγῳ, οὗ ἡ ἀρχὴ, Πιστεύομεν τοιγαροῦν, φησὶν, ὅτι « Μόνος ἐκ μόνου τοῦ Πατρὸς ὁ Υἱὸς, μόνος ἐγεννήθη. » Καὶ Ἀναστάσιον δὲ, καὶ ἄλλους πολλοὺς τῶν ἁγίων εὑρήσεις οὕτω τοῦτο θεολογοῦντας. Ἐκ μόνου δὲ τοῦ Πατρὸς πρὸ τῆς ἁγίας οἰκουμενικῆς συνόδου οὐδεὶς εἶπεν. Διὰ τοῦ Υἱοῦ δὲ, ὡς καὶ φθάσαντες εἴπομεν, οἱ τῶν ἁγίων ἔκκριτοι, καὶ ἡ ἁγία ἑβδόμη σύνοδος. Ἡ γοῦν ὀγδόη τῇ πρὸ αὐτῆς ἀκολουθοῦσα ἑβδόμῃ, τῇ λεγούσῃ δι' Υἱοῦ ἐκπορευόμενον τὸ Πνεῦμα τὸ ἅγιον, καὶ τί ἂν βούλοιτο σημαίνειν ἡ *διά*, αἰτίαν ἐρευνῶσα ἐκ τοῦ Εὐαγγελίου καὶ τοῦ συμβόλου καὶ τῶν διδασκάλων τῆς Ἐκκλησίας τοῦτο C πορισαμένη. Θεσπίζει γὰρ τὸ Εὐαγγέλιον, *Πάντα δι' αὐτοῦ ἐγένετο*, καὶ *Δι' οὗ τὰ πάντα ἐγένετο*, τὸ ἱερὸν σύμβολον ὁρίζεται. Καὶ Παῦλος ὁ ἀπόστολος, *Διὰ θελήματος Ἰησοῦ Χριστοῦ*, καὶ, *Εὐλογητὸς ὁ Θεὸς, δι' οὗ ἐκλήθητε εἰς διακονίαν*, ἅπερ ταῦτα πάντα αἰτίαν σημαίνουσιν. Ἢ γοῦν καὶ ἐν τούτοις μὴ σημαίνειν αἰτίαν φρονήτωσαν τὴν *διὰ*, καὶ κακῷ τὸ κακὸν θεραπευέτωσαν, ἢ τοὺς ἁγίους μὴ ὀρθῶς γράφοντας, ἐν τῷ λέγειν δι' Υἱοῦ τὸ Πνεῦμα ἐκπορεύεσθαι λεγέτωσαν, καὶ ἄλλως τὴν *διὰ* τούτους νοεῖν, ὅπερ οὔτε ἐπιστημόνων ἐστὶν, οὔτε θεολόγων. Ἀλλὰ τίς ταῦτα τολμήσειεν εἰπεῖν περὶ τῆς ἁγίας οἰκουμενικῆς ἑβδόμης συνόδου, καὶ τῶν λοιπῶν; Καίτοι γε τοῦ Χρυσοστόμου Πατρὸς οὕτω ῥητῶς λέγοντος· « Οἶδε γὰρ τὸ δι' οὗ, τὸ ὑφ' οὗ λέγειν ἡ Γραφὴ, ὡς ὅταν λέγῃ, *Ἐκτησάμην ἄνθρωπον διὰ τοῦ Θεοῦ*, οὐ τὸ δεύτερον αἴτιον, ἀλλὰ τὸ πρῶτον τιθεῖσα· » καὶ τὰ ἑξῆς. Ὁρᾷς ὅτι ὁ θεῖος Χρυσόστομος τὴν *διὰ* αἰτίαν σημαίνειν λέγει παρὰ τῇ Γραφῇ; Καὶ ὁ θεῖος Μάξιμος ἐν τοῖς πρὸς Ἀνόμοιον διαλόγοις φησὶ· « Τοῖς καθαροῖς πάντα καθαρὰ παρ' ἡμῖν κατὰ τὸν σκοπὸν τῆς Γραφῆς. Τὸ *δι' οὗ* ταυτόν ἐστι τῷ *ἐξ οὗ*· » καὶ ἐπιφέρει μαρτυρίαν ἀποστολικὴν, ἀμέλει λέγει ὁ Παῦλος, *Δι' οὗ, πιστὸς ὁ Θεὸς, ἐκλήθητε εἰς διακονίαν*. Καὶ ὁ Νύσσης ὁ Γρηγόριος τὸν Υἱὸν αἰτίαν λέγει σαφῶς τοῦ ἁγίου Πνεύματος, λέγων οὕτως ἐν τῷ πρὸς τὸν Ἀνόμοιον

[1] I Cor. I, 9.

πρώτῳ λόγῳ· « Εἰ μέν τινα χρονικὴν ἔμφασιν ὑπερ- A
ετίθει τῇ τοῦ Μονογενοῦς ὑποστάσεως ὁ τὸν Πα-
τέρα τοῦ Υἱοῦ μόνῳ τῷ τῆς αἰτίας λόγῳ προθεω-
ρῶν, εἰκότως ἂν ὁ περὶ τῆς ἀϊδιότητος ἡμῖν λόγος
περὶ τοῦ Υἱοῦ ἐκινδυνεύετο· » καὶ μετά τινα· « Ὡς
γὰρ συνάπτεται ὁ Υἱὸς τῷ Πατρὶ, καὶ ἐξ αὐτοῦ εἶναι
ἔχων, οὐχ ὑστερίζει κατὰ τὴν ὕπαρξιν· οὕτω πάλιν
καὶ τοῦ Μονογενοῦς ἔχεται τὸ Πνεῦμα τὸ ἅγιον, ἐπι-
νοίᾳ μόνῃ κατὰ τὸν τῆς αἰτίας λόγον προθεωρουμέ-
νου, τῆς τοῦ Πνεύματος ὑποστάσεως. » Καὶ Κύρι-
λος δὲ ὁ θεσπέτιος ἐν τοῖς *Θησαυροῖς* ἐν τριακοστῷ
τρίτῳ κεφαλαίῳ φησίν· « Ὅτε τοίνυν εἷς ἐστι Κύ-
ριος Ἰησοῦς Χριστὸς κατὰ τὴν τοῦ Παύλου φωνὴν,
Κύριον δὲ τὸ Πνεῦμα καλεῖ, οὐδεμίαν ἄρα φύσεως
διαφορὰν τοῦ Υἱοῦ καὶ Πνεύματος, ἀλλ' ὡς ἐξ αὐτοῦ, B
καὶ ἐν αὐτῷ φυσικῶς ὑπάρχων τῷ τῆς κυριότητος
ὀνόματι καλεῖ. » Καὶ τί δεῖ πάντα τῶν ἁγίων προ-
τιθέναι, ἅπερ πολλὰ ὄντα εἰς μῆκος τὸν λόγον ἐκ-
τείνει; καὶ ταῦτα ἐν ταῖς πρὸς τὸν αἰδέσιμον ἐκεῖ-
νον Ἐφέσου ἀπολογίαις, ἔτι περιόντος τοῦ βίου, ἐγ-
χαράξαντες, καὶ πρὸς ἄλλους τοὺς ἐκείνῳ ἑξακολου-
θοῦντας. Διὸ ἀρκεῖν ἡγούμεθα καὶ μόνον ἐμφανίσαι,
ὅτι ἡ ὀγδόη σύνοδος τῇ πρὸ αὐτῆς ἑβδόμῃ ἑξακο-
λουθοῦσα, οὐδὲν καινὸν δόγμα εἰσῆξεν, ἀλλὰ τὴν *διὰ*
διεσάφησεν, ἣν αὕτη περὶ τοῦ ἁγίου Πνεύματος ἐθεο-
λόγησε καὶ οἱ πρὸ αὐτῆς ἅγιοι Πατέρες καὶ θεοφό-
ροι, ἐκ τῶν ἁγίων λαβοῦσα τὰς μαρτυρίας, καὶ τῶν
ἀχράντων Εὐαγγελίων, καὶ τῶν ἀποστολικῶν βίβλων,
καὶ τῶν τῆς Ἐκκλησίας διδασκάλων. Καὶ οὐδαμῶς
ἐνηλλάξαμεν τὸ πάτριον ἡμῶν δόγμα, ἀλλ' αὐτὸ ὅπερ
συνεπτυγμένως ἐκηρύττομεν, νῦν διεσαφήσαμεν, C
ὥσπερ καὶ ἐν ταῖς ἄλλαις συνόδοις γέγονε, τὰ συνεπτυγμένως κηρυττόμενα ἐξαπλοῦντες.

ς'. Εἰ δὲ καὶ οἱ Λατῖνοι οὐ λέγουσιν αἴτιον καὶ αἰ-
τιατὸν ἐπὶ τῶν ἐντὸς δύο προόδων, ὡς οὐδὲ ὁ θεσπέ-
σιος Κύριλλος ταῦτα βούλεται, λέγων, « Αἴτιον καὶ
αἰτιατὸν ἐπὶ τῆς ἁγίας Τριάδος, οὐ θεμιτὸν λέγειν, »
ἀλλ' ἀρχὴν ἀντὶ αἰτίου λέγουσι, καὶ εἰς ταυτὸν συν-
έρχονται τό τε αἴτιον καὶ ἡ ἀρχή. Ὅπερ καὶ ὁ Θεο-
λόγος Γρηγόριος λέγει, « Ἡ ἐκ τῆς ἀρχῆς ἀρχὴ·
ἀλλ' οὐ δύο ἀρχὰς νομίζομεν. » Διότι πᾶν τὸ μὴ διακ-
ρῖνον τὸν Πατέρα καὶ τὸν Υἱὸν κοινόν ἐστι Πατρὶ
καὶ Υἱῷ. Τὸ προβάλλειν οὖν οὐ διακρίνει τὸν Πατέρα
καὶ τὸν Υἱὸν, τὸ προβάλλειν ἄρα κοινὸν Πατρὶ καὶ
Υἱῷ. Διὰ τοῦτο καὶ μία ἀρχὴ τοῦ ἁγίου Πνεύματος ὁ
Πατὴρ καὶ ὁ Υἱὸς, καθὼς καὶ ὁ μαρτυρούμενος παρὰ D
τῶν οἰκουμενικῶν συνόδων πέμπτης τε, καὶ ἕκτης,
καὶ ἑβδόμης σοφώτατος καὶ ἐξοχώτατος καὶ μέγας
διδάσκαλος τῆς Ἐκκλησίας καὶ ἅγιος καὶ μακάριος
Αὐγουστῖνος, οὕτω γὰρ μαρτυρεῖται παρὰ τῶν εἰρη-
μένων ἁγίων καὶ οἰκουμενικῶν συνόδων, λέγει, ὅτι
« Μία ἀρχὴ ὁ Πατὴρ καὶ ὁ Υἱὸς τοῦ ἁγίου Πνεύμα-
τος. » Καὶ εἰ μὲν ἀρκοῦσιν αὐτὰ τῇ σῇ βασιλείᾳ ὡς
ὑπόμνησις κατὰ τὸ, « Δίδου σοφῷ ἀφορμὴν, καὶ σο-
φώτερος ἔσται, » χάρις τῷ Θεῷ· εἰ δὲ καὶ ἔτι πλείονα
κελεύει, καὶ σαφέστερα ἐροῦμεν, δικνύντες διὰ τῆς
χάριτος τοῦ Χριστοῦ, ὡς οὐδὲν καινὸν εἰς τὴν Θεολο-
γίαν εἰσήξαμεν, καθὼς καὶ διὰ τοῦ Θείου Μαξίμου
δεδηλώκαμεν.

sæ ratione præintelligit, non incongrue ratio de
æternitate Filii periclitaretur. » Et paucis adjectis :
« Ut enim conjungitur Filius Patri, et ex eo quod
sit, habens secundum exsistentiam, posterior non
est, eadem plane ratione Spiritus sanctus cohæret
Unigenito, qui cogitatione sola secundum causæ
rationem Spiritus hypostasi præintelligitur. » Di-
vinus quoquè Cyrillus *Thesaurorum* capite tricesi-
mo tertio dicit : « Quando igitur unus est Dominus
Jesus Christus secundum Pauli vocem, Dominum
vero Spiritum vocat, nullum ergo discrimen naturæ
Filii et Spiritus, sed tanquam ex ipso et in ipso na-
turaliter exsistens, dominationis nomine nuncupat. »
Et quid opus est sanctorum omnia hoc in loco testi-
monia digerere quæ, cum plurima sint, prolixiorem
sermonem redderent : et ea jam nos in Responsio-
nibus ad reverendum illum Ephesium, cum adhuc
inter vivos esset, aliosque qui cum eo una senties-
bant, exscripsimus? Quapropter satis esse remur,
si vel solum palam fecerimus octavam synodum
septimæ, quæ eam præcesserat, insistentem vesti-
giis, nullum novum dogma induxisse, sed solu-
modo propositionem *per* declarasse, quam illa de
Spiritu sancto, et ante eam sancti ac deiferi Pa-
tres asseveraverant, ex sanctis, et Evangeliis imma-
culatis, et voluminibus apostolicis, necnon et
doctoribus Ecclesiæ petitis testimoniis : nosque
nullo modo paternum dogma immutasse, sed quod
obscure prædicabamus, aperte enuntiasse, veluti
et in aliis synodis factum est, contracta et perob-
scura productioribus vocabulis dilatantes.

6. Et licet Latini in duabus divinarum person-
rum progressionibus interioribus non fateantur
causam et effectum, quemadmodum neque divinus
Cyrillus simile quid in illis admittit, cum dicit :
« Causam et effectum in sanctissima Triade, haud
fas est dicere ; » nihilominus principium pro causa
ponunt, et in unum conveniunt et causa et princi-
pium, quod et theologus Gregorius astruit : « Ex
principio principium : verumtamen non duo prin-
cipia intelligimus. » Quod omne, quod non separat
Patrem et Filium, Patri et Filio commune est.
Producere itaque non separat Patrem et Filium ;
est ergo producere commune Patri et Filio. Pro-
pterea que et unum principium est Spiritus, Pater
et Filius, quemadmodum, qui œcumenicarum
synodorum quintæ, sextæ et septimæ testimonio
sapientissimus, et eminentissimus, magnusque
Ecclesiæ doctor declaratur, sanctus beatusque
Augustinus (bis enim præconiis a jam laudatis et
œcumenicis synodis extollitur) tradit : « Unum
principium Pater, et Filius, Spiritus sancti. » Et hæc
quidem si majestati tuæ satis videbuntur, ut me-
moriam excitent : namque dicitur, « Da occasionem
sapienti, et sapientior erit : » Deo gratia sit. Quodsi
plura afferri jubes, et planiora dicemus, gratia Dei
ostendentes nos nihil novi in res theologicas intro-
duxisse, ut ex divo Maximo manifestum fecimus.

7. Verumtamen necessum esse video, ut id quoque apertius demonstremus, nos divina statuta neque contempsisse neque pro nihilo duxisse, ut qui terrarum orbem universum scriptis adversus nos editis replevere, hac ratione nos diffamantes, commiscentesque omnia sollicite, ad Christi Ecclesiam dividendam, licet divinum ac sanctum Patrem Chrysostomum in expositione Epistolæ beati Pauli ad Ephesios dicentem audiant : « Non minus malum esse Ecclesiam dividere quam in hæresim prolabi. » Et in eadem Epistola idemmet alia Homilia fatetur : « Nihil tantum Deum irritat, quantum divisio Ecclesiæ, et licet innumera bona effecerimus, nos qui plenitudinem et integritatem ecclesiasticam scindimus, non minores pœnas dabimus, quam qui corpus Christi discerpunt. Hoc enim in utilitatem totius orbis peractum est, licet non eo animo, si reprobos illos respexeris, illud vero nulli commodo est, quin imo maximam noxam affert. Hæc vero non ad principes duntaxat, sed ad subditos quoque edicuntur. Vir quidam sanctus pronuntiavit, quod nonnullis audaciam sapere visum est, at pronuntiavit tamen. Quid illud est? Neque martyrii sanguine simile facinus oblitterari posse. Dicito enim mihi, quæso, quam ob causam martyrio te dedis. Nonne propter Christi gloriam ? Quo itaque modo Ecclesiam deprædaris, pro qua Christus suam projecit animam ? » Et Dionysius Alexandrinus in propriis canonibus ait : « Quodlibet tolerandum erat, ne Dei Ecclesia discinderetur, neque minus gloriosum erat ob non sacrificandum, quam ob non dividendam Ecclesiam martyrium : me autem judice, et multo illustrius. » Verum, hisce postputatis neglectisque, obturbant confunduntque et in his, et in reliquis aliis regionibus omnes. Ego porro pro certo confirmo excelsissimæ tuæ majestati, et veritatem ipsam testor, me propensissimo animo esse, minimeque reluctari, e solio patriarchico dimoveri : neque enim unquam in mentem meam venerat, testemque advoco Deum, patriarcham Constantinopolitanum creari, quin imo nec ante triginta annos episcopum, sed tantummodo in vita monastica immorari. Debitum vero me prægravat indeprecabile, non tantum excelsissimæ tuæ majestati, et animæ sacræ, sed et singulis hominibus, prout vires suppetent, isthæc declarare, et nunc ex parte declaro, et quod rursus decrit ad complementum, illud quoque, si Deus dederit, et tua majestas injunxerit, imperatorum optime, supplebo.

ζ'. Ἀλλ' ἀναγκαῖόν ἐστι καὶ μᾶλλον δεῖξαι, ὅτι οὐδὲ τῶν θείων ὅρων κατεφρονήσαμεν ἢ παρείδομεν, ὡς οἱ τὴν οἰκουμένην ἅπασαν καθ' ἡμῶν ἐμπλήσαντες γραφῶν, οὕτω περισύροντες, καὶ πάντα πρὸς τὸ διαιρεῖν τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν σπεύδοντες, φασί. Καίτοι γε τοῦ θείου Χρυσοστόμου καὶ ἱεροῦ Πατρὸς ἀκούοντες ἐν τῇ ἐξηγήσει τῆς πρὸς Ἐφεσίους Ἐπιστολῆς τοῦ μακαρίου Παύλου φάσκοντος, « Τοῦ εἰς αἵρεσιν ἐμπεσεῖν τὸ τὴν Ἐκκλησίαν σχίσαι οὐδὲν ἕλαττον κακὸν δείκνυσι. » Καὶ ἐν τῇ αὐτῇ Ἐπιστολῇ ὁ αὐτὸς ἅγιος ἐν ἄλλῃ ὁμιλίᾳ φησὶν, « Οὐδὲν οὕτω παροξύνει Θεὸν, ὡς τὸ Ἐκκλησίαν διαιρεθῆναι, κἂν μυρία ὦμεν ἐργασάμενοι καλὰ, τῶν τὸ σῶμα αὐτοῦ διατεμόντων οὐκ ἐλάττονα δώσομεν δίκην, οἱ τὸ πλήρωμα κατατέμνοντες τὸ ἐκκλησιαστικόν. Ἐκεῖνο μὲν γὰρ ἐπὶ κέρδει τῆς οἰκουμένης ἐγίνετο, εἰ καὶ μὴ ἀπὸ διανοίας τοιαύτης· τοῦτο δὲ οὐδαμοῦ τὸ χρήσιμον, ἀλλὰ πολλὴ ἡ βλάβη. Ταῦτά μοι οὐ πρὸς τοὺς ἄρχοντας μόνον εἴρηται, ἀλλὰ καὶ πρὸς τοὺς ἀρχομένους. Ἀνὴρ δέ τις ἅγιος, φησὶν εἰπέ τι δοκοῦν τολμηρὸν, πλὴν ὅμως ἐφθέγξατο. Τί δὲ τοῦτό ἐστιν; Οὐδὲ μαρτυρίου αἷμα δύναται ἐξαλείφειν τὴν ἁμαρτίαν ταύτην. Εἰπὲ γάρ μοι τίνος ἕνεκεν μαρτυρεῖς; Οὐ διὰ τὴν δόξαν τοῦ Χριστοῦ; Πῶς Ἐκκλησίαν πορθεῖς, ὑπὲρ ἧς τὴν ψυχὴν προήκατο ὁ Χριστός; » Καὶ Διονύσιος ὁ Ἀλεξανδρείας ἐν τοῖς ἰδίοις κανόσι φησίν· « Ἔδει μὲν γὰρ καὶ πᾶν ὁτιοῦν παθεῖν ὑπὲρ τοῦ μὴ διακόψαι τὴν Ἐκκλησίαν τοῦ Θεοῦ. Καὶ ἦν οὐκ ἀδοξότερον τῆς ἕνεκεν τοῦ μὴ εἰδωλολατρῆσαι γινομένης ἡ ἕνεκεν τοῦ μὴ σχίσαι μαρτυρία. Κατ' ἐμὲ δὲ καὶ μείζων. » Ἀλλὰ ταῦτα εἰς οὐδὲν θέμενοι διακυκῶσι καὶ ἐκταράττουσι, καὶ τοὺς ἐντοῦθα καὶ τοὺς ἀπανταχοῦ. Ἐγὼ δὲ πληροφορῶ τῇ σῇ ὑψηλοτάτῃ βασιλείᾳ ἐπὶ μάρτυρι τῇ ἀληθείᾳ, ἐξ ὅλης τῆς ψυχῆς ἀποδέχομαι ἐξελθεῖν τοῦ πατριαρχείου. Οὐδέποτε γὰρ ἀνέβη τὸ τοιοῦτον ἐπὶ μάρτυρι τῷ Κυρίῳ εἰς τὸν ἐμὸν λογισμὸν, τὸ γενέσθαι με ἐπίσκοπον Κωνσταντινουπόλεως, ἀλλ' οὐδὲ πρὸ τριάκοντα χρόνων, ἵνα γένωμαι ἀρχιερεὺς, ἀλλ' ἐν μόνῳ ἐμμένειν τῷ τῶν μονοτρόπων σχήματι. Χρέος δὲ ἔχω ἀπαραίτητον κατὰ τὸ ἐνόν μοι διασαφῆσαι οὐ μόνον τῇ σῇ ὑψηλοτάτῃ βασιλείᾳ καὶ ἱερᾷ ψυχῇ, ἀλλὰ καὶ παντὶ ἀνθρώπῳ. Νῦν οὖν ἀπὸ μέρους διασαφῶ, καὶ ὅπάλιν ἐλλείπει εἰς ἰκανοποίησιν, καὶ τοῦτο, εἰ Θεὸς κελεύει, καὶ ἡ σὴ βασιλεία ἔχει θέλημα, βασιλέων ἄριστε, ἀποπληρώσομεν.

8. Necessarium porro ducto altius initio de decretis et definitionibus fidei, quantum per tempus licuerit, in præsenti Commentario, ad veritatem manifestandam aliquid in medium afferre. Etenim si semel quispiam excommunicationi subactus ab episcopo, tympani instar intumescit, ut hoc nostro tempore vidimus, et præsulis absolutione dissolvitur, et in pulverem fatiscit, multo magis cum sancti Patres in œcumenicis synodis convenerint, in nomine Christi Servatoris pro veritate, et rectis

η'. Ἀλλ' ἀναγκαῖον ἡγοῦμαι ἄνωθέν τε καὶ ἐξ ἀρχῆς ἐκθεῖναι τὸ περὶ τῶν ὅρων, καθόσον ἐγχωρεῖ νῦν ἐν τῷ παρόντι ὑπομνήματι εἰς δήλωσιν ἀληθείας. Εἰ γὰρ ἁπλῶς ἀφορισμὸν ἐπισκόπου δεξάμενός τις τυμπανίας ὁρᾶται, ὡς καὶ νῦν εἴδομεν, καὶ τῇ συγχωρήσει τοῦ ἀρχιερέως διαλύεται, πολλῷ μᾶλλον ἁγίων Πατέρων ἐν οἰκουμενικαῖς συνόδοις συνελθόντων ἐν ὀνόματι τοῦ Σωτῆρος Χριστοῦ ὑπὲρ ἀληθείας καὶ τῶν ὀρθῶν δογμάτων, καὶ τὸν Χριστὸν ἐχόντων ἐν ἑαυτοῖς λαλοῦντα, καθὼς αὐτός φησιν, Ὅπου εἰσὶ

συνηγμένοι ἐν τῷ ὀνόματι αὐτοῦ μέσον εἶναι, τὰ παρ' ἐκείνων εἰρημένα τοσοῦτον ἔχει τὸ ἰσχυρὸν, ὥστε μηδένα πρὸς ταῦτα ἀντιβλέπειν. Ἀλλὰ τὸ κώλυμα τῆς ἑτέρας πίστεως ἀπὸ τῶν πανευφήμων ἀποστόλων ἐστίν. Ἐπεὶ καθὼς φησι Παῦλος, *Μία πίστις, εἷς Κύριος*. Ἐπεὶ οὖν μία πίστις, ἡ ἑτέρα πάντως ἐναντία. Εἰ γὰρ ἑτέρα, οὐ μία. Ἦν γὰρ ἡ αὐτὴ, καὶ οὐχὶ ἑτέρα. Εἰ δὲ ἑτέρα, οὐχ ἡ αὐτή. Παῦλος δὲ ὁ μέγας ἀπόστολος κηρύττει, *Εἴ τις εὐαγγελίζεται ἄλλο παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω*. Καὶ Διονύσιος δὲ ὁ τούτου φοιτητὴς ἀποφαίνεται καθόλου λέγων, « Οὐ τολμητέον εἰπεῖν παρὰ τὰ θεηδῶς ἡμῖν περὶ τῶν θείων λογίων ἐκπεφασμένα, οὔτε εἰπεῖν, οὔτε ἐννοῆσαι. » Ἀλλὰ πᾶσαι αἱ σύνοδοι καὶ ἅγιαι καὶ ἱεραὶ ἐξήπλωσαν καὶ διεσάφησαν, καὶ οἱ ἱεροὶ Πατέρες, καὶ οὐδαμοῦ ἔδοξαν ἑτέραν πίστιν ποιῆσαι διὰ τῆς διασαφήσεως· καὶ ἐξαπλώσεως τῶν ἱερῶν λογίων. Ἀλλ' ἴωμεν ἐπὶ τὴν ἀπόδειξιν ἀποδεικνύντες, ὡς οὐ καλῶς λεγόντων τῶν καινοφωνούντων, ὅτι τοὺς ὅρους παρείδομεν, λεγόντων καθ' ἡμῶν ἐκεῖνα, ἅπερ οὐ θέμις λέγειν. Καὶ γὰρ τὸ *ὁμοούσιον*, καὶ τὸ *Θεὸς τὸ Πνεῦμα τὸ ἅγιον*, καὶ τὸ *Θεοτόκος*, *καὶ τὴν καθ' ὑπόστασιν ἕνωσιν* οἱ θεῖοι ἀπόστολοι οὐκ εἶπον, ἀλλ' οὐδ' ὅσα οἱ ἅγιοι διεσάφησαν· ἀλλ' οὐ τολμηταὶ, οὐδ' ὑπὸ τὸ ἀνάθεμα ἐκρίθησαν. Καὶ τοῦτο μάλα καλῶς παρίστησι καὶ ἡ σύνοδος ἡ κατὰ Ἀκινδύνου συναχθεῖσα, ἐγκαλουμένη παρὰ τῶν στασιαζόντων, καθὼς περιέχεται ἐν τῷ Τόμῳ, οὗ ἡ ἀρχή· « Οὔτε κατὰ τὴν τῆς Ἐκκλησίας τοῦ κοινοῦ πολεμίου ἀγνοεῖν οὐδένα. » Μετὰ πολλὰ φησι· « Τίνος ἕνεκεν βασιλέως εὐσεβοῦς ζῶντος παρ' αὐτῶν τοιαῦτα κατὰ τῆς εὐσεβείας τολμᾶται; Οἳ δὲ ἠτιάσαντο προσθήκην τινὰ ἐν τῇ ὁμολογίᾳ τῶν χειροτονουμένων ἀρχιερέων γεγενημένην· » καὶ μετά τινα· « Ἐπὶ τούτοις ἡ θεία σύνοδος, πρὸς ἣν φατὲ δυσχεραίνειν, φησὶ, προσθήκην, ἥτις οὐδὲ προσθήκη ἂν δικαίως καλεῖται, ὡς ἀνάπτυξις οὖσα τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου. » Οὕτω σαφῶς φαίνεται καὶ παρὰ τούτων τῶν Πατέρων, ὅτι ἀνάπτυξις οὐ κωλύεται, οὐδὲ σαφήνεια, ὡς νοουμένου καὶ τοῦ μὴ εἰρημένου. Πῶς οὖν ἐν αἰτίοις ποιήσομεν τοὺς ταυτὰ τούτοις λέγοντας, ὡς σαφήνειαν καὶ ἀνάπτυξιν πεποιηκέναι;

A fidei dogmatibus, Christum in semetipsis loquentem habentes, ut ipse dicit : *Ubi sunt congregati in nomine meo, in medio eorum sum* [1], ea n decretis suis firmitatem tribuunt, ut nemini fas sit ex adverso in ea aspicere. Prohibitio alterius fidei a gloriosissimis ipsis apostolis est, quandoquidem Paulus scribit : *Una fides, unus Dominus* [2]. Cum igitur una fides est, modis omnibus alia contraria illi fuerit : nam si alia est, non utique una est. Esset enim eadem, et non alia ; quod si alia est, non eadem est. Paulus item magnus apostolus intonat : *Si quis evangelizet aliud præter id quod accepistis, anathema sit* [3]. Et Dionysius illius discipulus decernit, « In B universum non esse nobis audendum præter ea, quæ divinitus de divinis eloquiis revelata sunt; aliquid vel dictione prosequi, vel mente concipere. » Sed universæ synodi sacrosanctæ, et Patres res divinas extenderunt, et declararunt, et tamen nullo in loco reputati sunt, propter sanctorum eloquiorum extensionem et declarationem, aliam fidem composuisse. Properemus ad ipsam demonstrationem, qua palam omnibus fiet, non recte loqui, qui inaniter vociferantur, asserentes, nos decreta Patrum contempsisse, obloquuntursque adversus nos, quæ nefas est dicere. Etenim *Homousion, et Deum Spiritum sanctum, et Deiparam, et secundum hypostasim unionem*, neque divini Apostoli enuntiarunt, neque Patres sanctissimi p r C omnia declararunt, sed non propterea audaces fuisse, et anathema incurrisse eos qui declararunt, existimatum est : quod aptissime confirmat adversus Acindynum coacta synodus, ab iis, qui seditionibus operam dabant, in crimen vocata, ut habetur in tomo, cujus principium : « Neque adversus Ecclesiam communis adversarii ignorare neminem. » Multis interjectis demum subdit : « Qua de causa pio imperatore adhuc superstite similia contra pietatem audent? Hi vero criminati sunt additionem quamdam factam esse in confessione eorum præsulum, qui in dignitatem promoventur. » Et post pauca : « De his sancta synodus, adversus D quam iniquiores estis, additionem, dicit, quæ nec merito additio vocari debet, tanquam quæ declaratio sit sanctæ et œcumenicæ sextæ synodi. » Sic manifesto apparet apud hos quoque Patres non prohiberi expositionem, neque declarationem, æque ac si subintelligeretur, quod verbis expressum non est. Qua igitur ratione in crimen vocabimus eos, qui eadem atque isti fatentur, et declarationem atque expositionem apposuisse non negant?

Ο'. Ἔτι δὲ ἔλεγεν ὁ Ἐφέσου, ὡς τὸ κώλυμα τοῦτο παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς τρίτης συνόδου νενομοθέτητο. Φησὶ γὰρ, « Κατ' οὐδένα τρόπον σαλεύεσθαι παρά τινων ἀνεχόμεθα τὴν ὁρισθεῖσαν πίστιν, ἤτοι τὸ τῆς πίστεως Σύμβολον, τὸ παρὰ τῶν ἁγίων Πατέρων ἡμῶν τῶν ἐν Νικαίᾳ συνελθόντων κατὰ καιροὺς, οὔτε μὴν ἐπιτρέπομεν ἑαυτοῖς, ἢ ἑτέροις, ἢ λέξιν ἀμεῖψαι τῶν ἐγκειμένων ἐκεῖσε, ἢ μίαν γοῦν παραβῆναι συλλαβήν, μεμνημένοι τοῦ λέγοντος, « Μὴ μεταίρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ Πατέ-

9. Præterea dicebat Ephesius, prohibitionem hanc a sancta et œcumenica tertia synodo præscriptam fuisse ; namque scribit : « Nullo modo moveri ab aliquibus sustinemus decretam fidem, sive fidei Symbolum a sanctis Patribus nostris Nicææ certis temporibus congregatis compositum : neque nobis ipsis, vel aliis permittimus, aut rerum ibi positarum dictionem immutare, aut unam syllabam prætergredi, dicentis memores, ne sustolle fines sempiternos, quos posuere Patres tui, et quæ se-

[1] Matth. xviii, 20. [2] Ephes. iv, v. [3] Galat. i, 8.

quuntur. Hæc ut se habeant, consideremus. Neque ex alienis, neque ex nostris cogitatis demonstrabimus, sed ex sanctorum Patrum et Ecclesiæ doctorum dictis, non a tertia synodo, sed ante secundam quoque prohibitionem illam factam fuisse. Scribit namque magnus Basilius epistola ad Antiochenam Ecclesiam, cujus principium : Quis dabit mihi alas instar columbæ? : « Fidem nos neque recentiorem ab aliis conscriptam acceptamus, neque ipsis mentis nostræ fœtus aliis obtrudere audemus, ne humana faciamus pietatis verba, sed quæ a sancti Patribus edocti sumus, ea nos interrogantibus annuntiamus. Est itaque Ecclesiæ nostræ a Patribus administratæ etiam a sanctis Patribus, qui Nicææ convenere, conscripta fides, quam tametsi arbitramur ore tenus, et apud vos in usu haberi, non tamen detrectabimus, ne desidiei crimine notemur, ipsa quoque verba litteris annotare. Sunt autem ista : *Credimus in unum Deum Patrem omnipotentem*, et reliqua Symboli Nicæni. » Annon congruunt inter se concorditer et magnus Basilius, et divus Cyrillus, qui ait, « Non permittimus neque nobismetipsis, neque aliis ? » Et divinus quidem Cyrillus hoc modo, et magnus Basilius, quæ supra apposita sunt : « Fidem nos neque recentiorem ab aliis conscriptam acceptamus, neque ipsi mentis nostræ fœtus aliis obtrudere audemus. » Quod unum idemque est cum eo : « Non permittimus nobis ipsis, nec aliis. »

10. Præterea, pluribus enim hoc idem exponendum est, ait sanctus Athanasius tomo ad Antiochenos, cujus principium, Dilectis, et desideratissimis, : « Nil præter ea, quæ Nicææ decreta sunt, promere. » Et paucis interjectis : » Voluere enim nonnulli quasi manca essent, quæ Nicæna synodus tradiderat, de fide aliquid scribere et manus audacter admovere. Verumtamen synodus Sardicæ coacta non æquo animo tulit, ordinavitque, nihil præterea de fide scripto tradere, sed acquiescere illi quæ a Patribus in Nicæa urbe fides tradita est, quod nihil in ea desit, sed pietate abundet. Et quod secunda fides scripitanda non est, ne, quæ Nicææ scripta est, veluti manca atque imperfecta existimata, ansa præbeatur volentibus multa scribere deceernereque de fide. » Et non postmulta : « Meliorem accuratioremque esse, quæ a Patribus fides composita est, et in posterum illius verbis esse acquiescendum, illisque utendum. » Ex hoc item sancto palam fit, ante secundam synodum hanc prohibitionem fuisse, superadditque, Sardicensem synodum, non æquo animo tulisse, ordinasseque ne quid in posterum de fide scriberetur, sed acquiescerent fidei a Patribus Nicææ conscriptæ, quod nihil in ea deficeret, sed esset pietatis plena. Subscripsereque dicto tomo triginta tres. Et sanctus ad corroboranda dicenda Sardicensis synodi mentionem inducit. Et hæc satis abundeque sint ; quibus commonstratum est, prohibitionem alterius fidei multo ab hinc tempore et a

A ρες σου· » καὶ τὰ ἑξῆς. Ἴδωμεν δὲ πῶς ἔχει. Καὶ οὐκ ἔχομεν τοῦτο ἄλλως ἀποδεῖξαι οὐδ' ἀπὸ τῆς ἡμετέρας διανοίας, ἀλλ' ἐξ ὧν οἱ θεῖοι Πατέρες καὶ διδάσκαλοι λέγουσιν, ὅτι οὐκ ἀπὸ τῆς τρίτης συνόδου ἐγένετο τὸ κώλυμα, ἀλλὰ καὶ πρὸ τῆς δευτέρας. Φησὶ γὰρ ὁ μέγας Βασίλειος ἐν τῇ ἐπιστολῇ τῇ πρὸς τὴν Ἀντιοχέων Ἐκκλησίαν, ἧς ἡ ἀρχή, Τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς· « Πίστιν ἡμεῖς οὔτε παρ' ἄλλου γραφομένην ἡμῖν νεωτέραν παραδεχόμεθα, οὔτε αὐτοὶ τὰ τῆς ἡμετέρας διανοίας γεννήματα παραδιδόναι τολμῶμεν, ἵνα μὴ ἀνθρώπινα ποιήσωμεν τὰ τῆς εὐσεβείας ῥήματα, ἀλλ' ἅπερ παρὰ τῶν ἁγίων Πατέρων δεδιδάγμεθα, ταῦτα τοῖς ἐρωτῶσιν ἡμῖν διαγγέλλομεν. Ἔστι τοίνυν ἐκ Πατέρων ἐμπολιτευομένη τῇ Ἐκκλησίᾳ ἡμῶν ἡ γραφεῖσα παρὰ τῶν ἁγίων Πατέρων πίστις τῶν κατὰ
B Νίκαιαν συνελθόντων ἡμῖν, ἣν ἡγούμεθα μὲν διὰ στόματος εἶναι καὶ παρ' ὑμῖν, οὐ παραιτούμεθα δέ, ἵνα μηδὲ ὄκνου ἔγκλημα ἐπενεγκώμεθα, καὶ αὐτὰ τὰ ῥήματα ἐνσημῆναι τῷ γράμματι. Ἔστι δὲ ταῦτα· *Πιστεύομεν εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα*, καὶ τὰ ἑξῆς τοῦ κατὰ Νίκαιαν Συμβόλου. » Οὐ συμφώνως τῷ θείῳ Κυρίλλῳ καὶ ὁ μέγας Βασίλειος ταῦτά φησιν ; ὅτι, « Οὐκ ἐπιτρέπομεν ἑαυτοῖς, ἢ ἑτέροις. » Καὶ ὁ μὲν θεῖος Κύριλλος οὕτως· ὁ δὲ μέγας Βασίλειος τὰ ἀνώτερα, ὅτι, « Πίστιν ἡμεῖς οὔτε παρ' ἄλλου γραφομένην ἡμῖν νεωτέραν παραδεχόμεθα, οὔτε αὐτοὶ τὰ τῆς ἡμετέρας διανοίας γεννήματα παραδιδόναι τολμῶμεν. » Ὅπερ ἴσον καὶ ταυτόν ἐστι τῷ, « Οὐκ ἐπιτρέπομεν ἑαυτοῖς, ἢ ἑτέροις. »
C ι'. Ἔτι, δεῖ γὰρ καὶ διὰ πλειόνων τὸ περὶ τοῦτο διασαφῆσαι, φησὶν ὁ μακάριος Ἀθανάσιος ἐν τῷ πρὸς Ἀντιοχεῖς τόμῳ, οὗ ἡ ἀρχή, Τοῖς ἀγαπητοῖς καὶ ποθεινοτάτοις, « Μηδὲν πλέον τῶν ἐν Νικαίᾳ προδάλλεσθαι· » καὶ μετά τινα· « Ἠξίωσαν μὲν γάρ τινες ὡς ἐνδεῶς ἐχούσης τῆς κατὰ Νίκαιαν συνόδου, γράψαι περὶ πίστεως, καὶ ἐπεχείρησαν προπετῶς. Ἡ δὲ ἁγία σύνοδος ἡ ἐν Σαρδικῇ συναχθεῖσα ἠγανάκτησε, καὶ ὥρισε μηδὲν ἔτι περὶ πίστεως γράφεσθαι, ἀλλ' ἀρκεῖσθαι τῇ ἐν Νικαίᾳ παρὰ τῶν
D Πατέρων ὁμολογηθείσῃ πίστει, διὰ τὸ μηδὲν αὐτῇ ἐλλείπειν, ἀλλὰ πλήρη εὐσεβείας εἶναι· καὶ ὅτι μὴ δεῖν δευτέραν ἐκτίθεσθαι πίστιν, ἵνα μὴ ἡ ἐν Νικαίᾳ γραφεῖσα ὡς ἀτελὴς οὖσα νομισθῇ, καὶ πρόφασις δοθῇ τοῖς ἐθέλουσι πολλὰ γράφειν, καὶ ὁρίζειν περὶ πίστεως. » Καὶ μετά τινά φησι· « Βελτίονα καὶ ἀκριβεστέραν εἶναι τὴν ἐν Νικαίᾳ παρὰ τῶν Πατέρων ὁμολογηθεῖσαν πίστιν, καὶ τοῦ λοιποῦ τοῖς ταύτης ἀρκεῖσθαι καὶ χρῆσθαι ῥήμασιν. » Καὶ ἐκ τούτου τοῦ ἁγίου φανερὸν καθίσταται, ὅτι καὶ πρὸς τῆς δευτέρας συνόδου τοῦτο τὸ κώλυμα ἦν. Καὶ προστίθησιν ὅτι ἡ ἐν Σαρδικῇ ἠγανάκτησε, καὶ ὥρισεν, Ὅτι μηδὲν ἔτι περὶ πίστεως γράφεσθαι, ἀλλ' ἀρκεῖσθαι τῇ ἐν Νικαίᾳ παρὰ τῶν Πατέρων ὁμολογηθείσῃ πίστει, διὰ τὸ μηδὲν αὐτῇ ἐλλείπειν, ἀλλὰ πλήρη εὐσεβείας εἶναι. Καὶ τοῦτον τὸν Τόμον ὑπέγραψαν τριάκοντα τρεῖς. Ὁ δὲ ἅγιος εἰς βεβαίωσιν τῶν ῥηθησομένων καὶ τῆς ἐν Σαρδικῇ μέμνηται συνόδου. Καὶ ταῦτα μὲν ἐς τοσοῦτον. Ὅθεν

δ δεικται ὅτι τὸ κώλυμα τῆς ἑτέρας πίστεως ἀνωθέν τε καὶ ἐξ ἀρχῆς παρὰ τῶν ἁγίων Πατέρων ἦν ἀποφανθέν. Ἀλλὰ καὶ οἱ ὅροι τῶν ἁγίων Πατέρων, εἰ δεῖ τἀληθὲς εἰπεῖν, καὶ τὸ τοῦ ἁγίου Κυρίλλου τὸ, « Οὐκ ἐπιτρέπομεν ἑαυτοῖς, ἢ ἑτέροις, » περὶ τοῦ ἐν Νικαίᾳ Συμβόλου φασίν.

ια'. Ὅτι δὲ τὰ δύο Σύμβολα οὐκ ἐγένοντο ἓν μάθημα, οὐδὲ ἥνωσέ τις τῶν Πατέρων ταῦτα, ἀποθειχθήσεται νῦν. Καὶ πρῶτον μὲν ἀπὸ τῆς τρίτης συνόδου. Αὕτη γὰρ τοῦ ἐν Νικαίᾳ μέμνηται, καὶ περὶ ἐκείνης φησίν, « Οὔτε μὴν ἐπιτρέπομεν ἑαυτοῖς, ἢ ἑτέροις, ἢ λέξιν ἀμεῖψαι τῶν ἐγκειμένων ἐκεῖσε, ἢ μίαν γοῦν παραθῆναι συλλαβήν. » Τοῦτο δὲ ἔλεγε πρὸς τοὺς μαχομένους ἀεὶ τῷ ὁμουσίῳ, ὡς προϊὼν ὁ λόγος δηλώσει. Ὅτι δὲ οὕτως ἔχει, ὡς διηρημένως ἔχουσι τὰ Σύμβολα, παρίστησι τοῦτο σαφῶς ἡ ἁγία καὶ οἰκουμενικὴ τετάρτη σύνοδος ἐν τῇ δευτέρᾳ πράξει αὐτῆς· « Πιστεύομεν εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, ὁρατῶν τε καὶ ἀοράτων ποιητήν, καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν, τὸν Υἱὸν τοῦ Θεοῦ, γεννηθέντα ἐκ τοῦ Πατρὸς, μονογενῆ, τουτέστιν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν οὐρανῷ καὶ τὰ ἐν τῇ γῇ, τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα, καὶ σαρκωθέντα, καὶ ἐνανθρωπήσαντα, παθόντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, ἀνελθόντα εἰς οὐρανοὺς, ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκροὺς, καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον. Τοὺς δὲ λέγοντας, Ἦν ποτε ὅτε οὐκ ἦν, καὶ πρὶν γεννηθῆναι οὐκ ἦν, καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας φάσκοντας εἶναι, ἢ τρεπτὸν, ἢ ἀλλοιωτὸν τὸν Υἱὸν τοῦ Θεοῦ, τούτους ἀναθεματίζει ἡ ἀποστολικὴ Ἐκκλησία. Οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Αὕτη ἡ πίστις τῶν ὀρθοδόξων. Ταύτην πάντες πιστεύομεν. Ἐν ταύτῃ ἐβαπτίσθημεν. Ἐν ταύτῃ βαπτίζομεν. Ὁ μακάριος ἐπίσκοπος Κύριλλος οὕτως ἐδίδαξεν. Αὕτη ἡ ἀληθινὴ πίστις. Αὕτη ἁγία πίστις. Αὕτη αἰωνία πίστις. Εἰς ταύτην ἐβαπτίσθημεν. Ὁ πάππας Λέων οὕτω; ἐπίστευσεν. Ὁ πάππας Λέων οὕτως ἡρμήνευσεν. Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Ἀναγινωσκέτωσαν δὲ καὶ τὰ ἐκτεθέντα παρὰ τῶν ἑκατὸν πεντήκοντα ἁγίων Πατέρων. Ἀέτιος εὐλαβέστατος διάκονος ἀπὸ βιβλίου ἀνέγνω· Ἡ ἁγία πίστις, ἣν ἐξέθεντο οἱ ἅγιοι ἑκατὸν πεντήκοντα Πατέρες συμφωνοῦσα τῇ ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ τῇ ἐν Νικαίᾳ· Πιστεύομεν εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα· » καὶ τὰ ἑξῆς μέχρι τοῦ, « μέλλοντος αἰῶνος. Ἀμήν. Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Αὕτη πάντων πίστις. Αὕτη πίστις τῶν ὀρθοδόξων. Οὕτω πάντες πιστεύομεν. » Ἀναγνωσθέντων δὲ καὶ τῶν Κυρίλλου ἐπιστολῶν, οἱ ἐπίσκοποι ἐβόησαν· « Πάντες οὕτω πιστεύομεν. Ὁ πάππας Λέων οὕτως πιστεύει. Ὁμοίως Λέων καὶ Ἀνατόλιος. Ὡς Κύριλλος, οὕτω πιστεύομεν. » Ἀναγνωσθείσης δὲ καὶ τῆς ἐπιστολῆς Λέοντος, τὰ αὐτὰ ἐπεβόησαν. Ὡσαύτως περὶ τούτων τῶν συμβόλων, καὶ ἐν τῇ πέμπτῃ ἁγίᾳ καὶ οἰκουμενικῇ

A principio a sanctis Patribus fuisse decretum. Sed et definitiones sanctorum Patrum, si verum fatendum est, et illud Cyrilli : « Non permittimus nobis ipsis, neque aliis, » de Nyæno Symbolo loquuntur.

11. Duo porro Symbola non fuisse unam doctrinam, neque ea aliquem unum ex Patribus univisse in præsenti demonstrabitur. Et primum quidem ex tertia synodo. Hæc enim Symboli Nicæni mentionem fecit, et de ea tradit : « Neque permittimus nobis ipsis, neque aliis, aut dictionem immutare ex iis quæ ibi sunt, aut saltem unam syllabam prævertere. » Hoc vero adversus homousii oppugnatores dicebat, ut procedens oratio manifestabit. Id autem ita se habere, duo scilicet Symbola divisa inter se esse, plane confirmat sancta et œcumenica quarta synodus actione secunda : « Credimus in unum Deum Patrem omnipotentem, visibilium et invisibilium factorem. Et in unum Dominum Jesum Christum Filium Dei, ex Patre natum, unigenitum, hoc est ejusdem cum Patre substantiæ, Deum de Deo, lumen de lumine, Deum verum de Deo vero, genitum, non factum, consubstantialem Patri, per quem omnia facta sunt, tum quæ in cœlo, tum quæ in terra sant. Qui propter nos homines, et propter nostram salutem descendit, et incarnatus est, et humanatus est, passus, et resurrexit tertia die, et ascendit in cœlos, et venturus est judicare vivos et mortuos. Et in Spiritum sanctum. Eos porro, qui dicunt, erat aliquando quando non erat, et ante quam generaretur non erat, et quod ex iis quæ non erant factus est, aut ex alia substantia, aut essentia affirmantes esse, aut mutabilem, aut alterabilem, eos Ecclesia apostolica anathemata ferit. Reverendissimi episcopi clamaverunt. Hæc fides orthodoxorum. Omnes sic credimus. In hac baptizati sumus. In hac baptizamus. Beatus episcopus Cyrillus ita docuit. Hæc vera fides. Hæc sancta fides. Hæc æterna fides. In hanc baptizati sumus. Papa Leo ita credidit. Papa Leo ita interpretatus est. Gratiosissimi principes, et amplissimus senatus dixerunt : Recitentur et quæ a centum quinquaginta Patribus exposita sunt. Aetius piissimus diaconus ex volumine recitavit : Sancta fides, quam ediderunt centum quinquaginta Patres, et est concors sanctæ magnæque synodo Nicænæ : Credimus in unum Deum, Patrem omnipotentem, » et reliqua usque ad illa, « futuri sæculi. Amen. Omnes piissimi Episcopi clamaverunt : Hæc omnium fides est. Hæc fides orthodoxorum. Sic omnes credimus. » Recitatis autem et Cyrilli epistolis, episcopi clamarunt : « Sic omnes credimus. Leo Papa sic credit. Similiter Leo et Anatolius. Uti Cyrillus, ita credimus. » Lecta item Leonis epistola, eadem clamaverunt. Eodem quoque modo hæc Symbola et in sancta quinta et œcumenica synodo, nullo immutato, et in octavo tomo sanctæ sextæ synodi, actione decima septima non alia ratione divisa reperies. Namque scribitur : « Expositio fidei

centum decem et octo Nicænorum sanctorum et Beatorum Patrum: Credimus in unum Deum Patrem omnipotentem: » totum Nicænum, cujus in fine subditur: « Expositio fidei centum quinquaginta Constantinopolitanorum beatorum Patrum. » Videsne separatim sejunctimque hæc sacra Symbola digeri, et non ut Ephesius contendebat, « Unam doctrinam fecisse Patres, in unum illis unitis, sicut rerum harum insciis videbatur? Et divinus Cyrillus: « Non permittimus neque nobis ipsis, neque aliis, aut dictionem ex iis quæ in eo habentur, immutare, aut unam saltem syllabam prævertere, » adversus eos qui semper homousio adversabantur, eloquitur.

A συνόδῳ ἀπαραλλάκτως, καὶ ἐν τῷ ἁγδόῳ Τόμῳ τῆς ἁγίας ἕκτης συνόδου ἐν Πράξει ἑπταικαιδεκάτῃ, εὑρήσεις οὕτω τὰ σύμβολα διηρημένα. Φησὶ γάρ· « Ἔκθεσις πίστεως τῶν ἐν Νικαίᾳ τιη' ἁγίων καὶ μακαρίων Πατέρων· Πιστεύομεν εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα· » τὸ ὅλον τὸ ἐν Νικαίᾳ, καὶ μετὰ τὸ τέλος τούτου φησίν· « Ἔκθεσις πίστεως τῶν ἐν Κωνσταντινουπόλει ἑκατὸν πεντήκοντα μακαρίων Πατέρων. » Ὁρᾷς ὅτι ἀνά μέρος ἔχουσι τὰ ἱερὰ συμβολα, καὶ οὐχ ὡς ὁ Ἐφέσου ἔλεγεν, ὅτι ἓν μάθημα ἐποίησαν οἱ Πατέρες, ἑνώσαντες ταῦτα, ὅπερ τοῖς ἀγνοοῦσιν ἐδόκει. Καὶ ὁ θεῖος δὲ Κύριλλος τὸ, « Οὐκ ἐπιτρέπομεν ἑαυτοῖς, ἢ ἑτέροις, ἢ λέξιν ἀμεῖψαι τῶν ἐγκειμένων ἐκεῖσε, ἢ μίαν γοῦν παραθῆναι συλλαβήν, » πρὸς τοὺς μαχομένους ἀεὶ τῷ ὁμουσίῳ τοῦτό φησιν.

12. Et rem ita se habere, atque de homousio sermonem esse et alii quidem quamplurimi asseverant; sed ad id roborandum satis superque mihi fuerint et Basilius et Maximus, Ecclesiæ lumina et doctores. Ille enim, ad Patrophilum episcopum epistola, cujus principium, Legi litteras tuas, post multa: « Ut quæ interea temporis gesta sunt ab illis, omittam, quoties fidem exponendo novarunt? Ancyræ dederunt aliam, Seleuciæ aliam, aliam Constantinopoli divulgatam illam, et aliam Lampsaci; postea et quam dederunt Nicæ Thraciæ, et jam nunc rursus aliam Cyzici, de qua et si reliqua ignoro, hoc tamen audio, quod silentio omissa consubstantialis confesssione, τὸ κατ' οὐσίαν ὅμοιον, secundum essentiam nempe simile, jam circumferunt. » Divinus quoque Maximus hæc habet: « Si factas synodos imperatorum mandata confirmant et non pia fides, acceptabunt utique adversus homousion celebratas synodos, quando jam illæ jussibus imperatorum celebratæ sunt, nempe primam Tyri, secundam Antiochiæ, tertiam Seleuciæ, quartam Byzantii sub Adoxio Ariano, quintam Nicæ in Thracia, sextam Sirmii: et præter has multos post annos septimam Ephesi secundum coactam, cui Dioscorus præerat. » Quibus apertum remanet homousii gratia sermonem ita digestum fuisse. Propterea quæ et Athanasius et Basilius et Cyrillus, Ecclesiæ firmissima fundamenta, hoc proprie ab ipsa prima sancta synodo confitentur, hic quidem, quod et assensum præbuerit, illi quod exceperint. Divus autem Basilius dicit: « Fidem nos neque recentiorem ab aliis conscriptam accipimus, neque ipsi nostræ mentis fœtus aliis obtrudere audemus, ne humana faciamus pietatis verba, » etc. Sanctus Athanasius: « Nihil præter ea, quæ Nicææ decreta sunt, promere. Et Sardicensem synodum, ægre tulisse, ordinasseque ne quid in posterum de fide scriberetur, sed acquiescerent fidei a Patribus Nicææ traditæ, quod in ea nihil deficeret, sed plena esset pietatis. » Cyrillus: « Non permittimus nobismetipsis, aut aliis, aut dictionem ex iis quæ ibi sunt, immutare, aut vel unam syllabam prævertere. » Adde, qui in Ægypto et in Libya erant, nonaginta episcoporum et beati

B ιβ'. Ὅτι δὲ οὕτως ἔχει, ὡς περὶ τοῦ ὁμουσίου λέγει, καὶ ἄλλοι μὲν πολλοὶ τοῦτο διασαφοῦσιν· ἀλλ' ἀρκεῖ μοι εἰς τὴν τούτου βεβαίωσιν Βασίλειος καὶ Μάξιμος, οἱ τῆς Ἐκκλησίας φωστῆρες καὶ διδάσκαλοι. Ὁ μὲν γὰρ ἐν τῇ πρὸς Πατρόφιλον τὸν ἐπίσκοπον ἐπιστολῇ αὐτοῦ, ἧς ἡ ἀρχὴ, Ἐνέτυχόν σου τοῖς γράμμασι, μετὰ πολλά φησιν· « Ἵνα τὰ ἐν μέσῳ παραλείπω, ὅσας ἐξέθεντο πίστεις; ἐπ' Ἀγκύρας ἄλλην, ἑτέραν ἐν Κωνσταντινουπόλει τὴν πολυθρύλλητον, ἐν Λαμψάκῳ ἑτέραν, μετὰ ταῦτα τὴν ἐν Νίκῃ τῆς Θρᾴκης, νῦν πάλιν τὴν ἐν Κυζίκῳ, ἧς τἄλλα μὲν οὐκ ἐπίσταμαι, τοῦτο δὲ ἀκούω, ὅτι τὸ ὁμοούσιον κατασιγάσαντες, τὸ κατ' οὐσίαν ὅμοιον ἐπιφέρουσιν. » Ὁ δὲ θεῖος Μάξιμος τάδε φησίν· « Εἰ τὰς γενομένας συνόδους αἱ κελεύσεις C τῶν βασιλέων κυροῦσιν, ἀλλ' οὐχὶ εὐσεβὴς πίστις, δέξαιντ' ἂν τὰς κατὰ τοῦ ὁμοουσίου γενομένας συνόδους, ἐπειδὴ κελεύσμασι βασιλέων γεγόνασι· φημὶ δὴ τὴν ἐν Τύρῳ πρώτην, δευτέραν τὴν ἐν Ἀντιοχείᾳ, τρίτην τὴν ἐν Σελευκείᾳ, τετάρτην τὴν ἐν Κωνσταντινουπόλει ἐπὶ Ἀδοξίου τοῦ Ἀρειανοῦ, πέμπτην τὴν ἐν Νίκῃ τῆς Θρᾴκης, ἕκτην τὴν ἐν τῷ Σιρμίῳ, καὶ μετὰ ταύτας πολλοῖς ὕστερον χρόνοις, ἑβδόμην τὴν ἐν Ἐφέσῳ τὸ δεύτερον, ἧς ἐξῆρχε Διόσκορος. » Ὅθεν φανερόν ἐστιν, ὅτι τοῦ ὁμοουσίου χάριν ὁ λόγος. Διὰ τοῦτο καὶ Ἀθανάσιος, καὶ Βασίλειος, καὶ Κύριλλος, οἱ τῆς Ἐκκλησίας ἀῤῥαγεῖς θεμέλιοι, οἱ τοῦτο κυρίως ὁμολογοῦντες ἀπὸ τῆς πρώτης ἁγίας συνόδου, ὁ μὲν καὶ συνθεὶς, οἱ δὲ καὶ διαδεξάμενοι. D Ὁ μὲν θεῖος Βασίλειός φησι· « Πίστιν ἡμεῖς οὔτε παρ' ἄλλου γραφομένην ἡμῖν νεωτέραν παραδεχόμεθα, οὔτε αὐτοὶ τὰ τῆς ἡμετέρας διανοίας γεννήματα παραδιδόναι τολμῶμεν, ἵνα μὴ ἀνθρώπινα ποιήσωμεν τὰ τῆς εὐσεβείας ῥήματα· » καὶ τὰ ἑξῆς. Ὁ δὲ ἅγιος Ἀθανάσιος, « Μηδὲν πλέον τῶν ἐν Νικαίᾳ προβάλλεσθαι, καὶ ὅτι ἡ ἐν Σαρδικῇ ἠγανάκτησε, καὶ ὥρισεν ὅτι μηδὲν ἔτι περὶ πίστεως γράφεσθαι, ἀλλ' ἀρκεῖσθαι τῇ ἐν Νικαίᾳ παρὰ τῶν Πατέρων ὁμολογηθείσῃ πίστει, διὰ τὸ μηδὲν αὐτῇ ἐλλείπειν, ἀλλὰ πλήρη εὐσεβείας εἶναι. » Καὶ ὁ Κύριλλος δέ φησιν· « Οὐκ ἐπιτρέπομεν ἑαυτοῖς ἢ ἑτέροις, ἢ λέξιν ἀμεῖψαι τῶν ἐγκειμένων ἐκεῖσε, ἢ μίαν γοῦν παραθῆναι συλλαβήν. » Ἔτι τῶν κατ' Αἴγυπτον καὶ Λιβύην ἐπισκόπων ἐνενήκοντα, καὶ

τοῦ μακαρίου Ἀθανασίου κατὰ Ἀρειανῶν πρὸς τοὺς ἐν Ἀφρικῇ, ἡ ἀρχή, « Ἱκανὰ μὲν τὰ γραφέντα παρά τε τοῦ συλλειτουργοῦ ἡμῶν, » φησίν· « Οἱ δέ γε ἐπίσκοποι ἀληθῶς γνήσιοι δοῦλοι τοῦ Κυρίου, καὶ ὀρθῶς πιστεύοντες, ἦσαν ἐγγὺς διακόσιοι, ἔγραψαν ἀρκεῖσθαι τῇ ἐν Νικαίᾳ μόνῃ, καὶ μηδὲν πλέον, ἢ ἔλαττον παρ' ἐκείνην ζητεῖν ἢ φρονεῖν. » Ταῦτα καὶ Κωνσταντίῳ δεδηλώκασι, τῷ καὶ τὴν σύνοδον κελεύσαντι γενέσθαι. Καὶ μετὰ βραχέα· « Εἴπερ οὖν τὴν Ἀρίμηνον ὀνομάζουσι, δεικνύτωσαν πρῶτον καθαίρεσιν τῶν προειρημένων, καὶ ἅπερ ἔγραψαν οἱ ἐπίσκοποι λέγοντες, Μηδὲν πλέον ζητεῖν τῶν ἐν Νικαίᾳ παρὰ τῶν Πατέρων ὁμολογηθέντων, μηδὲ ὀνομάζειν ἄλλην σύνοδον παρ' ἐκείνην. » Ἰδοὺ καὶ ἐνθαῦτα ἐννενήκοντα ὄντες, μηδὲν πλέον ἢ ἔλαττον παρὰ τὴν ἐν Νικαίᾳ ζητεῖν ἢ φρονεῖν θεσπίζουσι. « Καὶ διακόσιοι, φησὶν, οἱ Κωνσταντίῳ δηλώσαντες, μηδὲν πλέον ζητεῖν τῶν ἐν Νικαίᾳ, μηδὲ ἄλλην σύνοδον ὀνομάζειν. » Ὁ αὐτὸς ἅγιος ἐν τῷ τόμῳ αὐτοῦ, ὡς προδεδήλωται, ἐν ᾧ καὶ τριάκοντα τρεῖς ὑπέγραψαν, « Μηδὲν πλέον, φησὶ, τῶν ἐν Νικαίᾳ προβάλλεσθαι· καὶ ὅτι ἡ ἐν Σαρδικῇ ἠγανάκτησε, καὶ ὥρισεν, ὅτι μηδὲν ἔτι περὶ πίστεως γράφεσθαι, ἀλλ' ἀρκεῖσθαι τῇ ἐν Νικαίᾳ παρὰ τῶν Πατέρων ὁμολογηθείσῃ πίστει, διὰ τὸ μηδὲν αὐτῇ ἐλλείπειν, ἀλλὰ πλήρη εὐσεβείας εἶναι. » Ἡ δὲ Σαρδικὴ ἁγία σύνοδος ἐπίσκοποι ἦσαν τριακόσιοι καὶ τεσσαράκοντα. Οὗτοι οὖν πάντες μηδὲν πλέον τῶν ἐν Νικαίᾳ ζητεῖν, ἢ φρονεῖν νομοθετοῦσιν. Ταῦτα δὲ πάντα πρὸ τῆς δευτέρας συνόδου εἰσί. Τί οὖν ἐρεῖ πᾶς φιλόνεικος καὶ ἐφευρέτης καινῶν λόγων; καὶ γὰρ ἀπὸ τῆς πρώτης συνόδου δηλονότι τὸ κώλυμά ἐστι.

ιγ'. Καὶ τί λέγω ἀπὸ τῆς πρώτης συνόδου; Ἀπ' αὐτῶν τῶν ἁγίων ἀποστόλων ἐστὶ τὸ κώλυμα, αὐτοῦ τοῦ Παύλου κηρύττοντος, *Εἴ τις εὐαγγελίζεται ὑμῖν ἄλλο παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω.* Καὶ Διονύσιος ὁ τούτου φοιτητής, « Καθόλου οὐ τολμητέον εἰπεῖν, ἢ ἐννοῆσαι παρὰ τὰ θειωδῶς ἡμῖν παρὰ τῶν θείων λογίων ἐκπεφασμένα. » Ἀλλὰ πρόδηλον μέν, ὡς τὸ *ὁμοούσιον* οἱ ἀπόστολοι οὐκ εἶπον, οὐδὲ τὸ *Θεοτόκος*. Τολμηταὶ οὖν καὶ ὑπὸ τὸ ἐπιτίμιον τοῦ Ἀποστόλου οἱ ταῦτα εἰρηκότες, ἢ κατεφρόνησαν τῶν τοσούτων ἁγίων Πατέρων τῶν ἀποφηναμένων, μηδὲν πλέον τῶν ἐν Νικαίᾳ προβάλλεσθαι, καὶ προσέθηκαν οἱ ἐν τῇ ἁγίᾳ οἰκουμενικῇ δευτέρᾳ συνόδῳ; Οὐδαμῶς. Ἀλλὰ καὶ οἱ ἀπόστολοι καὶ αἱ σύνοδοι πᾶσαι τοὺς τἀναντία φρονοῦντας κωλύουσι, καὶ ἐπιτιμῶσι, τοὺς δὲ τἀληθῆ λέγοντας καὶ προσίενται, καὶ χρείας ἐπιγούσης ἐκ τῆς τῶν Πατέρων ἑρμηνείας τὴν ἡμετέραν ἐπισυνάπτειν ὁμολογίαν ὁρίζουσι, καὶ τοὺς κριτὰς οὐκ ἀπείργουσι τῆς ἐξουσίας. Πρόδηλον οὖν, ὡς οὐ περὶ ἀληθοῦς πίστεως ὁ λόγος, ἀλλ' ὡς περὶ ἀλλοτρίας· τὸ κώλυμα γέγονεν. Τοῦτο καὶ Βασίλειος καὶ Κύριλλος, « Οὔτε γὰρ ἑαυτοῖς, φασὶν, ἢ ἑτέροις ἐπιτρέπομεν, ἢ λέξιν ἀμεῖψαι τῶν ἐγκειμένων ἐκεῖσε, ἢ μίαν γοῦν παραθῆναι συλλαβήν. » Τὸ δὲ *ἀμεῖψαι* ἐστι τὸ ἄλλην λέξιν ἀντ' ἄλλης θεῖναι, καὶ ἐναλλάξαι. Διὸ δεῖ

A Athanasii ad Africanos adversus Arianos verba; principium : Satis sunt scripta a nostro collega : » « Episcopi autem vere germani servi Domini et qui recte credebant, numero fere ducenti, scripserunt, acquiescendum esse soli Nicænæ, neque ultra quærendum, aut tenendum esse, vel amplius, vel minus. » Hæc et Constantio significarunt, qui synodum eam cogi præceperat. Et post pauca : « Si vero Ariminensem compellant, ostendant prius prædictorum abolitionem et eorum quæ scripserunt episcopi, Non ultra quidpiam quærendum iis, quæ a Patribus Nicææ decreta sunt, nec præ illa synodum aliam nuncupandam. » En etiam hic nonaginta, nihil ultra quærendum, aut tenendum, vel minus, vel amplius Nicææ statutis decernunt. B « Et ducenti, inquit, qui Constantio significarunt, non ultra quidpiam quærendum iis, quæ Nicææ decreta sunt, nec aliam synodum nuncupandam. » Idem sanctus in tomo suo, ut præsignificavimus, cui tres et triginta subscripserunt : « Nihil præter ea, inquit, quæ Nicææ decreta sunt, promere ; et Sardicensem synodum ægre tulisse, ordinasseque ne quid in posterum de fide scriberetur, sed acquiescerent fidei a Patribus Nicææ traditæ, quod in ea nihil deficeret, sed esset plena pietatis. » Sardicensis autem synodus trecentis et quadraginta complebatur episcopis, qui omnes, nihil ultra quærendum aut sentiendum esse, præter ea quæ Nicææ statuta erant, præcipiunt. Et hæc omnia ante secundam synodum evenere. Quid hic dicet, qui contentionis studio agitur, verbaque nova conminiscitur, cum prohibitio similis ab ipsa usque prima synodo divulgata habeatur ? C

13. Et quid inquam a prima synodo ? Ab ipsis sanctis apostolis prohibitio emanavit, Paulo aperte edicente : *Si quis evangelizat vobis aliud, præter id quod accepistis, anathema sit ;* et Dionysio ejusdem discipulo : « In universum audendum non est dicere aut cogitare quidquam, præter ea quæ divinitus nobis per sacra eloquia revelata sunt. » Verumtamen planum est, apostolos, neque *homousion*, neque *Deiparam* expressisse. Temerarii itaque fuere, dignique, qui pœnas ab Apostolo impositas luant, qui similia dixerunt, aut tot sanctos D Patres, nihil ultra præter ea quæ Nicææ tradita sunt, promendum, decernentes contemptui habuere ; et addiderunt, qui in secunda sancta et œcumenica synodo convenere ? Nihil minus. Sed et apostoli et synodi universæ contraria sentientes a sese arcent et puniunt, excipiuntque eos qui vera ferunt et, cum sese offert occasio, ex interpretatione Patrum nostram concinnandam esse fidei professionem præcipiunt ; nec judices auctoritate, qua pollent, spoliant. Apertissimum itaque est, non esse de vera fide sermonem, sed de aliena prohibitionem factam esse. Hoc et Basilius et Cyrillus stabiliunt. « Neque enim nobismetipsis, inquiunt, neque aliis permittimus, aut dictionem i. mutare ex illis quæ ibi collocatæ sunt, ..ut

unam saltem syllabam prævertere. » *Immutare* vero est, dictionem unam loco alterius ponere et alterare. Quare attendendum est illis, quæ leguntur, prudenterque scripta consideranda : et non leviter temereque legenda percurrendaque. Et *prævertere* iis etiam qui pleno pectore sapiunt præterire indicat. Et Basilius et Athanasius, qui hæc dicunt, scribuntque ante sanctam œcumenicam secundam synodum fuere, propterea que, ut prædiximus, ante eam prohibitio similis invaluerat propter homousion, ut nostra oratio jam laudatorum sanctorum et doctorum testimoniis demonstravit, ad hæreticorum temerarios conatus, atque immutationes adversus homousion impediendas.

προσέχειν τοῖς ἀναγινωσκομένοις, καὶ καλῶς νοεῖν τὰ γεγραμμένα, καὶ μὴ ἐπιπολαίως, καὶ ὡς ἔτυχεν ἀναγινώσκειν καὶ παρατρίχειν. Καὶ τὸ *παραδῆναι* δὲ τοῖς καλῶς νοοῦσι τὸ παραδραμεῖν σημαίνει. Βασίλειος δὲ καὶ Ἀθανάσιος οἱ ταῦτα λέγοντές τε καὶ γράφοντες πρὸ τῆς ἁγίας οἰκουμενικῆς δευτέρας συνόδου ὑπῆρχον. Διὸ καὶ, ὡς προείρηται, καὶ πρὸ ταύτης τὸ κώλυμα τοῦτο γενομοθέτητο διὰ τὸ ὁμοούσιον, ὡς σαφέστατα ὁ λόγος διὰ τῶν προειρημένων ἁγίων καὶ διδασκάλων ἀπέδειξε, καὶ τοὺς αἱρετικοὺς ἐκκόπτων τῆς κατὰ τοῦ ὁμουσίου τόλμης καὶ μεταποιήσεως.

14. Ut vero pluribus planius ac manifestius pateat, prohibitionem homousii gratia factam esse, licet jam dictis satis id superque probatum sit, rursus divinus Athanasius audiendus est. Hic enim in quadam sua epistola, cujus principium, Addecebat, fratres maxime honorandi, hæc habet : « Qui itaque Acacium sequebantur, suæ stultitiæ audacia abutentes, prorsus scripta Nicæna negabant, et synodum criminabantur ; alii vero ex multitudine et plebe, reliqua omnia synodi acceptabant, tantummodo dictionem homousii veluti obscuram in suspicionem vocabant. Pari ratione synodus apud Hierosolymam Dei gratia coacta dicit : nullam aliam ob causam cum magna illa synodo decertant, nisi quod illa Arianam hæresim condemnavit. Idcirco enim et homousii dictionem incusant, male ipsi de ea sentientes. » Præterea in hac eadem epistola post pauca scribit : « In ipsa Isauria contraria scripserunt, dicentes, homousium, homœusiumque tanquam a Scripturis alienum ejicientes, et essentiæ nomen ejiciemus, tanquam quod nusquam in Scripturis est. » Hinc que probe divus Cyrillus : « Non permittimus nobis ipsis, aut aliis, dicit, ne libertas volentibus detur immutare, et contraria scribere. » Idque manifesto apparet ex septimo canone tertiæ synodi, in quo scribitur : « Qui fidem aliam quam eam quæ Nicææ definita est, introducens episcopus, ab episcopatu alienus est, laicus ejiciatur. » Cujus interpretatio est : « Qui præter eam fidem quam sancti Patres in Nicæna synodo congregati ediderunt, aliud symbolum impium afferens, ad eversionem atque interitum eorum qui ex gentilitate, aut judaismo, vel ex quacunque alia hæresi convertuntur ad veritatis agnitionem, si laicus est, anathematizetur ; si vero episcopus, aut clericus, ab episcopatu et clero ejiciatur. » En jam ostensum est, separata esse Symbola sanctarum synodorum, licet sententiæ inter se nihil differant et definitiones de Nicæno mentionem facere propter homousion, ut dictum est. Nam quod in urbe Constantinopolitana compositum fuit, ita poscentibus clarissimis principibus ab Aetio diacono lectum est : quod Nicænum tantum innotesceret, cum omnes in eo baptizarentur et baptizarent, at quod Constantinopoli conscriptum fuerat veluti definitio

ιδ'. Ἵνα δὲ σαφέστερον καὶ ἐκδηλότερον γένηται διὰ πλειόνων, ὡς τοῦ ὁμοουσίου χάριν ἐγένετο ἡ κώλυσις, εἰ καὶ τὰ εἰρημένα ὀρκούντως ἀπέδειξαν τοῦτο, πάλιν τοῦ ἁγίου Ἀθανασίου ἀκούσωμεν. Οὗτος γὰρ ἐν τῇ αὐτῇ ἐπιστολῇ ἧς ἡ ἀρχὴ, Προσῆκον ἦν, ἀδελφοὶ τιμιώτατοι, τάδε φησίν· « Οἱ μὲν οὖν περὶ Ἀκάκιον ἀποχρησάμενοι τῷ τῆς ἀπονοίας θράσει τέλεον ἠρνοῦντο τὰ ἐν Νικαίᾳ γραφέντα, καὶ τὴν σύνοδον διέβαλλον· οἱ δὲ ἄλλοι, τὸ πλῆθος δὲ ἦσαν οὗτοι, τὰ μὲν ἄλλα πάντα τῇ συνόδου ἀπεδέχοντο, μόνον δὲ τὴν τοῦ ὁμοουσίου λέξιν ὡς ἐκ τῆς ἀσαφείας ὑποπτον ἐπροφασίζοντο. Ὁμοίως δὲ καὶ ἡ σύνοδος ἡ ἐν Ἱεροσολύμοις Θεοῦ χάριτι συναχθεῖσά φησι· Δι' οὐδὲν ἕτερον μάχονται πρὸς τὴν σύνοδον ἐκείνην τὴν μεγάλην, ἢ ὅτι τὴν Ἀρειανικὴν αἵρεσιν κατέκρινε. Διὰ τοῦτο γὰρ καὶ τὴν τοῦ ὁμοουσίου λέξιν διαβάλλουσι, κακῶς αὐτοὶ φρονοῦντες περὶ αὐτῆς. » Ἔτι καὶ ἐν τῇ αὐτῇ ἐπιστολῇ φησὶ μετ' ὀλίγον· « Ἐν τῇ αὐτῇ Ἰσαυρίᾳ τἀναντία ἔγραψαν λέγοντες, τὸ ὁμοούσιον καὶ τὸ ὁμοιούσιον ἐκβάλλοντες ὡς ἀλλότριον τῶν Γραφῶν, καὶ τὸ τῆς οὐσίας ὄνομα περιαιροῦμεν, ὡς μὴ κείμενον ἐν ταῖς Γραφαῖς. » Καὶ γὰρ καλῶς καὶ ὁ θεῖος Κύριλλος τό· « Οὐκ ἐπιτρέπομεν ἑαυτοῖς, ἢ ἑτέροις, φησὶν, ἵνα μὴ ἔδεια δοθῇ τοῖς βουλομένοις ἐναλλάττειν, καὶ ἐναντία γράφειν. » Καὶ τοῦτο δῆλον καὶ ἐκ τοῦ ἑβδόμου κανόνος τῆς τρίτης συνόδου· φησὶ γάρ· « Ὁ πίστιν ἑτέραν τῆς ἐν Νικαίᾳ προσάγων ἐπίσκοπος ἀλλοτριοῦται, λαϊκὸς δὲ καὶ ἐξωστράκιστα. » Ἡ δὲ Ἐξήγησις· « Ὁ παρὰ τὴν πίστιν τὴν παρὰ τῶν ἁγίων Πατέρων τῶν ἐν Νικαίᾳ συναθροισθέντων συντεθεῖσαν ἕτερον Σύμβολον δυσσεβὲς προκομίζων εἰς καταστροφὴν καὶ ἀπώλειαν τῶν ἐξ Ἑλληνισμοῦ, ἢ Ἰουδαϊσμοῦ, ἢ ἐξ οἱασδηποτοῦν αἱρέσεως ἐπιστρεφόντων εἰς ἐπίγνωσιν τῆς ἀληθείας, εἰ μὲν λαϊκός ἐστιν, ἀναθεματιζέσθω· εἰ δὲ ἐπίσκοπος ἢ κληρικὸς, τῆς ἐπισκοπῆς καὶ τοῦ κλήρου ἀλλοτριοῦσθαι. » Ἰδοὺ δέδεικται, ὅτι ἀνὰ μέρος ἔσχον τὰ Σύμβολα τῶν ἁγίων συνόδων, εἰ καὶ κατὰ τὸν νοῦν οὐ διαφέρουσι, καὶ ὅτι περὶ τοῦ ἐν Νικαίᾳ οἱ ὅροι μέμνηνται διὰ τὸ ὁμοούσιον, ὡς προείρηται. Καὶ γὰρ τὸ ἐν Κωνσταντινουπόλει ἐξ αἱρέσεως τῶν ἐνδοξοτάτων ἀρχόντων ἀπὸ βιβλίου ἀνεγνώσθη παρὰ Ἀετίου διακόνου, διὰ τὸ ἐν Νικαίᾳ γνώριμον εἶναι καὶ μόνον, ὡς πάντας ἐν τούτῳ βαπτίζεσθαι καὶ βαπτίζειν, τοῦτο δὲ τὸ ἐν Κων-

σταντινουπόλει κεῖσθαι ὡς ὅρον. Εἰ γὰρ καὶ ὕστερον ἐν τούτῳ βαπτιζόμεθα καὶ βαπτίζομεν, ἀλλ' οὖν τὸ ἐν Νικαίᾳ πάντας διὰ γλώττης εἶχον, ὡς καὶ ὁ θεῖος Βασίλειος εἰρηκεν, καὶ ἡ ἁγία τρίτη σύνοδος.

ιε'. Ἀλλ' ἀναγκαῖον καὶ τὰ προκομιζόμενα ἐκ τῶν ὅρων προθεῖναι, ἵν' ἐκδηλοτέρα γένηται ἡ ἀπόδειξις· φησὶ γάρ· « Τούτων τοίνυν μετὰ πάσης πανταχόθεν ἀκριβείας τε καὶ ἐμμελείας παρ' ἡμῶν διατυπωθέντων, ὁρίζομεν ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προφέρειν, ἢ γοῦν συγγράφειν, ἢ συντιθέναι, ἢ φρονεῖν, ἢ διδάσκειν ἑτέρως. Τοὺς δὲ τολμῶντας ἢ συντιθέναι πίστιν ἑτέραν, ἢ προκομίζειν, ἢ διδάσκειν, ἢ παραδιδόναι ἕτερον σύμβολον τοῖς ἐθέλουσιν ἐπιστρέφειν εἰς ἐπίγνωσιν τῆς ἀληθείας ἐξ Ἑλληνισμοῦ ἢ Ἰουδαϊσμοῦ, ἤγουν ἐξ αἱρέσεως οἱασοῦν, ἢ καινοφωνίαν, ἤτοι λέξεως ἐφεύρεσιν πρὸς ἀνατροπὴν εἰσάγειν τῶν νυνὶ παρ' ἡμῶν διορισθέντων, τούτους, εἰ μὲν ἐπίσκοποι εἶεν ἢ κληρικοί, ἀλλοτρίους εἶναι τοὺς ἐπισκόπους τῆς ἐπισκοπῆς, καὶ τοὺς κληρικοὺς τοῦ κλήρου· εἰ δὲ μονάζοντες εἶεν ἢ λαϊκοί, ἀναθεματίζεσθαι αὐτούς. » Καὶ ἐν τῇ ἕκτῃ συνόδῳ φησί· « Τούτων τοίνυν μετὰ πάσης πανταχόθεν ἀκριβείας καὶ ἐμμελείας παρ' ἡμῶν διατυπωθέντων, ὥρισεν ἡ ἁγία αὕτη καὶ μεγάλη σύνοδος οἰκουμενικὴ, ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προφέρειν, ἤγουν συγγράφειν, ἢ συντιθέναι, ἢ φρονεῖν, ἢ διδάσκειν ἑτέρως. Τοὺς δὲ τολμῶντας ἢ συντιθέναι πίστιν ἑτέραν, ἢ προκομίζειν, ἢ διδάσκειν, ἢ παραδιδόναι ἕτερον Σύμβολον τοῖς ἐθέλουσιν ἐπιστρέφειν ἐξ Ἑλληνισμοῦ ἢ Ἰουδαϊσμοῦ, ἢ ἐξ αἱρέσεως οἱασδηποτοῦν, τούτους, εἰ μὲν εἶεν ἐπίσκοποι ἢ κληρικοί, ἀλλοτρίους εἶναι τοὺς ἐπισκόπους τῆς ἐπισκοπῆς, καὶ τοὺς κληρικοὺς τοῦ κλήρου· εἰ δὲ μονάζοντες εἶεν ἢ λαϊκοί, ἀναθεματίζεσθαι αὐτούς. » Φανερὸν οὖν ἐστιν ἐκ τῶν εἰρημένων ὅρων τῶν μακαρίων Πατέρων, ὡς τὸ ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προφέρειν, ἢ γοῦν συγγράφειν, ἢ συντιθέναι, ἢ καινοφωνίαν, ἤτοι λέξεως ἐφεύρεσιν πρὸς ἀνατροπὴν εἰσάγειν τῶν ὁρισθέντων, περὶ ἐναντίας φασὶ πίστεως. Τὸ γὰρ *πρὸς ἀνατροπὴν* τοῦτο δηλοῖ. Οὐ γὰρ μόνον περὶ τῶν ἱερῶν Συμβόλων ταῦτά φασι. Πᾶσα ἔκθεσις πίστεως Σύμβολον ὀνομάζεται καὶ ἔστι. Περιέχει γὰρ οὗτος ὁ ὅρος περὶ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου, καὶ ὅτι ἀπαθὴς ἡ θεότης, καὶ περὶ δύο θελημάτων, καὶ καλῶς ταῦτα ἐπεξεργασαμένων Πατέρων ἐπάγουσιν· « Τούτων τοίνυν, » καὶ τὰ λοιπά. . . ὥρισεν ἡ ἁγία σύνοδος μηδενὶ ἐξεῖναι. » Καὶ ταῦτα μὲν περιέχονται ἐν τῷ ὅρῳ τῆς ἁγίας συνόδου· ὁ δὲ τῆς ἁγίας τρίτης συνόδου φησίν· « Ἤρκει μὲν οὖν εἰς ἐντελῆ τῆς εὐσεβείας ἐπίγνωσίν τε καὶ βεβαίωσιν τοῦτο τὸ τῆς θείας χάριτος Σύμβολον· περί τε γὰρ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος ἐκδιδάσκει τὸ τέλειον. » Εἶτα λέγει περὶ τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως, καὶ ὅτι Θεοτόκος ἡ ἁγία Παρθένος, καὶ τὴν ἕνωσιν τῶν δύο φύσεων, καὶ ὅτι τὸ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ Πατέρων Σύμβολον ὀφείλει μένειν ἀπαρεγχείρητον· εἶτα καὶ τὸ τῶν ἑκατὸν πεντήκοντα Σύμβολον, καὶ φησι, *διὰ*

A appositum esset. Licet enim postmodum in eo baptizemur et baptizemus, attamen Nicænum in omnium ore erat, ut tradidit divinus Basilius, et sancta tertia synodus.

15. Verum digerenda sunt hic, quæ in definitionibus apponuntur, ut clarior demonstratio colluceseat. Scribitur enim : « His itaque cum accurata diligentia et attentione a nobis præscriptis, mandamus non licere cuiquam, aliam fidem afferre, vel scribere, vel componere, vel tenere, vel aliter docere. Qui autem audent fidem aliam componere, vel offerre, vel docere, vel tradere aliud Symbolum iis qui ad veritatis cognitionem volunt converti, vel ex gentilitate, vel ex judaismo, vel
B ex quacunque alia hæresi, aut novam vocem, vel dictionem introducere ad evertenda, quæ nunc a nobis decreta sunt, eos, si sunt episcopi aut clerici, episcopos ab episcopatu esse alienos, et clericos a clero ; si vero monachi fuerint, aut laici, anathematizari. » Et in sexta synodo : « His itaque accurate admodum diligenterque statutis, mandavit sancta hæc et magna synodus œcumenica, nulli licere, fidem aliam proponere, aut scribere, aut componere, aut tenere, aut alio modo docere ; qui vero ausi fuerint, aut componere aliam fidem, aut proponere, aut docere, aut tradere aliud Symbolum, iis qui ex gentilitate et judaismo, vel alia qualibet hæresi convertuntur, eos, si episcopi aut
C clerici sunt, episcopos episcopatu, clericos clero moveri ; si vero monachi aut laici sunt, anathematizari. » Est ergo manifestum ex jam dictis beatorum Patrum definitionibus, aliam fidem nemini licere proponere, aut scribere, aut componere, aut novas voces aut dictiones comminisci, et ad eversionem decretorum introducere, de fide contraria esse dicta. Namque *ad eversionem*, illud notat. Non enim de sanctis Symbolis hæc prolata sunt, cum omnis fidei expositio Symbolum appellatur, et est. Continet siquidem hæc definitio, de incarnatione Domini, divinitatem non esse passionibus obnoxiam, et de duabus voluntatibus. Quæ cum optime expedissent Patres, subdunt : « His itaque .... mandavit sancta synodus, nemini licere. » Et hæc quidem in definitione
D sanctæ synodi continentur. Sed ea, quæ est tertiæ synodi, ait : « Satis igitur esset ad perfectam pietatis cognitionem ac firmitatem hoc divinæ gratiæ Symbolum ; » postmodum adnectit, de Domini incarnatione, et sanctam Virginem esse Deiparam, et duarum naturarum unionem, et trecentorum decem et octo Patrum Symbolum intactum atque inviolatum conservandum esse ; tum deinceps et centum quinquaginta Symbolum, subditque, *propter Spiritus sancti hostes*, et synodicas Cyrilli et Leonis epistolas, et Divinitatem Unigeniti passionibus non subjacere, et Dominum nostrum Jesum Christum secundum divinitatem esse consubstantialem Patri, secundum vero humanitatem nobis. Quibus omnibus perquam accommode ex-

positis digestisque, tanquam qui in se mentem Christi possidebant Patres, subnectunt : *His itaque decretis*, omnibus scilicet ante dictis.

16. Manifestum itaque est, eos similia de contraria fide enuntiasse. Nam plerique etiam alii de iis quæ inibi continebantur, conscripserunt, eaque fusiore sermone prosecuti sunt ; et inter eos a Deo edocti Patres, Maximus et Damascenus. Quid itaque dicemus ? Ignorassene Patres prohibitionem ? an novisse et neglexisse ? Absit verbo injuria. Sed enim prohibitio erat de fide contraria et quæ retiam fidem everteret, cum una fides sit ; confirmatque id beatus Paulus dicens : *Unus Dominus, una fides.* Si itaque una fides, modis omnibus alia contraria fuerit. Nemoque, dummodo a sapientia non aberret, dicet veram esse aliam fidem propositam, cum una tantum vera sit. Quapropter et contrariam divus Maximus additionem rejicit, veram amplectitur. Idque aperte colligitur ex Dialogo ipsius adversus illum qui Macedonii, Spiritus hostis, sententiam tutabatur, in quo cum Orthodoxus diceret : « Condemnavi additionem, quam editioni Luciani apposuistis : possumque ostendere additam illi adversari ; » et respondente Macedoniano : « Et vos nonne addidistis Nicænæ ? » Orthodoxus infert : « Sed non illi contraria. » Et manifestius idem ipse sanctus in sua confessione compendio exposita, quam pro Chalcedonensi synodo compilavit, cujus principium, Cum admodum generose, aut ignaviter, ut aptius eloquar, post pauca : « Quis igitur, et de quibus criminatio ? Asserit, aliam fidei definitionem diversam ab ea quæ in sancta Nicæna synodo tradita est a sanctis tercentum decem et octo Patribus introduxisse. » Rei quoque peraccommoda erit, ex Florilegio e cujusvis generis libris concinnato Photii Constantinopolitani, Eulogii patriarchæ Alexandrini sententia, habetque se hunc in modum : « Sed hæreticorum rursus vesania quartam synodum criminatur, quod decretum ediderit, contenditque, talem conatum a prima synodo Ephesi habita omnino prohibitum fuisse. Et licet, si, ut ipsi nugantur, synodum quidvis aliud decretum producere vetuit, hæc ante alias contra se condemnationis sententiam protulit : definit enim hoc ipsum decernens, quod nulla alia ante ipsam definivit. Sed hypostatica siquidem unio hujus est vox, de qua antiquiores synodi nil sanxerant. Quin et Constantinopolitanam centum quinquaginta Patrum suis ipsi nugis rejiciunt, et condemnant, a qua profligata est Spiritum oppugnantium hæresis, et additis Nicæno Symbolo verbis de sancti Spiritus divinitate, fides congruenter explicata est. Si enim præcedentes apponendo reprehensionem effugiunt, neque illas subsecutæ in similibus dissimiliter vituperationem incurrent. Sic desipientium mens omnia commiscet et turbat. Ephesinæ etenim

A τοὺς *Πνευματομάχους*, καὶ τὰς συνοδικὰς ἐπιστολὰς Κυρίλλου καὶ Λέοντος, καὶ ὅτι οὐ παθητὴ ἡ θεότης τοῦ Μονογενοῦς, καὶ ὡς ὁμοούσιος τῷ Πατρὶ καὶ ὁμοούσιος ἡμῖν κατὰ τὴν ἀνθρωπότητα. Καὶ ταῦτα πάντα διασαφήσαντες λίαν ἁρμοζόντως, ὡς νοῦν Χριστοῦ ἔχοντες, ἐπάγουσιν· *Τούτων τοίνυν ὁρισθέντων*, δηλονότι πάντων τῶν προειρημένων.

ις'. Πρόδηλον γοῦν ὡς περὶ ἐναντίας πίστεως ταῦτά φασι. Πολλοὶ γὰρ καὶ ἄλλοι συνεγράψαντο περὶ τῶν περιεχομένων ἐν τούτοις, καὶ ἐξήπλωσαν· ἀλλὰ καὶ οἱ θεόσοφοι Πατέρες Μάξιμος καὶ Δαμασκηνός. Τί οὖν ἐροῦμεν ; Ἠγνοηκέναι τοὺς ἁγίους τὸ κώλυμα τῶν ὅλων, ἢ ἐγνωκέναι καὶ καταφρονῆσαι ; Μὴ γένοιτο. Ἀλλὰ περὶ ἐναντίας πίστεως ἦν τὸ κώλυμα καὶ ἀνατροπῆς τῆς ὀρθῆς πίστεως, ἐπεὶ καὶ μία πίστις ἐστὶ, καὶ παρίστησι τοῦτο ὁ μακάριος Παῦλος λέγων, *Εἷς Κύριος, μία πίστις.* Εἰ B οὖν μία πίστις, πάντως ἡ ἑτέρα ἐναντία. Καὶ οὐδεὶς τῶν νοῦν ἐχόντων, ὡς ἡ ἑτέρα προστεθεῖσα πίστις ἀληθής ἐστιν, ἐπεὶ μία ἐστὶν ἡ ἀληθής. Διὸ τὴν ἐναντίαν καὶ Μάξιμος ὁ ἱερὸς ἀποπέμπει προσθήκην, τὴν δὲ ἀληθῆ καὶ προσδέχεται. Καὶ τοῦτο δῆλον ἂν ἐκ τοῦ Διαλόγου αὐτοῦ πρὸς τὸν τὰ τοῦ Πνευματομάχου Μακεδονίου φρονοῦντα, ἐν ᾧ τοῦ Ὀρθοδόξου λέγοντος, « Κατέγνων τῆς προσθήκης, ἧς προσεθήκατε ἐν τῇ ἐκθέσει τοῦ Λουκιανοῦ· καὶ ἔχω δεῖξαι, ὅτι προσεθήκατε ἐναντίον αὐτῆς· » τοῦ δὲ τὰ Μακεδονιανοῦ φρονοῦντος ἀντεπάγοντος, « Ὑμεῖς γὰρ οὐ προσεθήκατε τῇ ἐν Νικαίᾳ ; » ὁ Ὀρθόδοξος πρὸς τοῦτο· « Ἀλλ' οὐκ ἐναντία αὐτῇ. » Καὶ ἔτι ἐκδηλότερον ὁ αὐτὸς ἅγιος τίθησιν ἐν τῇ αὐτοῦ συντόμῳ ὁμολογίᾳ, ἣν ποιεῖται ὑπὲρ τῆς ἐν C Χαλκηδόνι συνόδου, ἧς ἡ ἀρχὴ, Ἐπεὶ δὲ λίαν γενναίως ἢ ἀγενῶς εἰπεῖν οἰκειότερον, καὶ μετά τινα· « Τίς οὖν ἄρα καὶ περὶ τίνων ἡ ἔγκλησις ; Ὅτι δὲ, φησὶν, ἄλλον πίστεως ὅρον παρὰ τὸν ἐν Νικαίᾳ ἁγίᾳ συνόδῳ τεθέντα ἐκ τῶν ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ Πατέρων εἰσήγαγεν. » Ἀλλὰ καὶ ἐκ τῆς βιβλιοπανσυλλέκτου Ἀρθολογίας Φωτίου Κωνσταντινουπόλεως καὶ τὸ τοῦ Εὐλογίου πατριάρχου Ἀλεξανδρείας προκείμενον λίαν ἁρμόζειν. Ἔχει γὰρ οὕτως· « Ἀλλὰ γὰρ τῆς αἱρέσεως πάλιν ἡ ἀπόνοια τὴν τετάρτην μέμφεται σύνοδον, ὡς ὅρον ἐκθεμένην, διατεινομένην τὴν τοιαύτην ἐπιχείρησιν, ὑπὸ τῆς κατὰ τὴν Ἔφεσον πρώτης συνόδου, παντελῶς, ἀποκεκωλῦσθαι. Καίτοι γε εἰ κατὰ τὸν λῆρον αὐτὸν ἀπεῖργεν ἡ σύνοδος ἕτερον ὅρον μηδόλως προάγειν, D αὐτὴ καθ' ἑαυτῆς πρὸ τῶν ἄλλων τὴν δικάζουσαν ἐξήνεγκε ψῆφον. Ὁρίζει γὰρ αὐτὸ τοῦτο τυποῦσα, ὃ μηδ' ἑτέρα τῶν πρὸ αὐτῆς διωρίσατο. Ἀλλὰ καὶ ἡ καθ' ὑπόστασιν ἕνωσις αὐτῆς ἐστιν ὅρος, ὃ ταῖς πρεσβυτέραις τῶν συνόδων οὐ διώρισται. Ναὶ δὴ καὶ τὴν ἐν Κωνσταντινουπόλει τῶν ἑκατὸν πεντήκοντα ἁγίων Πατέρων ἐξ ὧν αὐτοὶ ληροῦσι παραγράφεται. Τὸν Πνευματομάχον γὰρ αὕτη καθελοῦσα τῷ κατὰ τὴν Νίκαιαν ἐκφωνηθέντι ὅρῳ τὴν περὶ τοῦ ἁγίου Πνεύματος θεολογίαν προσθεῖσα συνήρμοσεν. Εἰ γὰρ αἱ προλαβοῦσαι προστιθεῖσαι τὸν μῶμον ἐκφεύγουσιν, οὐδὲ αἱ μετ' αὐτὰς ἐν τοῖς ὁμοίοις ἀνομοίως ἕξουσι τὴν κατάγνωσιν. Οὕτω τὸ ἀσύνετον

πάντα φύρει καὶ διαστρέφει. Καὶ γὰρ ἡ ἐν Ἐφέσῳ σύνοδος πίστιν μὲν ἑτέραν, ἧς ἐναντία τὰ δόγματα πρὸς τὴν ἐν Νικαίᾳ καθέστηκε σύνοδον, παντελῶς ἐκτίθεσθαι διεκώλυσεν· ἀκηράτων δὲ τῶν ἐν αὐτῇ σωζομένων, ἅπερ ὁ καιρὸς ἀπαιτεῖ προστιθέναι, αὐτῆς τε γέγονεν ἔργον, καὶ τῶν πραγμάτων ἡ φύσις διδάσκαλος, καὶ τῆς Ἐκκλησίας ὁρᾶται τοῦτο στέργουσα διὰ παντὸς ἡ παράδοσις. Διὸ καὶ κατὰ τὴν Ἀλεξάνδρειαν οὔπω τῆς οἰκουμενικῆς συγκροτηθείσης συνόδου, τοὺς ἐν αὐτῇ τῶν ἱερέων λογάδας ὁ θεσπέσιος Κύριλλος ἀθροισάμενος, καὶ πίστιν διαθέμενος ἔγγραφον τῷ Νεστορίῳ διεπέμψατο. » Καὶ ὁ ἅγιος Ἐφραίμιος πατριάρχης Ἀντιοχείας φησί· « Πάλιν δὲ ἐπηρεάζουσιν οἱ αἱρετικοὶ τὴν τετάρτην σύνοδον, λέγοντες, ὡς ἐδογμάτισεν, μηδενὶ ἐξεῖναι προφέρειν, ἢ συγγράφειν, ἢ συντιθέναι πίστιν ἑτέραν, ἢ φρονεῖν, παρ' ἣν ἐξέθετο αὐτή. Καίτοι οὐ τοῦτο ἡ σύνοδος διωρίσατο, κἂν ἀναισχύντως οὗτοι καταψεύδωνται. Ἀλλὰ τὴν πίστιν, ἣν οἱ τριακόσιοι δέκα καὶ ὀκτὼ Πατέρες ἐξέθεντο, τιμῶσά τε καὶ θεσπίζουσα, παρὰ ταύτην ἔφησε μηδενὶ ἐξεῖναι προφέρειν ἑτέραν πίστιν, » καὶ τὰ ὑπόλοιπα. « Δῆλον δέ ἐστιν ἐξ αὐτῶν μάλιστα τῶν συνοδικῶν φωνῶν, ὧν καὶ μόνον ἀναγινωσκομένων, οὐδὲ μιᾶς ἄλλης δεῖσθαι κατασκευῆς, ἡ συστάσεως ἐπιδειχθεῖσα ἡ ἀλήθεια. Καὶ οὐχ ὥρισε μὲν τοῦτο, ἔπραξε δὲ ἄλλως, ἀλλ' ὡς ὥρισεν, οὕτως πανταχοῦ καὶ διαπραττομένη λογίζεται. Καὶ γὰρ τοὺς τῇ εὐσεβείᾳ προσιόντας οὐκ ἄλλο σύμβολον, ἀλλὰ τὸ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων Πατέρων ἐκδιδάσκει καὶ παραδίδωσι. Γέλωτα δὲ μᾶλλον καθ' ἑαυτῶν ἢ διαβλὴν τῆς συνόδου κατέχουσιν, ἐν οἷς φασιν αὐτὴν ὑπὸ πολλῶν διασύρεσθαι. Πόσαι γὰρ τῆς πρώτης καὶ οἰκουμενικῆς ἁγίας συνόδου κατεῖπον σύνοδοι, καὶ τότε ἀρχιερέων οὖσαι πλήρωμα; Τὴν δὲ τῶν ἑκατὸν πεντήκοντα, οὐδ' εἰ γέγονε, τινὲς τῶν Αἰγυπτίων εἰδέναι ἠθέλησαν. Ἀλλ' ἐάσωμεν τὸ ἀλόγιστον. » Καὶ πάλιν ὁ θεῖος Μάξιμος· « Πῶς οὖν τὴν οὕτω ταῦτα σεβασμίως ἅμα καὶ διαπρυσίως ὁρῶσάν τε καὶ διαγορεύουσαν ἁγίαν ἐν Χαλκηδόνι σύνοδον, ὡς διαπεμπομένην τὸν τῆς Νικαίων ὅρον παραστῆσαι, τίς ἂν ἐξισχύσειε πώποτε, κἂν πάντων ᾖ ποριμώτατος εἰς ἐξεύρεσιν τῶν διὰ ψεύδους τὰ μὴ ὄντα κατὰ τῆς ἀληθοῦς καὶ ὄντως πλαττομένων; Εἰ δὲ καὶ ὡς τοῦτον μὲν τηροῦσαν βεβαίως, ὡς δεύτερον δὲ τυχὸν ἐπεισάγουσαν ὅρον διαλοιδορεῖτε καὶ μέμφεσθε, τίς οὗτος καθέστηκεν ὁ ὑπ' αὐτῆς ἐπεισαγόμενος δεύτερος ὅρος; Ἡ ὁμολογία, φησί, τῶν δύο φύσεων, καὶ ἐν δύο φύσεσι φωνῆς. Οὐ γὰρ ἔχει ταύτην ὁ τῆς Νικαέων ὅρος. Εἰσήχθη δὲ προδήλως ὑπὸ τῶν ἐν Χαλκηδόνι Πατέρων, οὐ πρότερον γνωρισθεῖσα, ἢ ὀνομασθεῖσα παρά τινος. Ὅτι μὲν οὐδὲ τοῦτο δύνασθε, παραστῆσαι δῆλον. Πολλοῖς τε γὰρ τῶν πρὸ αὐτῆς ἁγίων Πατέρων ὡς εὐσεβὴς ἡ φωνὴ καὶ ἐκρίθη καὶ ἀνηγορεύθη, καὶ μαρτυροῦσι τῶν ταύτην κηρυξάντων οἱ λόγοι, πάσης ὄντες ἡλιακῆς ἀκτῖνος φωτοειδέστατοι καὶ λαμπρότεροι. Καὶ ὑμεῖς ἢ ἀγνοεῖτε δι' ἀπαιδευσίαν, ἢ ἀγνοεῖν προσποιεῖσθε διὰ λοιδορίαν, καὶ τῶν εὐσεβῶν Πατέρων

A synodus fidem quidem aliam, cujus dogmata Nicænæ contraria essent, omnino exponi vetuit. Puris vero atque inviolatis, quæ in ea sunt, servatis, quæ occasio postulat apponenda, sicut ipsamet addidit, hoc et rerum natura magistra docet, et Ecclesiæ usus videtur non rejecisse. Quare et Alexandri nondum œcumenica synodo coacta, delectos in ea sacerdotes divinus Cyrillus congregans, et fidem scriptam disponens, Nestorio misit. » Et sancti Ephræmii patriarchæ Antiocheni: « Ecce iterum quartam synodum calumniantur hæretici, tanquam quæ docuerit, non licere alicui proferre, aut scribere, aut componere, aut tenere aliam fidem præter eam quam ea exposuit. Et tamen id synodus non decreverat, quamvis id hæretici impudentissime mentiantur. Sed B eam fidem, quam trecenti octodecim Patres asseruerunt, summo in honore habens atque confirmans, præter illam dixit, nemini licere aliam fidem proferre, » et quæ sequuntur. « Ex his omnibus synodi vocibus, quæ dummodo lectæ fuerint nulla alia probatione aut demonstratione veritatem indigere, compertum est, nec aliud definisse, aliud vero fecisse; sed ut decrevit, sic et ubique fecisse cognoscitur. Namque eos qui ad pietatem gradum faciunt, nullum aliud Symbolum, quam trecentorum octodecim Patrum docuit traditque, risum autem potius contra seipsos, quam synodi accusationem excitant, ubi dicunt eam a pluribus derideri. Quot enim primam et œcumenicam sanctam synodum synodi criminatæ sunt, tum etiam ipsæ præsulibus abundantes? C Illam vero centum quinquaginta Patrum, an vel fuerit Ægyptii scire noluerunt. Sed missa faciamus eorumdem deliramenta. » Ad hæc divus Maximus: « Quanam igitur ratione, quæ hoc pacto similia pie clareque operatur et sancit sanctam Chalcedonensem synodum æque ac si Nicænam definitionem repudiaret, poterit unquam quispiam probare, licet omnium ad res, quæ nusquam sunt, fingunturque adversus veritatem, etiam cum mendacio commiscendas acerrimus sit. Quod si ut hæc quidem firmiter conservantem, et secundam forte definitionem introducentem maledictione et convicio excipitis, quæ hæc fuerit ab eadem secunda definitio introducta? D Confessio, inquis, duarum naturarum, dictioque illa, in duabus naturis, quæ nullo modo Nicæna definitio continet, sed palam a Chalcedonensibus Patribus intrusa sunt, nullo modo antea cognita, vel a quoquam recensita. Quod vero neque id probare potestis, manifestum est: a multis siquidem ante eam Patribus vox illa uti pia reputata est et publice deprædicata, testesque sunt eorum sermones, qui eam edixerunt, quovis solis radio clariores atque splendidiores. Vosque id aut propter inscitiam ignoratis, aut ignorare fingitis propter maledictionem, et piorum Patrum ac dogmatum vesanam criminationem. Quodsi nullum id quoque esset, cum tamen plurimum, ut dixi, sese offerat, quid impedit tot Patres, imo Christianorum omnium cœtum, id namque proprie est orthodoxorum

Patrum sanctissima synodus, sua auctoritate eam emittere, præscribereque adversus hæresim Eutychianam?» Et nonnullis interjectis, subdit : « Qua ratione et modo sanctam Chalcedonensem synodum aperte paternas dictiones usurpantem, criminamini, et æque ac si aliam fidei definitionem introduceret, locis in omnibus ore et scriptis convicio excipitis, et derisui habetis? *Ne judicetis secundum faciem*, Deus dixit, *sed justum judicium judicate*[1]. Quæ in uno eodemque argumento Chalcedonensium Patrum vestra criminatio est, et eorum qui præiverunt, præconium? Si adversus Chalcedonenses est, quod illi scilicet aliam fidei definitionem, propter Nicænæ definitioni voces appositas, promulgaverint, hoc plane sequetur, eamdem ob causam, et contra Cyrillum, et contra centum quinquaginta. Quod si contra eos non est, quomodo contra eam esse possit, non capio. Verumtamen vestram rabiem et contentionem in iis quæ demonstrari minime possunt, proponere moneor : si forte hac ratione, uti par est, erubescentes, missam faciatis hæsitationem, finemque imponatis tantæ adversus veritatem ipsam conspirationi. Quandoquidem et Gregorius theologiæ vindex vestram contra Chalcedonensem synodum accusationem minus effugiet ; imo, uti vos præscribitis, maxime illi erit obnoxius, ex trunca atque mutila Nicæna integram faciens doctrinam de Spiritu sancto : quod tum nondum mota erat hæc quæstio, cum Patre et Filio Spiritum sanctum agnoscens, hortansque Cledonium ut ita sentiret aliosque instrueret. Sed videmini mihi, cum visus ob sui imbecillitatem neque adversus solis splendorem intueri, neque illum decipere valeat, splendorem veluti imbecillum, non propriam visus debilitatem incusare : et cum vobis gravitate valetudinis non bene sit propter confusionem, eam veluti impiam atque inconcinnam, si cum veritate duarum naturarum, quæ in Christo conservantur, abunde refellentes, æque ac si non sint communia luminaria, et veritatis interpretes criminamini. Quod si de veritate ipsa vera dicenda sunt, omnes post Nicænam synodum a Deo electi Patres, et omnis orthodoxorum et sanctorum hominum cœtus, non aliam fidei definitionem propriorum verborum additione induxerunt, ut vos nimium perperam obloquentes et plane insanientes decernitis. Sed eam ipsam veluti primam et unicam a sanctis trecentis decem et octo Patribus sanctam firmiter confirmarunt, dilucidantes eam, et enarratione sua apertius enucleantes, propter eos qui illam et illius dogmata ad propriam impietatem constabiliendam detorquebant et perperam exponebant. Nec multo post, quæ ibidem de divinitate habebantur, violare conantes, Eunomium atque Macedonium centum quinquaginta Patres propriis vocibus et decretis non permiserunt ; et alio modo œconomiæ arcanum dividere Nestorium contendentem beatus non permisit Cyrillus. Quemadmodum

A τε καὶ δογμάτων ἀνόητον ἔγκλησιν. Εἰ δὲ καὶ μηδὲν ἦν ὁπότε πλεῖστον, ὡς ἔφην, καθέστηκεν, τί τὸ κωλύον ἁγίους τοσούτους, μᾶλλον δὲ τὸν ἅπαντα Χριστιανισμὸν, τοῦτο γὰρ κυρίως ἐστὶν ἡ τῶν ὀρθοδόξων Πατέρων ἁγιωτάτη σύνοδος, ἐξουσιαστικῶς ταύτην προέσθαι, καὶ νομοθετεῖν κατὰ τῆς Εὐτυχοῦς συναιρέσεως ; » Καὶ μετὰ τινά φησι· « Τίνι λόγῳ καὶ πῶς τὴν ἐν Χαλκηδόνι ἁγίαν σύνοδον, καίτοι πατρικαῖς προδήλως ἀποχρησαμένην φωναῖς, αἰτιᾶσθε, καὶ ὡς ἄλλον πίστεως ὅρον εἰσάγουσαν τῆδε κἀκεῖσε καὶ ἐγγράφως διαλοιδορεῖτε καὶ διασκώπτετε ; *Μὴ κατ' ὄψιν κρίνητε, διὰ τὸν εἰπόντα Θεὸν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνατε.* Τίς ἡ ἐπὶ τῆς αὐτῆς καὶ μιᾶς ὑποθέσεως τῶν ἐν Χαλκηδόνι Πατέρων ἔγκλησις ἡμῶν, καὶ τίς ἡ τῶν προλαβόντων

B ἀνάρρησις ; Εἰ γάρ ἐστι κατὰ τῆς ἐν Χαλκηδονέων ἄλλον αἰτιᾶσθαι πίστεως ὅρον διὰ τὰς ἐγκειμένας τῷ ὅρῳ τῆς Νικαέων φωνὰς, τοῦτό γε πάντως ἕψεται λέγειν διὰ τὴν αὐτὴν αἰτίαν καὶ κατὰ Κυρίλλου, καὶ τῶν ἑκατὸν πεντήκοντα. Εἰ δὲ κατ' αὐτῶν οὐκ ἔστι, πῶς κατ' ἐκείνης, συνιδεῖν οὐκ ἔχω. Παριστᾶν δὲ προτρέπομαι τὴν ὑμῶν ἐπὶ τοῖς ἀναποδείκτοις λύσσαν καὶ ἔνστασιν, εἴγε κἂν ἄρα οὕτως ἱκανῶς αἰσχυνθέντες συσταλῆτε τῆς ἀπορίας τῆς τοσαύτης κατὰ τῆς ἀληθείας ψευδοῦς συστάσεως. Ἐπεὶ καὶ Γρηγόριος ὁ τῆς θεολογίας συνήγορος οὐδέν τι μᾶλλον ἐκφεύξεται τῆς ὑμῶν κατὰ τῆς Χαλκηδονέων ἐνοχῆς· πλεῖστον δὲ ὅσον ὑποπεσεῖται ταύτῃ παρὰ τὸν ἡμέτερον νόμον, προδιαρθρῶν τὸ

C ἐλλειπῶς εἰρημένον τῆς ἐν Νικαίᾳ περὶ τοῦ ἁγίου Πνεύματος· διὰ τὸ μηδὲ κινεῖσθαι, φησὶ, τὸ τηνικαῦτα τοῦτο τὸ ζήτημα, μετὰ Πατρὸς καὶ Υἱοῦ τὸ ἅγιον Πνεῦμα γινώσκων, καὶ Κληδονίῳ γράφων οὕτω νοεῖν καὶ διδάσκειν. Ἀλλ' ἐοίκατέ μοι τῆς σαθρᾶς ὄψεως οὐχ ἱκανούσης πρὸς ἡλιακῆς αἴγλης ἀνάνευσιν καὶ μετάληψιν, τὴν αὐτὴν ὡς ἀμυδρὰν αἰτιωμένης, οὐ τὴν οἰκείαν ἀδράνειαν, ἐκμιμεῖσθαι τὸ πάθος. Αὐτοί τε καὶ νοσηλευόμενοι διὰ τὴν σύγχυσιν, καὶ τοὺς ταύτην ὡς ἀσεβῆ καὶ ἀνάρμοστον πρὸς τὴν ἐν Χριστῷ τῶν σωζομένων ἀλήθειαν φύσεων ἱκανῶς ἐξελέγχοντας, ὡς οὐ φωστῆρας καινοὺς, οὐδὲ τῆς ἀληθείας ἐκφάντορας ἐκβιαδάλλοντες. Εἰ γὰρ ἔστι τἀληθῆ περὶ ἀληθείας εἰπεῖν, πάντες οἵ τε μετὰ τὴν Νικαέων θεόκριτοι Πατέρες, καὶ

D πᾶσα σύνοδος ὀρθοδόξων καὶ ἁγίων ἀνδρῶν οὐκ ἄλλον πίστεως ὅρον διὰ τῆς ἐπεισαγωγῆς τῶν οἰκείων ῥημάτων παντελῶς ἐπεισήγαγον, ὡς ὑμεῖς ἀποφαίνεσθε, πλεῖστον παραληροῦντες καὶ τὸ ὅλον μαινόμενοι, ἀλλ' αὐτὸν ὡς πρῶτον καὶ μόνον τῶν ἐκ τῶν ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ Πατέρων νομοθετηθέντα βεβαίως ἐκύρωταν, τρανοῦντες αὐτὸν, καὶ οἷον ἐπεξηγούμενοι καὶ ἐπεξεργαζόμενοι διὰ τοὺς ἐκείνου καὶ τὰ ἐκείνου δόγματα πρὸς τὴν οἰκείαν κακῶς ἐκλαμβάνοντας καὶ παρεξηγουμένους δυσσέβειαν. Αὐτίκα γοῦν τὸν τῆς θεολογίας ἐν αὐτῷ κείμενον λόγον παραβλάψαι βεβουλημένους Εὐνομιάν τε καὶ Μακεδόνιον οἱ ἑκατὸν πεντήκοντα

[1] Joan. VII. 24.

Πατέρες οὐ συνεχώρησαν διὰ τῶν οἰκείων φωνῶν καὶ δογμάτων. Οὕτω δὲ καὶ τὸν τῆς οἰκονομίας Νεστόριον διαιρεῖν μηχανώμενον ὁ μακάριος οὐκ εἴασε Κύριλλος· ὥσπερ οὖν καὶ Εὐτυχέα συγχεῖν ἐθελήσαντα διεκώλυσαν οἱ ἐν Χαλκηδόνι τίμιοι Πατέρες. Πῶς οὖν ὑπὲρ τοῦ ἀγαθοῦ σὺν ἐκείναις φημὶ ταῖς συνόδοις καὶ ταύτην οὐκ ἀποδέχεσθε, διὰ τὸ αὐτὸ καὶ ἴσον καλόν; Ἢ ταύτην ὡς μισόκαλοι διαλοιδοροῦντες συνδιαλοιδορεῖτε κἀκείναις, ὃ δὴ μάλιστα ποιοῦντες τοῖς πράγμασιν, εὐλαβεῖσθε τοῖς ῥήμασιν, ἵν' εὐσεβείας πλάσμασιν ἐκείνας δήθεν κατὰ ταύτης σεμνύναντες, διὰ ταύτης κἀκείνας λυμήνησθε, τὸ ἴσον αὐταῖς διὰ τὴν ἴσην πρᾶξιν ἐπιφέροντες ἔγκλημα. Τίς οὖν ἡμῶν τὴν τοσαύτην ὑποίσει κατὰ τῆς εὐσεβείας καὶ τῶν εὐσεβούντων αὐθάδειαν; » καὶ τὰ ἑξῆς.

et Eutychetem confundere tentantem venerandi Patres Chalcedonenses impediverunt. Quare igitur una cum illis synodis hanc quoque propter idem et par bonum non amplectimini? Aut hanc veluti rerum honestarum osores opprobrio excipientes, opprobrio item et illas excipitis, quod potissimum cum opere præstetis, verbis id adversari fingitis, ut pietatis fictionibus illas adversus hanc commendantes atque extollentes, per hanc et illis labefactatis, æquale illis propter æquale facinus crimen appingatis. Quis itaque tantam vestri adversus pietatem piosque viros arrogantiam sustinebit? » et quæ sequuntur.

ιζ'. Ὅτι δὲ ἡ ἁγία καὶ οἰκουμενικὴ τρίτη σύνοδος διὰ τοῦ θείου Κυρίλλου τὴν ἐναντίαν ἀποτρέπει, ἀλλ' οὐ τὴν ὀρθόδοξον, ἀλλὰ καὶ μᾶλλον προτρέπει ταύτην, καὶ ἑτέραν κυρίως τὴν ἐναντίαν ἀποκαλεῖ· τῇ δὲ ἀληθεῖ καὶ προσίεται, καὶ βδελυροὺς ἀποκαλεῖ τοὺς ἀποστομένους ταύτην, αὐτῆς τῆς ἁγίας συνόδου πρὸς Ἀκάκιον λεγούσης ἀκούσωμεν. Φησὶ γὰρ ἐν ταύτῃ· « Οὐ πίστεως ἔκθεσιν ἐξῃτήντο παρ' ἡμῶν τινες, ἢ γοῦν καινοτομηθεῖσαν παρ' ἑτέρων κατεδεξάμεθα. Ἀπόχρη γὰρ ἡμῖν ἡ θεόπνευστος Γραφή, καὶ τῶν ἁγίων Πατέρων ἡ νῆψις, καὶ τὸ πρὸ πάν ὀτιοῦν ἐχόντων ὀρθῶς ἐκτετορνευμένον τῆς πίστεως Σύμβολον. Ἐπεὶ δὲ ἦσαν οἱ κατὰ τὴν ἀνατολὴν ὁσιώτατοι ἐπίσκοποι διχονοήσαντες πρὸς ἡμᾶς κατὰ τὴν Ἐφεσίων, καὶ γεγόνασί πως ἐν ὑποψίᾳ τοῦ καὶ ἐναλῶναι βρόχοις τῶν τοῦ Νεστορίου δυσφημιῶν, ταύτῃ τοι καὶ μάλα ἐμφρόνως ἀπαλλάττοντες ἑαυτοὺς τῆς ἐπὶ τούτοις αἰτίας, καὶ τοὺς τῆς ἀμωμήτου πίστεως ἐραστὰς πληροφορεῖν σπουδάζοντες, ὅτι τῆς ἐκείνου βδελυρίας ἀμοιρεῖν ἐγνώκασι, πεποίηνται τὴν ἀπολογίαν. Καὶ τὸ χρῆμά ἐστι ψόγου τε παντὸς καὶ μώμου μακράν. Ἆρα εἰ καὶ Νεστόριος κατ' ἐκεῖνο καιροῦ, καθ' ὃν αὐτὸ προετείνετο παρὰ πάντων ἡμῶν, τὸ χρῆναι καταψηφίσασθαι τῶν ἑαυτοῦ δογμάτων, καὶ ἀνθελέσθαι τὴν ἀλήθειαν, ἔγγραφον ἐποιήσατο τὴν ἐπὶ τούτοις ὁμολογίαν· καὶ αὐτὸν ἂν τίς ἔφη πίστεως ἡμῖν καινοτομῆσαι Σύμβολον; Τί τοίνυν διαλοιδοροῦντες μάτην ἔκθεσιν Συμβόλου καὶ νῦν ὀνομάζοντες; τὴν σύνεσιν τῶν κατὰ τὴν Φοινίκην θεοσεβεστάτων ἐπισκόπων, ἣν πεποίηται χρησίμως τε καὶ ἀναγκαίως, ἀπολογούμεναί τε καὶ θεραπεύοντες τοὺς οἰηθέντας, ὅτι ταῖς Νεστορίου κατακολουθοῦσι καινοφωνίαις; Ἡ μὲν οὖν ἁγία σύνοδος καὶ οἰκουμενικὴ ἡ κατά γε τὴν τῶν Ἐφεσίων συνειλεγμένη προεπενόησεν ἀναγκαίως τοῦ μὴ δεῖν ταῖς Ἐκκλησίαις τοῦ Θεοῦ πίστεως ἔκθεσιν ἑτέραν εἰσκρίνεσθαι παρά γε τὴν οὖσαν, ἣν οἱ τρισμακάριοι Πατέρες ἐν ἁγίῳ Πνεύματι λαλοῦντες ὡρίσαντο. Οἵ γε μὴν ἅπαξ οὐκ εἰδότες τοῦ μὴ ὀρθῶς ἐλέσθαι φρονεῖν, μήτε μὴν τοῖς ἀποστολικοῖς τε καὶ εὐαγγελικοῖς ἕπεσθαι δόγμασιν, ἆρα σιωπῶντες ἀπηλλάγησαν ἂν τῆς ἐπὶ τούτῳ δ.δασκαλίας; ἢ μᾶλλον ἀπολογούμενοι, καὶ τῆς ἐνούσης αὐτοῖς δόξης τὴν

17. Sanctam præterea et œcumenicam tertiam synodum divi Cyrilli verbis, contrariam abhorrere, non orthodoxam, quam potius inculcat, et aliam proprie contrariam nuncupat: veram amplecti, et eam repudiantes, exsecrandos appellare, ab eadem ipsa synodo Epistola ad Acacium, hæc eadem insinuante, audiamus. Ait namque in ea: « Nos neque novam fidei expositionem ab ullo exegimus, neque ab aliis innovatam admisimus. Sufficit enim nobis a Deo inspirata Scriptura, sanctorumque Patrum prudentia, et ante omnia Symbolum fidei ad omnia recta dogmata apte riteque concinnatum. Quia vero sanctissimi Orientales episcopi, cum Ephesi essent, a nobis dissentiebant, eaque de causa, quasi blasphemiarum Nestorii laqueis irretitos teneri, suspicio erat, ut eo crimine, uti par erat, quam prudentissime se liberarent, inculpatæque fidei amatoribus per omnia satisfacerent, ac Nestorianæ impietatis se expertes esse ostenderent, apologiam composuerunt, et id quidem admodum prudenter, tantum abest, ut hoc istorum factum aliqua omnino nota aut reprehensione dignum videatur. Quid enim si ipse Nestorius eo tempore, quo a nobis omnibus illi proponebatur, ut sua ipse dogmata condemnaret veritatemque amplecteretur, scriptam iis de rebus confessionem exhibuisset, quispiam dicturus erat, illum novum fidei Symbolum conscripsisse? Quid igitur temere conviciis insectantur sanctissimos Phœniciæ episcopos, eorum consensum novum Symbolum appellantes, quem illi utiliter et necessario ediderunt, ut nimirum se purgarent, eosque demulcerent, qui ipsos Nestorianam vocum novitatem approbare sibi persuasum habebant? Sancta quippe et œcumenica synodus, quæ Ephesi convenerat, necessario providit, non oportere aliam fidei expositionem in Ecclesias Dei inferre, præter eam, quæ jam exstabat, quam beatissimi Patres nostri sancto Spiritu locuti definiverant. Illi tamen ab hac semel, nescio quomodo, dissentire visi, et quod neque recte sentirent, neque apostolicis et evangelicis dogmatibus adhærerent, in suspicionem adducti, numquid taciturnitate ab hac ignominiosa nota se liberassent, an plena potius satisfactione suæ-

que sententiæ declaratione ? Atqui divinus Christi discipulus scriptum reliquit : *Parati semper ad satisfactionem omni poscenti vos rationem de ea quæ in vobis est spe*[1]. Qui ergo hoc vult facere, nihil utique novi molitur, nec fidei expositionem innovare deprehenditur, sed potius eam quam de Christo habet fidem interrogantibus prospicuam reddit. Audivi præterea veritatis hostes piissimorum episcoporum concordiam ægerrime ferre, et rursum ac deorsum miscere omnia atque jactare, confessionis, quam illi de recta fide, nihil, ut dixi, innovantes, hoc est, nihil ad ea quæ olim constituta sunt, adjicientes, sed potius in culpatis sanctorum Patrum dogmatis adhærentes, ediderunt, sensum et vim cum impiis suis commentis congruere. » Cum id itaque approbet, et ut fiat synodus adhortetur, quomodo nonnulli affirmant, a tertia synodo prohibitionem factam? Quin et sanctus Gregorius, cui a theologia nomen est, ad Cledonium ita scribit : « Nos fidei Nicææ editæ a sanctis Patribus, qui eo convenerant, ad Arianam hæresim profligandam nihil unquam anteposuimus, nec anteponere possumus, sed illius fidei divina gratia, quod non integre de Spiritu sancto dictum est, integrum faciemus. » Quod admirabilis interpres Elias Cretensis ita exponit : « Corpore siquidem dictionum omissum fuerat, at anima, quæ sententiæ sunt, nusquam. Quapropter sanctus, non omissum, sed non integre dictum corporis dictione integrans, absolvens scilicet et conformans, enuntiavit. » Sed et sexcenti triginta Patres in sancta et œcumenica quarta synodo in allocutione ad imperatorem hunc in modum decernunt : « Si quis autem censet, hucusque consistendum illis esse, qui fidem pro facultate defendere cupiunt, maxime quidem hoc præceptum hæreticis promulgare debebit, illos ab impugnatione removens, non avertens a protectione pastores. Omnis etenim lex improbis hominibus delicta prohibet, non potestatem judicibus adimit. Alias autem doceantur, nunc quoque licere, ut ambiguitate exorta, Patrum interpretationibus nostram confessionem adjungere, tanquam qui in nullo discordem intelligentiæ eorum deferimus sententiam. » Sed hoc sanctorum ac beatorum Patrum decretum nullam iis qui contentiones ac dissidia amant, tergiversandi ansam reliquit, tanquam quod seipsum aperte interpretetur, et hæsitationes universas ac dubia tollat, et ad imperatorem veluti lex et statutum missum sit. Ait enim : « Alias autem doceantur, nunc quoque licere, ut, ambiguitate exorta, Patrum interpretationibus nostram confessionem adjungere, » etc. Sed hæc in præsenti satis sint, ut plane id aperiatur, nos nunquam divinos terminos prætergressos fuisse. Neque enim justum est neque pium, illos neglectui habere, quos totis viribus amplecti servareque debemus ; et fidem aliam, veluti contrariam non tantum excutere, sed rejicere etiam et anathema-

[1] I Petr. III, 15.

A δύναμιν ἐμφανίζοντες ; Καίτοι γέγραφεν ὁ θεσπέσιος μαθητής · Ἕτοιμοι ἀεὶ πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι ἡμᾶς λόγον περὶ τῆς ἐν ἡμῖν ἐλπίδος. Ὁ δὲ τοῦτο ζῆλον ἡγούμενος, καινουργῶν μὲν οὐδὲν, ἀλλ' οὐδὲ πίστεως ἐκθέσιν ὁρᾶται καινοτομῶν, ἐναργῆ δὲ μᾶλλον καθίστησι τοῖς ἐρομένοις αὐτὸν, ἣν καὶ αὐτὸς πίστιν ἔχει περὶ Θεοῦ. Ἐπυθόμην δὲ πρὸς τούτοις, ὅτι ταῖς τῶν θεοσεβούντων ἐπισκόπων ὁμοψυχίαις οὐ μετρίως ἐπιστυγνάζοντες τῆς ἀληθείας ἐχθροὶ ἄνω καὶ κάτω διακυκῶσι τὰ πάντα, καὶ τοῖς ἀνοσίοις αὐτῶν εὑρήμασι συμβῆναί φησι τῆς παρ' αὐτῶν γενομένης ὁμολογίας τὴν δύναμιν ἣν ἐπὶ τῇ ὀρθῇ πεποίηται πίστει, καινοτομοῦντες, ὡς ἔφην, ἢ προσιπάγοντες τοῖς πάλαι διωρισμένοις τὸ σύμπαν οὐδὲν, ἐπόμενοι δὲ μᾶλλον τοῖς τῶν ἁγίων Πατέρων ἀνεπιλήπτοις δόγμασι. » Τῆς ἁγίας οὖν τοῦτο μάλιστα προτρεπούσης συνόδου, πῶς φασί τινες, ὅτι ἀπὸ τῆς τρίτης συνόδου τὸ κώλυμα γέγονεν ; Καὶ ὁ ἅγιος δὲ Γρηγόριος ὁ Θεολόγος πρὸς Κλεδόνιον οὕτω γράφει· « Ἡμεῖς τῆς κατὰ Νίκαιαν πίστεως τῶν ἁγίων Πατέρων τῶν ἐκεῖσε συνελθόντων ἐπὶ καθαιρέσει τῆς Ἀρειανικῆς αἱρέσεως οὐδὲν οὔτε προετιμήσαμέν ποτε, οὔτε προτιμᾶν δυνάμεθα, ἀλλ' ἐκείνης ἐσμὲν τῆς πίστεως σὺν Θεῷ καὶ ἐσόμεθα, προσδιαρθροῦντες τὸ ἐλλειπῶς εἰρημένον περὶ τοῦ ἁγίου Πνεύματος. » Ὅπερ ὁ θαυμάσιος ἐξηγητὴς ὁ Ἠλίας Κρὴς ἐν ταύτῃ φησὶ τῇ περικοπῇ · « Τῷ μὲν γὰρ σώματι τῶν λέξεων παρελέλειπτο, τῇ δὲ ψυχῇ λέγω δηλαδὴ τῶν νοημάτων οὐδαμῶς. Διὸ καὶ ὁ ἅγιος οὐ τὸ παραλελειμμένον, ἀλλὰ τὸ ἐλλειπῶς εἰρημένον τοῦ σώματος λέξει διαρθροῦν, ἤγουν ἐξακριβοῦν, καὶ διαμορφοῦν ἐπηγγείλατο. » Ἀλλὰ καὶ οἱ ἑξακόσιοι τριάκοντα Πατέρες οἱ ἐν τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ τετάρτῃ συνόδῳ ἐν τῷ πρὸς βασιλέα Προσφωνητικῷ οὕτω θεσπίζουσιν · « Εἰ δέ τις μέχρι τούτου στῆναι τοῖς πίστει συνηγορεῖν βουλομένοις προστάττει τὴν ἄδειαν, μάλιστα μὲν τοῖς αἱρετικοῖς τοῦτο νομοθετείτω τὸ πρόσταγμα. Ἐκείνους παύσῃ τῆς ἀδικίας, μὴ τοὺς ποιμένας τῆς ἀντιλήψεως. Πᾶς γὰρ νόμος τοῖς πονηροῖς ἀπαγορεύει τὴν ἁμαρτίαν, οὐ τοὺς κριτὰς ἀπείργει τῆς ἐξουσίας. Ἄλλως τε μανθανέτωσαν, ὡς καὶ νῦν ἔξεστιν, ἀμφισβητήσεως ἀναφυείσης τῆς τῶν Πατέρων ἑρμηνείας, τὴν ἡμετέραν ἀπισυνάπτειν ὁμολογίαν, ὡς οὐκ ἀπᾴδον τῆς ἐκείνων διανοίας ἐπιδεικνύμεθα φρόνημα. » Ἀλλ' αὕτη ἡ τῶν θείων καὶ μακαρίων Πατέρων ἀπόφασις οὐδεμίαν κατέλιπε πρόφασιν τοῖς ἐθέλουσι φιλονεικεῖν καὶ ἐριθίζειν, ὡς αὐτεξήγητος οὖσα, καὶ μηδεμίαν ἀμφισβήτησιν καταλιποῦσα, καὶ ὅτι ὡς νόμος καὶ ἀπόφασις πρὸς τὸν βασιλέα ἀπεστάλη. Φησὶ γάρ, « Ἄλλως τε μανθανέτωσαν, ὡς καὶ νῦν ἔξεστιν, ἀμφισβητήσεως ἀναφυείσης ταῖς τῶν Πατέρων ἑρμηνείαις, ἐπισυνάπτειν τὴν ἡμετέραν ὁμολογίαν· » καὶ τὰ ἑξῆς. Ἀλλὰ ταῦτα μὲν ἐς τοσοῦτον νῦν, ὡς διατρανούντων ἀληθῶς, ὅτι οὐ παρεδόμεν τοὺς θείους ὅρους ποτέ. Οὐδὲ γὰρ ὅσιον, οὐδ' εὐσεβὲς αὐτοὺς παρορᾶν, ἀλλ'

B

C

D

ὅση δύναμις αὐτοὺς ἀσπάζεσθαί τε καὶ φυλάττειν, καὶ τὴν ἑτέραν πίστιν ὡς ἐναντίαν οὐ μόνον ἀποσείεσθαι, ἀλλ' ἀπορρίπτειν καὶ τῷ ἀναθέματι παραπέμπειν, τὴν δὲ ἀληθῆ καὶ προσίεσθαι κατὰ τὸν ἱερὸν καὶ θεῖον Μάξιμον, καὶ τοὺς λοιποὺς ἁγίους, καὶ τοὺς ἑξακοσίους καὶ τριάκοντα Πατέρας τῆς ἁγίας καὶ οἰκουμενικῆς τετάρτης συνόδου, καὶ τὴν ἡμετέραν ἐπισυνάπτειν ὁμολογίαν, τὴν ἀληθῆ πίστιν, εἴπερ μάλιστα ταῖς τῶν ἁγίων ἐξακολουθοῦμεν γνώμαις καὶ ἀποφάσεσι, καὶ πάντα τὰ κοινῇ δεδογμένα φυλάττειν. Οὐ γὰρ ἔξεστιν ἑκάστῳ καινουργεῖν, μᾶλλον δὲ καινοτομεῖν. Εἰ δὲ ἐκ τῶν Πατέρων τῶν ἱερῶν καὶ διδασκάλων τῆς Ἐκκλησίας εἰσὶ τὰ προστιθέμενα, καὶ τῇ κοινῇ κρίσει ὁρίζονται, οὐδὲν τὸ κωλύον. Καὶ τοῦτο Βασίλειος ὁ θεῖος πρὸ τῆς δευτέρας συνόδου ὡρίσατο, ὅτι « Πίστιν ἡμεῖς παρ' ἄλλου γραφομένην ἡμῖν νεωτέραν οὐ παραδεχόμεθα. » Καὶ Ἀθανάσιος δὲ ὁ πολύτλας περὶ τῆς ἐν Σαρδικῇ συνόδου διασαφεῖ, ὡς θεσπίζει αὕτη « ἀρκεῖσθαι τῇ ἐν Νικαίᾳ μόνῃ. » Ἀλλὰ καὶ ἡ ἁγία δευτέρα σύνοδος θαῤῥούντως προσέθηκε, καὶ καλῶς ὡρίσατο ἡ ἁγία τετάρτη σύνοδος, καὶ μετὰ τὴν τρίτην οὖσα, ὡς χρείας γενομένης τὴν ἡμετέραν ἐπισυνάπτειν ὁμολογίαν ταῖς τῶν Πατέρων ἑρμηνείαις.

ιη'. Ἀλλ' οὐδ' ἐκ τοῦ Υἱοῦ λέγομεν ἁπλῶς τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι, καὶ ἀπολελυμένως, ἵνα μὴ τῇ δόξῃ τοῦ Εὐνομίου περιπέσωμεν, ἀλλ' οὐδὲ ἐξ Υἱοῦ τὴν ὕπαρξιν ἔχειν. Ἦν γὰρ ἂν ἀρχικὸν αἴτιον ὁ Υἱὸς, καὶ οὐχ ὁ Πατὴρ, ὥσπερ ὁ θεήλατος Εὐνόμιος ἔφασκε, καθὼς ὁ μέγας Βασίλειος ἐν τοῖς ἐκείνου ἐλέγχοις ἐν δευτέρῳ λόγῳ τῶν *Ἀντῤῥήσεών* φησιν· « Ἐκεῖνο δὲ τίνι τῶν ἁπάντων ἄδηλον, ὅτι οὐδεμία τοῦ Υἱοῦ ἐνέργεια ἀποτετμημένη ἐστὶ τοῦ Πατρὸς, οὐδὲ ἔστι τι ἐν τοῖς οὖσι τῷ Υἱῷ ὑπάρχον, ὃ τοῦ Πατρὸς ἠλλοτρίωται; *Πάντα* γὰρ, φησὶ, *τὰ ἐμὰ σά ἐστι, καὶ τὰ σὰ ἐμά.* Πῶς οὖν τοῦ Πνεύματος τὴν αἰτίαν τῷ Μονογενεῖ προστίθησι μόνῳ, καὶ κατηγόρημα τῆς φύσεως αὐτοῦ τὴν τούτου λαμβάνει δημιουργίαν; » Διὸ καὶ ὁ θεῖος Δαμασκηνὸς, « Ἐκ τοῦ Υἱοῦ, φησὶ, τὸ Πνεῦμα οὐ λέγομεν. » Δι' Υἱοῦ δὲ ὁμολογεῖ καὶ κηρύττει, καὶ ἐξ Υἱοῦ τὴν ὕπαρξιν ἀπαρνεῖται, δι' Υἱοῦ δὲ ταύτην οὐκ ἀπαρνεῖται. Εἰ δὲ καί τινες τῶν ἀνατολικῶν ἁγίων ὡσαύτως καὶ οἱ πλείους τῶν ἑσπερίων καὶ, *ἐκ τοῦ Υἱοῦ*, θεολογοῦσιν, οὐ διαφωνία τοῦτο, ἀλλὰ καὶ μᾶλλον συμφωνία. Ταυτὸ γὰρ βούλεται τὸ *ἐκ τοῦ Υἱοῦ* τῷ *διὰ τοῦ Υἱοῦ*. Πρόδηλον οὖν τοῖς ἐθέλουσι συνετῶς νοεῖν, ὡς ἔνθα ἂν τίθεται ἡ *διὰ* πρόθεσις παρηγουμένην ἔχει τὴν *ἐκ* πρόθεσιν. Ὡσαύτως καὶ ὁ *καὶ* συμπλεκτικὸς σύνδεσμος προϋποκείμενον ἔχει τὴν *ἐκ*. Ὁ γοῦν λέγων, *ἐκ τοῦ Υἱοῦ*, ἀπολελυμένως οὐκ ἄλλως νοεῖ καὶ λέγει. Ὁ δὲ καὶ τὴν *ἐκ* προϋποτιθεὶς καὶ ἐπισυνάπτων δι' *καὶ* συνδέσμου, ἤγουν *ἐκ Πατρὸς καὶ Υἱοῦ*, δείκνυσιν, ὅτι πηγὴ καὶ ἀρχὴ καὶ αἰτία ἐστὶν ὁ Πατὴρ τῆς ὅλης θεότητος. Ἔπειτα τὸ λέγειν καὶ φρονεῖν ἐξ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον εἶναι, καὶ τὴν οἰκείαν ὕπαρξιν ἔχειν, οὐκ ἀληθές. Ἦν γὰρ ἂν καὶ ἐξ Υἱοῦ μόνου μὴ μεσολαβοῦντος τοῦ Πατρὸς πρὸς τὴν τοῦ Πνεύματος πρόοδον. Οὐδὲ γὰρ ὁ Πατὴρ μέσος ἀμφοῖν τοῖν προσώποιν Υἱοῦ καὶ Πνεύματος. Ταύτῃ

ti subjicere, veram amplectentes, uti sanctus divinusque Maximus, et reliqui sancti, et sexcenti et triginta Patres sanctæ et œcumenicæ quartæ synodi præcipiunt, et nostram confessionem adjungere; veram, inquam, ὅdem, si sanctorum monita decretaque sequi potissimum volumus, et omnia communiter constituta conservare. Neque enim singulis licet, res novas designare et decernere. Quod si ex sanctis Patribus et Ecclesiæ doctoribus sunt quæ apponuntur, et communi judicio proposita comprobantur, nihil est quod ea prohibeat. Et hoc divinus Basilius ante secundam synodum statuit: « Fidem nos neque recentiorem ab aliis conscriptam acceptamus. » Et multa perpessus Athanasius de Sardicensi synodo tradit, illam decernere, « Fidei Nicænæ acquiescere. » Imo secunda synodus confidenter superaddidit, recteque statuit quarta synodus, tertiam subsecuta, si necessitas urgeat, nostram confessionem Patrum interpretationibus adjungendam esse.

18. Neque nos simpliciter et absolute asserimus, Spiritum ex Filio procedere, ne in Eunomii sententiam abeamus, neque ex Filio exsistentiam habere. Esset enim principalis causa Filius, et non Pater, quemadmodum calamitas Ecclesiæ a Deo impissa Eunomius prætendebat, ut divinus Basilius in illius refutationibus, oratione secunda *Antirrhetica* scribit: « Illud vero cui notum non est nullam esse operationem Filii a Patre divisam, neque esse quidpiam in rebus, quod in Filio sit, et sit alienum a Patre. *Omnia enim*, ait, *mea tua sunt, et tua mea.* Quomodo itaque causam Spiritus soli Unigenito appingit, et naturæ illius accusationem hujus opificium accipit? » Quare et divinus Damascenus, « Ex Filio, ait, Spiritum non dicimus, » per Filium vero fatetur et prædicat, et ex Filio exsistentiam habere pernegat, non vero per Filium eam habere. Quod si ex Orientalibus sanctis quidam, multoque plures ex Occidentalibus, etiam *ex Filio* tradant, non est discors hæc sententia, sed potius concors. Hoc namque sibi vult *ex Filio*, quod *per Filium*. Quare iis qui prudenter res examinare voluerint, manifestum erit, ubicunque *per* præpositio apponitur, præeuntem habere *ex*; similiter *et* copulativæ conjunctioni *ex* præponi. Quare qui absolute inquit, *ex Filio*, non alio modo nec sentit, nec enuntiat. At qui *ex* præponit adnectitque per conjunctionem *et*, nempe *ex Patre et Filio*, ostendit, fontem, et principium, et causam totius divinitatis Patrem esse. Postmodum dicere ac tenere, ex Filio Spiritum sanctum esse et propriam exsistentiam habere, verum prorsus non est. Esset enim ex Filio solo, cum Pater in Spiritus processione medius non sit: neque enim Pater inter duas personas Filium et Spiritum medius est. Propterea non dicimus ex Filio Spiritum, neque procedere, neque quod sit, accipere, neque effundi, sed per Filium tantum

ex Patre. Quod idem erit ac dicere, ex Patre simul ac Filio, ut sacer divinusque Damascenus in decimo tertio capite scribit : « Et per Verbum productor omnia manifestantis Spiritus. » Inclytus item divinusque Maximus in interpretatione, quo sensu accipiendum sit dictum Zachariæ : *Et super ipsam parva lampas, et lucernæ* [1], tradit : « Spiritus sanctus quemadmodum natura secundum essentiam est Dei et Patris, ita et Filii secundum essentiam est, tanquam qui ex Patre essentialiter per Filium genitum, modo, qui exprimi verbis non potest, procedens. » Et multa perpessus Athanasius ad Serapionem Epistola, cujus principium : « Admiraberis fortasse : »—« Non enim extra Verbum Spiritus est, sed in Verbo cum sit, in Deo per ipsum est. » Et paucis interjectis : « Spiritu exsistente in Verbo, clarum est, et in Deo esse per Verbum Spiritum. »

19. Neque enim proprietas Patris est producere, ut et solus producat. Patris siquidem proprietas generare est ; siquidem tres tantum proprietates credimus, ut sancti et inter eos divinorum arcanorum interpres Basilius, epistola ad fratrem, De essentia et hypostasi tradit : « Pater vero qui super omnia est, peculiarem hypostasis suæ notionem solus habet, quod Pater est, et quod ex nulla omnino causa subsistit ; atque isto iterum indicio et ipse proprie ac separatim agnoscitur. » Theologus Gregorius id idem multis suis orationibus asseverat, tum in funebri laudatione magni Basilii : « Tria quidem proprietatibus, essentia unum colentes ; » tum in sacra Lumina : « Dei vero cum dixero, uno lumine circumlustrati estis et tribus, tribus quidem secundum proprietates, hypostases scilicet ; » tum in sanctum Athanasium : « Namque una essentia, et tribus hypostasibus a nobis pie intellectis, hoc enim essentiam deitatis, illud tres notat proprietates. » Tum de dogmate et episcoporum compositione : « Adoramus itaque Patrem, et Filium, et Spiritum sanctum, proprietates quidem separantes, divinitatem unientes. » Demonstratum est itaque apertissime, tres nos credere proprietates. Aut enim producere, aut generare proprietas est ; sed producere nullo modo proprietas est, generare igitur tantummodo Patris proprietas est. Hinc probe ab Ecclesiæ doctoribus Filium a solo Patre generari edocemur, Spiritum vero non ex solo, sed ex Patre per Filium. Propterea que credimus Patrem generare et producere, et generantem producere secundum diversum modum, non secundum aliam ipsius proprietatem : ideoque per Filium dicitur producere, et per Filium educere, ut Damascenus eodem capite tradit : « Revelans secreti Deitatis virtus Patris ex Patre est per Filium procedens. »

[1] Zachar. IV, 2.

τοι οὐκ ἐξ Υἱοῦ τὸ Πνεῦμά φαμεν, οὔτ' ἐκπορεύεσθαι, καὶ τὸ εἶναι λαμβάνειν, οὔτε μὴν προχεῖσθαι, δι' Υἱοῦ δὲ μόνον ἐκ Πατρός. Ταυτὸν δὲ εἰπεῖν ἐκ Πατρός τε ἅμα καὶ Υἱοῦ, ὡς καὶ ὁ ἱερὸς καὶ θεῖος Δαμασκηνὸς ἐν τρισκαιδεκάτῳ κεφαλαίῳ φησί· « Καὶ διὰ Λόγου προβολεὺς ἐκφαντορικοῦ Πνεύματος. » Καὶ ὁ κλεινὸς καὶ θεῖος Μάξιμος ἐν οἷς ἑρμηνεύει, τί δῆτα βούλεται τῷ προφήτῃ Ζαχαρίᾳ, *Καὶ ἐπ' αὐτῇ λαμπάδιον καὶ οἱ λύχνοι*, φησί, « Τὸ ἅγιον Πνεῦμα ὥσπερ φύσει κατ' οὐσίαν ὑπάρχον τοῦ Θεοῦ καὶ Πατρός, οὕτω καὶ τῷ Υἱοῦ κατ' οὐσίαν ἐστίν, ὡς ἐκ τοῦ Πατρὸς οὐσιωδῶς δι' Υἱοῦ γεννηθέντος ἀῤῥάστως ἐκπορευόμενον. » Καὶ ὁ πολύτλας δὲ Ἀθανάσιος ἐν τῇ πρὸς Σεραπίωνα, ἧς ἡ ἀρχή, « Ἴσως θαυμάσεις· »—« Οὐ γὰρ ἐκτός ἐστι τοῦ Λόγου τὸ Πνεῦμα, ἀλλ' ἐν τῷ Λόγῳ ὄν, ἐν τῷ Θεῷ δι' αὐτοῦ ἐστι. » Καὶ μετ' ὀλίγα· « Τοῦ δὲ Πνεύματος ὄντος ἐν τῷ Λόγῳ, δῆλον ἂν εἴη, ὡς καὶ ἐν τῷ Θεῷ ἦν διὰ τοῦ Λόγου τὸ Πνεῦμα. »

ιθ'. Οὐ γὰρ ἰδιότης τοῦ Πατρὸς τὸ προβάλλειν, ἵνα καὶ μόνος προβάλλῃ. Ἡ γὰρ ἰδιότης τοῦ Πατρὸς τὸ γεννᾷν ἐστιν, εἴπερ τρεῖς ἰδιότητας πιστεύομεν καὶ μόνον κατὰ τοὺς ἁγίους, καὶ κατὰ τὸν θεοφάντορα Βασίλειον ἐν τῇ πρὸς τὸν ἴδιον ἀδελφὸν, Περὶ οὐσίας καὶ ὑποστάσεως φησίν· « Ὁ δὲ ἐπὶ πάντων ἐξαίρετον γνώρισμα τῆς ἑαυτοῦ ὑποστάσεως τὸ Πατὴρ εἶναι, καὶ ἐκ μηδεμιᾶς αἰτίας ὑποστῆναι μόνον ἔχει· καὶ διὰ τούτου τοῦ σημείου καὶ αὐτὸς ἰδιαζόντως ἐπιγινώσκεται· » καὶ τὸν ἐν θεολογίᾳ Γρηγόριον ἐν πολλοῖς τῶν αὐτοῦ λόγων τοῦτο θεολογοῦντα· λέγων ἐν μὲν τῷ τοῦ μεγάλου Βασιλείου ἐπιταφίῳ· « Τρία μὲν ταῖς ἰδιότησιν, ἓν δὲ τῇ οὐσίᾳ σέβοντες· » ἐν δὲ εἰς τὰ Φῶτα· « Θεοῦ δὲ ὅταν εἴπω, ἑνὶ φωτὶ περιηστράφθητε καὶ τρισί· τρισὶ μὲν κατὰ τὰς ἰδιότητας, ἤγουν ὑποστάσεις· » καὶ ἐν τῷ εἰς τὸν ἅγιον Ἀθανάσιον· « Τῆς γὰρ μιᾶς οὐσίας, καὶ τῶν τριῶν ὑποστάσεων νοουμένων μὲν ὑφ' ἡμῶν εὐσεβῶς· τὸ μὲν γὰρ τὴν οὐσίαν δηλοῖ τῆς θειότητος, τὸ δὲ τὰς τρεῖς ἰδιότητας. » Καὶ ἐν τῷ περὶ δόγματος καὶ καταστάσεως ἐπισκόπων· « Προσκυνοῦμεν οὖν Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, τὰς μὲν ἰδιότητας χωρίζοντες, ἑνοῦντες δὲ τὴν θεότητα. » Δέδεικται οὖν περιφανῶς, ὡς τρεῖς ἰδιότητας πιστεύομεν. Ἤ γοῦν τὸ προβάλλειν ἐστὶν ἰδιότης, ἢ τὸ γεννᾷν. Ἀλλὰ μὴν τὸ προβάλλειν οὐκ ἔστιν ἰδιότης, τὸ γεννᾷν ἄρα καὶ μόνον ἐστὶ τοῦ Πατρὸς ἰδιότης. Καλῶς καὶ παρὰ τῶν τῆς Ἐκκλησίας θεολόγων ἐκ μόνου τοῦ Πατρὸς τὸν Υἱὸν γεννᾶσθαι θεολογοῦσι, τὸ δὲ Πνεῦμα οὐκ ἐκ μόνου, ἀλλ' ἐκ τοῦ Πατρὸς δι' Υἱοῦ. Διὰ τοῦτο καὶ πιστεύομεν ὡς ὁ Πατὴρ γεννᾷ καὶ προβάλλει, καὶ γεννῶν προβάλλει κατὰ διάφορον τρόπον, οὐ κατ' ἄλλην ἰδιότητα αὐτοῦ. Διὰ τοῦτο καὶ διὰ τοῦ Υἱοῦ λέγεται προβάλλειν, καὶ δι' Υἱοῦ ἐκπορεύειν, ὡς καὶ ὁ Δαμασκηνὸς ἐν τῷ αὐτῷ κεφαλαίῳ φησίν· « Ἡ ἐκφαντορικὴ τοῦ κρυφίου τῆς θεότητος δύναμις τοῦ Πατρὸς ἐκ Πατρός ἐστι δι' Υἱοῦ ἐκπορευομένη. »

κ'. Φανερὸν οὖν ἐστιν ἅπασι Χριστιανοῖς τοῖς λόγου μετέχουσι, ὡς προεπινοεῖται ἡ τοῦ Υἱοῦ γέννησις τῆς προόδου τοῦ ἁγίου Πνεύματος, οὐ τῇ ἀϊδιότητι, τῇ γὰρ ἀϊδιότητι ἅμα εἰσὶν ὁ Πατὴρ καὶ ὁ Υἱός, καὶ τὸ ἅγιον Πνεῦμα, ἀλλ' ὥσπερ προεπινοεῖται ὁ Πατὴρ τοῦ Υἱοῦ, οὕτω καὶ ὁ Υἱὸς τοῦ ἁγίου Πνεύματος, καθὼς τοῦτο πολλοὶ τῶν ἁγίων καὶ ὁ Νυσσαέων ἱερὸς Γρηγόριος ἐπιδεβαιοῖ λέγων· « Ὡς γὰρ συνάπτεται τῷ Πατρὶ ὁ Υἱὸς, καὶ τὸ ἐξ αὐτοῦ εἶναι ἔχων, οὐχ ὑστερίζει κατὰ τὴν ὕπαρξιν, οὕτω πάλιν καὶ τοῦ Μονογενοῦς ἕξεται τὸ Πνεῦμα τὸ ἅγιον ἐπινοίᾳ μόνῃ κατὰ τὸν τῆς αἰτίας λόγον προθεωρουμένου τῆς τοῦ Πνεύματος ὑποστάσεως. Αἱ δὲ χρονικαὶ παρατάσεις ἐπὶ τῆς προαιωνίου ζωῆς χώραν οὐκ ἔχουσιν, ὥστε τοῦ λόγου τῆς αἰτίας ὑπεξῃρημένου, ἐν μηδενὶ τὴν ἁγίαν Τριάδα πρὸς ἑαυτὴν ἀσυμφώνως ἔχειν. » Καὶ ὁ μέγας Βασίλειος, ἐν τῇ πρὸς τὰς Κανονικὰς τρανότερον τοῦτο παρίστησι. Φησὶ γάρ· « Εἰ ἀνωτέρω τοῦ Θεοῦ τὸ Πνεῦμα, οὐκ ἐκ τοῦ Θεοῦ· εἰ δὲ ἐκ τοῦ Θεοῦ, πῶς πρεσβύτερόν ἐστι τοῦ ἐξ οὗ ἐστιν; Ἀλλ' οὐδὲ τοῦ Μονογενοῦς· πρότερον· οὐδὲ γὰρ μέσον Υἱοῦ καὶ Πατρός. » Καὶ ἐν τῇ πρὸς Νεστόριον Κύριλλος ὁ μέγας τὸ « ἐξ αὐτοῦ καὶ ἴδιον αὐτοῦ » φησι· καὶ ἡ ἁγία δὲ πρώτη σύνοδος διὰ Λεοντίου· « Εὕρηται τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορευόμενον μὲν ἐκ τοῦ Πατρὸς, ἴδιον δὲ τοῦ Υἱοῦ, καὶ ἐξ αὐτοῦ ἀναβλύζον. » Καθὼς οὖν λέγεται ἴδιον τοῦ Πατρὸς, οὕτω λέγεται καὶ ἴδιον τοῦ Υἱοῦ· καὶ ὥσπερ λέγεται ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, οὕτω λέγεται καὶ ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ. Καὶ ὁ μὲν θεῖος Ἰωάννης ὁ Δαμασκηνὸς ἐν κεφαλαίῳ ὀγδόῳ, οὗ ἡ ἀρχὴ, « Πιστεύομεν τοιγαροῦν· » « Καὶ μόνον τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορευτὸν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, οὐ γεννώμενον, ἀλλ' ἐκπορευόμενον. » Τοῦτο καὶ ὁ πάμμεγας Ἀθανάσιος λέγει· « Ἐκ τῆς οὐσίας τοῦ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον. » Ἀλλὰ καὶ ὁ θεσπέσιος Κύριλλος ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ ἐν κεφαλαίῳ τριακοστῷ τετάρτῳ τῶν *Θησαυρῶν* λέγει· « Οὐκ ἐν ἰδίᾳ τινὶ θελήσει, οὐδὲ μὴν ἀλλοτρίᾳ βουλήσει, ἐν ᾧ καὶ ἐξ οὗ ἐστὶν ὁμολογοῦντες, ἀλλ' ἐκ τῆς οὐσίας αὐτοῦ προϊόν. » Ἔτι οὖν, « Ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ τὸ Πνεῦμα, ποιότης τις, ἵν' οὕτως εἴπωμεν, ὑπάρχον τοῦ κυριεύοντος ἁπάντων Θεοῦ. Εἰ δὲ τοῦτο, Θεὸς ἄρα, καὶ οὐ γεννητὸν, ἢ κτιστὸν, ὥσπερ τοῖς κακοδόξοις ἐδόκει. » Καὶ πάλιν, « Ἐν τοῖς Εὐαγγελίοις ὁ Σωτὴρ πού φησι περὶ ἑαυτοῦ· *Ἐγώ εἰμι ἡ ἀλήθεια.* Ὁ δέ γε μακάριος Ἰωάννης ἔκ τε τῆς οὐσίας τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα δεικνύων, ἐν μὲν τοῖς Εὐαγγελίοις φησί· *Τὸ Πνεῦμα τῆς ἀληθείας.* » Ἐκ τῆς οὐσίας οὖν Πατρὸς καὶ Υἱοῦ παρὰ τῶν διδασκάλων ὁμολογεῖται· καὶ οὐ λέγομεν διακεχριμένην τὴν θείαν οὐσίαν ἐκ τῶν θείων προσώπων, ἀλλὰ πᾶν θεῖον πρόσωπον ὅλην τὴν οὐσίαν ἐν ἑαυτῷ ἔχειν. Ὅταν οὖν λέγωμεν οὐσίαν μετὰ τοῦ ἀναφορικοῦ ὀνόματος, τὸ κοινὸν μετὰ τοῦ ἰδιάζοντος λέγομεν, ὡς τῷ ἱερῷ Δαμασκηνῷ δοκεῖ, καὶ τοῖς λοιποῖς ἁγίοις, καὶ τῷ θείῳ Μαξίμῳ. Μετὰ Ἀνομοίου γὰρ οὗτος διαλεγόμενος φησι, τοῦ Ἀνομοίου λέγοντος,

κ'. 20. Planum itaque est Christianis omnibus quibus usus rationis inest, præintelligi Filii generationem processioni Spiritus sancti, non æternitate, cum æternitate una simul sit Pater, et Filius, et Spiritus sanctus; sed quemadmodum præintelligitur Pater Filio, ita et Filius Spiritui sancto, veluti sancti plerique Patres, et inter eos præcipuus sanctus Gregorius Nyssaensium episcopus constabilit dicens: « Quemadmodum enim conjungitur Patri Filius, et ex eo habens, quod sit, secundum exsistentiam, tamen non est posterior, ita rursus et Unigenito adhæret Spiritus sanctus intellectu tantum secundum causæ rationem præintellecto Spiritus hypostasi. Temporis autem extensiones et intervalla in vita, quæ ante sæcula est, locum non habent, adeo ut ratione causæ ablata in nullo sancta Trias inter sese discordet. » Et Basilius Magnus ad Canonicas epistola hoc idem expressius asserit: « Si Deo subsistit superior Spiritus, nequaquam potest ex Deo esse. Quod si ex Deo est, antiquior esse Deo, qui potest esse, ex quo est? Imo nec prior quidem Unigenito, cum inter Filium sit et Patrem nullum medium. » Et magnus Cyrillus, epistola ad Nestorium: « Quod ex eo est, et proprium ipsius, » appellat. Et sancta prima synodus per Leontium: « Invenitur Spiritus sanctus procedere quidem ex Patre, proprius vero esse Filii, et ex eo emanans. » Ea igitur ratione, qua dicitur proprius Patris, est et proprius Filii. Joannes Damascenus, capite octavo, cujus principium, « Credimus ergo, » « Et solum Spiritum sanctum procedentem ex essentia Patris non genitum, sed procedentem. » Hoc quoque maximus Athanasius insinuat: « Ex essentia Patris Spiritus sanctus. » Nec non et divinus Cyrillus: « Ex essentia Filii. » Capite tricesimo quarto *Thesaurorum* inquit: « Non in propria voluntate, aut alieno a voluntate ejus consilio, in quo, et ex quo est, confitentes, sed veluti ex essentia ejus emanans. » Item, « Ex essentia Filii Spiritus, et quasi qualitas quædam, ut ita dicamus, est, dominantis omnium Dei. Id si est, Deus igitur est, et non generatus, nec factus, quemadmodum improbe opinantibus videbatur. » Et rursus: « In Evangeliis Salvator de se ipso dicit: *Ego sum Veritas.* Et beatus Joannes ostendens Spiritum ex essentia Patris et Filii esse in Evangelis *Spiritum veritatis* appellat. » Ex essentia itaque Patris et Filii a doctoribus asseritur; neque nos divinam essentiam a divinis personis disjungi, sed divinam quamque personam universam essentiam in semetipsa continere dicimus. Cum itaque dicimus essentiam cum nomine relativo, commune cum proprio dicimus, ut sancto placet Damasceno et sanctis aliis, tum præterea sancto Maximo. Hic enim cum Anomœo edisseren, cum ille dixisset, « Aliud essentia, et aliud hypostasis; » « Aliud, dixit sanctus, et aliud, non uti res. » Sed Pater Spiritum producit, non ab alio accipiens; ipse enim est sola causa et prin-

cipium. Neque enim causa alia præintelligitur, neque principium ; at Filius non a seipso Spiritum habet, sed a Patre, sicuti divus Cyrillus in interpretationem illius : *Et ipse rogabo Patrem, et alium Paracletum*, ait : « Dei enim et Patris naturalium bonorum Filius particeps cum sit, habet Spiritum secundum illum eumdem modum, secundum quem intelligitur Pater habere. » Tum modum exprimens exemplo ab homine desumpto quam aptissimo rei, de qua sermo est, atque indicio subdit : « Sed quemadmodum unusquisque nostrum spiritum proprium in semetipso continet, et ex intimis præcordiis ad exteriora emittit. Propter id enim et corporee illum Christus insufflavit, ostendens, quemadmodum ex ore hominis egreditur spiritus corporee, pari modo ex divina essentia, ut Deum decet, effunditur, qui ex ipsa est. » Jam enim satis patenter et modum tradidit, quo Spiritum Filius habet : non alio scilicet, quam quo illum Pater habet. Sed hic quidem non a seipso, sed a Patre, Pater autem non ab alio, sed a seipso. His conformia sanctus quoque Augustinus dicit secundo de Trinitate libro, capite octavo (est libri IV cap. 20) : « Nec possumus dicere, quod Spiritus sanctus et a Filio non procedat. Neque enim frustra idem Spiritus et Patris et Filii Spiritus dicitur. Nec video, quod aliud significare voluerit, cum sufflans in faciem discipulorum ait : *Accipite Spiritum sanctum*. Neque enim efflatus ille corporeus cum sensu corporaliter tangendi procedens ex corpore substantia Spiritus sancti fuit ; sed demonstratio per congruam significationem, non tantum a Patre, sed et a Filio procedere Spiritum sanctum. » εἰς τὸ πρόσωπον τῶν μαθητῶν, εἶπε· *Λάβετε Πνεῦμα ἅγιον*. Οὐδὲ γὰρ τὸ σωματικὸν ἐκεῖνο ἐμφύσημα συναισθήσει τοῦ σωματικῶς θιγγάνειν προῦν ἐκ τοῦ στόματος ἡ οὐσία τοῦ ἁγίου Πνεύματος· ἦν, ἀλλ' ἔνδειξις διὰ καταλλήλου δηλώσεως, μὴ μόνον ἐκ τοῦ Πατρὸς, ἀλλὰ καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον. »

A « Ἄλλο οὐσία καὶ ἄλλο ὑπόστασις, » « Ἄλλο, ἔφησεν ὁ ἅγιος, εἶπον καὶ ἄλλο, οὐχ ὡς πρᾶγμα. » Ἀλλ' ὁ μὲν Πατὴρ ἔχει τὸ Πνεῦμα τὸ ἅγιον προβάλλων, οὐ παρ' ἄλλου λαβών· αὐτὸς γάρ ἐστι καὶ μόνος αἴτιος, καὶ μόνη ἀρχή· οὐ γὰρ ἔχει προεπινοούμενον αἴτιον, οὐδὲ προεπινοουμένην ἀρχήν· ὁ δὲ Υἱὸς οὐ παρ' ἑαυτοῦ τὸ Πνεῦμα ἔχει, ἀλλ' ἐκ τοῦ Πατρὸς, καθὼς καὶ ὁ θεσπέσιος Κύριλλος ἐν τῇ ἑρμηνείᾳ τῇ εἰς τὸ, *Κἀγὼ ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον Παράκλητον*, φησί· « Τῶν γὰρ τοῦ Θεοῦ καὶ Πατρὸς φυσικῶν ἀγαθῶν οὐσιωδῶς ὑπάρχων ὁ Υἱὸς κοινωνὸς, ἔχει τὸ Πνεῦμα κατὰ τοῦτον τὸν τρόπον καθ' ὃν περ ἂν νοοῖτο καὶ ὁ Πατήρ. » Εἶτα καὶ τὸν τρόπον ἐκφαίνων διά τε παραδείγματος ἀνθρωπίνου καὶ σημείου οἰκειοτάτου τῷ πράγματι, φησίν·

B « Ἀλλ' ὥσπερ ἡμῶν ἕκαστος τὸ ἴδιον ἐν ἑαυτῷ πνεῦμα συνέχει, καὶ ἐκ τῶν ἐνδοτάτων σπλάγχνων εἰς τὸ ἔξω προχέει. Διὰ γάρ τοι τοῦτο καὶ σωματικῶς αὐτὸ ἐνεφύσησεν ὁ Χριστὸς, δεικνὺς, ὅτι καθάπερ ἐκ τοῦ στόματος τοῦ ἀνθρωπείου πρόεισι τὸ πνεῦμα σωματικῶς, οὕτω καὶ ἐκ τῆς θείας οὐσίας θεοπρεπῶς προχεῖται τὸ ἐξ αὐτῆς. » Ἤδη γὰρ σαφῶς καὶ τὸν τρόπον ἀπέδωκε, καθ' ὃν τὸ Πνεῦμα ἔχει ὁ Υἱὸς, οὐκ ἄλλον δηλονότι ἢ καθ' ὃν ἔχει τοῦτο ὁ Πατήρ. Ἀλλ' ὁ μὲν οὐκ ἀφ' ἑαυτοῦ, ἀλλ' ἐκ τοῦ Πατρός· ὁ δὲ Πατὴρ οὐ παρ' ἄλλου, ἀλλ' ἀφ' ἑαυτοῦ. Συνῳδὰ τούτῳ καὶ ὁ θεῖος Αὐγουστῖνος φθέγγεται ἐν τῷ περὶ Τριάδος βιβλίῳ δευτέρῳ ἐν κεφαλαίῳ ὀγδόῳ, φάσκων· « Οὐ μέντοι δυνάμεθα

C λέγειν, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον οὐχὶ καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται. Οὐδὲ γὰρ μάτην αὐτὸ τὸ Πνεῦμα Πατρὸς καὶ Υἱοῦ λέγεται. Οὔτε μὴν συνορῶμεν τί ποτε ἕτερον σημᾶναι ἠβούλετο, ἡνίκα ἐμφυσήσας

21. Et sic nos, orationem facile ac prompte digerentes, ad finem pervenimus, debitum persolventes, ut antea præfati sumus, a nobis hisce propositis demonstrantes, nostrorum sermonum Patres auctores habere : et hac ratione nos in nostro paterno dogmate perseverare, sicuti ea, quæ diximus, palam faciunt : et nihil novi in sanctam Christi Ecclesiam præ his quæ a sanctis nostris Patribus, nec non doctoribus et theologis constituta sunt introduxisse. Quod si ea majestati tuæ satis non sunt, sed ea pluribus quoque demonstrationibus confirmari desideras, dummodo, quod scandalum injicit, innotescat, similibus sanctorum testimoniis explicabimus. Non enim possumus omnia, quæ afferuntur in hoc argumento, unico tantum colloquio expedire propter satietatem, quæ auribus adversatur, licet quam maxime digna sit admiratione, gratiisque abundet. Conservet Dominus majestatem tuam ad multos annos cum sanitate integra et incorrupta, acceptis Numini precibus sanctorum, qui ista tradiderunt ad ingentem nostram lætitiam et voluptatem.

κα'. Ταῦτα μὲν οὖν ὡς ἐν προχείρῳ τὸν λόγον βουλόμενοι ποιῆσαι, ἤδη καὶ πεποιήκαμεν ἀφοσιοῦντες τὸ χρέος, ὡς καὶ φθάσαντες ἐφημεν, δεικνύντες διὰ τῶν εἰρημένων, ὡς τοὺς Πατέρας ἡγεμόνας τῶν ἡμετέρων λόγων ἔχομεν, καὶ οὕτως ἐν τῷ ἡμετέρῳ τῷ πατρίῳ ἐμμένομεν δόγματι, ὡς διασαφοῦσι μάλα τρανῶς τὰ εἰρημένα. Καὶ οὐδὲν καινὸν εἰσήξαμεν εἰς τὴν τοῦ Χριστοῦ ἁγίαν Ἐκκλησίαν παρὰ τὰ δεδογμένα τοῖς ἁγίοις ἡμῶν Πατράσι καὶ διδασκάλοις καὶ θεολόγοις. Εἰ δὲ οὐκ ἀρκεῖται ἡ σὴ βασιλεία ἐν τούτοις, ἀλλὰ καὶ πλείοσιν ἀποδείξεσι βούλει, εἰ μόνον γνῶμεν τὸ σκανδαλίζον, δι' ὁμοίων μαρτυριῶν ἁγίων καὶ ταῦτα διασαφήσομεν. Οὐδὲ γὰρ δυνάμεθα πάνθ' ὅσα λέγουσιν ἐν ταύτῃ τῇ ὑποθέσει εἰπεῖν ἐν μιᾷ ὁμιλίᾳ διὰ τὸν κόρον, ὃς πολέμιος ὑπάρχει ταῖς ἀκοαῖς, κἂν πάνυ ἀξιοθαύμαστος καὶ χάριτος γέμων. Διαφυλάξοι δὲ τὴν σὴν βασιλείαν ὁ Κύριος ἐν πολυετεῖ ζωῇ σὺν ὑγιείᾳ σταθηρᾷ εὐπροσδέκτοις εὐχαῖς τῶν ταῦτα θεολογησάντων ἁγίων εἰς πολλὴν εὐφροσύνην ἡμῶν.

GEORGIUS SCHOLARIUS

SEU, MUTATO NOMINE,

GENNADIUS

CONSTANTINOPOLITANUS PATRIARCHA

DE GENNADII VITA ET SCRIPTIS

EUSEBII RENAUDOTII

DISSERTATIO

(Parisiis, ap. Gabrielem Martin, via Jacobæa ad insigne Stellæ, 1709 4°

SCHOL. Primum quæ prædixerunt prophetæ Judæorum (quorum vaticinia et nos approbamus) de Jesu, et de rebus ejus gestis, et quæ sub ipso facta sunt, quæ item posterius discipuli ejus, hujus potentia et munere gesserunt. Similiter præcinuerunt et Græcorum oracula, permissu Dei, sed et astronomi Persarum ac Græcorum. Et hæc omnia, cum illustri laude prædicationeque Jesu. Omnes etiam has prophetias et prædictiones fuisse veras, ac minime adulterinas, demonstrare possumus.

Achmat. Giani efelki chontzer oltur kibeni Israil Cabumi begamberleri Kim biste anlari tasticlerus esai tzin erne kim isleti be gketie faki oltigun tzamiesi titeler be sagitleri Kim chabari gundur anlar ieletigin be ulara fake olanin uli ta dimatile esain menagibin birti tigumer kibi sachatit kiltilar sachatetleri keritzegitigin iphstiphthar olurnursatzuabe catiri.

CAPUT XV.

SCHOL. Deinde quod omnes religionis nostræ libri et Scripturæ per omnia inter se consonant. Nec mirum. Qui enim eos scripserunt, unum et eumdem doctorem habuerunt, ipsam gratiam Dei. Quodni fuisset, certe in quibusdam ut dissonarent, futurum fuisset.

Achmat. Giani ikiutzi chontzet ol turkim ne ca tar tinumize mutalic kitaplarumus farisa piri pirine muchaliph tegiul zra Kim machasdari biriti Kim lazimi eger ocle almaraiti piri pirine muchaliph olaiti.

CAPUT XVI.

SCHOL. Tertio loco, quod receperunt hanc fidem, licet nova esset, et præter communem opinionem, ac mira, homines ubique locorum, magno studio, multis cum periculis. Nec idiotæ solum, et nulla

A μπερὶ ὁλαχὰρ βὲ γκισφετὲν φὶλ τζούμλε νευσανὶ ἀρζουλερτὲρ μπερὶ ὁλαλὰρ σὸλ ἐρβάχ Κὶμ χάηρι ἀμελὲρ γκιλμισάριτι βὲ ἰχτικατλέριτι χαλὲλ ὁλμαμίσιτι ἀνλαρτζενετὲ γκιρελὴρ σουνὰρ Κὶμ γκουνὰχ ἰστετὶ βὲ γκουναχλαριντὲ μουσὶρ ὁλτίλαρ ἰσραρὶ οὐστρὲ γκεντιλὲρ ἀνάρμα τενὶ ὁλαλὰρ τζενέτμι ὁντὲ βὲ τζεχενὲμ γερτὲ βὲ βελιλὲρ ὅλτουρ Κὶμ μπουντᾶν ταχλίτι λεμπιλτικλερὶ ἐσραρουλαχὶ ἀντὰ μοαγενὲ γκιορελέρ.

ΚΕΦΑΛ. ΙΓ'.

ΣΧΟΛ. Διὰ τί δὲ ἦν ἀναγκαῖον, σαρκωθῆναι τὸν Λόγον τοῦ Θεοῦ, καὶ Θεὸν, εἰσὶν ἀναγκαῖοι καὶ πολλοὶ λόγοι. Καὶ, ὅταν ᾖ χρεία, ἑτοιμοι ἐσμὲν ἕτοιμοι δοῦναι αὐτούς. Ἐπέκεινα δὲ ἐκείνων τῶν λόγων πληροφοροῦσιν ἡμᾶς τὴν ἀλήθειαν τῆς πίστεως ἡμῶν, τὰ ἑπτὰ ταῦτα.

B

Ἀχμάτ. Γιάνι νούτκι μπαρὶ τζεσέτι ἐσὶκ κισφιλετιγινὲ χεκιμὲτ νέτουρ τιγιοῦ ἰστιφθὰρ ὁλονούρσα μιχέκιμτζουα, μπὲ χατίρις ὅλτζοα πλερτὲν γάηρι γετίτουρ λεχοντζὲτ ἡμεισβάρουτουρ Κὶμ μπουτινῆν χακικατισὲ σαχίτου.

ΚΕΦΑΛ. ΙΔ'.

ΣΧΟΛ. Ὅτι ἐπροφήτευσαν οἱ προφῆται τῶν Ἰουδαίων (οὓς στέργομεν καὶ ἡμεῖς) τὸν Ἰησοῦν, καὶ ὅσα ἐποίησε, καὶ ὅσα ἐγένοντο ἐπ' αὐτῷ, καὶ ὅσα ἐποίησαν ὕστερον οἱ μαθηταὶ αὐτοῦ, τῇ δυνάμει αὐτοῦ. Ὁμοίως προεφήτευσαν καὶ τὰ μαντεῖα τῶν Ἑλλήνων συγχωρήσει Θεοῦ, καὶ οἱ ἀστρονόμοι τῶν Περσῶν καὶ Ἑλλήνων· καὶ ταῦτα πάντα, μετὰ

C εὐφημίας μεγάλης τοῦ Ἰησοῦ. Καὶ ὅτι πᾶσαι αὗται αἱ προφητεῖαι ἦσαν ἀπαράγραπτοι, ἔχομεν δεῖξαι.

Ἀχμάτ. Γιάνι ἐβελκὶ χοντζὲτ ὅλτουρ κιμπενὶ ἰσραὴλ καβουμὶ μπεγαμπερλερῆ Κὶμ μπίστε ἀνλαρὶ ταστικλέρους ἐσάητζιν ἔρ Κέκιμ ἰσλετὶ βὲ γκετιὲ βακὶ ὁλτιγοῦν τζαμίησι τιτελὲρ βὲ σαγιτλερὶ Κὶμ χαβάρι γούντουρ ἀνλὰρ ἰελετιγὶν βὲ οὐλαρὰ βακὲ ὁλανὶν οὐλὶ τὰ διμάτιλε ἐσαὴν μεναγιμπὶν μπίρτι τιγουμὲρ κιμπὶ σαχατὶτ κιλτιλὰρ σαχατετλερὶ κεριτζεγίτιγιν ἰφστιφθὰρ ὁλονευρσατζουσμπὲ κατίρη.

ΚΕΦΑΛ. ΙΕ'.

ΣΧΟΛ. Ὅτι αἱ Γραφαὶ πᾶσαι τῆς πίστεως ἡμῶν

D συμφωνοῦσιν ἐν πᾶσι, διότι εἶχαν οἱ γράψαντες αὐτὰς ἕνα διδάσκαλον, τὴν χάριν τοῦ Θεοῦ. Ἄλλως γὰρ ἔμελλον ἔν τισι διαφωνεῖν.

Ἀχμάτ. Γιάνι ἰκιντζὶ χοντζὲτ ὅλ τουρκὶμ νὲ κατὰρ τινουμιζὲ μουταλῖχ κιταπλαρουμοῦς βάρισα πιρὶ πιρινὲ μουχαλὶφ τεγιοὺλ ζῆρα Κὶμ μαχασδαρὶ μπίριτι Κὶμ μπαρίητι ἐγὲρ ὁκλὲ ἁλμαράητι πιρὶ πιρινε μουχαλὶφ ὁλάητι.

ΚΕΦΑΛ. ΙϚ'.

ΣΧΟΛ. Ὅτι ἐδέξαντο ταύτην τὴν πίστιν, νέαν οὖσαν καὶ παράδοξον οἱ ἄνθρωποι πανταχοῦ μετὰ σπουδῆς καὶ μετὰ κινδύνων πολλῶν. Καὶ οὐ μόνον ἰδιῶται καὶ ἀμαθεῖς, ἀλλὰ καὶ οἱ φρόνιμοι, καὶ οἱ

σοφοί. Καὶ διὰ τοῦτο κατελύθη τελείως ἡ πλάνη τῶν δαιμόνων.

Achmat. Giani utzintzi chonzet oltur Kim isibu tim gini be atzep tineti rhabet be mechabet birile ol but beresler be atesibere sler erger te cabule eiletiler tzoc zachimet be tzoc mesikat tzingiben chaman tzachileri bu tine iman gkendi mertibelki alimleri be aclileri tachigecrek ichticat eiletiler bununle ol batil tin phasit oldi.

A doctrina eruditi, sed etiam qui prudentes et sapientes habiti fuere. Dissoluti jam hinc prorsus, doli et deceptio dæmonum.

ΚΕΦΑΛ. ΙΖ'.

ΣΧΟΛ. Ὅτι ἡ πίστις αὕτη οὐδὲν περιέχει ἀδύνατον, οὐδὲ ἀσύμφωνον, οὐδὲν σωματικὸν, ἀλλὰ πάντα πνευματικά. Καὶ ἔστιν ὁδὸς φέρουσα τὰς ψυχὰς τῶν ἀνθρώπων εἰς τὴν ἀγάπην τοῦ Θεοῦ, καὶ τῆς μελλούσης αἰωνίου ζωῆς.

Achmat. Tortin tzichontzet oltur bu tin itzinde be tzichthen mulaliph neste giocotur muptadai nefsan tegiltur muptadai rhuchanitur bis taric mu siakim iturkim chlerimitzi mechebetulach be chagiat ebetigine iltur.

CAPUT XVII.

SCHOL. Quarto, quod nihil impossibile, nihil dissentaneum hæc fides continet; nihil corporale, sed omnia spiritalia. Et via est, quæ animos hominum ad charitatem Dei, et futuræ vitæ æternæ, ducit.

ΚΕΦΑΛ. ΙΗ'.

ΣΧΟΛ. Ὅτι, ὅσοι ἔλαβον ταύτην τὴν πίστιν, καὶ ἐπολιτεύσαντο ἐναρέτως κατὰ τὸν Ἰησοῦ νόμον, ἔλαβον μεγάλα χαρίσματα ἐκ τοῦ Θεοῦ, καὶ δυνάμεις ἐποίησαν πολλὰς ἐν τῷ ὀνόματι Ἰησοῦ· ὅπερ οὐκ ἂν ἦν, εἰ ἡ πίστις αὕτη ἦν ἐναντία τῇ ἀληθείᾳ.

Achmat. Giani besindzi chondzer ochtur Kim sulas kim isi butini cabul kiltilar bunun uzerine thapit oldilar bechair amel isletiler mertebe Chasil kiltilar chem tzoc monetziler istlatiler isa atiila bu boile olmaziti egar bu tin chac olmagiagiti.

CAPUT XVIII.

SCHOL. Quinto, quotquot susceperunt hanc fidem et cum virtute secundum Jesu legem et instituta vixerunt, hi magis donis a Deo ornati fuerunt, et miracula multa potenter, nomine et concessu ipsius Jesu, fecere: quod profecto, si veritati hæc fides adversaretur, secuturum non fuisset.

ΚΕΦΑΛ. ΙΘ'.

ΣΧΟΛ. Ὅτι, ὅσα λέγουσι τινὲς κατὰ τῆς πίστεως ταύτης, δυνάμεθα λύειν εὐκόλως καὶ εὐλόγως.

Achmat. Giani altitzit chondze oltur er kimise isi bu tinin alet chisine mastluch ofa tzuabe catiris.

CAPUT XIX.

SCHOL. Sexto, quidquid ab aliquibus adversus hanc fidem affertur, id tum facile, tum veritati congruenter, solvere possumus.

ΚΕΦΑΛ. Κ'.

ΣΧΟΛ. Ὅτι τῇ πίστει ταύτῃ ἐπολέμησαν διὰ πολλῶν τιμωριῶν καὶ φόνων οἱ βασιλεῖς τότε, καὶ οἱ ἔπαρχοι αὐτῶν, ἐν τῇ οἰκουμένῃ τιή' χρόνους, πολύθεοι ὄντες, καὶ εἰδωλολάτραι καὶ οὐδὲν ἴσχυσαν, ἀλλὰ ἐνίκησεν ἡ πίστις, καὶ διαμένει μέχρι τοῦ νῦν. Καὶ ἐλθὼν ὁ Κύριος εὑρήσει αὐτήν. Καὶ, εἰ μὴ ἦν ἡ πίστις αὕτη ἐκ θελήματος Θεοῦ, διελύθη ἂν τότε εὐκόλως. Αὐτῷ τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, δόξα. Ἀμήν.

Achmat. Giani gelidzin chondzet oltur utzu gloas on sekis gilisi bu tinin ipta line mucataleile mucharebeile mutzate leile olza manun batisachtari Kim tzoc tacriabe putlara taparlarite mestluch olup iptal ite metilurbelki cuberbuldi alemta tasinticle

D

SCHOL. Postremo, fidem hanc olim oppugnarunt multis suppliciis et cædibus reges, et præsides eorum, per orbem terrarum 318 annis; ut multitudinem scilicet deorum suorum, et idola sua, quorum cultui dediti erant, tuerentur: nec hilum profecerunt, sed eluctata vicit fides, in hunc usque diem permanens. Sed et Dominus, quando venerit, reperiet eam. Quod nisi in voluntate Dei fuisset hæc fides fundata, facile tunc velut nebula dissoluta evanuisset. Ipsi huic Domino nostro Jesu Christo gloria. Amen.

ineger alachun rhi ,dasiocle olmagiagiti bile olumasti.

SCHOL. Hæc sunt, quæ nos de religione nostra sentimus, breviter dicta.

Achmat. Giani eile tiris birtinibus babinde ichtisar itipen.

Temet tamam olati. Id est, absolvit.

κουδὲτ μπουλντὶ ἀλεμτὰ τασιντιέτε ἠνεγὲρ ἀλαχοῦν ῥιδασὶ ὁκλὲ ὁλμαγιάγητι μποιλὲ ὁλουμάστι.

ΣΧΟΛ. Ταῦτα λέγομεν ἡμεῖς περὶ τῆς πίστεως ἡμῶν συντόμως.

Ἀχμάτ. Γιάνι ἐκλὲ τίρις μπὶρ τινιμποῦς μπαμπιντὲ ἰχτισὰρ ἰτίπεν.

Τέμετ ταμὰμ ὁλατὶ, ἤγουν, ἐπλήρωτεν.

ΓΕΝΝΑΔΙΟΥ ΟΜΙΛΙΑ

ΠΕΡΙ ΤΟΥ ΜΥΣΤΗΡΙΩΔΟΥΣ ΣΩΜΑΤΟΣ

ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ.

—

GENNADII HOMILIA

DE SACRAMENTALI CORPORE

DOMINI NOSTRI JESU CHRISTI.

—

Quandoquidem sanctorum istorum dierum abstinentia, et nostris de illa sermonibus ad sacram mensam præparati estis, auditores, Deo juvante, et Eucharistiæ sacramentum sexta abhinc die suscepturi estis, communicaturi corpori et sanguini Domini nostri : existimavi scilicet oportere de hoc etiam sacramento dicentem, quantum Dominus concesserit, adhortari vos ut talem animum adhibeatis, qui indubitanter et cum summa fide ad illud accedat, etsi rei magnitudine obstupescat. Varia vero cum sit et multiplex circa corpus Christi consideratio, scilicet ut naturalis, ut gloriosi, ut glorificati, ut mystici, secundum unamquamque rationem et argumenti diversitatem, diversum quoque et multiplicem sermonem admittit : alios quidem nunc prætermittam, statim vero ad mysticum tota convertetur oratio. Cum vero secundum triplicem rationem de illo possit disputari, scilicet de sacramenti exsistentia, de digna illius perceptione, et de ejusdem accurata conservatione, de exsistentia prius hodie ad vos disseram, veritatem vobis exponens, eamque manifestans exemplis, quibus infidelium objectiones refelluntur. Etenim si quidquam eorum quæ mirabiliter a Christo gesta sunt, istud maxime infidelibus offendiculo esse solet : quanto scilicet præ cæteris admiratione dignissimum est, tanto magis fides ei denegatur, ita ut et illis qui de eo primum audierunt, durus sermo visus fuerit, et scandali prætextus exstiterit. Omnia quidem Domino nostro bene successerant, viamque secretæ illius et omnem ser-

Ἐπειδὴ τῇ διὰ τῶν ἱερῶν τούτων ἡμερῶν ἐγκρατείᾳ, καὶ τοῖς ἡμετέροις λόγοις περὶ αὐτῆς πρὸς τὴν ἱερὰν παρεσκευάσθητε τράπεζαν, ὦ παρόντες, συνεφαπτομένου Θεοῦ, καὶ τὸ τῆς εὐχαριστίας μυστήριον, ὃ μετὰ ἕκτην ἡμέραν ἀπὸ τῆς παρούσης μέλλετε δέχεσθαι, καὶ τοῦ σώματός τε καὶ αἵματος κοινωνεῖν τοῦ ἡμετέρου Δεσπότου, δεῖν ἡγησάμην καὶ περὶ τοῦ μυστηρίου τούτου τὸν ἡμέτερον λογισμὸν, εἰς ὅσον ἂν ὁ Κύριος δοίη, παραμυθήσασθαι ἀνενδοιάστως μὲν αὐτῷ προσιόντα, καὶ μετὰ πίστεως ἄκρας, τῷ δὲ μεγέθει τοῦ πράγματος ἐκπληττόμενον. Ποικίλης δὲ καὶ πολυσχιδοῦς οὔσης τῆς περὶ τοῦ σώματος τοῦ Χριστοῦ θεωρίας, τῆς μὲν ὡς φυσικοῦ, τῆς δὲ ὡς ἐνδόξου, τῆς δὲ ὡς δεδοξασμένου, τῆς δὲ ὡς μυστικοῦ, καὶ λόγους ἑκάστης ἐπιδεχομένης τῷ διαφόρῳ τῆς ὑποθέσεως πρέποντας, τὰ μὲν ἄλλα νῦν παραλείψω, εὐθὺς δὲ περὶ τοῦ μυστικοῦ τὸν λόγον πάντα ποιήσομαι. Τριπλῆς δὲ καὶ περὶ τούτου τῆς θεωρίας οὔσης, τῆς μὲν περὶ τὴν ὕπαρξιν τοῦ μυστηρίου, τῆς δὲ περὶ τὴν ἀξίαν τούτου μετάληψιν, τῆς δὲ περὶ τὴν μετ' ἐπιμελείας αὐτοῦ φυλακὴν, περὶ τῆς ὑπάρξεως τοῦ μυστηρίου πρῴργου διαλέξομαι σήμερον, τήν τε ἀλήθειαν ὑμῖν ἐκτιθέμενος, καὶ παραδείγμασιν αὐτὴν φανερῶν ἐξ ὧν αἱ τῶν ἀπίστων ἀντιθέσεις ἐλέγχονται. Εἴπερ γάρ τι τῶν Χριστοῦ θαυμάτων, καὶ τοῦτο τοῖς ἀπίστοις πρόσκομμα γίνεται, ὅσῳ θαυμαστότερον τῶν ἄλλων ἐστὶ, τοσούτῳ πλέον διαπιστούμενον· ὥστε καὶ τοῖς πρώτως ἀκηκοόσι σκληρὸς ὁ λόγος ἔδοξεν εἶναι, καὶ σκανδάλου γέγονε πρόφασις. Εἶχε μὲν δὴ πάντα τῷ ἡμετέρῳ Δεσπότῃ καλῶς, καὶ τὴν ὁδὸν

διεξῆει τῆς ἀποῤῥήτου, καὶ πάντα λόγον νικώσης οἰκονομίας, διδάσκων τε καὶ θαυματουργῶν, καὶ σπείρων μὲν τὰ τῆς ἀληθείας σπέρματα, ὅσα τε ἐν δόγμασι, καὶ ὅσα ἐν ἤθεσι, καὶ τὴν οὐράνιον καὶ θείαν νομοθεσίαν ὑποδεικνὺς, λόγῳ τε τοῖς τότε δυναμένοις προσέχειν, δι' ὧν ἔμελλε τοῦ χρόνου προβαίνοντος, καὶ πανταχοῦ τῆς οἰκουμένης τοὺς οἰκείους νόμους ἱδρύσειν· καὶ ἰδίων ἐπιδείξεσιν ἔργων, θαύμασι δὲ τὸν τῆς ἀληθείας λόγον βεβαιῶν, πρὸς πάντας δὲ τοὺς ἀκούοντας, ὧν ἔσχατον καὶ μέγιστον ἦν ἡ τοῦ Λαζάρου πρὸς τὴν ζωὴν ταύτην ἐπάνοδος. Λοιπὰ δὲ ἦν ἐκείνων ἁπάντων ἐξειργασμένων ἡ κατ' αὐτοῦ μανία τῶν Ἰουδαίων, καὶ ὁ σταυρὸς, καὶ τὸ δι' αὐτοῦ τρόπαιον. Ταῦτα δὲ προειδὼς, καὶ μέλλων ἀνέχεσθαι καὶ προλέγων, καὶ πρὸς τὴν τούτων ἔκβασιν ἐπείγων τὰ πράγματα, τῶν δικαίως ἂν γενομένων αἰτίων εὐνοίας τε καὶ τιμῆς ἔργων αὐτοῦ καὶ λόγων, μῖσος ἐκκαυσάντων, μᾶλλον δὲ φθόνον ἐν ταῖς τῶν ἀπονενοημένων ψυχαῖς, ἐπέσπευδε δὲ οὕτω τὸν σταυρὸν καὶ τὸν θάνατον ὡς κεφάλαια τῆς οἰκονομίας ὄντα, καὶ τῆς κοινῆς ἡμῶν ἁμαρτίας, καὶ ποινῆς ἐπ' αὐτῇ λυτήρια, ἣν ἀφίκετο λύσων φιλανθρώπως ὁμοῦ καὶ δικαίως. Τὰ γὰρ πρόσθεν ἅπαντα τῆς ἐν ταύτῃ τῇ χάριτι τῶν πιστῶν πολιτείας παιδαγωγίαι τινὲς ἦσαν, καὶ νόμοι τὸν ἀνθρώπινον βίον ῥυθμίζειν δυνάμενοι. Οὕτω τοίνυν ἔχων, καὶ συνειδὼς ἑαυτῷ τοὺς μαθητὰς ἀπολείψοντι, μυστικόν τινα τρόπον, ἐκείνοις τε δίδωσιν ἑαυτὸν, καὶ ἡμῖν δι' ἐκείνων. Μὴ γὰρ νομίσητε, φησὶν, ὅτι καὶ σωματικῶς ἐμοῦ ποτε χωρισθήσεσθε, ἢ τῶν τῆς ζωῆς ῥημάτων ἐκείνων ἀπολειφθήσεσθε, οἷς ὑμᾶς παρὼν ἔτρεφον· ἀλλὰ τὸ ἐμὸν σῶμα καινόν τινα τρόπον καὶ μυστικὸν ἤδη παρέχω, καὶ τὸ αἷμα τὸ ὑπὲρ ὑμῶν καὶ τοῦ παντὸς κόσμου μέλλον μετ' ὀλίγον ἐκχεῖσθαι· καὶ τὸν τύπον ὑμῖν δίδωμι τῆς τοιαύτης θαυματουργίας, καὶ τὴν τοῦ ποιεῖν ἐντίθημι δύναμιν. Ἡ γὰρ τῶν ἐμῶν λόγων ὀραστηριότης πάντα ἄρτον καὶ πάντα οἶνον πρὸς τὸ ἐμὸν αἷμα καὶ σῶμα μεταβαλεῖ, ἐπειδὰν ἐμοῦ μνησθῆναι θελήσητε, καὶ ὡς συνόντα, καὶ ἕνόντα, καὶ ῥωννύντα πρὸς πᾶν ἀγαθὸν ἔχειν. Τίς γὰρ ἂν γένοιτο τοῦ βρωθῆναι καὶ πεθῆναι πλείων συνάφεια; Οὕτως οὖν τὸ ἐμὸν σῶμα τρώγοντες, καὶ τὸ αἷμα πίνοντες, ὡς τρώγεσθαι ταῦτα καὶ πίνεσθαι δεῖ, ζωὴν αἰώνιον ἕξετε, συμμορφούμενοι μὲν ἐμοὶ, καὶ οἷον εἰπεῖν ἀποτελούμενοι σύσσωμοι, ἀγαθοὶ δὲ πρὸς τὴν ζωὴν ἐκείνην ὁδοιπόροι γινόμενοι κατ' ἐμὲ, ἐπειδὴ καὶ αὐτὸς ὁδοιπόρος ὑπὲρ ὑμῶν ἐγενόμην, ὁδός τε ὢν καὶ τέλος τὸ ἔσχατον. Οὐδὲ ἔσται τι δέος πλάνην παθεῖν τοὺς τοιαύτης σαρκὸς καὶ αἵματος τοιούτου μετέχειν ἀξιουμένους. Οὐδεὶς γὰρ ἂν ὁδοιπορῶν κινδυνεύσει ἐμοὶ συνὼν, ἐμοὶ χρώμενος ὁδηγῷ. Ὁ δὲ κοινωνῶν οὕτως οὐκ ἔξωθεν ἕξει καθοδηγοῦντα, ἀλλ' ἔνδοθεν τὸ δέον ὑποτιθέμενον· συναναχρᾶσθήσεται γάρ μοι, καὶ αὐτός τε ἐν ἐμοὶ μενεῖ, κἀγὼ ἐν αὐτῷ. Οὐδὲ φορτικὸν εἶναι δεῖ καὶ σκληρὸν τὸν τῆς μεταλήψεως λόγον ὑμῖν· οὐ γὰρ ἀπαναρκήσετε, σάρκα τρώγοντες ἀνθρωπίνην, καὶ αἷμα πίνοντες, ὑπὸ ταύτῃ τῇ διαθέσει ὑφ' ἣ

monem superantis dispensationis decucurrerat docens et miracula faciens, spargens veritatis semina, tam quæ ad dogmata, quam quæ ad mores pertinebant, cœlestemque illam et divinam legislationem non obscure designans tum viva voce ad eos qui tunc attendere poterant, per quos progressu temporis proprias constituturus leges erat et singularium operum demonstrationibus. Miraculum autem, quod veritatis verbum confirmans ad omnes et ad eos qui audituri erant, ultimum et maximum edidit, Lazari fuit ad hanc vitam revocatio. Successerunt omnia quæ deinceps gesta sunt, furor Judæorum adversus eum, crux, et tropæum per crucem. Hæc autem prævidens, quæ passurus erat, eaque prædicens, et ad eorum eventum res festinanter ordinans; cum sermones ejus et opera quæ benevolentiam ipsi et honorem merito conciliare debuerant, tamen odio, vel potius invidia, desperatorum hominum animos inflammassent, ita festinavit ad crucem et mortem tanquam ad præcipua dispensationis suæ capita expiatoria communis nostræ culpæ, et pœnæ eidem debitæ, quam venerat soluturus benigne simul et juste. Quæcunque enim præcesserant, et morum secundum eamdem gratiam a fidelibus recte instituendorum documenta quædam erant, et leges quibus humana vita posset reformari. Ita igitur se habens, sciensque apud se quod discipulos relicturus esset, secundum mysticum quemdam modum dat illis se ipsum, et nobis per illos. Ne enim existimetis, inquit, quod corporaliter aliquando a me separandi estis, aut verbis illis vitæ carituri, quibus vos præsens nutriebam; sed corpus meum secundum novum quemdam et mysticum modum jam exhibeo, et sanguinem, qui pro vobis et pro toto mundo paulo post effundendus est: formam etiam vobis trado mirabilis illius operationis, et faciendi potestatem vobis tribuo. Etenim verborum meorum efficacia omnem panem et omne vinum in meum sanguinem et corpus transmutabit, quando mei memoriam agere, et me tanquam simul existentem, præsentem et confortantem ad omne bonum habere volueritis. Quæ enim major conjunctio esse possit, quam manducari et bibi? Ita igitur meum corpus edentes, et sanguinem bibentes, sicut ea edi et bibi oportet, vitam æternam habebitis, conformati mihi, et quodammodo concorporei effecti, boni vero ad hanc vitam viatores facti per me, quandoquidem et ipse pro vobis viator factus sum, qui sum via et finis ultimus. Neque erit ullus aberrandi timor, quibus carnis hujus et sanguinis participes fieri contingit. Nullus enim in via constitutus periclitabitur mecum existens, et me ducem habens. Qui autem ita communicat, non exterius, sed interius, habebit vitæ ducem quæ opus est suggerentem: mecum enim commiscebitur, in me manebit, et ego in illo. Neque vero gravis vobis debet aut durus esse communionis sermo: non enim abster-

rebimini carnem edentes humanam, et sanguinem bibentes sub eadem forma qua subsistunt, et in me sunt, sed tanquam in pane et vino manducabitis et bibetis : panis autem et vini apparens veritas, veritatem non apparentem corporis et sanguinis, continebit : substantia quidem transmutata, ut in vobis sacramentum operetur ; externa vero forma eadem permanente, ne qua vos hæsitatio et horror detinens, a communione abducat. Hæc itaque sic facientes, non amicitiæ solum, sed utilitatis etiam causa, sermonum meorum et vitæ meæ memoriam habentes, tum in spirituali vita proficietis, tum futura illa vita digni opportuno tempore efficiemini, ad quam vos antehac, quantum satis erat, præparavi. Talis est hujus sacramenti scopus, auditores, quantum paucis de maximo et divinissimo sacramento dicere licet. Et nunc sacramentum in communicantibus, profectum vitæ in Christo operatur, quodque corporaliter efficit, id quo ejus videtur, hoc secreto et invisibiliter perficit, id quod interius est. Nutrit enim et reficit animam nostram Christi corpus, sicut panis corpori idem præstat. Et sicut regenerati et baptizati accipimus esse gratiæ quo desinit esse peccati, uncti vero chrismate in regenerationis dono confirmamur, et signati confortamur ad spiritualia certamina, quæ nos spiritualiter genitos subire prorsus necesse est ; ita etiam robustiores factos nutriri oportet, et accipere perseverantiam et augmentum in eadem gratia per sacramentum communionis. Ut enim calor naturalis corporis consumeret humidum ejusdem innatum, nisi alimentorum accessione facta sustentaretur, et ideirco cibo et potu conservantur optime vitalia interius, quibus natura nostra consistit, corrupta calore reparantur et conservantur, et impossibile est aliter humanam vitam qualitercunque sustentari : ita et malitiæ calor interius animam depascens, pietatisque bonam habitudinem emacians, faceret eam omnino deficere, nisi anima hunc spiritualem cibum acciperet, obsistentem vi corruptrici malitiæ, et in nobis dona spiritualia confirmantem et agentem.

Corpus autem Christi corporis ratione est nutriens, ratione vero puritatis per unionem cum divina natura purificans et sanctificans, sufficienter nobis spirituale præbet alimentum. Ita vero præclare nutritos, ad spiritualem puritatem et sanitatem reducit, qua olim nos vetiti fructus comestio dejecerat. Oportebat enim nos, qui corporeo quodam cibo innocentiam et sanitatem amiseramus, corporeo quodam alimento illam restaurare, ut ita similia similibus, et contraria contrariis opportune curarentur, quemadmodum cibi illi, uterque corporeus, tam qui prius exitio fuit, quam qui nunc saluti est, sanitas et vita spiritualis, id quod nunc salvat, et quod olim corrupit. Sed illum quidem cibum Deus prohibuerat, istum vero nunc et usurpari præcipit et subministrat : illum malus

A νῦν ὑφεστήκασι καὶ εἰσὶν ἐν ἐμοί· ἀλλ' ὡς ἐν ἄρτῳ καὶ οἴνῳ ἐσθίειν καὶ πίνειν μέλλετε, καὶ ἡ τοῦ ἄρτου καὶ οἴνου φαινομένη ἀλήθεια, τὴν ἀλήθειαν ἀφανῆ τοῦ σώματος καὶ αἵματος περιέξει, τῆς μὲν οὐσίας μεταβληθείσης, ὡς ἂν ἐν ὑμῖν τὸ μυστήριον ἐνεργῇ, τῆς δὲ ἔξωθεν διαθέσεως τῆς αὐτῆς σωζομένης, ἵνα μηδεὶς ὑμᾶς ἴλιγγος κατασχὼν ἀπαγάγῃ τῆς μεταλήψεως. Ταῦτα τοίνυν οὕτω ποιοῦντες, οὐ φιλίας ἕνεκα μόνον, ἀλλὰ καὶ ὠφελείας, καὶ λόγου καὶ βίου μνημονεύοντες τῶν ἐμῶν, ἐν τῇ πνευματικῇ ζωῇ προκόψετε δήπου, καὶ τῆς μελλούσης ἐκείνης ἐγκαίρως ἀξιωθήσεσθε, πρὸς ἣν ὑμᾶς ἀρκούντως πρόσθεν κατήρτισα. Οὗτος ὁ τοῦ μυστηρίου σκοπὸς, ὦ παρόντες, ὡς ἐν ὀλίγοις περὶ τοῦ μεγίστου καὶ θειοτάτου διαλαβεῖν. Καὶ νῦν τὸ μυ- B στήριον τοῖς μετέχουσι προκοπὴν τῆς κατὰ Χριστοῦ ζωῆς ἐνεργάζεται ὅπερ σωματικῶς ὁρᾷ τὸ φαινόμενον αὐτοῦ· τοῦτο μυστικῶς τε καὶ ἀοράτως ἔνδον ἀνύον. Τρέφει γὰρ καὶ ἀναπλάττει τὴν ἡμετέραν ψυχὴν τὸ τοῦ Χριστοῦ σῶμα, καθάπερ ὁ ἄρτος τῷ σώματι τοῦτο ἐργάζεται. Καὶ καθάπερ ἀναγεννώμεθα βαπτιζόμενοι, καὶ τὸ εἶναι τῆς χάριτος, τοῦ εἶναι τῆς ἁμαρτίας ἀντιλαμβάνομεν, χριόμενοι δὲ τῷ μύρῳ ἐν αὐτῷ τῆς ἀναγεννήσεως βεβαιούμεθα δώρῳ, καὶ πρὸς τοὺς πνευματικοὺς ἀγῶνας ἐνισχυόμεθα σημειούμενοι, οὓς ἀνάγκη πᾶσα τοὺς πνευματικῶς γεννωμένους ὑπέρχεσθαι, οὕτω δεῖ καὶ τρέφεσθαι δυναμωθέντας, καὶ τὴν ἐν τῇ χάριτι λαμβάνειν διαμονὴν καὶ ἐπίδοσιν, τῷ μυστηρίῳ τῆς μεταλήψεως. Ὥσπερ γὰρ ἡ φυσικὴ τοῦ σώματος C θέρμη ἀναλώσει ἂν τὴν ἔμφυτον ὑγρότητα τούτου, μὴ ταῖς ἀπὸ τῶν τροφῶν προσθήκαις βοηθουμένην, καὶ διὰ τοῦτο τῇ τροφῇ καὶ τῷ πόματι φυλάττεται μὲν τὰ συνιστῶντα τὴν φύσιν ἔνδον καλῶς, ἀναπληροῦται δὲ τὰ φθαρέντα τῇ θέρμῃ, καὶ ἀνασώζεται, καὶ ἀδύνατόν ἐστιν ἄλλως τὴν ἀνθρωπίνην ζωὴν, οὐδ' ἐφ' ὁσονοῦν διαρκέσαι· οὕτως ἡ θέρμη πονηρίας ἔνδοθεν τὴν ψυχὴν κατατρώγουσα τῷ τὴν πιότητα τῆς εὐλαβείας ξηραίνειν, ἐποίησεν ἂν αὐτὴν παντάπασιν ἐκλιπεῖν, εἰ μὴ τὴν πνευματικὴν ταύτην ἡ ψυχὴ τροφὴν προσελάμβανεν, ἀντικαθισταμένην τῇ φθαρτικῇ δυνάμει τῆς πονηρίας, καὶ συνιστῶσαν ἐν ἡμῖν τὰ πνευματικὰ τοῦ Θεοῦ δῶρα, καὶ αὔξουσαν.

Τὸ δὲ τοῦ Χριστοῦ σῶμα τῷ μὲν λόγῳ τοῦ σώ- D ματος τρέφον, τῷ δὲ τῆς καθαρότητος λόγῳ τῇ πρὸς τὴν θείαν φύσιν ἑνώσει καθαίρον καὶ ἁγιάζον, ἀρκούντως ἡμῖν τὴν πνευματικὴν παρέχεται τέρψιν. Τρεφόμενοι δὲ οὕτω καλῶς πρὸς τὴν πνευματικὴν καθαρότητα καὶ ὑγείαν ἐπαναγόμεθα, ἧς ἡμᾶς τῆς κεκωλυμένης βρώσις ἐξέωσε τότε. Ἔδει γὰρ ἡμᾶς σωματικῇ τινι βρώσει τὴν ἀκεραιότητα καὶ τὴν ὑγείαν ἐκείνην ἀποβαλόντας, σωματικῇ τινι πάλιν τροφῇ πρὸς ἐκείνην ἐπανελθεῖν, καὶ τὰ μὲν ὅμοια τοῖς ὁμοίοις θεραπευθῆναι καλῶς, τοῖς δὲ ἐναντίοις τὰ ἐναντία, οἷον βρώσεις μὲν ἄμφω σωματικαὶ, ἥ τε διαφθείρασα τὴν ἀρχὴν, ἥ τε σώζουσα νῦν, καὶ ὑγεία καὶ πνευματικὴ ζωὴ, τό τε σωζόμενον, τό τε φλειρόμενον. Ἀλλ' ἐκείνην μὲν ἀπέτρεπεν ὁ Θεὸς, ταύτην δὲ νῦν ἐπιτρέπει καὶ χορη-

γεῖ· κἀκείνην μὲν ὁ πονηρὸς εἰσηγεῖτο δαίμων, ταύτης δὲ ὁ τοῦ Θεοῦ Υἱὸς, οὗ σύμβουλος μόνον, ἀλλὰ διάκονος γίνεται· κἀκείνη μὲν ἡρπάζετο, πρὸς ταύτην δὲ καὶ παρακαλούμεθα φανερῶς· κἀκείνῃ μὲν ὑφέδρευε τῆς παραβάσεως ὁ ἰὸς, ταύτῃ δὲ ὑποκέκρυπται θησαυρὸς ἀγαθῶν ἀναρίθμητος. Τὸ γὰρ ἱερώτατον τοῦ Χριστοῦ σῶμα καλῶς ἐσθιόμενον, ὥς φησιν ὁ θεῖος Γρηγόριος, πολεμοῦσι μέν ἐστιν ὅπλον, ἀποδημοῦσι δὲ ἐπάνοδος· τοὺς ἀσθενεῖς ἐνισχύει, τοὺς ἐῤῥωμένους εὐφραίνει, τὰς νόσους ἰᾶται, τὴν ὑγείαν διαφυλάττει· διὰ τούτου γινόμεθα πρᾳότεροι πρὸς διόρθωσιν, πρὸς τοὺς πόνους μακροθυμότεροι, θερμότεροι πρὸς ἀγάπην, πρὸς γνῶσιν ἀγχινούστεροι, προθυμότεροι πρὸς ὑπακοὴν, ὀξύτεροι πρὸς τὴν τῶν χαρισμάτων ἐνέργειαν, ὧν τάναντία τοῖς οὐ καλῶς μεταλαμβάνουσιν ἕπεται· γίνεται ἡ τράπεζα κατ' αὐτῶν εἰς βόθρον, καὶ εἰς ἀνταπόδομα, καὶ εἰς σκάνδαλον, καὶ ὅσα ἄλλα τοῖς τοιούτοις συμβαίνειν περὶ τῆς ἱερᾶς ταύτης τραπέζης προφητεύων ὁ Δαβὶδ ἀριθμεῖ. Ὦ μυστηρίου πάντων μυστηρίων ἱερωτάτου, καὶ αὐτὸ τὸ τοῦ βαπτίσματος; ὑπερβαίνοντος· δι' ἐκείνου μὲν γὰρ ἡμῖν ὁ Δεσπότης κατὰ δύναμιν μόνην, διὰ δὲ τούτου κατ' οὐσίαν ἡμῖν κοινωνεῖ. Ὦ θαύματος θαῦμα πᾶν ὑπερβαίνοντος! *Ὦ Μετουσιώσεως* πολὺ τὸ παράδοξον ἐχούσης, καὶ χαρίεν, τοῖς τῇ πίστει πεφωτισμένοις. Οὐδὲν μὲν οὖν ἐστι χαλεπὸν, οὐδ' ἀπίθανόν τι, τὴν πρώτην πάντων αἰτίαν ποιεῖν τι παρὰ τὴν ἐγκαθεστεῖσαν ὑπ' αὐτοῦ τοῖς πράγμασι τάξιν, ἐπειδὰν βουληθῇ, ὃ δὴ θαυματουργίαν εἶναι φαμέν· ὅπου γε καὶ τῇ φύσει συμβαίνει, καὶ οἰκοθέν τι τοιοῦτον ποιεῖν ἢ πάσχειν ὅπως; ποτέ. Πᾶσα γὰρ μεταβολὴ φυσικὴ ἄν τε γέννησις ᾖ, ἄν τε αὔξησις, ἄν τε ἀλλοίωσις ἢ κατὰ φύσιν ἐστὶν, ἢ παρὰ φύσιν, ὡς τῷ φιλοσόφῳ δοκεῖ· ὡς ἔχει τὰ κατὰ καιρὸν ἀῤῥυνόμενα ἢ ἀῶρος. Καὶ ὥστε ἐν ταῖς χρισίμοις ἡμέραις ὑγιαζόμενα τῶν νοσημάτων, ἢ καὶ πρὸ τούτων, καὶ μετὰ ταῦτα· ὧν τὰ μὲν κατὰ φύσιν γινόμενα, οὐδὲν ἐν ἡμῖν θαῦμα κινεῖ, τὰ δὲ παρὰ φύσιν μόνα θαυμάζεται. Πολλῶν δὲ θεόθεν γινομένων καὶ γεγεννημένων θαυμάτων τοῦτο μέγιστον ἀτεχνῶς. Τοῦτο γὰρ τὸ μυστήριον *μεταβολήν τινα περιέχον οὐσίας εἰς οὐσίαν* ἐν ἀκαρεῖ γενομένην τῶν συμβεβηκότων ἀμεταβλήτων μενόντων πάσης μεταβολῆς φυσικῆς τε καὶ παρὰ φύσιν ἐξῄρηται. Ἀλλὰ νῦν τὰς φυσικὰς ἀφέντες μεταβολὰς, αἷς αἱ παρὰ φύσιν παραπεπήγασι σπανίως ἐν τῇ φύσει γινόμεναι, τὰς θείας σκοπῶμεν θαυματουργείας. Ἀπαλλάττει μὲν οὖν ὁ Θεὸς πυρετοῦ καὶ νοσημάτων ἄλλων χωρὶς ἰατρείας, ὥσπερ τὴν Πέτρου πενθερὰν, καὶ τὸν ἑκατοντάρχου παῖδα, καὶ πολλοὺς ἄλλους ἰάσατο· καὶ πυκνοῖ τὸν ἀέρα πρὸς ὑετὸν, μηδεμιᾶς προηγησαμένης φυσικῆς αἰτίας τῶν ὄμβρων, ὡς διὰ τοῦ Σαμουὴλ καὶ τοῦ Ἠλίου πεποίηκε πρότερον· ἀλλ' ἐν τοῖς τοιούτοις πᾶσι τὴν τάξιν μόνον, καὶ τὸν τρόπον τῆς φύσεως μεταποιεῖ· ποιεῖ δὲ πρᾶγμα καθ' ἑκάστην γίνεσθαι δυνάμενον, εἰ καὶ μὴ ταύτῃ τῇ ὁδῷ. Πάλιν νεκροὺς ἀνίστησιν ὥσπερ τὸν Λάζαρον, καὶ ὀφθαλμοὺς ἀνοίγνυσι

dæmon exhibuit, istius vero Filius Dei non hortator solum, sed et minister est: ille raptus est, ad istum manifeste invitamur, in illo latebat transgressionis venenum, in isto recondidit thesaurus infinitus bonorum. Sanctissimum enim Christi corpus comestum ut decet, sicut ait divinus Gregorius, pugnantibus armatura est, peregrinantibus reditus, infirmos corroborat, robustos lætificat, morbos sanat, sanitatem conservat: per illud efficimur mitiores ad emendationem, constantiores ad labores, ferventiores ad charitatem, subtiliores ad cognitionem, ad obedientiam proniores, promptiores ad charismatum operationem, sicut non recte percipientibus contraria prorsus accidunt, et fit mensa contra eos in foveam, et in retributionem, et in scandalum, et quæcunque alia talibus accidere de hac sacra mensa prophetans David enumerat. O sacramentum omnium sacramentorum sacratissimum, et ipso baptismatis sacramento præstantius! per hoc enim Dominus nobis secundum potentiam solummodo, per illud secundum substantiam se communicat! O miraculum omni miraculo superius! *O Transsubstantiationem* plane mirabilem et stupendam, et iis qui fide sunt illuminati gratissimam! Non equidem difficile est aut incredibile, quod prima rerum omnium causa efficere quidquam possit præter constitutum a seipsa in rebus ordinem, cum voluerit, quod quidem miraculum esse dicimus, quoties et naturæ ipsi aliquando tale quid in se ipsa agere aut pati accidat. Omnis enim mutatio naturalis, sive generatio, sive augmentum, sive alteratio, vel secundum naturam est, vel præter naturam, ut philosopho videtur: quomodo se habent ea quæ certo temporis spatio in justam magnitudinem crescunt, aut quæ intempestive; veluti etiam in criticis diebus, quidam morbi sanantur, vel ante illos, vel deinde: quorum quæ quidem secundum naturam fiunt, nullam in nobis admirationem excitant: quæ vero præter naturam, ea sola admirationi esse solent. Cum vero miracula multa divinitus fiant, et porro facta sint, istud certe maximum est. Hoc enim sacramentum *transmutationem quamdam continens substantiæ in substantiam*, quæ fit in momento, accidentibus manentibus nec mutatis, omni transmutatione naturali aut præter naturam longe præstantius est. Sed nunc prætermissis naturalium transmutationum exemplis, quas proxime sequuntur illæ quæ præter naturam fiunt, licet rarius fieri solitæ, divinas miraculorum operationes consideremus. Liberat quidem Deus a febre et aliis morbis absque medicina; atque ita socrum Petri, centurionis puerum et multos alios sanavit; aerem in pluviam condensat, nulla præcedente imbrium causa naturali, ut per Samuelem et Heliam fecit aliquando; sed in omnibus ejusmodi (miraculis) ordinem solum et modum naturæ commutat, rem vero efficit, quæ quotidie potest fieri, etsi non eadem via. Iterum mortuos resuscitat sicut Laza-

rum, et cæcorum oculos aperit. In talibus miraculis excludit quidem naturæ ordinem, non quantum ad ea quæ fiunt, sed quantum ad id in quo fiunt, nempe quantum ad subjectum. Efficit enim et ipsa natura vitam, sed non in mortuo, et dat visum, sed non ei qui semel oculis orbatus est. Iterum sistit solem per Jesum filium Nave, et corpus humanum per seipsum glorificat; corpus per aliud corpus transmeare facit, quæ quidem inter Dei miracula maximum et præcipuum locum habent, adeo ut nullo modo a natura produci possint: sed hæc etiam superat propositum miraculum. Illic enim solummodo solem sistit, sed non simul moveri quoque eum facit, neque simul esse et non esse; hic vero facit quidem panem, sed et corpus absque convenientibus ipsi accidentibus, et panis accidentia absque conveniente ipsis substantia conservat, et substantiam aliis accidentibus congenitam, conjungit cum accidentibus alteri substantiæ congruentibus. O maximum miraculum et omni sermone superius! iterum dicam. Sed alterum quod huic comparem, miraculum habeo, quod humanam naturam Deus divinæ personæ conjunxit, non sicut animæ corpus conjungit, utroque seorsim proprium nomen retinente. Neque enim anima corpus, aut corpus anima dicitur, sed ita unit (naturas duas) personaliter, ut Deus homo sit, et homo Deus. Verum isto mirabilius et illud mysterium: hic enim neutra in alteram transmutata natura fuit, sed in Christi persona, et divinitas et humana natura inconfuse reperiuntur. Illic vero creatura in Creatorem transformatur mediante corpore, et præexsistens panis substantia corpus Dei fit, dum corpus Christi efficitur. Maximum quidem revera omnium Dei mirabilium est ex his argumentis panis in corpus Dominicum *Transsubstantiatio*, sed quæ potestatem divinam consideranti non impossibilis judicabitur. Neque enim existimare oportet præter naturalem rerum ordinem facere nihil posse Deum, cui et natura et ordo subjiciuntur: multo magis cum et ipsam naturam videre liceat suos terminos aliquando prætergredientem. Neque oportet miraculorum quædam quasi facilia et obvia Deo concedere, ad majora vero et difficiliora impotentiam ascribere ei qui infinitam potestatem habet, nec aliis quam voluntatis suæ terminis circumscriptam. Si enim naturæ ordinem transgreditur tanquam superior omnibus causa, secundum subjectorum diversitatem, cur non et in eadem re eumdem, si voluerit, ordinem transgredietur? Si porro non servit ordini naturæ qui conditor ejus est, cur non et naturam ipsam transmutabit sicut ipse voluerit? Ut enim creatæ alicui potentiæ miracula, etiam illa postremi generis, omnino sunt impossibilia, ita potentiæ infinitæ amplitudinem sequitur, ut cum voluerit, maximum quodque miraculum designare et efficere queat, et quod ad nullam sublimitatem quasi impedita desistat. Quomodo vero difficile esse possit ei qui omnia constituit, parti-

τυφλῶν. Ἀλλ' ἐν τοῖς τοιούτοις ἐμβάλλει μὲν τὴν τῆς φύσεως τάξιν, ἀλλ' οὐχ ὅσον πρὸς τὰ γινόμενα, ὅσον δὲ πρὸς τὸ ἐν ᾧ ταῦτα γίνεται πρὸς τὸ ὑποκείμενον δηλαδή. Ποιεῖ γὰρ καὶ ἡ φύσις αὐτὴ ζωὴν, ἀλλ' οὐκ ἐν τῷ νεκρῷ, καὶ δίδωσιν ὄψιν, ἀλλ' οὐ τῷ καθάπαξ πεπηρωμένῳ τοὺς ὀφθαλμούς. Πάλιν ἵστησιν ἥλιον διὰ Ἰησοῦ τοῦ Ναυῆ· καὶ τὸ ἀνθρώπινον σῶμα δοξάζει δι' ἑαυτοῦ, καὶ σῶμα διὰ σώματος διιέναι ποιεῖ, ἃ δὴ τὴν μεγίστην ἐν τοῖς τοῦ Θεοῦ θαυμασίοις τάξιν ἐπέχουσιν, ὡς οὐδένα τρόπον ὑπὸ τῆς φύσεως δυνάμενα γίνεσθαι. Ἀλλὰ καὶ τούτων ὑπέρκειται τὸ προκείμενον θαῦμα. Ἵστησι γὰρ μόνον ἐκεῖ τὸν ἥλιον, ἀλλ' οὐχ ἅμα καὶ κινεῖσθαι τὸν αὐτὸν ποιεῖ, οὐδ' ἅμα εἶναί τε, καὶ μὴ εἶναι. Ἐνταῦθα δὲ ποιεῖ μὲν σῶμα τὸν ἄρτον, ἀλλὰ καὶ τὸ σῶμα χωρὶς τῶν αὐτῷ πρεπόντων συμβεβηκότων, καὶ τὰ τοῦ ἄρτου συμβεβηκότα χωρὶς τῆς αὐτοῖς πρεπούσης οὐσίας διαφυλάττει, καὶ οὐσίαν ἄλλοις συμβεβηκόσι συμπεφυκυῖαν συνάπτει μετὰ συμβεβηκότων ἄλλῃ προσηκόντων οὐσίᾳ. Ὦ μεγίστου θαύματος, καὶ πάντα λόγον νικῶντος! αὖθις ἐρῶ. Ἀλλ' ἔχω τούτῳ τῷ θαύματι παραλαβεῖν ἕτερον, ὅτι τὴν ἀνδρείαν φύσιν ὁ Θεὸς τῷ θείῳ συνῆψε προσώπῳ, οὐχ ὥσπερ τῇ ψυχῇ τὸ σῶμα συνάπτει, ἑκατέρου τῷ ἰδίῳ μόνον ὀνόματι καλουμένου. Οὔτε γὰρ ἡ ψυχὴ σῶμα, οὔτε τὸ σῶμα ψυχὴ λέγεται· ἀλλ' οὕτως ἑνοῖ προσωπικῶς, ὥστε τὸν Θεὸν ἄνθρωπον εἶναι, καὶ Θεὸν ὑπάρχειν τὸν ἄνθρωπον. Ἀλλὰ καὶ τούτου θαυμαστότερόν ἐστι τὸ μυστήριον. Ἐκεῖ μὲν γὰρ οὐδετέρα πρὸς τὴν ἑτέραν μεταβέβληται φύσιν· ἀλλ' ἐν τῷ τοῦ Χριστοῦ προσώπῳ, καὶ ἡ θεότης, καὶ ἡ ἀνθρωπίνη φύσις ἀσυγχύτως ἐστίν. Ἐνταῦθα δὲ τὸ κτίσμα πρὸς τὸν κτίστην μεταποιοῦται διὰ μέσου τοῦ σώματος, καὶ ἡ προὔφεστηκυῖα τοῦ ἄρτου οὐσία σῶμα Θεοῦ γίνεται, γινόμενον σῶμα. Μεῖζον μὲν δὴ πάντων τῶν θείων θαυμάτων ὡς ἀληθῶς διὰ ταῦτα, ἡ τοῦ ἄρτου πρὸς τὸ σῶμα τὸ δεσποτικὸν *Μετουσίωσις*, ἀλλ' οὐκ ἀδύνατος τῷ πρὸς τὴν θείαν βλέποντι δύναμιν. Οὔτε γὰρ δεῖ τὸν Θεὸν ἡγεῖσθαι μὴ δύνασθαι παρὰ τὴν φύσιν καὶ τῶν ὄντων τάξιν ποιεῖν, ᾧ καὶ ἡ φύσις καὶ ἡ τάξις ὑπόκειται, καὶ πολλῷ μᾶλλον ὅπου καὶ τὴν φύσιν αὐτὴν ἔστιν ἰδεῖν τῶν ἑαυτῆς ὅρων ἐξισταμένην ποτέ. Οὔτε τὰ μὲν ὡς πράγεια τῶν θαυμάτων δεῖ τῷ Θεῷ συγχωρεῖν, πρὸς δὲ τὰ μείζω καὶ δυσχερέστερα καταδικάζειν ἀδυναμίαν τοῦ δύναμιν ἄπειρον ἔχοντος, καὶ σύστοιχον τῇ θελήσει. Εἰ γὰρ τὴν τάξιν ὑπερβαίνει τῆς φύσεως ὡς ὑπερκείμενον πάντων αἴτιον ἐν τῇ τῶν ὑποκειμένων διαφορᾷ, τί μὴ καὶ ἐν τῷ αὐτῷ πράγματι ταύτην βουληθεὶ; ὑπερβήσεται; Εἰ δὲ μὴ δουλεύει τῇ τάξει τῆς φύσεως δημιουργὸς αὐτῆς ὤν, τί μὴ καὶ τὴν φύσιν αὐτὴν μεταποιήσειεν ὡς ἂν αὐτὸς βουληθείη; Ὥσπερ γὰρ κτιστῇ τινι δυνάμει, καὶ τὰ τῶν θαυμάτων ἔσχατα τῇ τάξει καθάπερ ἀνεπιχείρητα, οὕτω τῇ περιουσίᾳ προσήκει τῆς ἀπείρου δυνάμεως, ἐπειδὰν βουληθῇ μεῖζον ἀεὶ μείζονος θαύματος ἐπινοεῖν καὶ ποιεῖν, καὶ πρὸς οὐδεμίαν ὑπερβολὴν ἵστασθαι. Τί δ' ἂν εἴη χαλεπὸν τῷ τόδε τὸ τῶν

ὑποστησαμένῳ, καὶ μερικήν τινα διαθέσθαι φύσιν ὡς βούλεται; Διὰ τοῦτο λύει μὲν ὁ Θεὸς πυρετὸν ἰατρείᾳ καὶ ὁδῷ φύσεως· δι' αὐτοῦ γὰρ καὶ τέχνη καὶ φύσις ἀνύει πάσης αὐταῖς παρασκευῆς ἐκεῖθεν ἠκούσης. Λύει δέ ποτε πυρετὸν οὔτε τῇ ὁδῷ τῆς φύσεως, οὔτε τῇ τέχνῃ χρώμενος. Τῇ αὐτῇ δὲ δυνάμει ζωὴν ἐμπνεῖ τῷ νεκρῷ, ἣν ἡ φύσις ζῶντι δίδωσι μόνῳ. Ἐπέκεινα δὲ καὶ τὸ φύσει βαρὺ καὶ γεῶδες σῶμα τοῦ φυσικοῦ βάρους, καὶ τῆς θνητότητος ἀπαλλάττων εἰσοικίζει τῶν θυρῶν κεκλεισμένων, καὶ μετεωρίζει πρὸς τὸν οὐράνιον χῶρον, καὶ σωματότητα καὶ πνευματότητα συνίστησιν ἐν τῷ αὐτῷ πράγματι, ὡς εἶναι μὲν τὸ αὐτὸ σῶμα ἀληθῶς ἀνθρώπου, εἶναι μέντοι σῶμα πνευματικὸν, καὶ οἷον ἂν διὰ τῶν στεγανῶν διελθεῖν ἐνδιδόντων τῇ θείᾳ δυνάμει, καθάπερ ἕνια τῶν ἁπλῶν σωμάτων διὰ σωμάτων διέρχεται στεγανῶν, βίας χειρῶν ἀνθρωπίνων τοῦτο πραττούσης.

cularem quamdam naturam disponere ut velit? Idcirco depellit quidem Deus febrim medicina, et via naturali: per ipsum enim et ars et natura effectum habent, cum ab eo facultas utriusque omnis oriatur. Depellit etiam febrim, neque naturali via neque arte eadem utens. Eadem quoque potentia vitam inspirat mortuo, quam natura viventi dat soli. Præterea corpus natura grave et terrenum, naturali gravitate et mortalitate liberans, introducit per clausas januas, et elevans transferi in cœlestem sedem corporeitatem et spiritualitatem, in eodem ipso constituens, ita ut idem sit corpus verum hominis, sitque simul corpus spirituale, adeo ut solida corpora transmeet, quæ potestati divinæ cedant, sicut simplicia quædam corpora per solidum corpus transeunt, humanarum manuum vi illud efficiente.

Περὶ μὲν δὴ τῶν θείων θαυμάτων ἀρκεῖ τοσοῦτον εἰπεῖν, ὅσον εἰς τὴν προκειμένην ἡμῖν ἁρμόττει χρείαν, τῷ δὲ προκειμένῳ μόνῳ ἐφιστῶντες νῦν μυστηρίῳ, πάλιν ἀναλαμβάνοντες λέγομεν, ὅτι τῇ μὲν θείᾳ δυνάμει ἁπλῶς οὐδαμῶς ἀδύνατον τοῦτο, καὶ πρὸς ἑκάστην δὲ τῶν ἀπορίων αἷς τινες πρὸς τὴν ἀπιστίαν ἀνάγονται τοῦ μυστηρίου, ῥᾴδιον ἀντιμηχανᾶσθαι τὸν ἀνθρώπινον λόγον, καίτοι τοῦ μυστηρίου καθάπερ πίστει μόνῃ λαμβάνεσθαι ὀφείλοντος, καὶ κατέχεσθαι. Αὐτίκα τὸ μὲν τῆς μεταβολῆς ἀκαριαῖον τῇ ἀπειρίᾳ τῆς θείας δυνάμεως θεραπεύεται· ἡ γὰρ ἄπειρος δύναμις ἐν ἀκαρεῖ χρόνου δύναται τὰ μέγιστα τῶν σωμάτων κινεῖν, ὡς τῷ φιλοσόφῳ δοκεῖ, ὥστε καὶ μεταβάλλειν ἐν ἀκαρεῖ χρόνου ἡ πάντα παράγουσα δύναμις οὐκ ἂν ἀτονοίη. Τῷ δὲ τὴν τῶν οὐσιῶν ἐκπληττομένῳ μεταβολὴν πολλὰς μὲν ἡ θεία Γραφὴ, πολλὰς δὲ ἡ φύσις αὐτὴ δίδωσιν ὁμοιότητας. Ἔστι μὲν γὰρ ὑδάτων φύσις, οἷς ἐμβαλλόμενον ξύλον οὐκ εἰς μακρὰν εἰς λίθου φύσιν μεταποιεῖται. Ἐν δὲ τῇ κοιλίᾳ καὶ τῷ στομάχῳ τοῦ ζώου καθ' ἑκάστην ἡμέραν τὸ τῆς τροφῆς καθαρεῦον μετὰ τὴν πέψιν καὶ τὴν ἀλλοίωσιν ἀναδιδόμενον ἧπατι καὶ φλεψὶ δι' αὐτοῦ προσθήκη τῇ οὐσίᾳ τοῦ τρεφομένου γίνεται. Πῶς οὖν; Οὐχὶ καὶ ταῦτα δοκεῖ θαυμαστὰ τοῖς ἀπίστοις; Ἀλλὰ τὸν μὲν ἄρτον σάρκα γινόμενον ἐν αὐτοῖς οὐ διαπιστοῦσι, κατὰ δὲ τοῦ μυστηρίου μόνου τὴν ἀπιστίαν ἐγείρουσιν. Εἰ δὲ καὶ ὁ Σατανᾶς Ἔλεγεν ἐκπειράζων· *Εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται, εἰ Θεὸς εἶ*, ὡς εἰδὼς δηλονότι τὴν θείαν δύναμιν ἐξαρκοῦσαν ἐν ἀκαρεῖ τοῦτο ποιεῖν, εἰ θελήσειε· πῶς ὁ λέγων μὴ δύνασθαι τὸν Θεὸν τὸν ἄρτον εἰς ἀνθρωπίνην σάρκα μεταβαλεῖν, ὃ καὶ ἡ φύσις ἐν ὡρισμένῳ μέρει χρόνου ποιεῖ, οὐ ψεύδεται χεῖρον τοῦ πειραστοῦ ὃς ἐστι τοῦ ψεύδους πατήρ; Ἡ τοῦτο νῦν ἐργαζομένη τὸ θαῦμα δύναμις, τὴν γυναῖκα ποτὲ τοῦ Λὼτ εἰς ἁλὸς στήλην αἴφνης; μεταβαλοῦσα τοὺς μὴ θέλοντας πείθεσθαι τῷ Θεῷ προστάττοντι σωφρονίζει. Καὶ αὐτὴ τὴν Μωσέως ῥάβδον εἰς ὄφιν, καὶ ἐξ ὄφεως αὖθις εἰς ῥάβδον

Sed de divinis miraculis satis dictum est, quantum instituti ratio postulabat; proposito autem mysterio solum insistentes, et sermonem resumentes, dicimus quod divinæ potestati simpliciter illud nullatenus impossibile est, et singulis difficultatibus, quibus nonnulli ad incredulitatem circa hoc sacramentum adducuntur, facile est humanam rationem opponere; licet omnino sacramentum hoc sola fide apprehendi, et firmiter teneri debeat. Statim vero dubitationi circa momentaneam transmutationem occurritur per divinæ potentiæ infinitatem: infinita namque potentia in momento temporis potest maxima quæque movere corpora, ut Philosopho videtur, ita ut et transmutare in momento temporis illius rerum omnium creatricis potentiæ vim non superet. Ad substantiarum autem transmutationem obstupescenti, multas Scriptura divina, multas etiam ipsa natura similitudines subministrat. Ea enim quarumdam aquarum natura est, ut injectum lignum non longo intervallo in lapidis naturam transmutetur. In ventre et stomacho animalis quotidie pars alimenti purior, post coctionem et mutationem in hepar, et per illud in venas transfusa, ad nutriti animalis substantiam adjungitur. Quid tandem? Nonne et ista incredulis mirabilia esse videntur? Sed panem quidem in seipsis carnem fieri, non difficulter credunt; contra solum vero mysterium eorum incredulitas excitatur. Si vero ipse Satanas tentando dixit: *Dic ut lapides isti panes fiant, si filius Dei es*[1], sciens nempe divinam potentiam præstare id momento temporis sufficienter posse, qui dicit Deum non posse transmutare panem in humanam carnem, quod natura determinato temporis spatio facit, quomodo is non mentitur ipso tentatore deterius, qui est pater mendacii? Ipsa quæ nunc miraculum illud operatur potentia, quæ aliquando uxorem Lot in salis statuam subito transformavit, eos qui Deo imperanti fidem habere noluni, ad saniorem mentem revocat: illa scilicet virgam Mosis in serpentem, et ex serpente

[1] Matth. IV, 3.

rursus in virgam transmutavit : eadem postea aquam vinum fecit in Cana : ipsa fructum carnem animalis facit intra aliquod temporis spatium, et carni augmentum ex eodem fructu per transmutationem adjicit. Verum postquam concesserunt substantiæ transmutationem in hoc sacramento non esse prorsus impossibilem, rursus eam impugnare ex quantitatis ratione aggrediuntur. Substantia enim panis in illam corporis transmutata, accidentia panis manere absque subjecto, cum supra naturam sit, tamen non superare id quod mente concipi potest. Equidem accidentia non exsistere in subjecto impossibile est ; id enim ex ratione et definitione ipsorum accidentium constat. Attamen tale quidpiam animo concipere possumus, et accidens a subjecto separare per mentis potentiam : qua ratione universalis rationem in unum colligimus, ex singularibus separantes. Quod autem fit per mentis nostræ potentiam, utique efficietur per potentiam maximæ et primæ mentis, simul illud intelligentis, et reipsa operantis. Sed aliud quidpiam esse dicunt in hoc sacramento, quod non modo naturam, sed ipsam etiam mentis nostræ potentiam superet, scilicet quod in parva apparentis panis quantitate totus Christus creditur : sed neque hoc miraculum rationibus quibus difficultati occurratur, caret. Neque enim in sacro hoc sacrificio est corpus Christi naturaliter, sed sacramentaliter solum; idcirco in eo non est tanquam tabernaculo velatum in quodam loco, neque sub propriis veri corporis dimensionibus, sed sub solius panis dimensionibus : unde quandoquidem panis substantia secundum seipsam, et quatenus substantia est, locum nec occupat nec exigit, nisi quantum subest corporis dimensionibus, sequitur in hoc sacramento Christi corpus non exigere, neque occupare ampliorem locum, quam quantum exigunt et occupant dimensiones panis, sub quibus corporis substantia tegitur. Istis autem denegare fidem non oportet, cum alia multa in rerum natura sint, quæ eamdem prope statim dubitandi causam præbeant. Humana enim anima tota est in toto corpore, et tota in singulis partibus corporis, eamdemque in parte et in reliquo corpore naturam habet : parem ita magnitudinem habet in infantis atque in gigantis corpore. Siquidem vero animæ aliquam magnitudinem imaginari oportet, tamen per accretionem aut diminutionem corporis, aut resectionem membri alicujus, neque accretionem, neque diminutionem, neque resectionem ullam anima sustinet. Id vero licet verissimum sit, omnibusque Græcorum sapientibus sacrisque doctoribus ita visum fuerit, clare tamen et perspicue non venit in mentem ut aliorum intelligibilium manifesta quæque et obvia. Quomodo etiam turris vel montis magnitudinem visu metimur, in oculo parvo talis magnitudinis speciem impressam ferentes? Est enim quasi in anima intelligibiliter species turris, et cum materialis sit in seipsa, ita spiritualiter est in oculo, et per hanc spiritualem speciem, exterioris magnitudinis com-

μετέβαλεν· τὸ ὕδωρ ἡ αὐτὴ πεποίηκεν οἶνον ὕστερον ἐν Κανᾷ· αὐτὴ τὴν σάρκα τοῦ ζώου καρπὸν ποιεῖ διὰ χρόνου, καὶ τῇ σαρκὶ τὸν καρπὸν αὖθις προστίθησιν ἐκ μεταβολῆς. Ἀλλ' ἐπειδὰν δῶσι τὴν τῆς οὐσίας μεταβολὴν ἐν τούτῳ τῷ μυστηρίῳ μὴ εἶναι καθάπαξ ἀνένδεκτον, ἀπὸ τῆς ποσότητος αὖθις ἐπιχειροῦσιν. Τὸ μὲν γὰρ τῆς τοῦ ἄρτου οὐσίας εἰς τὴν τοῦ σώματος μεταβαλλομένης τὰ συμβεβηκότα τῷ ἄρτῳ μένειν τοῦ ὑποκειμένου χωρὶς, ὑπὲρ τὴν φύσιν ὄν, ὅμως οὐχ ὑπερβαίνειν τὴν... ἐν παρ' αὐτοῦ νοῦ. Μὴ ἐνυπάρχειν μὲν γὰρ ὑποκειμένῳ τὰ συμβεβηκότα ἀδύνατον· τοῦτο γὰρ ἐκ τοῦ λόγου τῶν συμβεβηκότων ἐστίν. Ἐπινοεῖν δέ τι τοιοῦτον ὅπως δυνάμεθα, καὶ τοῦ ὑποκειμένου τὸ συμβεβηκὸς ἀφαιρεῖν τῇ δυνάμει τοῦ νοῦ, ᾧ τρόπῳ καὶ τὸν τοῦ καθόλου λόγον ἀθροίζομεν ἐκ τῶν μερικῶν ἀφαιροῦντες. Τὸ δὲ τῇ δυνάμει τοῦ νοῦ γινόμενον τοῦ ἡμετέρου, γένοιτ' ἂν καὶ τῇ δυνάμει τοῦ μεγίστου καὶ πρώτου, τοῦ ἅμα τε νοοῦντος αὐτὸ, καὶ ἐν τῷ πράγματι οὕτω δημιουργοῦντος. Ἄλλ' ἕτερον εἶναι φασὶν ἐν τῷ μυστηρίῳ τούτῳ, οὐ μόνον τὴν φύσιν, ἀλλὰ καὶ τὴν τοιαύτην τοῦ νοῦ δύναμιν ὑπερβαίνον· ὅτι ἐν μικρᾷ τοῦ φαινομένου ποσότητι ὅλος ὁ Χριστὸς εἶναι πιστεύεται· ἀλλ' οὐδὲ τοῦτο παραμυθίας ἐστέρηται τὸ θαυμάσιον. Οὐ γάρ ἐστιν ἐν τῇ ἱερᾷ ταύτῃ θυσίᾳ τὸ τοῦ Χριστοῦ σῶμα φυσικῶς, ἀλλὰ μυστηριωδῶς μόνον, καὶ διὰ τοῦτο οὐκ ἔστιν ἐν αὐτῇ καθάπερ ἐσκηνωμένον ἔν τινι τόπῳ· οὐδ' ὑπὸ ταῖς ἰδίαις ταῖς τοῦ ἀληθινοῦ σώματος διαστάσεσιν, ἀλλ' ὑπὸ ταῖς τοῦ ἄρτου διαστάσεσι μόναις· ὅθεν ἐπείπερ ἡ οὐσία καθ' αὐτὴν καὶ καθ' ὅ ἐστιν οὐσία, οὐ κατέχει τόπον οὐδὲ ζητεῖ, εἰ μὴ καθόσον ἐστὶ ὑπὸ ταῖς διαστάσεσι τοῦ σώματος, ἑπόμενόν ἐστιν ἐνταῦθα ἐν τούτῳ τῷ μυστηρίῳ τὸ τοῦ Χριστοῦ σῶμα μὴ ζητεῖν, μηδὲ κατέχειν πλείονα τόπον ἢ ὅσον ζητοῦσι καὶ κατέχουσιν αἱ διαστάσεις τοῦ ἄρτου, ὑφ' αἷς ἡ τοῦ σώματος οὐσία καλύπτεται. Διαπιστεῖν δὲ περὶ τούτου οὐ χρὴ, πολλῶν ἄλλων ἐν τῇ φύσει πραγμάτων τὴν αὐτὴν σχεδὸν ἀπορίαν προβαλλομένων· ἡ γὰρ ἀνθρωπίνη ψυχὴ ὅλη ἐστὶν ἐν ὅλῳ τῷ σώματι, καὶ ὅλη ἐν ἑκάστῳ τῶν μορίων τοῦ σώματος, καὶ τὴν αὐτὴν ἔν τε τῷ μορίῳ καὶ τῷ λοιπῷ σώματι φύσιν ἔχει, καὶ οὕτως ἔχει μεγέθους ἐν τῷ νηπίῳ ὡς ἐν τῷ τοῦ γίγαντος σώματι. Εἴτε δεῖ τι ψυχῆς μέγεθος ἐπινοεῖν, καὶ διὰ τὴν τοῦ σώματος αὔξησίν τε καὶ μείωσιν, ἢ μέλους τινὸς ἐκκοπὴν, οὔτε αὔξησιν οὔτε μείωσιν, οὔτε τομήν τινα καὶ ἡ ψυχὴ συνεφίσταται. Καίτοι τοῦτο ἀληθέστατον ὄν, καὶ πᾶσι μὲν Ἑλλήνων σοφοῖς, πᾶσι δὲ τοῖς ἱεροῖς διδασκάλοις οὕτω φρονούμενον, καθαρῶς ὅμως οὐχ ὑποπίπτει τῷ νῷ, καθάπερ τῶν ἄλλων νοητῶν τὰ φανερά τε καὶ πρόχειρα. Πῶς; ὃ καὶ πύργου μέγεθος; ἢ ὄρους; τῇ ὄψει μετροῦμεν, ἐλαχίστῳ τῷ ὀφθαλμῷ τηλικούτου μεγέθους εἶδος; ἐμφέροντες; Ἔστι γὰρ ὡς ἐν τῇ ψυχῇ νοητῶς τὸ εἶδος τοῦ πύργου, καὶ ὑλικῶς ἐν αὐτῷ, οὕτω πνευματικῶς ἐν τῷ ὀφθαλμῷ, καὶ τούτῳ τῷ πνευματικῷ εἴδει τὴν τοῦ ἔξω μεγέθους ποιούμεθα σύγκρισιν. Τίς λόγος; ἀποδίδοσθαι τοῦ τοιούτου δύναται,

καίπερ ὄντος ἀληθεστάτου; Οὕτω δὲ καὶ ἐν κατόπτρῳ βραχεῖ μεγίστων πραγμάτων καθορῶντες εἰκόνας, οὐδὲ τούτου σχεδὸν τὸν λόγον ὑπέχειν δυνάμεθα.

Πρὸς τούτοις ἀδύνατον εἶναι φασὶν οἱ τῷ μυστηρίῳ διαπιστοῦντες τὸ τοῦ Χριστοῦ μυστικὸν σῶμα τεμνόμενον, ἀκέραιον διαμείνειν, καὶ τῶν τμημάτων ἕκαστον, αὐτὸ ὅλον εἶναι τὸ τοῦ Χριστοῦ σῶμα καὶ τέλειον. Ἀλλ' ἡ πίστις ἡμῶν καὶ τοῦτο κηρύττει, θαῦμα μὲν ὁμοίως ἄλλοις παραδόξοις τοῦ μυστηρίου, πολλαῖς δὲ ὁμοιότησι συνηγορούμενον, καὶ πρό γε πάντων τῷ λόγῳ τοῦ μυστηρίου. Ἡ γὰρ διαίρεσις ἐκείνη καὶ ἡ τομή, οὐ τοῦ σώματος ἅπτεται τοῦ Χριστοῦ, ἀλλ' ἐν ταῖς τῆς ποσότητος διαστάσεσι γίνεται μόναις, ὑφ' αἷς μετὰ τὴν μεταβολὴν ἐκείνην τὸ τοῦ Χριστοῦ σῶμα κεκάλυπται. Ὥσπερ καὶ τοῦ κατόπτρου κλασθέντος, οὔτε τὸ εἶδος κλᾶται τοῦ σώματος τὸ ἐν αὐτῷ καθορώμενον, καὶ ἐν ἑκάστῳ τμήματι τὸ αὐτὸ κατοπτεύεται εἶδος. Καὶ τῶν ἐντόμων ζώων διαιρουμένων ὅλη ἡ αἰσθητικὴ ψυχὴ παραμένει τοῖς τμήμασιν, ὡς τῷ φιλοσόφῳ δοκεῖ. Καὶ ἡ ἀνθρωπίνη ψυχὴ ἔστι μὲν ὅλη ἐν ἑκάστῳ μορίῳ τοῦ σώματος, οὐδενὶ δὲ μορίῳ τεμνομένῳ συναποτέμνεται· καὶ αὖ ἐν ἑκάστῳ μέρει τῆς αἰσθητῆς σαρκὸς ἡ σαρκὸς ὕπαρξις σώζεται, καὶ πᾶν τοῦ ἄρτου μέρος ἄρτος ἐστίν. Οὕτω δὴ καὶ ἕκαστον μέρος τοῦ σώματος τοῦ Χριστοῦ ὅλον ἐστὶ τὸ τοῦ Χριστοῦ σῶμα, τὸ ἐν ταῖς ὁμοιότησι ταύταις ἐνδέον, τῆς θείας πληρούσης ἐν τῷ μυστηρίῳ δυνάμεως. Λέγω δὲ ἂν ᾖ τοσοῦτόν τι μέρος ὥστ' ἐν αὐτῷ δύνασθαι αὐτὸν τοῦ ἄρτου σώζεσθαι λόγον, εἰ μὴ πρὸς τὴν οὐσίαν τῆς σαρκὸς μετεβάλλετο· εἰ γὰρ εἰς πάνυ λεπτὰ διαιροῖτο, καὶ ὁ τοῦ σώματος οὐ σώζεται λόγος, ὥσπερ ἂν ἀπολώλει καὶ ὁ τοῦ ἄρτου.

Ἔστι δὲ τὸ τοῦ Χριστοῦ σῶμα καὶ ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ ἐν παντὶ θυσιαστηρίῳ ἓν καὶ ταυτὸν ἀριθμῷ. Καὶ πολλῶν ἐν τούτῳ τῷ μυστηρίῳ γενομένων θαυμάτων, ὡς εἴρηται, τοῦτο πάσης ἐκπλήξεώς ἐστιν ἐπέκεινα, καὶ πλείστης γέμει τῆς ἀπορίας. Διαφόροις μὲν γὰρ ἀποβλέψεσιν ἐγχωρεῖ τὸ αὐτὸ πολλαχοῦ εἶναι, οἷον τὴν ψυχὴν ἡμῶν, κατὰ μὲν τὸ τῆς φύσεως εἶναι, ἐν ἐκείνῳ τυγχάνειν τῷ τόπῳ ἐν ᾧ καὶ σωματικῶς ἐσμεν, ἅτε τοῦ σώματος εἶδος οὖσαν καὶ ἐντελέχειαν· κατὰ δὲ τὸ εἶναι τοῦ ἔρωτος καὶ τῆς διαθέσεως, ἐκεῖ εἶναι ὅπου τὸν ἔρωτα ἔχει, καθὼς εἴρηται, *Ὅπου ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ ἐστιν ἡ καρδία ὑμῶν*· καὶ πάλιν, *Τὸ πολίτευμα ἡμῶν ἐν οὐρανοῖς ἐστιν*, ὁ θεῖος εἶπεν Ἀπόστολος. Εἰ τοίνυν καὶ τὸ τοῦ Χριστοῦ σῶμα τοῦτον ἐλέγετο τὸν τρόπον ἐν διαφόροις εὐρίσκεσθαι τόποις, οὐδὲν ἂν ἦν χαλεπὸν νοηθῆναι. Νῦν δὲ τὸ αὐτὸ τῷ ἀριθμῷ σῶμα κατὰ τὸ αὐτὸ καὶ ἓν εἶναι ἐν διαφόροις ὑπάρχειν τόποις πιστεύομεν, ὃ παντάπασι μὲν ἀδυνάτως ἔχειν δοκεῖ τῷ νόμῳ τῆς φύσεως· πιστεύομεν δὲ οὕτως ἔχειν ἀναμφισβητήτως, τοῖς τῶν θεοπνεύστων λόγοις ἑπόμενοι, καὶ παραδείγμασι δὲ

A parationem facimus. Quænam hujus rei licet verissimæ ratio reddi potest? Ita etiam in exiguo speculo rerum maximarum imagines intuemur, et vix illius rei rationem dare possumus.

Præterea impossibile esse dicunt qui sacramento fidem non habent, Christi corpus mysticum in partes divisum, persistere integrum, et singularum partium unamquamque totum esse et perfectum Christi corpus. Sed fides nostra id quoque prædicat, miraculum sane aliis non absimile quæ in hoc sacramento occurrunt, multis similitudinibus confirmatum, et maxime ipsius sacramenti ratione. Divisio enim illa et sectio Christi corpus non attingit, sed locum habet in solis quantitatis dimensionibus, sub quibus post transmutationem illam B Christi corpus latet. Sicut et speculum si frangatur, neque species corporis in eo repræsentati frangitur, sed in unoquoque fragmento eamdem adhuc speciem intueri licet. Insecta etiam animalia cum dividuntur, anima sensitiva in singulis segmentis manet, ut Philosopho videtur. Et humana anima est quidem tota in unaquaque parte corporis, cum qualibet parte resecta non simul secatur: in singulis quoque partibus sensitivæ carnis ejusdem carnis existentia servatur, et omnis pars panis, panis est. Ita etiam unaquæque pars corporis Christi, totum est Christi corpus, id quod ejusmodi similitudinibus deficit, supplente virtute divina in sacramento. Quod ita dictum velim, si panis C particula ejusmodi sit, ut in ipsa conservari possit panis ratio: alioqui in substantiam carnis non transmutaretur: si enim in exiguas omnino partes divideretur, non jam corporis ratio conservatur, quemadmodum periit panis ratio.

Est autem Christi corpus et in cœlo et in terra et in omni altari unum et idem numero. Et cum in hoc sacramento miracula plurima fiant, ut dictum est, istud omnem longe admirationem superat, et multiplici difficultate plenum est. Diverso enim respectu fieri potest idem variis in locis esse, ut animam nostram, quæ quidem secundum esse naturæ in eodem loco est in quo corporaliter sumus, utpote quæ corporis forma et ἐντελέχεια, seu actus sit: secundum esse amoris et affectus, illic est ubi amat, sicut dictum est [a]; *Ubi est thesaurus vester, illic et cor vestrum erit*; et iterum, ut ait divinus Apostolus, *Conversatio nostra in cœlis est* [b]. Si igitur et Christi corpus diceretur secundum hunc modum in diversis locis reperiri, non adeo difficile fortassis intellectu foret. Nunc vero idem numero corpus secundum unum et idem esse, in diversis existere locis credimus, quod omnino impossibile esse secundum naturæ legem videtur: credimus tamen rem ita se habere indubitanter, secuti doctrinam sanctorum divinitus inspiratorum, exemplis quoque et rationibus mentem tali difficultate labo-

[a] Matth. VI, 21. [b] Philipp. III, 20.

rantem confirmamus. Omne siquidem corpus exsistens quodam in loco, ipsum quidem totum toti commensuratur loco, et partes illius partibus loci attribuuntur, et mediante propria quantitate est in loco. Nam esse in loco, quantitati proprie convenit, consequenter etiam substantiæ cujus est eadem quantitas. Atque inde accidit corpus illic solum esse, ubi quantitas ejus et dimensiones reperiuntur. Impossibile est enim eamdem quantitatem pluribus simul commensurari locis. In corpore autem Christi res non ita se habet : exsistit enim in loco, mediante ea quantitate quæ pani prius inerat. Si vero et propria quantitas sanctissimi corporis inseparabiliter ipsi coexsistit, consequenter sane et mediante substantia, quæ sine propria quantitate subsistere non potest. Cum igitur nihil impediat quominus multæ quantitates panum exsistant in multis altaribus, inde accidit et Christi corpus unum numero in multis exsistens quantitatibus non propriis, illis mediantibus in multis reperiri locis. Hoc etiam exemplis confirmare licet animæ nostræ, quæ, cum per se non habeat quantitatem qua commensuretur continenti se corpori, tota est in toto et singulis corporis partibus. Tum etiam sermonis exemplo, qui ipse et unus numero potest interius esse, dici, audiri et scribi : dictus vero sive pronuntiatus, ipse etiam a multis simul auditu percipitur. Præterea exemplo solis, cujus lumen extra et intra domum illustrat et per vitrum penetrans, interius eam illuminat, idem simul exsistens, et neque a seipso, nec a sole separatum. Sed et species in omnibus est et singularibus individuis, ubicunque illa sint, cum tamen una numero sit,

A καὶ λόγοις τὴν τοῦ νοῦ δυσκολίαν παραμυθούμεθα· Ἅπαν μὲν γὰρ σῶμα τυγχάνον ἔν τινι τόπῳ, αὐτό τε ὅλον ὅλῳ συμμετρεῖται τῷ τόπῳ, καὶ τὰ μόρια τούτου τοῖς τοῦ τόπου μέρεσιν ἀποδίδοται, καὶ μεσιτευούσης τῆς ἰδίας ποσότητός ἐστιν ἐν τῷ τόπῳ. Τὸ γὰρ ἐν τόπῳ εἶναι τῇ ποσότητι κυρίως προσήκει· ἑπομένως δὲ καὶ τῇ οὐσίᾳ, ἧς ἡ τοιαύτη ποσότης ἐστί. Κἀντεῦθεν συμβαίνει τὸ σῶμα ἐκεῖ μόνον εἶναι, ὅπου ἡ ποσότης αὐτοῦ καὶ αἱ διαστάσεις εὑρίσκονται. Ἀδύνατον δὲ τὴν αὐτὴν ποσότητα πλείοσι συμμετρεῖσθαι τόποις ὁμοῦ. Ἐπὶ δὲ τοῦ σώματος τοῦ Χριστοῦ οὐχ οὕτως ἔχει· ἔστι γὰρ ἐν τόπῳ μεσιτευούσης τῆς ποσότητος, καὶ πρότερον ἐνυπαρχούσης τῷ ἄρτῳ. Εἰ δὲ καὶ ἡ ἰδία ποσότης τοῦ παναγίου σώματος ἀχωρίστως αὐτῷ σύνεστιν,
B ἀλλ' ἑπομένως καὶ τῆς οὐσίας μεσιτευούσης, ἥτις ἄνευ ἰδίας ποσότητος ὑφεστάναι οὐ δύναται. Ἐπεὶ τοίνυν οὐδὲν κωλύει πολλὰς εἶναι ποσότητας ἄρτων ἐν πολλοῖς θυσιαστηρίοις, ἐντεῦθεν συμβαίνει καὶ τὸ τοῦ Χριστοῦ σῶμα τὸ αὐτὸν ἀριθμῷ ἐν πλείοσιν ὑπάρχον ποσότησιν οὐκ ἰδίαις, τούτων μεσιτευουσῶν ἐν πολλοῖς εὑρίσκεσθαι τόποις. Τούτου δὲ καὶ παραδείγμασι δυνατόν ἐστι χρῆσθαι· τῇ δὲ ἡμετέρᾳ ψυχῇ, ἥτις διὰ τὸ μὴ ἔχειν ποσότητα καθ' αὑτὴν ᾗ συμμετροῖτο ἂν τῷ περιέχοντι σώματι, ὅλη καὶ ἐν ὅλῳ καὶ ἐν ἑκάστῳ μορίῳ τοῦ σώματος πέφυκε. Καὶ ἔτι τῷ λόγῳ, ὃς ὁ αὐτὸς καὶ εἷς ἀριθμῷ, καὶ ἐνδιάθετος εἶναι δύναται, καὶ λεγόμενος, καὶ ἀκουόμενος καὶ γραφόμενος· καὶ ὁ λεγόμενος δὲ ὃς καὶ ὁ
C αὐτὸς ἀκοαῖς περιλαμβάνεται πλείοσι. Πρὸς τούτοις τῷ τοῦ ἡλίου φωτὶ ἔν τε τῷ ἔξω τῆς οἰκίας διαφανεῖ καὶ ἔνδον αὐτῆς· καὶ ἐν τῇ ὑέλῳ δὲ ὄντι δι' ἧς τὸ φῶς ἔνδον τῆς οἰκίας διαφανὲς καταλάμπει· τῷ αὐτῷ δὲ ὅμως τυγχάνοντι, καὶ μήθ' ἑαυτοῦ μήτε τοῦ ἡλίου χωριζομένῳ. Ἀλλὰ μὴν καὶ τὸ εἶδος ἐν πᾶσίν ἐστι τοῖς ἰδίοις ἀτόμοις, ὅπουπερ ἂν εἴη ταῦτα, ἓν ὂν ἀριθμῷ.

Multis ejusmodi exemplis dubitationem menti obortam depellere possumus : verum sufficit ut indubitata fide ita sentiamus, et ea sola confirmati, perfunctorie reliquis adjiciamus animum. Hujus enim sacramenti quod supernaturale est et prodigium, quod reliqua omnia longo intervallo superat, quænam humana ratio reddi potest, aut quod exemplum ex rebus naturalibus desumptum eidem convenienter accommodari ? At ego, inquies, persuaderi non possum : exempla
D enim et rationes fidem præsupponunt ; ego autem demonstratione indigeo : credere non possum. Sed potes, inquam ego, credere, si vis ; nam fides voluntaria est animi consensio. Quod si nolis, res aliter se habebit, etiamsi nolis. Non credes asserenti quod ex terra ferrum fiat, longe fortassis ab ejusmodi artificio remotus, et illud ignorans : neque quod ex cinerea quadam materia vitrum fiat, quia fortassis nunquam dum ista fiunt intervenisti, neque sensibus corporis hæc percepisti, atque ita de aliis. Ego vero ostendam tibi, quod multa credas, quæ videre non potes. Credis ex quatuor elementis constare corpus tuum ; sed non vides quod ex iisdem com-

Καὶ πολλοῖς τοιούτοις παραδείγμασι τὴν ἀπορίαν τοῦ νοῦ παραμυθεῖσθαι δυνάμεθα· ἀλλ' ἀρκεῖ μετὰ πίστεως ἀδιστάκτου τοῦτο φρονεῖν καὶ ταύτῃ μόνῃ βεβαιουμένους τἆλλα ὡς ἐν παρέργῳ σκοπεῖν. Ὑπερφυεῖ γὰρ ὄντι τῷ μυστηρίῳ καὶ τερατίῳ πᾶν νικῶντι τεράστιον, τίς ἂν ἀποδοθείη λόγος ἀνθρώπινος, ἢ τί ἂν οἰκείως ἐκ τῶν φυσικῶν ἐφαρμοσθείη παράδειγμα; Ἀλλ' οὐ δύναμαι, φησί, πεῖθεσθαι· τὰ μὲν παραδείγματα καὶ οἱ λόγοι τὴν πίστιν προϋποτιθέασιν, ἐγὼ δὲ ἀποδείξεως δέομαι, πιστεύειν δὲ οὐ δύναμαι. Ἀλλὰ δύνῃ, ἐὰν ἐθέλῃς, πιστεύειν· πίστις γάρ ἐστιν ἑκούσιος ψυχῆς συγκατάθεσις. Ἐὰν δὲ μὴ θέλῃς, ἄλλος ἂν εἴη λόγος, ἐὰν μὴ θέλῃς. Οὐδ' ὅτι ἐκ γῆς γίνεται σίδηρος, πιστεύσεις τῷ λέγοντι, ἴσως πόρρω τῆς τοιαύτης ἐργασίας τυγχάνων, καὶ οὐκ εἰδὼς, οὐδ' ὅτι ἔκ τινος τεφρώδους ὕλης ὁ ὕελος διὰ τὸ μὴ παραγενέσθαι ποτὲ γινομένοις, μηδὲ σωματικαῖς αἰσθήσεσι ταῦτα ἰδεῖν, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. Ἐγὼ δὲ δείξω σοι, ὅτι πολλὰ πιστεύεις ἃ βλέπειν οὐ δύνῃ. Πιστεύεις ἐκ τῶν τεσσάρων εἶναι στοιχείων τὸ σῶμα τὸ σὸν, ἀλλ' οὐ βλέπεις αὐτὸ συντιθέμενον ἐξ αὐτῶν· πιστεύεις τὸν σὸν πρόπαππον καὶ ἐπίπαππον τοιούσδε γεγονέναι, ἀλλ' οὐκ εἶδες αὐτούς· πιστεύεις τὸν

ὠκεανὸν περικλύζειν τὴν γῆν· πιστεύεις τῷ λέγοντι τὸν ἥλιον ἐκλείψειν ὅλον ἢ τὸν ἥμισυ μετὰ τοσαύτας ἡμέρας καὶ ὥρας, ἀλλ' οὐκ εἶδες αὐτά, ἢ οὔπω ἑώρακας. Εἰ δὲ τοῖς ταῦτα ἱστοροῦσιν ἀποδίδως τὴν πίστιν, πόσῳ Θεὸς ἀξιοπιστότερος ἀνθρώπων τῶν ταῦτα διηγουμένων λέγων, ὅτι, *Τοῦτό ἐστι τὸ σῶμά μου*, καὶ, *Τοῦτο τὸ αἷμά μου*; Ἀλλὰ καὶ περὶ τῆς ἀληθείας τοῦ εἰπόντος ἀμφιβάλλω, φησί, καὶ τῆς ἐκείνου θεότητος. Ἀλλ' ἐκτετύφλωσαι ὄντως, ὦ ἄνθρωπε, περὶ τῶν προδήλων ἀμφιγνοῶν ἡλίου λαμπρότερον μαρτυροῦσι τὴν ἀλήθειαν τοῦ εἰπόντος καὶ τὴν θεότητα, αἱ περὶ αὐτὸν προφητεῖαι τῶν ἱερῶν προφητῶν, τῶν χρηστηρίων, τῶν Σιβυλλῶν, πάντων σοφῶν, πάντων μάντεων εὐφήμως τὴν μεγίστην ἐκείνην καὶ σωτηριώδη καινοτομίαν ἐπὶ βελτιώσει τῆς φύσεως πόρρωθεν προαγγέλλουσαι, οἰκονομησαμένου τοῦτο Θεοῦ, ἵνα ἀπροφάσιστος ἡ σὴ ἀπιστία κατακριθῇ· τὰ προηγησάμενα τῆς γεννήσεως αὐτοῦ, καὶ τῆς ἀναδείξεως θαύματα· ὁ ὑπὲρ ἀνθρώπινον αὐτοῦ βίος, ἡ ὑψηλοτάτη καὶ οὐράνιος καὶ θεία ὄντως νομοθεσία, αἱ προρρήσεις αὐτοῦ εἰς ἔργον ἐκβεβηκυῖαι πᾶσαι, αἱ ὑπερφυεῖς ἐκεῖναι θαυματουργίαι, ὁ ἑκούσιος θάνατος, τὰ ἐπ' αὐτῷ θαύματα· αἱ μετὰ τοῦτον λαμπρότητες πᾶσαι. Τὸ τῶν μαθητῶν ἀμετάπτωτον μέγα μὲν εἰ τῆς αὐτῶν πίστεως ἦν, καὶ πολλὴ τῆς περὶ τοῦ Χριστοῦ συνεγνωσμένης αὐτοῖς ἀληθείας ἀπόδειξις· μεῖζον δὲ εἰ τῆς ἐκείνου χάριτος ἦν οὐ παρόντος σωματικῶς, ὡς πρότερον, ἀλλ' ἀοράτως ἐκ τῶν οὐρανῶν αὐτὸν ἐντιθέντος. Οἱ τῶν ἀποστόλων ἀγῶνες ὑπὲρ αὐτοῦ· ὁ βίος αὐτῶν οὐδὲν ἀπᾴδον ἔχων τῶν καλῶν δογμάτων καὶ παραδειγμάτων τοῦ διδασκάλου· οἱ κίνδυνοι τούτων ὑπὲρ τῆς ἀληθείας καὶ τῆς σωτηρίας τοῦ κόσμου μετὰ τοσούτου ζήλου· τὰ θαύματα ἃ δι' αὐτῶν ἐνηργοῦντο, καὶ οἷς ἐφυλάττοντο. Τὰ τῶν μαρτύρων αἵματα καὶ τὰ θαύματα· ἡ λαμπρὰ πάντων τῶν τῆς γῆς κλιμάτων ἀπὸ τῆς πλάνης πρὸς τὴν ἀληθῆ περὶ Θεοῦ πίστιν ἐπιστροφή· ἡ τῆς πολυχρονίου δεισιδαιμονίας κατάλυσις τοσούτους τυράννους καὶ δυνάστας προϊσταμένους ἐχούσης καὶ ὑπερδίκους· ἡ τῆς ἱερᾶς Ἐκκλησίας μετὰ ταῦτα κατάστασις, παντὸς σεμνοῦ καὶ τιμίου καὶ πνευματικοῦ πλήρης χρήματος, καὶ πρὸς εἰκόνα τῆς ἐν οὐρανοῖς εὐταξίας ἐξειργασμένη. Καὶ τί ἂν τις καταλέγοι τὰς ἐναργεστάτας περὶ τῆς Χριστοῦ θεότητος ἀποδείξεις ἀπείρους οὔσας τῷ πλήθει, καὶ τῇ δυνάμει μεγίστας; Ὅθεν τὰς μὲν περὶ τούτου τοῦ μυστηρίου καὶ τῶν ἄλλων σὺν αὐτῷ θείων καὶ ἱερῶν μυστηρίων, καὶ ὅλης τῆς πίστεως ἀμφιβολίας τοῖς ἀπίστοις καὶ αἱρετικοῖς καταλίπωμεν· μᾶλλον δὲ καὶ τούτοις εὐξώμεθα τῇ τῆς ἀληθείας αἴγλῃ καταλαμφθῆναι. Ἡμεῖς δὲ τῷ καλῷ λιμένι προσορμιζόμενοι, τῇ ζωῇ, τῷ φωτί, τῇ ἀληθείᾳ, τῇ πρὸς τὴν σωτηρίαν ὁδῷ, τῷ ἡμετέρῳ λέγω Δεσπότῃ, καὶ ὑπὲρ ἁπάντων οἷς ἡμᾶς εὐηργέτηκε χάριν ὁμολογοῦντες ἀποδῶμεν αὐτῷ καὶ νῦν, καὶ τῆς πνευματικῆς ταύτης τροφῆς τὴν εὐχαριστίαν, δι' ἧς τὴν ἐν ἡμῖν τῆς χάριτος θέρμην μένουσαν μὲν αὔξει μετὰ πολλῆς τῆς προσθήκης, ὑπὸ δὲ τῆς πονηρίας

positum sit; credis proavum et atavum tuum hos vel illos exstitisse, sed eos non vidisti; credis oceanum circumfundi terram, credis dicenti solem eclipsin passurum totum vel dimidium post tot dies et horas; sed non vidisti, neque unquam hæc oculis usurpasti. Si vero hæc referentibus fidem adhibes, quanto magis præ hominibus ista narrantibus fidem meretur Deus dicens: *Hoc est corpus meum;* et: *Hic est sanguis meus?* Sed dubito, inquis, de veracitate ejus qui dixit, et de ejus divinitate. At cæcutis vere, o homo, de rebus manifestis hæsitans, cum sole clarius testimonium perhibeant de veracitate et divinitate loquentis, sanctorum prophetarum de eo vaticinia, oracula, Sibyllæ, sapientes et vates omnes: quæ quidem prophetiæ diu ante prænuntiaverunt maximam illam et salutarem rerum novarum seriem, ad naturæ nostræ provectionem in melius, Deo ita dispensante, ut inexcusabilis incredulitas tua condemnaretur. Miracula quæ ejus nativitatem et manifestationem præcesserunt; vita ejus hominis conditionem superans; sublimissima ejus, cœlestis et vere divina legislatio; prædictiones ejus, quæ omnes eventu comprobatæ fuerunt; miracula edita, quæ naturalem potentiam excedunt; mors voluntaria; prodigia quæ eam comitata, et quæ eam secuta sunt, omnia tam illustria. Discipulorum immutabilis firmitas, magnum quiddam sane, si ex eorum fide erat; simulque amplissima agnitæ ab ipsis de Christo veritatis demonstratio: majus vero, si id ipsius gratiæ tribuendum erat, qui non jam, ut prius, corporaliter præsens, sed invisibiliter e cœlis eam insinuabat. Apostolorum pro ipso certamina; vita eorum nihil habens absonum a præclaris doctrinis et exemplis magistri; pericula ab ipsis cum tanto fervore suscepta pro veritate et salute mundi; miracula quæ per eos efficiebantur, et quibus servabantur. Martyrum sanguis et miracula: splendida omnium orbis climatum ab errore ad veram de Deo fidem conversio: diuturnæ illius superstitionis destructio, licet tot tyrannos et dynastas protectores et vindices haberet: demum sanctæ Ecclesiæ constitutio, in qua quidquid augustum, pretiosum et spirituale est, abunde reperitur, quæque ad imaginem præclari illius in cœlo constituti ordinis expressa est. Quis vero enumeret evidentissimas de Christi divinitate demonstrationes, infinitas quidem, si numerus spectetur, si vis et pondus, maximas? Quapropter omnes tam circa hoc mysterium, quam reliqua sacra et divina mysteria, atque adeo circa fidem, dubitationes infidelibus et hæreticis relinquamus: maxime vero oremus, ut veritatis splendore illuminentur. Nos vero ad tutum portum appellentes, Dominum, inquam, nostrum, qui est vita, lux, veritas et via ad salutem, et pro omnibus quæ in nos contulit beneficiis gratias referentes, reddamus etiam nunc

pro hoc spirituali alimento gratiarum actionem, per quod ejus quæ in nobis est gratiæ, calorem permanentem auget ampliori adjectione, præ malitia deficientem restaurat, hebetatam excitat et roborat. Firmiter quoque et indubitanter credamus quæcunque de hoc sacramento docet Christi Ecclesia mater nostra ; scilicet in hoc mystico corpore ipsum esse Christum sub accidentibus panis velatum ; totum, inquam, et integrum esse illum ipsum qui natus est ex beata Virgine, et qui olim in cruce fuit, nunc in cœlo est. Demus operam ut hoc vere cœlesti pane nutriamur continuo, quem bene manna præfiguravit, ita autem ut nutriat, non ut exurat ; ignis enim vere est comburens erga indigne participantes, et iis cibus damnationis potius quam justificationis est, secundum divinum Apostolum. In Judam post susceptum hunc cibum introivit Satanas. Ozias, sacrificium quod non licebat offerens, leprosus factus est. Oza percussus est a Deo, eo quod ausus esset arcam tangere : et lignum de quo edens primus homo mortuus est, vitæ lignum erat ; sed propter inobedientiam causa mortis gustanti fuit. Hiera Galeni juvat quidem utiliter data, sed mortuo nihil ei fortassis nocebit.

A ἐκλείπουσαν ἀναζωπυροῖ, καὶ ἀμβλυνομένην διεγείρει καὶ ῥώννυσιν. Καὶ βεβαίως καὶ ἀναμφισβήτως πιστεύωμεν, ὅσα περὶ τούτου τοῦ μυστηρίου ἡ τοῦ Χριστοῦ Ἐκκλησία διδάσκει ἡ μήτηρ ἡμῶν· τοῦτ' ἔστιν ἐν τῷ μυστικῷ τούτῳ σώματι αὐτὸν εἶναι τὸν Χριστὸν ὑπὸ τοῖς συμβεβηκόσι τοῦ ἄρτου συγκαλυπτόμενον, καὶ ὁλόκληρον εἶναι αὐτὸν ἐκεῖνον τὸν ἐκ τῆς μακαρίας Παρθένου γεγεννημένον, τὸν ἐπὶ σταυρὸν τότε, τὸν ἐν οὐρανῷ νῦν. Καὶ τούτῳ τρέφεσθαι σπουδάζωμεν διηνεκῶς τῷ ὡς ἀληθῶς οὐρανίῳ ἄρτῳ, ὃν τὸ μάννα καλῶς προετύπωσε, καὶ τρέφεσθαι ὡς ἂν τρέψειεν, ἀλλ' οὐχ ὡς ἂν καύσειεν· πῦρ γάρ ἐστιν ὡς ἀληθῶς ἐμπίπρων τοῖς ἀναξίως μετέχουσι, καὶ τροφὴ κατακρίσεως μᾶλλον ἢ δικαιώσεως κατὰ τὸν θεῖον Ἀπόστολον. Εἰς τὸν Ἰούδαν B μετὰ τὴν βρῶσιν ἐκείνην εἰσῆλθεν ὁ Σατανᾶς· καὶ Ὀζίας θυσίαν προσενεγκὼν ἣν οὐκ ἐξῆν, ἐλεπρώθη· καὶ Ὀζᾶν ἐπατάχθη παρὰ Θεοῦ, ἐπεὶ τετόλμηκεν ἀναξίως ἅψασθαι τῆς κιβωτοῦ· καὶ τὸ ξύλον οὗ φαγὼν ὁ πρῶτος ἄνθρωπος τέθνηκε, ζωῆς ἦν, ἀλλὰ διὰ τὴν ἀνυποταξίαν αἴτιον θανάτου τῷ μετειληφότι γεγένηται. Ἡ τοῦ Γαληνοῦ ἱερὰ ὠφελεῖ μὲν διδομένη χρησίμως, νεκρῷ δὲ οὐ λυσιτελεῖ· τὸν δὲ μὴ χρῄζοντα τῆς ἐξ αὐτῆς ὠφελείας καὶ βλάψειεν ἄν. proficit ; qui vero eodem remedio non indiget,

De sacratissimo hoc mysterio quæ hucusque dicta sunt sufficiant. Accedamus autem et ad miraculum Lazari, non solum tanquam miraculi facti contemplatores, sed tanquam potestatem C illius qui operatus est miraculum, et reconditum illius sensum attentius inspecturi. Videbimus enim Jesum Dominum nostrum amici monumento astantem, qui quidem jam ante quatriduum depositus fuerat, et fœtebat : Mariam a sorore vocatam ut irent obviam, occurrentem et lacrymantem miserabiliter, pedibusque ejus advolutam : Jesum flentem moderate et fremientem, naturalique miseriæ benigne compatientem, sive tanquam legislatorem nostrum ponentem lacrymis modum, etiam in luctu defunctorum, et paulo post suscitantem Lazarum, oratione et voce vocantibus cum potestate ; illa quidem, ut ostenderet utilitatem orationis ; altera vero, ut divinitatis potestatem ostenderet. Videbimus Lazarum ad sonitum vocis resurgentem, ligatum institis, velatis oculis, fœtentem, tandemque iis qui cum Jesu recumbebant adjunctum : Judæos turbatos miraculo, vulnusque hoc sibi lethale inflictum existimantes. Demonstrabatur enim magnitudine miraculi, quod ipse Deus esset : cumque credere debuissent, vitæ largitorem e medio tollere, et in præmium resurrectionis aliorum, ipsi mortem inferre statuerunt. Id vero cum absque calumnia præstare non possent, suspicionem affectatæ tyrannidis populo inspirant, Romanorum metum incutiunt, urbisque desolationem cavere jubent, suffragia populi inde aucupantes. Videbimus Jesum nostrum festinantem ad diu meditatam

Περὶ μὲν οὖν τοῦ ἱερωτάτου μυστηρίου τοσαῦτα τό γε νῦν ἔχον ἀρκείτω. Παραγενώμεθα δὲ καὶ ἡμεῖς τῷ κατὰ τὸν Λάζαρον θαύματι, οὐ θεαταὶ μόνον τοῦ γινομένου, ἀλλὰ καὶ τῆς ἰσχύος τοῦ θαυματουργοῦντος ἐπόπται, καὶ τῆς ἐγκεκρυμμένης διανοίας τῷ θαύματι. Ὀψόμεθα γὰρ ἡμέτερον Ἰησοῦν καὶ Δεσπότην μνήματι φίλου παραγινόμενον, τετάρτην ἡμέραν ἄγοντος ἐν αὐτῷ, καὶ ὀδωδότος ἤδη· τὴν Μαρίαν καλουμένην ὑπὸ τῆς ἀδελφῆς πρὸς τὴν ὑπάντησιν τοῦ Δεσπότου, καὶ ὑπαντῶσαν καὶ κλαίουσαν φορτικῶς, καὶ τοῖς ποσὶν αὐτοῦ προσκυλινδουμένην· τὸν Ἰησοῦν δακρύοντα μετρίως καὶ ἐμβριμώμενον, ἢ τῇ ταλαιπωρίᾳ τῆς φύσεως ἀνθρωπίνως συμπεπονθότα, ἢ ὡς νομοθέτην ἡμῶν μέτρα διδόντα τῶν ἐπὶ τοῖς κειμένοις δακρύων, καὶ μετ' ὀλίγον ἀνιστῶντα τὸν Λάζαρον εὐχῇ καὶ φωνῇ καλούσης μετ' ἐξουσίας· τὸ μὲν ἵνα δείξῃ τὸ χρήσιμον τῆς εὐχῆς, τὸ δὲ ἵνα τῆς θεότητος ἐκφήνῃ τὴν δύ- D ναμιν. Ὀψόμεθα τὸν Λάζαρον πρὸς τὴν φωνὴν ἀνιστάμενον, δεδεμένον χειρίαις, καὶ τὴν ὄψιν κεκαλυμμένην, καὶ ὀδωδότα, καὶ λοιπὸν τοῖς συνανακειμένοις τῷ Ἰησοῦ προστιθέμενον· τοὺς Ἰουδαίους ταραττομένους ἐπὶ τῷ θαύματι, καὶ πληγὴν ἡγουμένους τοῦτο καιρίαν. Ἤδη γὰρ ἀπεδείκνυτο λαμπρῶς Θεὸς ὢν τῷ μεγαλείῳ τοῦ θαύματος, καὶ δέον πιστεύειν, ἀνελεῖν ἠπείγοντο τὸν τῆς ζωῆς χορηγὸν, καὶ τῆς τῶν ἄλλων ἀναστάσεως ἀμοιβὴν αὐτῷ τὸν ἑαυτοῦ δοῦναι θάνατον. Καὶ τοῦτο μὴ δυνάμενοι πράττειν ἄνευ διαβολῆς ὑποψίαν τυραννίδος, ὑποβάλλουσι τῷ λαῷ, καὶ τὸν τῶν Ῥωμαίων ἐπισείουσι φόβον, καὶ τὴν τῆς πόλεως ἀναστάτωσιν, τὴν τοῦ δήμου ψῆφον ἐντεῦθεν κλέψαι βουλόμενοι. Ὀψόμεθα τὸν Ἰησοῦν ἡμῶν κατεπείξαντα μὲν οὕτω τὸ

τώμενον πάθος, ἐπὶ λαμπροτάταις ἀποδείξεσι τῆς θεότητος, ἀναχωροῦντα δὲ πάλιν εὐθὺς, μὴ φθάσῃ τὸ πάθος τὴν βασιλικὴν ἐκείνην πομπὴν, καὶ τὴν μετὰ τῶν βαΐων ὑπάντησιν, καὶ τὰς τῶν παίδων φωνὰς ἅπερ ἔμελλε συμβαίνειν εἰσιόντι τὴν πόλιν τῶν προφητῶν καὶ ταῦτα προαναφωνούντων, μὴ κωλυθῇ τὸ δεῖπνον ἐκεῖνο τὸ ἱερὸν περὶ οὗ νῦν ἡμεῖς τὸν λόγον ἐποιησάμεθα, καὶ ὁ θαυμαστὸς ἐκεῖνος νιπτὴρ, ὁ τῆς ταπεινώσεως καὶ τῆς ἀγάπης διδάσκαλος, καὶ ἡ τελευταία πρὸς τοὺς μαθητὰς συμβουλὴ, καὶ ὅσα πρὸς τοῦ θανάτου τελεῖσθαι ἐχρῆν, μεγάλην αὐτοῦ τῇ δόξῃ, μᾶλλον δὲ τῇ ἡμετέρᾳ δόξῃ καὶ σωτηρίᾳ βεβαίωσιν φέροντα. Ἵνα μὴ τοίνυν ἅπαντα ταῦτα διακοπῇ τῇ περισσοτέρᾳ τοῦ Χριστοῦ παῤῥησίᾳ πρὸς ὀξυτέραν θηριωδίαν ἐρεθισθέντος τοῦ πονηροῦ συνεδρίου, καὶ φορτικώτερον αὐτῷ τὴν τελευτὴν ἐπιφέροντος· οὐκέτι παῤῥησίᾳ περιπατοῦντα τοῦτον ὀψόμεθα, ἀλλ' ἐγγὺς τῆς ἐρήμου μετὰ τῶν μαθητῶν διατρίβοντα. Τίς, ὦ παρόντες, ἀπογνώσεται τῆς σωτηρίας τηλικοῦτον ἔχων Δεσπότην; τίς νεκρὸς ὢν, οὐχ ὡς; ἡ τοῦ Ἰαείρου θυγάτηρ, οὐδ' ὡς τῆς χήρας υἱὸς, ἄρτι τοῦ θανάτου γευσάμενοι, ἀλλὰ τεταρταῖος, τουτέστι χρόνιος, καὶ τοῖς τέτταρσι τοῦ χρόνου καιροῖς συμπαρατεινομένην ἔχων τὴν νέκρωσιν καὶ τὴν πονηρίαν, καὶ δεδεμένος μὲν πολλοῖς ἁμαρτήμασι χεῖρας καὶ πόδας τὰς τῶν ἀγαθῶν πρακτικὰς δυνάμεις, δηλονότι κεκωλυμένος ὑπὸ τῶν πονηρῶν ἐνεργειῶν τε καὶ ἕξεων, τὴν δὲ νοερὰν ὄψιν πεπεδημένος ἀγνοίᾳ τοῦ δέοντος ἑκουσίῳ, καὶ τὴν τῆς πονηρίας δυσωδίαν ἐκπνέων; τίς τοίνυν καὶ τοιοῦτος ὢν ἀπελπίσει τὴν σωτηρίαν, ταῦτα πάντα ὁρῶν; Οὐ γὰρ τὰς σωματικὰς λύει νόσους ὁ Δεσπότης ἡμῶν, ἀλλὰ τὰς ἁμαρτίας ἀφίησι πολλῷ προχειρότερον, ὡς τὴν ψυχικὴν ἀνεῖλε νόσον τοῦ Παραλύτου πρὶν ἐπιστῆσαι τῇ θεραπείᾳ τοῦ σώματος. Πρότερον γὰρ εἶπεν, *Ἀφέωνταί σου αἱ ἁμαρτίαι·* εἶτα, *Ἆρον τὸν κράβαττόν σου, καὶ ὕπαγε.* Τῇ πρακτικῇ τοίνυν ἀρετῇ τὴν θεωρίαν ἀναλεσώμεθα σπεύσαντες, ὡς ἐκεῖ τὴν Μαριὰμ ἡ Μάρθα, καὶ ὑπαντήσωμεν τῷ ἡμετέρῳ Δεσπότῃ ὑπὸ φιλανθρωπίας καὶ αὐτῷ πρὸς τὴν ἡμῶν ἀνάστασιν σπεύδοντι· ἂν μόνον ἑτοιμασθῶμεν καὶ προφθάσωμεν αὐτοῦ τὸ πρόσωπον ἐν ἐξομολογήσει καὶ κλαυθμῷ, τὸν τοῦ Δεσπότου καὶ ἰατροῦ οἶκτον ἐπισπασόμεθα. Κἂν οὕτω ποιήσωμεν, αὐτὸς τὸν ἡμέτερον ἀναστήσει Λάζαρον, τουτέστι τὸν νεκρὸν καὶ δυσωδίαν ἀποπνέοντα νοῦν, καὶ ἕνα τῶν συνανακειμένων αὐτῷ ποιήσει καὶ συνευτωμένων, μᾶλλον δὲ τοῦ σώματος αὐτῷ μεταδώσει τοῦ ἱεροῦ καὶ τοῦ αἵματος, καὶ πρὸς τὴν πνευματικὴν ἐπιδιδόναι ποιήσει ζωὴν, οὐ μόνον τῆς ἐνοχῆς τῶν ἁμαρτιῶν ἀπολύων, ἀλλὰ καὶ χάριν χάριτι προστιθείς. Δόξα τῷ ἐλέει αὐτοῦ εἰς τοὺς αἰῶνας. Ἀμήν.

A passionem, non sine præclarissimis demonstrationibus suæ divinitatis : statimque secedentem, ne passio anticiparet regiam illam pompam, et obviam cum palmis itionem, puerorumque voces, quæ omnia ingredienti urbem accidere debebant, cum hæc prophetæ prædixissent ; ne impediretur cœna illa sacra, de qua modo sermonem ad vos habuimus et mirabilis illa pelvis, humilitatis et charitatis magistra ; ultima ad discipulos exhortatio, et quæcunque ante mortem compleri oportebat, magnam ipsius gloriæ, magis vero nostræ et gloriæ et saluti certitudinem afferentia. Ne igitur hæc omnia interrumperentur, malo illo synhedrio ad acerbiorem feritatem irritato per B ampliorem Christi fiduciam, et impudentius jam ipsi necem inferre cogitante : videbimus eum non eadem fiducia ambulantem, sed circa desertum cum discipulis versantem. Quis tandem, auditores, talem habens Dominum, de salute desperabit ? Quis mortuus, non sicut Jairi filia, neque ut viduæ filius, nuper mortem obeuntes, sed quatriduanus, hoc est, diuturnam, et quatuor temporum intervallis confirmatam mortem et malitiam habens, et multis peccatis ligatas manus et pedes, scilicet bonorum operum effectrices potentias habens, detentusque per malos actus et habitus, spirituali visu orbatus per voluntariam officii sui ignorantiam, et malitiæ fœtorem spirans ? quis igitur, etiam si talis exsistat, C de salute desperabit, hæc omnia considerans ? Non enim corporales morbos solummodo solvit Dominus noster, sed multo facilius peccata dimittit ; sicut spiritualem paralytici morbum, prius quam corporis curationi insisteret. Prius enim dixit, *Dimittuntur tibi peccata* : mox, *Tolle grabatum tuum, et ambula.* Festinemus igitur virtutem opere exercentes, ejus contemplationem ad opus revocare, ut illic Martha Mariam : occurramus Domino nostro maxima benignitate ad nostram resurrectionem festinanti ; si modo præparati simus, et præoccupemus faciem ejus in confessione fletuque, Domini et Medici misericordiam eliciemus. Et si ita fecerimus, ipse nostrum suscitabit Lazarum, hoc est, mentem mortuam et fœtentem, D unumque ex discumbentibus secum convivis suis faciet : præsertim vero communicabit ei sacrum suum corpus et sanguinem ; ad spiritualem vitam proficere faciet, non solum reatu peccatorum liberans, sed et gratiam gratiæ adjiciens. Gloria sit misericordiæ ejus in sæcula sæculorum. Amen.

EJUSDEM ALIA BREVIS HOMILIA

DE CORPORE ET SANGUINE DOMINI

Relata a Meletio Syrigo, hieromonacho Cretensi, in Refutatione Confessionis Cyrilli Lucaris Cpolitani patriarchæ.

Cum de sacramentali corpore et sanguine Domini nostri Jesu Christi nuper ad vestram interrogationem ex tempore responderimus, nunc iterum fusius respondebimus, necesse habentes veram sacramenti cognitionem vobis tradere, tanquam sanctissimis animabus quæ secundum Deum diligunt, nec minus diliguntur.

Primum igitur scire debetis, quod Domini nostri corpus sanctissimum, unum semper exsistens, diversos considerandi modos admittit. Aliter enim a nobis consideratur, quatenus naturale, sive statim ab ipsa conceptione, usque ad ipsius per miracula manifestationem : aliter quatenus gloriosum, sive a manifestatione usque ad passionem et sepulturam ; aliter quoque quatenus glorificatum, sive ab resurrectione, et semper deinceps : aliter tandem ut mysticum seu sacramentale, nempe quatenus in diversis altaribus Christianorum orthodoxorum, nimium quam mirabiliter, quotidie præsens exhibetur. Hi porro considerandi modi quamvis diversi, Christi corpus, quod secundum illas omnes rationes unum est, nullatenus dividunt.

Secundo, scire quoque vos oportet, quod miraculorum omnium quæ a Deo supra naturam facta sunt, magis supernaturale nullum est hoc sacramento ; unde nullum magis ignoratur ab illitteratis, neque in ullo alio magis exercetur divina humanaque sapientia, neque aliud est in sacra nostra fide, cui plus contradicant infideles et hæretici. Idcirco nos aliquando in infelici palatio, die paraseeves Lazari, de mystico Christi Domini corpore sermonem habuimus, coram imperatore et senatu, urbisque optimatibus, qui tunc multas servis gratias retulerunt. Nunc breviter et perspicue de eodem verba faciemus.

Scitote igitur, inter Dei miracula primum illa locum habere, in quibus ordo solum et modus naturæ mutatur, efficiturque, sed alia via, id quod quotidie fieri potest. Ita infirmos multos sanavit Dominus absque medicina, ut socrum Petri, et centurionis puerum : atque in veteri Testamento per Samuelem et Eliam condensavit aerem ad pluviam demittendam, absque ulla alia causa naturali quæ pluviam produceret.

Ἐπειδὴ περὶ τοῦ μυστηριώδους σώματος καὶ αἵματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ προχείρως πρώην ἀπεκρινάμεθα πρὸς τὴν ὑμετέραν ἐρώτησιν, νῦν πάλιν πλατύτερον ἀποκρινόμεθα, ἔχοντες ἀνάγκην ὡς δυνατὸν ἐνθεῖναι ὑμῖν τὴν ἀληθῆ γνῶσιν τοῦ μυστηρίου, ὡς ὁσιωτάταις ψυχαῖς καὶ ἀγαπώσαις κατὰ Θεὸν, καὶ ἀγαπωμέναις.

Πρῶτον μὲν γινώσκειν ὀφείλετε, ὅτι τὸ τοῦ Κυρίου ὑμῶν σῶμα τὸ πανάγιον, ἓν ὑπάρχον ἀεὶ, διαφόρους ἐπιδέχεται θεωρίας. Ἄλλως γὰρ θεωροῦμεν περὶ αὐτοῦ καθὸ φυσικοῦ, ἤγουν εὐθὺς ἀπὸ τῆς συλλήψεως μέχρι καὶ τῆς διὰ τῶν θαυμάτων ἀναδείξεως· καὶ ἄλλως καθὸ ἐνδόξου, ἤγουν ἀπὸ τῆς ἀναδείξεως μέχρι τοῦ πάθους καὶ τῆς ταφῆς· καὶ ἄλλως δεδοξασμένου, ἤγουν ἀπὸ τῆς ἀναστάσεως καὶ μέχρι παντὸς τοῦ χρόνου διηνεκῶς· καὶ ἄλλως ὡς μυστικοῦ, ἤγουν καθὸ ἐν διαφόροις θυσιαστηρίοις τῶν ὀρθοδόξων Χριστιανῶν, ὑπερθαυμάστως καθ' ἑκάστην παρουσιάζεται. Αἱ τοιαῦται δὴ ὅμως διάφοροι θεωρίαι οὐ διαιροῦσι τὸ τοῦ Χριστοῦ σῶμα, ἀλλὰ διὰ πασῶν ἓν ἐστι.

Δεύτερον γινώσκειν ὀφείλετε, ὅτι πάντων τῶν ὑπὲρ φύσιν θαυμάτων γινομένων παρὰ Θεοῦ, οὐδέν ἐστιν ὑπερφυέστερον τοῦ μυστηρίου τούτου, καὶ διὰ τοῦτο οὐδὲν ἀγνοεῖται παρὰ τοῖς ἰδιώταις πλέον τούτου, καὶ ἐν οὐδενὶ γυμνάζεται ἡ θεία καὶ ἀνθρωπίνη σοφία πλέον τούτου, καὶ οὐδενὶ τῶν τῆς ἱερᾶς ἡμῶν πίστεως ἀντιλέγουσιν οἱ ἄπιστοι καὶ αἱρετικοὶ μᾶλλον τούτου. Διὸ καὶ ἡμεῖς ποτε ἐν τῷ δυστυχεῖ παλατίῳ ὠμιλήσαμεν κατὰ τὴν Παρασκευὴν τοῦ Λαζάρου περὶ τοῦ μυστικοῦ σώματος τοῦ Δεσπότου Χριστοῦ ἐνώπιον τοῦ βασιλέως καὶ τῆς συγκλήτου καὶ τῶν ἐξαιρέτων τῆς πόλεως, καὶ πολλὰς χάριτας ἀνήνεγκαν τῷ Κυρίῳ τότε, καὶ ἡμῖν τοῖς ταπεινοῖς δούλοις αὐτοῦ. Νῦν δὲ σύντομον καὶ σαφὲς περὶ τούτου λέγομεν.

Γινώσκετε οὖν ὅτι τὴν πρώτην τάξιν ἐν τοῖς θαύμασι τοῦ Θεοῦ ἔχουσιν ἐκεῖνα, ἐν οἷς ἡ τάξις μόνον καὶ ὁ τρόπος τῆς φύσεως μεταποιεῖται, γίνεται δὲ πρᾶγμα δυνάμενον γίνεσθαι καθ' ἑκάστην, πλὴν δι' ἄλλης ὁδοῦ· ὥσπερ ἰάσατο πολλοὺς ἀῤῥώστους ὁ Κύριος ἡμῶν χωρὶς ἰατρείας, ὡς τὴν πενθερὰν τοῦ Πέτρου, καὶ τὸν παῖδα τοῦ ἑκατοντάρχου. Καὶ ἐν τῇ Παλαιᾷ διὰ τοῦ Σαμουὴλ καὶ τοῦ Ἠλιοῦ ἐπύκνωσε τὸν ἀέρα πρὸς ὑετὸν χωρὶς τοῦ γενέσθαι φυσικήν τινα δύναμιν καὶ αἰτίαν τοῦ ὄμβρου.

Δευτέραν ἔχουσι τάξιν ἡ ἀνάστασις τοῦ Λαζάρου, καὶ ἡ ἀνάβλεψις τοῦ τυφλοῦ· ἐν τούτοις γὰρ τὸ μὲν γινόμενον, κατὰ τὴν φύσιν ἐστί· ὅσον δὲ πρὸς τὸ ὑποκείμενον ἐν ᾧ γίνεται, παρὰ τὴν φύσιν ἐστί. Ποιεῖ γὰρ καὶ ἡ φύσις αὐτὴ ζωὴν, ἀλλ' οὐκ ἐν τῷ νεκρῷ· καὶ δίδωσιν ὄψιν ἡ φύσις, ἀλλ' οὐκ ἐν τῷ πεπηρωμένῳ τοὺς ὀφθαλμούς. A

Τρίτην ἔχουσι τάξιν τὸ στῆναι τοῦ οἰκείου δρόμου τὸν ἥλιον, ὃ γέγονε διὰ Ἰησοῦ τοῦ Ναυῆ· καὶ τὸ σῶμα χωρῆσαι διὰ σώματος, ὡς ὁ Κύριος ἡμῶν διῆλθε τῶν θυρῶν κεκλεισμένων· ταῦτα γὰρ κατ' οὐδένα τρόπον παρὰ τῆς φύσεως δύνανται γίνεσθαι. Ἐπέκεινα δὲ πάντων τούτων τῶν θαυμασίων, ἀλλὰ δύο εἰσὶ θαύματα μέγιστα, καὶ πάντα λόγον νικῶντα, ἓν μὲν ἅπαξ γεγενημένον, ὅτε τὴν ἀνθρωπίνην φύσιν ὁ Θεὸς συνῆψε τῷ θείῳ προσώπῳ· ἕτερον δὲ μεῖζον τούτου, καὶ καθ' ἡμέραν γινόμενον, ὅτι αὐτίκα μεταβάλλει τὴν οὐσίαν τοῦ ἄρτου εἰς τὴν οὐσίαν τοῦ ἰδίου σώματος ὁ Χριστὸς, καὶ τὴν οὐσίαν τοῦ οἴνου εἰς τὴν οὐσίαν τοῦ ἰδίου αἵματος. Ἐν μὲν γὰρ τῷ πρώτῳ θαύματι, οὐδετέρα φύσις μετεβλήθη πρὸς τὴν ἑτέραν· ἀλλ' ἐν τῷ τοῦ Χριστοῦ προσώπῳ, καὶ ἡ θεότης καὶ ἡ ἀνθρωπότης ἀσυγχύτως εἰσίν. Ἐν δὲ τούτῳ τῷ μυστηρίῳ τὸ κτίσμα πρὸς τὸν κτίστην μεταποιεῖται διὰ μέσου τοῦ σώματος, καὶ ἡ προϋφεστῶσα τοῦ ἄρτου οὐσία σῶμα Χριστοῦ γίνεται· καὶ ἡ μὲν οὐσία τοῦ ἄρτου μεταβάλλεται, ἵνα ἐν ἡμῖν τὸ μυστήριον ἐνεργῇ, καὶ συσσώμους ἡμᾶς ποιῇ τοῦ Χριστοῦ. Ἡ δὲ ἔξωθεν διάθεσις τοῦ ἄρτου μένει πάλιν ἡ αὐτὴ, συγκαλύπτουσα τὴν οὐσίαν τοῦ σώματος, ἵνα μηδεὶς ὀλιγωρῶν ἡμᾶς κατασχὼν, ἀπαγάγῃ τῆς μεταλήψεως. Μέγιστον μὲν οὖν πάντων τῶν τοῦ Θεοῦ θαυμασίων τοῦτό ἐστι τὸ μυστήριον, διὸ καὶ πολλὰς, ὡς προεῖπομεν, ἐνστάσεις πρὸς τοῦτο κινοῦσιν ἔνθεν μὲν ἄπιστοι, ἔνθεν δὲ αἱρετικοὶ, ἔνθεν δὲ ἰδιῶται, οὐκ ἔχοντες συνορᾷν τὸν λόγον τοῦ μυστηρίου, ἃς ἐνστάσεις ἐν ἐκείνῃ τῇ ὁμιλίᾳ διελυσάμεθα τότε. B C

Οἱ μὲν γὰρ αὐτῶν ἀποροῦσι, πῶς ἐν τῷ παραυτίκα μεταβάλλεται ἡ οὐσία τοῦ ἄρτου καὶ οἴνου εἰς τὴν οὐσίαν τοῦ σώματος. Οἱ δὲ ἀποροῦσι πῶς δυνατόν ἐστι τῆς οὐσίας τοῦ ἄρτου μεταβληθείσης εἰς τὴν οὐσίαν τοῦ σώματος, μένειν τὰ συμβεβηκότα τοῦ ἄρτου, ἤγουν τὸ μῆκος αὐτοῦ, τὸ βάρος, τὸ πλάτος, τὸ χρῶμα, τὴν ὀσμὴν, καὶ τὴν ἐν τῇ γεύσει ποιότητα, ὥστε εἶναι τὰ συμβεβηκότα τοῦ ἄρτου χωρὶς τῆς οὐσίας τοῦ ἄρτου, καὶ τὴν ἀληθινὴν οὐσίαν τοῦ σώματος κρύπτεσθαι ἐν συμβεβηκόσιν ἄλλης οὐσίας. Ἕτεροι ἀποροῦσι πῶς δυνατὸν ὅλον εἶναι τὸν Χριστὸν ἐν μικρᾷ τοῦ φαινομένου ποσότητι. Ἄλλοι πάλιν διαπιστοῦσιν ὅπως τὸ τοῦ Χριστοῦ μυστικὸν σῶμα καὶ τεμνόμενον ἀκέραιον διαμένει, καὶ τῶν τμημάτων ἕκαστον, αὐτὸ ὅλον ἐστὶ τοῦ Χριστοῦ σῶμα καὶ τέλειον. Ἀποροῦσιν ἕτεροι, ὃ καὶ μεγίστην ἔχει ἀπορίαν, πῶς τὸ αὐτὸ εἰς ἓν τοῦ Χριστοῦ σῶμά ἐστι, καὶ ἐν οὐρανῷ, καὶ ἐν πλείστοις ἅμα θυσιαστηρίοις ἐν γῇ. Ἀλλὰ ταύτας μὲν τὰς ἀπορίας καὶ λελύκαμεν τότε, καὶ δυνάμεθα λύειν, τῇ Χριστοῦ φωτίσαντος ἡμᾶς χάριτι· μᾶλλον δὲ οἱ D

Secundum locum habent quædam alia, ut Lazari resurrectio, et visus in cæco restitutio; in istis enim quod fit, secundum naturam est; sed ratione habita ad subjectum in quo fit, præter naturam est. Ea quippe vitam efficit, sed non in mortuo; eadem visum dat, sed non in oculis orbato.

Tertium locum habent, cursum proprium solis sistere, quod per Jesum Nave factum est: corpus per aliud corpus penetrare, ut fecit Christus Dominus, cum per clausa ostia pertransivit: hæc enim nullo modo á natura effici possunt. Longe vero supra omnia hæc mirabilia, duo maxima miracula sunt, quæ rationem omnem superant, unum quod semel factum est, quando humanam naturam Deus conjunxit divinæ personæ; alterum vero majus illo, et quod quotidie efficitur, quando statim Christus transmutat substantiam panis in proprii corporis substantiam, et substantiam vini in substantiam proprii sanguinis. In primo enim miraculo, neutra in alteram natura transmutata est; sed in Christi persona, et divinitas et humanitas sunt inconfuse. At in hoc sacramento creatura in Creatorem transformatur, mediante corpore, et præexsistens panis substantia, Christi corpus efficitur. Et substantia quidem panis transmutatur, ut in nobis sacramentum operetur, nosque concorporeos Christi efficiat. Exterior vero panis habitudo manet nihilominus eadem, tegens substantiam corporis, ne qua nos hæsitatio detinens, a communione detrahat. Maximum igitur omnium Dei mirabilium est hoc sacramentum; unde multas, ut supra diximus, adversus illud objectiones movent hinc infideles, illinc hæretici, ex alia denique parte idiotæ illiterati, quod rationem mysterii perspicere minus valeant, quas quidem objectiones nunc diluimus in eadem homilia.

Illorum quidem nonnulli objiciunt, quomodo in momento transmutatur substantia panis et vini in substantiam corporis. Alii, quomodo possibile sit, substantia panis mutata in substantiam corporis, manere accidentia panis, nempe longitudinem ejus, pondus, latitudinem, colorem, odorem, et in gustu qualitatem, adeo ut accidentia panis sint absque substantia panis, et vera substantia corporis lateat in accidentibus alterius substantiæ. Alii quærunt quomodo possibile sit totum Christum esse in minima illius quod videtur quantitate. Alii, quomodo corpus Christi mysticum seu sacramentale, dissectum, maneat integrum tamen, et unaquæque particula sit corpus Christi totum atque perfectum. Quærunt alii, quod etiam maximam difficultatem habet, quomodo idem et unum Christi corpus in cœlo est, et in pluribus simul super terram altaribus. Sed difficultates illas et tunc solvimus, et solvere etiamnum possumus, Christi gratia nos illuminante; vel potius eas dissolvunt sapientissimi Ecclesiæ doctores, gratiæ

et studii si quæ in nobis sunt, auctores et principes.

Vos porro absque dubitatione credere debetis, et Christiani omnes idem credere debemus, quod in sacramentali illo corpore vere est Dominus noster Jesus Christus, qui natus est ex Maria Virgine, qui in cruce olim fuit, et nunc in cœlo est, idem ipse et integer sub accidentibus panis occultatus, et secundum substantiam est in sacramento, non secundum gratiam aut potentiam. Neque sacramentale Christi corpus typus est veri corporis, sed veritas ipsa est illius corporis. Nunc enim non per typos aut umbras, ut in veteri Testamento, sed per res et veritates religiosum cultum exhibemus. Quod si sanctorum aliquis antitypum appellat sacrificium hoc cœnæ istius Dominicæ, manifestum est, sacrificium quidem ipsum, typum esse sacrificii illius, ut qui nunc sacrificant, typi sunt Jesu tunc sacrificantis. Effectus autem sacrificii, idem est ut olim et nunc, Transsubstantiatio scilicet, et maxime supernaturalis transmutatio panis in carnem animatam, et divinam factam, et vini in pretiosissimum ejus sanguinem. Antitypa igitur dici possunt ea quæ in sacrificio fiunt, secundum operationis modum, nempe quia tunc immediate Jesus miraculum operabatur, nunc vero per Ecclesiæ ministros id ipsum invisibiliter efficit, cum divina potestate præsens ubique sit, et omnia repleat. Effectus vero operationis, scilicet transmutatio panis et vini in verum Christi corpus et sanguinem, et tunc fuit, et nunc etiam est.

Hoc Ecclesia Christi prædicat : hoc miraculis sæpe confirmatum est erga incredulos, ut jam diximus, quorum aliqui viderunt in sacro vase integrum et viventem Dominum nostrum, et attoniti crediderunt. Alii temerariam sacramenti experientiam facientes, cum anima vitam quoque violenta morte amiserunt. Efficacia igitur omnis hujus sacramenti, et præ reliquis sacramentis excellentia, ex iis quæ dicta sunt efficitur et demonstratur : quæ cum multi homines ignorent, minorem idcirco quam par esset ei reverentiam impendunt, et ante communionem, et in ipsa communione, et post communionem, in quo a sacerdotibus et laicis æque peccatur. Vos autem semper erga magnum istud et stupendum mysterium religiosi estote : tum vero deinceps pro nobis orate impensius, ut pietatem quæ in vobis augmentum capiet, imitemur.

πάνσοφοι τῆς Ἐκκλησίας διδάσκαλοι λύουσιν οἱ καθηγεμόνες τῆς ἐν ἡμῖν χάριτος καὶ σπουδῆς.

Ὑμεῖς δὲ ὀφείλετε πιστεύειν ἀναμφιβόλως, καὶ πάντες Χριστιανοὶ οὕτω πιστεύειν ὀφείλομεν, ὅτι ἐν μυστικῷ τούτῳ σώματι, αὐτός ἐστιν ἀληθῶς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ ἐκ τῆς Μαρίας Παρθένου γεννηθεὶς, ὁ ἐπὶ σταυροῦ, ὁ ἐν οὐρανῷ νῦν, αὐτὸς ἐκεῖνος ὁλόκληρος, ὑπὸ τοῖς συμβεβηκόσι τοῦ ἄρτου συγκαλυπτόμενος · καὶ κατ' οὐσίαν ἐστὶν ἐν τῷ μυστηρίῳ, οὐ κατὰ χάριν ἢ δύναμιν. Οὐδὲ τύπος ἐστὶ τὸ μυστικὸν τοῦ Χριστοῦ σῶμα τοῦ ἀληθοῦς σώματος, ἀλλὰ ἡ ἀλήθεια ἐκείνη τοῦ σώματός ἐστιν. Οὐ γὰρ τύποις οὐδὲ σκιαῖς νῦν ὡς ἐν τῇ Παλαιᾷ, ἀλλὰ πράγμασι καὶ ἀληθείαις λατρεύομεν. Εἰ δέ τις τῶν ἁγίων ἀντίτυπον λέγει τὴν θυσίαν ταύτην τοῦ Δεσποτικοῦ δείπνου ἐκείνου, δῆλόν ἐστιν ὅτι ἡ θυσία μὲν αὕτη, τύπος ἐστὶ τῆς θυσίας ἐκείνης, ὥσπερ καὶ οἱ νῦν θύοντες τύποι εἰσὶ τοῦ τότε θύσαντος Ἰησοῦ. Τὸ δὲ ἀποτέλεσμα τῆς θυσίας τὸ αὐτό ἐστι καὶ τότε καὶ νῦν, ἡ μετουσίωσις δηλονότι, καὶ ἡ ὑπερφυεστάτη μεταβολὴ, πρὸς τὴν ἔμψυχον καὶ τεθεωμένην σάρκα, καὶ τοῦ οἴνου πρὸς τὸ ὑπέρτιμον αὐτοῦ αἷμα. Ἀντίτυπα οὖν δύνανται λέγεσθαι τὰ ἐν τῇ θυσίᾳ γενόμενα κατὰ τὴν ἐνέργειαν, ὡς τότε μὲν ἀμέσως αὐτοῦ τοῦ Ἰησοῦ τὸ θαῦμα ποιοῦντος, νῦν δὲ διὰ τῶν τῆς Ἐκκλησίας ὑπηρετῶν, τοῦτο αὐτὸ ἀφανῶς πράττοντος, καὶ πανταχοῦ παρόντος θείᾳ δυνάμει, καὶ πάντα πληροῦντος. Τὸ δὲ ἀποτέλεσμα τῆς ἐνεργείας, ἡ μεταβολὴ τοῦ ἄρτου καὶ τοῦ οἴνου πρὸς τὸ ἀληθὲς τοῦ Χριστοῦ σῶμα καὶ αἷμα, καὶ τότε ἦν, καὶ νῦν ἐστι.

Τοῦτο ἡ τοῦ Χριστοῦ Ἐκκλησία κηρύττει · τοῦτο θαυμασίοις πολλάκις ἐβεβαιώθη πρὸς τοὺς διαπιστοῦντας, ὡς πρότερον εἴπομεν, καὶ εἶδον ἐν τῷ ἱερῷ σκεύει ὁλόκληρον τὸν Κύριον ἡμῶν ζῶντα, καὶ πεπιστεύκασιν ἐκπλαγέντες. Ἄλλοι πειρασμὸν τοῦ μυστηρίου ποιήσαντες τολμηρὸν, μετὰ τῆς ψυχῆς καὶ τὴν ζωὴν βιαίως ἀπώλεσαν. Καὶ δραστηριότης πᾶσα τοῦ μυστηρίου τούτου, καὶ πρὸς τὰ ἄλλα τῶν μυστηρίων ὑπεροχὴ ἐντεῦθέν ἐστι καὶ δείκνυται, καὶ οἱ πολλοὶ τῶν ἀνθρώπων ἀγνοοῦντες, ἐντεῦθεν καὶ ἧττον τῆς ὀφειλομένης εὐλαβείας ἀπονέμουσι καὶ πρὸ τῆς μεταλήψεως, καὶ ἐν αὐτῇ τῇ μεταλήψει, καὶ μετὰ τὴν μετάληψιν, ἱερώμενοί τε ὁμοίως καὶ λαϊκοί. Ὑμεῖς δὲ ἀεὶ μὲν εὐλαβεῖς ἐστε περὶ τὸ μέγα τοῦτο καὶ ξενίζον μυστήριον · ἀπὸ τοῦ νῦν δὲ καὶ ἡμῶν ὑπερεύχεσθε μιμεῖσθαι τὴν ἐν ὑμῖν γενησομένην προσθήκην τῆς εὐλαβείας.

GENNADII SCHOLARII

REFUTATIO

LIBRI MARCI EPHESINI CONTRA LATINOS

Huc usque inedita.

Vide tomum sequentem, ipso initio, ubi Gennadius qui opus inchoaverat et Bessario qui illud absolvit una eduntur.

—

Hic in Conspectu nostro Operum Gennadii locum habebant libri nondum editi *De Providentia et Prædestinatione*, quos ex codd. Reg. Paris., Gennadii autographis, describendos suscepimus ; at cum descriptores nostri, moras trahentes, nondum labori finem fecerint, materiarum ordinem paululum inflectere cogimur.

GEORGII SCHOLARII

ORATIONES.

(Interprete Joanne Matthæo Caryophyllo.)

—

Τοῖς ἐντευξομένοις.

Γεώργιος ὁ Σχολάριος, ὁ τῶν ἐπιφερομένων λόγων πατήρ, συμπαρεγένετο μὲν τῷ βασιλεῖ Παλαιολόγῳ εἰς τὴν ἐν Φλωρεντίᾳ σύνοδον, κατεβάλετο δὲ πολλοὺς καὶ καλοὺς λόγους προτρεπόμενος εἰς ἕνωσιν τοὺς Γραικούς. Ἐρωτηθεὶς δὲ παρὰ τοῦ βασιλέως, ἡνίκα τὸ θεῖον τῆς ἑνώσεως ἔργον ἔμελλε συμπεραίνεσθαι, γενναίως τὴν οἰκείαν γνώμην ἐδήλωσε· καὶ πολλῶν ἄλλων ἀρχόντων ἐρωτηθέντων, τούτου μόνου φέρονται ἐγγράφως οἱ λόγοι ἐν τοῖς Πρακτικοῖς. Οὗτος μετὰ τὴν ἕνωσιν ἐν Κωνσταντινουπόλει, αἰτήσει Γρηγορίου τοῦ τότε μὲν πρωτοσυγκέλλου, χρηματίσαντος δὲ ὕστερον πατριάρχου, πολλὰ Μάρκου τοῦ Ἐφέσου ἐπιχειρήματα κατὰ τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως καὶ ἐκ τοῦ Υἱοῦ, σφοδρῶς ἀπεκρούσατο· εἶτα τούτου τελευτήσαντος, τὰς λοιπὰς τοῦ Μάρκου πλοκὰς διέλυσεν ὁ σοφὸς Βησσαρίων. Ὅθεν δὴ τοῦ Σχολαρίου τούτου μετὰ πλείστης ὅσης τιμῆς μνημονεύουσιν οἱ πρὸς τὰς Μάρκου τοῦ Ἐφέσου ἐπιστολὰς ἐκδόντες, τὰ; ἀντιῤῥητικὰς ἀπολογίας. Τούτῳ ὁμώνυμός τις γέγονεν ἕτερος Γεώργιος Σχολάριος, οὗ κατὰ Λατίνων καὶ τῆς ἁγίας ἐν Φλωρεντίᾳ συνόδου φέρεται σύγγραμμα· ἦν δὲ οὗτος, ὡς ἔοικε, συνήθης ἢ καὶ μαθητὴς Μάρκου τοῦ Ἐφέσου. Δῆλον γάρ,

A

Ad lectorem.

Georgius Scholarius, auctor orationum quæ sequuntur, imperatorem Paleologum comitatus ad Florentinam synodum profectus est, ubi Græcos ad unitatem cohortans multa præclare dixit et scripsit. Cum vero sacrum unitatis negotium jam expediri deberet, rogatus ab imperatore sententiam, quid sentiret libere protulit, atque ex omni nobilium numero, qui sententias dixere, hujus unius verba in commentarios sacræ synodi relata sunt. Is postea Constantinopoli, rogatu Gregorii, tunc protosyncelli, deinde vero patriarchæ, complura Marci Ephesii argumenta contra Spiritus sancti a Filio quoque processionem, valide confutavit : sed interea eo vita functo, Bessario doctissimus reliqua B Marci sophismata diluit. Quapropter hujusce Scholarii perhonorificam mentionem faciunt, qui ad Marci Ephesii epistolas edidere oppositas responsiones. Fuit ejusdem nominis alter Georgius Scholarius (1), cujus exstat liber adversus Latinos et sacrosanctam Florentinam synodum. Videtur autem fuisse familiaris, sive etiam discipulus, Marci Ephesii. Constat enim Marcum, dum ex hac vita decederet, Georgio cuidam Scholario suæ opinionis

(1) Hæc refutavit Eusebius Renaudot. Vide supra col. 251. Confer etiam in tomo CLIX *Monitum* nostrum præmissum *Apologiæ pro quinque capitibus concilii Florentini* quam Josepho Methonensi, ut vero auctori, restituimus, cum antea Gennadio male ascriberetur. Edit.

patrocinium contra sanctam synodum reliquisse. Ille vero, ut dictum est, librum de sancti Spiritus processione in multa capita divisum consarcinavit, totus ad Marci voluntatem et sensum sese conformans. Porro autem inter hosce duos Georgios plurimum differre manifestissimum est. Alter enim, dum Florentina synodus celebraretur, et dixit et scripsit non pauca tum rogatus, tum etiam non rogatus. Scholarius vero familiaris Marci scribens post synodum, in sui operis proœmio fatetur, se tum demum abjicere silentium, quando maturior, inquit, et fructuosior futura esset ejus sententia contra sanctam unionem. Ad calcem quoque sui libri verba hæc habet: Meipsum præ omnibus accuso, et lugeo præterea nos omnes, quotquot rebus illis sponte aut vi, in totum vel ex parte interfuimus; qui cum loqui possemus, tacebamus tamen, et metu sermonem reprimebamus. Quomodo ergo is, qui tacuit, et metu sermonem repressit, quique multa dixit, et liberrime locutus est, unus atque idem erit? Adde, si unus hic est Georgius, qui cecinerit palinodiam, cur eo in libro, quem composuit, prius a se dicta non retractat? nec ullum facit verbum de prioribus erratis, nec solvit fortissimas illas rationes, per quas ad unionem adhortatus est Græcos, laudando Latinos, et clamando, nihil in fide ab iis peccari? nam quæ antea scripta leguntur, et quæ postea liber ille continet, summe opposita sunt, et maxime inter se pugnant. Ad hæc Scholarius Marco addictus de se ipso ait, multos ad illum diem ignorasse, an contrarium ipse sentiret, errantes, inquit, tum quod ipse silentium opportune servasset, tum quod prave interpretarentur prudentem ejus dissimulationem, et nonnihil etiam calumniarentur. Quamobrem, inquit, opus fuit librum hunc conscribere ad corrigendos illos quorum salus desperata non esset, et multos dubitatione liberandos, et propulsandas calumnias, si suam ipse sententiam notam omnibus faceret. Hæc in nostrum Scholarium quomodo quadrare possunt, cujus sententia fuit omnibus ab initio notissima? Cum enim rogatus esset ab imperatore, in proœmio sui sermonis, Invictissime, inquit (1), imperator, in qua ego fuerim, et nunc sim sententia de proposita unionis materia, declarat oratio, quam utcunque composui, tradidique huic sacræ synodo: testantur etiam duo libri, quos a me antea scriptos nunc synodo huic offero. Multa alia, si quis perquirat, inveniet, quibus duo isti Georgii inter se differunt: propter quæ alter quidem jure vocandus est sacræ œcumenicæ synodi rectæque fidei defensor ac propugnator: ut qui germanos Orientalis Ecclesiæ Patres ad finem usque secutus est; alter vero studio, quo Marcum prosequebatur, abductus dicendus merito opinionis assertor, quam a Nestorio primum inductam et san-

(1) Conc. Florent. sess. 25.

ὡς Γεωργίῳ τινὶ Σχολαρίῳ τῶν τῇδε ἀπαίρων ὁ Μάρκος παρακατέθετο τῆς οἰκείας δόξης τὴν προστασίαν κατὰ τῆς ἱερᾶς συνόδου. Ὁ δὲ βιβλίον, ὡς εἰπόντες ἔφθημεν, συγγράψας περὶ τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως, πολλῶν κεφαλαίων διαστολῇ πλείστα ἐρραψῴδησεν, ὅλος δήπου τοῖς τοῦ Μάρκου βουλήμασι χαριζόμενος. Ὅτι δὲ τῶν δύο τούτων Γεωργίων πάμπολυ τὸ διάφορον, αὐτόθεν δῆλον· ὁ μὲν γὰρ συγκροτουμένης τῆς ἐν Φλωρεντίᾳ συνόδου πολλὰ καὶ εἶπε καὶ ἔγραψε πρὸς τὴν ἕνωσιν, ἐρωτηθείς τε καὶ μὴ ἐρωτηθείς· ὁ δὲ τοῦ Μάρκου φίλος γράφων μετὰ τὴν σύνοδον ἐν τῷ προοιμίῳ τοῦ οἰκείου συγγράμματος, λύειν φησὶ τότε τὴν σιωπὴν, ὅτε ἐμελλεν ὡριμωτέρα καὶ ὠφελιμωτέρα γενέσθαι ἡ αὐτοῦ γνώμη κατὰ τῆς θείας ἑνώσεως. Καὶ πρὸς τῷ τέλει τοῦ βιβλίου αὐταῖς λέξεσι φησίν· Ἐμαυτὸν δὲ πρὸ πάντων κατηγορῶ, καὶ ὑπὲρ ἡμῶν αὐτῶν θρηνῶ, ὅσοι τοῖς πράγμασιν ἐκείνοις ἐκόντες ἢ ἄκοντες, καὶ ἢ καθάπαξ ἢ ἐκ μέρους τινὸς ἐνεσχέθημεν, ἢ δυνάμενοι λαλεῖν, ὅμως ἐσιγῶμεν ὑποστελλόμενοι. Πῶς οὖν ὅ τε σιγήσας καὶ ὑποστειλάμενος, καὶ ὁ πλείστα εἰπὼν καὶ μηδὲν ὑποστειλάμενος, εἷς ἂν εἴη Γεώργιος; Ἔτι εἴπερ ὁ αὐτός ἐστι Γεώργιος παλινῳδίαν ᾄδας, πῶς ἐν ᾧ συνέγραψε βιβλίῳ οὐκ ἐπανορθοῦται δῆθεν τὰ πρότερον ἐσφαλμένα; οὐδεμίαν ὅλως ποιεῖται μνείαν τῶν πρώην αὐτῷ γεγραμμένων; καὶ οὐ λύει τοὺς δεινοὺς ἐκείνους λόγους, δι' ὧν παρεκάλει τοὺς Γραικοὺς πρὸς τὴν ἕνωσιν, ἐπαινῶν τοὺς Λατίνους, καὶ μηδὲν αὐτοὺς ἁμαρτάνειν ἐν τῇ πίστει βοῶν; Καίτοι ἐκ διαμέτρου ἀντίκειται ἃ τε πρότερον γέγραπται, καὶ ἃ μετὰ ταῦτα φέρεται ἐν τῷ βιβλίῳ κατὰ τῆς συνόδου. Πρὸς τούτοις ὁ τοῦ Μάρκου φίλος περὶ ἑαυτοῦ φησι, τοὺς πολλοὺς μέχρι τότε ἀμφιγνοῆσαι, ὡς τἀναντία δοξάζοντος, πλανωμένους ποτὲ μὲν ὑπὸ τῆς καιρὸν ἐχούσης σιωπῆς, ποτὲ δὲ τὴν ἐν λόγοις ἢ πράγμασιν οἰκονομίαν αὐτοῦ παρερμηνεύοντας, ἤτοι δι' ἃ καὶ συκοφαντοῦντας. Ἔδει οὖν, φησὶ, διὰ ταῦτα λόγον συγγράψαντα διορθώσασθαι μὲν αὐτῶν τοὺς μὴ καθάπαξ ἀνιάτως ἔχοντας, ὥστε ἀμφιβολίας περὶ αὐτοῦ καὶ συκοφαντίας παῦσαι πολλούς. Οὔτε γὰρ ἀμφιγνοήσει τις λοιπὸν, οὔτε συκοφαντεῖν προαχθήσεται, τῆς αὐτοῦ γνώμης ἐκδήλου γεγενημένης. Ταῦτα δὲ πῶς ἂν ἐφαρμόσειε τῷ ἡμετέρῳ Σχολαρίῳ, οὗ πᾶσιν ἐκδηλος ἦν ἀρχῆθεν ἡ γνώμη, ὡς αὐτός φησιν ἐν τῷ πρὸς βασιλέα λόγῳ; Προοιμιαζόμενος γὰρ φάσκει· Ἄριστε καὶ κράτιστε βασιλεῦ, ἧς μὲν γνώμης γέγονα καὶ εἰμι περὶ τὴν προκειμένην τῆς ἑνώσεως ὕλην, ὁ πρὸ τὴν καθ' ἡμᾶς ἱερὰν ταύτην σύνοδον σχεδιασθείς μοι καὶ πεμφθεὶς λόγος δηλοῖ· μαρτυροῦσι δὲ καὶ τὰ δύο βιβλία, ἅπερ πρότερον συνθείς, νῦν ἐγχειρίζω τῇ παρούσῃ συνόδῳ. Καὶ ὅλως ζητῶν τις οὐκ ὀλίγας ἂν εὕροι διαφορὰς τῶν δύο τούτων Γεωργίων· αἷς ἀλλήλων διακρινόμενοι, ὁ μὲν δίκαιός ἐστιν ἀκούειν τῆς ἁγίας οἰκουμενικῆς συνόδου καὶ τῆς ὀρθοδοξίας προασπιστὴς, ἅτε δὴ τοῖς ἀληθινοῖς Πατράσι τῆς

'Ανατολικῆς 'Εκκλησίας ἄχρι τέλους ὁμόφρων γεγονὼς καὶ ἀκόλουθος· ἕτερος δὲ τῷ πρὸς τὸν Μάρκον φιλτρῳ, δόξης ὑπέρμαχος, ἥτις ἀρχὴν λαβοῦσα παρὰ Νεστορίου εἰσάγεσθαι, ὑπό τε ἁγίων Πατέρων καὶ συνόδων οἰκουμενικῶν πολλάκις ἀπεκηρύχθη.

A eti patres, et generalia concilia sæpenumero damnaverunt.

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ

ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΣΧΟΛΑΡΙΟΥ

ΥΠΕΡ ΕΙΡΗΝΗΣ, ΚΑΙ ΒΟΗΘΕΙΑΣ ΤΗ ΠΑΤΡΙΔΙ ΠΑΡΑΚΛΗΣΙΣ ΠΡΟΣ ΤΗΝ ΑΝΑΤΟΛΙΚΗΝ ΣΥΝΟΔΟΝ ΕΝ ΦΛΩΡΕΝΤΙΑ.

—

SAPIENTISSIMI VIRI

GEORGII SCHOLARII

DE PACE, DEQUE FERENDO PATRIÆ AUXILIO ADHORTATIO AD SYNODUM ORIENTALEM FLORENTIÆ.

—

Τῇ θείᾳ καὶ ἱερᾷ συνόδῳ τῆς καθ' ἡμᾶς ἁγίας 'Εκκλησίας, ἀρίστοις καὶ τιμιωτάτοις Πατράσι Γεώργιος ὁ Σχολάριος τὴν ὀφειλομένην εὐλάβειαν.

B *Sacrosanctæ synodo nostratis sanctæ Ecclesiæ, Patribus optimis ac summe honoranais, Georgius Scholarius debitam reverentiam.*

Ἡ μὲν κοινὴ τῶν σοφῶν ἁπάντων παραγγελία μηδένα δεῖν φησι συμβουλεύειν πρὶν ἂν κληθείη· ἐγὼ δὲ καὶ μὴ κληθεὶς τοῦτο πράττειν προάγομαι, καὶ τὸν παρόντα πέμπω λόγον ὑμῖν, εἰδὼς τοῦτον παράκλησιν ὄντα μᾶλλον ἢ συμβουλήν· καὶ κηδόμενος μὲν τῶν ὅλων πραγμάτων, κηδόμενος δὲ ἐν τῷ μέρει καὶ ἐμαυτοῦ καὶ γονέων καὶ συγγενῶν· καὶ ἅμα τὴν ὑμῶν φιλανθρωπίαν εἰδὼς, καὶ πεπεισμένος ὑμᾶς, κἂν οὐκ ἀρέσκοισθε τοῖς ὑπ' ἐμοῦ λεγομένοις, οὐκ ὀργιεῖσθαί μοι, ἀλλὰ καὶ χάριν ἕξειν τῆς προθυμίας. Δικαίους γὰρ ὑμᾶς καὶ τἆλλα εἰδὼς, νῦν πολλῷ μᾶλλον ἐλπίζω διατηρήσειν τὴν γνώμην. Δεῖ δὲ καὶ τὴν ἐμὴν πρὸς ὑμᾶς εὔνοιαν ἐνθυμηθῆναι· ἧς χάριν οὐθ' ἑνί τινι, οὔτε πᾶσιν ὁμοῦ προσκεκρουκὼς φαίνομαι, σιγῇ δὲ μᾶλλον πολλῶν ἀνασχόμενος δυσχερῶν, ὧν οἶδε Θεὸς, καὶ ὧν οὐκ ἄν τις ῥᾳδίως ἀνέσχετο· οὔτε γὰρ τινα λυπεῖν, οὔτε ταράττειν ἔδει τὰ πράγματα. Πρὸς ταύτην τοίνυν τὴν εὔνοιαν ἀποβλέψαντες καὶ τῇ τῶν πραγμάτων ἀνάγκῃ τὴν παροῦσαν λογισάμενοι τόλμαν, οὕτω τοὺς λόγους κρίνειν βουλήθητε, δεσπόται μου καὶ Πατέρες, καὶ ἡγεμόνες πάντων ὁμοῦ τῶν καλῶν καὶ νῦν καὶ πάντα τὸν χρόνον ἐσόμενοι.

C Commune quidem omnium sapientum præceptum, non esse inquit a quoquam dandum consilium, antequam vocetur. Ego vero etiam invocatus hoc agere aggredior, mittoque hunc ad vos sermonem; quod sciam adhortationem esse potius quam consilium, sollicitusque sim tum de toto rerum statu, tum de me ipso privatim, et parentibus, et cognatis; et nota mihi sit vestra humanitas, et persuasum habeam fore ut, etiamsi minus placitura sint quæ a me dicentur, mihi tamen non irascamini, imo gratiam quoque habeatis. Nam cum vos æquitatis studiosos in cæteris esse sciam, nunc multo magis spero hunc animum retenturos. Meminisse vero etiam debetis meam erga vos benevolentiam, ob quam nec singillatim quempiam, nec omnes universe unquam offendi; sed multa gravia silentio pertuli, quæ Deus novit, et quæ non facile quispiam pertulerit: neque enim decebat quemquam esse molestum, aut rerum perturbatorem. Ad hanc ergo vos benevolentiam respicientes, et necessitati in qua res sunt, præsentem audaciam tribuentes, ita de sermone meo judicare velitis, domini mei, Patres, ac duces ad omnia simul bona nunc et omni tempore futuri.

Οὔτε σιωπᾷν λοιπὸν οἶμαι δεῖν, κύριοί μου καὶ πατέρες αἰδέσιμοι, τῶν προσδοκωμένων δεινῶν καὶ πλέον τι τούτου τολμᾷν ἤδη πειθόντων, οὔτε πολλῶν λόγων τὰ παρόντα πράγματα δεῖσθαι, ἐν ἀκμῇ

D Nec tacendum jam ultra arbitror, domini ac Patres venerandi, cum impendentia mala plusculum etiam audere jam suadeant; nec præsentem rerum statum multis indigere sermonibus, summo in peri-

culo constitutum ; quique vix possit in tuto collocari, licet multa quidem agantur, dicantur vero pauca. Porro dictionis apte disponendæ studium, et sermonis elegantiam, et oratoriam artem præsentia mala, dolorque quo propter illa opprimor, eripuere mihi majorem partem ; eo vero quod superest, quomodo uti liceat hoc tempore, non video : quod præsertim necesse est, simplex sit et perceptu omnibus facilis sermo, quem ad vos omnes habeo. Sit vero mihi quidem orationis dux Deus ; quem benevolentiæ erga vos meæ, et patriam, et genus universum citare testem non erubuerim ; vobis autem viæ ad eligendum utilia, et illa agere aggrediendum.

Quod igitur nonnulli sint inter vos, qui putabant se Latinorum scientiam eluctaturos, atque illis persuasuros manere in illis antiquitatis terminis, et ipse scio : id vero mihi certe magnam admirationem moverit, quod viri alioquin docti tantum in hac parte erraverint ; idque cum sciant et se et alios non esse bene instructos facultate ad persuadendum ; non modo si quis instet, dubitetque de rebus gravissimis : sed si vel binarium esse inter pares numeros primum ; aut hominem ex anima et corpore constare, ac similia negare voluerit : Latinos vero ad captum omnem humanum in dialectica, omnique scientia, cunctarumque præcellentissima theologia exercitatissimos. Verum etsi plures non ignorabant Latinorum scientiam, multasque illis non defore rationes ad ostendendum se recte sentire ; arbitrati tamen et illi omnes et isti, unionem cum Latinis rem esse plurimi æstimandam, et præterea facillimam, et suum et aliorum animum induxere cum voluptate advenire. Sed fac idem omnes sensisse, et ea spe venisse, ut Latinos ignorantiæ pravæque opinionis arguerent ; persuaderent vero a sententia discedere aut sua sponte, aut invitos atque ita unionem eorum amplecterentur. Hæc si quidem ex sententia succederent, fortasse melius esset ; Deusque cum quo per agnitionem veritatis et mutuam charitatem conjungeremur, neutri partium majorem impenderet favorem ; sed tam eos qui veritatem edocuissent, quam qui illam æquo animo addidicissent, pari corona donaret, et æque sibi conjungeret. Ita visi quoque essemus obtinere locum magistrorum, fumoque famæ oblectaremur, quem vos spiritalia quærentes, Deoque vacare pollicitos ambire non convenit. Sed videtis omnes, ut Latini pro sua sententia egregie decertaverint, ut nemo illos possit, si velit æquus esse judex, reprehendere. Et communis quidem magister ac dominus noster, oportere inquit in ore duorum vel trium stare omne verbum, et lex civilis ita præscribit ; illi vero ex communibus Ecclesiæ doctoribus sex præstantissimos dignitate et doctrina, susceptisque pro pietate laboribus ; nam alios prætereo ; sententiæ suæ testes protulere, quorum quisque tantumdem fide valere, quantum universi homines, censendus est :

A καθεστῶτα κινδύνου, καὶ μᾶλις μετὰ πολλὰ μὲν πράττειν, λέγειν δὲ ἐλάττω, δυνάμενα σώζεσθαι. Συνθήκης δὲ καὶ φράσεως καὶ τέχνης ῥητορικῆς τὸ πλεῖστον μὲν ὑπὸ τῶν παρόντων δεινῶν καὶ τῆς ἐπὶ τούτοις λύπης ἀφῄρημαι, τῷ δὲ περιλειπομένῳ καιρὸν οὐχ ὁρῶ τὸν παρόντα χρῆσθαι· καὶ ἅμα πρὸς πάντας ὑμᾶς ὄντος τοῦ λόγου, ἁπλοῦν τε εἶναι τοῦτον ἀνάγκη καὶ πᾶσιν εὐσύνετον. Ἡγοῦμαι δὲ ἐμοὶ μὲν τῶν λόγων Θεὸς, ὃν οὐκ ἂν αἰδεσθείην καὶ τῆς εἰς ὑμᾶς καὶ πατρίδα καὶ ἔθνος ὅλον εὐνοίας καλέσαι μάρτυρα· ὑμῖν δὲ τῆς ἐπὶ τὸ τὰ συμφέροντα ἑλέσθαι τε καὶ ἄρξασθαι πράττειν ὁδοῦ.

B Ὅτι μὲν οὖν εἰσί τινες ἐξ ὑμῶν, οἳ τὴν τῶν Λατίνων καταγωνιεῖσθαι σοφίαν, καὶ πείσειν αὐτοὺς ἐπὶ τῶν ἀρχαίων ἐκείνων μένειν ἐνόμιζον, τοῦτο καὶ αὐτὸς οἶδα· καὶ λίαν αὐτῶν θαυμάζω, ὅτι καίτοι τἆλλα σοφοί τινες ὄντες, τοσοῦτον ἐν τούτῳ τῷ μέρει πεπλάνηνται· καὶ ταῦτα καὶ συνειδότες σφίσι τε αὐτοῖς καὶ τοῖς ἄλλοις φαύλως ἐχουσι τῆς πρὸς τὸ πείθειν παρασκευῆς, οὐ μόνον ἄν τις περὶ τῶν μεγίστων ἐνίσταιτο, ἀλλ' εἰ καὶ τὴν δυάδα πρῶτον ἐν ἀριθμοῖς ἄρτιον εἶναι, ἢ τὸν ἄνθρωπον ἐκ ψυχῆς καὶ σώματος συνεστάναι, καὶ τὰ τοιαῦτα ἀρνεῖσθαι θελήσειεν· εἰδότες δὲ καὶ Λατίνους μέχρι τῆς ἀνθρωπίνης εὐπορίας ἁπάσης διαλεκτικήν τε καὶ πᾶσαν ἐπιστήμην, καὶ τὴν πασῶν ὑψηλοτάτην θεολογίαν ἐξητακότας τε καὶ ἀσκήσαντας. Ἀλλ' εἰ καὶ C πλείους ὑμῶν οὔτε τὴν Λατίνων ἠγνόουν σοφίαν, οὔθ' ὅτι πολλῶν εὐπορήσουσι λόγων πρὸς τὸ δεῖξαι σφᾶς αὐτοὺς δοξάζειν καλῶς, ἀλλ' ὅμως ἐκεῖνοί τε πάντες καὶ οὗτοι τὴν μετὰ Λατίνων ἕνωσιν τοῦ παντὸς ἄξιον χρῆμα καὶ ῥᾷστον εἶναι πρὸς τούτοις νομίσαντες, ἑαυτούς τε καὶ τοὺς ἄλλους ἔπεισεν μεθ' ἡδονῆς ἀφικέσθαι. Κείσθω δὲ καὶ πάντας τὴν αὐτὴν ἐσχηκέναι γνώμην, καὶ ἥκειν ἐλπίσαντας μηδὲν μὲν εἰδότας μήτε τἀληθῆ φρονοῦντας Λατίνους ἐλέγξειν, πείσειν δὲ ἑκόντας ἢ ἄκοντας τὴν σφετέραν δόξαν ἀρνήσασθαι, καὶ οὕτω τὴν μετ' αὐτῶν ἕνωσιν διαπράξεσθαι. Εἰ μὲν οὖν ἐξέβαινε ταῦτα κατὰ σκοπὸν, ἄμεινον ἂν ἴσως ἦν· καὶ ὁ μὲν Θεὸς, ᾧ συνάπτεσθαι τῇ γνώσει τῆς ἀληθείας καὶ τῇ πρὸς ἀλλήλους εἰρήνῃ πάντες ἐμέλλομεν, οὐδέτερος ἂν τῶν ἑτέρων ἐχαρίσατο μᾶλλον· ἀλλὰ τούς D τε διδάσκοντας τὴν ἀλήθειαν, καὶ τοὺς σὺν εὐγνωμοσύνῃ ταύτην δεδιδαγμένους ἐπίσης ἐμέλλε στεφανοῦν, καὶ ἑαυτῷ συνάπτειν ὁμοίως. Ἐδόξαμεν δ' ἂν οὕτωσὶ διδασκάλων τάξιν ἐπέχειν, καὶ τῷ κατηῤῥῆς τῆς φήμης ἐτέρφθημεν· οὐ τοῖς τὰ πνευματικὰ ζητοῦσιν ὑμῖν καὶ Θεῷ προσανέχειν ὀπισχημένοις οὐδαμῶς ἔστιν ἁρμόττον ἡγεῖσθαι. Ἀλλ' ὁρᾶτε πάντες, ὅτι Λατῖνοι τῆς ἑαυτῶν ὑπερηγωνίσαντο δόξης καλῶς· ὥστε μηδένα ἂν αὐτοῖς ἐγκαλεῖν ἔχειν, εἰ βούλοιτο δίκαιος εἶναι. Καὶ ὁ μὲν κοινὸς ἡμῶν διδάσκαλος καὶ δεσπότης ἐπὶ δυοῖν ἢ τριῶν μαρτύρων δεῖν ἵστασθαι πᾶν ῥῆμά φησι, καὶ ὁ πολιτικὸς νόμος οὕτω διαγορεύει· οἱ δὲ ἐκ τῶν κοινῶν διδασκάλων τῆς Ἐκκλησίας ἓξ τοὺς μεγί-

στους ἀξιώματι καὶ σοφίᾳ καὶ τοῖς ὑπὲρ τῆς εὐσε- A
βείας ἀγῶσι, τοὺς γὰρ ἄλλους παρίημι, μάρτυρας
τῆς ἑαυτῶν δόξης παρήγαγον· ὧν ἕκαστον δεῖ τῶν
ἐν τῷ κόσμῳ πάντων ἀνθρώπων κρίνειν ἀντάξιον,
κἀκείνους οὐχ ἁπλῶς οὕτως οὐδὲ παρέργως, ἀλλ'
ὥσπερ εἰ δικασταί τινες ἦσαν ἡμῖν τῆς παρούσης
ἀμφιδολίας, οὕτω διαλεγομένους διωρισμένως τε
καὶ σαφῶς· καὶ αὐταῖς μὲν λέξεσι λέγοντας τὸ ζη-
τούμενον, προστιθέντας δὲ καὶ τὰς αἰτίας, καθὰ
διδασκάλοις προσῆκε, καὶ τὰ μέρη τῆς θείας Γρα-
φῆς, ἐξ ὧν τὴν δόξαν ταύτην ἀναγκαίως ἔχουσιν
εἰληφότες, καθ' ἅπερ ἄλλας ἐξ ἄλλων μερῶν συνελέ-
ξαντο. Πρὸς οὓς διδασκάλους τοσούτους τε ὄντας
καὶ τηλικούτους, καὶ οὕτω σαφῶς τὴν δόξαν ταύ-
τὴν εἰσάγοντας, οὐδ' ἂν βουληθέντες ἔχοιμεν ἀναι-
σχυντεῖν. Πρὸς τούτοις ἄλλους ἐκ τῶν κοινῶν διδα- B
σκάλων παρήγαγον, τοὺς ἐξ Ἀνατολῆς λέγω, ἴσῃ
σοφίᾳ καὶ ἀξιώματι κεκοσμημένους, οὐχ οὕτω μὲν
διαῤῥήδην ὥσπερ ἐκεῖνοι, λέγοντας δ' ὅμως καὶ
αὐτοὺς τοῖς ἄλλοις ταὐτὰ, εἴ τις μετ' ἀληθείας καὶ
σοφίας ὁμοῦ τὰς ἐκείνων ἐξετάζειν βούλοιτο ῥήσεις·
καὶ σοφιστικὸν οὐδὲν οὐδὲ βίαιον, ἀλλὰ πάντα ἁπλᾶ
καὶ τῇ θείᾳ Γραφῇ καὶ τοῖς διδασκάλοις ἑπόμενα
πρὸς ἀπόδειξιν τῆς ἑαυτῶν προσεβάλοντο δόξης·
καὶ εἴρηται παρ' ἡμῶν οὐδὲν πρὸς αὐτοὺς, πρὸς ὃ
μὴ σοφῶς τε καὶ γενναίως καὶ μετὰ τῆς ἀληθείας
ἀποκρινάμενοι φαίνονται· οὐδ' ἔχομέν τινα τῶν
ἁγίων φανερῶς αὐτοῖς ἀντιφάσκοντα· εἰ δέ τις ἦν,
καὶ τοῦτον ἔδει τοῖς πολλοῖς μηχανῇ τινι καὶ λόγῳ
συνάπτειν πολλῷ μᾶλλον καὶ δικαιότερον, ἢ πρὸς
τὸν ἕνα πλῆθος τοσούτων διδασκάλων παραβιάζε- C
σθαι. Εἰς ἃ δὲ νομίζομεν αὐτοὺς ἐκ τῆς δόξης
ταύτης ἐκπίπτειν, καὶ ταῦτα μήτε φρονεῖν μήτ' ἐξ
ἀνάγκης ἕπεσθαι τῇ δόξῃ, διαμαρτύρονται. Ἀλλὰ
καὶ τὰ αὐτὰ φασι μεθ' ἡμῶν πιστεύειν, καὶ πρὸς
τὸν ἴσον ἡμῖν φέρεσθαι νοῦν, εἰ καὶ προσθήκῃ λέ-
ξεων ἄμεινον ἀναπτύσσουσι· καὶ οὐδένα τῶν ἁγίων
ἀναγκάζονται συκοφαντεῖν ἢ διαγράφειν, ἀλλὰ μᾶλ-
λον συνάπτουσιν ἀλλήλοις τοὺς διδασκάλους· καὶ
μίαν ταύτην ἀπόδειξιν ἀρκοῦσαν ἔχειν ἡγοῦνται
παρ' ἑαυτοῖς τοῦ τἀληθῆ φρονεῖν καὶ πιστεύειν,
ὅτι μηδενὶ πρὸς μηδένα τῶν διδασκάλων ἀντίφασίν
τινα καὶ μάχην ἐγείρουσιν· ἀλλὰ τἀκείνων πάντα
γαλήνης γέμει καὶ ὁμονοίας, τῆς δόξης ταύτης κρα-
τούσης. Πρὸς δὲ τούτοις, καθάπερ διδασκάλοις ἡμῖν D
ἡ κριταῖς αὐτῶν καθημένοις, οὕτω προσφέρονται·
καὶ δέονται σφᾶς προσήκασθαι, καὶ μὴ θέλειν ἀν-
θρώπων οὕτω μὲν ἀδελφὰ φρονούντων ἡμῖν, οὕτω
δὲ συμβαινόντων τοῖς κοινοῖς διδασκάλοις, μικρᾷ
προφάσει χωρίζεσθαι. Οὐδ' ἀπαιτοῦσιν ἐξ ἡμῶν τὴν
ὁμολογίαν τῆς ἀληθείας, ἀλλὰ τοῦτο μὲν ἡμῖν
καταλείπουσιν, εἰ βουλοίμεθα τελείως πιστεύειν,
καὶ μὴ νομίζοιμεν αἰσχύνην φέρειν ἡμῖν τὴν ἐλπίδα
τῆς σωτηρίας· « Δεῖ γάρ, φησὶ, πρὸς τὸ σώζεσθαι,
καὶ χεῖλεσι τὴν πίστιν ὁμολογεῖν. » Αὐτοὶ δὲ ἀρκεῖν ἡγοῦνται πρὸς τὴν εἰρήνην τὸ παύσασθαι λοι-
δορεῖν ἐγκαλεῖν αὐτοῖς, οὕτω πολλὰς τοῦ μὴ ψεύδεσθαι μηδὲ κακῶς φρονεῖν παρασχομένους τὰς ἀποδείξεις.
Ὥστ' ἐξεῖναι τρόπον ἡμῖν ἕτερον μετὰ τοῦ τὴν εἰρήνην πράττειν, καὶ τῆς ἐξω καὶ φαινομένης τοῦ-

eosque non obiter et perfunctorie, sed ita distincte planeque locutos, ac si controversiæ nostræ sedissent judices ; et apertis verbis exprimentes quod quæritur, adjectis etiam causis, uti doctores decebat ; et citatis sacræ Scripturæ locis, ex quibus sententiam hanc necessario sumpserunt, et collectis per illa variis rationibus. Quos sane doctores, cum tot tantique sint, et adeo perspicue sententiam hanc doceant, nec si velimus, impudenter adversos contueri possumus. Alios præterea ex communibus doctoribus produxere, Orientales, inquam, pari doctrina et dignitate præditos ; non ut illi quidem adeo clare, idem tamen et ipsos quod et illi asserentes, si quis velit dicta eorum cum veritate pariter et scientia perpendere. Nec sophisticum aliquid aut affectatum, sed plana omnia, et sacræ Scripturæ, doctoribusque consona ad demonstrandam sententiam suam protulere. Nec objectum a nobis est quidquam, ad quod illi erudite et animose cum veritate non responderint. Ex sanctis porro aliquem, qui aperte illis adversetur, nullum habemus : quod si etiam esset, oporteret hunc quoque via et ratione aliqua multis adjungere, æquius sane et commodius, quam ad unum vi pertrahere tantam multitudinem doctorum. Ea vero incommoda, in quæ illos labi arbitramur, se nec sentire, nec sequi necessario ex sua sententia plane testantur ; sed idem ac nos aiunt se credere, et in eumdem ferri sensum, licet additis vocibus melius explicent, nec ullum sanctorum calumniari, aut auctoritatem ejus elevare coguntur; imo doctores inter sese conciliant, et potentissimo argumento satis demonstrare se putant recte sentire et credere, quod doctorem cum doctore nullum pugnantem, aut contraria dicentem faciunt ; sed apud illos omnia per hanc sententiam tranquilla sunt et convenientia. Ad hæc ita nobiscum agunt, ac si magistri illorum aut judices sederemus ; rogantque ut se suscipiamus, nec velimus modica de causa disjungi ab hominibus adeo nostris consimilia, adeo communibus doctoribus congruentia sentientibus. Neque vero exigunt a nobis professionem veritatis ; sed hoc quidem nobis relinquunt, si perfecte credere velimus, neque salutis spem arbitremur nobis ignominiam inurere: « Oportet enim, inquit, ad salutem labiis quoque fidem confiteri [1]. » Illi vero satis esse ducunt ad pacem, si finem insimulandi faciamus post tam multas demonstrationes, quibus se nec falsa dicere, nec male sentire probarunt : ut sit nobis integrum alia via et pacem facere, et populari hoc apparenteque splendore ac rumore, nec pertimescere defectionem gentium nobis conjunctarum, quandoquidem fidei confessio non aliter ab illis et nobis fiet, ac prius fiebat.

[1] Rom. x, 10.

της ἀπολαῦσαι λαμπρότητός τε καὶ φήμης, καὶ μηδὲ τὴν ἀποστασίαν τῶν ἡμῖν προσηκόντων δεδιέναι γενῶν, ἐπειδὴ τὴν ὁμολογίαν τῆς πίστεως οὐκ ἄλλως ἢ πρότερον ἐκείνοις τε καὶ ἡμῖν ἔσται ποιεῖσθαι.

Et Latini quidem hæc ostendunt, hæc dicunt, tanto conficiendæ nobiscum unionis desiderio flagrant: adeo nihil volunt fieri a nobis, quod sibi gloriam, nobis ignominiam aut detrimentum afferre possit. Nobis vero ad hæc omnia fortasse quidem verba non deerunt, sed non multi roboris aut decoris, et quæ virtute et sapientia nostra sint digna, aut hominum volentium præ se ferre speciem ac dignitatem Patrum, qui in antiquis fuere conciliis, et omnia cum veritate et charitate mutua examinarunt. Nec vero propositum nobis est de re non magni ponderis certamen, sed agitur de veritate fidei, per quam nos salvari speramus, et quam contentiose oppugnare non solum turpe est, sed et maxime periculosum. Neque enim aut doctores negare licet, quibus etiam deprecatoribus ad Deum pro peccatis nostris uti solemus, et quibus universa Ecclesia pro certaminibus ob veritatem susceptis, et laboribus in docendo, quam maximam retulit gratiam, ut omittam alias sanctitatis partes, propter quas illos secundum Deum honoramus. Neque dicemus doctores inter se pugnare; hoc enim est omnia confundere, ac totam abnegare fidem. Porro autem voluisse Latinos depravare fidem, et doctorum omnium adulterare theologiam, quis adeo stolidus, ut credat? quisve id asserendo contra Latinos, risu non excipiatur? Nulla enim criminatio potest falsitatis redargui pluribus, fortioribus, ac verioribus argumentis. At objiciemus nos apparentem doctorum dissensionem; verum illi eam nullo negotio dissolvent, imo etiam jam dissolverunt. Sed neque decorum amplius est hæc a Latinis quærere; possumus enim et nos ipsi conciliare inter se doctores. Ego cum sim vestrum omnium minimus, ubi id mandaveritis, paratus sum hoc præstare et privatim et publice, atque omnibus ostendere apertissime doctores Ecclesiæ in universum de præposita materia idem sentire. Hoc autem non multis ostendam sermonibus, sed satis erit duarum spatium horarum ad persuadendum vobis omnibus nequaquam dubitare amplius de consensione doctorum, ut nec vos ultra habeatis, nec Latinis negotium exhibeatis, harum inquisitione rerum commissa synodo communi. Sed neque si tempus etiam frustra conterere liceret, veluti sedentibus in otio, nullaque oppressis necessitate ad cogitandum de reditu, oporteret de rebus divinis inanes fundere sermones, et instantias disputationis ergo afferre, victoriamque solum spectare, ac multa dicere, in quibus etiam par est aliquid erroris miscere; idque non multum valentibus contendere cum Latinis theologicæ ac philosophicæ facultatis notitia; infelici rerum nostrarum statu ita ferente, propter quem qui primas tenent inter nos, ita theologiam ac philosophiam attingunt, ut non omnino ineruditi videan-

A Καὶ οἱ μὲν Λατῖνοι ταῦτα δεικνύουσι, ταῦτά φασιν, οὕτω πρὸς τὴν μεθ' ἡμῶν ζέουσιν ἕνωσιν, οὕτως ἡμᾶς τῆς ἐκείνων ἕνεκα δόξης οὐδὲν βούλονται πράττειν αἰσχρὸν ἢ δυνάμενον βλάπτειν. Ἡμεῖς δὲ πρὸς ταῦτα πάντα λόγων μὲν ἴσως εὐπορήσομεν, ἀλλ' οὐ πάνυ γενναίων, οὐδ' εὐπρεπῶν, οὐδ' ἀξίων τῆς ἡμετέρας ἀρετῆς καὶ σοφίας, οὐδὲ βουλομένων ἀνδρῶν σχῆμα σώζειν καὶ τάξιν τῶν ἐν ταῖς συνόδοις ἐκείναις Πατέρων, οἱ μετὰ τῆς ἀληθείας καὶ τῆς πρὸς ἀλλήλους ἀγάπης πάντα ἐξήτασαν. Οὐδ' ὑπὲρ τῶν τυχόντων ἡμῖν ὁ ἀγών, ἀλλ' ὑπὲρ τῆς ἀληθείας τῆς πίστεως, μεθ' ἧς δὴ ἐλπίζομεν σώζεσθαι καὶ πρὸς ἣν ἐθέλειν φιλονεικεῖν, οὐκ αἰσχρὸν μόνον, ἀλλὰ καὶ κινδύνου γέμον μεγίστου. Οὔτε γὰρ ἀρνήσασθαι τοὺς διδασκάλους ἔξιστιν, οἷς καὶ πρέσβεσι
B πρὸς Θεὸν ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων εἰώθαμεν χρῆσθαι, καὶ οἷς τὸ κοινὸν τῆς Ἐκκλησίας μεγίστας τῶν ὑπὲρ τῆς ἀληθείας ἀγώνων καὶ τῶν ἐν τῷ διδάσκειν πόνων ἀπένειμε χάριτας ἄνευ τῆς ἄλλης ἁγιωσύνης, ἧς ἕνεκα ταῖς δευτέραις μετὰ Θεὸν αὐτοὺς τιμῶμεν τιμαῖς· οὔτ' ἐροῦμεν ἀντιφάσκειν τοὺς διδασκάλους ἀλλήλοις· τοῦτο γὰρ πάντα συγχέειν ἐστὶ, καὶ τὴν πίστιν πᾶσαν ἀρνεῖσθαι. Τὸ δὲ Λατίνους διαφθεῖραι βουληθῆναι τὴν πίστιν, καὶ τὴν τῶν διδασκάλων ἁπάντων νοθεῦσαι θεολογίαν, τίς οὕτως ἁπλοῦς ἐστι ὥστε πιστεῦσαι; ἢ τίς τοῦτο κατὰ Λατίνων εἰπὼν οὐχὶ καὶ γέλωτα προσοφλήσει; οὐδεμία γὰρ ταυτησὶ τῆς κατηγορίας πλείοσί τε καὶ μείζοσι καὶ ἀληθεστέροις ἂν ἐλέγχοιτο λόγοις.
C Ἀλλὰ τὴν φαινομένην προβαλλόμεθα τῶν διδασκάλων διαφωνίαν. Λύσουσι τοίνυν αὐτὴν καὶ μάλα εὐκόλως· μᾶλλον δὲ καὶ ἤδη λελύκασιν. Ἀλλ' οὐδ' εὐπρεπές ἐστι λοιπὸν παρὰ Λατίνων τὰ τοιαῦτα ζητεῖν· καὶ ἡμεῖς γὰρ παρ' ἑαυτοῖς δυνάμεθα τοὺς διδασκάλους συνάπτειν. Ἐγὼ πάντων ὑμῶν ἐλάχιστος ὤν, ὁπόταν κελεύσητε, τοῦθ' ἕτοιμός εἰμι πράττειν καὶ ἰδίᾳ καὶ δημοσίᾳ, καὶ δεῖξαι πᾶσιν οὕτωσὶ φανερῶς, ὅτι διὰ πάντων οἱ τῆς Ἐκκλησίας διδάσκαλοι τὴν αὐτὴν περὶ τῶν προκειμένων ἔχουσι γνώμην· καὶ τοῦτο οὐκ ἐν λόγοις δείξω πολλοῖς, ἀλλ' ἀρκέσουσιν ὧραι δύο, ὥστε πεῖσαι πάντας ὑμᾶς μηκέτι περὶ τῆς τῶν διδασκάλων συμφωνίας ἀμφιγνοεῖν· μηδὲ πράγματα λοιπὸν αὐτούς τε ἔχειν καὶ Λατίνοις παρέχειν, κοινῇ συνόδῳ τὴν περὶ τούτων ἀνατιθέντας ἐξέτασιν. Ἀλλὰ μὴν οὐδ' εἰ τρίβειν ἐξῆν τὸν
D καιρὸν, καθάπερ ἐπὶ σχολῆς καθημένους, καὶ πρὸς τὴν ἐπάνοδον οὐδεμίαν ἀνάγκην ἔχοντας, ἔδει περὶ τῶν θείων πραγμάτων κενὰ καὶ μάταια λέγειν, καὶ πρὸς τὸν ἔξω λόγον ἐνίστασθαι, καὶ τὴν νίκην μόνην σκοπεῖν, καὶ πολλὰ λέγειν, ἐν οἷς εἰκός τι καὶ ἁμαρτάνειν· καὶ ταῦτα περὶ θεολογίας τε καὶ φιλοσοφίας οὐ σφόδρα δυναμένους ἀμιλλᾶσθαι Λατίνοις· τοῦτο τῆς ἐν ἡμῖν δυστυχίας τῶν πραγμάτων πεποιηκυίας, δι' ἣν οἱ παρ' ἡμῖν ἄκροι τοσοῦτον θεολογίας τε καὶ φιλοσοφίας ἅπτονται, ὥστε μόνον μὴ δοκεῖν καθάπαξ ἀπαίδευτοι, ἐκλελοιπότων μὲν παιδευτηρίων,

σθεσθείσης δὲ τῆς περὶ μαθήματα καὶ λόγους φιλοτιμίας, καὶ πάντων τῆς χρείας μόνης καὶ τῆς ἀνάγκης γεγενημένων. Πέπεισμαι δὲ μηδὲ τῷ Πνεύματι σφόδρα ἀρέσειν τὴν τοσαύτην ἀδολεσχίαν, ἀλλὰ πειραστὰς ἡμᾶς αὐτοῦ νομιεῖν, εἰ τοσαῦτα μὲν ἐκ τῆς θείας Γραφῆς, τοσαῦτα μὲν ἐκ τῆς τῶν διδασκάλων συμφωνίας ἔχοντες πρὸς τὸ προκείμενον βοηθήματα, εἶτα καθεδούμεθα τούτων πάντων καταφρονοῦντες, καὶ λόγους λόγοις συμπλέξομεν, ἢ νομίζοντες ἐν τοῖς ἡμετέροις λόγοις ἀμεινόν τι τῆς ἐκ τῶν Γραφῶν χορηγίας εὑρήσειν, ἢ ζητοῦντες παρὰ τοῦ Πνεύματος σαφέστερόν τι τῶν ὑπ' αὐτοῦ λαμπρῶς οὕτωσὶ διωρισμένων λαβεῖν. Ὑπὸ τούτων γὰρ τῶν λόγων καὶ τῆς τοιαύτης ὁδοῦ μᾶλλον ὑμᾶς οἶδα πρὸς ὁμόνοιαν ἀγομένους τε καὶ στάσιν ἢ πρὸς ὁμόνοιαν ἀγομένους τε καὶ μᾶλλον ἀχθησομένους.

Τούτων τοίνυν οὕτως ἐχόντων, καὶ Θεῷ φίλον, καὶ τοῖς διδασκάλοις τῆς Ἐκκλησίας χάριεν ἔσται, καὶ ἡμῖν εὐπρεπὲς, καὶ πρὸς τούτοις ῥᾴδιον, τὸ τὴν ἕνωσιν ἤδη, τῶν πολλῶν ἀφεμένους λόγων, διαπράξασθαι, καὶ μετὰ ταύτης ἐπανιέναι. Καὶ οὐδὲν ἡμῖν ὅλως προσίσταται πρὸς τὸ πράττειν ὧν ἐπιθυμήσαντες ἥκομεν, τῆς μὲν δόξης Λατίνων ὑπὸ τοσούτων μαρτυρουμένης, καὶ πα χόθεν ἀξίας οὔσης πιστεύεσθαι, ἡμῶν δὲ δυναμένων αὐτοῖς ἑνωθῆναι ἄνευ τοῦ καὶ περὶ τὸ σύμβολόν τι καινοτομεῖν. Καὶ μὴν ἴστε πάντες καλῶς, ὅτι τὴν ἕνωσιν τῆς Ἐκκλησίας Χριστοῦ, καίτοι πολλῶν ἄλλων ἕνεκα καὶ δικαιοτέρων μάλιστ' ἂν ὑπὸ παντὸς ζητηθεῖσαν, τὸ παρὰ τῶν ἀσεβῶν δέος καὶ τὰ πράγματ' ἡμῖν εἰς τοῦσχατον ἥκοντα δυστυχίας, καὶ ποθῆσαι καὶ σπουδάσαι διὰ πολλῶν, καὶ ὅτι μάλιστα τοῦ τέλους ἐγγὺς αὐτὴν ἀγαγεῖν, τὰ γὰρ μεταξὺ παραλείπω πάντα, ἡμᾶς ἰδίως ἐποίησαν. Δεῖ τοίνυν τῆς προθέσεως ἐχομένους, ἐπεὶ δυνατὸν καὶ εὐπρεπές ἐστι, ταύτην εἰς τέλος ἐξενεγκεῖν. Ἄλλως δ' ἂν ματαιότεροι πάντων ἀνθρώπων ἐδόξαμεν εἶναι, εἰ πολλὰ μὲν ὑπὲρ αὐτῆς ὑποστάντες, πολλῶν δὲ ἀγαθῶν ἐλπίσι κεκινημένοι, ἐπιδώσειν δὲ ἡμῖν τὰ δεινὰ, τοῦ σχίσματος βεβαιωθέντος, πάντες πιστεύοντες, εἶθ' ὥσπερ ἐπιλαθόμενοι τούτων ἁπάντων, κεναῖς, ὥς φασι, χερσὶ καὶ μηδὲν πράξαντες ἐπανέλθοιμεν, καὶ ταῦτ' εὐπρεπὲς οὕτω καὶ ῥᾴδιον ὄν, καὶ μηδενὸς ἡμῖν εὐλόγως εἰς τοῦτο προσισταμένου. Οὐδὲ προσέχειν δεῖ τοῖς μηδὲν ἀγαθὸν ἡμῖν ἐκ τῆς ἑνώσεως λέγουσιν ἥξειν· καὶ τούτου πρόφασιν οἰομένοις ἔχειν ἀρκοῦσαν, τά τε τῶν Λατίνων γένη τῇ κατ' ἀλλήλων μάχῃ φθειρόμενα καὶ ταῖς οἰκείαις προσέχοντα συμφοραῖς, καὶ τὰ τοῦ πάππα πράγματα τάξιν οὔπω λαβόντα καὶ δύναμιν, ἀλλ' ἀσθενοῦντα καὶ πολλαχόθεν ἀκμὴν ἐπιβουλευόμενα. Ἄνευ γὰρ τῆς ἄλλης ὠφελείας ἁπάσης, ἣν ὅ τε πάππας ἡμῖν καὶ τὰ λοιπὰ τῶν Λατίνων ἔθνη, καὶ τῶν πραγμάτων οὕτω σφίσιν ἐχόντων, παρέξονται· τὸ γὰρ ἡμέτερον ὀλίγον ὄν, ὡς καὶ ὑμεῖς ἴστε, δυσχέρειαν αὐτοῖς οὐ μεγάλην μέλλει παρέχειν· τέως γὰρ ἀσφαλείας μόνης καὶ τοῦ μὴ δεδιέναι τοὺς πολεμίους, ἡμᾶς οἴδασι χρῄζοντας· ὃ χρήμασι μὲν οὐ πολλοῖς, ναυσὶ δὲ ὀλίγαις δύνανται πράττειν· ἐγὼ

A tur; non vigente jam scholarum usu publicarum, et exstincto disciplinarum ac rei litterariæ ambitioso studio, cunctis necessitati tantum, et angustiis rei familiaris vacantibus. Certum vero mihi est, ipsi quoque Spiritui non placere admodum tantam loquacitatem, sed sui nos tentatores existimaturum, si cum tot ex divina Scriptura, tot etiam ex doctorum consensu nobis suppetant ad propositum auxilia, sedeamus tamen ipsi posthabitis illis omnibus, nectentes sermoni sermonem; quod vel putemus nos inventuros quidpiam per nostros sermones eo præstantius, quod Scripturæ suppeditant; vel aliquid a Spiritu quæramus apertius iis quæ adeo clare sunt ab eo definita. His enim sermonibus et hac via vos utentes, scio, in dissensionem
B potius et concertationem agimini, magisque etiam agemini quam in consensionem.

Cum igitur hæc ita se habeant, Deo gratum, et Ecclesiæ doctoribus jucundum erit, nobisque decorum, et præterea facile, multis omissis sermonibus, unionem amplecti, cumque illa domum reverti. Nec erit prorsus aliquid nobis impedimento quominus agamus ea quorum ducti desiderio sumus huc profecti: cum Latinorum quidem sententia fulciatur tot testibus, et usquequaque digna sit quæ credatur; nobis vero liceat cum eis conjungi nulla in Symbolo facta innovatione. Et quidem bene nostis omnes peculiarem causam cur optaverimus, multisque viis efficiendum enixe curaverimus,
C potissimumque prope finem perduxerimus, ut media præteream omnia, Ecclesiæ Christi unitatem, exstitisse mala, quæ formidamus ab impiis, resque nostras ad extremam redactas miseriam; quamvis multas alias ob causas et æquiores dignam, quæ ab omnibus expetatur. Oportet ergo propositum consilium sequentes, cum et fieri, et honeste fieri possit, ad exitum illud perducere: alioquin omnium hominum levissimi videremur, si propter illud multa perpessi, multorumque bonorum spe ducti; et omnes pro certo habentes fore, ut confirmato schismate major cumulus malorum accedat; velut hæc omnia obliti, vacuis, ut aiunt, manibus, re infecta rediremus: idque cum res sit adeo decora et facilis, nihilque sit quod, ne illa
D peragatur, nobis merito obstet. Nec vero audiendi sunt, qui nihil boni nobis ex hac unione futurum aiunt: quod satis putant a se probari, propterea quod Latinorum nationes mutuis inter se conterantur bellis, et proprijs vacent calamitatibus: et papæ res nondum statum et firmitatem acceperint; sed infirmæ sint, et multorum adhuc insidiis pateant. Nam ut omnes alias utilitates taceam, quas affereut nobis tum papa ipse, tum reliquæ Latinorum nationes vel in tali rerum statu (nostra enim cum non magna sit, ut et ipsi scitis, non multam illis exhibebit molestiam; norunt quippe hoc uno in præsenti nos indigere, ut res nostræ in tuto sint, et ne hostes pertimescamus: id quod non grandi pecunia et paucis navibus præstare possunt),

ego vel ipsam unionis famam satis fore aio nobis ad depellendum hostium timorem. Quandoquidem verendum non erit amplius ne illi nos adoriantur, si sciant auxilia sociorum nobis affutura : qui si sæpe nobis opem tulerunt nondum sibi reconciliatis, nunc multo magis et alacrius hoc præstare volent, et veluti quoddam solvere debitum, societatem in bello. Neque enim aut Latinorum aut Barbarorum quisquam ignorat, primariam unitatis causam esse spem auxilii, quodque nulla alia salutis via nobis supersit : e contrario vero, si nobis aversatio et odium in Latinos augeatur, vacuis hinc et re infecta abeuntibus, quod statim inde notum erit omnibus, quia noster reditus nullo apparatu aut splendore, et viribus exiguis fiet, et nobis arbitror nullam amplius salutis spem superesse et hostibus, etiam si nolint, commodum fore nos adoriri.

Comprehendite vero animis vestris quod præcipuum est, quanta sit præsentis magnitudo periculi, in quo versamur. Auditis enim Barbarum, maximis copiis terra marique comparatis, bellum contra nostram urbem instruere ; fortasse etiam antequam certus ad nos nuntius allatus sit, illam obsidet, aut quamprimum obsidebit. Eam porro scitis omnes, si non adsit adventitium subsidium, ne primum quidem impetum hostis laturam ; sed periculum illi esse, ne citra prælium veluti lucrum fortuito oblatum ab hostibus occupetur, ad solum eorum aspectum conterrita. Quod si etiam obsidionem paulisper ferat, fieri tamen non poterit, ut omnino periculum sine damno possit evitare ; sed necesse est prorsum succumbat. Meministis enim, cum ab his iisdem Barbaris terra olim obsideremur, et muri pars quæ mare spectat, et duplo major est reliqua, nullum haberet custodem ; nemo enim inde urgebat, quanto in timore, quantis fuerimus in angustiis. (At nunc omnis quidem mœniorum pars tuenda est necessario ; militaris vero copia, et reliqua universæ urbis multitudo, neque ad dimidiam eorum partem accedit, qui (tunc) erant, proque tertia murorum parte propugnabant, nec tamen ad tantum numerum, tantumque hostium apparatum satis esse videbantur : pestis enim, qua per tot annos premimur, omnes graviter depasta est ; dimidiam vero partem esse dico, nobis quoque ibi præsentibus, et annumeratis. Nunc vero abest imperator,) qui, unus cum sit, plurimum valet ad omnia ; abestis etiam vos, et adeo multi, et virtute adeo præstantes, ut loco maximarum copiarum auxiliarium esse possitis, si derepente accedatis. (Sagittarii vero conductitii præter viginti-quinque omnes aufugerunt.) Causas autem tacere oportet ; fortasse vero et illi partier atque alii pro se ipsis idem hactenus cepere consilii. Quæ igitur spes, tanta hominum penuria tam formidolosum bellum iri propulsatum ? (Quapropter etiam si profectionis nostræ causa non esset concilianda uni-

φημι καὶ τὴν τῆς ἑνώσεως φήμην ἀρκέσειν ἡμῖν πρὸς τὸ μηκέτι δεδιέναι τοὺς πολεμίους. Οὐδὲ γὰρ δίος ἐστὶ λοιπὸν ἡμῖν αὐτοὺς ἐπιθήσεσθαι, ἐγγύθεν ἑσομένους ἡμῖν τοὺς συμμάχους εἰδότας· οἳ πολλάκις βεβοηθηκότες οὕπω διηλλαγμένοις, νῦν ἤδη πολλῷ μᾶλλον καὶ προθυμότερον τοῦτο πράττειν βουλήσονται, καὶ καθάπερ τι χρέος ἀποτεννύναι τὴν συμμαχίαν. Οὔτε γὰρ Λατίνων οὔτε Βαρβάρων οἰδείς ἀγνοεῖ πρώτην αἰτίαν ἑνώσεως τὴν τῆς βοηθείας οὖσαν ἐλπίδα, καὶ τὸ μηδένα ἄλλον ἡμῖν περιλειφθῆναι τρόπον, ᾧ μέλλομεν σώζεσθαι· τούτου δὲ, τοῦ πρὸς Λατίνους μίσους καὶ τῆς ἀηδίας ἡμῖν αὐξηθέντων ἐκ τοῦ κενοὺς ἡμᾶς καὶ ἀπράκτους ἐντεῦθεν ἀπαλλαγῆναι, ὅπερ ἐκ τοῦ φαύλως καὶ ταπεινῶς καὶ μετὰ μικρᾶς δυνάμεως ἐπανήκειν εὐδῆλον ἔσται πᾶσι κατάδηλον, καὶ ἡμῖν οὐκέτι περὶ τῆς σωτηρίας ἐλπίζειν ἐξεῖναι ἂν, καὶ τοὺς πολεμίους ἐπιθήσεσθαι, καὶ μὴ βουλομένους, ἡμῖν καιρὸν ἔχειν ἡγοῦμαι.

Λογίσασθαι δὲ ἐπὶ πᾶσι καὶ τὴν παροῦσαν ἀνάγκην, ὁπόση τίς ἐστιν· ἀκούετε γὰρ τὸν Βάρβαρον μεγίστῃ δυνάμει παρασκευάζεσθαι πεζῇ τε καὶ ναυτικῇ κατὰ τῆς ἡμετέρας πόλεως ἤξειν· καὶ ἴσως πρὶν ἡμᾶς σαφές τι μαθεῖν, ἀφίκετο, ἢ ὅσον οὔπω μέλλει παρεῖναι· ἴστε δὲ πάντες ἐκείνην ἄνευ τῆς ἔξωθεν συμμαχίας οὐδὲ πρὸς τὴν ἔφοδον ἀντιστῆναι δυνησομένην, ἀλλὰ κινδυνεύουσαν ἅρματον γενέσθαι τῶν πολεμίων ἀμαχητί, πρὸς μόνην τὴν ὄψιν αὐτῶν καταπεπληγμένην. Εἰ δ' ἀντίσταίη μέχρι τινὸς πολιορκουμένη, ἀλλ' οὐδεμία μηχανὴ παντάπασιν αὐτὸν ἀπαθῆ δυνηθῆναι διαγενέσθαι· ἀλλ' ἀνάγκη πᾶσα ταύτην ἐνδοῦναι. Μέμνησθε γὰρ, ὅτι τῶν αὐτῶν τούτων Βαρβάρων ποτὲ πολιορκούντων ἡμᾶς ἀπὸ γῆς, τοῦ δὲ πρὸς θαλάσσης τείχους, ὃ διπλάσιόν ἐστι τοῦ λοιποῦ, μένοντος ἀφυλάκτου, οὐδεὶς γὰρ ἐκεῖθεν ἠνώχλει, εἰς πόσον ἡμῖν φόβου καὶ ἀνάγκης ἦλθε τὰ πράγματα. Νῦν δὲ ἅπαν μὲν τὸ τεῖχος ἀνάγκη φυλάττειν· τὸ δὲ νῦν στρατιωτικὸν καὶ τὸ λοιπὸν ἅπαν τῆς πόλεως πλῆθος, οὐδ' ἡμίσυ τῶν τότε ὄντων ἐστίν· οἳ τὴν τρίτην τοῦ τείχους μοῖραν φυλάττοντες καὶ προπολεμοῦντες, οὐκ ἐδόκουν πρὸς τοσοῦτον πλῆθος καὶ τοσαύτην παρασκευὴν τῶν πολεμίων ἀρκεῖν. Ὁ γὰρ τοσούτοις ἔτεσιν ἡμᾶς πιέζων λοιμὸς δεινῶς πάντας ἀνάλωκεν. Ἥμισυ δ' εἶναί φημι, καὶ ἡμῶν ἐκεῖθι παρόντων καὶ συναριθμουμένων. Νῦν δὲ ἄπεστι μὲν βασιλεὺς, ὃς εἷς ὤν, ἐν πᾶσι πράγμασι τὰ μέγιστα δύναται· ἄπεστε δὲ τοσοῦτοι τὸν ἀριθμὸν καὶ οὕτω καλοὶ, ὥστ' ἀρκέσαι ἂν ὑμᾶς ἀντὶ συμμαχίας μεγίστης, αἴφνης προσγενομένους. Οἱ δὲ μισθοφόροι τοξόται πλὴν εἴκοσι καὶ πέντε πάντες ᾤχοντο φεύγοντες· τὰς δ' αἰτίας πρέπει σιγᾶν· ἴσως δὲ κἀκεῖνοι τοῖς ἄλλοις ὁμοίως ὑπὲρ σφῶν αὐτῶν ἄχρι νῦν ἐβουλεύσαντο. Πῶς οὖν ἐλπίς ἐστιν ἐρημίᾳ τοσαύτῃ σωμάτων οὕτω ῥᾳδίως πόλεμον διακρούσασθαι ; Εἰ τοίνυν μήθ' ὑπὲρ τῆς ἑνώσεως ἐτύχομεν ἀφιγμένοι, μήτε τὴν ἕνωσιν ἕνεκα τοῦ τῶν κινδύνων ἀπηλλάχθαι καὶ φόβων μάλιστα ἐποθοῦμεν, ἀλλ' ἄλλο τι καὶ δι' ἄλλην αἰτίαν πράττοντες ἐκαθήμεθα, ἔδει μετὰ τὴν

πικρὰν ἀγγελίαν ἐκείνην, πάντα ῥίψαντας τὰ ἐν χερσὶ, καὶ πᾶσαν πραγματείαν εἰς χάριν ἀφίγμεθα, παριδόντες, ζητῆσαι μὲν, εἰ δυνάμεθα Λατίνους προσδέξασθαι, καὶ κοινωνῆσαι σφίσι καλῶς· τοῦτο δ' ἐστὶ, τῇ τε θείᾳ Γραφῇ καὶ τοῖς διδασκάλοις τῆς Ἐκκλησίας συμφώνως. Τοῦτο δ' εὑρόντας, αὐτίκα τὴν πρὸς αὐτοὺς φιλίαν ἀνανεώσασθαι· εἶτα ναῦς ἑτοιμάσαντας, τὰς μὲν διδόντων αὐτῶν, τὰς δὲ καὶ ἡμῶν ὠνουμένων, εἰ οἷόν τε καὶ σώματα αὐτὰ πιπρασκόντων, μήτε τροφὴν αἱρουμένους, μήθ' ὕπνον λαμβάνοντας, ἀλλ' ἐν τῷ πράττειν ὄντας νύκτωρ τε καὶ καθ' ἡμέραν, πρὸς τὴν βοήθειαν τῆς ἡμετέρας ἐπείγεσθαι πόλεως. Ἀρκοῦντι γὰρ παραγενόμενοι ναυτικῷ, καὶ φυλάξειν αὐτὴν, καὶ τοὺς πολεμίους ἀπράκτους ποιήσειν καὶ ἀποσοβήσειν, καὶ συμβαλεῖν αὐτοῖς· εἰ δεήσει, καὶ πάντα τὰ τοιαῦτα ἡδυνήθημεν ἄν. Πολλῷ δὲ μᾶλλον ταῦτα πράττειν ἀνάγκη, ὁπότε καὶ μηδὲν ἄλλο ζητήσοντες ἢ τὴν ἕνωσιν, οὐδ' ἑτέρου χάριν τινὸς ἀφῖχθαι, πάντες εἴποιμεν ἄν.

Τὴν δ' ἕνωσιν, οὕτω ῥᾴστην καὶ εὐπρεπῆ καὶ Θεῷ καὶ πᾶσιν ἀνθρώποις ἀρέσκειν μέλλουσαν, ἤδη πράττειν δυνάμεθα. Οὐ δεῖ τοίνυν μέλλειν οὐδ' ἀναβάλλεσθαι, ἀλλὰ καὶ τὴν ἕνωσιν πράττειν, καὶ ὅτι τάχιστα βοηθεῖν. Ἐνθυμηθῆναι γὰρ ἑκάστους ἡμᾶς δεῖ καὶ γυναῖκας καὶ παῖδας ἑαυτῶν, καὶ ἁπλῶς συγγενεῖς καὶ πολίτας, οἰκτρῶς πολιορκουμένους καὶ ἀμηχανοῦντας καὶ θρηνοῦντας· καὶ φόνους καὶ δεσμὰ καὶ πληγὰς καὶ ὕβρεις καὶ λιμὸν καὶ δίψαν, καὶ οἰκτροτάτην περιαγωγὴν, καὶ δουλείαν ἀπαραμύθητον, καὶ νηπίων ἑλκυσμὸν, καὶ γερόντων σφαγὴν, καὶ χωρισμὸν ἀλλήλων ἐλεεινότατον, καὶ ἱερῶν ἀτιμίαν, καὶ βλασφημίαν εἰς ὕψος αἱρομένην κατὰ Θεοῦ· καὶ τοὺς μὲν ἑκόντας, τοὺς δὲ ἄκοντας τὸν μὲν Ἰησοῦν ἀποβαλλομένους· τὸν ἀληθῆ Θεὸν καὶ μόνον διδάσκαλόν τε καὶ νομοθέτην, τῇ δὲ Μωάμεθ φλυαρίᾳ καὶ ὀργίοις ἐκείνου προστιθεμένους, καὶ τὴν ἀσέβειαν ἐπιδιδοῦσαν, τὴν δὲ πίστιν διωκομένην· καὶ τὰ τοιαῦτα πάντα φανταζομένους, καὶ ἐπὶ πᾶσιν ἡμᾶς ἀνακαλουμένους, καὶ τὴν ἡμῶν ἀμέλειαν ὀνειδίζοντας· ὑφ' ὧν οὐδέποτε προσεδόκησαν οὕτως καταφρονηθήσεσθαι· οὓς ἐν τάξει δεσποτῶν καὶ πατέρων καὶ διδασκάλων εἶχόν τε καὶ ἐτίμων· καὶ οὓς ἐπίστευον τῆς αὐτῶν ἀσφαλείας καὶ σωτηρίας· πάντα θήσεσθαι δεύτερα· ὑπὲρ ὧν ἀποδημεῖν αὐτοί τε ἐνόμιζον, καὶ ὑμεῖς ἐλέγετε φανερῶς. Ἐκεῖνοι μὲν οὖν τὰ ἑαυτῶν μόνον δεινὰ φανταζόμενοι θρηνήσουσι, καὶ ἡμᾶς ἀνακαλέσονται γοερῶς· καὶ ταῖς ἐλπίσι τοῦ σήμερον, αὔριον, ἡμᾶς ἥξειν μόναις ψυχαγωγήσουσιν ἑαυτούς· ἃ πρὶν ἐκείνους παθεῖν, ἡμᾶς γένοιτο πάντας ἀποθανεῖν. Οὐδὲν γὰρ ἐλεεινότερον, οὐδὲν ὅλως αἴσχιον, οὐδὲν βδελυκτότερον καὶ Θεῷ καὶ ἀνθρώποις ἡμῶν ἔσται, ἂν ἐκείνους συμβαίη ταῦτα παθεῖν. Ἡμᾶς δὲ καὶ μέχρι τῶν ἄλλων Χριστιανῶν ἀφικέσθαι πρέπει τῷ λογισμῷ, καὶ ἅπερ ὑπὲρ ἑαυτῶν ἐκεῖνοι δεδίασι, ταῦθ' ἡμᾶς ὑπέρ τε ἐκείνων καὶ τῶν ἄλλων Χριστιανῶν καὶ ἡμῶν αὐτῶν λογίζεσθαι χρή. Τὰ

tas, neque hanc nos potissimum optaremus ad periculo timoresque depellendos, sed aliquid aliud et aliam ob causam agentes consideremus; oporteret tamen post acerbum illum nuntium, projectis omnibus quæ sunt præ manibus, omnique propter quod venimus postposito negotio, perquirere quidem, an possimus Latinos suscipere, et bene cum illis conjungi, hoc est juxta mentem sacræ Scripturæ et doctorum Ecclesiæ: hoc autem invento, statim cum eis renovare amicitiam: moxque naves parare, partim quidem ab illis acceptas, partim vero a nobis coemptas, vel ipsis, si fieri posset, corporibus divenditis; et neque cibum sumere, neque somnum capere, sed die noctuque opus non intermittere ad ferendum urbi nostræ festine auxilium. Nam idonea classe profecti et servare illam, et hostes fracto eorum conatu repellere; et si opus esset, cum eis congredi, et ejusmodi omnia facere possemus. Multo igitur magis necesse est hæc fieri, quando nihil aliud quæsituri accessimus quam unitatem; nec enim alterius rei gratia itineri nos commisisse omnes fatebimur.

Quare unitas cum et summe facilis, et non indecora sit, Deoque et cunctis hominibus placitura, conficienda jam est; nec interponenda mora, nec differenda res, sed et unio paragenda, et ferendum quàm citissime auxilium. Repetenda quippe est unicuique nostrum memoria et uxorum et filiorum nostrorum, et summatim consanguineorum et civium, miserè obsessorum, animi pendentium ac lugentium: ponendæ ante oculos cædes et vincula, et verbera, et contumeliæ, et fames, et sitis, et luctuosissima circumvectio, et servitus inconsolabilis, et infantium abstractio, et senum jugulatio, et mutua divulsio, res omnium miserrima, et templorum profanatio, blasphemiaque in excelso contra Deum efferenda: cum hi quidem sponte, illi autem vi Jesum abjicient Deum verum, solumque magistrum ac legislatorem, et transibunt ad Mahomethi nugas ac cæremonias: et impietas quidem incrementa faciet, fides vero persecutionibus premetur: atque ejusmodi omnia statuant in conspectu animi, et illud in primis, quod nos invocent, exprobrentque nobis desidiam a quibus se nunquam ita contemptum iri sperabant: quos ut dominos, ut patres et magistros habebant et honorabant, et a quibus credebant omnia posthabitum iri saluti et incolumitati eorum, pro quibus susceptam hanc peregrinationem et ipsi putabant, et vos aperte dicebatis. Itaque illi suorum tantum imaginatione malorum lugebunt, nosque ejulando invocabunt, sperantesque nos hodie, cras, venturos, recreabunt animos suos. Utinam vero antequam illis hæc eveniant, moriamur nos omnes: miserabilius enim, aut omnino turpius, Deoque et hominibus detestabilius nihil erit nobis, si hæc illos pati contingat. Cæterum nos et pro aliis Christianis curam suscipere: et quæ illi sibi timent, nos et pro illis, et reliquis Christianis, et nobis ipsis cogitare oportet. Necesse enim plane est hæc eadem eveniant ubivis habitantibus Chri-

stianis, nec non subjectis dominio Barbarorum, et Christi cultus ubique terrarum aboleatur. Ego vero eluvionem illam intra paucos annos obruturam puto omnes Christianos, et impietatem omnia depopulaturam, et Barbaros in suam omnia potestatem redacturos. Oportet autem, si nihil aliud, at certe Latinis quoque hisce nos incusantibus, pudore affici: qui nos vel etiam post acerbos nuntios, timoremque nobis injectum, cum adhuc confidentes videant, tempusque frustra conterentes, et veluti ludentes ubi ludendum non est, deque malis propinquantibus nihil curantes, saxeos, et mente captos, rerumque nostrarum proditores vocant: et omnino asserunt nihil esse in nobis humani sensus, quod nos de nostris nihil sollicitos videant, nec ullum inesse nobis studium humanum. Quales vero putatis, se nobis isti B præbebunt, cum nos hosce quidem sanctos nullo loco habeamus, illos vero rejiciamus: et has quidem sententias dicamus adulteratas, illas vero ita simpliciter non admittamus: semperque sophismata excogitemus, et inter nos dissentiamus: et ad dijudicanda dogmata existimemus satis esse ignorantiam, aut si dicamus, negatum hoc esse a multis, sive a viro tali: scientiam vero et intelligentiam et eruditionem excludamus, Latinis hæc tolerantibus? neque enim status illorum periclitabitur, si dum hæc a nobis geruntur, malus aliquis nuntius afferatur: quod tu, dominator Deus, averte, et ostende te nobis non justum potius judicem quam benignum patrem ac dominum. Nullus sermo poterit exprimere quanta nunc notabimur ignominia: C imo vero ne præsentem quidem declarare potest: tunc vero nobis plus quid etiam concedentibus non præbebunt aures, sed propter hoc perpetuo in nos odio flagrabunt, nostrorumque turpiter proditores, et Christi hostes appellabunt.

Si quis vero dicat, nobis quidem hic ita esse considendum, sperandum vero hostes a Deo ulciscendos, qui nostram urbem nobis conservabit: ille et seipsum decipit, et omnino de Deo falsa affirmat. Nulli enim solet is opitulari segniter agenti, sed si pro virili quidem parte laboret, ipsius vero etiam indigeat auxilio, sine quo nihil perficere possumus. D Ego enim nec si omnes quidem vires nostras conferamus, dixerim hoc sufficere ad ulciscendos hostes; sed si et pecuniam omnem, et naves hinc omnes sumentes abeamus, nihil hoc nobis profuturum, nisi etiam adsit desuper auxilium; quod bene sperantibus et credentibus advenict necessario: in otio vero et socordia nobis, unde omnia illic pendent, contabescentibus, nullum quoque a Deo par est sperare subsidium. Palam igitur est, præter alia omnia, ob quæ nos oportet aliquid perficere, præsensque negotium ad qualemcunque finem perducere, satis esse impendentem nunc hostium terrorem; habet enim is evidentem et inevitabilem necessitatem. Quare de damnis et utilitatibus, quæ subsequentur, si conficiatur ne-

αὐτὰ γὰρ ταῦτα τοῖς ὁπουδήποτε γῆς οἰκοῦσι Χριστιανοῖς, καὶ ὑπὸ τὴν Βάρβαρον τελοῦσιν ἀρχήν, ἀνάγκη πᾶσα συμβῆναι, καὶ τὸ τοῦ Χριστοῦ σέβας πανταχόθεν ἐξαλειφθήσεσθαι. Ἐγὼ δὲ καὶ διὰ πάντων Χριστιανῶν ἐντὸς ὀλίγων ἐτῶν ἀφίξεσθαι τὸν κατακλυσμὸν ἐκεῖνον ἡγοῦμαι, καὶ πάντα νεμηθήσεσθαι τὴν ἀσέβειαν, καὶ τοῖς Βαρβάροις πάντα δουλεύειν. Δεῖ δὲ εἰ μηδὲν ἄλλο, καὶ τὰς μέμψεις αἰδεσθῆναι τουτωνὶ τῶν Λατίνων, οἳ καὶ μετὰ τὰς πονηρὰς ἀγγελίας καὶ τὸν ἐπισεισθέντα φόβον ἡμῖν, ἔτι καθημένους ὁρῶντες, καὶ μάτην τρίβοντας τὸν καιρὸν, καὶ ὥσπερ παίζοντας ἐν οὐ παικτοῖς, καὶ τῶν δεινῶν ἐγγιζόντων οὐδ' ἐπιστρεφομένους, λιθώδεις καὶ ἀνοήτους, καὶ προδότας τῶν ἰδίων ἀποκαλοῦσι· καὶ ὅλως τῆς ἀνθρωπίνης φύσεως ἔξω τὸ ἡμέτερον τίθενται, οὔτε πρόνοιαν τῶν οἰκείων, οὔτε σπουδὴν ἀνθρώποις προσήκουσαν ἡμῖν ἐνορῶντες. Πῶς δὲ νομίζετε τούτους ἡμῖν χρήσασθαι ἂν ἡμῶν τοὺς μὲν τῶν ἁγίων ἀτιμαζόντων τινὰς, δὲ ἐκκρινόντων· καὶ τὰ μὲν τῶν ἀξιωμάτων νενοθεῦσθαι λεγόντων, τὰ δ' ἁπλῶς οὐτωσὶ μὴ προσιεμένων, καὶ ἀεὶ μελετώντων ὅ τί γε σοφιούμεθα· καὶ πρὸς ἀλλήλους στασιάζόντων, καὶ πρὸς τὴν τῶν δογμάτων κρίσιν ἡγουμένων ἀρκεῖν ἀμαθίαν τε καὶ τὸ τοὺς πολλοὺς φάναι, ἢ τὸν δεῖνα ἀρνήσασθαι, ἐπιστήμην δὲ καὶ νοῦν καὶ σοφίαν ἀποκλειόντων, καὶ Λατίνων ταῦτα ἀνεχομένων; οὐ γὰρ δήπου σφίσι κινδυνεύει τὰ πράγματα, ἂν ταῦτα ποιούντων ἡμῶν ἀγγελθῇ τι δεινόν· ὃ μὴ γένοιτο, Θεὲ βασιλεῦ, μηδὲ φάνηθι μᾶλλον ἡμῖν δίκαιος δικαστὴς ἢ φιλάνθρωπος πατὴρ καὶ δεσπότης. Οὐδεὶς λόγος ἐξαρκέσαι τὴν τόθ' ἡμᾶς καταληψομένην αἰσχύνην δηλῶσαι· μᾶλλον δὲ οὐδὲ τὴν νῦν οὖσαν οὐδεὶς ἀρκεῖ παραστῆσαι. Τότε δὲ καὶ πλέον τι συγχωροῦσιν ἡμῖν οὐ προσέξουσιν, οὐδὲ παύσονται διὰ τοῦτο μισοῦντές τε καὶ προδότας τῶν οἰκείων αἰσχρῶς καὶ τοῦ Χριστοῦ πολεμίους ἀποκαλοῦντες.

Εἰ δὲ λέγει τις, ἡμᾶς μὲν οὕτω δεῖν ἐνταῦθα καθῆσθαι, ἐλπίζειν δὲ τὸν Θεὸν ἀμυνεῖσθαι τοὺς πολεμίους, καὶ τὴν ἡμετέραν διαφυλάξειν πόλιν ἡμῖν, οὗτος καὶ ἑαυτὸν ἀπατᾷ, καὶ τοῦ Θεοῦ καταψεύδεται πάντως· οὐδενὶ γὰρ εἴωθε βοηθεῖν ἀμελοῦντι, ἀλλ' ὁπόταν τὰ κατὰ δύναμιν πράττων τις, ἔτι καὶ τῆς παρ' ἐκείνου δέηται βοηθείας, ἧς ἄνευ οὐδὲν ἀνύειν δυνάμεθα. Ἐγὼ γὰρ, οὐδ' ἂν πάντα πεποιηκότες ὦμεν τὰ δυνατὰ, εἴποιμ' ἂν πρὸς τὴν ἅμυναν τῶν πολεμίων τοῦτ' ἐξαρκεῖν· ἀλλ' ἂν πάντα μὲν χρήματα, ναῦς, δὲ ἁπάσας ἐντεῦθεν εἰληφότες ἀπίωμεν, οὐδὲν ἔσεσθαι πλέον ἡμῖν, μὴ καὶ τῆς ἄνωθεν βοηθείας προσγινομένης· ἣν καλῶς ἐλπίσαντας καὶ πεπιστευκότας, ἀνάγκη πᾶσα λαβεῖν. Ἀμελούντων δ' ἡμῶν καὶ ἀφροντιστούντων, ὧν ἐξήρτηται πάντα τάχεῖ, οὐδὲ παρὰ Θεοῦ τινα συμμαχίαν ἐλπίζειν εὔλογόν ἐστι. Δῆλον τοίνυν ἐστὶν, ὅτι καὶ χωρὶς τῶν ἄλλων ἁπάντων, ὧν ἕνεκα δεῖ τι περαίνειν ἡμᾶς, καὶ τέλος τοῖς παροῦσι πράγμασιν ὁτιοῦν ἐπιθεῖναι, ἀρκεῖ τὸ νῦν ἐφιστάμενον δέος τῶν πολεμίων· τοῦτο γὰρ πρόδηλον ἔχει καὶ ἀπαραίτητον τὴν ἀνάγκην. Διὰ τοῦτο βλάβας τε καὶ ὠφελείας τὰς ἔκ τε τοῦ

πράττειν ἢ μὴ συμβησομένης, καὶ αὖθις ἐκ τοῦ προσήκασθαι Λατίνοις ἢ μή, οὐκ ἔδει λέγειν ἡμῖν, πρὸς τὸ πείθειν τῆς ἀνάγκης ἀρκούσης.

Ὁπόσα δὲ λογίζεσθαι χρὴ πρὸς τὴν παροῦσαν ἀνάγκην, αὐτὸς μὲν μετρίως τούτων ἥψάμην, ὑμῖν δὲ ἱκανὰ πάντως λαβεῖν ἐπὶ νοῦν καὶ ἀναπολῆσαι· μᾶλλον δὲ πάντα σαφῶς οὕτωσὶ καὶ σχεδὸν ὁρώμενα πρόκειται, ταύτῃ μόνον οὐ φαινόμενα καθαρῶς, ὅτι δύναταί τις ἐπισκοτούμενος ἰδίῳ πάθει τινὶ μηδὲ τὰ φανερώτατα καλῶς συνορᾶν. Καὶ πρὸς τούτοις, ἔτι μήτε νῷ μήτε λόγῳ περιλαβεῖν ἐστι δυνατὸν, ὁπόσα πάρεστι μὲν ἐφ' ἑκάτερα καὶ φαῦλα καὶ ἀγαθὰ, μέλλει δὲ θάτερα ἐξ ἀνάγκης συμβαίνειν. Συμβουλεύω δὴ καὶ δέομαι πάντων ὑμῶν, τὰ μὲν ἀρῶτα τῆς χρείας, ἔπειτα τοῦ πρέποντος, πρὸς δὲ τούτοις τῆς ἀνάγκης, ἐπὶ πᾶσι δὲ καὶ τῆς ἡμετέρας προθέσεως γενομένους, ἅμα ἀθροισθέντας, λόγων μὲν παύσασθαι, ἄψασθαι δὲ ἔργων· ἐν διὰ πάντων σκοποῦντας, ὅπως καὶ πατρίδα καὶ ἔθνος καὶ ἱερὰ καὶ τάφους καὶ ἀεὶ μὲν, νῦν δὲ μάλιστα διασωζώμεθα· καὶ Λατίνους μέν φημι δεῖν προσδέξασθαί τε καὶ κοινωνεῖν, οὐδὲν ἁμαρτάνοντας ἐν τῇ πίστει, εἴπερ μηδ' οἱ τῆς πίστεως ἡμῖν ἡγεμόνες γεγενημένοι, καὶ τὸ τούτοις ἐμπνεῦσαν Πνεῦμα, ἡμάρτανον· καὶ ἔτι τὰ αὐτὰ φρονεῖν ἡμῖν λέγοντας, καὶ πρὸς τούτοις διαλάττοντας ἀλλήλοις τοὺς διδασκάλους, οὓς ἐκ τῆς ἡμετέρας ἀντιλογίας ἐκπεπολεμῶσθαι μᾶλλον συμβαίνει· ὃ καὶ ὑμεῖς ἴστε καλῶς, κἀγὼ πᾶσιν ἕτοιμός εἰμι τοῦτο δῆλον ποιεῖν ὁπόταν κελεύσητε· ἐπὶ δὲ πᾶσιν ἀναθέματι καθυποβάλλοντας ἅπερ αὐτοὺς ἐνομίζομεν ἐκ τῆς δόξης ταύτης ὁμολογεῖν· καὶ μὴ μόνον τοῦτο ποιοῦντας, ἀλλὰ καὶ δεικνύντας ὅπως ἐκεῖνα τῇ δόξῃ σφῶν πολλοῦ δέουσιν ἕπεσθαι. Τούτοις μὲν οὖν προσδεκτέον· ἀναγνωστέον δὲ τὸ Σύμβολον καθώσπερ εἰώθαμεν· τοῦτο γὰρ δοκεῖ καὶ πρὸς τοὺς ὅρους ἀρκεῖν, οὓς φαμεν δεδεῖναι, καὶ πρὸς τὸ πᾶσι τοῖς ὑπὸ τὴν ἡμετέραν Ἐκκλησίαν ἔθνεσι τὴν εἰρήνην ταύτην ἁρέσαι, συμφέρειν. Νῆες δὲ παρασκευαζέσθωσαν ὁπόσαι δυνατὸν· μεταξὺ δὲ ὁπόσα δεῖ, διαθέσθαι περί τε βοηθείας τῆς εἰς τὸ μέλλον, καὶ βεβαιώσεως τῆς εἰρήνης, καί τινων ἄλλων· τὰ μὲν δι' ἑαυτῶν πράττοντας ὁπόσα νῦν ἔξεστι, τὰ δὲ τρισί τισιν ἢ τέτρασιν ἐπιτρέψαντας πράττειν, οὓς ἀνάγκη καταλιπεῖν ἐν τῇ παρούσῃ συνόδῳ, τοὺς τῶν ἄλλων βελτίστους τε καὶ σοφωτάτους. Εἶτα καὶ αὐτοὶ ἕλθωμεν εἰς Βενετίας, κἀκεῖ πάντα ποιήσαντες ὁπόσα δεῖ καὶ συμφέρει, εὐθὺ τῆς ἡμετέρας ἴωμεν πόλεως, ἅμα τε ἐπανήκοντες καὶ σύμμαχοι ἥκοντες οἱ αὐτοί. Ταῦτα δὲ πάντα δεῖ πράττειν μετὰ τῆς γιγνομένης ἐν πᾶσι σπουδῆς. Δυνάμεθα γὰρ τὰ μὲν ἐνταῦθα μέχρι πεντεκαίδεκα ἡμερῶν, κἂν ὦμεν οἱ νωθέστατοι, συμπεράνασθαι. Τούτων δὲ συναριθμουμένων μέχρις ὅλων τεσσαράκοντα, καὶ αὐτοὶ ἐντὸς εἶναι τῶν νεῶν ὁποσανδήποτε οὐσῶν· ὧν καὶ πλείους δυνησόμεθα κατὰ τὸν πλοῦν προσλαμβάνειν, πάντων ἡμῖν κατ' εὔνοιαν καὶ τῶν ὀφετέρων ἀρχόντων ἐπιταχὴν εἵνεκα τῆς παρούσης χρείας προστιθεμένων. Εἴρηκα δ' ἄχρι τοσούτων ἡμερῶν τῶν πασῶν, ὅτι πάντα ἅμα δεῖ καὶ δυνατόν ἐστι γίνεσθαι,

A gotium, aut non conficiatur, et si uniamur, aut non uniamur cum Latinis, agendum nobis non esset, cum sit satis ad persuadendum necessitas.

Et ego quidem leviter attigi quæcunque ad præsentem necessitatem cogitare oportet. Vobis autem satis hæc erunt ad excitandum animum, ut ea diligenter expendatis; cum profecto palam omnia nostris fere oculis sese offerant, ea tantum ratione non aperte apparentia, quod tenebris propriæ cujusdam affectionis præpeditus quispiam potest vel manifestissima non perspicere: et præterea quis nec mente nec sermone potest quis comprehendere quot bona quotque mala hinc inde sequantur, et necesse est ut eveniant altera. Consilium ergo do, rogoque vos omnes ut indigentiæ, et honestati, B necnon necessitati, adhæc et proposito nostro operam navantes conveniatis, et posthabitis sermonibus opus ipsum aggrediamini, illum in omnibus finem vobis statuentes, ut et patriam, et gentem, et sacra, et sepulcra semper quidem, nunc vero potissimum tueamur: et Latinos quidem aio suscipiendos esse, et amplectendam eorum communionem, cum nihil errent in fide: si nec fidei nostræ duces, et ipse Spiritus, quo illi sunt afflati, errarunt, quodque se affirment idem atque nos sentire, et doctores ad hæc inter sese concilient, quos ex nostra opposita sententia contingit potius loqui pugnantia; quod et vos optime scitis, et ego paratus sum omnibus palam facere, cum jusseritis: præsertim vero quod anathemati subdant, quæ illis C ex hac sententia nos tribuebamus: nec id solum agant, sed etiam ostendant, ea ex sua sententia, quippe ut multum distantia, nequaquam sequi. Hos igitur dico esse suscipiendos, Symbolum vero recitandum, ut consuevimus: hoc enim tum ad decreta satis esse videtur, quæ nos pertimescere dicimus; tum conducere ad efficiendum, ut pax ista placeat cunctis nationibus, quæ nostræ subsunt Ecclesiæ. Naves autem parentur eo quo fieri poterit numero. Interim quæ sunt opus disponantur, tum quæ faciunt ad ferendum in posterum auxilium, tum quæ ad pacem confirmandam, et quædam alia: quæ partim per nos ipsos agamus, nimirum quæ nostræ nunc facultatis erunt; partim agenda tribus quatuorve committamus, quos in D præsenti synodo relinqui necesse est, cæterorum optimos ac doctissimos. Deinde eundum et nobis erit Venetias: ibique rebus compositis et necessariis et utilibus, recta ad nostram urbem navigandum, simul et redeuntibus, et ad ferendam opem iisdem euntibus. Agenda porro sunt hæc omnia festinatione, quæ adhibenda ubique est. Possumus enim quæ hic agenda sunt absolvere, quamvis omnium simus tardissimi, dierum quindecim spatio: iis vero adnumeratis, ad quadragesimum diem naves et ipsi conscendere, quotcunque illæ fuerint: quibus etiam plures in ipsa navigatione poterimus assumere, omnibus sese ad nos adjungentibus, tum benevolentia, tum suorum principum

mandato, præsentis causa necessitatis. Dixi autem totum numerum dierum præfiniens, quot sit opus, possintque omnia simul fieri, et unio confici, et auxilium peti, et mitti qui naves paret, et deligi qui ad Barbarum legetur, et classis comparari, nosque hinc profecti iter facere; ut connumeratis hisce diebus in nostræ urbis portum septuagesimo, vel paulo amplius, die pervenire possimus. Quod si satis esse existimatis, si tantum idoneum mittatur subsidium, atque ita unio perficiatur; summa celeritate utendum est: aliter enim non erit satis datum auxilii · et illud quidem mittemus, nos vero postea per otium rebus omnibus melius compositis, statu jam nostro in tuto collocato, pauciori numero navium per Hellespontum ineunte autumno navigabimus. Sed si nulla ratione vultis pacem cum Latinis jungere (quam a mente vestra sententiam Deus avertat), scitis, ut reliqua mala silentio præteream, omnes, exceptis paucis, non eodem quo prius averso animo futuros erga fidem Latinorum: sed pie illos credere, et recte sentire existimaturos. Ita vero fiet, ut animis quidem hominum insideat unio: bonis vero omnibus, quibus frui per unionem sperabamus, et quorum gratia potissimum ejus desiderio sumus affecti, carebamus. At si hanc omnino sententiam sequi volueritis, decretum hac de re statim sanciatis et confirmetis oportet, ac de reditu cogitetis, acceptis a papa, quæ vel humanitate sua ductus, vel promissa faciens dare voluerit: de vestro quoque insumentes, et præterea publicis privatisque rebus oppigneratis plura mutuo accipientes. Omnino autem oportet aut nos ipsos proficisci, aut auxilium, quod quidem sufficiat, mittere: hoc enim arbitror, et in præsens et in posterum profuturum, et utile deinceps fore ad quamcunque fortunam. Nec dicendum est, aut nos euntes, aut eos qui mittentur, elapso necessitatis tempore adfuturos; fortasse enim non in totum erit elapsum: quod si etiam hoc certo sciremus, at nos certe aliquid negligere eorum, quæ interim fieri a nobis possunt, nec æquum nec consentaneum est. Itaque ex his duobus alterum nobis dico esse agendum: aut admissa unione Latinorum reverti seu mittere facta unione: aut desperata omnino pace cum illis, haud vacuos considere; sed ferendum nostris esse auxilium tetis viribus, licet nos sciamus mille adituros pericula. Nam ex quovis alio, quod capiamus, consilio crimen proditionis nostrorum: aut minimum, ut ne ejus criminis rei nostris, cunctisque videamur hominibus, nequaquam evitabimus. Quod si etiam parvipendamus hanc ignominiam, Deusque præter omnem spem benignitate sua manum obtendat, et patria nostra, sive nobis accedentibus, sive non accedentibus, ab hostium damnis libera evadet: persuasum tamen habeo, nulla in re nobis procrastinationem profuturam: nam propter illam omnia in pejorem statum delabentur, quod hactenus ex priori negligentia contigit. Dixi: paratus ad ferenda

A καὶ τὴν ἕνωσιν πράττειν, καὶ τὴν βοήθειαν ἀπαιτεῖν, καὶ τὸν παρασκευασόμενον τὰς ναῦς ἐκπέμπειν, καὶ πρέσβυν πρὸς τὸν Βάρβαρον αἱρεῖσθαι καὶ ἀποστέλλειν, καὶ τὸ ναυτικὸν ἐξαρτύεσθαι, καὶ ἡμᾶς ἐντεῦθεν εἶναι ἀπηλλαγμένους. Καὶ οὕτω τουτωνὶ τῶν ἡμερῶν συναριθμουμένων μέχρις ἑβδομήκοντα τῶν πασῶν ἢ μικρόν τι πρὸς, τῷ λιμένι τῆς ἡμετέρας πόλεως ἐξέσται ἡμῖν προορμίσασθαι. Εἰ δ' ἀρκεῖν ἡγεῖσθε τὸ πέμπειν βοήθειαν μόνον τὴν ἱκανὴν, καὶ οὕτω τὴν ἕνωσιν πράττειν, ὅτι τάχιστα δεῖ· ἄλλως γὰρ ἀδύνατον ἱκανῶς βοηθεῖν. Κἀκείνην μὲν πέμψομεν, ἡμεῖς δὲ πάντα τὰ μετὰ ταῦτα σχολῇ βέλτιον διαθέμενοι, καὶ ἐπ' ἀσφαλέσι τοῖς πράγμασι καὶ ἐλάττονι ναυτικῷ ἅμα φθινοπώρῳ διὰ τοῦ Ἑλλησπόντου πλευσόμεθα. Οἱ δὲ

B κατ' οὐδένα τρόπον τὴν πρὸς Λατίνους βούλεσθε πράττειν εἰρήνην, ἐγὼ μὲν ἀπεύχομαι ταύτην ἐν ὑμῖν κινῆσαι τὴν γνώμην· ἄνευ γὰρ τῶν ἄλλων δεινῶν, ἴστε πλὴν ὀλίγων τοὺς πάντας οὐκέτι τὴν αὐτὴν πρὸς τὰ τῶν Λατίνων ἕξοντας ἀηδίαν ἥνπερ καὶ πρότερον, ἀλλ' εὐσεβεῖν αὐτοὺς καὶ ὀρθὰ φρονεῖν ὑπολῃψομένους. Καὶ οὕτως ἡ μὲν ἕνωσις ἐν ταῖς τῶν ἀνθρώπων ἔσται ψυχαῖς· ὧν δ' ἐκ τῆς ἑνώσεως ἠλπίζομεν ἀπολαύσεσθαι, καὶ ὧν μάλιστα χάριν αὐτῆς ἐπιθυμῆσαι προήχθημεν, τούτων στερησόμεθα πάντων. Εἰ δ' ὅλως ταύτης μέλλοιτε γενέσθαι τῆς γνώμης, δεῖ καὶ τοῦτο αὐτίκα ψηφισαμένους τε καὶ κυρώσαντας, τῆς ἐπανόδου φροντίζειν, λαμβάνοντά; τε ὁπόσα ἡμῖν ὁ πάππας

C φιλανθρωπευόμενος, ἢ καὶ τὰς ὑποσχέσεις πληρῶν ἐθέλοι διδόναι, καὶ οἰκοθεν ἀναλίσκοντας, καὶ ἔτι κοινοῖς καὶ ἰδίοις ἐνεχύροις πλεῖω δανειζομένους. Πάντως δὲ δεῖ ἢ αὐτοὺς ἀφικνεῖσθαι, ἢ τὴν ἀρκοῦσαν πέμπειν βοήθειαν. Τοῦτο γὰρ ἔν τε τῷ παρόντι καὶ πρὸς τὸ μέλλον οἶμαι λυσιτελήσειν, καὶ πρὸς πᾶσαν τύχην αὖθις ὠφέλιμον ἔσεσθαι. Οὐδὲ δεῖ λέγειν ὅτι κατόπιν ἥξομεν, ἢ ἥξουσιν οἱ πεμπόμενοι, χρείας· εἰκὸς γὰρ μηδὲ σφόδρα κατόπιν ἐλθεῖν· εἰ δὲ καὶ τοῦτ' ἤδειμεν ἀκριβῶς, ἀλλ' ἡμᾶς οὐ

D δίκαιον, οὔτ' εὔλογόν ἐστι, τῶν ἡμῖν τέως δυνατῶν τινος ἀμελεῖν. Ὥσθ' ἓν τι τῶν δύο τρόπων δεῖν φημι πράττειν ἡμᾶς· ἢ Λατίνοις ἑνωθέντας αὐτοὺς ἐπανήκειν, ἢ πέμπειν μετὰ τὴν ἕνωσιν· ἢ τὴν πρὸς αὐτοὺς εἰρήνην καθάπαξ ἀπεγνωκότας, μήτε κενοὺς καθῆσθαι, καὶ τοῖς οἰκείοις πάσῃ πειρᾶσθαι δυνάμει βοηθεῖν, κἂν μυρίοις εἰδῶμεν κινδύνοις περιπεσούμενοι. Ὅ τι δ' ἂν ἄλλο βουλευσαίμεθα πράττειν, τὸ προδόται γενέσθαι τῶν ἡμετέρων, ἢ τοὐλάχιστον δόξαι τοῖ; τε ἡμετέροις αὐτοῖς καὶ πᾶσιν ἀνθρώποις, οὐκ ἐκφευξόμεθα. Ἂν δὲ καὶ τοῦ αἴσχους τούτου καταφρονήσωμεν, καὶ Θεὸς παρ' ἐλπίδα πᾶσαν φιλανθρωπευσάμενος χεῖρα ὑπέρσχῃ, καὶ τῆς παρὰ τῶν πολεμίων βλάβης ἡ πατρὶς ἡμῶν ἐλεύθερα εἴτε προσελθόντων αὐτῇ, εἴτε καὶ μή, διαγένηται, ἀλλ' οὐδὲ πρὸς ἄλλο τι τῶν ἁπάντων συνοίσειν ἡμῖν τὸ τὰ πράγματα ἀναβάλλεσθαι πέπεισμαι· πάντα μὲν οὖν διὰ τοῦτο χείρω γενήσεται, ὅπερ αὐτεῖς καὶ μέχρι τοῦ νῦν ἐκ τῆς προτέρας ἀμελείας συνέβη. Εἴρηκα· ἕτοιμος ὢν ὑπὲρ τῆς ἀλη-

θείας καὶ τοῦ καλοῦ καὶ πᾶσιν ὑμῖν συμφέροντος, A ὃ καὶ ἐμοὶ καὶ τοῖς οἰκείοις ἔστιι συμφέρον, πάντα ἂν ὑποστῆναι· καὶ ἔτι πρὸς πᾶσαν τύχην ἐμοὶ νομίζων ἀρκεῖν τὸ μὴ κρύψαι τὰ παριστάμενα. Ὑμεῖς δὲ ἕλεσθε τὰ συνοίσοντα, πάντες μὲν Θεὸν ἡγεμόνα καὶ βουλῆς καὶ λόγου καὶ ἔργου παραλαβόντες· εἰ δέ τίς ἐστιν ὁ τὰ χείρω θέλων κρατεῖν, οἱ πλείους τε καὶ σοφώτεροι καὶ νοῦν μάλιστα ἔχοντες, πράττοντες τὰ βελτίω. Οὗτος γὰρ συνόδου καὶ πολιτείας ἁπάσης καὶ συλλόγου παντὸς καὶ ὅλως ἀνθρώπων πέφυκε νόμος.

omnia pro veritate et honesto, eoque quod vobis omnibus utile futurum sit, et mihi ac meis: et præterea existimans, satis mihi esse ad quamvis fortunam, quod quæ mihi videbantur, non subticuerim. Vos autem eligite quæ in rem sunt, omnibus quidem Deo et consilii et sermonis et operis duce proposito. Si quis vero est, qui velit deteriora prævalere, plures et doctiores et prudentia maxime præstantes agant meliora: hæc enim est synodi lex, et cujusvis reipublicæ, et conventus omnis, atque ut uno verbo dicam, hominum.

ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΣ ΠΡΩΤΟΣ

Πρὸς τὴν ἐν Φλωρεντίᾳ οἰκουμενικὴν σύνοδον ὑπὲρ εἰρήνης.

Ὅτι δογματικὴν ἕνωσιν δεῖ ποιεῖν, οὐκ εἰρήνην οἰκουμενικήν, ὡς τινες βούλονται· καὶ τίς ἐστιν αὕτη

—

EJUSDEM ORATIO I

Ad synodum œcumenicam Florentinam de pace.

Quod facienda sit unio dogmatica, et non pax, quæ præsenti rerum statui sit profutura, ut quidam volunt, et quænam ea sit.

—

Παρακαλεῖν μὲν ἐπὶ τὴν εἰρήνην ὑμᾶς, οὐκ οἶδ' ὅ B τι χρὴ, οἰκοθεν ἐπ' αὐτὴν καὶ πρὸ πολλοῦ παρακεκλημένους, καὶ δι' ὅσης ἄγετε ταύτην σπουδῆς ἔργοις αὐτοῖς ἐπιδεδειχότας, ἄλλως τε καὶ πολλῶν ὑπὲρ αὐτῆς εἰρηκότων ὅσα μὲν αὐτῇ συνοίδασιν ἀγαθὰ, ὁπόσας δὲ τοῖς αἱρουμένοις οἴδε τίκτειν τὰς ὠφελείας· ἂν δὲ δι' ὧν ἂν γένοιτο ταύτης τυχεῖν, καὶ ποταπήν τινα συνοίσει ταύτην κατασκευάζειν, καὶ τὰ τοιαῦτα ἤδη λέγῃ τις ἀναστὰς, τῷ καιρῷ τε προσήκοντα, καὶ ὑμῖν ἀρέσκοντα λέγειν, οὗτος εἰκότως ἔμοιγε δόξει. Τοῦτο τοίνυν, ἂν ὑμῖν ᾖ βουλομένοις, ἐγὼ ποιήσω. Οὐκ ἀγνοῶ μὲν οὖν, ὅτι καὶ ταύτης τῆς ὑποθέσεως ποικίλης τε οὔσης καὶ πολὺ τὸ πρόσαντες κεκτημένης, ἀνάγκη καὶ λόγους ὑπὲρ αὐτῆς καταβληθῆναι πολλοὺς· καί τινας ἀναστάντας γνώμας ἂν εἰσενέγκασθαι καὶ ἴσως ταυτησὶ τῆς C ἡμετέρας ἀμείνους. Ἀλλ' ἐπεὶ περὶ μὲν εἰρήνης ἁπάντων ἀκούω λεγόντων, καὶ τοὺς πεπεισμένους πείθειν, ὡς ἔοικε, πειρωμένων· πάντες γὰρ ὡς ὑπὲρ ἀγαθοῦ τῆς εἰρήνης δήπου συνῆλθον, καὶ οὐδεὶς ἦλθε διδαχθησόμενος, εἰ τῶν καλῶν ἐστιν αὕτη καὶ τιμίων· οὐδένα δὲ περαιτέρω που προχωροῦντα ὁρῶ· ἀλλὰ τῶν καιρῶν τριβομένων, ἐν οἷς εἰκός τι καὶ τῶν ἀξιολόγων ἀνῦσαι, πάντας ἀνεχομένους, ἀπαγαγεῖν μὲν ἐκείνων τὸν λόγον, ἐπὶ δ' ἑτέραν ὑπόθεσιν μεταστῆσαι βούλομαι· καὶ καθάπερ ἀρχήν τινα καὶ παράκλησιν εἰσενεγκεῖν τοῖς βουλομένοις ἅπτεσθαι ταύτης. Ἀξιοῦν δ' ὑμᾶς ὡς ἔθος ὑπὲρ τῶν λόγων καὶ ἀκοῦσαι καὶ σὺν εὐμενείᾳ τούτους προσδέξασθαι, εἴπερ ποτὲ καὶ νῦν, D παρέλκον οἶμαι τυγχάνειν. Οὐ γὰρ ὑπὲρ ἀγαθοῦ τινες ἰδίου συνήλθομεν ἕκαστος, σκεψόμενοί τε καὶ λόγον ἐροῦντες, ὥστε καὶ δεῖν τὰς τῶν ἀκουόντων γνώμας προκαταστήσασθαι, καὶ τοῖς λόγοις αὐτοῖς

Non video cur opus sit vos adhortari ad pacem, cum per vos ipsos jampridem sitis ad eam propensi, et reipsa ostenderitis quanto ejus studio teneamini: quod præsertim multi de ea sermonem habuerint, declarantes quibus eam bonis sciant affluere, et se amplectentibus quantas afferat utilitates. Quod si exsurgens quispiam ea proponat per quæ illam possimus assequi, et cujusmodi præstet ipsam fieri, et id genus alia, is mihi jure videbitur et tempori congruentia dicere, et vobis sane placitura. Hoc igitur, si vobis libitum erit, ego præstabo. Non ignoro autem, cum materies ista sit multiplex, et quamplures habeat difficultates, necesse esse de ea et multos sermones institui, et proferri sententias ab aliis in medium prodeuntibus nostra hac fortasse meliores. Sed quoniam omnes quidem audio de pace loquentes, utique videre est, in eo ponentes operam ut persuadeant persuasis: omnes enim pacem bonum quid esse scientes convenerunt, et nemo ut doceatur an pax bona sit res et honorabilis: neminem vero video ulterius progredi; et omnes opportuna tempora labi patimini, quibus par est memorabile quidpiam perfici, volo abductum inde sermonem in aliud argumentum convertere: et pacem tentare volentibus, veluti quoddam principium et adhortationem ordiri. Porro autem rogare vos, quemadmodum moris est, ut orationem et audiatis, et benevole excipiatis, si quando alias et nunc arbitror supervacuum: non enim pro bono proprio quisquam nostrum convenit, ut consilia et sermones conferamus, opusque sit mentes auditorum præparare, sermonique ut attente audiatur et credatur, consulere: sed linguas omnium movet com-

munium bonorum desiderium, quod antea illorum animos pariter excitavit : neque hinc præter pacem optatam omnibus, lucrum aliud quisquam sibi domum reportabit. Dicant igitur omnes necesse est, et vos attente audiatis, et amplectamini quæ apposite dicuntur, ut divinitus venientia : eorumque donatori pro illis etiam gratias agatis. Qua enim potius alia in re par est mentes hominum a Deo afflari, quam ubi de eo quæritur, studiumque navatur ? Quæ vero secus se habuerint, nec fuerint pravo quodam animo prolata, cum mentis, non voluntatis peccata sint, non erunt a vobis reprehendenda. Nec prætereа si, qui sermocinantur, pravam apud vos opinionem habeant, debetis eorum dicta, si forte sint meliora, contemnere ; quod in humanis quoque negotiis cavendum est iis qui quod utile est, undecunque venantur : quandoquidem humilis fortunæ hominibus multo magis convenit in re proposita gloriam sperare ex bono consilio ; nam ab his etiam aliquando proficisci potest aliquod virtutis opus, ita Dei providentia disponente, ne quis minus considerate tribuat humanæ arti et sagaci consilio, maximi et post hominum memoriam omnium difficillimi negotii exitum. Propterea igitur et illam orationis partem declinavi, et vos attente audire volo quæ jam dicentur.

Quod igitur sacram hanc synodum ex universo fere terrarum orbe congregavit, persuasitque omnibus ut alacriter huc convenirent, postpositis aliis omnibus ; Christianorum omnium concordia, et cognitio est veritatis : quibus nihil potest esse jucundius hominibus, qui norunt et amare, et concupere, et incumbere ad honesta. Nam et veritas lux plane est naturæ ratione utentis, qua sine necesse est ea volutetur in tenebris, nullamque ex dignitate donoque sibi tradito percipiat utilitatem ; quamque assidue illa prehendens, dum quærit ignota, et seipsa fit splendidior, atque ad Deum primam veritatem, quantum fas est, proxime accedit. Pace autem concordiaque in rebus honestis rerum natura nihil habet majus ; quæ primo quidem in anima et conceptibus ejus ; utitur autem exterioribus veluti signis quibusdam, per quæ omnibus fit manifesta. Et credibile quidem est esse quosdam, qui, aliis ducti cogitationibus, et bona quædam corporalia mente volventes, quæ spes est fore, ut nascantur ex concordia, alacriores visi sint ad præsens negotium. Mihi autem si cui etiam alii videtur quidem, multorum magnorumque bonorum causam fore illam Christianis, si de iis rebus eamdem amplectantur sententiam, quas antea in controversiam vocabant : cæterum eorum desiderio nullum sapientem arbitror moveri debere, nec statuenda esse bona, quæ ultimo loco numerantur, et quæ facillime quis contemnat, finem maximi ac divinissimi operis : sed loco omnium satis esse quidem veritatis cognitionem, pro pace

A τὴν ἀσφάλειαν ὁμοῦ καὶ τὴν πειθὼ προνοῆσαι· ἀλλὰ τὰς ἁπάντων γλώττας ἡ τῶν κοινῶν καλῶν ἐπιθυμία κινεῖ, ἡ καὶ πρότερον οὐδὲν ἧττον τὰς ψυχὰς αὐτοῖς διεγείρασα· καὶ κέρδος οὐδὲν ἴδιον οἴκαδε πλὴν τῆς ποθουμένης πᾶσιν εἰρήνης οὐδεὶς ἐντεῦθεν φέρων ἀφίξεται. Ἀνάγκη τοίνυν ἅπαντας λέγειν· καὶ τοῖς μὲν εὐφυῶς λεγομένοις ὡς ἄνωθεν ἥκουσι προσέχειν τὸν νοῦν ὑμᾶς, καὶ ταῦτα αἱρεῖσθαι, καὶ τῷ δεδωκότι καὶ ὑπὲρ τούτων χάριν ὁμολογεῖν. Ποῦ γὰρ ἄλλοθι τὸν Θεὸν μᾶλλον ἢ περὶ αὐτοῦ τῆς σκέψεως οὔσης καὶ τῆς σπουδῆς, τὰς τῶν ἀνθρώπων εἰκός ἐστιν ἐμπνεῖν διανοίας ; Τῶν δ' ὡς ἑτέρως ἐχόντων, καὶ οὐ μετὰ πονηρᾶς τινος γνώμης προτιθεμένων, ὡς γνώσεως, οὐ προαιρέσεως ὄντων ἐλαττωμάτων, μηδενὶ τὴν μέμψιν ἐπάγειν. Πρὸς δὲ τούτοις, μηδ' εἴ τις ἡμῖν φαύλη περὶ τῶν λεγόντων ἔνεστι δόξα, καὶ τῶν λόγων, ἂν ἀμείνους τύχωσιν ὄντες, καταφρονεῖν· ὃ μηδ' ἐν ταῖς ἀνθρωπικαῖς πραγματείαις εὔλογόν ἐστι πάσχειν τοὺς τὸ συμφέρον ἐξ ἅπαντος θηρωμένους. Ἐπεὶ περί γε τῶν προκειμένων τοῖς ἀδόξοις καὶ ταπεινοῖς πολλῷ μᾶλλον ἁρμόττει τὴν ἀπὸ τοῦ κατορθῶσαι δόξαν ἐλπίζειν· καὶ παρὰ τούτων γὰρ γένοιτ' ἂν τί ποτε σπουδαῖον· οὕτω τῆς προνοίας οἰκονομούσης, μὴ καὶ λάθῃ τις τῇ τῶν ἀνθρώπων δεινότητι καὶ μηχανῇ τὴν τοῦ μεγίστου τε καὶ δυσχερεστάτου τῶν ἐκ τοῦ παντὸς αἰῶνος ἐγχειρημάτων ἔκβασιν ἐπιγράφων. Διὰ ταῦτα τοίνυν ἐκεῖνό τε τοῦ λόγου τὸ μέρος ἐξέφυγον, καὶ προσέχειν ὑμᾶς βούλομαι τοῖς λεγομένοις ἐντεῦθεν ἤδη.

C Τὸ μὲν δὴ τὴν ἱερὰν ταύτην σύνοδον ἐξ ἁπάσης σχεδὸν τῆς οἰκουμένης πεποιηκὸς καὶ πεῖσαν ἅπαντας μετὰ προθυμίας ἐνταῦθα συντρέχειν, τῶν ἄλλων ἁπάντων ἥκιστα λόγον πεποιημένους, ἡ τῶν Χριστιανῶν ἁπάντων ὁμόνοια καὶ ἡ τῆς ἀληθείας γνῶσίς ἐστιν· ὧν οὐδὲν ἥδιον γένοιτο τοῖς τὰ καλὰ καὶ φιλεῖν καὶ εὔχεσθαι καὶ σπουδάζειν ἐπισταμένοις. Ἥ τε γὰρ ἀλήθεια φῶς ἄντικρυς τῆς λογικῆς καθέστηκε φύσεως, οὗ χωρὶς ἀνάγκη ταύτην ἐν σκότῳ κυλινδουμένην μηδὲν ἀπόνασθαι τῆς ἀξίας καὶ τοῦ δεδομένου αὐτῇ χαρίσματος· καὶ ἧς δραττομένη συνεχῶς ἐν τῇ περὶ τῶν ἀγνοουμένων ζητήσει ἑαυτῆς τε γίνεται λαμπροτέρα, καὶ Θεοῦ τῆς πρώτης ἀληθείας ὅσον ἔξεστιν ἐγγυτάτω. Εἰρήνης δὲ καὶ τῆς ἐν τῷ καλῷ συμφωνίας τῶν ἐν τῷ κόσμῳ πραγμάτων μεῖζον οὐδέν, ἀρχομένης μὲν ἀπὸ ψυχῆς καὶ τῶν αὐτῆς νοημάτων, καθάπερ δέ τισι τεκμηρίοις τοῖς ἔξω χρωμένης, καὶ διὰ τούτων πᾶσι φανεροῦμένης. Εἰκὸς μὲν οὖν ἐστι καὶ ὑπ' ἄλλων ἐνίους ἄγεσθαι λογισμῶν, καὶ σωματικά τινα φανταζομένους καλὰ, ἃ τὴν ὁμόνοιαν ἐλπὶς ἐστιν ἀποτέξειν, προθυμοτέρους ἐπὶ ταύτην ὥρθαι τὴν χρείαν. Ἀλλ' ἐμοιγε τὸ μὲν τοὺς Χριστιανοὺς κοινῇ εἰληφέναι, περὶ ὧν ἡμφισβήτουν πρότερον, γνώμας, πολλῶν ἀγαθῶν καὶ μεγάλων αἴτιον σφίσι γενήσεται, εἴπερ καὶ ἄλλῳ τῳ τῶν ἁπάντων δοκεῖ· ὑπὸ δὲ τῆς τούτων ἐπιθυμίας οὐδένα τῶν σπουδαιοτέρων οἶμαι δεῖν κεκινῆσθαι, μηδὲ σκοπὸν τοῦ μεγίστου καὶ θειοτάτου τῶν ἔργων τὰ φαυλότερα τῶν ἀγαθῶν προτιθέναι, καὶ ὧν ἄν τις ῥᾷστα καταφρονήσειεν· ἀλλὰ τὴν μὲν γνῶσιν τῆς ἀληθείας ἀντὶ πάντων ἀρκεῖν, ὑπὲρ

δὲ τῆς τῶν ὅλων εἰρήνης καὶ τὰ πλεῖστα τῶν ὑπαρχόντων χρῆναι προΐσθαι. Δυοῖν τοίνυν τούτων, ὧν ἕνεκα καὶ τοὺς πολλοὺς ὑπέστημεν πόνους, θάτερον μὲν κατωρθωκόσιν ἡμῖν, τὴν γνῶσιν λέγω τῆς ἀληθείας, ἀνάγκη πᾶσα καὶ τὸ λοιπὸν ἑπακολουθεῖν. Οὐδὲν γὰρ ἔσται, τῆς ἀληθείας περὶ τῶν ἀμφισβητουμένων ἐπιγνωσθείσης, ὃ καὶ πάλιν ἡμῖν σχίσει τὰς γνώμας, καὶ τὴν οἰκουμένην ὁμοίως ἅπασαν διελεῖται. Οὔτε γὰρ περὶ γῆς ὅρων ἢ χρημάτων ἢ νήσων καὶ πόλεων δίκας πράττοντες καθεδούμεθα, οὐδ' ἥκομεν τούτων ἕνεκα τὴν ἀρχήν, οὔτε δυνατόν ἐστι περὶ τούτων πάντας πᾶσιν ἀμφισβητεῖν. Εἰρηνεύσαντες δὲ πρὸς ἀλλήλους ἄνευ τοῦ καὶ περὶ τὰ δόγματα παντάπασι συμφωνεῖν, καὶ τὴν αὐτὴν παρὰ πᾶσι κρατῆσαι δόξαν, περὶ ὧν σκοπεῖν πρόκειται, πρὸς τῷ μηδὲ τὴν εἰρήνην ἂν δυνηθῆναι σῶσαι μέχρι πολλοῦ, ἐπὶ σαθροῦ τινος ἱδρυνθεῖσαν, καὶ τῆς ἀληθείας ἄλλο τι δόξομεν προτιμᾶν, ἢ μόνη τῶν πολλῶν ἀναλωμάτων καὶ πόνων τέλος γένοιτ' ἂν ἄξιον· καὶ πρόφασιν μὲν τοῦ συνελθεῖν ἐνταῦθα τὴν περὶ τῶν δογμάτων ἔρευναν εἶναι, τὸ δ' ἀληθὲς ἧκειν ἑκάστους ἑαυτοῖς ἀγαθόν τι περιποιησομένους, καὶ τὸν κατὰ ταῦτα βίον ἀμείνω κατασκευάσοντας. Ταῦτα δ' ὑμᾶς ἡγοῦμαι πάντως φυλάξεσθαι, ὡς πᾶσι μᾶλλον ἢ ἀνθρώποις ὑπὸ τοῦ Πνεύματος ἀγομένοις καὶ τὴν ἀλήθειαν προτιμῶσι πάντων ἁρμόττοντα.

Οὐκοῦν ἐκείνου καὶ πρώτου καὶ μᾶλλον πρέπει φροντίσαι, οὗ τὸ προσῆκον πέρας ἀπειληφότος, αὐτίκα τὰ κρείττω καὶ περὶ τῶν ὑπολοίπων ἔξεστι προσδοκᾶν. Ἂν γὰρ τὴν ἀλήθειαν πᾶσι μὲν ζητῆσαι τρόποις θελήσωμεν, φανεῖσαν δὲ ἁρπάσαι καὶ κατασχεῖν, ἀναλάμψει μὲν τὸ τῆς ὁμονοίας καλὸν, τὸ δὲ τοῦ σχίσματος λυθήσεται νέφος· καὶ οὐκέτι προστιθέντες κακῶς ἢ φιλονεικοῦντες ἀλόγως, τῶν ἀδελφῶν ἀπορραγησόμεθα. Τοῦ δὲ μίσους καὶ τῆς ἀηδίας οὕτω λυθέντων, μεταδώσομεν ἀλλήλοις τῶν παρ' ἡμῖν ἀγαθῶν, καὶ καθάπερ οἰκείοις καὶ συγγενέσι χρησόμεθα· καὶ ὅλως οὐκ ἔσθ' ὅ τι τῶν ἀγαθῶν οὐχ ἕψεται παραχρῆμα. Ἐγὼ δ' εἰποιμ' ἄν, ὡς εἰ καὶ τῶν ὑπαρχόντων ἐμέλλομεν ἐκπίπτειν ἁπάντων, καὶ πένητες καὶ ἄδοξοι τὴν οἰκουμένην περινοστεῖν ἐκ τοῦ πλείστην φροντίδα θέσθαι τῆς ἀληθείας καὶ περὶ ταύτης σκέψασθαι προὔργου, μηδ' οὕτω δεῖν τῆς περὶ ταύτην σπουδῆς ὁτιοῦν καθυφεῖναι· μηδὲ νομίζειν ἄλλο τι τὸ ἡμέτερον ἀγαθὸν πλὴν ταύτης, καὶ τὴν ἀνθρωπίνην εὐδαιμονίαν. Ὅπου δὲ καὶ τἆλλα διὰ ταύτην ἡμῖν περιέσται, οὕτω τε τῆς τῶν πραγμάτων φύσεως ἀπαιτούσης, καὶ τοῦ Θεοῦ χάριν ἡμῖν τῆς περὶ τὸ κάλλιστόν τε καὶ θειότατον πραγματείας ἐκτίνειν ἐθέλοντος, πῶς οὐ καὶ ταύτῃ μάλιστα τοῦ χρήματος φροντιστέον, καὶ σπουδαστέον αὐτὸ λαβεῖν ὅση δύναμις; Ὅτι δὲ οὐδὲ τῆς εἰρήνης ἄλλον τινὰ τρόπον καθισταμένης, ἀσφαλῶς ἡμῖν ἀπολαύειν ἐξέσται, ἀλλ' ἑνός τινος ἀηδοῦς ὑποτέρωθεν, οἷα φιλεῖ γίνεσθαι, συμπεπτωκότος, πρόφασιν ποιησόμεθα πολέμου καὶ μάχης τὴν ἐπὶ τῶν δογμάτων ἀσυμβασίαν, καὶ πάλιν ὀνείδη καὶ συγγράφοι κατ' ἀλλήλων ἔξουσι χώραν, καὶ τὸ μά-

A autem communi projiciendam esse facultatem partem vel maximam. Cum igitur horum duorum, pro quibus tam multos labores suscepimus, alterum egregie præstiterimus, nimirum veritatis cognitionem; necesse omnino est alterum quoque consequatur. Veritate enim agnita rerum quæ versabantur in controversia, nihil erit amplius quod nostros animos disjungat, totumque terrarum orbem similiter distrahat: neque enim de terræ confiniis, aut pecunia, aut insulis et urbibus recuperandis otiosi litigabimus; neque prorsus hanc ob causam profecti sumus, neque fieri potest ut propter hæc omnibus contra omnes lis oriatur. Sed si pacem conficiamus citra firmam de dogmatibus
B consensionem, unamque a cunctis receptam sententiam de iis quæ modo tractantur; præterquam quod pacem diu conservare non poterimus, debili fundamento innixam, videbimur etiam veritati ipsi aliquid aliud præponere, quæ una dignus finis exstiterit multorum sumptuum atque laborum: videbitur quoque profectionis nostræ vera causa non fuisse inquisitio dogmatum, sed ut unusquisque boni aliquid lucretur, et vitæ quod superest, traducat jucundius. Hæc autem vos plane devitaturos existimo, ut cuivis potius congruentia quam hominibus, qui Spiritu ducuntur, veritatemque omnibus præferunt.

De illo igitur et primo loco et magis est cogitandum; quod si ad debitum perducatur finem, con-
C tinuo reliqua etiam prospera sunt exspectanda. Si enim modis omnibus veritatem quærere, et visam arripere ac retinere velimus, elucesceret quidem concordiæ bonum, discutietur autem schismatis nubes: neque ultra aut iniquis aggressionibus, aut vanis concertationibus sejungemur a fratribus. Ita porro sublato odio, placatisque aversis animis, alteri cum alteris bona nostra communicabimus, affinimque et cognatorum loco habebimus: nec erit ullum omnino bonum, quod non sit e vestigio secuturum. Ego vero etiam dixerim, etsi bonorum omnium jacturam essemus facturi, et vagaturi per orbem inopes et inglorii propter maximam de veritate sollicitudinem, et seriam ejus tractationem, nihil tamen de studio quo illam inquirimus, esse
D omnino remittendum; nec aliud existimandum bonum nostrum, sive felicitatem humanam, præter hanc ipsam. Cum igitur et reliqua propter eam accessura sint, ita rerum natura exigente, Deoque nos propter opus pulcherrimum ac divinissimum remunerare volente, cur hanc etiam ob causam non sit de hac re maxime cogitandum, totisque viribus ad assequendam eam laborandum? Quod vero si pax alia quavis ratione fiat, nobis ea tuto frui non licebit, sed ex utravis parte, re quapiam minus jucunda contingente, belli ac pugnæ occasio fiet discrepantia dogmatum, et rursus probris et scriptionibus conflictationi mutuæ locus erit, et inanis videbitur tota hæc rerum innovatio: ego quidem ostendere, quamvis nullo negotio possim,

nolo ; res autem ipsæ testantur, quis legendo didicit, quoties in hunc modum pace inter nos confecta, non modo lucri nihil a nobis factum, sed malo etiam incaute incrementum adjectum. Taceo vero tempora, et res gestas, et a quibus gestæ, quæ sunt nota plurimis memoria repetens, illudque cavens, ne videar traducere aliquos.

Si igitur notum non esset ex multis superiorum temporum factis, quem soleat modus iste pacis exitum habere, sed nunc primum illius periculum faceremus, ignosceret nobis fortasse quispiam, in rerum obscuritate aberrantibus ab eo quod fieri decet. Cum verum tot exempla sint, quibus persuaderi nobis potest ut illum rejiciamus, jure optimo puto reprehendemur ab omnibus, si nobis contingat hunc modum deligentibus errare, et in eadem mala delabi, in quæ illi quos antea dixi ; quod eveniat omnino necesse est. Unum igitur hoc est, et primum, et maximum, Quapropter ad inveniendam veritatem ponendum est omne studium ; quod per illam effecturi simus ea quorum gratia convenimus, et pace perpetua, Deo propitio conficienda, fruituri ; utique verius dicam, quod hoc sit studii nostri caput ; et quo quidem peracto, cætera omnia bene se habebunt, neglecto vero, nec illa sunt a sapientibus magnifacienda, nec erunt talia, ut et honestissima et utilissima sint. Alterum vero est, quod omnibus hominibus jucundum est, et res omnium suavissimam vitam sibi in pace esse : huic enim illud conjunctum est quod nemo nemini vim cogatur afferre, sed liceat fortunis uti cum voluptate, tranquilleque vitam traducere ; quo potissimum dignoscitur quæ sit vita humana. Omnino enim arma et pugnæ, et acierum instructiones, et collocata in urbibus præsidia, et omnes bellorum apparatus pacis causa sunt, fiuntque ut vita possit cum pace transigi. Possunt autem tuto pacem habere, qui vel nulla prorsus de re certant, vel quibusdam conditionibus dirimunt controversias, et quod justum est pari voluntate amplectuntur, existimantes se nec pati injuriam, nec inferre. Qui vero deponunt inimicitias nondum exstinctis querimoniis, hos bellum non mittere, sed intermittere dixerit quispiam, et inducias facere, non pacem aut belli finem. Etsi enim videntur conciliati animi, non subest tamen animi voluntas, quoad alter ab altero sciat se injuriam passum : nisi quis præ magna socordia, non quod rapiant de suis conqueri insidiatoribus, sed ob ea quæ relinquant, velit habere gratiam. Ita igitur hic quoque res se habet : si disputationum vi, Deique auxilio, diuturni belli causas adimemus, et querelas mutuas e medio prorsus tollemus, et in eamdem omnes conveniemus sententiam, licet hanc veram nuncupare pacem, et animorum indissolubile vinculum, fraternam conspirationem, et spiritalem unionem, omnisque scandali radicitus præcisionem, et quidvis aliud hujusmodi ; ac tali cum pace revertentes et nos ipsi

ταιον εἶναι δοκεῖν πᾶσαν ταυτηνὶ τὴν καινοτομίαν, ἐγὼ μὲν καίτοι ῥᾴδιον ὂν οὐ βούλομαι δεῖξαι, αὐτὰ δὲ τὰ πράγματα μαρτυρεῖ, εἴ τις εἶδεν ἀνεγνωκὼς ὁσάκις τοῦτον τὸν τρόπον συνθέμενοι πρὸς ἀλλήλους, πρὸς τῷ μηδέν τι κερδᾶναι καὶ τὸ δεινὸν ἐλάθομεν ηὐξηκότες· σιγῶ δὲ καιροὺς καὶ πράγματα καὶ ὑφ' ὧν ἐπράχθη, εἰδότας τε τοὺς πλείστους ἀναμιμνήσκων, καὶ τὸ δοκεῖν καθάπτεσθαί τινων εὐλαβούμενος.

Εἰ μὲν τοίνυν μὴ πρόδηλον ἦν ἐκ πολλῶν τῶν πρόσθεν γεγενημένων, ὅποι τῆς εἰρήνης ὁ τρόπος οὗτος πέφυκε τελευτᾶν, ἀλλὰ νῦν πρῶτον ἐπειρώμεθα τούτου, ἴσως ἄν τις ἡμῖν συνεγίνωσκεν, ἐν ἀδηλίᾳ πραγμάτων τοῦ πρέποντος ἁμαρτοῦσι· τοσούτων δὲ ὄντων τῶν δυναμένων πείθειν αὐτὸν παραιτεῖσθαι, πάντας οἶμαι δικαιότατ' ἂν ἡμῖν μέμψασθαι, ἂν συμβαίη τοῦτον ἑλομένοις σφαλῆναι, καὶ ταυτόν τι παθεῖν τοῖς καὶ πρότερον εἰρημένοις, ὃ πᾶσα παθεῖν ἀνάγκη. Ἓν μὲν δὴ τοῦτο καὶ πρῶτον καὶ μέγιστον· διὸ πρὸς τὴν τῆς ἀληθείας εὕρεσιν πᾶσαν δεῖ καταβαλέσθαι σπουδήν, ὡς ταύτῃ μόνῃ ὧν εἵνεκα συνελήλυθαμεν διαπραξομένους, καὶ τῆς σὺν Θεῷ γενησομένης εἰρήνης, μέχρι παντὸς ἀπολαύσοντας· μᾶλλον δ' εἰπεῖν, ὡς τοῦτο κεφάλαιον ὂν τῆς ἡμετέρας σπουδῆς· καὶ οὗ γενομένου μὲν, καὶ τἄλλα πάνθ' ἕξει καλῶς· ἠμελημένου δὲ, οὐδ' ἐκείνων ἂν εἴη τοσοῦτος τοῖς νοῦ μετέχουσι λόγος, οὐδ' ἂν μέλλοι κάλλιστα καὶ λυσιτελέστατα ἕξειν. Δεύτερον δὲ, ὅτι τὸ μὲν εἰρήνην ἄγειν ἡδὺ πᾶσιν ἀνθρώποις, καὶ πάντων ἥδιστον· τούτῳ γὰρ σύνεστι μὲν τὸ μηδένα ζημιοῦν ἀναγκάζεσθαι, τὸ δὲ τοῖς ὑπάρχουσι χρῆσθαι μεθ' ἡδονῆς ἐνυπάρχει, καὶ τὸ σὺν ἠμερότητι ζῆν· ὃ μάλιστα τῆς ἀνθρωπίνης διαίτης πέφυκε γνώρισμα. Καὶ ὅλως ὅπλα τε καὶ μάχαι καὶ παρατάξεις καὶ φρουραὶ πόλεων καὶ πᾶσαι πολέμων παρασκευαὶ τῆς εἰρήνης χάριν εἰσ', καὶ τοῦ μετὰ ταύτης δύνασθαι ζῆν ἕνεκα γίνονται. Ἔστι δὲ καλῶς εἰρηνεύειν τοὺς ἢ μηδόλως ἐν οὐδενί ποτε διαφερομένους, ἢ συνθήκαις τισὶ λύοντας τὰς διαφοράς, καὶ τὴν αὐτὴν περὶ τῶν δικαίων ἔχοντας γνώμην, μήτ' ἀδικεῖσθαι μήτ' ἀδικεῖν ἀλλήλους νομίζοντας. Τοὺς δὲ σωζομένων ἔτι τῶν ἐγκλημάτων διαλλαττομένους ἀλλήλοις εἴποι τις ἂν οὐ παύειν ἀλλ' ἀναπαύειν τὸν πόλεμον, καὶ ὅπλων ἀνακωχὴν, οὐ μάχης κατάλυσιν οὐδ' εἰρήνην εἶναι τὸ πρᾶγμα. Οὐδὲ γὰρ προσέσται ταῖς φαινομέναις διαλλαγαῖς καὶ τὸ κατὰ ψυχὴν εὐνοεῖν, ἕως ἂν συνειδῶσιν ὑπ' ἀλλήλων ἠδικημένοι· εἰ μή τις ὑπὸ ῥᾳθυμίας, οὐχ ὧν ἁρπάζουσιν ἄχθεσθαι τοῖς ἐπιβουλεύουσιν, ἀλλ' ὧν αὐτῷ καταλείπουσιν, ὀφείλειν βούλοιτο χάριν. Οὕτω τοίνυν ἔχει κἀνταῦθα· τὸ μὲν κρίσει λόγων καὶ τῆς ἄνωθεν βοηθείας συνεφαπτομένης ἡμῖν τὰς τοῦ μακροῦ πολέμου καταλῦσαι προφάσεις, καὶ ἅπερ ἀλλήλοις ἔχομεν ἐγκαλεῖν ἐκ μέσου καθάπαξ πεποιημένους, πρὸς ἓν φρόνημα καὶ μίαν γνώμην ἅπαντας συνελθεῖν, τοῦτ' εἰρήνην ἀληθινὴν, καὶ ψυχῶν ἄῤῥηκτον σύνδεσμον, καὶ σύμπνοιαν ἀδελφικὴν, καὶ πνευματικὴν ἕνωσιν, καὶ σκανδάλου παντὸς πρόῤῥιζον ἐκκοπὴν, καὶ εἴ τι τοιοῦτον, ἔξεστιν ὀνομάσαι. Καὶ μετὰ τοιαύτης ἐπανιόντες εἰρήνης, αὐτοί τε

χειρήσομεν ἀληθῶς, καὶ τοὺς ὑποδεξομένους πεί-
σομεν χαίρειν. Ἂν δ' ἄλλο τι γένηται, εἰρήνης
σκιὰν, καὶ διαλλαγῶν εἴδωλον, καὶ δογμάτων ἀσυμ-
φωνίαν, καὶ σκανδάλων ἀρχὴν, καὶ δεύτερον πλοῦν,
καὶ συνθήκην ἀνάγκης ἅπαντες προσερροῦσι. Καὶ
τοῖς μὲν ἁπλουστέροις ἴσως τι δόξομεν ἠνυκέναι,
καὶ τῷ τῆς εἰρήνης ὀνόματι πείσομεν αὐτοὺς ἀγα-
πᾶν, μηδενὸς φροντίζοντας ἄλλου· τὰ δὲ παρὰ τῶν
νῦν ἐγόντων ὀνείδη δικαίως ὑποστησόμεθα, τὸ σε-
μνὸν ὄνομα τῆς εἰρήνης προφερόντων ἡμῖν, καὶ τὰς
ἀνηνύτους ἐλπίδας, καὶ τὰς μέχρι τοῦ φαινομένου
διαλλαγάς· εἰ μὴ καὶ προδότας ἡμᾶς ἐροῦσι τῆς
ἁπάντων εὐδαιμονίας, ὅτι γενομένης ἐγγὺς, καὶ ὥσ-
περ χειρῶν ἐκτάσει πρυσκαλουμένης, οὐκ ἠθελήσα-
μεν ὁράξασθαι, πρὸς ἄλλο τι ῥᾴδιον ἀποκλίναντες.
Καὶ χωρὶς δὲ τούτων τῶν ὀνειδῶν, οὐδ' ἡμᾶς αὐτοὺς
πείθειν ἔξομεν δεόντως μὲν χρήσασθαι τοῖς συμπε-
σοῦσι καιροῖς, ἐλέσθαι δὲ τῶν εἰς δύναμιν ἡκόντων
τὰ κρείττω, καὶ μετὰ Θεοῦ τὰ τοῦ Θεοῦ καταπράξα-
σθαι. Παρίημι δὲ τὰς μετὰ ταῦτα συμβησομένας
ἀμφιβολίας, ὧν αἴτιοι δόξομεν ἡμεῖς γεγενῆσθαι,
τὰ τῶν σκανδάλων ὑπολιπόμενοι σπέρματα· καὶ
πρόῤῥιζον ἀνασπᾶν τὸ δεινὸν ἐξὸν, οὐ βεβουλημέ-
νοι. Καὶ μὴν πολλοῖς ἄλλοις τρόποις ἀπονωτέροις
καὶ ῥᾳδίοις τὴν θρυλλουμένην πράττειν ἔχοντες ἕνω-
σιν, ἐκείνους πάντας ἀφέντες, οἰκουμενικὴν σύνοδον
συγχωρεῖν, καὶ ταύτῃ τὸ πᾶν ἐπιτρέπειν ἐβουλευ-
σάμεθα· οὕτω γὰρ μόνον μενεῖν τὰ δόξαντα κύρια,
μηδενὸς ἀντιλέγειν τολμῶντος οἷς ἂν τοιαύτη σύν-
οδος ἀποφήναιτο· καὶ πανταχοῦ τῶν περὶ τῆς ἑνώ-
σεως συνθηκῶν συνεχῶς ἔστιν ἰδεῖν τὸ πρόσρημα
τοῦτο· καὶ τοὺς ἑκατέρωθεν πρέσβεις μέμνησθε
δήπου κἂν τοῖς λόγοις αὐτῶν κἂν τοῖς γράμμασιν
ἄνω καὶ κάτω τοῦνομα στρέφοντας, καὶ δι' ὅλου τότε
τοῖς ἀκούουσι γενομένους.

Τὴν δ' ἱερὰν ταύτην σύνοδον, τὸ μὲν ἐξ ἁπάντων
ἢ τῶν γε πλείστων τῆς οἰκουμένης μερῶν ἐλθεῖν
τινας, τῶν ἐνταῦθα λόγων καὶ πράξεων κοινωνήσον-
τας, καὶ μιᾷ χρησομένους γνώμῃ περὶ τῶν ὅλων,
οἰκουμενικὴν ἀναμφιβόλως ποιεῖ. Ἀνάγκη δὲ κἂν
τοῖς ἄλλοις αὐτῇ τὸ σχῆμα τῶν οἰκουμενικῶν συνό-
δων ἀκριβῶς περισώζειν· ὧν ἓν ἐστι καὶ τὸ προὔρ-
γου μὲν περὶ τῶν ἑκάστοτε ζητουμένων σκοπεῖν,
καὶ τῶν αἰτίων τοῦ σχίσματος· καὶ μετὰ πολλοὺς
ἀγῶνας καὶ λόγους ἑκατέρωθεν γινομένους τῇ μὲν
ἀληθὲς ἀνευρίσκειν, τῇ δὲ τοὐναντίον· κἀκεῖνο
μὲν ἀναγορεύειν, τὸ δὲ ψεῦδος ἀποκηρύττειν· καὶ
τοὺς μὲν πειθομένους ὀρθοδόξους εἶναι λοιπὸν, τοὺς
δ' ἔτι φιλονεικοῦντας ταῖς τῶν αἱρετικῶν εὐθύναις
ὑπάγεσθαι· ὥστε δύνασθαι τὴν οἰκουμένην πᾶσαν
ἐκεῖθεν ἁπλῆν περὶ τῶν πρότερον ἀμφισβητουμέ-
νων δόξαν φυλάττειν, καὶ τοὺς ἄλλο τι λέγοντας μὴ
προσίεσθαι. Τοῦτο μὲν πρὸ πάντων τῶν ἄλλων·
μετὰ δὲ ταῦτα καὶ τῆς ἄλλης εὐταξίας τῶν ἐκκλη-
σιῶν προνοεῖν, καὶ τὸν τῶν ἀνθρώπων βίον ῥυθμί-
ζειν κανόσι καὶ νόμοις πρὸς τοῦτο φέρουσι· κἂν τι-
νες ἰδίας δέωνται δίκης, μηδὲ τούτων καταφρονεῖν.
Ἂν τοίνυν καὶ αὕτη παράδειγμα τὰς τοσαύτας συν-

A vere gaudebimus, et illis qui nos excipient. lætitiam
ut capiant suadebimus. Si vero aliud quid fiat, pa-
cis umbram, et conciliationis simulacrum, et dogma-
tum dissensionem, et scandalorum exordium, et
rem haud primo loco expetitam, et necessitatis con-
ventionem appellabunt omnes. Et simplicioribus
quidem peregisse aliquid fortasse videbimur; sua-
debimusque illis ut pacis nomine contenti sint,
et nihil aliud requirant: at sapientum probris jure
obnoxii erimus, objicientium nobis egregium pacis
nomen, spesque in nihilum redactas, et apparentem
tantummodo conciliationem; dum non etiam com-
munis omnium felicitatis proditores vocent, quod
prope accedentem, et veluti porrectis manibus ad-
B vocantem prehendere noluerimus, sed nosmet alio
facilius converterimus. Verum hisce etiam probris
omissis, neque nobis ipsis persuadere poterimus,
occasiones oblatas fuisse a nobis bene arreptas, et
inter ea quæ nostrarum virium erant, potioribus
nos adhæsisse, remque Dei cum Deo egisse. Præ-
tereo quæstiones, quæ postea emergent, quarum
nos actores fuisse videbimur, relictis seminibus
scandalorum, et non evulso radicitus malo, cum
hoc in nostra voluntate situm esset. Et certe mul-
tis aliis expeditioribus facilioribusque modis decan-
tatam hanc unionem facere licebat; illis tamen
omnibus posthabitis, celebrandæ generalis synodi
remque illi totam permittendi consilium iniimus;
quod hac ratione tantum futurum esset, ut firma
C et stabilia manerent decreta, audente nemine iis
adversari, quæ hujusmodi synodus pronuntiasset, et
clausulam hanc in omnibus scripturis, quibus conti-
nentur pacta et conventiones perficiendæ unionis, vi-
dere licet assidue repetitam; et legatos utrinque mis-
sos meministis certe et loquendo et scribendo passim
usos esse hac voce, ut auditores tunc afficerent tædio.

Quod igitur ad hanc sacram synodum ex omni-
bus, aut certe plurimis orbis terrarum partibus
convenerint aliqui, sermonum ejus actorumque
futuri participes, eamdemque laturi sententiam de
summa rerum, hoc illam procul dubio facit œcume-
nicam; necesse vero est, ut in reliquis etiam œcu-
menicarum ei synodorum forma perfecte servetur,
quorum unum est, ut ea quæ quotidie quæruntur,
D et causas schismatis accurata consideratione me-
ditetur et post multa certamina sermonesque habitos
utrinque, comperiat tum verum, tum etiam oppositum et illud quidem promulget, eliminet vero mendacium: ut qui parent, jam sint orthodoxi, qui vero adhuc refragantur, censuris subjiciantur hæreticorum, possitque orbis terrarum universus simplicem deinceps de rebus antea controversis tenere sententiam, et aliter dicentes rejicere. Hoc igitur ante omnia quævis agentium, tam reliquo ecclesiarum apto ordini consulendum, et hominum vita canonibus et legibus ad hoc spectantibus instituenda; et si qui sunt qui velint privatam sibi litem dirimi, neque hi contemnendi. Si igitur hæc etiam, exemplum sibi statuens tot synodorum, ex iisdem

unde et illæ, orsa fuerit, volueritque in ea pari, ne A dicam majori, studio incumbere ; deinde etiam de reliquis, quibus providentia vestra opus est, æque ac illæ cogitaverit, nemo erit qui hanc ipsam inter alias œcumenicam esse negaverit, et ejusdem qua sunt aliæ dignitatis ; nec erit quo aliquis confugiens, velit parvipendere quæ ab ea fuerint decreta, existimans perinde esse hanc atque antea celebratas aspernari, timensque tum exsecrationes hominum, tum pœnas desuper irrogandas. Alioqui multi erunt, qui illi insidientur, et nunc quidem fortasse nemo contradicet, ne videatur etiam impedimento esse bono concordiæ; et quod præterea sciat rem esse arduam tanto numero prævalere, si conetur illos eo verbis pertrahere, quo animus non propendet; tempore vero procedente non pauci B decreta vestra volent convellere, veneranda hac vos appellatione denudantes; denudabunt autem, quia generalium conciliorum formam multitudine tantum servatam a vobis dicent, in rebus vero maxime necessariis viam vos iniisse plane illis contrariam, ut qui conventum egeritis ob aliud quidvis potius, quam dogmatum veritatis ergo. Atque ita soli nos fortasse pace fruemur, posteris vero nostris bellum illico relinquemus vel priori deterius; sicque nullum nobis afferet fructum omne hujus appellationis studium. Quod ne fiat, generalium conciliorum dignitas per exactam illorum imitationem huic etiam est adaptanda, et ne ullum ei periculum immineat ex dissimilitudine, prospiciendum. Nam etsi C piæ mentis hominum animos prætextus isti non turbabunt, nec erit quisquam, qui honestum insequens concilio inferat bellum; bene tamen nostis, adversus maxima et summæ utilitatis opera non modo perditissimos homines, sed adversarios quoque nostros ab initio dæmones struere insidias, similium sui hominum ad hoc opera et auxilio utentes. Porro autem dæmonibus Ecclesiarum pace nihil injucundius, ex qua totus bonorum circulus pendet, et quam Salvator ascendens reliquit hominibus: tantumdem enim erat hanc largiri, atque omnia simul tradere bona, quæ præsens nobis tribuere poterat. Sicut ergo inimici pacis omnes ad eam evertendam adhibebunt machinas, et omnes captabunt occasiones ; ita nos quoque, quod futurum est prospicientes, omnem decet illis viam malefaciendi præcludere, pacisque bonum usquequaque tutum reddere, ut necessario improbi vel acquiescentes non ciant turbas, vel adorientes nihil efficere valeant, experimentoque sciant cœlum se voluisse ferire capite. Illud præterea considerandum, futuros homines pravos non modo sententiis nostris molestos, et easdem rursus controversias et pugnas copiosius revocaturos, si quam nacti fuerint criminandi nos occasionem, sed multa quoque alia bella excitaturos, veramque fidem multa confusione oppleturos. Et nunc quidem in Orientalem et Occidentalem Ecclesiam divisa est Christianorum multitudo, tunc autem ne numerari quidem sectæ poterunt,

ὁδοὺς προστησάμενη ἄρξηται μὲν ἀφ' ὧν ἐκεῖναι, καὶ περὶ ταῦτα τὴν ἴσην, ἵνα μὴ λέγω πλείω, σπουδὴν ἐνδείξασθαι βουληθῇ· ἐπομένως δὲ καὶ περὶ τῶν ἄλλων, ὁπόσα δεῖται προνοίας, τὸν αὐτὸν ἐκείναις σκέψηται τρόπον, οὐδεὶς ἂν ἀντείποι μὴ καὶ ταύτην οἰκουμενικὴν εἶναι, καὶ ταυτὸ ταῖς ἄλλαις ἔχειν ἀξίωμα· οὐδ' ἕξει τις εἰς ὅ τι καταφυγὼν, ὧν ἂν αὕτη ψηφίσαιτο, καταφρονεῖν βουληθείη, ἡγούμενος ἴσον εἶναι ταύτην τε καὶ τὰς πρὸ αὐτῆς ἀτιμάζειν· καὶ δεδιὼς μὲν τὰς ἐκ τῶν ἀνθρώπων ἀρὰς, τρέμων δὲ τὰς ἄνωθεν δίκας· ἄλλως τε πολλοὺς ἕξειν τοὺς ἐπιβούλους· καὶ νῦν μὲν ἴσως οὐδεὶς ἀντερεῖ, μὴ καὶ δόξῃ τὸ τῆς ὁμονοίας ἀγαθὸν ἐμποδίζειν, καὶ ἅμα εἰδὼς ὡς χαλεπόν ἐστι τοσούτων περιγενέσθαι, ἐφ' ἅπερ οὐ προθυμοῦνται, τοῖς λόγοις πείθειν πειρώμενον· οὐκ ὀλίγοι δὲ τοῦ χρόνου προβαίνοντος τὰ μὲν ὑμῖν δόξαντα σαλεύειν θελήσουσι, τῷ τὴν σεμνὴν ταύτην προσηγορίαν ἡμῶν ἀφελέσθαι. Ἀφαιρήσονται δὲ, πλήθει μόνον σώζειν ὑμᾶς τὸν τῶν οἰκουμενικῶν συνόδων λέγοντες χαρακτῆρα, ἐν δὲ τοῖς ἀναγκαιοτάτοις καὶ σφόδρα τὴν ἐναντίαν ἐκείναις ἐλθεῖν, ὡς περὶ πάντων μᾶλλον ἢ περὶ τῆς τῶν δογμάτων ἀληθείας τὸν σύλλογον πεποιημένους· καὶ οὕτως αὐτοὶ μόνοι τῆς εἰρήνης ἀπολαύσομεν ἴσως, τοῖς δὲ μεθ' ἡμᾶς εὐθὺς καὶ χείρω τοῦ προτέρου καταλείψομεν πόλεμον· καὶ οὕτως ἡμῖν ἀνόνητος ἔσται ἡ περὶ ταυτησὶ τῆς προσηγορίας πᾶσα σπουδή. Ὅπερ ἵνα μὴ γένηται, τὸ τῶν οἰκουμενικῶν συνόδων ἀξίωμα τῷ πρὸς ἐκείνας ἀκριβεῖ ζήλῳ καὶ ταύτῃ προσαρμοστέον· καὶ ὅπως μηδεὶς ἐκ τῆς ἀνομοιότητος ἕπηται κίνδυνος αὐτῇ, φροντιστέον. Εἰ γὰρ μὴ καὶ τὰς τῶν εὐγνωμόνων ψυχὰς αἱ προφάσεις αὗται ταράξουσι, μηδ' ἔσται μηδεὶς ὁ τοῦ καλοῦ χάριν τὸν πρὸς αὐτὴν ἀναδεξόμενος πόλεμον· ἀλλ' ἴστε δήπου καλῶς τοῖς μεγίστοις καὶ λυσιτελεστάτοις τῶν ἔργων οὐ τοὺς πονηροτάτους μόνον ἀνθρώπους, ἀλλὰ καὶ τοὺς ἀνέκαθεν δυσμενεῖς ἡμῖν ἐπιβουλεύοντας δαίμονας, ὁμοίοις ἀνθρώποις συνεργοῖς πρὸς τοῦτο χρωμένους. Δαίμοσι δὲ ἄρα τῆς τῶν ἐκκλησιῶν εἰρήνης οὐδὲν ἀηδέστερον, ἧς ἅπας ὁ τῶν ἀγαθῶν ἀπήρτηται κύκλος, καὶ ἣν ὁ Σωτὴρ ἀνῆλθε τοῖς ἀνθρώποις καταλιπὼν, ὡς ἴσον ὂν ταύτην τε χαρίσασθαι, καὶ πάντων ἀθρόων μεταδοῦναι τῶν ἀγαθῶν, ὁπόσα παρὼν ἡμῖν παρέχειν ἠδύνατο. Καθάπερ οὖν οἱ τῆς εἰρήνης ἐχθροὶ πᾶσαν ἐπὶ τῇ ταύτης ἀνατροπῇ κινήσουσι μηχανὴν, καὶ προφάσεις πάσας διερευνήσονται, οὕτω δεῖ καὶ ἡμᾶς τὸ μέλλον προορωμένους πᾶσαν μὲν αὐτοῖς ὁδὸν ἀποκλεῖσαι τῆς κακουργίας, πανταχόθεν δὲ τὸ τῆς εἰρήνης ἀγαθὸν ἀσφαλίσασθαι· ἐξ ὧν ἡ πειθομένους ἡσυχάζειν ἀνάγκη τοὺς πονηροὺς, ἢ προσβάλλοντας ἀσθενεῖν, καὶ πείρᾳ μανθάνειν, ὡς ἄρα τῇ κεφαλῇ τὸν οὐρανὸν ἐγνώκασι προσαράττειν. Πρὸς δὲ τούτοις κἀκεῖνο πρέπει σκοπεῖν. Οὐ γὰρ μόνον ταῖς ἡμετέραις ἐνοχλήσουσι ψήφοις οἱ πονηροὶ τῶν ἀνθρώπων, καὶ πάλιν τὰς αὐτὰς μετὰ περιουσίας εἰσάξουσιν ἀμφισβητήσεις καὶ μάχας, ἐάν τις αὐτοῖς τῶν καθ' ἡμῶν ἐγκλημάτων πρόφασις ᾖ, ἀλλὰ καὶ πολλοὺς ἄλλους

ἐγεροῦσι πολέμους, καὶ πολλῶν συγχύσεων τὴν ἀληθινὴν ἐμπλήσουσι πίστιν. Καὶ νῦν μὲν εἰς Ἀνατολικὴν καὶ Δυτικὴν Ἐκκλησίαν τὸ τῶν Χριστιανῶν διῄρηται πλῆθος· τότε δὲ οὐδὲ ἀριθμεῖν ἐξέσται τὰ τμήματα, ἑκάστου πρὸς ἑαυτὸ τεμνομένου καὶ στασιάζοντος, ἄλλων ὑπ' ἄλλου φιλονεικίας ἀφορμῶν σπειρομένων. Εἰ γὰρ ἔτι τῆς συνόδου ταύτης προσδοκωμένης, ἥτις ἐμελλε τὰς μεγίστας τῆς οἰκουμένης μοίρας συνάψασα, εἶτα καὶ περὶ τῶν ἐκτεταγοῦ καινοτομηθέντων ἐπιμελῶς σκοπουμένη, τὴν ἀληθῆ καὶ βεβαίαν ψῆφον πᾶσιν ἐπάγειν, διῄρηντο μὲν οἱ πρότερον ἡνωμένοι, ἡ δ' ὅπως ποτὲ κρατήσασα μοῖρα τοὺς ἡττημένους ἐπαράτους καὶ τῶν ἀπίστων χείρους ἡγήσατο, καὶ μέχρι τοῦ νῦν ἀπὸ τῶν τῆς ἔριδος ἐκείνης ἀρξαμένων κηλοῦσα, καὶ σχίσμα ἐν σχίσματι παλαιῷ γέγονε νέον, ἐν ἐλάττοσι μὲν, πολὺ δὲ νικῶν τῇ τε ὕλῃ τῶν ζητουμένων καὶ τῷ μίσει τῷ πρὸς ἀλλήλους, ἥδιστα γὰρ ἂν ἐγεύσαντο καὶ σαρκῶν· τί χρὴ προσδοκᾶν, ὁπότε σύνοδον οἰκουμενικὴν ἐλπίζειν οὐκ ἔσται; ἧς μόνης ἔμελλον δεδιέναι πάντες τὰς ψήφους, ἀδήλους ὁποτέροις ἀρίσκειν μέλλουσιν οὖσας. Τοιαύτην δὲ σύνοδον τίς νοῦν ἔχων ἐλπίσει ποτὲ, τὴν τοσούτοις ξδη χρόνοις μελετωμένην, καὶ μετὰ τοσαύτης ἑκατέρωθεν δυσχερείας συστᾶσαν, ἐκ τοῦ μὴ δυνηθῆναι διασῶσαι ταύτην αὐτῇ τὴν προσηγορίαν βλέπων ἀκυρουμένην;

Οὐκοῦν τοῦ χρόνου καινὸν ἀεί τι προσεξευρίσκοντος, καὶ τῶν ἀνθρώπων δι' ἄγνοιαν ἢ φιλονεικίαν ἐχομένων τοῦ ψεύδους, καὶ τὰς ἐν δόγμασι διαφορὰς ἔστιν ὅτε προφάσεις τοῦ πρὸς ἀλλήλους ποιουμένων πολέμου, ἐφ' ὃν δ' οἱ μετὰ τῆς ἀληθείας ἱστάμενοι καταφεύξονται, καὶ οὐ τὴν ψῆφον ἁρμόττει πάντας αἰδεῖσθαι, μήτ' ὄντος μήτε προσδοκωμένου, ἀνάγκη πάντας δεινῶς ἀλλήλοις συρρήγνυσθαι· καὶ διδασκάλους τῆς ἀληθείας ἑκάστους ἑαυτοῖς γινομένους, τῶν ἄλλο τι φρονούντων καταψηφίζεσθαι καὶ τὸ δὴ πάντων χείριστον, αἱρετικοὺς καὶ ἀπίστους ἀποκαλεῖν, οὐ καθάπερ νῦν διαφερομένους καὶ σχισματικοὺς καὶ τὰ τοιαῦτα προσαγορεύουσι, τὰς συνοδικὰς ὑποστελλόμενοι ψήφους. Τούτων δέ τι ἂν γένοιτο χεῖρον; Οὔτε γὰρ εἴσεταί τις τῶν ἁπλουστέρων, τί ἂν δέοι φρονεῖν καὶ τίσι προσθέσθαι, οὔτ' ἀκίνδυνον ἔσται τοῖς ὁποιονοῦν ἑλομένοις, εἰς πολλὰ νενεμημένου τοῦ ψεύδους· καὶ τὸ μέγιστον εἰς σωτηρίαν, ἡ πίστις, ἐκ τῶν ἀνθρώπων κατ' ὀλίγον οἰχήσεται. Καὶ νῦν μὲν ἀκούοντες εἶναί που καὶ σώζεσθαι τὰς ἐξ ἀρχῆς γεγενημένας αἱρέσεις ἡγούμεθα θαυμαστὸν, εἰ τοσαῦτα διαφερόμενοι πρὸς ἀλλήλους, καὶ οὕτω πολλαῖς καὶ ποικίλαις ἐναντιότησι συζῶντες ἄνθρωποι δύνανται συνοικεῖν· τότε δὲ τοῦτ' τὸ δεινὸν τὴν οἰκουμένην πᾶσαν ἐμπλήσει· καὶ οὐδ' ἂν εἴ τις ἐκ τῶν ἐθνῶν πρὸς τὴν ἀληθινὴν ἐπιστρέφειν βούλοιτο πίστιν, τίσι χρήσεται τῆς ἐπιθυμίας ὁδηγοῖς τε καὶ διδασκάλοις εἰδείη καλῶς· μᾶλλον δὲ τὴν τοσαύτην ἀσυμβασίαν ὁρῶν, οὐδ' ἂν βουληθείη. Ἃ δεῖ μετὰ τῶν ἄλλων ἁπάντων προειδομένους ἡμᾶς, καὶ νομίσαντας ἐκεῖνον εἶναι τὸν χρόνον, ἐν ᾧ καθάπερ ἐν νυκτομαχίᾳ πάντες φυρόμενοι συμπίπτουσιν ἀλλήλοις καὶ συναπόλλυνται, καὶ τῶν μὲν ἀπολλυμένων οἶκτον λαβόντας, τῷ δὲ κατειληφότι τὴν Ἐκκλησίαν δεινῷ

singularum divisione partium in alias per seditiones intestinas, et variis varias contentionum disseminantibus causas. Nam si dum hæc synodus adhuc exspectaretur, quæ, maximis orbis terrarum partibus conjunctis, deinde novitatibus, quæ singulis in locis exortæ sunt, diligenter examinatis, veram certamque sententiam erat de omnibus latura, divisi quidem erant prius uniti, devictos vero pars utcunque superior exsecrata est, infidelibusque deteriores habuit, et ad hanc diem eo nomine vocat usque a primis illis qui fuerunt pugnæ auctores, novumque in antiquo schismate, pauciorum quidem, sed longe superans et materia quæsitorum, et mutuo inter se odio, libentissime enim vel carnes ipsas degustassent: quid exspectandum, quando nulla spes erit œcumenicæ synodi, cujus tantum calculos erant formidaturi, quod incertum esset secundum quos illa esset decretura. Talem vero synodum quis unquam mentis compos speraverit, si hanc tanto ante meditatam tempore, tanta vero utrinque cum difficultate coactam, irritam videat, quod sibi nomen hoc tueri minus potuerint?

Cum igitur tempus novi semper aliquid adinveniat, et homines, sive ob ignorantiam, sive ob certandi studium, mendacio adhæreant, et differentias dogmatum quandoque faciant causas pugnarum, nullusque sit, aut exspectetur, ad quem confugiant qui pro veritate stant, cujus sententiam conveniat omnes revereri: necesse est omnes inter se manus conserant, dumque sibi quisque fit veritatis magister, aliter sentientes condemnet; quodque deterrimum omnium est, hæreticos infidelesque appellet, non uti nunc fit, ob discrepantiam, schismaticos et id genus alia, metu synodicæ definitionis. Hoc porro statu rerum quid pejus? nemo enim simpliciorum sciet quid sentiendum, quibusve assentiendum: nec erit a periculo vacuum quodcunque quisque delegerit, mendacio multifariam diviso: ex quo fiet ut res ad salutem maxime necessaria, fides paulatim hominibus abeat. Et nunc quidem audientes, exstare alicubi hæreses principio exortas, mirum putamus, si homines tanta inter se opinionum diversitate, tam multis, tam variis, tam contrariis sententiis discordes possint simul habitare, tunc autem malum hoc totum terrarum orbem occupabit: nec si quis a gentilitate velit ad veram converti fidem, scire poterit plane, quibus utendum sit desiderii sui ducibus ac magistris, quin imo tantam inspiciens discrepantiam, ne voluerit quidem. Quæ nos ac cætera omnia prospicientes, existimantesque illud esse tempus, quod veluti conserta nocturna pugna permisit omnes, alter in alterum corruunt, simulque pereunt; pereuntium commiseratione motos, malo vero quod Ecclesiam depascitur, debitam objicientes providentiam, oportet unicam omnium causam resecare. Ad hanc enim nou

opus erit alio seorsum tractatu, aut aliis laboribus, aut temporis mora: nec si res in præsenti bene componantur, opus erit de his iterum sedentes cogitare, sed quod oportet adhibere ad præsentia, hoc vobis erit pharmacum etiam ad futura. Nam si effeceritis ut revera synodus œcumenica habeatur, ex quo etiam fiet ut firma sint quæ a vobis fuerint decreta, nemo, quidquam de rebus jam definitis in dubium vocans, fieri unquam schismatis auctor voluerit, et Ecclesiam sciens hoc animadversuram, et pœnas ab œcumenica synodo constitutas reformidans; quod par est tunc potius, utpote toto terrarum orbe idem sentiente, quam nunc exspectare.

Et hanc quidem synodum non minus a Spiritu, quam de Spiritu dicimus congregatam, quæ illi videntur definituram: id vero quanam alia ratione re ipsa ostendatur, præterquam si cætera quidem parvipenderimus, veritatem autem de ejus processione modis omnibus examinaverimus, et sine hoc nulla ratione hinc recedere passi erimus? aut quomodo illi rem magis gratam facere possimus, a quo solo, qui amor est et dicitur, sperare convenit bonum concordiæ, quam si sanas ac pias de ipso sententias investigaverimus, puramque ac sinceram in eum fidem reperire et conservare voluerimus? Cum enim ille sit Spiritus veritatis, vult quidem nos cujuslibet veritatis esse studiosos, nobisque ad eam viæ ducem se præbe', ut qui sine ipso per illam ire citra periculum non possimus: sed eis potissimum oblectatur, qui volunt inquirere quid de ipso personisque ipsi consubstantialibus sit sentiendum, quod ii maximam primamque veritatem assequi cupiant: nec eos patitur in hujusmodi cogitationibus mendacii nexibus implicari. Quod si qua sit dubitatio, congregat eos undique, qui toto animo veram inquirant sententiam, eamque sine contentione amplectantur, efficitque ut veritatem quæsitam inveniant, dummodo non sint superbi ejus investigatores, suæque virtuti rem totam committant. Quorsum enim vos congregavit Spiritus, nisi ut verum aliquod beneficium in totum conferat orbem, unde vos collecti estis? certe enim non ut divitiis augeat, et potentatus vobis acquirat, cum possit de quibusdam fortasse nonnihil conqueri ob possessarum etiam dispensationem facultatum: neque ut præclaros illos restituat titulos, et verbosas inscriptiones a schismate rite sublatas: quæ tumoris potius superbiæque ostentationem habent hominum Spiritui obsistentium. Sed hæc quidem ad vera bona sunt veluti adventitiæ partes, quæ nobis a Spiritu venient, et præmia quædam susceptorum pro veritate laborum, ad præbendum angusto parvoque animo nostro solatium: quæ non paucis arbitror sapientibus erunt contemptui, ne si deuntur quidem recipienda; quod illi sola veritatis notitia sint contenti, præmiumque rebus omnibus æquivalens id putent hominibus, qui pro illa decer-

A τὴν ὀφειλομένην ἀντιτάξαντας πρόνοιαν, τὴν μόνην ἁπάντων αἰτίαν περιελεῖν. Ἐπὶ γὰρ ταύτην οὐκ ἰδίας δεῖ πραγματείας, οὐδὲ πόνων ἄλλων οὐδὲ χρόνου τριβῆς· οὐδὲ τὰ παρόντα διοικουμένους καλῶς δεήσει περὶ τούτων καθημένους σκέπτεσθαι πάλιν· ἀλλ' ὃ πρὸς τὰ παρόντα δεῖ προελέσθαι, τοῦθ' ὑμῖν καὶ τῶν μελλόντων φάρμακον ἔσται· ἂν γὰρ ὅπως ἀληθῶς οἰκουμενικὴ νομισθήσεται σύνοδος διαπράξησθε, ἐξ οὗ καὶ τὰ περὶ τῶν προκειμένων δόξαντα κρατεῖν ὑμῖν περιέσται, οὐδείς ποτε, κινῶν τι τῶν καθεστώτων, σχίσματος ἀρχὴ γενέσθαι βουλήσεται· εὖτε περιοψομένην τὴν Ἐκκλησίαν εἰδὼς, καὶ τὰς ἐκ τῆς οἰκουμενικῆς συνόδου φυλαττόμενος δίκας, ἣν τότε μᾶλλον ἢ νῦν, ὅτε τῆς οἰκουμένης ἁπάσης ὁμονοούσης προσδοκᾶν ἐστιν εὔλογον.

B Καὶ μὴν τὴν μὲν σύνοδον ταύτην ὑπὸ τοῦ Πνεύματος οὐδὲν ἧττον ἢ περὶ τοῦ Πνεύματός φαμεν συνηθροῖσθαι, τὰ ἐκείνῳ δοκοῦντα ψηφιουμένην· πῶς δ' ἂν ἄλλως ἐπ' αὐτῶν τῶν πραγμάτων τοῦτο δειχθείη, ἢ τὰ μὲν ἄλλα περιιδόντων ἡμῶν, τὴν δὲ περὶ τῆς αὐτοῦ προόδου πᾶσι τρόποις ἐξητακότων ἀλήθειαν, καὶ τούτου χωρὶς μηδ' ἀπελθεῖν ἐντεῦθεν ἀνασχομένων; Ἢ πῶς ἂν δυνηθείημεν αὐτῷ χαρίσασθαι μᾶλλον, παρ' οὗ μόνου καὶ τὸ τῆς ὁμονοίας εἰκὸς ἐστιν ἐλπίσαι καλὸν, ἀγάπης ὄντος καὶ λεγομένου, ἢ τὰς ὑγιαινούσας ὑπὲρ αὐτοῦ θηρώμενοι δόξας, καὶ τὴν εἰς αὐτὸ πίστιν εἰλικρινῆ καὶ ἀκίβδηλον εὑρεῖν καὶ σώζειν βουλόμενοι; Ἐκεῖνο γὰρ ἀληθείας ἐραστὰς ἡμᾶς εἶναι βούλεται, καὶ τὴν πρὸς αὐτὴν ὁδὸν ἡμῖν ὑφηγεῖται, ὡς ἄνευ αὐτοῦ μὴ C δυναμένοις ἀκινδύνως ταύτην ὁδεύειν· τοῖς δ' ὅ τι δεῖ φρονεῖν ὑπὲρ αὐτοῦ καὶ τῶν ὁμουσίων τούτῳ προσώπων ἐξετάζειν ἐθέλουσι, τούτοις ὡς τῆς μεγίστης καὶ πρώτης ἀληθείας ἐφιεμένοις πάντων μάλιστα χαίρει· κἀν ταῖς τοιαύταις ἐννοίαις οὐ συγχωρεῖ τούτους ταῖς πλοκαῖς τοῦ ψεύδους ἁλίσκεσθαι. Ἂν δέ τις ἀμφισβήτησις ᾖ, συλλέγει μὲν πανταχόθεν τοὺς ὁλοψύχως τὴν ἀληθῆ γυμνάσοντας δόξαν, καὶ ταύτῃ προσθησομένους· ἄνευ φιλονεικίας. Ὅπως δ' ἂν τῆς ἀληθείας τύχωσι, πράττει, ἂν μόνον οὐκ ἀλαζόνες τινὲς ὦσιν αὐτῆς θηραταὶ, καὶ τῇ σφῶν δυνάμει τὸ πᾶν ἐπιτρέποντες. Ἢ τί βουλόμενον ἡμᾶς συνῆξε τὸ Πνεῦμα, ἢ τί τῶν ἀληθῶν ἀγαθῶν τὴν οἰκουμένην πᾶσαν εὐεργετῆσον, ὅθεν D ὑμεῖς συνελέγητε; Οὐ γὰρ δὴ χρήματα προσθῆσον ὑμῖν, καὶ δυναστείας καταχτησόμενον, ὧν ἐνίοις καὶ τῆς τῶν ὑπαρχόντων οἰκονομίας ἴσως ἔχει τι μέμφεσθαι· οὐδὲ τὰς σεμνὰς ταύτας ἀποδῶσον ἐπωνυμίας, καὶ τὰς πολυτυλλάβους ἐπιγραφὰς ὑπὸ τοῦ σχίσματος καλῶς περιαιρεθείσας· αἳ τύφου μᾶλλον καὶ ὑπερηφανίας ἀπόδειξιν ἔχουσι τῶν ἀντικαλισταμένων τῷ Πνεύματι. Ἀλλὰ ταῦτα μὲν ὥσπερ ἐπεισόδια τῶν ὡς ἀληθῶς εἰσιν ἀγαθῶν, ἅπερ ἡμῖν παρὰ τοῦ Πνεύματος ἥξει· καὶ ἆθλά τινα τῶν ὑπὲρ τῆς ἀληθείας καμάτων, τὴν ἡμετέραν μικροψυχίαν παραμυθούμενα· ὧν οὐκ ὀλίγους οἶμαι τῶν νοῦν ἐχόντων καταφρονήσειν, καὶ δεδόμενα μὴ προσήσεσθαι, τῇ γνώσει τῆς ἀληθείας ἀγαπήσαντας μόνῃ, καὶ τοὐτὴν τοῦ παντὸς ἄξιον γέρας νομίζοντας

τοῖς ὑπὲρ ταύτης ἠγωνισμένοις· εἰ δέ τι καὶ ἄλλο προσδοκᾷν ἔστιν ἄθλον, τὴν μέλλουσαν εὐδαιμονίαν καὶ τὴν τότε καθαρωτέραν γνῶσιν τῆς ἀληθείας, τοῦτ' εἶναι πιστεύοντας. Καὶ γὰρ καὶ τῇ γνησίᾳ τῶν ἀνθρώπων ζωῇ μέγα ταῦτα ἐμπόδιον ἴσμεν ἅπαντες ὄντα· οὗ χάριν καὶ τοὺς ἐκείνης ἐφιεμένους ὁρῶμεν ἥκιστα τῇ τούτων κτήσει προσέχοντας. Ταῦτα μὲν οὖν τοιαύτην ἔχοντα φύσιν, οὔθ' ἡμῖν εὔπρεπὲς ἂν εἴη προθύμως ζητεῖν, τὸ Πνεῦμα χαίρειν διωρυόμενον, ὥστε καὶ ἡμᾶς νῦν ἐνταῦθα συναγαγεῖν, τούτων μάλιστα τῶν ἀγαθῶν μεταδῶσον· ἀλλ' ὧν εἵνεκα συνηγμένοι· ἐφίσταται τοῖς ἀνθρώποις, καὶ τούτων γίνεσθαι μέσον οὐκ ἀπαξιοῖ, ἐπὶ τούτοις δὴ καὶ συνάγει, καὶ ταῦτα δίδωσι φιλοτίμως τοῖς λαμβάνειν προαιρουμένοις, ὁπόσα δηλονότι πρὸς δόξαν φέρει Θεοῦ, καὶ τὴν ἀληθῆ τῶν λαμβανόντων ὠφέλειαν. Οὐκοῦν καὶ ἡμᾶς τοὺς ἐνταῦθα συνήθροισε, διδάξον μὲν τὴν ἀλήθειαν, ἧς ἄνευ σωθῆναι τῶν ἀμηχάνων ἐστίν, εἰρήνην δὲ πρὸς ἀλλήλους κατασκευάσον, ἣν οὔτ' ἀγνοουμένης τῆς ἀληθείας ἔστι μένειν ἐν τοῖς ἀνθρώποις, κἀκείνης γνωριζομένης ἀνάγκη πᾶσα καὶ ταύτην ἐπανιέναι· καὶ τὴν Ἐκκλησίαν ἀπαλλάξον σκανδάλων, ἅπερ ὁ τῶν ζιζανίων σπορεὺς αὐτῇ συνήθως ἐπισπείρας πένητα καὶ στείραν ἐποίησε, καὶ πάλιν δεῖξον εὐθηνουμένην, καὶ τοὺς αὐτῆς συνάγουσαν παῖδας, καὶ μέχρι κόρου τούτους ἐκτρέφουσαν. Οὐ τοίνυν λόγον ἔχον ἐστὶν ὑπὸ μὲν τοῦ Πνεύματος συνῆχθαι νομίζειν, ὧν δὲ μόνων χάριν εἰκὸς ἐστιν ἡμᾶς ἐκεῖνο συναγαγεῖν, ταῦτα περιιδόντας ὅπως ποτὲ ἄλλο τι σκέπτεσθαι καθημένους· τοῦτο γὰρ καὶ τὸ Πνεῦμα πειραζόντων ἂν εἴη, καὶ σφίσιν αὐτοῖς ἐναντιουμένων. Ἐῶ γὰρ ὅτι καὶ τὸ τῆς ὁμονοίας καλὸν, δι' οὗ τῷ Πνεύματι συναπτόμεθα, περισώζειν οὐκ ἔστιν ἐπὶ τῆς ἰδίας ἑστηκότας ἑκάστους δόξης, ἀλλὰ μὴ μίαν αἱρεῖσθαι πάντας τὴν ἀληθῆ, καὶ ταύτην κρατύνειν ἐθέλοντας· χωρὶς δὲ τούτων ἡμῖν μὲν ὑπὲρ εἰρήνης ἐστὶν ἡ πᾶσα σπουδή· ταύτην δ' ἂν ἀληθὴς ᾖ καὶ τελεία, καὶ Θεῷ μὲν ἀρέσκουσα, ἡμῶν δὲ καὶ τῶν ἡμετέρων πόνων ἀξία, οὐδεὶς ἀγνοεῖ τριπλῆν οὖσαν τὴν μίαν, καὶ τρισὶν ἡμᾶς διαλλάττουσαν. Ἄνευ γὰρ τῶν φαινομένων διαλλαγῶν, καὶ τοῦ παύεσθαι λοιπὸν ἐπαρωμένους τὰ χείριστα, καὶ χεῖρα καὶ γλῶτταν ὁπλίζοντας κατ' ἀλλήλων, δεῖ μὲν πρὸς τὸν Θεὸν εἰρηνεύειν τἀληθῆ περὶ ἐκείνου φρονοῦντας· ἐπὶ τὸ τῆς ἀληθείας διαμαρτάνειν καὶ πρὸς τὸν Θεόν ἐστιν ἀπηχθῆσθαι· ἀνάγκη καὶ πρὸς αὐτὸν ἕκαστον τὸ τῆς εἰρήνης σώζειν καλὸν, τοῖς ἔνδον νοήμασι τῆς ψυχῆς τοὺς ἔξω λόγους παρέχοντα συμφωνοῦντας, καὶ μηδ' ἴχνος ἀμφιβολίας περὶ τῶν προκειμένων ἐν αὐτῷ καταλείποντα. Δεῖ γὰρ τὴν πρὸς τοὺς ἄλλους εἰρήνην ἐν ἡμῖν αὐτοῖς ἱδρύεσθαι πρῶτον· ἄλλως δ' εἰρηνεύειν προσποιησόμεθα, καὶ σχῆμα περικείμενοι φίλων τὰς τῶν ἐχθρῶν ἀηδίας ἔνδον κρύπτοντες λήσομεν. Οὐ γὰρ δήπου περὶ πραγμάτων ἡμφισβητοῦμεν ἀλλήλοις, ἃ συγχωρήσαντας τοῖς ἀφελομένοις, ἢ λαβόντας δικαίως, εἰκὸς ἐστι μηδ' ἐνοχλεῖν ἀλλήλοις λοιπὸν, μηδ' εἶναί τι τὸ

A tarunt: quod si alind quoddam exspectandum est præmium, hoc esse illi credunt felicitatem futuram, et clariorem tunc veritatis notitiam: nam et puræ germanæque hominum vitæ scimus omnes magno illa esse impedimento, quapropter et illius studiosis, si hæc possideant, videmus ea curæ non esse. Hæc igitur cum tali natura sint, nec decet a nobis dedita opera quæri, nec a Spiritu libenter donari, ut nos etiam hoc modo congregaverit ad bona hæc potissimum deferenda. Verum ad ea congregat, et ea suscipere volentibus munifice donat, quorum gratia coactis præest hominibus, et interesse illorum cœtui non dedignatur: quæcunque videlicet ad gloriam Dei conferunt, veramque suscipientium utilitatem. Itaque nos etiam, qui hic sumus congregavit, ut veritatem quidem edoceat, sine qua im-
B possibile est consequi salutem: pacem vero inter nos conciliet, quæ nec veritate ignorata manere inter homines potest, nec illa agnita necessario non redire; et scandalis Ecclesiam liberet, quibus pro more inseminatis zizaniorum sator inopem illam ac sterilem reddidit, efficiatque illum rursus copiose fecundam, suosque congregantem natos, et ministrantem illis alimenta ad satietatem. Non est ergo consentaneum putare quidem nos a Spiritu coactos: posthabitis vero illis, ob quæ tantum nos ille congregasse censendus est, tanquam otio fruentes quomodocunque alind agere: id enim fuerit tentantium Spiritum, sibique ipsis contraria facientium. Præterco vero concordiæ bonum, per quod
C Spiritui conjungimur, non posse consistere, si propriam quisque sententiam teneat, et non eligatur una ab omnibus, vera scilicet, quam velint etiam tueri. Quin imo nobis quidem totum pro pace gerenda est studium: quam si vera sitet perfecta, Deoque placita, et nobis ac nostris laboribus non indigna, nemo ignorat, una cum sit, triplicem futuram, tribusque nos reconciliaturam: nam præter exteriorem conciliationem, qua fiet, ut deinceps alter alteri pessima quæque imprecari desinamus, manumque et linguam in nos invicem non armemus, oportet pacem nobis esse cum Deo, vera de illo opinantibus: quandoquidem a veritate aberrare, cum Deo quoque est inimicitias gerere: necesse
D est etiam bonum pacis sibi quisque conservet, ut sermones qui proferuntur, consentientes exhibeat cum interiore animi sensu, et ne vestigium quidem dubitationis de rebus propositis sibi ipsi relinquat. Pax enim cum aliis firmanda prius est in nobis ipsis: alioquin pacem habere fingemus, et prætextu amicitiæ latenter fiet ut aversos animos intus occultemus. Neque enim controversia inter nos erat de rebus, quæ si raptoribus concedantur, aut si juste recipiantur, par est inter nos nullum fore amplius bellum, et nihil esse quod vetet pacem haberi pro perfecta: sed pugna bellumque nobis erat de opinionibus, quæ ipsum nostræ fidei caput attingunt: quarum alteram qui sequuntur, non possunt alteram omnino

parvipendere, cum stent ab utraque multa partim quidem ex Scripturis sumpta, partim vero humano studio reperta, quæ faciunt ut difficile omnibus videatur de his ferre judicium. Et opiniones istæ inter nos antea versabantur in controversia : et illud nos simul turbabat, timentes ne a veritate aberraremus, et maximam æstimantes calamitatem, si cui cum fratre pugnanti contingeret et cum Deo belligerare, abesse longe a veritate, pro quibus bellum erat susceptum. Hæc porro de illis dico qui sapiunt ; nam homines pervicaces et contentiosos, eosque qui pro vero illud solum habent cui semel adhæserint, et aures claudunt contrariis rationibus, missos facio : quos, non quod vera esse sciant quæ senserint, aut ejusmodi, ut refelli non possint, ea credere dicat quispiam : sed quia semel concepta sibi illa probantur.

Λατίνων τὴν προσθήκην ἀτιμαζόντων, καὶ παυομέ- fiunt a nobis, debet esse in primis propositum.
νων μετὰ ταύτης τὴν πίστιν ὁμολογεῖν, ἢ καὶ τῶν Erit porro hæc aut Latinis additamentum abjicien-
Γραικῶν αὐτὴν προστιθέντων ὡς ἀναγκαίαν. Μᾶλλον tibus, et cum illo fidei professionem emittere
δ' εἰπεῖν, τὰ μὲν τῆς ὁμολογίας ἕπεσθαι δεῖ, τὴν desinentibus, aut Græcis etiam illud ut necessa-
δὲ τῆς καρδίας πίστιν ἡγεῖσθαι, καὶ πρὸς αὐτῇ rium adjicientibus. Imo vero, ut melius dicam,
παγῆναι πρώτῃ τὴν γνῶσιν τῆς ἀληθείας καὶ τὴν confessio quidem sequi debet, fides autem cordis
ἐν αὐτῇ πάντων ἕνωσιν. Οὐκοῦν ἡ Λατίνους ἀγνοῆ- præcedere, in quo primum stabilienda est veritatis
σαι παντελῶς ἦν ἐφρόνουν κατάφασιν, καὶ παρὰ agnitio, omniumque per illam conjunctio. Aut ergo
μόνου τοῦ Πατρὸς πιστεύειν εἶναι τὸ Πνεῦμα, ἢ Latinos oportebit omnino affirmationem ignorare,
Γραικοὺς καὶ ἐκ τοῦ Υἱοῦ φρονεῖν ἐκεῖνο δεήσει· D quam tuebantur, et credere Spiritum esse a Patre
ἄλλος γὰρ οὐχ ὑπολείπεται τρόπος τοῖς γε κατ' solo, aut Græcos sentire illum esse etiam ex Filio :
ἀλήθειαν ἀλλήλοις σπένδεσθαι θέλουσιν. Ἐπεὶ νῦν etenim alius non restat modus iis, qui veram
ἐν ἀντιφάσει τούτων ἡ πίστις, ἧς οὐδὲν ἔστιν εὑρεῖν volunt pacisci pacem. Nunc enim fides horum in
μεταξύ, ἀλλ' ἀνάγκη θάτερον αὐτῆς ἀμφοτέρους contradictione est posita, quæ nullum admittit me-
μέρος ἀπωσαμένους, τοῦ λοιποῦ καὶ ἀμφοτέρους dium, sed necesse est alteram ejus partem utrique
ἔχεσθαι μόνου. Εἶτα τὴν πίστιν ἀπὸ καρδίας ἐπὶ τὰ abjiciant, et solam alteram utrique retineant ; de-
χείλη προάγοντας, διὰ τούτων ἐπὶ σωτηρίᾳ ταύτην inde fidem e corde ad os efferentes, per hoc illam
ὁμολογεῖν, καὶ οὕτως ὑπὸ μίαν καθολικὴν Ἐκκλη- fateantur ad salutem ; atque ita in unam omnes
σίαν πάντας τελεῖν, ἡ τὴν τῆς ἀληθοῦς ὁμολογίας catholicam conveniant Ecclesiam, quæ significare
καὶ δόξης δηλοῦν ἑνότητα βούλεται. Ταύτην ἐγὼ vult veræ confessionis et sententiæ unitatem. Hanc
τὴν ἀληθινὴν ἕνωσιν ὑπάρχειν ὁρίζομαι ἣν εἰσηγη- ego veram esse unionem statuo, quam pridem ipse
σάμην μὲν πρώην αὐτὸς, ἔπεισα δ' ὑμᾶς οὐκ ἂν quidem proposui, sed eam vobis suasisse non di-
εἴποιμι, καὶ πάλαι πεπεισμένους ὑφ' ἑαυτῶν, μᾶλ- xerim, cum a vobis ipsis jam olim persuasi essetis,
λον δ' ὑπὸ τοῦ Πνεύματος τοῦτ' εἶναι τὸ καλόν τε imo vero a Spiritu didicissetis, hoc esse pulchrum

et justum. Verum hanc multi ægre audiunt, quod ex sententiæ mutatione dedecus imprimatur. Et Latinos quidem dicere audio, rem esse gravem, si postquam per tot annos sententiam hanc tenuissent, et credidissent ipsi, atque in fidei Symbolo expressissent, necnon alios studiose docuissent, et scriptis eam veluti ex maximè necessariis unum probassent, ac rationibus demonstrassent : nunc puerorum more veritatem edocti ab aliis sua ipsi damnarent, et sibi quidem primis hanc notam inurerent, posteros vero etiam ejusdem participes facerent : ignorantiæ quoque et cæcitatis crimen non in se modo, sed in cunctos etiam suos majores conjicerent, inter quos multi habuere sanctitatis opinionem tantaque Ecclesiæ Romanæ inusta macula putarent se præclarum facinus fecisse : gravissimum vero illud esse, quod ita nescirent, an essent fundendæ preces pro suis majoribus, ut recte de fide sentientibus, et justa illis persolvenda : an vero deberent illos ut hæreticos, mendaciumque per totam vitam amplexos desperata eorum salute contemnere, et cognationis jura illis negare. Si enim, inquiunt, crederemus solum, ex Filio etiam procedere Spiritum sanctum, non accessisset autem et vocis confessio, tolerabile esset relicta una sententia sequi aliam. Potest enim utraque pars aliam quoque non rectam post schisma secuta sententiam, nunc ab ea discedere, dum mutuas sibi operas tradunt, nulla mutationem ignominia consequente, quod neutra pars statuerit illam tueri veluti quid fixum et necessarium ad salutem : cujus indicium est quod inter alia quæ ejusmodi sunt, non fuerit positum in fidei confessione. Cum autem relatum a nobis sit in numerum immobilium fidei dogmatum, et sine ulla hæsitatione per tam longa tempora prædicetur, ut ne illud quidem certo scire propemodum valeamus, quinam addiderint, aut qua permoti causa id fecerint, sed alii alia narrent; quis hoc dimoveri patiatur, ni prius velit extremam ferre ignominiam, et risui omnibus esse? Nulla enim fuerit ignominia major, quam si nobis ipsi simus testes erroris, et diuturnæ professionis mendacii; idque cum doctrina et exacta disserendi facultate aliis magistri veritatis esse possimus. Et hæc quidem audio a Latinis dici. Græcos vero arbitror et ipsos sapientiæ laudem sibi tribuentes, valde illud cavere ne videantur altercationem affectasse, et existimare turpe esse, videri se tanto tempore nugatos, et verissimam opinionem insectatos, fratrumque communionem aversatos : ex quo multa illos mala perpeti contigerit, nimirum ut soli contra ingruentem infidelitatis eluvionem absque sociis bella gerere cogerentur. Utrosque autem pariter existimo declinare ignominiam, si devincantur : quam putant cum eo conjunctam, quod est veritatem addiscere, et dediscere mendacium. Convenerunt enim utrique, ut videre licet, ea spe, ut alios doceant potius, atque ad suam traducant sententiam. Ego vero dixerim

καὶ δίκαιον διδαχθέντας. Ἀλλὰ ταύτην τοὺς πολλοὺς ἡ τῆς μεταβολῆς αἰσχύνη δυσχεραίνειν ποιεῖ. Καὶ τῶν μὲν Λατίνων ἀκούω λεγόντων, ὡς δεινὸν ἂν εἴη τῆς δόξης ταύτης τοσούτοις ἔτεσιν ἐγομένους, καὶ πιστεύοντας μὲν αὐτοὺς, κἀν τῷ τῆς πίστεως ὁμολογοῦντας Συμβόλῳ, διδάσκοντας δὲ τοὺς ἄλλους μετὰ σπουδῆς, κἀν τοῖς συγγράμμασιν ὥς τι τῶν πρὸς τὴν σωτηρίαν ἀναγκαιοτάτων ταύτην κυροῦντας καὶ λόγοις ἀποδεικνύοντας, νῦν ὥσπερ τινὰς παῖδας τὴν ἀλήθειαν ὑπ' ἄλλων διδιδαγμένους αὐτῶν καταγνῶναι· καὶ παθεῖν μὲν πρώτους αὐτοὺς τὸ δεινὸν, μεταδοῦναι δὲ τῆς αἰσχύνης τοῖς μετὰ ταῦτα, τῶν δὲ τῆς ἀγνοίας καὶ τυφλώσεως ἐγκλημάτων καὶ τοὺς πρὸ ἡμῶν πάντας ποιήσασθαι κοινωνοὺς, ἐν οἷς πολλοὶ τοῦ τῆς ἁγιωσύνης ὀνόματος ἔτυχον· καὶ τοσαύτην ἀδοξίαν τῆς Ῥωμαϊκῆς καταχέαντας Ἐκκλησίας οἴεσθαί τι κατωρθωκέναι· καὶ τὸ δὴ χείριστον ἁπάντων, ἄδηλον εἶναι, πότερον ὡς ὑπὲρ ὀρθοδόξων εὔχεσθαι δεῖ τῶν ἡμετέρων προγόνων, καὶ τὰς ὀφειλομένας αὐτοῖς ἀφοσιοῦσθαι τιμὰς, ἢ ὡς αἱρετικῶν καὶ τῷ ψεύδει συμβεβιωκότων καταφρονεῖν, τὴν αὐτῶν σωτηρίαν ἀπογινώσκοντας, καὶ τὴν αὐτῶν ἐκείνους σχέσιν ἀρνεῖσθαι. Εἰ μὲν γὰρ ἐπιστεύομεν μόνον καὶ ἐκ τοῦ Υἱοῦ προϊέναι τὸ Πνεῦμα, μὴ προσῆν δὲ καὶ ἡ τῆς γλώττης ὁμολογία, ἀνεκτὸν ἂν ἦν δόξαν δόξης ἀντιλαβεῖν· ἐνδέχεται γὰρ καὶ ἄλλο τι τῶν οὐ καλῶν μετὰ τὸ σχίσμα δοξάσαντας ἑκατέρους, νῦν ἀποθέσθαι τοῦτο παρ' ἀλλήλων ὠφεληθέντας, καὶ τὴν αἰσχύνην μὴ προσεῖναι τῇ μεταθέσει, ἅτε μηδετέρων ὡς ἀκίνητόν τι καὶ πρὸς τὴν σωτηρίαν ἀναγκαῖον ἐγνωκότων διαφυλάττειν· οὗ σημεῖον τὸ μηδ' ἐν τῇ τῆς πίστεως ὁμολογίᾳ τοῖς οὕτως ἔχουσιν αὐτὸ συνομολογεῖν. Ἐπεὶ δὲ τὴν τῶν ἀκινήτων δογμάτων τῆς πίστεως παρ' ἡμῶν ἀπείληφε τάξιν, καὶ πάσης ἄνευ ἀμφιβολίας τοσούτοις ἤδη χρόνοις κηρύττεται, ὡς μηδ' εἰδέναι δύνασθαι σχεδὸν ἀκριβῶς μήτε τοὺς προσθέντας, μήθ' ὑφ' ὧν πρὸς ταῦτα ἐκινήθησαν, ἀλλ' ἄλλους ἄλλο τι διηγεῖσθαι, τίς ἂν ἀνάσχοιτο τοῦτο κινεῖν, μὴ πρότερον ἀδοξίαν ἐσχάτην καὶ τὸ γέλως ἅπασιν εἶναι καταδεξάμενος; οὐδεμία γὰρ ἂν αἰσχύνη γένοιτο μεῖζων τοῦ μαρτυρεῖν ἡμῖν αὐτοῖς τὴν ἀπάτην, καὶ τὴν μακρὰν τοῦ ψεύδους ὁμολογίαν· καὶ ταῦτα σοφίᾳ καὶ λόγων δεινότητι διδασκάλους ἄλλοις τῆς ἀληθείας γίνεσθαι δυναμένους. Λατίνους μὲν ταυτὶ πυνθάνομαι λέγειν· τοὺς δὲ Γραικοὺς οἶμαι σφόδρα τὴν τῆς φιλονεικίας δόξαν φυλάττεσθαι, καὶ αὐτοὺς ἐπὶ σοφίᾳ φρονοῦντας, καὶ νομίζειν αἰσχρὸν, ἂν φανῶσι τοσοῦτον χρόνον ληροῦντες, καὶ τὴν ἀληθεστάτην δόξαν ἐλαύνοντες, καὶ τὴν τῶν ἀδελφῶν παραιτούμενοι κοινωνίαν· ἐξ οὗ δὴ καὶ πολλῶν δεινῶν πειραθῆναι σφίσι συνέβη, πρὸς τὸν τῆς ἀπιστίας κατακλυσμὸν ἄνευ συμμάχων πολεμεῖν ἀναγκαζομένοις. Κοινῇ δ' ἀμφοτέρους ἡγοῦμαι τὴν ἀπὸ τῆς ἥττης αἰσχύνην ἐκτρέπεσθαι, ἣν τῷ τε μαθεῖν τὴν ἀλήθειαν καὶ τῷ τὸ ψεῦδος ἀπομαθεῖν νομίζουσι συνεζεῦχθαι· ἑκάτεροι γὰρ, ὡς ἔστιν ὁρᾷν, ἐπὶ ταῖς τοῦ διδάξαι μᾶλλον τοὺς ἄλλους καὶ σφίσι δεῖξαι συμφώνους

ἦλθον ἐλπίσιν. Ἐγὼ δὲ τὴν μὲν φαινομένην αἰσχύνην ἥκιστα ἂν φαίην Γραικοὺς ὑπολογίζεσθαι δεῖν ἐπὶ τὸ μὴ παραδέχεσθαι δόξαν ἤδη πρῶτον εἰσαγομένην, κἂν ἀληθὴς ἔτυχεν οὖσα, καὶ πρὸς ταύτην φιλονεικεῖν· τὸ γὰρ πιστεύειν τὸ ψεῦδός ἐστιν αἰσχρότερον, καὶ φιλονεικία ψευδοῦς ὁμολογίας ἔλαττον εἰς ἁμαρτήματος λόγον. Καὶ Γραικοῖς μὲν ἔστιν εἰς τὴν ἀσφάλειαν τοῦ Συμβόλου καταφυγεῖν, καὶ τὴν κοινὴν ὁμολογίαν ἑαυτῶν προβάλλεσθαι· ἦν, εἰ μηδὲν ἄλλο, βουλομένους σφᾶς αἰδεῖσθαι καὶ σώζειν φαῖεν ἂν μέχρι τοῦ φιλονεικεῖν· τοῖς δὲ Λατίνοις τὸ τῆς καινοτομίας ὕπεστιν ἔγκλημα· καὶ τὸ μόνους ἅψασθαι τῶν κοινῶν ἐφ' ἑαυτοῖς θαρρήσαντας τὴν πλάνην σφίσι χείρω ποιεῖ. Καὶ πολλοῖς ἄλλοις τρόποις ἔλαττον τὸ τῆς αἰσχύνης; δέος τῇ τῶν Γραικῶν ὑπάρχειν ἡγοῦμαι μεταβολῇ, ὡς μηδ' αἰσχύνην ὅλως ἐξεῖναι ταύτην καλεῖν. Ποῦ γὰρ αἰσχρὸν τὸ τῆς ἀληθείας ἀκριβῶς περιέχεσθαι, καὶ τοῖς κοινῇ δεδογμένοις ἐμμένοντας τὴν περὶ τῶν ἰδίᾳ τισὶν ἀρεσάντων ψῆφον συνόδῳ κοινῇ πάντων ἀνατιθέναι; καὶ μήθ' ἑαυτοῖς μόνοις μήτ' ἄλλοις ἄνευ αὐτῶν τὰ τοιαῦτα θέλειν πιστεύειν;

Τί δὲ καὶ δεινὸν, ἐρεῖ τις, τὸ τὰ δέος ἔχοντα δεδιέναι; ἐδεδίεσαν γὰρ καὶ αὐτοὶ φωνὴν οὔπω πᾶσιν ἀρέσκουσαν ἐπαινεῖν, καὶ πρὸ τοῦ δοκιμάσαι ταύτην κηρύττειν· τοῦτο δὲ τὸ δέος λόγον ἔχον ἐστίν· ἐπεὶ μετ' ἀσφαλείας ἐπὶ τὰς περὶ Θεοῦ δόξας πρέπει χωρεῖν, ἅτε πολλῶν κινδύνων, καὶ μεγίστου τοῦ τὴν σωτηρίαν καθάπαξ ἀποβαλεῖν, ἐπομένων τῇ προπετείᾳ. Εἰ γὰρ μὴ τοῦτ' ἦν, ἀλλὰ τῆς δόξης παντάπασι κατεγίνωσκον, οὐδενὸς ἂν αὐτοῖς πρὸς ὑμᾶς ἐδέησε λόγου· ὥσπερ οὐδὲ τοῖς ἄλλο τι τῶν ἀνηκέστων φρονοῦσιν ἀνάσχοιντ' ἂν ὑπὲρ αὐτοῦ συζητεῖν. Ἀλλὰ μὴν οὐδ' αἰσχρόν ἐστιν οὐδετέροις ἀγνοοῦντας μαθεῖν, εἰ μὴ καὶ πᾶσαν ἀτιμάζειν μέλλομεν ἐπιστήμην ἣν οὐκ ἔστι λαβεῖν μὴ πρότερον τὴν ἀντικειμένην ἀποβάλλοντας ἄγνοιαν, καὶ τῶν ὁτιοῦν ἐπισταμένων κατηγορεῖν, ὅτι μὴ τῆς ἀγνοίας ἔχεσθαι μέχρι παντὸς ἠβουλήθησαν, τὴν ἐκ τοῦ δόξαι μανθάνειν δεδιότες αἰσχύνην. Τοὐναντίον γὰρ μᾶλλον αἰσχρὸν, ἅπαντ' εἰδέναι νομίζοντας, μηδὲ βουλομένους χάριν τινὶ τῆς ὠφελείας ὁμολογεῖν, μετ' ἀγνοίας ἀπαλλάττειν τοῦ βίου. Πρὸς δὲ τούτοις ὑπὲρ ἀληθείας ὄντων ἡμῖν τῶν ἀγώνων, ἡδὺ μὲν ὄπου μετὰ ταύτης νικᾷν· τὸ δὲ ταύτην εὑρίσκοντας ἡττᾶσθαι δοκεῖν πάσης αἰσχύνης ἀπήλλακται. Τοὺς γὰρ τοῖς τῆς ἀληθείας ὅπλοις ἐνδιδόντας ἑτοίμως, καὶ φανείσῃ μόνον ὑπείκοντας οὐδεὶς ἂν εἴποι νικᾶσθαι παρ' οὐδενὸς τῶν ἀνθρώπων, ὧν αἰσχρόν ἐστι καὶ χείρους ὀφθῆναι, ἀλλ' ὑπὸ τῆς ἀληθείας αὐτῆς, ὑφ' ἧς εὐχὴ πᾶσιν ἀνθρώποις ἐστὶ τὸ νικᾶσθαι. Νικᾷν δὲ ψεῦδος αὐτοὺς καὶ μάλα δικαίως εἴποι τις ἂν, ἅτε μετὰ τῆς ἀληθείας ἐπιόντας τῷ ψεύδει, ᾧ τὸν πρόσθεν χρόνον ἐδούλευσαν. Καὶ μὴν οὐδὲ τῷ δόξαν δόξης νουνεχόντως ἀλλάξασθαι, καὶ ὅλως πρὸς τἀγαθὸν ἐκ τοῦ χείρονος μεταβαλεῖν, αἰσχύνη τις πρόσεστιν· οὐ γὰρ ἡ τοῦ κακοῦ μετάθεσις, ἀλλ' ἡ τοῦ κακοῦ τήρησις τὸ αἰσχρὸν, ὡς εἶπέ τις, ἔχει. Τοὺς μὲν οὖν Γραικοὺς διὰ ταῦτά φημι δεῖν ἐκ τοῦ

A Græcos non debere esse sollicitos de hac apparente ignominia, quod non sit ab illis recepta opinio, dum primum induceretur, licet vera esset, sed oppugnata; turpius enim est credere falsum, et minus erratur contendendo, quam falsam confessionem proferendo. Et Græci quidem possunt ad Symbolum tuto confugere, communemque pro se objicere confessionem: quam si nihil aliud suppeteret, velle se dixerint observare et colere vel concertando. Latini vero sunt in crimine innovationis, et quod soli tractaverint communia sibi confidentes, gravior illis error efficitur, et multis aliis modis puto minus esse timendam Græcis mutationis ignominiam, ut ne ignominiam quidem hanc vocare penitus liceat. Quæ est enim ignoB minia, veritati perfecte adhærere; et persistendo in iis quæ communi omnium decreto definita sunt, generali concilio permittere de iis judicium, quæ privatim aliquibus placuere? nec sibi ipsis tantum, nec aliis velle fidem habere in rebus hujusmodi suo non accedente consensu?

Quid vero mali est, dixerit quispiam, timere timenda? Timebant enim et ipsi vocem nondum omnibus probatam probare, et antequam esset recepta, prædicare; timor autem iste non est a ratione alienus. Oportet enim ad ea quæ de Deo sentimus, accedere tuta cum cautione, cum temeritatem multa sequantur pericula, maximum vero illud, C salutis omnino amittendæ. Si enim id ita non esset, sed plane sententiam reprobassent, non opus esset ut vobiscum agerent: quemadmodum cum hominibus alia quadam incurabili opinionis pravitate laborantibus ne disputationem quidem habere paterentur de ea. Nec vero turpe est utrisque, si ignorant, addiscere; nisi velimus scientiam prorsus rejicere, quæ nonnisi abjecta opposita ignorantia potest haberi, et cujusvis scientiæ peritos damnare, quod ignorantiam perpetuo non coluerint metu dedecoris quod sequitur, dum addiscere videntur. E contrario namque turpe potius est, dum nos scire omnia putamus, nullique ob perceptam utilitatem habere gratiam volumus, ex hac vita cum ignorantia decedere. Præterea cum pro veritate sint a nobis D suscepta certamina, jucundum sane est cum ea victoriam consequi; sed nullo modo turpe est videri, ea comperta se dedere. Qui enim prompto animo cedunt armis veritatis, eique vel apparenti tantum colla submittunt, non dicendi sunt a quoquam hominum vinci, quibus etiam turpe est videri inferiores, sed a veritate ipsa; a qua se vinci optant omnes homines; vinci autem ab illis mendacium jure optimo dicat quispiam, si veritatis ope illud impetant, cui fuerant antea famulati. Nec etiam illud turpe est, sententiam prudenter mutare, et omnino de malo in bonum transire: turpitudo enim in eo sita est, dixit quidam, non si a malo recedatur, sed si in malo perseveretur. Græcos igitur propter hæc dico debere opinari, nullam in sese ignominiam cadere, si

credant Latinis, dum vera illi dicant, idque modis omnibus palam faciant ; nec velle propter eam respuere veram sententiam, quam fatentes et credentes, eique se per ambo hæc conjungentes necesse est concordiæ veritatisque mercedem a Deo indubitanter exspectent. Latinos vero (quanquam video rationes eorum enervatas per nonnulla a me jam dicta (1), nec immerito plane ignominiam ab eis timeri, cum propter hæc ipsi plusquam alii jure turbentur) illud etiam æquum est considerare : nullam se majoribus suis injuriam illaturos, si veritatem ipsi amplectantur ; imo potius utilitatem allaturos, dum fortasse puram et illibatam opinionem tenentes ipsi orabunt pro hominibus falsitate deceptis, et humani aliquid passis : mercedis loco a Deo petentes ob certamina pro veritate suscepta, misericordiam eis tribuit ; quin etiam probra illorum paulatim obtegere poterunt : quæ augerent potius, si acceptum ab illis sequerentur errorem, et malum sibi ipsis foverent. Quod si non aviditate gloriæ, voluntateque primas tenendi inter fratres, præfiniendique omnibus quæ vera et justa sunt, sed necessitate quadam quæ a ratione non abhorreret, et cogitationibus victi, quas despicere non poterant, induxere hanc opinionem, par est nobis etiam tacentibus illos esse misericordiam consecutos, expertosque Deum propitium : qui se vel gravissimis criminibus judicem præbet humanum, si non e simili voluntate proficiscantur, id quod potius viris illis contigisse mihi ipse persuadeo. Neque enim viros sanctimonia vitæ præstantes, quique Deum dilexerunt super omnia, visus ipse esset affecisse præmiis, quibus sibi charos donat, atque in cœtum beatorum ascivisse, ni prius illis condonasset pœnas ob errorem luendas, quæ falsitate captos in perpetuum a beatorum sorte secernunt. Quod vero Deus multorum, et dum viverent, et ubi vita functi essent, testatam voluerit sanctitatem, ostendit et Latinorum Ecclesia, cultum illis et honorem adhibendo, et Græci ipsi non contradixerint, nec errore id fieri quisquam dixerit, quasi vos frustra illis sanctitatis gloriam tribuatis, nihil in ipsis agnoscendo ex iis quæ requiruntur ad sanctitatem. Quare spes est omnino certa, nihil illis nociturum ad salutem factum in Symbolo additamentum : cum permoti tantum fuerint necessitate quadam et rationibus periculo illud vacare probantibus : nec vestris orationibus fore illis opus, ac multo magis si ad illorum errorem vester non accedat, et veritate agnita faciatis, ut illi solum ex mendacio damnum contraxerint : erit enim ab illis pro se tantum, non pro vestris etiam animabus reddenda ratio, quam par est ab illis non exigi, si in pauciores pravæ opinionis labem diffuderint. Quod si non perfectam pœnæ liberationem, at certe refrigerium quoddam et consolationem emendatio posterorum illis attulerit,

πεισθῆναι Λατίνους, ἂν ἀληθῆ λέγωσι, καὶ τοῦτο πᾶσι τρόποις ἐργάζεσθαι φανερὸν, μηδεμίαν ὑποψίαν ἔχειν αἰσχύνης· μηδ' εἵνεκα τούτου τὴν ἀληθῆ προΐεσθαι δόξαν, ἣν ὁμολογοῦντάς τε καὶ πιστεύοντας, καὶ ταύτῃ δι' ἀμφοτέρων τούτων συναπτομένους, ἀνάγκη τούς τε τῆς ὁμονοίας καὶ τῆς ἀληθείας μισθοὺς βεβαίως ἄνωθεν προσδοκᾷν. Λατίνοις δὲ, εἰ καί τινα τῶν εἰρημένων ὁρῶ σαθροὺς ἐκείνων δεῖξαι τοὺς λογισμοὺς, καὶ τὸ τῆς αἰσχύνης δέος οὐ παντάπασιν ἄλογον, καί τι πλέον τῶν ἄλλων αὐτοῖς εἰκότως ὑπὸ τούτων ταραττομένοις, κἀκεῖνα προσενθυμεῖσθαι δίκαιον, ὅτι τοὺς μὲν προγόνους οὐδὲν ἐκ τοῦ τὴν ἀλήθειαν φρονεῖν αὐτοὶ παραβλάψουσιν, εἰ μὴ καὶ μᾶλλον ὠφελήσουσιν, ἴσως ὑπὲρ ἀνθρώπων ἐλωκότων τῷ ψεύδει, καί τι παθόντων ἀνθρώπινον, αὐτοὶ μετὰ καθαρᾶς καὶ ἀκιβδήλου δόξης εὐχόμενοι, καὶ τῶν ὑπὲρ τῆς ἀληθείας ἀγώνων μισθὸν αἰτοῦντες παρὰ Θεοῦ τὴν εἰς ἐκείνους φιλανθρωπίαν. Καὶ τὰ ἐκείνων δὲ συγκαλύψαι κατὰ μικρὸν ὀνείδη δυνήσονται, ἅπερ ἔμελλον αὔξειν, ἧς ἐκληρονόμησαν ἐχόμενοι πλάνης, καὶ τὸ δεινὸν ἐν σφίσι διαφυλάττοντες. Εἰ δὲ μὴ δόξης ἐπιθυμίᾳ καὶ τῷ βούλεσθαι πρωτεύειν τῶν ἀδελφῶν, καὶ τἀληθῆ καὶ δίκαια πᾶσιν ὁρίζειν, ἀλλ' ἔκ τινος ἐχούσης λόγον ἀνάγκης καὶ λογισμῶν ἡττηθέντες, ὧν οὐκ εἶχον ὑπερορᾶν, τὴν δόξαν ταύτην εἰσήνεγκαν, εἰκός ἐστι καὶ σιγώντων ἡμῶν αὐτοὺς φιλανθρωπίαν εὑρέσθαι καὶ Θεοῦ τυχεῖν πλεω, ὃς καὶ τῶν χειρίστων ἁμαρτημάτων, ἂν οὐκ ἐξ ὁμοίας ἁμαρτάνηται γνώμης, φιλάνθρωπος γίνεται δικαστής· ὃ καὶ μᾶλλον ὑπὲρ τῶν ἀνδρῶν ἐκείνων ἐγωγε πείθομαι. Οὐ γὰρ ἂν τοὺς ὀρθότητι βίου τῶν ἄλλων διενεγκόντας καὶ πρὸ πάντων αὐτὸν ἀγαπήσαντας ἔδοξε ταῖς τῶν γνησίων ἀμειψάμενος ὥρεσι καὶ τῷ τῶν μακαρίων καταλέξας χορῷ, μὴ πρῶτον αὐτοῖς τὰς ἐκ τῆς πλάνης ὀφειλομένας δίκας ἀφεὶς, αἳ διηνεκῶς τοὺς ἑαλωκότας τῆς τῶν μακαρίων εἴργουσι λήξεως. Ὅτι δὲ πολλοῖς τὴν ἁγιωσύνην καὶ ζῶσι καὶ τελευτήσασι μεμαρτύρηκεν ὁ Θεὸς δι' ὧν εἰώθειν αὐτὴν μαρτυρεῖν, ἥ τε τῶν Λατίνων Ἐκκλησία τιμῶσα τούτους καὶ σέβουσα δείκνυσι, καὶ Γραικοὶ πάντως ἂν συγχωρήσαιεν, οὐδὲ πλάνην φαῖεν εἶναι τὸ πρᾶγμα, καὶ μάτην ὑμᾶς ἐκείνους τὴν τῆς ἁγιωσύνης δόξαν προσάπτειν, τῶν εἰς ταύτην ζητουμένων οὐδοτιοῦν αὐτοῖς συνειδότας. Ὥστ' ἐλπίς ἐστι καὶ πάνυ βεβαία μηδὲν αὐτοῖς πρὸς τὴν σωτηρίαν τὴν ἐν τῷ Συμβόλῳ προσθήκην λυμανεῖσθαι, ὑπ' ἀνάγκης μόνον τινὸς καὶ λόγων δεικνύντων ταύτην ἀκίνδυνον προαχθεῖσι, μηδὲ τῶν ὑμετέρων εὐχῶν δεήσειν αὐτοῖς· καὶ πολλῷ μᾶλλον ἂν μὴ καὶ τὸ ὑμέτερον αὐτοῖς προστεθῇ, ἀλλὰ τὴν ἀλήθειαν ὑμῶν ἐπιγνόντων, μέχρις αὐτῶν μόνον τὸ παρὰ τοῦ ψεύδους βλάβος ἐκτείνηται· τὸν ὑπὲρ σφῶν αὐτῶν, οὐχὶ δὲ καὶ τῶν ὑμετέρων ψυχῶν ὀφλήσουσι λόγον· ὃν εἰκός ἐστιν αὐτοῖς ἀφεθῆναι, εἰς ἐλάττους τὴν τῆς κακοδοξίας λύμην ἐκχέασιν· ἀλλ' εἰ καὶ μὴ παντελῆ τῆς δίκης ἀπαλ-

(1) Hæc et similia dixit auctor ante factam unionem. — Imo post factam.

λαγὴν ἀνεψυχὴν γοῦν τινα καὶ παραμυθίαν αὐτοῖς ἡ τῶν ἐγκόνων οἶσει διόρθωσις, φροντίζουσι δήπου περὶ ὑμῶν, καὶ ὑμᾶς γοῦν εὐχομένοις ἔξω τῶν αὐτοῖς ἐπενεχθέντων ἑστάναι.

Οὔτε τοίνυν ἐκείνοις, ὅπερ εἶπον, οὔτε πολλῷ μᾶλλον τοῖς μετὰ ταῦτα τὴν ὑμετέραν διόρθωσιν αἰσχύνης ὑπόθεσιν ποιησόμεθα. Πῶς γὰρ αἰσχυνθήσονται δι' ἡμᾶς, οἳ μεθ' ὑμῶν κἀκείνους τῆς ἐκ τοῦ ψεύδους αἰσχρότητος ἀπαλλάξομεν, καὶ οἷς εὐγνώμονες ὄντες ἀθάνατον τῆς ὠφελείας εἰδέναι χάριν βουλήσονται; οὐδὲ γὰρ αὐτοὶ μὲν χαιρήσουσι τοῦ ψεύδους ἀπηλλαγμένοι, τοὺς δὲ τοῦτο διαπραξαμένους σφίσι μισήσουσι, καὶ τὰς τῶν ἀδίκων καὶ πονηρῶν εἰσπράξονται δίκας. Καὶ μὴν οὐδ' ὀνειδιεῖ τις αὐτοῖς τὴν ὑμετέραν ἐπὶ τὰ κρείττω μεταβολὴν καὶ τὴν τῆς ἀληθείας ἐπίγνωσιν, ἕως ἂν μηδ' αὐτοὺς ὡς πλανωμένους ἐλαύνῃ ἢ πονηρός τις ἢ καὶ ἀνόητος, τὰ στεφάνων ἄξια ψέγων, καὶ νοῦν ἔχειν τοὺς μετὰ τῆς ἀληθείας καὶ τὴν σφῶν σωτηρίαν προτεμένους ἀλαζονείας χάριν οἰόμενος· πολὺ δὲ μᾶλλον αὐτοὺς τῶν ὑμετέρων κληρονομήσειν ἐγκωμίων ἡγοῦμαι, καὶ τοῖς ὑμετέροις ἐγκαυχήσεσθαι πόνοις, οὓς ὑπὲρ τῆς ἀληθείας ὑφίστασθε. Ὅλως δὲ τὸ μὲν τὴν αἰσχύνην τοῖς μετέπειτα παραπέμψειν ὑμᾶς οὐδὲ λόγον ἔχειν ἡγοῦμαι, τούς γε μὴ πρῶτον αὐτοὺς ἀξίους ὄντας αἰσχύνεσθαι· οὔτε δὲ τὸ μανθάνειν αἰσχρὸν, καὶ τῆς ἀληθείας ἡ κτ[illegible] εὐπρεπεστέρους μᾶλλον ἀποτελεῖν καὶ λάμποντας εἰωθεν. Οὐ μὴν ἀλλ' εἰ καὶ τοῖς ἐφ' ἑκατέρους τῶν χρόνων ἐμέλλομεν ἀδοξίαν τινὰ καὶ ὀνείδη, ἔκ γε τοῦ γνῶναι τὴν ἀλήθειαν αὐτοὶ προξενεῖν, μήτ' ἐκείνοις αἴτιοι γεγονότες τοῦ ψεύδους, καὶ τούτοις δυνάμενοι τῆς ὑγιαινούσης δόξης εἶναι καθηγηταὶ, οὐκ ἐχρῆν ἡμᾶς τῆς τῶν ἄλλων προνοοῦντας τιμῆς, τῆς οἰκείας ὑπερορᾶν καὶ τὴν ἐκ τῆς ἀληθείας δόξαν προῖεσθαι. Εἰ δὲ καθ' ἡμῶν αὐτῶν ἤδειμεν ἅπαν μέμψεως ἐφεθησόμενον βέλος, ὁμόσε πᾶσιν ἔδει χωρεῖν, οὐδὲν τοῦ μετὰ τῆς ἀληθείας ἀτιμάζεσθαί τε καὶ θνήσκειν, εἰ δέοι, νομίζοντας αἱρετώτερον· καὶ λογιζομένους μὲν τὴν ἐν οὐρανοῖς παῤῥησίαν καὶ δόξαν, ἣν ἕνεκα τῶν ὑπὲρ τῆς ἀληθείας καμάτων ὀφειλομένην ἡμῖν αἱ τῶν ἀνθρώπων μέμψεις ἔμελλον αὔξειν· ἐνθυμουμένους δὲ τὸ, ὅπως ἡμεῖς βίῳ καὶ πίστει διορθωθέντες σωζώμεθά τε καὶ δοξαζώμεθα, πᾶν ἀδοξίας εἶδος ἐφ' ἑαυτοὺς προσηκάμενοι. Ὅλως δὲ οὐχ ὁρῶ τοὺς ὑμῖν ὀνειδιοῦντας οἵτινες ἔσονται, καὶ ὧν αἰδεῖσθε σφόδρα τὰς μέμψεις. Τοὺς μὲν γὰρ μεθ' ὑμᾶς καὶ φρίττειν τὰς ὑμετέρας ψήφους ἀνάγκη, τὴν ἀξίαν εὐλαβουμένους, ἣν τοῖς τε ἄλλοις καὶ τῷ τῆς ἀληθείας ὡς ἔδει πεφροντικέναι περικείμενοι δείξετε, καὶ τηλικαύτῃ συνόδῳ προπετὲς ἡγουμένους καὶ κινδύνου γέμον διακυρίττεσθαι· ἐμμένοντας δὲ τοῖς ὑφ' ὑμῶν ἐγνωσμένοις, καὶ τιμᾶν εἰκὸς ταῦτα καὶ τοῦ παντὸς ἄξια κρίνειν, καὶ χάριν ὑμῖν ὑπὲρ τούτων ὁμολογεῖν, καὶ ταῖς τῶν μακαρίων ὑμᾶς ἀγάλλειν τιμαῖς, ὧν ἀξιοῦσι τοὺς τοῖς ὁμοίοις ἀγῶσιν ἐνδιαπρέψαντας. Εἰ δέ τινες παῤῥησίᾳ ταῦτα τιμῶντες, ὑμῖν ὡς τῆς ἐκ τοῦ νικᾶσθαι καταφρονήσασιν ἀτιμίας μέμψεσθαι βούλοιντο, ἀλλ' ὑμῖν ἡ παρὰ τῶν ἔργων δό-

A sollicitis plane de vobis, et orantibus, ut saltem vos pœnas sibi irrogatas effugiatis.

Neque igitur illis, ut dixi, nec multo magis posteris vestram emendationem ducemus ignominiæ materiam. Quam enim accipiant propter nos ignominiam, qui una vobiscum illos a mendacii turpitudine liberabimus? quibus, si grati esse velint, immortales libenter habebunt gratias ob acceptum beneficium? neque enim se quidem liberatos a mendacio gaudebunt, auctores vero beneficii odio habebunt, et iniquorum prævorumque hominum pœnam subibunt. Nec erit qui illis exprobret vestram in meliora mutationem, veritatisque agnitionem, nisi qui et illos B insectetur quasi errori addictos, improbus quispiam aut mente captus, dum quæ sunt coronis digna reprehendit, et mentis esse compotes puta eos qui superbia elati propriam salutem cum veritate projiciunt: multo vero magis arbitror illos fore vestrorum hæredes encomiorum, et jactaturos sese de vestris laboribus, quos suscipitis pro veritate. Omnino autem de ignominia in posteros a vobis transfundenda nec curandum arbitror, dum primi vos ipsi digni non sitis, qui merito erubescatis; nam et dicere turpe non est, et veritas ornatiores potius reddere solet atque illustres eos, a quibus ipsa possidetur. Quod si etiam futurum esset, ut probra et dedecus utriusque temporis hominibus imprimeremus, eo quod ipsi veritatem agnosceremus; C cum nec illis credendi mendacii auctores fuerimus, et his possimus sanæ opinionis esse magistri; non oporteret nos aliorum honori consulentes nostrum contemnere, et aspernari gloriam ex veritate provenientem. Et si contra nos ipsos omne reprehensionis telum sciremus conjiciendum, eundum cominus esset ad excipienda omnia, nihil optabilius existimantibus, quam pati contumelias cum veritate, et si opus sit, emori; ac præ oculis quidem habentibus amplitudinem et gloriam cœlestem, quam nobis ob labores pro veritate debitam oblocutiones hominum cumularent; illam autem cogitationem volventibus, quo pacto per vitæ ac fidei emendationem consequamur salutem et gloriam, admisso in D nos ipsos omni contumeliæ genere. Omnino autem non video quinam erunt a quibus probra vobis objiciantur, et quorum querimonias valde revereamini. Nam posteri perhorrescant etiam necesse est vestras sententias, ducti vestræ dignitatis observantia, quam præ vobis feretis, tum per alia, tum si seriam curam ad veritatem contuleritis: temeritatis enim se putabunt tantam synodum cornu petere, imo vero amplectentur vestra decreta, honorantes ea, et plurimi facientes, vobisque propterea gratias agent, et honoribus quos tribuere solent beatis, qui splendore consimilium certaminum emicuere, ornabunt. Quod si qui fuerint, qui ea quidem aperte probent, vos autem reprehendere velint, quod victi ab aliis dedecus hoc susceperitis: at vobis certe satis erit ex

rebus gestis nancisci gloriam : quodque tum vestræ, tum aliorum sponte vos sequentium saluti per veritatis agnitionem consulueritis. Sed nec eorum qui nunc vitam degunt, vos quisquam culpaverit : non Græci, quibus videbimini maximam laudem mereri, et penes quos immortali vivetis memoria, quod et sumptibus, et corporibus, et scientia, animi denique moderatione ac divinis quibusdam cogitationibus pacem soli fere ex omnibus confeceritis : neque vosmetipsos ipsi, nec alius ex iis qui vestras partes sequuntur. Omnes enim sententiam vestram tanquam divinitus latam arripient : tum quia congregatio est universalis Ecclesiæ, quam errare impossibile est, tum quia illa pacis erit causa, quam omnes optant, quod per eam exspectent liberatum se iri ab omnibus teterrimis malis, quorum origo exstitit utrisque schisma. Cæterum si fiat ut non ab omnibus laudemini, nec omnibus arrideat vestra sententia : sed sit aliquis, cui potius concertando placeretis, et evertendo omnia, ne ignorasse præterito tempore quod credi oportebat : videamini non debetis propterea paucorum laudes, easque vitiosas commutare cum fastidio plurimorum et optimorum, et optimæ rei causa concepto : cum licet cuncti simul prave sentiant, et moleste hoc ferant, vos tamen nihil curare, sed tantum de honesto et vero sollicitos esse oporteat : illud scientes omnem querelam et oppositionem frivolam fore, si modo rata sint, quæ fient a vobis. Nam si verum est a me dicendum, omni me quem offendam suspicione remota, vos tantum opus est ut inanem gloriam despiciatis, et omnia bene se habebunt ; et si illud pro certo animis vestris proposueritis, fore ut nunquam vos vestri pudeat, aut ob sententiæ mutationem turbemini, nihil est quod de aliis timeatis. At vos nec justum, nec consentaneum est aliquid aliud veritati præferre, et propter turpe repugnandi studium et humanum affectum, nolle amplecti concordiam, quæ sola corporibus et animis potest afferre salutem, cum tantum non illam manu teneatis, et reliquum sit solum illam prehendere. Non est enim hoc Patribus, doctoribus, scientia præditis, omni virtutum genere excultis, non Dei procuratoribus, apostolorum successoribus, non demum hominibus pro veritate congregatis, et præterea tam numeroso cœtu dignum. Neque dici poterit, prodi ab utravis parte spes illas bonas, quas secuti convenistis. Ubi enim pro vestra utrique sententia pugnaveritis, et spei periculum feceritis, et pugnæ exitus erit manifestus ; tunc ad illud, quod vestro concilio reliquum est, accedetis ac de pace, quomodo facienda sit, deliberabitis utque mendacium prorsus a veritate devincatur, curabitis. Haud enim hac mente omnino utrique venistis, ut vincatis alteros ; hoc enim est velle mendacio quoque dare victoriam, cum de rebus controversis non habeatur determinata veritas : dum autem veritas adhuc ignota est, necesse est suspicioni quoque mendacii apud utrosque locum esse. Sed venistis primum quidem p o vestra

A ξα, καὶ τὸ σώζεσθαι μὲν αὐτοὶ, σώζειν δὲ καὶ τοὺς ἄλλους ἐκόντας τῇ γνώσει τῆς ἀληθείας ἀρκέσει. Ἀλλὰ μὴν καὶ τῶν νῦν ὄντων οὐδεὶς ὑμᾶς αἰτιάσεται· οὔτε γὰρ οἱ Γραικοὶ, οἷς καὶ πολλῶν ἐγκωμίων ἄξιοι δόξετε, καὶ παρ' οἷς ἀθανάτου τεύξεσθε μνήμης, ἅτε καὶ χρήμασι καὶ σώμασι καὶ σοφίᾳ καὶ τὸ τελευταῖον ταπεινοφροσύνῃ, καὶ λογισμοῖς τισι θειοτέροις τὸ τῆς εἰρήνης χρῆμα μόνοι σχεδὸν ἁπάντων καταπραξάμενοι· οὔθ' ὑμεῖς ἑαυτοὺς, οὔτε τις τῶν ὑμῖν προσκειμένων. Πάντες γὰρ ὡς ἠκούσας ἀπὸ Θεοῦ τὰς ὑμετέρας ψήφους ἁρπάσουσι, τοῦτο μὲν ἅτε τῆς Ἐκκλησίας ἁπάσης οὔσης ὁμοῦ, ἣν οὐκ ἔνεστι πλανηθῆναι, τοῦτο δὲ καὶ ὡς εἰρήνης αἰτίας· ἣν ἐπιθυμοῦσι πάντες ἰδεῖν· ταύτῃ τῶν ἀνηκέστων, ὧν παρ' ἑκατέροις ἦρξε τὸ σχίσμα, προσδοκῶντες πάν-

B των ἀπαλλαγήσεσθαι. Εἰ δὲ καὶ μὴ πάντας ἐπαινοῦντας ἕξετε καὶ ταῖς ὑμετέραις χαίροντας ψήφοις, ἀλλ' ἔσται τις, ᾧ φιλονεικοῦντες μᾶλλον ἠρέσατε ἂν καὶ πάντ' ἀνατρέποντες, ὥστε μὴ δόξαι τὸν ἔμπροσθεν χρόνον ἠγνοηκέναι τὸ δέον. ἀλλ' οὐ δεῖ τοὺς παρὰ τῶν ὀλίγων καὶ ταῦτ' ἐπὶ κακῷ γινομένους ἐπαίνους τῆς παρὰ τῶν πλείστων τε καὶ βελτίστων καὶ τοῦ βελτίστου χάριν ἀηδίας ἀλλάξασθαι· ὅπου γε καὶ πάντων ἅμα διεφθορότων καὶ δεινὸν ποιουμένων τὸ πρᾶγμα, οὐδένα λόγον ἔχειν, τοῦ δὲ καλοῦ καὶ τῆς ἀληθείας φροντίζειν μόνον ἐχρῆν· εἰδότας ὡς ἅπασα μέμψις καὶ πᾶν ἐναντίωμα σαθρόν ἐστιν, ἂν τὰ ὑμέτερα μόνον κρατῇ. Εἰ γὰρ δεῖ με τἀληθῆ λέγειν μηδὲν ὑπολογιζόμενον, ὑμᾶς δεῖ μόνον κενῆς

C δόξης καταφρονῆσαι, καὶ πάνθ' ἕξει καλῶς· κἂν ὑμεῖς βεβαίως ὑποθήσησθε, μηδέποτ' ἂν ἑαυτοὺς αἰσχυνθῆναι, μηδὲ θόρυβόν τινα παθεῖν ἐπὶ τῇ μεταθέσει τῆς δόξης, τὸ περὶ τῶν ἄλλων δέος οὐδὲν ἐστίν. Ὑμᾶς τοίνυν οὔτε δίκαιον οὔτε προσῆκόν ἐστι τῆς ἀληθείας ἄλλο τι προτιμῆσαι, καὶ τὴν μόνην σώματα καὶ ψυχὰς δυναμένην σώζειν ὁμόνοιαν, ἐπειδὴν μόνον οὐκ ἐν χερσὶν ὑμῖν ᾖ, καὶ τὸ λαβέσθαι λείπηται μόνον, φιλονεικίας αἰσχρᾶς εἵνεκα καὶ πάθους ἀνθρωπίνου προέσθαι· οὐ γὰρ Πατέρων, οὐ διδασκάλων, οὐ σοφίᾳ κεκοσμημένων, οὐ πᾶσαν ἀρετὴν μετιόντων, οὐκ ἐπιτρόπων Θεοῦ, οὐ διαδόχων τῶν ἀποστόλων, οὐ τὸ τελευταῖον ὑπὲρ τῆς ἀληθείας συνηθροισμένων, καὶ πρὸς τούτοις τοσούτων, ἄξια ταῦτα. Ἀλλὰ μὴν οὐδ' εἴποι τις ἂν οὐ-

D δετέρους ὑμῶν τὰς ἀγαθὰς ἐλπίδας προδοῦναι, ἃς ἔχοντες ἥκετε. Τῆς γὰρ δόξης προπολεμήσαντες; ἑκάτεροι τῆς ἑαυτῶν, καὶ τῶν ἐλπίδων πεῖραν λαβόντες, ἐπειδὰν φανερὸν τὸ τοῦ πολέμου γένηται πέρας, ἐπὶ τὸ λεῖπον τῆς προθέσεως βαδιεῖσθε, καὶ τὴν εἰρήνην ὅπως ἔσται προβλέψεσθε, καὶ τὴν ἀλήθειαν ὅπως πάντη τὸ ψεῦδος καταγωνίσηται φροντιεῖτε. Οὐδὲ γὰρ ἐξ ἅπαντος ἑκάτεροι τοὺς ἑτέρους νικήσοντες ἥκετε· τοῦτο γάρ ἐστι καὶ τὸ ψεῦδος θέλειν νικᾷν, ἐπεὶ περὶ τῶν ἀμφισβητουμένων οὐ διώρισται τἀληθὲς, καὶ τῆς ἀληθείας ἐν ἀδήλῳ δήπου κειμένης, ἀνάγκη καὶ τῇ τοῦ ψεύδους ὑποψίᾳ παρ' ἑκατέροις εἶναι χώραν τινά. Ἀλλ' ἥκετε πρῶτα μὲν ὑπὲρ ὧν πεφρονήκατε πρὸς ἀλλήλους ἀγωνιούμενοι, καὶ τοῦτον πρῶτον ἐκτελέσοντες ἆθλον· εἶτα

ψεύδει καὶ ἀληθείᾳ δικάσοντες, καὶ ταύτην στεφανώσοντες καὶ περιπλεξόμενοι πάντες· ἐξ ἧς καὶ αἱ διαλλαγαὶ καὶ τὰ τῶν ἐλπίδων κεφάλαια μεθ' ὑπερβολῆς ὑμῖν ἀναλάμψουσιν. Οὐδεὶς τοίνυν ὑμῖν ἐγκαλέσει δικαίως, ὧν χάριν συνήλθετε καταπράξασι, καὶ ταύτην ἀρκοῦσαν νίκην ἀνῃρημένοις. Ἐπὶ πᾶσι δὲ τούτοις οὐδ' εἰκός ἐστι τοὺς μεταβαλόντας πλείω χάριν ὀφείλειν τοῖς πεπεικόσιν ἢ τοὺς ἐπὶ τῆς προτέρας μείναντας δόξης τοῖς πεπεισμένοις· ἵνα τις καὶ τὴν ἀπὸ τοῦ δοκεῖν ὠφελῆσθαί τε καὶ μαθεῖν ὅτιοῦν αἰσχύνην φυλάττοιτο. Ἑκάτεροι γὰρ ἐπίσης ὑπ' ἀλλήλων ὠφεληθήσεσθέ τε καὶ τιμηθήσεσθε· πρῶτον μὲν τῆς ἐκ τοῦ νικᾶν ἡδονῆς γενόμενοι κοινωνοί· ἐπεὶ τῆς παρὰ πάντων σπουδῆς καὶ τῶν κοινῶν ἀγώνων καὶ διαλέξεων ἔσται τέλος ἡ τῆς ἀληθείας ἀνάδειξίς τε καὶ νίκη καὶ τῆς ἑτέρας μοίρας, ὁποτέραν ἂν εἴποι τις, μὴ πρὸς τὴν τῆς ἀληθείας ζήτησιν συμπραττούσης, καὶ δειχθῆναι ταύτην καὶ τοῦ ψεύδους περιγενέσθαι τῶν ἀμηχάνων πέφυκεν ὄν· ἔπειτα καὶ τὸ τῆς δόξης βεβαίως ἔχεσθαι τῆς αὐτῶν, παρὰ τῶν πεπεισμένων τοῖς πεπεικόσιν ὅλως ὑπάρξει· ὧν ἀντιλεγόντων, κακεῖνοι πάντως ἔμελλον ἀμφιβάλλειν, ὃ καὶ πρότερον ἔπασχον. Ὅτι μὲν οὖν οὐδετέροις ὑμῶν ἡ φανερὰ τῆς δόξης μετάθεσις αἰσχύνην ἔχει τινά, οὔτ' εἴ τίς ἐστιν, ἁρμόττει ταύτης φροντίσαι· ἀλλὰ δεῖ τὴν φαινομένην ἀλήθειαν ἐν τῷ Συμβόλῳ τῆς πίστεως ἐπίσης πάντας ὁμολογεῖν, οὔτε προστιθέναι τὸ πᾶσιν ἀρέσκον ὀκνοῦντας, οὔτε τὸ προσιστάμενόν που διαγράφειν αἰσχυνομένους, καὶ οὕτω τὴν ἀληθῆ καὶ βεβαίαν εἰρήνην πᾶσι κηρύξοντας μεθ' ἡδονῆς ἐπανήκειν, ἱκανῶς τῶν εἰρημένων ἡγοῦμαι δῆλον ὑπάρχειν· καὶ ὅτι τοῖς ἄλλο τι θορυβοῦσιν οὐδὲ προσέχειν ἄξιον, οὐθ' ὑμᾶς αὐτοὺς ὑπ' ἐκείνων ἐνοχλεῖσθαι τῶν λογισμῶν· ἤδη δὲ καὶ πρὸς τὰ λοιπὰ τῶν κωλυμάτων ἰτέον.

Φήσουσι τοίνυν ἑκατέρωθεν οἱδ' ὅτι καὶ μάλα πολλοί, ὡς οὐ μόνον ἡμῖν τοῖς ἐνταῦθα συνειλεγμένοις δεῖ τὸν τῆς εἰρήνης τρόπον ἀρέσκειν, ἀλλὰ καὶ πᾶσιν, ὁπόσα τοῖς τῶν Ἐκκλησιῶν ἀμφοτέρων νόμοις ὑπείκουσιν ἔθνη· καὶ μὴ μόνον ὅπως ἡμεῖς συνθώμεθα πρὸς ἀλλήλους, σκοπεῖν, ἀλλὰ καὶ ὅπως κἀκεῖνοι ταῖς ἡμετέραις ψήφοις πεισθήσονται· εἰ δὲ μή, λήσομεν ἀντὶ εἰρήνης μάχην ἐγείραντες, καὶ τῷ συνάπτεσθαι τοῖς πόρρω κακῶς τῶν οἰκειοτάτων ἀποῤῥηγνύμενοι· ὃ πλείω τοῦ προτέρου δεινοῦ τὴν ἀνίαν τε καὶ τὸν θόρυβον ἐμποιήσει τοῖς πεπονθόσιν. Ἴσμεν δ' αὐτῶν πλὴν ὀλίγων τοὺς πάντας δυσχερῶς περὶ τὴν μετάθεσιν ἔχοντας, καὶ τὸ δόξαι τι καινοτομεῖν ἀσεβείας ὑπερβολὴν ἡγουμένους. Ἔνιοι δ' αὐτῶν καὶ μέχρι μόνου τοῦ διδάσκαλοι γενέσθαι τοῖς ἄλλοις τῆς ἀληθείας, συνόδου τε οἰκουμενικῆς καὶ τῶν ταύτης ἔργων ἐφίενται· οὐδ' ἐγχωρεῖν φασιν ὧν αὐτοὶ πιστεύουσιν, ἄλλο τι βέλτιον οὐδ' αὐτῷ δοκεῖν τῷ Θεῷ. Πῶς οὖν οὕτως ἔχοντες γνώμης, ἀφαιρούντων ἡμῶν ἢ προστιθέντων ὅλως ἀνέξονται; Ἢ ποῦ δίκαιον τοὺς ἡμετέρους συμμάχους καταλιπεῖν, οἷς τὴν πρὸς ἀλλήλους ἔχθραν συνδιεφέρομεν, καὶ τοὺς τῶν δυσχερῶν ἡμῖν πρότε-

utrique sententia propugnaturi, et in hoc primum certamen descensuri: deinde inter verum et falsum arbitri futuri, et veritati palmam daturi, et illam omnes amplexuri, ex qua et conciliatio et rerum speratarum capita satis superque vobis emicabunt. Nemo igitur vos in crimen vocaverit, quod ea quorum gratia convenistis, effeceritis, et hanc certe victoriam, quæ satis erit, adepti fueritis. Præter hæc omnia non est ratio, plus debere persuasos persuadentibus quam persuadentes persuasis; ut illud quis vereatur dedecus, in quod incurritur, si quid videatur accepisse beneficium, aut quidvis didicisse. Nam utraque pars in alteram æque beneficium conferet et honorem, tum quia voluptas ob victoriam partam erit communis: quandoquidem finis, ad quem tendunt omnium studia, communesque labores ac disputationes, erit declaratio ac victoria veritatis: fieri vero nullo modo poterit, ut ea declaretur, et victoriam a mendacio reportet, si pars altera, quamcunque dixeris, suam non det operam ad inquirendam veritatem; tum quia persuadentibus illud præstabunt persuasi, ut sua in sententia absque hæsitatione perseverent; nam istis contradicentibus illi quoque dubitarent, sicut et antea. Quod igitur ex aperta mutatione sententiæ neutri partium ulla inuratur ignominia, nec si qua inuratur, curandum de illa sit: sed oporteat perspicuam veritatem omnes pariter fateri in Symbolo fidei, nec paventes addere quod placet omnibus, nec recusantes ob verecundiam expungere quod alicubi offendit, atque ita prædicata omnibus vera et certa pace cum lætitia reverti, satis per ea quæ dicta sunt, puto esse perspectum: quodque indignum sit eos audire, qui contraria spargunt rumores, et vos hujusmodi cogitationibus turbari. Transeundum jam est ad cætera quoque impedimenta.

Dicent itaque quamplures plane ex utraque parte debere non modo nobis hic congregatis pacis modum placere, sed reliquis etiam gentibus, quæcunque utriusque Ecclesiæ ritibus subjacent; nec tantum esse considerandum, quomodo nos conveniamus, sed etiam qua ratione illi decreta nostra suscipiant: alioquin loco pacis pugnam inconsiderate ciebimus, dumque cum loge dissitis male conjungimur, a conjunctissimis disjungemur: quod passuris majorem afferet mœrorem animique perturbationem quam prius malum. Scimus autem omnes præter paucos mutationem ægre ferre, summamque impietatem arbitrari, si quam videantur innovationem admittere. Quidam vero ex ipsis ad hoc tantum optant synodum œcumenicam, et quæ per illam fiunt, ut evadant aliis magistri veritatis: nec fieri posse aiunt, fide sua quidquam præstantius ne ipsi quidem Deo videri. Cum igitur illi hoc animo sint, quomodo patientur a nobis quidquam omnino addi vel detrahi? An vero æquum erit, nostros in gerendis inimicitiis socios rerumque arduarum ac difficilium participes deserere, nec velle illos in meliore fortuna consortes habere?

nec ita pacem componere, quemadmodum ipsi libenter annuerint? Ad hæc ergo quid ipse respondeam, quidve potius consilii vobis dem propter hujusmodi rationes, volentem dicere attente audietis. Qui sint longe dissiti, quisve secus, Patres æquissimi, non terræ spatiis judicandum est, sed morum institutorumque similitudine, aut contra: nec non linguæ, si fieri possit, et quod omnium est maximum, benevolentia et societate, mutuaque opera prabenda, cum opus est. Hanc igitur vos adhibendo regulam, contrarium omnino ac illi volunt de rebus propositis capietis consilium. Quis enim ignorat, notissimis Latinorum nationibus cum Græcis, ut primum de his sermo fiat, eorum plane omnium quæ dixi. perfectissimam intercedere affinitatem? et tamen eorum aliquæ plurimis terræ spatiis a nobis distant? Quis nescit etiam, multos ex iis qui interim nobiscum in fide sentiunt, esse quidem nobis vicinos, moribus autem et institutis differre quantum vix dici queat? et calamitates, quibus affligimur quotidie, non curare? Scimus etiam nonnullos ex iis insidiari nobis, ac invidere: qui vero se nobis amicos præbere volunt, perinde valent atque ii qui nolunt, similibus et ipsi atque etiam gravioribus oppressi miseriis, ut ne sibi quidem ipsis opem ferre queant. Prætereo quod, exceptis Gallis et Hispanis, reliquæ Latinorum nationes minus distant loco a nobis, quam aliqui eorum (nomine enim eos appellare nolo) quibus vehementer sumus addicti. Quin etiam ut vicinos eosdem habemus, coloniis quibusdam insulisque illis subditis maxime conjuncti; et cum nonnullis ita nostra omnia communicavimus, ut veluti consanguineos civesque adhibeamus. Ad hæc lata nobis opportune auxilia, vicemque a nobis redditam, nec non ut moribus utrique alterorum potius quam propriis oblectemur, et communia sint nobis eruditio, disciplinæ, et exacta dogmatum scientia cæteraque vincula quibus copulamur, percensere singula difficillimum arbitror. Itaque si et nostram cum Latinis pacem sequi omnes voluerint, felicitatis hic erit cumulus, et veritatis contra mendacium illustris victoria, et late diffusa pax, atque omnia complectens. Sed si periculum est, ne alteri adhærentes parti amittamus alteram, hominum erit prudenter agentium, maxime vicinos præferre aliis: eos videlicet, quibus præpositis et veritatem fatebimur, et pacem stabilem conficiemus. Scitis enim plures eorum hoc etiam tempore nullius parere imperio, et nullam habere nobiscum communionem, neque Ecclesiam nostram audire, sed nullum hinc nobis dispendium oritur: neque igitur omnino a nobis divulsi poterunt invehere ullum incommodum. Sed si possent etiam dare aliquod damnum, perfecta certe cum Latinis conjunctio adeo numerosis satis superque poterit molestiam demere inde provenientem: ut jam ne ipsam quidem prius conjunctorum amissionem sentiamus. Nec vero aliqua nobis fiet illis injuria, Deo judice hominibusque qui sapiunt;

A ρον συμμετέχοντας; μὴ καὶ τῶν ἀμεινόνων ποιεῖσθαι βούλεσθαι κοινωνούς; μηδ' ὡς ἂν αὐτοὶ συνθοῖντο καὶ κατανεύσειαν, οὕτω τὴν εἰρήνην πράττειν ἐπιχειρεῖν; Τίς οὖν ἔσται καὶ πρὸς τούτους ἀπολογία, μᾶλλον δὲ τί ποτε καὶ περὶ τουτωνὶ τῶν λόγων ἔχω συμβουλεύειν ὑμῖν προσέχοιτ' ἂν ἤδη λέγειν ἐθέλοντι. Τοὺς πόρρω καὶ τοὺς ἐγγὺς, ὦ Πατέρες ἐπιεικέστατοι, οὐ γῆς διαστήμασι δίκαιόν ἐστι κρίνειν, ἀλλὰ τρόπων καὶ ἠθῶν ὁμοιότητι, καὶ τοὐναντίον, καὶ γλώττης ἐφ' ὧν ἐστι δυνατόν· καὶ ὃ μέγιστον ἁπάντων εὐνοίᾳ, καὶ κοινωνίᾳ καὶ τῷ συμπράττειν ἀλλήλοις ἐν οἷς ἂν δέοι καὶ συνεργεῖν. Τούτῳ τοίνυν τῷ κανόνι χρωμένους ὑμᾶς, παντάπασιν ἐναντίως οἷς ἀξιοῦσιν ἐκεῖνοι, περὶ τῶν προκειμένων ἔστι βουλεύσασθαι. Τίς γὰρ οὐκ οἶδε τὰ B τῶν Λατίνων γνωριμώτατα γένη, ὡς ἂν πρὸς Γραικοὺς ὁ λόγος γίγνοιτο πρῶτον, ἐν πᾶσιν ὁμοῦ τοῖς προειρημένοις ἀκριβεστάτην τὴν πρὸς ἡμᾶς ἐγγύτητα σώζοντα; καίτοι τούτων ἕνια πλεῖστον ἡμῶν ἀπέχει τῇ γῇ. Τίς δ' ἀγνοεῖ πολλοὺς τῶν ἡμῖν τέως ὁμοδοξούντων, ἐγγὺς μὲν συνῳκισμένους ἡμῶν, ἤθεσι καὶ τρόποις οὐδ' ὅσον εἰπεῖν ἔστι διαφέροντας, καὶ τῶν ἡμῖν ἑκάστοτε συμπιπτόντων οὐδ' ἐπιστρεφομένους; Ἐνίους δ' αὐτῶν ἴσμεν ἐπιβουλεύοντας καὶ φθονοῦντας. Οἱ δὲ καὶ τὰ τῶν εὖνων πράττειν ἐθέλοντες ἐν ἴσῳ τοῖς μὴ βουλομένοις εἰσὶν, ὅμοια δυσπραγοῦντες ἡμῖν καὶ χείρω, καὶ μηδὲ σφίσιν αὐτοῖς ἀμύνειν δυνάμενοι. Ἐῶ γὰρ ὅτι πλὴν Γάλλων τε καὶ Ἰσπανῶν, καὶ τὰ λοιπὰ τῶν Λατίνων ἔθνη καὶ τόπῳ διέστηκεν ἡμῶν ἔλαττον ἢ τού- C των τινὲς (οὐ γὰρ βούλομαι τοὔνομα λέγειν) ὧν σφόδρα περιεχόμεθα. Τοῖς δὲ αὐτοῖς καὶ καθάπερ γείτοσι χρώμεθα, ἀποικίαις τισὶ καὶ νήσοις ὑπ' αὐτῶν ἀρχομέναις μάλιστα συναπτόμενοι· ἐνίοις δὲ καὶ τῶν παρ' ἡμῖν μεταδεδωκότες ἁπάντων, ὁπόσα γνησίοις καὶ πολίταις ἀντικρυς προσφερόμεθα. Τὰς δ' ἐπὶ καιροῦ βοηθείας αὐτῶν καὶ τὰς παρ' ἡμῶν ἀμοιβὰς, πρὸς δὲ καὶ τὸ τοῖς ἀλλήλων ἤθεσι χαίρειν πρὸ τῶν οἰκείων, μαθήματά τε καὶ λόγους καὶ δογμάτων ἐπιστήμην σὺν ἀκριβείᾳ, καὶ τἆλλα δι' ὧν συναπτόμεθα καταλέγειν ἕκαστα, τῶν δυσχερεστάτων εἶναι νομίζω. Εἰ μὲν οὖν τῆς πρὸς Λατίνους εἰρήνης καὶ πάντες ἡμῖν βουλήσονται κοινωνεῖν, εὐδαιμον ἂν εἴη τοῦτό γε, καὶ λαμπρὰ τῆς D ἀληθείας νίκη κατὰ τοῦ ψεύδους, καὶ εἰρήνη πλατεῖα καὶ πάντα διαλαμβάνουσα· εἰ δὲ καὶ κινδυνεύομεν ἑτέρων περιεχόμενοι τοὺς ἑτέρους ἀποβαλεῖν, σωφρόνων ἂν εἴη τοὺς μάλιστα πλησιάζοντας τῶν ἄλλων προελέσθαι· καὶ οὓς προτιμήσασι, τό τε τὴν ἀλήθειαν ὁμολογεῖν, καὶ τὸ τὴν εἰρήνην ὡς ἂν μάλιστα διαρκοίη, πράττειν προσέσται. Ἴστε γὰρ ὅτι καὶ νῦν αὐτόνομοι τούτων οἱ πλείους, καὶ οὔτε τῶν ἄλλων ἡμῖν ἐν οὐδενὶ κοινωνοῦσιν, οὔτε τῆς Ἐκκλησίας ἡμῶν ἐπακούουσιν· ἀλλ' οὐδὲν ἡμῖν ἐντεῦθεν γίνεται βλάβος· οὐδὲ τοίνυν παντάπασιν ἀπερρωγότες ἡμῶν, ἔξουσιν οὗ χάριν λυπήσουσιν. Εἰ δέ τι καὶ ζημιοῦν ἡμᾶς ἔχοιεν, ἀλλ' ἡ τῶν Λατίνων ἀκριβὴς κοινωνία τοσούτων ὄντων μετὰ πολλῆς τῆς περιουσίας τὴν ἐκεῖθεν ἀηδίαν λύειν ἀρκέ-

σει, ὡς μηδ' αἰσθάνεσθαι λοιπὸν, εἴ τινος τῶν πρώην ὠχειωμένων κατέστημεν ἔρημοι. Ἀλλὰ μὴν οὐδ' ἀδικήσομεν ὅλως αὐτοὺς Θεῷ δικαστῇ καὶ τοῖς νοῦν ἔχουσι τῶν ἀνθρώπων· τοὐναντίον γὰρ μᾶλλον, αὐτοὶ καὶ τὴν Ἐκκλησίαν Θεοῦ καὶ σφᾶς αὐτοὺς ἀδικήσουσιν. Οὐ γὰρ ἡμῖν μόνοις λοιπὸν ἀντερροῦσιν, οὓς καὶ πρότερον τῆς καθολικῆς Ἐκκλησίας μοῖραν ἥδεσαν ὄντας, ἀλλὰ πρὸς πᾶσαν ὁμοῦ τὴν Ἐκκλησίαν φιλονεικήσουσι, καὶ πάσης ἀπορραγήσονται. Τῆς γὰρ κατὰ Κωνσταντινούπολιν Ἐκκλησίας μετὰ τῶν ἄλλων τριῶν τῇ Ῥώμῃ συνηπτομένης, οὐδὲν τῆς καθολικῆς Ἐκκλησίας ἔξω καταλείπεται· ἧς ἀποσχίζοντες ἑαυτοὺς, καὶ τὰς αὐτῆς ἀπαναινόμενοι ψήφους, οὐκ οἶδ' εἴ τινος ὑπ' ἄλλου τούτου πάσχειν δύναιντο χεῖρον. Οὐδ' ἡμᾶς ὀφείλειν εἶποι τις ἂν ἄχρι καὶ τοῦ τῆς ἀληθείας καλὸν, καὶ ἡμᾶς αὐτοὺς ζημιοῦν, τὰ σφῶν θεραπεύειν, ὃ καὶ δεσπόταις λίαν ἄτοπόν ἐστι συγχωρεῖν.

A contra enim potius ab illis Ecclesiæ Dei, sibique ipsis fiet injuria : siquidem deinceps non tantum nobis contraria sentient, quos et antea catholicæ Ecclesiæ partem agnoscebant, sed pugna illis erit cum tota prorsus Ecclesia, eruntque ab universa separati. Nam ubi Constantinopolitana Ecclesia una cum tribus aliis conjuncta erit cum Romana, nulla catholicæ Ecclesiæ pars extra manet, a qua seipsos sejungendo, et decreta ejus non recipiendo, non video quid a quoquam alio possint hoc malo deterius pati. Neque debere nos dixerit quispiam ita illis obsecundare, ut et veritatem contemnamus, et pacis bonum respuamus, nobisque ipsis damna ejecmus : quod vel dominis concedere valde est absurdum.

Ἀλλ' οὐδ' ἀηθές τι καὶ νῦν πρῶτον συμβαῖνον ἡ πρὸς τὴν οἰκουμενικὴν σύνοδον καὶ τὰς ψήφους αὐτῆς ἐνίων ἀπείθεια, ἵνα τις καὶ τῆς ἡμῶν οἰκονομίας ἔχῃ κατηγορεῖν, οὐ δυνηθέντων πάντας ἔχειν ὑπείκοντας. Πολλὰ γὰρ ἔθνη καὶ πόλεις ὅλαι τῶν προτέρων συνόδων γνώμαις ἀντέλεγον, ἀνθρώπινόν τι παθεῖν ἐκείνας ἡγούμενοι, καὶ τὸ δόξαν αὐτοῖς τοῦτ' εἶναι τἀληθὲς ἀποφηναμένας· ἕως ἡ τῆς ἀληθείας ἰσχὺς τὰς ἁπάντων εἰσδῦσα ψυχὰς, πάντας ἔδειξε πειθομένους, καὶ ὡς Θεοῦ φωναῖς ταῖς τῶν ἀνδρῶν ἐκείνων προσέχοντας. Καὶ τοῦτ' ἦδεσαν ἀκριβῶς οἱ τῆς ἀληθείας ἐξεταστὰ· ἀλλ' οὐ δήπου τοῦτ' εὐλαβούμενοι, καὶ τὴν τινων εἴτ' ἀναίδειαν εἴτ' ἀπιστίαν δεῖν ἡγούμενοι θεραπεύειν, τὰς τῶν εὐγνωμόνων ψυχὰς ἀφῆκαν σαλεύεσθαι, καὶ τὴν ἀλήθειαν περιεῖδον ὑπὸ τοῦ ψεύδους πολεμουμένην, καὶ τὴν Ἐκκλησίαν Θεοῦ τὰ χείριστα πάσχουσαν, καὶ σφᾶς αὐτοὺς ἁπάντων τούτων αἰτίους εἶναι δοκοῦντας· ἀλλὰ τούτων μάλιστα καὶ προὔργου περφροντικότες, αὐτίκα μὲν τῶν ἄλλων ἠμέλουν, εἶτα κἀκείνους εὐχαῖς τε καὶ ταῖς ἄλλαις ἐπιμελείαις ἰῶντο, καὶ πρὸς τὴν τοῦ καλοῦ καὶ δικαίου γνῶσιν ἀπέστρεφον. Οὐ τοίνυν οὐδ' ἡμᾶς νῦν τοῦ δεῖνος καὶ τοῦ δεῖνος πρέπει φροντίσαι, ὅπως μὴ γένηται πονηρὸς ἀμείνων εἶναι δυνάμενος, ἀλλὰ τὸ δέον αὐτοὺς διαπραξαμένους, τοῖς νοῦν ἔχουσι καταλείπειν αἱρεῖσθαι τοῦτο καὶ στέργειν· οὓς εἰκὸς εἶναι τοὺς πιστούς τε καὶ δοκιμωτάτους τῶν ἡμετέρων· τοῖς δ' ἀντιβαίνειν ἴσως βουλησομένοις τὸν μετὰ ταῦτα καιρὸν ἀφορίζειν εἰς ἰατρείαν, καὶ μηδὲ τὴν ἐκείνων ἐπιστροφὴν παντελῶς ἀνέλπιστον οἴεσθαι. Εἰσὶ γὰρ, εἰσὶ πολλοὶ παρ' ἡμῖν, οἳ παύσουσι φιλονεικοῦντας τἀληθῆ καὶ δίκαια λέγοντες. Οὐ γὰρ ᾗ τῆς Κωνσταντινουπόλεως Ἐκκλησίᾳ μόνον οἱ ἄνθρωποι πολεμῆσαι τούτους ἐροῦσιν, ἀλλὰ τὴν καθολικὴν Ἐκκλησίαν ἀτιμάζειν, ὡς ἔοικε, βούλεσθαι· ὃ καὶ τῆς ἀληθείας ἐστὶ καταφρονεῖν, καὶ τὴν πρὸς Θεὸν αἰδὼ παραιτεῖσθαι, ἐφ' ᾗς ἡμῖν αἱ τῆς σωτηρίας ἐλπίδες. Πᾶσα γὰρ νῦν ἡ τῶν Χριστιανῶν Ἐκκλησία τὴν αὐτὴν περὶ τῶν πρώην ἀμφισβητουμένων γνώμην προσέλαβε· καὶ πλὴν ὑμῶν ἅπαντες τὰς τῆς

B Porro autem novum non est, aut nunc primum usu venit, esse qui synodum œcumenicam ejusque decreta non admittant; ut si non poterimus ad nostram omnes perducere sententiam, possit quispiam concilia nostra damnare : multæ enim gentes, et civitates integræ priorum conciliorum decreta oppugnabant, humani aliquid passa illa opinatæ, et quod sibi visum esset, illud tanquam verum pronuntiasse; donec vi sua veritas in omnium animos sese insinuans effecit, ut omnes acquiescerent, et hominum illorum vocibus tanquam divinis auscultarent. Et perspectum sane hoc habebant judices illi veritatis; non tamen aut veriti hoc sunt, aut piorum animos fluctuare sunt passi, quod putarent, impudentiæ seu perfidiæ quorumdam esse inserviendum; aut neglexerunt a mendacio veritatem

C oppugnatam, Ecclesiamque Dei gravissimis laborantem malis; aut sustinuerunt se horum omnium auctores videri : sed omnes suas curas in his defigentes parvipendebant quidem alia sine cunctatione; deinde illos etiam, preces ad Deum effundendo, aliisque medelis curabant, atque ad honesti et justi agnitionem convertebant. Nec vos igitur curare decet, ne hic aut ille malus fiat, cum possit esse vir bonus; sed ubi quod fieri oportet peregeritis, sapientibus eligendum et amplectendum illud relinquetis; quos fore eos qui fideles sunt et inter nostros probatissimi, consentaneum est; iis vero qui forte contradicturi sunt, tempus insequens

D tribuetis ad curationem, nec eorum conversionem omnino desperatam habebitis : sunt enim apud nos, sunt multi, qui persuadebunt contentiones deponere, vera illis et justa dicentes : quod scilicet ii non modo cum Constantinopolitana pugnent Ecclesia, sed velint etiam, ut videre est, universam Ecclesiam parvipendere; quod et veritatem spernere est, et reverentiam quæ Deo debetur projicere, qua spes nostræ salutis innititur. Omnis enim nunc, dicent, Christianorum Ecclesia de rebus antea controversis consentit; et præter vos œcumenicæ hujus synodi decreta omnes honorant,

existimantes impossibile illam errasse: quod si hoc etiam fieri posset, satius esse illi ducunt una cum omnibus periculum suscipere, satis, quod a mendacio abhorreant, declarantes per oledientiam, et cum omnibus consensionem; quam se omnium solos, quasi tutiori hærentes sententiæ, dum sibi confidunt, et doctiores omnibus sese putant, si contingat errare, spe etiam, quæ opinione illa fundabatur, excidere, et omni se defensione nudare. Neque enim cœlestibus se dicent oraculis, quæ omnibus præferenda essent, admonitos de generali synodo, ut decepta fuerit, et non sit illi credendum. Quod si vobis ita temere libet semire contra quam omnes sentiunt, et œcumenicam synodum asperuari, nulla ratione habita aut veritatis, aut laudum, aut futuræ securitatis, aut laborum pro pace susceptorum, quorum vos etiam aliqua ex parte fuistis participes, nullum plane est adhibendum consilium; precibus tantum opus est vobis, quas utique universalis Ecclesia fundere non dubitabit, vestram quidem salutem avide optans, videns autem tali vos in periculo constitutos, ut illam non assequamini, et propterea dolens; ac præterea quod nulla sit spes adduci vos posse sermonibus aut consiliis Si vero in antiqua omnino vultis perseverare confessione, in tuto vos esse existimantes, sed non valentes ipsi per vos perspicere, an additamentum a synodo factum sit verum atque ad salutem necessarium, nec aliis multum in hoc confiditis, sed fieri posse putantes, ut omnes hallucinati fuerint, illud recipere non audetis; scitote vos illa timere, quæ timenda non sunt. Ut enim ea tantum quæ possunt vos hoc timore liberare, dicamus, omissis in præsentia multis et non minoris momenti demonstrationibus: partem quidem Ecclesiæ Dei aliquam fortasse mendacio famulari, nec omnino absonum, nec tale est, ut crebro non contigerit. Dum enim homines ea sunt natura, qua formati sunt, et agunt quidem voluntarie, opinantur autem electione, fieri non potest, quin multi etiam agendo pariter et opinando peccent, falsa credentes opinionibus, actionibus reprehendenda patrantes: ipsa certe rerum natura ita ferente, et Deo permittente, qui damnum ex hoc proveniens cœlesti medicina scit posse curari; utitur enim Ecclesiæ parte nullo laborante morbo ad emendationem laborantis, et multa quidem hujusmodi passam qui inveniet Ecclesiam, per quæ illa non modo nihil damni fecit, præciso fere antequam oriretur mendacio, sedatisque nascentibus ex eo turbis, sed illustrior etiam omnino apparuit, adepta per illata tunc sibi bella consecutam postea tranquillitatem. Universam vero simul errare Ecclesiam, et veritatis lumine defici, impossibile est. Ut enim alia taceam, quis credat, omnes æque Christianos aut velle amplecti mendacium, aut ignorare veritatem; cum tam multi sint, qui ad illam se duces offerant, et tantam curam in eam contulerint? Vos enim tantum reliqui estis, qui nobis pro ea qua sumus in

A οἰκουμενικῆς ταυτησὶ συνόδου ψῆφους τιμῶσιν, ἀδύνατον πλανηθῆναι ταύτην ἡγούμενοι· εἰ δὲ καὶ τοῦτ' ἦν δυνατὸν, ἄμεινον ἡγούμενοι μετὰ πάντων ὁμοῦ κινδυνεύειν, ἱκανὴν τοῦ ψεύδους παραίτησιν τὴν πειθὼ καὶ τὴν πρὸς ἅπαντας ἔχοντες ὁμογνωμοσύνην, ἢ μόνοι τῶν ἄλλων δῆθεν ἀσφαλεστέρας δόξης ἐχόμενοι, ἐκ τοῦ θαρρεῖν ἑαυτοῖς καὶ σοφώτεροι πάντων εἶναι νομίζειν, ἂν συμβῇ τι σφαλῆναι, καὶ τὰς τῆς γνώμης ἐλπίδας προσαφῃρῆσθαι, καὶ πάσης ἀπολογίας ἐκβαλεῖν ἑαυτούς. Οὐ γὰρ δήπου τοῦ τὴν οἰκουμενικὴν σύνοδον κατασχεθῆναι τῷ ψεύδει, καὶ μηδὲν ἐκείνῃ πιστεύειν, παραγγελίας τινὰς προβαλοῦνται καὶ φήμας ἐξ οὐρανῶν αὐτοῖς ἀφιγμένας, ἃς πρὸ πάντων ἔπρεπε τίθεσθαι. Οὐ μὴν ἀλλ' εἰ μὲν ἁπλῶς οὕτωσι πᾶσι προσῆλθε
B φρονεῖν ἐναντία, καὶ τῆς καθολικῆς συνόδου καταφρονεῖν, μήτ' ἀληθείας μήτ' ἐπαίνων μήτε τῆς μετὰ ταῦτ' ἀσφαλείας μήτε τῶν ὑπὲρ τῆς εἰρήνης πόνων, ὧν καὶ ὑμεῖς ἐν τῷ μέρει μετέσχετε, λόγον ποιούμενοι, ὀργεῖ μὲν ἅπασα συμβουλὴ, εὐχῶν δὲ δεῖσθε μόνον, ἃς ὑπὲρ τὸ κοινὸν τῆς Ἐκκλησίας οὐκ ἀνήσει ποιεῖσθαι· τῆς μὲν ὑμετέρας σωτηρίας σφόδρα ἐφιέμενον, ἐκπίπτειν δὲ αὐτῆς κινδυνεύοντας βλέπον, καὶ τούτου χάριν ἀλγοῦν, τοῦ δὲ λόγοις πείθειν καὶ συμβουλαῖς καθάπαξ ἀπεγνωκός. Εἰ δὲ τῆς μὲν παλαιᾶς ὁμολογίας ἔχεσθε πάντως, νομίζοντες ἐπ' ἀσφαλοῦς τινος βεβηκέναι, τὴν δὲ τῆς συνόδου προσθήκην οὐκ ἔχοντες αὐτοὶ συνιδεῖν εἰ τῶν ἀληθῶν καὶ πρὸς σωτηρίαν ἀναγκαίων ἐστὶν, οὔτ' ἄλλοις περὶ ταύτης σφόδρα θαρροῦντες, ἀλλὰ τὸ πάντας ἐξηπατῆσθαι τῶν ἐνδεχομένων εἶναι νομίζοντες,
C ὁμολογεῖν αὐτὴν κατοκνεῖτε, ἴστε τὰ μηδένα φόδον ἔχοντα δεδιότες. Ἵνα γὰρ τὰ μόνον ὑμᾶς τοῦ παρόντος δέους ἀπαλλάττειν δυνάμενα λέγωμεν, τῶν πολλῶν καὶ οὐδὲν ἧττον ἀναγκαίων ἀποδείξεων τέως ὑπεριδόντες· τὸ μὲν μοῖράν τινα τῆς Ἐκκλησίας Θεοῦ λαθεῖν τῷ ψεύδει δουλεύσασαν οὔτ' ἀπεικὸς, καὶ τῶν πολλάκις γεναμένων ἐστίν. Ἕως γὰρ ἐν τῇ σφῶν φύσει διαμένωσιν ἄνθρωποι, καὶ πράττωσι μὲν ἑκόντες, δοξάζωσι δὲ αἱρούμενοι, ἀδύνατον μὴ καὶ πολλοὺς ἐν τε ταῖς πράξεσι καὶ ταῖς δόξαις ὁμοίως τοῦ τε πρέποντος ἀποτυγχάνοντας εἶναι, καὶ δοξάζοντας μὲν τὰ ψευδῆ, τὰ δὲ ψόγων ἄξια πράττοντας· καὶ τοῦτ' ἀπαιτεῖ μὲν ἡ τῶν πραγ-
D μάτων δήπουθεν φύσις, συγχωρεῖ δὲ καὶ Θεὸς, ἄνωθεν ἰάσιμον τὴν ἀπὸ τούτου βλάβην εἰδώς. Τῷ γὰρ ὑγιαίνοντι τῆς Ἐκκλησίας πρὸς τὴν τοῦ νενοσηκότος χρῆται διόρθωσιν. Καὶ πολλὰ τοιαῦτα τὴν Ἐκκλησίαν Θεοῦ παθοῦσαν εὕροι τις ἂν· ἐξ ὧν οὐχ ὅπως ἐλαβέ τι δεινὸν, αὐτίκα καὶ πρὶν φυῆναι σχεδὸν τὸ ψεῦδος ἐκκόψασα, καὶ τῶν ἀπ' αὐτοῦ θορύβων ἀπηλλαγμένη, ἀλλὰ καὶ λαμπροτέρα δέδεικται πάντως· καὶ τοὺς τότε πολέμους μέγα πρὸς τὴν μετὰ ταῦτα γαλήνην ἴσχεν ἐφόδιον. Πᾶσαν δ' ὁμοῦ πλανηθῆναι τὴν Ἐκκλησίαν, καὶ τὸ τῆς ἀληθείας φῶς ἐκ μέσου γενέσθαι ταύτης ἀδύνατον. Καὶ χωρὶς γὰρ τῶν ἄλλων, τίς ἂν πιστεύσειε πάντας ὁμοῦ Χριστιανοὺς ἢ τὸ ψεῦδος ἑκόντας ἑλέσθαι, ἢ τὴν ἀλήθειαν ἀγνοεῖν, τοσούτων ὄντων τῶν πρὸς ἐκείνην

χειραγωγούντων, καὶ τοσαύτην ὑπὲρ αὐτῆς φροντίδα πεποιημένων; Τὸ γὰρ ὑμέτερον λείπεται μόνον· ὃ πρὸς μὲν εὐνοίας λόγον ἡμῖν καὶ πάνυ μεγα δοκεῖ, τάξει δὲ καὶ ποσότητι οὐδ' εἰπεῖν ἔστιν ὁπόσον τι τοῦ παντός ἐστε. Τίς δ' ἂν εἴη λοιπὸν ἐλπὶς τῆς πρὸς τὴν ἀλήθειαν ἐπανόδου, μηδενὸς τοῦ πρὸς ταύτην ἡγησομένου τοῖς ἄλλοις ὑπολειφθέντος; οὐ γὰρ ὑμεῖς γε τοῦτο δυνήσεσθε μόνοι, κἂν νοῦν ἔχοντες αὐτοὶ, τοὺς ἄλλους πείσητε σωφρονεῖν· ὥσπερ εἴ τις ὄνυξ ὢν τοῦ παντὸς ἄρχειν βούλοιτο σώματος, καὶ κινεῖν αὐτὸ, καὶ ἰατρεύειν, καὶ τὰ πρὸς ὑγείαν φέροντα συμβουλεύειν. Οὐ μὴν ἀλλ' ἐκεῖνο προσήκει σκοπεῖν ὑμᾶς, ὅτι τὴν Ἐκκλησίαν οὕτως ἐπ' ἀσφαλοῦς ὁ Δεσπότης ἡμῶν ᾠκοδόμησεν, ὡς μηδέποτε πύλας ᾅδου κατισχύειν αὐτῆς, τὰς ἐπανισταμένας δηλονότι τῇ ἀληθείᾳ πρὸς ᾅδου βάραθρον τοὺς πειθομένους κατασπώσας αἱρέσεις. Καὶ καθάπερ τι δῶρον ἐξαίρετον αὐτῇ τοῦτο δέδωκεν, οὐ χωρὶς οὐδ' ἂν ἦν μέγα τὸ τῆς οἰκονομίας, εἴπερ ἤμελλε καὶ μετ' αὐτὴν ἀνιάτως νοσήσασα καὶ τῷ ψεύδει κατασχεθεῖσα ἢ περιῳφθαι παντάπασιν, ἢ φαρμάκων δεῖσθαι δραστικωτέρων. Καὶ ὑπὸ μὲν τοῦ ψεύδους ταύτην ἐνοχληθήσεσθαι συγχωρεῖ, ὅπως δὲ καὶ καθάπαξ ἀλῷ, καὶ δούλη γένηται τῆς ἀπάτης, οὐ φησιν ἐπιτρέψειν. Ἐκκλησίαν δέ γε Θεοῦ τοὺς πέντε τῶν πατριαρχῶν εἶναι θρόνους καὶ τοὺς αὐτοῖς ὑπακούοντας, οἵ τε τῶν συνόδων κανόνες, καὶ τὸ μακρὸν αὐτῆς ἔθος, καὶ τῶν πραγμάτων ἡ φύσις ὑπαγορεύουσιν. Εἰ γάρ τινες τῶν ὁπουδήποτε γῆς ἀρχόντων ἀλογίᾳ καὶ τυραννίδι τὴν τούτων ὁμοῦ πάντων τῶν θρόνων ποιμαντικὴν ἀπηνήναντο, καὶ χαίρουσιν ὑφ' αὐτῶν ποιμαινόμενοι, καὶ νόμος ὄντες σφίσιν αὐτοῖς, οὐκ ἐπαινούσης τοῦτο τῆς Ἐκκλησίας καὶ βουλομένης ἐξεῖναι πᾶσιν οὕτω ποιεῖν, ἀλλὰ συγκαταβαινούσης τῇ τόλμῃ καί τι μεῖζον εὐλαβουμένης, ἐκράτησεν· οὓς εἴποι τις ἂν καὶ νῦν ἀντιλέγειν ἐθέλοντας, οὐ λογισμῷ τινι καὶ καιρὸν ἔχοντι φόβῳ προῆχθαι, ἀλλὰ πάλαι μεμαθηκότα; ἀναισχυντεῖν, μηδὲ νῦν ἀφιέναι τὸ ἦθος.

Τούτων τοίνυν οὕτως ἀναμφιβόλως ἐχόντων, καὶ τῆς μὲν Ἐκκλησίας Χριστοῦ ταύτην, ἣν ποτε καὶ εἵλετο, δόξαν στεργούσης, καὶ μέχρι παντὸς ἀποδεξομένης, ἐκείνου δὲ μηδέποτε τὸ ψεῦδος κατακρατήσειν αὐτῆς ἐπαγγειλαμένου, οὐκ ἔσθ' ὅπως, εἰ ταῖς ὑποσχέσεσι, μᾶλλον δὲ ταῖς εὐεργεσίαις τὴν τῆς ἀληθείας δόξαν μὴ διαφυλάξετε, ἡγούμενοι τῆς ἀληθείας κατισχῦσαι τὸ ψεῦδος, ἢ μενουσῶν ἐκείνων κυρίων, τοῦτ' αὐτοὶ νομίζοντες, οὐ μάταιόν τι δόξετε λέγειν. Ἢ γὰρ ἀνάγκη τὸν τῆς ἀληθείας λόγον διαπεσεῖν, τῆς Ἐκκλησίας ὑπαχθείσης τῷ ψεύδει, ἢ παρελθεῖν ἐκεῖνον οὐ δυνατὸν ὄν, καὶ ταύτην τῆς τῶν χειρόνων ὑποψίας παντελῶς ἀπηλλάχθαι. Εἰ τοίνυν ἐκεῖνο βλασφημία, μᾶλλον δὲ μανία σαφὴς, τοῦτ' ἂν αἰνετὸν εἴη καὶ πισταῖς ἀκοαῖς καὶ γνώμαις εὐπρόσδεκτον. Καίτοι τῶν θείων ἄνευ χρησμῶν καὶ τῆς ἐξ αὐτῶν ἀσφαλείας, οὐδ' ὅλως ἐχρῆν ἀμφιβάλλειν ἁπλανῆ μέχρι παντὸς τὴν Ἐκκλησίαν Θεοῦ τηρηθήσεσθαι, καὶ τὸ τῆς ἀπάτης

A vos benevolentia, pars valde magna videbimini; sed ordine ac numero dici non potest, quantula sitis universi pars. Quæ vero in posterum esset spes agnoscendæ veritatis, si relictus esset nemo, qui se ducem aliis ad eam præberet? neque enim uni vos hoc efficere poteritis, nec licet ipsi sapistis, aliis ut sapiant persuadebitis: perinde ac si quis cum unguis sit, vellet totum corpus regere, et movere, et medicinam illi adhibere, et consiliis suis ostendere, quæ bonam afferant valetudinem. Illud porro etiam considerare vos oportet, Ecclesiam ita esse a Domino in tuto ædificatam, ut portæ inferi nunquam sint adversus eam prævalituræ; hæreses, inquam, contra veritatem insurgentes, et sectatores suos in barathrum inferorum deturB bantes: hoc enim illi velut eximium largitus est donum, sine quo magna res non esset dispensationis mysterium, si futurum erat, ut illo etiam peracto, morbo laboraret insanabili, et oppressa mendacio vel jaceret penitus neglecta, vel pharmacis indigeret potentioribus. Et a falsitate quidem agitari illam permittit, ut vero succumbat fallaciæ, errorque illi dominetur, negat se permissurum. Esse vero Dei Ecclesiam quinque sedes patriarcharum, et eos qui illis subjacent, tum synodorum canones, tum longa ejus consuetudo, et ipsa rerum natura declarat. Nam sicubi quidam principes nulla ratione ducti, sed tyrannice cunctarum simul harum sedium pastorali noluntC sub esse regimini, juvatque illos a se ipsis pasci, et sibi loco legis esse: certe non approbante hoc Ecclesia, aut volente communiter id esse licitum, sed condonante illud audaciæ, ne quid pejus admittatur, obtinuit; quos etiam nunc contradicere volentes dixerit quispiam, non ratione aliqua sive opportuno timore duci, sed antiqua impudenter agendi consuetudine suum quoque nunc non deseruisse morem.

Cum hæc ita procul dubio se habeant, et Christi quidem Ecclesia sententiam hanc, utramlibet diem, sequatur, et secutura semper sit; ille vero promiserit fore, ut ipsa nunquam superetur a mendacio, fieri non potest, quin inania loqui videamini,D si vel promissis, imo vero collatis beneficiis veritatis vim opinione vestra denegetis, expugnatam a mendacio veritatem existimantes, aut ratis illis manentibus hoc jam evenisse putetis. Necesse est enim aut falsus exstiterit veritatis sermo, Ecclesia per mendacium seducta, aut si fieri non potest ut is evanescat, illa quoque libera omnino sit ab omni malorum suspicione. Si ergo illud blasphemia, seu potius aperta est insania, restat hoc approbandum, piisque auribus atque animis suscipiendum. Quanquam omissis etiam divinis oraculis, et proveniente ex illis certitudine, nulla ratione dubitandum esset, quin Dei Ecclesia sit in perpetuum sine ullo errore servanda, et deceptionis

labe tota nunquam inficienda ; neque enim esse aut constare omnino potest aliquid sine veritate, neque consentaneum est frustra natos esse homines, cum nemo veritate orbatus salutem consequi possit, atque hinc commigrare, ut vitam in cœlis degat, quam naturæ humanæ scimus esse finem. Si vero ipsi a catholica vos Ecclesia segregantes, uni et verum sentire, et salutem tuto sperare existimatis, id quod satis esse dixeritis, ut simul et veritas salva sit, et suo fine natura non fraudetur, nobis certe cogitationes istæ non probantur. Nam præterquam quod vos nullo fere numero estis, et veritati non placet in vobis tantum conservari, aut naturæ suum in vobis assequi finem, nec vos felicitate ista usque ad finem perfruemini, soli contra mendacium sumentes bellum et sæpe terga daturi, quod et sociorum auxilio careatis, et invalidis armis pugnetis. Si enim universa Christianorum Ecclesia tanto undique collecto robore, mendacium, ut ipsi dixeritis, superare non valuit, quomodo vos resistere posse credamini, qui ad eam universam plurimis partibus estis pauciores? Et illa quidem hoc uno errore seducta de futuris melius fortasse consilium capiat ; vos autem veluti in tenebris versabimini, ne illud quidem scientes, quid sit agendum in rebus quæ sors obtulerit : nunquam enim fuistis hujusmodi rerum disceptatores et judices ; sed bono consilio illos sequebamini, qui norunt et possunt hæc judicare : eveniunt autem quamplura quæ ansam dabunt veritatis inimico adoriendi vos omni præsidio destitutos : atque ita præsens hic, ut opinamini, tutus status fiet periculorum ocrasio. Neque enim de vobis curæ erit iis qui modo contempti sunt ; neque vobis satis erit virium ad omnia. Quod si vix tandem tunc resipueritis, et ad catholicam Ecclesiam confugeritis, et polliciti eritis omnia vos veneraturos et recepturos quæcumque illa præceperit, refractarios olim et contumaces sensus valde exsecrati, illa quidem certe vos suscipiet, sed vobis pœnitentia non sine pudore erit, quem fugientes satius est ab initio nolle contendere.

Nolite ergo fratrum aversari communionem, et mœrore quidem illos afficere, caritatis autem Spiritum contristare : et falsa quidem in catholicam Ecclesiam, quæ aberrare non potest a veritate, vestro certe damno probra jacere, vobis autem vitam in posterum multis replere perplexitatibus. His usi ad eos verbis persuadebunt, sat scio, ut nihil contradicant : et licet per se ipsos non hæc perspiciant, audientes quæ hic erunt definita, libenter admittent : quamvis enim non multum scientia polleant, tamen persuasum mihi satis est fore, ut ea pro sinceris et justis habeant. Græcos igitur propter hæc dixerim non debere moveri, si qui forte sint contradicturi ; aut illorum causa se ipsos privare confessione veritatis, et pace cum Latinis, cum et se ipsos juvare, et illos, si quid dixerint,

A δεινὸν ἅπασαν μηδέποτ' ἂν αὐτὴν ὑποστῆναι. Οὔτε γὰρ ἀληθείας χωρὶς εἶναί τι καὶ συστάναι καθόλου, οὔτε μάτην τὴν τῶν ἀνθρώπων γένεσιν εἶναι τῶν εὐλόγων ἐστὶ, μηδενὸς ἐρήμου τῆς ἀληθείας δύζεσθαι δυναμένου, καὶ πρὸς τὰς ἐν οὐρανοῖς ἀφικνεῖσθαι διατριβὰς, ἃς τέλος τῆς ἀνθρωπίνης φύσεως ἴσμεν. Εἰ δ' ὑμεῖς τῆς καθολικῆς Ἐκκλησίας σφᾶς αὐτοὺς ἀποσχίσαντες, μόνοι καὶ τἀληθῆ φρονεῖν καὶ τὴν σωτηρίαν ἀσφαλῶς ἐλπίζειν νομίζετε, ὃ καὶ τῷ τὴν ἀλήθειαν σώζεσθαι καὶ τῷ τὴν φύσιν μὴ διαμαρτάνειν τοῦ τέλους εἴποιτ' ἂν ἐξαρκεῖν, οὐκ ἐπαινοῦμεν τοὺς λογισμούς. Χωρὶς γὰρ τοῦ μηδ' εἶναί τι σχεδὸν τὸ ὑμέτερον, μηδ' ἐν μόνοις ὑμῖν τὴν τ' ἀλήθειαν χαίρειν φυλαττομένην, τήν τε φύσιν τῶν εἰκότων τυγχάνουσαν, οὐδ' ὑμεῖς μέχρι τέλους τῆς εὐτυχίας
B ἀπολαύσεσθε ταύτης, μόνοι τὸν πρὸς τὸ ψεῦδος ὑφιστάμενοι πόλεμον, καὶ πολλάκις ἐνδώσοντες ἐρημίᾳ τε συμμάχων καὶ ὅπλων ἀδυναμίᾳ. Εἰ γὰρ ἡ καθολικὴ τῶν Χριστιανῶν Ἐκκλησία, καίτοι τοσαύτην ἐπαγομένη πανταχόθεν ἰσχὺν, οὐκ ἴσχυσεν, ὡς ἂν φαίητε, περιγενέσθαι τοῦ ψεύδους, πῶς ὑμᾶς; μηδὲ πολλοστοὺς αὐτοῖς ὅλοις τυγχάνοντας, εἰκός ἐστιν ἀντιστῆναι; Κἀκείνη μὲν ἴν τι τοῦτο σφαλεῖσα, περὶ τῶν μετὰ ταῦτα βέλτιον ἴσως βουλεύσεται· ὑμεῖς δὲ καθάπερ ἐν σκότῳ διάξετε, μηδ' εἰδότες ὅπως χρήσεσθε τοῖς συμπίπτουσιν· οὐ γὰρ γεγόνατέ ποτε τῶν τοιούτων ἐξεταστὰι καὶ κριταὶ, ἀλλὰ καλῶς ποιοῦντες εἵπεσθε τοῖς ταῦτα κρίνειν εἰδόσι καὶ δυναμένοις· συμπεσοῦνται δὲ καὶ μάλα
C πολλὰ, ἅτε τοῦ τῆς ἀληθείας ἐχθροῦ καιρὸν ἔχοντος ὑμῖν ἐπιφύεσθαι, βοηθείας ἁπάσης ἔξω καθεστηκόσι· καὶ οὕτως ὑμῖν ἡ πρὸς τὸ παρὸν ἀσφάλεια ὄπιθεν ἀφορμὴ κινδύνων γενήσεται. Οὔτε γὰρ φροντιοῦσιν ὑμῶν οἱ νῦν καταφρονηθέντες, οὔθ' ὑμεῖς πρὸς πάντα ἀρκέσετε. Ἂν δὲ τότε μόλις νοῦν εἰληφότες, τὴν καθολικὴν Ἐκκλησίαν ζητήσητε, καὶ πᾶν ὅ τι ἂν ἐπιτάξειεν αὕτη τιμᾷν ὑπόσχησθε καὶ φρονεῖν, πολλὰ τῆς προτέρας ἐνστάσεως καὶ τῶν ὑπερηφάνων καταρύμενοι λογισμῶν, ἐκείνη μὲν ἀντιλήψεται πάντως, ἀλλ' ὑμῖν οὐκ ἄνευ αἰσχύνης ὁ μετάμελος ἔσται, ἣν φεύγοντας, βέλτιόν ἐστι μηδὲ τὴν ἀρχὴν ἐθέλειν φιλονεικεῖν.

Παύσασθε τοίνυν τὴν τῶν ἀδελφῶν παραιτούμενοι
D κοινωνίαν, καὶ λυποῦντες μὲν αὐτοὺς, τὸ δὲ τῆς ἀγάπης παροξύνοντες Πνεῦμα· καὶ καταψευδόμενοι μὲν ἐφ' ὑμετέρῳ πάντως κακῷ τῆς καθολικῆς Ἐκκλησίας, ἣν ἀμήχανον τῆς ἀληθείας διαμαρτεῖν, πολλῶν δ' ἀπορίων γέμειν ὑμῖν τὸν μετὰ ταυτα βίον ποιοῦντες. Τοιαῦτα λέγοντες πρὸς αὐτοὺς πείσουσιν, οἶμαι, μηδὲν ἀντιλέγειν, καὶ εἰ μὴ καὶ οἰκοθεν ταυτὶ συνορῶντες, τὴν περὶ τῶν ἐνταῦθα διωρισμένων φήμην ἀσμενοι δέξονται, ἃ μηδὲ σφόδρα σοφοὺς ὄντας, ὡς ἁπλᾶ τε καὶ δίκαια λογιεῖσθαι καὶ λίαν ἔγωγε πείθομαι. Τοὺς μὲν οὖν Γραικοὺς, διὰ ταῦτα τὸ τῶν ἀντιστησομένων τυχὸν ἐν αὐτοῖς εἴποιμ' ἂν οὐχ ὑπολογίζεσθαι δεῖν, μηδ' ἐκείνοις ὄπιθεν χαριζομένους τῆς τἀληθοῦς ὁμολογίας καὶ τῆς πρὸς Λατίνους εἰρήνης στερεῖν ἑαυτοὺς, ἐξὸν

καὶ σφᾶς ὠφελεῖν, κἀκείνους ἂν τι λέγωσι μεταπείθειν· τῇ δὲ Λατίνων Ἐκκλησίᾳ τὰς τοιαύτας ὑποψίας οὐδὲ προσποιεῖσθαι γοῦν ἔξεστι. Πρῶτον μὲν γὰρ οὐδέν ἐστι γένος Λατίνων, ὃ μὴ τοῖς αὐτῆς ὑπείκῃ προστάγμασι· μᾶλλον δ' οὐδέν ἐστιν, ὃ τῆς πρὸς ταύτην αἰδοῦς παραχωρεῖν ἂν ἀνάσχοιτο τῶν πρωτείων. Οὕτω πολλῆς παρὰ πάντων ἀπολαύει τιμῆς, καὶ τοσούτων ἀπέχει, περὶ ὧν ἂν βούλοιτο τάττειν, ἐνστασίν τινα καὶ φιλονεικίαν ὀθενοῦν ὑποπτεύειν· ἄνευ γὰρ τῆς περὶ τὴν πνευματικὴν ἀρχὴν ἀκριβείας, δι' ἣν τῷ ἠπίῳ καὶ θεραπευτικῷ τὸ στυφὸν κεράσασα, οὐδένα τῶν ὑπ' αὐτῇ τεταγμένων ἐᾷ κατὰ τῶν αὐτῇ δοκούντων στρατεύεσθαι, καὶ πρόπετές τι κατὰ τῆς δεσποίνης καὶ μητρὸς ἐνθυμεῖσθαι· καὶ Λατῖνοι πάντες καὶ ἑκόντες μηδενὸς ἀναγκάζοντος πρὸς τὴν αὐτῆς εὐλάβειαν ὥρμηνται, σοφίᾳ καὶ φρονήσει πλέον τῶν ἄλλων κεκοσμημένοι, κἂν ταῖς συνεχίσι τῶν διδασκάλων δημηγορίαις ὁπόσον τι ταύτῃ σέβας ὀφέλεται δι δασκόμενοι. Ὥστε τῇ πρὸς αὐτὴν αἰδοῖ καὶ τῇ πίστει πολλὰ καὶ τοῖς αὐτῆς προστάταις συγκεχωρήκασιν· ἃ τῆς τῶν δεδωκότων εὐγνωμοσύνης ἀπόδειξις ὄντα, τοῖς οὐκ εἰδόσι χρῆσθαι καλῶς ὀνειδῶν ἀρχὴ καὶ σκανδάλων εἴωθε γίνεσθαι. Οὐκοῦν καὶ νεώτερόν τι νομοθετούσῃ μηδὲν πολυπραγμονοῦντες πάντες προσέξουσι· καὶ νῦν οὐχ ἧττον ἐπιδείξονται τὴν αἰδῶ, ὅτε καὶ πειθομένοις εἴωθε ποτὲ λυσιτελήσειν ἡγοῦνται, καὶ ἀντιλέγοντες δριμυτέρας τῶν συνήθων δώσειν εὐθύνας. Ἔπειτα καὶ βουληθέντες φιλονεικεῖν οὐδεμίαν ἕξουσι πρόφασιν· οὐ γὰρ ἂν νεωτέρα τις εἰσάγοιτο δόξα, ἀλλ' ἀφαιρεῖτο προστεθειμένη· ὃ ταυτόν ἐστι καὶ πρὸς τὴν ἀρχαίαν ἐπανιέναι καὶ πάσης ὑποψίας ἀπηλλαγμένην ὁμολογίαν. Ἄτοπον οὖν ἂν εἴη καινοτομοῦσῃ μὲν πρότερον πείθεσθαι, ἐχομένῃ δὲ τῶν ἀρχαίων καὶ ταῦτα βεβαιούσῃ ἀφίστασθαι· καὶ μόνης μὲν τὰ τοιαῦτα πραττούσης μηδὲν ὑποπτεύειν, μετὰ δὲ τῶν ἀδελφῶν ἀνευρισκούσης τὸ δέον, ἀμφιγνοεῖν· καὶ τιμᾷν μὲν αὐτοὺς ὑπὸ τῶν ἄλλων πολεμουμένην, τοῖς δὲ πρότερον δυσμενέσι νῦν συμμάχοις χρωμένην, καταφρονεῖν. Εἰ γὰρ ἐμελλόν ποτε τὴν εὐλάβειαν ἀπορρίψαντες, αὐθαδές τι καὶ προπετὲς ἐγχειρεῖν, τῇ πίστει προστιθείσης ἄνευ τῶν ἀδελφῶν καὶ τοσοῦτόν τι θαρρούσης, εὔλογον ἦν. Ἐπεὶ δὲ τότε πάντες ὑπεῖξαν, παντὸς λογισμοῦ τὴν εἰς αὐτὸν προσθέντες εὐλάβειαν, οὐδὲ νῦν εἰκὸς ἐστιν αὐτοὺς ἀντιλέγειν. Εἰ δὲ καί τινες παντὸς δικαίου καὶ λόγου, πρὸς δὲ καὶ τῆς ὑμετέρας ὑπεριδόντες ὀργῆς, τοῖς ὑφ' ἡμῶν ὁρισθησομένοις μὴ προσέχειν τὸν νοῦν, ἀλλὰ τοῖς ἐξ ἀρχῆς ἐμμένειν βουλήσονται, ἃ τοῖς Γραικοῖς περὶ τῶν ἀντερούντων αὐτοῖς ἔφθην εἰπών, ταῦτα καὶ ὑμῖν πρὸς τοὺς τοιούτους ἀρκέσειν ἡγοῦμαι. Καὶ καθάπερ τὴν τῶν Γραικῶν Ἐκκλησίαν, οὕτω δεῖ καὶ τὴν ὑμετέραν μὴ παύσασθαι τοῖς σωφρονοῦσι κτωμένην τἀγαθὰ, φόβῳ τῆς τῶν ἀνοήτων ἐνστάσεως· ἣν ἐλπὶς μὲν δήπου καὶ μὴ συμβήσεσθαι· γενομένην δὲ, ἢ λυθῆναι καλῶς, ἢ κολασθῆναι δικαίως ἀνάγκη. Παρίημι δ' ὅτι καὶ ῥᾷον ὑμεῖς τοὺς ἐν ὑμῖν φιλονεικήσοντας πείσετε, σοφοὺς ὄντας· καὶ

possint de sententia dimovere. At vero Latinorum Ecclesiæ suspiciones ejusmodi ne simulare quidem licet. Primo enim nullum est Latinorum genus, quod mandatis ejus non pareat; quin potius nullum est, quod se in ea colenda et observanda patiatur vinci ab aliis: adeo multus honor ei defertur ab omnibus, tantumque abest ut incidat illi suspicio, ne qua sibi adversus ea quæ præcipere voluerit; repugnantia seu contentio alicunde suboriatur. Nam præter absolutam spiritalis domini potestatem, per quam benigna mansuetudine temperat severitatem, nec sinit contra sua jussa subditorum aliquem sese extollere, aut petulans quidpiam contra dominam et matrem cogitare: Latini etiam omnes sponte sua cogente nemine, suo ad eam observandam nutu feruntur, doctrina et prudentia plusquam alii præstantes, et assiduis præconum concionibus edocti, quanta illi debeatur veneratio. Itaque reverentiam, quæ illam prosequuntur, et fide ducti multis quoque bonis donarunt ejus præsules, quæ cum piam eorum, qui illa dedere, mentem declarent, sæpe probrorum et scandalorum origo iis fiunt, qui datis bene uti nesciunt. Proinde novum etiam aliquod edente decretum, omnes illud sine ulla curiositate recipient: et nunc haud minorem præstabunt reverentiam, cum sibi, si quando alias, obedientiam existimant profuturam, et si repugnent, asperiores solito se pœnas daturos. Quod si vellent etiam contendere, nulla esset illis occasio: non enim nova aliqua induceretur opinio, sed addita tolleretur, quod idem esset atque ad antiquam et omni suspicione liberam redire confessionem. Inconveniens ergo esset, novitatem quidem invehenti obedire, ab ea vero fidem antiquam retinente et comprobante recedere: et sola quidem ea res hujusmodi agente nihil habere suspectum, cum fratribus autem comperiente quod tenendum est, animo fluctuare, et eam quidem oppugnatam ab aliis colere, nunc vero, qui prius hostes erant, socios habentem aspernari. Nam si quando abjecta reverentia audendum quid erat illis petulantius, consentaneum erat id contingere, cum sine fratribus posuit additamentum, tanta in re sibi confidens: at cum omnes tunc obtemperaverint quavis cogitatione postposita reverentiæ, quam adversus illam adhibebant, par est eos nunc etiam nolle contradicere. Quod si qui omni æquitate et ratione, nec non iracundia vestra contempta vestris sententiis noluerint acquiescere, sed persistere in prioribus maluerint, quæ de contradicturis jam dixi ad Græcos, eadem et vobis fore satis puto ad hujusmodi homines: et quemadmodum Græcorum Ecclesiam, ita decet et vestram non desistere bona comparare sapientibus metu contentionis insipientium, quam certe spes est non futuram, quod si fuerit, aut rite tollatur, aut juste puniatur necesse est. Præterea quod vos vestris facilius persuadebitis, si contradicant, cum et non indocti sint, et eadem lingua utantur, et possint efficacis-

simis traduci rationibus, quam Græci hominibus hisce peregrinæ linguæ ac rudibus ad percipiendam rationum et sensuum profunditatem atque magnitudinem plane ineptissimis; non minus certe, quam sit ad volandum structura corporum. Ad hæc Græci quidem unam aut duas ex hisce nationibus non sine lacrymis, et magnæ infelicitatis opinione dimiserunt, quod paucæ remaneant, quibuscum una pace fruantur: vos autem, si qua vestrarum gentium divellatur omnino a vobis, et morbo opprimi videatur insanabili, ægre quidem feretis amissionem et errorem illorum, a quo neminem capi vobis est in optatis, sed nullam vos pati censebitis amicorum et affinium orbitatem, cum futuri sint vobis multi, et quovis numero frequentiores, qui promptos ad obediendum exhibeant animos, sicut alii refractarios, quibusque sociis utamini pacis conciliatæ cum Græcis. Neque enim dici potest fore, ut omnes seu plures in suum caput arma capiant, et sese transfodiant gladio.

Ita hanc quoque suspicionem, quæ non contemnenda videbatur, nullius esse momenti, nec posse naturam ejus accurate considerantes abducere a recto proposito, et oratio jam ostendit, et vos melius perspicietis, animum attente ad illam adjicientes. Desinant ergo qui nobis quasi terriculum, defectionem quorumdam objiciunt, et pravorum insuper insolentiam audaciamque fovent: frustra hæc pios et rerum honestarum studiosos optasse affirmantes, nosque nescio quo non inertiores ac leviores redituros, ne alia probra dicam, quibus jure obnoxii eritis. Prius enim oportebat cogitationes istas explicare, vel terriculamenta potius ad incutiendum timorem objicere ut suis utrique vellent manere in finibus: nec modum pacis aggrederentur, tanquam propter hæc ipsa inutilem, ac talem ut fieri nulla ratione possit: non modis omnibus tunc ad pacem adhortari, quid non dicendo, quid non agendo, quod movere posset ad pacem? et quo non illam faciliorem asserendo, vel ipso nuo congressu futuram asseverando, nunc vero difficultates commemorare, et timores injicere: in his enim etsi licebat initio, at nunc certe non licet curas deligi ab iis, qui in ipsa devenerunt agendi tempora. Cum vero ne tunc quidem habitura locum essent hujusmodi impedimenta penes homines, qui bonis uti norunt consiliis, quis det esse hujus temporis agere de hisce rebus? Qua porro ratione fiat, ut qui nunc talia dicunt, necessario sese præ pudore non contegant: et qui in eam adducentur sententiam, quod Deus averlat, postea præ rubore non se cooperiant? neque enim est culpæ ejusdem aut consilii auctoribus, aut illi assentientibus, dum de tantis rebus adhuc deliberarent, metu rationis experte pereulsos non perspicere quid honeste et utiliter esset agendum, et studium, ubi rem sunt aggressi, restinguere:

A τῆς ὑμῶν φωνῆς ἁπαΐοντας, καὶ τοῖς ἀντιῤῥήτοις τῶν λόγων πείθεσθαι δυναμένους, ἢ Γραικοὶ τοὺς ἀλλοθρόους τούτους καὶ ἀπαιδεύτους, καὶ οἷς πρὸς λόγων καὶ νοημάτων ὕψος καὶ μέγεθος πάντα ἁπλῶς ἀποπέφυκεν, οὐδὲν ἧττον ἢ πρὸς τὴν δι' ἀέρος πτῆσιν ἡ τῶν σωμάτων κατασκευή· καὶ ὅτι Γραικοὶ μὲν ἓν ἢ δύο τῶν τοιούτων ἐθνῶν οὐκ ἂν ἀδακρυτὶ πρόοιντο, καὶ χωρὶς τοῦ δοκεῖν ἠτυχηκέναι τὰ μέγιστα, ὀλίγων ὄντων τῶν ὑπολοίπων καὶ οἷς τῆς εἰρήνης συναπολαύσονται· ὑμεῖς δ' ὁπόταν τι καὶ καθάπαξ ἀπορραγῇ τῶν ὑμετέρων ἐθνῶν, καὶ δόξῃ νενοσηκὸς ἀθεράπευτα, δυσχερῶς μὲν οἴσετε τὴν ἔκπτωσιν αὐτῶν καὶ τὴν πλάνην· ἣν οὐδένα τινὰ παθεῖν τῶν ἁπάντων, εὐχῆς ἔργον τίθεσθε· τὴν δὲ τῶν φίλων τε καὶ γνησίων ἐρημίαν B οὐδαμῶς ὑπολογεῖσθε, πολλῶν ἐσομένων ὑμῖν καὶ παντὸς ἀριθμοῦ κρειττόνων, οἳ τὴν εὐπείθειαν, καθάπερ ἄλλοι τὴν παρακοήν, ἐπιδείξονται, καὶ οἷς τῆς πρὸς Γραικοὺς εἰρήνης χρήσεσθε κοινωνοῖς. Οὐ γὰρ δὴ πάντας ἢ τοὺς πλείστους κατὰ τῆς σφῶν ὁπλίσεσθαι κεφαλῆς, καὶ καθ' ἑαυτῶν ὠθήσειν τὸ ξίφος ἔστιν εἰπεῖν.

Οὕτω καὶ τοῦτο τὸ δέος, καίτοι τῶν οὐ τυχόντων καὶ εἶναι δοκοῦν, φαῦλόν τι καὶ μὴ δυνάμενον ἀπάγειν τῶν προκειμένων καλῶς τοὺς αὐτοῦ τῇ φύσει προσέχοντας, ὅ τε λόγος ἔδειξεν ἤδη, καὶ ὑμεῖς ἄμεινον ὄψεσθε, τὸν λογισμὸν αὐτῷ καλῶς ἐπιστήσαντες. Παυσάσθων τοίνυν οἱ τὴν ἐνίων ἀποστασίαν ἡμῖν ἐπισείοντες, καὶ τὴν τῶν πονηρῶν ἀλαζονείαν καὶ τόλμην προσθεραπεύοντες, τοὺς εὐγνώμονάς τε καὶ τῶν καλῶν ἐραστὰς μάτην εὐξαμένους αὐτὰ περιδεῖν ἀξιοῦντες, καὶ ἡμᾶς οὐκ οἶδα τίνος οὐκ ἀργοτέρους καὶ κουφοτέρους ἐπανελθεῖν, ἵνα μηδὲν λέγω τῶν ἄλλων ὀνειδῶν, οἷς δικαίως ἐνέξεσθε. Τούτους γὰρ ἔδει πρότερον ὑποβάλλειν τοὺς λογισμούς, μᾶλλον δὲ τοῖς μορμολυκείοις τούτοις δεδίττεσθαι, καὶ πείθειν ἑκατέρους ἐφ' ὧν εἶχον μένοντας, ὡς ἀσυμφόρῳ διὰ ταῦτα καὶ ἀδυνάτῳ τῷ τῆς εἰρήνης τρόπῳ μὴ ἐγχειρεῖν· οὐ τότε πᾶσι τρόποις ἐπὶ τὴν εἰρήνην παρακαλοῦντας. καὶ τί μὲν οὐ λέγοντας, τί δ' οὐ ποιοῦντας τῶν δυναμένων κινεῖν; τίνος δ' οὐ ῥᾴστην αὐτὴν ἀποφηναμένους, καὶ τῷ συνελθεῖν μόνον ἀλλήλοις ἀκολουθήσουσαν; νῦν δυσχερῶν τινων μεμνῆσθαι C καὶ φόβους ἐπανατείνεσθαι. Τούτων γὰρ εἰ καὶ τὴν ἀρχὴν ἐξῆν, ἀλλ' οὐκ ἐν τῷ παρόντι φροντίζειν ἔξεστι τοὺς ἐν τοῖς τοῦ πράττειν ἀφιγμένους καιροῖς. Ὅπου δὲ οὐδὲ τότε χώραν ἔμελλεν ἕξειν τὰ τοιαῦτα τῶν κωλυμάτων παρά γε τοῖς καλῶς εἰδόσι βουλεύεσθαι, πῶς ἂν δοίη τις τῷ παρόντι καιρῷ τὴν περὶ τούτων σκέψιν ἁρμόττειν; ἢ πῶς οὐκ ἐμφράττεσθαι μὲν τοὺς λέγοντας νῦν, ἐγκαλύψεσθαι δὲ τοὺς, ὃ μὴ γένοιτο, πεισθησομένους πᾶσα ἀνάγκη; οὐδὲ γὰρ τὴν ἴσην ἔχει κατηγορίαν οὔτε τοῖς βουλεύσασιν οὔτε τοῖς πεπεισμένοις τό τε περὶ τηλικούτων ἔτι βουλευομένους, ἀλόγῳ δέει τοῦ καλοῦ καὶ συμφέροντος ὑπεριδεῖν, καὶ τοῦ πράττειν ἀρξαμένους ἐπισχεθῆναι. Τῷ μὲν γὰρ ἡ τῆς ῥᾳθυμίας ὕπεστι δόξα, τὸ δὲ οὐδὲ τῶν τῆς ἀνοίας ἐγ-

κλημάτων ἀπήλλακται· κἀκείνῳ μὲν οὐδεὶς συνέζευκται κίνδυνος, τούτου δ' εἵνεκα καὶ περὶ τῶν ὑπαρχόντων κινδυνεύειν ἀνάγκη.

Τούτων τοίνυν ἀμφοτέρων τῶν κωλυμάτων σαφῶς ἐξελεγχθέντων ὑπὸ τοῦ λόγου, δοκεῖ τοῖς ἄλλοις οὐδὲ προσέχειν δίκαιον ὅλως· ὧν τὴν σαθρότητα πόρρωθεν ἔξεστι τοῖς βουλομένοις πᾶσι φωρᾶν. Αὐτίκα τίς οὐκ οἶδε τοὺς θρυλλουμένους περὶ τοῦ μὴ δεῖν μήτε προστιθέναι μήτ' ἀφαιρεῖν τοῦ Συμβόλου διορισμοὺς, ἐπήρειαν ἄλλως ὄντας ὡς οἱ λέγοντες αὐτοὺς ἐκλαμβάνουσι, καὶ χάριν τοῦ συγκαλύπτειν τὴν ἐκ τῆς φιλονεικίας αἰσχύνην ἐξευρημένους; εἰ μὲν γὰρ ἔσται τι πεῖθον Γραικοὺς τὴν τῶν Λατίνων ἀπαναίνεσθαι δόξαν, καὶ προστιθέναι τῷ Συμβόλῳ ταύτην ἀπαξιοῦν, ἄλλος ἂν εἴη λόγος· καὶ τὴν τῆς συνόδου ψῆφον ἐκείνην ὑγιῶς νοοῦντας οὐδεὶς αἰτιάσεται. Κατὰ γὰρ τῶν ὑφαιρέσεί τισι καὶ προσθήκαις τὴν πίστιν λυμαινομένων, καὶ νόθον εἰσαγόντων θεολογίαν, ἐξενήνεκται τὴν ἀρχήν· ἣν αἰδουμένους, αὐτούς τε μηδὲ τοιοῦτον τολμᾶν, καὶ τοῖς τετολμηκόσι μὴ κοινωνεῖν φαῖεν ἂν ἅπαντες. Ἂν δὲ τοὐναντίον μᾶλλον ἀληθεστάτην καὶ τοῖς τῆς πίστεως θεμελίοις σφόδρα συμβαίνουσαν, καὶ τοῖς ἁγίοις δοκοῦσαν τὴν δόξαν ταύτην εἶναι πεισθῶσι, μάταιος ἡ πρὸς ἐκεῖνα καταφυγή· οὐ γὰρ λέγουσι τὴν τῶν Πατέρων διαστρέφοντες ψῆφον, ἕως ἂν ἐκεῖνοι τὸ ψεῦδος προαναιροῦντες, οὐ τὰς ἀληθεῖς ἐκβάλλοντες δόξας, ταύτην ἐξήνεγκαν. Τοῖς γὰρ ἄλλην πίστιν συγγράφουσιν ἀπειλοῦσι, καὶ τοὺς ὁτιοῦν τῶν ὡμολογημένων προσθήκαις τισὶν ἐναντίαις καὶ ὑφαιρέσεσι δολεραῖς ἀνατρέπειν βουλησομένους ἀνείργουσιν. Ὥστε καθὰ προσήκει νοουμένης τῆς ψήφου, οὔτε Λατῖνοι τἀληθὲς προστιθέντες ἐγκαλοῖντ' ἂν δικαίως, καὶ Γραικοὺς συμφωνοῦντας μὲν οὐδὲν ἁμαρτάνειν, ἄλλο δέ τι λέγοντας ἐπηρεάζειν ἀντικρυς λείπεται. Ἔπειτα εἰ καὶ Λατίνοις μόνοις ἢ Γραικοῖς Λατίνων χωρὶς οὐκ ἔξεστι καὶ ὁτιοῦν προστιθέναι, ἀλλά γε τὴν οἰκουμενικὴν σύνοδον οὐδεὶς τουτὶ τὸ γέρας ἀφελέσθαι δυνήσεται· ἐπεὶ καὶ τὰς ἄλλας συνόδους προσθήκαις τισὶ τὴν ἀληθινὴν ἀναδειξάσας οἴδαμεν πίστιν· καὶ ὁ τῆς προσθήκης καταψηφιζόμενος ὅρος, ἣν ἄν τις εἷς ὢν καὶ δόξαν ἰδίαν δημοσιεύων ποιήσαιτο, οὐχ ἣν ἂν σύνοδος ὅλη βουληθείη προσθεῖναι, ταύτην ἐλαύνει· οὐδαμοῦ γὰρ ἐκεῖ συνόδου γίνεται μνήμη, ἀλλὰ μηδενί φησιν ἐξεῖναι. Καὶ μὴν ἃ κωλύει πιστεύειν, ταῦτα καὶ προστιθέναι τῷ Συμβόλῳ τῆς πίστεως οὐκ ἐᾷ· ταῦτα δέ ἐστιν ὁπόσα τοῖς ἀληθέσιν ἐναντιοῦται, καὶ τοῖς μετὰ πολλοὺς ἀγῶνας κεκρατηκόσιν οὐ συμφωνεῖ. Ἃ δὲ πιστεύειν ἔξεστι, ταῦτα καὶ ὁμολογεῖν συγχεχώρηται· τὴν γὰρ τοῦ Συμβόλου δήπουθεν ὁμολογίαν, τὸ μὴ δεῖν λανθάνειν ἐνίους περὶ τὴν πίστιν διεφθαρμένους, ἀναγκαίαν πεποίηκεν· ἣν ἐφόσον τοῖς ἀκινδύνως πιστευομένοις συμφωνοῦσαν ποιῆταί τις, οὐκ ἂν δικαίως νομίζοιτο παραβλάπτειν. Ἄλλως δὲ καὶ καταψευσόμεθα τοῦ Συμβόλου τῆς πίστεως, καὶ μάτην ἀναγνωσόμεθα τοῦτο, τῆς ἐξ αὐτοῦ γινομένης ἀσφαλείας ἤδη πεπατημένης. Οὔτε γὰρ Σύμβολον

A illud enim habet opinionem socordiæ, hoc vero dementiæ quoque crimen non effugit: et illi quidem nullum est adjunctum periculum, per hoc autem necesse est summa quoque rei periclitetur.

Cum ergo demonstratum sit per ea quæ diximus, utrumque hoc impedimentum, quæ pondus aliquod habere videntur, nihil obstare: reliqua ne consideratione quidem ulla amni digna, quæ frivola esse deprehendere poterit e longinquo quicunque voluerit. In primis enim quis ignorat, decantata illa decreta, quod nihil in Symbolo aut addere, aut demere liceat, juxta sensum eorum qui objiciunt esse plane calumnias, ad obtegendam contentionis ignominiam adinventas? Nam si quid est, quod persuadeat Græcis, ut respuant sententiam Latinorum, prohibeatque illam Symbolo addere, alia res est: et nemo decretum illud synodi sane intelligentes culpaverit: latum quippe est a principio in eos, qui detractionibus atque additamentis quibusdam fidem depravant, et adulterinam invehunt theologiam: cujus reverentia nec sibi tale quidpiam audendum, nec si qui ausint, admittendos esse ad communionem, omnes affirmaverint. Quod si potius e contrario persuadeatur illis, sententiam illam esse verissimam, et cum fundamentis fidei valde congruentem, et sanctis probatam: inane est ad illa refugium: nihil enim dicunt perverse intelligendo decretum Patrum, cum hoc illi ediderint, ut mendacio viam præcluderent, non ut veras sententias eliminarent, minas enim in eos jactant, qui aliam fidem conscribunt: et iis tollunt facultatem qui adjiciendo quid contrarium, et subdole auferendo quodlibet ex confessis evertere voluerint. Quare si decretum intelligatur ita ut oportet, neque Latini culpandi sunt, si adjecerunt quod verum est, neque Græcos errare dicendum, si consenserint: alioquin restat, ut aliud dicentes calumnias certe struant. Deinde si Latinis solis, aut Græcis absque Latinis non licet addere quidlibet; at œcumenicæ synodo honorem hunc nemo poterit negare: nam et alias synodos adjectionibus quibusdam scimus veram declarasse fidem, et decretum, quo reprobatur additamentum, ita hæc excludit, si ab uno quopiam fiat propriam divulgante sententiam, non si tota synodus voluerit addere, nulla enim in eo fit synodi mentio, sed nemini, inquit, liceat. Præterea quæ prohibet credi, ea quoque non permittit addi Symbolo fidei: ea vero sunt, quæ veritati adversantur, et non consonant iis quæ post multos labores recepta sunt. Quæ porro licet credere, fateri quoque permissum est. Symboli enim confessionem illud fecit necessariam, quod non oporteat latere aliquos in fide corruptos, quam nemo lædere jure censendus est, dum illam præstat iis consentientem, quæ sine periculo creduntur. Alioquin fidei Symbolum falso appellabimus nomine, et frustra illud recitabimus proculcata jam illa, quæ ex eo provenit, hæsitationis liberatione. Neque enim erit amplius Sym-

bolum, si totam non detegat infixam animæ de fidei articulis sententiam : nec impossibile est aliques falsa sentientes latere, qui nobiscum quidem confessione stent, fide vero sejungantur, si hoc omnino concedatur. Plenam vero fidei rationem quomodo integram exhibebimus, quam in confessione sui consistere accipimus, nobis prædicationem ejus per ipsam præterea linguam refugientibus ? aut quæ nobis erit salutis spes per ea quæ necessario creduntur, si cum audiamus, fateri illam oportere propter salutem, ipsi ignominiam habere putemus : si ore etiam fateamur veritatem ? Sicut enim nullo modo credenda sunt, quæ deficiunt a regula veritatis ; ita ad recte credita necesse est exterior quoque accedat confessio. Aut igitur demonstranda est Latinorum sententia a veritate prorsus aliena, aut si hoc non potestis, ut vera illa honoranda et suscipienda est, et fides in Symbolo declaranda. Latini enim nobiscum sententiam recipientibus, et ratam esse judicantibus, fortasse de confessione non magnopere pugnabunt, satis enim est illis ostendere, se recte sensisse, et efficere ne ulterius contendamus, veritatemque ut mendacium persequamur : at nobis sola fides cordis non erit satis, non adjuncta etiam exteriori confessione. Decreta vero, quæ aliqui reformidant, pro nobis potius egregioque additamento stare putanda sunt, atque eo modo intelligenda, quo pro se et aliis vellent intelligi qui ea condidere. Neque enim se ipsos, aut alios pari dignitate præditos facultate hujusmodi privare volebant, ut plane definire non possint quæ spectant ad fidem : alioquin decreta hæc nullius esse momenti inconsiderate ostendissent, et quæ possint non observari : nam et illa additamentum quoddam sunt, et sententia de fide tunc primum lata, et a nulla superiorum approbata synodorum ; omnes enim, ut patet, addebant. Sed neque Latini, si nec œcumenicam existimant, nec omnino talem, cujus mandata non liceat transgredi, synodum illam, quæ posuit additamentum, pertimescent decreta, improbantes additamentum, et volentes illud expungere. Quæ enim non valde certa sunt ratione definita, possunt ab illis immutari, qui majorem habent facultatem. Si vero illam arbitrantur œcumenicam, et decreta ejus rata esse debere in perpetuum, æque ut aliarum generalium statuta synodorum ; non dubium est quin et ipsi decreta sint omnino prolaturi, et quæ Græcis est difficultas ad inserendum, eam sibi esse demere volentibus sint dicturi. Ego vero utrum ea synodus œcumenica sit habenda, nec ne, Latinis ipsis considerandum relinquo : sed consilium eis dederim primum quidem, ut potius a se decreta observari existiment, si priorum illorum sequantur conciliorum sententiam, quam si illis omnibus posthabitis uni omnium postremo adhæreant : deinde ut nullam de illa synodo cum Græcis habeant controversiam, sed missam faciant hanc materiam. Ego enim

A ἔστι λοιπὸν μὴ πᾶσαν τὴν ἐν τῇ ψυχῇ πεπηγυῖαν περὶ τῶν τῆς πίστεως ἄρθρων δόξαν ἀνακαλύπτον, οὔτε τῶν ἀδυνάτων ἐστὶ καὶ ψευδῆ τινας πεφρονηκότας λανθάνειν· καὶ τῇ μὲν ὁμολογίᾳ μεθ' ἡμῶν ἑστάσθαι, τῇ δὲ πίστει διακεχρίσθαι, ἅπαξ τούτου συγχωρηθέντος. Ποῦ δὲ καὶ τὴν τῆς πίστεως ἀκρίβειαν περισώσομεν, ἣν ἐν τῷ ταύτην ὁμολογεῖν παριλήφαμεν συνεστάναι, αὐτοὶ τοῦ καὶ γλώττῃ κηρύττειν ταύτην φειδόμενοι ; Ἢ τί ἡμῖν ἐκ τῶν ἀναγκαίως πιστευομένων ἔσται σωτηρίας ἐλπίς, εἴπερ εἵνεκα μὲν σωτηρίας ὁμολογεῖσθαι τὴν πίστιν ἀκούομεν, αὐτοὶ δ' ὥσπερ αἰσχύνην τὸ τὴν ἀλήθειαν καὶ χαῖλεσιν ὁμολογεῖν νομιοῦμεν ; ὥσπερ γὰρ οὐδὲ πιστεύειν χρὴ τὴν ἀρχὴν ὁπόσα τῶν τῆς ἀληθείας κανόνων ἔξω χωρεῖ, οὕτω τοῖς καλῶς πιστευομένοις καὶ τὴν ἔξωθεν ὁμολογίαν ἀνάγκη πᾶσα προσεῖναι. Ἢ τοίνυν τὴν τῶν Λατίνων δόξαν δεικτέον τῆς ἀληθείας πόρρω που βάλλουσαν, ἢ τοῦτο μὴ δυναμένους, ὡς ἀληθῆ τιμητέον, καὶ φρονητέον οὕτω, καὶ τῷ Συμβόλῳ τὴν πίστιν φανερωτέον. Λατῖνοι μὲν γὰρ ἀποδεχομένοις τὴν δόξαν ἡμῖν, καὶ κυρίαν εἶναι ψηφιζομένοις, περὶ τῆς ὁμολογίας τυχὸν οὐ σφόδρα διοίσονται· ἀρκεῖ γὰρ αὐτοῖς τὸ δεῖξαι σφᾶς τὰ ὄντα πεφρονηκότας, καὶ ἡμᾶς παῦσαι φιλονεικοῦντας, καὶ τἀληθὲς ὡς ψεῦδος διώκοντας. Ἀλλ' ἡμῖν μόνη τῆς καρδίας ἡ πίστις οὐκ ἀρκέσει πρὸς σωτηρίαν, μὴ καὶ τῆς ἔξωθεν ὁμολογίας συνεζευγμένης. Καὶ οὓς τινες δεδίασιν ὅρους, ὑπὲρ ὑμῶν μᾶλλον καὶ τῆς καλῆς προσθήκης ὑπολητέον, καὶ νοητέον αὐτούς, ὡς ἂν αὐτοὶ βουληθεῖεν ὑπὲρ ἑαυτῶν καὶ τῶν ἄλλων οἱ θέμενοι. Οὔτε γὰρ ἑαυτοὺς οὔτε τοὺς ἴσον περικειμένους ἀξίωμα, τῆς περὶ ταῦτ' ἐξουσίας καὶ τοῦ τὰ περὶ τὴν πίστιν ὁρίζειν ἤθελον ἀποκλείειν. Ἄλλως δὲ καὶ τοὺς ὅρους τούτους σαθρόν τι χρῆμα δεικνύντες καὶ παραβαίνεσθαι δυναμένους ἔλαθον ἄν· καὶ οὗτοι γὰρ προσθήκη τίς εἰσι, καὶ γνώμη τῶν τῆς πίστεως τότε πρῶτον ἐξενεχθεῖσα, καὶ μηδεμιᾷ τῶν πρὸ αὐτῆς συνόδων ἀρέσασα· πᾶσαι γὰρ, ὡς δῆλον πίφυκε, προσετίθουν. Ἀλλὰ μὴν καὶ Λατῖνοι εἰ μὲν οὔτ' οἰκουμενικὴν, οὐδ' ἁπλῶς ἀπαραίτητον τὴν σύνοδον ἐκείνην, ἢ γέγονεν ἡ προσθήκη, νομίζουσιν οὐδ' ἂν εὐλαβηθεῖεν τοὺς ὅρους, τῆς προσθήκης κατεγνωκότες καὶ ταύτην θέλοντες ἀφαιρεῖν· τὰ γὰρ οὐ πάνυ βεβαίως διωρισμένα ἔξεστι μεταποιεῖν τοῖς μείζω δύναμιν ἔχουσιν. Εἰ δ' οἰκουμενικὴν ἐκείνην ἡγοῦνται, καὶ ἅπερ ἔγνωκε κρατεῖν ὀφείλοντα μέχρι παντὸς, οὐδὲν ἧττον ἢ τὰ ταῖς οἰκουμενικαῖς συνόδοις διωρισμένα, εὔδηλον ὅτι προβαλοῦνται καὶ οὗτοι πάντως τοὺς ὅρους· καὶ τὴν ἴσην Γραικοῖς τι προστιθέναι, καὶ αὐτοῖς ἀφαιρεῖν βουλομένοις ἐροῦσιν εἶναι δυσχέρειαν. Ἐγὼ δὲ τὸ μὲν πότερον οἰκουμενικὴν ἢ μὴ τοιαύτην τὴν σύνοδον ἐκείνην οἴεσθαι χρὴ, αὐτοῖς ἀφίημι Λατίνοις σκοπεῖν· συμβουλεύσαιμι δ' ἂν αὐτοῖς πρῶτον μὲν μᾶλλον νομίζειν τοὺς ὅρους διαφυλάττειν τῷ μετὰ τῶν προτέρων ἐκείνων συνόδων ἑστάναι τῇ γνώμῃ, ἢ τῷ περιιδεῖν μὲν ἐκείνας ἁπάσας, μιᾷ δέ γε τῇ πασῶν ἰσχάτῃ προσέχειν· ἔπειτα μηδὲ πρὸς Γραι-

κοὺς περὶ τῆς συνόδου διαφερομένους ἐκείνης, τῶν προκειμένων εἴδλειν ἀφίστασθαι· ἐγὼ γὰρ οἶδα Γραικοὺς οὐδέποτε ταῖς οἰκουμενικαῖς συνόδοις συντάττειν ἐκείνην ἀνεξομένους, καὶ πρὸς τοῦτο μᾶλλον ἢπερ ἄλλο τι τῶν ἁπάντων ἐνστησομένους εἰδότας ὡς ἀνάγκη πανταχόθεν αὐτοὺς ζημιοῦσθαι, καὶ νομίζεσθαι χείρους εἰ ταῦτα βούλοιντο συγχωρεῖν. Διὰ δὴ ταῦτα τὴν μὲν σύνοδον ἐατέον ἐκείνην, ὅπως ποτὲ βουληθείεν ἑκάτεροι τοιαύτην εἶναι δοκεῖν· τὴν δὲ τοῦ σχίσματος αἰτίαν προσθήκην, ἂν φαίνηταί που λυμαίνεσθαι, μηδὲ Λατίνοις ὀκνητέον ἐκβάλλειν· μηδ' εἰ προστιθείσῃ τῇ παρούσῃ συνόδῳ δίκαιον ἡγοῦνται Γραικοὺς ἅπαντας πείθεσθαι, αὐτοὶ νομιζέτωσαν ἀδικεῖσθαι ἀφαιρούσης οὐ παρακούοντες· ἐπίσης γὰρ ἄμφω καὶ ἔξεστιν οἷς ἂν ἐξῇ, καὶ κεκώλυται. Οὔτε τοὺς τοίνυν ὅρους ἐκείνους εὐλαβουμένους, παντὶ μᾶλλον ἢ τῇ παρούσῃ χρείᾳ συμβαίνοντας, τὴν μόνην ἀληθῆ καὶ βεβαίαν εἰρήνην πρέπει προῖεσθαι· οὔτε τῷ φθάσαντας ἐκείνης ἢ ταύτης ἐπειλῆφθαι τῆς δόξης, εὔλογόν ἐστι δυσχεραίνειν πρὸς τὴν μετάθεσιν. Αἰσθάνομαι γὰρ ἐνίων καὶ ταῦτα λογιζομένων, καὶ δεινὸν ἡγουμένων, δόξαν τοσούτοις χρόνοις κεκρατηκυῖαν ἀμεῖψαι. Οὐ γὰρ καθάπερ θέαν ταῦτα κρίνεσθαι δεῖ· οὐδὲ τῷ χρόνῳ τὰ τοιαῦτα πιστεύειν, ὃς καὶ τῶν φαυλοτέρων εὑρετής ἐστι δεξιός· οὐδὲ αἰδεῖται τῷ ψεύδει κατὰ τῆς ἀληθείας συμπράττων· καὶ πολλάκις μὲν τοῖς σπουδαίοις ἐπανέστησε τὰ μέμψεως ἄξια, πολλάκις δὲ τοῖς χείροσι κρατήσασιν ἤδη καὶ πιστευθεῖσι σφοδροτέραν τὴν παρὰ τῶν ἀμεινόνων μάχην ἐπήγαγε. Καὶ νῦν οὖν οὐδὲν ἀπεικός ἐστιν ἐπὶ τοσοῦτον χρόνον τὴν πλάνην ἐλθεῖν, ἢ τοῦ ψεύδους ἀληθείας φαντασίαν λαβόντος καὶ μετὰ ταύτης κηρυττομένου, ἢ τὴν αὐτοῦ φαντασίαν ταύτῃ περιθέντος, καὶ φιλονεικοῦντος οὕτως ἐκβάλλειν. Ὅμως δὲ τῶν μὲν ἡμῖν προκειμένων μεγίστων ὄντων, καὶ πρὶν ἐς τόδε σχίσματος ἥκειν σχεδὸν ὑφ' ἁπάντων ἀπιστουμένων, οἳ τὰς πολλὰς δυσχερείας συνῆδεσαν, εἰκός ἐστι καὶ πολλῷ πλείω τῶν εἰρημένων νῦν ὑμῖν φανεῖσθαι κωλύματα· καὶ πολλάκις ἐγγυτάτω τοῦ καλοῦ γινομένους, ὑπὸ τούτων ἐνοχλουμένους ἀποστήσεσθαι πάλιν. Οὐ γὰρ γέγονεν, εἰ δεῖ τἀληθῆ λέγειν, οὐδ' ἔσται πρᾶγμα πλείους καὶ μείζους ἔχον τὰς δυσκολίας τῆς· πάντα καλλίστης καὶ χρησιμωτάτης· ταύτης εἰρήνης. Ἐγὼ δὲ παραινέσαιμ' ἂν ὑμῖν, καί μοι μηδεὶς ὑμῶν ὀργισθῇ, μᾶλλον ἂν ἐλέσθαι μηδὲ ὁμῶν ἀρχὴν ἐπιχειρῆσαι τῷ πράγματι, ἀλλ' ὥσπερ καθ' ἱστορίαν συνελθόντας ἐνταῦθα, οὕτως ὁμιλήσαντας καὶ γνωρισθέντας ἀλλήλοις ἐπανελθεῖν, ἢ μετὰ προθυμίας ἀψαμένους ἐνδοῦναι, καὶ μικρᾶς τινος ἢ μείζονος δυσχερείας ἥττους ὀφθῆναι. Εἰ γὰρ ἐλάττους ἦτε τὸν ἀριθμὸν, ἢ τῆς χρείας ἐνδεέστερον παρεσκευασμένοι, ἢ σύνοδος ἅπα χιὴ καὶ μὴ πᾶσαν τὴν Ἐκκλησίαν Θεοῦ παριστάνουσα, ἢ δι' ἄλλο τι προὔργου συνειλεγμένοι, ἔπειτα καὶ περὶ τῆς εἰρήνης σκοπεῖν παρέργως; ἐμέλλετε, τό γε τοῖς μεγίστοις ἐπιχειρήσαντας ἀπογνῶναι καὶ δόξαν φρονήματος ὑμῖν ἤνεγκεν ἄν. Ἐπεὶ δὲ καὶ πλήθει, καὶ ἀρετῇ, καὶ σοφίᾳ, καὶ

scio, Græcos nullo modo passuros eam synodum œcumenicis annumerari, sed contra hoc potius quam quidvis aliud repugnaturos : sciunt enim, si velint hæc admittere, fore ut necessario damnum usquequaque faciant, deteriorisque habeantur conditionis. Propter hæc nihil de illa synodo agendum, qualemcunque eam velint utrique videri : sed Latinis etiam, sicubi malum afferre videtur, dubitandum non erit ejicere causam schismatis, additamentum : nec si æquum esse arbitrantur, Græcos omnes parere huic synodo additamentum apponenti, ipsi se injuriam pati arbitrentur obedientes auferenti : æque enim utrumque et licitum est, quibus licet, et prohibitum pariter. Neque igitur timore decretorum illorum, quæ potius ad quidvis aliud quam ad rem nostram faciunt, projicienda est sola vera et solida pax, nèque ob anticipatum hanc vel illam opinionem consentaneum est mutationem ægre ferre. Audio quippe has esse quorumdam cogitationes, indignum esse opinantium, receptam tanto tempore mutare sententiam. Non sunt enim hæc judicanda more spectaculorum nec decursu temporis credenda, quod facit ut deteriora etiam videantur apte excogitata, nec erubescit ferre opem mendacio contra veritatem, quod feci, ut præclare sæpe res oppugnarentur a rebus vituperatione dignis, sæpe etiam deteriora recepta jam et credita bello acriori a potioribus peterentur. Nihil ergo absonum, nunc etiam tanto tempore latuisse errorem, aut imagine veritatis assumpta a mendacio, et sub ea prædicato, aut eodem sui imaginem veritati adaptante, atque ita ut exturbet illam contendente. In universum res, quas præ manibus habemus, cum sint longe maximæ, et antequam ventum esset ad tantum schisma, visæ fere omnibus, qui conscii multarum erant difficultatum, incredibiles, par est multo etiam plura, quam dictum est, oblatura se nunc vobis esse impedimenta, et sæpe vos ad egregium hoc opus perficiendum maxime vicinos, per ea turbatos detentum iri. Nam si verum dici oportet, nulla fuit res aut erit pluribus et majoribus implicata difficultatibus, quam usquequaque honestissima et utilissima hæc pax. Ego vero tale vobis dederim consilium, irascatur autem nemo. Satius plane esset, omnino rem non aggredi, sed tanquam studio visendorum locorum profectos convenisse huc, collatisque sermonibus, habitaque mutua vestri notitia regredi, quam alacriter exorsos despondere animum, et sive parvæ, sive magnæ difficultati succumbere. Nam si minori esse numero, aut minus quam res exigit parati, aut synodus provincialis, et non totam Dei repræsentans Ecclesiam, aut alterius rei gratia non inutilis collecti, sed obiter etiam postea pacis negotium tractaturi, quod res maximas exorsi, desperatis, id vobis etiam magni animi virorum pareret nomen : at quia et multitudine, et virtute, et scientia, omnique apparatu, si qua unquam alia superiorum

generalium synodorum, instructi estis, quæ pares difficultates simili robore tunc vicerunt; inest autem et vehemens pacis desiderium, et nullam aliam ob rem profecti estis, ad decertandum, turpe est, venerabiles Patres, turpe, personæ quam geritis, atque appellationis ordini non respondere, et abscedere minorem consecutos gloriam, quam alii qui proposita sibi similia certamina ad felicem exitum perduxerunt. Nemo enim vos audiet, si excusationis causa protuleritis impedimenta et difficultates, cum sciat quam pleno veneritis apparatu, quavis quidem alia re validiori, per solam autem ignaviam projecto. Ad hæc fieri non potest, quin aliis quoque probris vexemini, quæ secum affert pax impedita : hoc enim superbiæ crimen infert, illud timiditatis reprehensionem, aliud contentionis vitium; atque ita aliud alii conjunctum est dedecus, quibus ne merito fiatis obnoxii, curandum vobis est et singulis et universis : æque enim omnia plurimum distant a vestra virtute et spe, quæ sita in vobis est. Omnium porro, quæ dicta sunt, caput hoc est : reliqui certe omnes homines manifestis hisce ac perspicuis, quæ ex pace proficiscuntur, bonis fruentur, quorum erit pulcherrimum veritatis cognitio, et suarum salus animarum : vos autem primi utilitatem ex hisce bonis perspicientes, eoque titulo insigniti, quod per vos auctores illa in omnes fluxerint, mercedem etiam utilitatis perceptæ ab aliis accipietis. Præter hæc adest quoque Deus vestrorum animi motuum spectator et judex, quem nemo latere potest aut seguiter agens, aut mollitie fluens, aut carnales et caducas cogitationes operibus ejus immiscens. Hunc igitur omnes præ oculis semper habentes, et eam quæ sequetur, si rem præclare gesseritis, utilitatem et gloriam, omne quidem quod adversatur, frivolum et inane ostendetis; exoptatam vero pacem quamcitissime ac utilissimam vestro decreto sancietis.

πάσῃ παρασκευῇ, εἴπερ τις τῶν πώποτε γενομένων οἰκουμενικῶν συνόδων, ἐξήρτυσθε, αἱ τῶν ἴσων δυσχερειῶν μετὰ τῆς ὁμοίας ἰσχύος; τότε περιειγένοντο, πρόσεστι δὲ καὶ ἡ σφοδρὰ τῆς εἰρήνης ἐπιθυμία, καὶ τὸ μηδενὸς ἄλλου χάριν ἐλθεῖν ἀγωνιουμένους, αἰσχρόν ἐστιν, ὦ σεβάσμιοι Πατέρες, αἰσχρὸν τὴν τοῦ σχήματος καὶ τῆς ἐπωνυμίας τάξιν λιπεῖν, καὶ τῶν ἄλλοτε κατορθωκότων ἐν τοῖς ὁμοίοις ἀγῶσι χείρω λαβόντας δόξαν ἀπαλλαγῆναι. Οὐδεὶς γὰρ ὑμῖν τὰ κωλύματα καὶ τὰς δυσχερείας ἀπολογίαν προτείνουσι προσέχειν ἐθελήσει τὸν νοῦν, τὴν ὑμετέραν εἰδὼς διὰ πάντων παρασκευὴν πασῶν οὖσαν ἰσχυροτέραν, ῥᾳθυμίᾳ δὲ μόνῃ προδεδομένην. Πρὸς δὲ τούτοις οὐδὲ τοῖς ἄλλοις ἀνεῖσθαι ἔσθ' ὅπως οὐχ ὑποκείσεσθε, ἃ τῶν τῆς εἰρήνης ἔχεται κωλυμάτων· τῷ μὲν γὰρ αὐτῶν τὸ τῆς ὑπερηφανίας ὑπεστιν ἔγκλημα, τοῦ δ' ἡ τῆς δειλίας ἥρτηται μέμψις, τῷ δὲ τὸ τῆς φιλονεικίας συνέζευκται, καὶ ἄλλοις ἄλλα σύνεστιν αἰσχη· οἷς ὅπως οὐκ ἐνίξεσθε δικαίως, ἑκάστῳ τε ὑμῶν καὶ πᾶσιν ἅμα πρέπει φροντίσαι· πάντα γὰρ ὁμοίως τῆς ὑμετέρας ἀρετῆς καὶ τῶν ἐφ' ὑμῖν ἐλπίδων πλεῖστον ἀπέχει. Ἁπάντων δὲ τῶν εἰρημένων ἐστὶ κεφάλαιον· οἱ μὲν ἄλλοι πάντες ἄνθρωποι τῶν ὁμολογουμένων τούτων καὶ πᾶσι προδήλων ἐκ τῆς εἰρήνης ἀγαθῶν ἀπολαύσονται, ὧν ἡ γνῶσις τῆς ἀληθείας καὶ ἡ τῶν ψυχῶν αὐτοῖς σωτηρία τὸ κάλλιστον ἔσται· ὑμεῖς δὲ πρῶτοι τῶν ἀγαθῶν ἀπονάμενοι, καὶ τῷ τοῖς πᾶσι γενέσθαι τούτων αἴτιοι κοσμηθέντες, καὶ τῆς τῶν ἄλλων ὠφελείας ἀφέξετε τοὺς μισθούς. Πρὸς δὲ τούτοις καὶ Θεὸς πάρεστιν ἤδη τῶν ὑμετέρων ἐνθυμημάτων ἐπόπτης καὶ δικαστής· ὃν οὐκ ἔστιν οὐδένα λαθεῖν ἢ ῥᾳθυμοῦντα καὶ βλακευόμενον, ἢ σωματικούς τινας λογισμοὺς καὶ προσκαίρους αὐτοῦ τοῖς ἔργοις ἀναμιγνύντα. Τοῦτόν τε τοίνυν πρὸ ὀφθαλμῶν ἀεὶ καὶ τὴν ἐκ τοῦ κατορθοῦν ὠφέλειάν τε καὶ δόξαν ἅπαντες ἔχοντες, σαθρὸν μὲν δείξετε πᾶν ἐναντίωμα, τὴν δὲ ποθουμένην εἰρήνην ὅτι τάχιστα καὶ λυσιτελεστάτην ψηφιεῖσθε.

ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΣ ΤΡΙΤΟΣ

Ἐν ᾧ τίθεται τὰ ποιήσοντα τὴν τοιαύτην εἰρήνην.

EJUSDEM ORATIO III

In qua exponuntur ea, per quæ pax hujusmodi confici possit.

Hæc sunt, quæ maxima et difficillima pacis hujus impedimenta visum mihi existimavi, quæ vos tamen considerantes nihili puto facietis, sed ambabus, ut aiunt, manibus strenueque pacem amplectemini, nihil prætermittentes, quod per vos fieri possit :

Ἃ μὲν τοίνυν νενόμικα τῶν τῆς εἰρήνης ταυτησὶ κωλυμάτων μέγιστα καὶ δυσχερέστατα δόξειν, καὶ ἃ σκοπουμένους αὖθις ὑμᾶς περὶ οὐδενὸς ἂν ἐκεῖνα λόγου ποιήσεσθαι, ἀλλ' ἀμφοτέραις, ὅ λέγεται, καὶ γενναίως ἀντιλήψεσθαι ταύτης τῶν εἰς δύναμιν

ἡκόντων οὐδετιοῦν παριέντας, ταῦτά ἐστι· τῶν μὲν πολλῶν κωλυμάτων τρισὶν ἢ τέταρσι τούτοις συνεξαιρεθέντων· ἃ δὲ κατὰ τούτων τοσούτων ὄντων ἐξῆν εἰπεῖν, τῶν πλείστων τοῖς ἕκαστα βουλομένοις ἐπισκέπτεσθαι παρειμένων· ἐμοὶ γὰρ τὴν ἐκείνων ὑπογράφοντι φύσιν, καὶ ταῦτ' ἔδοξεν ἀποχρῆν. Ἐπ' αὐτὸ δὲ λοιπὸν τὸ τῶν λόγων βαδιοῦμαι κεφάλαιον· καὶ τὰ ποιήσοντα τὴν εἰρήνην ταύτην ὑμῖν, μετὰ τῆς ἄνωθεν βοηθείας, ὑπομνήσκων ὡς οὕτως εἰπεῖν καὶ μόνον ἁπτόμενος, ἔρχομαι δείξων. Τῶν μὲν γὰρ ὑποσχέσεων αὕτη λοιπὴ, καὶ μείζω δύναμιν ἔχουσα. Οὔτε δὲ ἡγοῦμαι σοφοῖς ἀνδράσι καὶ πνεύματος γέμουσι καὶ φρονήσει διοικουμένοις μακροτέρων ὑπὲρ ἑκάστου λόγων δεήσειν, οὔτ' αὐτὸς τῆς χρείας περισσοτέροις χρώμενος λόγοις οὐχὶ καὶ προσενοχλεῖν ἂν ὑπειλῆφθαι.

Ἐγὼ γὰρ, ὦ Πατέρες σεβάσμιοι, θεωρῶν εὑρίσκω, πόρρωθεν τὴν ἡμετέραν διάστασιν ἀρξαμένην ἄχρι τοῦδε παρ' ὑμῖν καὶ βλάβους πολλοῦ καὶ ὠφελείας οὐχ ἧττονος αἰτίαν οὖσαν, καὶ τοῦ μὲν ἄλλου μετασχόντας τοὺς πρὸ ἡμῶν, τῆς δ' ὠφελείας πρώτους ἡμᾶς, ἂν μόνον θελήσωμεν, ἀπολαύσοντας. Ἐν γὰρ τῷ τοσοῦτον ἤδη χρόνον ἀλλήλοις πολεμεῖν ἀδιάλλακτα, προσεῖναι δὲ ἑκατέροις δόξαν ἐπὶ σοφίᾳ καὶ τὸ διὰ πάντων ἀξίωμα, καὶ διὰ ταῦτα βούλεσθαι νικᾷν ἐκ περιουσίας, οὐδ' ἀριθμεῖν ἔστιν ὁπόσα κατ' ἀλλήλων συγγεγραφότες ἐπὶ καιρῶν οὐκ ὠκνήσαμεν ἀλλήλους τοῖς ἀνηκίστοις περιβαλεῖν, καὶ δεῖξαι πάντων ἀνθρώπων χείρω νοσήσαντας. Ταῦτα δὲ πάντα συκοφαντίαι τινές εἰσιν ἐκ τῆς περὶ τὴν μάχην ἀνάγκης, καὶ λόγων ὑπερβολαὶ, καθάπερ ἐπὶ πάσης συμβαίνειν εἰωθεν ἔριδος· ὑφ' ὧν δήπου τοὺς ἁπλουστέρους ἀναπεισθέντας μέχρι καὶ τῶν ἔξω τούτων καὶ φαινομένων ἐκτεῖναι τὴν ἔχθραν, ἔθη τινὰ καὶ τὰ περὶ τὴν θρησκείαν ἔχοντα διασύροντάς τε καὶ μισοῦντας, οἷς ἀνεξετάστως πρότερον ἔχαιρον. Τὸ δ' αὐτὸ τοῦτο καὶ πρὸς τὴν παροῦσαν χρείαν λυσιτελέστατον ἔτυχεν ὄν, καὶ πρὸς τὴν εἰρήνην μέγα βοήθημα. Πᾶσαν γὰρ Γραφὴν διερευνησάμενοι, καὶ τὸν νοῦν ἐπιβαλόντες τῇ σκέψει, τὰ δυνάμενα τῇ σφῶν δόξῃ συνηγορεῖν, ὅσα τε εἰς λογισμοὺς ἥκει, καὶ ὅσα πρὸς τὴν ἐκ τῶν Γραφῶν συμμαχίαν ἐξεῦρον, ὡς μηδὲν ὑπολείπεσθαι τοῖς μετὰ ταῦτα προσεπινοῆσαί τι καὶ προσεξευρεῖν· ἐξ ὧν ὑμεῖς δυνηθείητ' ἂν σὺν ἐλάττονι πόνῳ γενέσθαι τῆς ἀληθείας εὐστοχοι δικασταί· οὐδὲ δεήσει βίβλους ἀναλεγομένοις κἀκεῖθεν τὰ πρόσφορα προσλαμβάνουσιν, ἢ παρ' ἑαυτῶν σοφόν τι πορίζομένοις καὶ τοῖς γεγραμμένοις ἑπόμενον, τὰς δόξας ἅμφω γυμνάζειν· ἀλλ' ἀρκεῖ τοῖς ὑπὸ τῶν ἄλλων ἐξευρημένοις χρωμένους, καὶ ταῦθ' ἕκαστα σκοπουμένους, τὴν ἀληθῆ καὶ δικαίαν ψῆφον ἐνεγκεῖν. Οἶμαι δὲ καὶ Θεὸν αὐτὸν συνειδότα δυσχερῆ τὴν περὶ τῶν προκειμένων κρίσιν ὑπάρξουσαν τοῖς τε πρώτοις εὐθὺς ἀρξαμένοις περὶ τούτων ἀμφισβητεῖν, καὶ πολλῷ μᾶλλον τοῖς ἐκδεξαμένοις τὴν ἀμφισβήτησιν, ὧν οἱ μὲν ὑπὸ τῶν ἀντικειμένων φωνῶν, οἱ δ' ὑπὸ τῶν ταύταις συνηγορούντων λόγων ἐθορυβοῦντο, οὓς πλείους ἀεὶ καὶ σφοδροτέρους ἀνεύρισκον, μέχρις

A multis aliis impedimentis per hæc tria vel quatuor simul e medio sublatis. Satis vero mihi videor eorum describendi naturam dixisse, expositis iis quæ contra res tanti momenti dicere potui relictis plurimis, ut ea dicant, qui singula volunt perpendere. Ad ipsum vero jam sermonum meorum caput accedam, declaraturus vobis, Dei favente auxilio, per quæ pax hæc confici possit, ad memoriam vos, ut ita dicam, revocans, atque ea tantum attingens. Solvendum enim hoc restat promissum, quod etiam plus habet ponderis. Cum porro mihi sit agendum cum viris doctis, et spiritu plenis, resque suas cum prudentia moderantibus, non erunt opus, arbitror, in singulis longi sermones, et ipse si pluribus quam res postulet, verbis usus fuero, merito

B etiam molestus esse existimabor.

Ego enim, venerandi Patres, mecum cogitans reperio, disjunctionem nostram jam olim exortam ad hæc usque nostra tempora et damni non exigui et non minoris utilitatis causam esse : et illo quidem affectos esse majores nostros, utilitate vero nos primos, si modo velimus, perfruituros. Quod enim tanto jam tempore bella inter nos seclusa conciliatione gesserimus, et pars utraque doctrinæ opinionem habeat, omnique dignitate præfulgeat, et velit propterea pluribus rationibus victoriam sibi arrogare, numerari non possunt quæcunque per singula tempora utrique conscripserimus, alteri alteros malis gravissimis onerare non dubitantes

C et ostendere inter omnes homines morbo pessimo oppressos. Hæc porro omnia calumniæ quædam sunt, quas pugnæ necessitas peperit, et verborum excessus, ut assolet in omni contentione, quibus profecto simpliciores persuasi, inimicitias usque ad exteriora hæc et apparentia protraxerunt, ritus quosdam et cæremonias, quæ illis antea sine ulla disquisitione valde placebant, proscindentes, odioque habentes. Verum hoc idem et rei, quæ agitur, conducit maxime, et ad conficiendam pacem magno est adjumento : totam enim Scripturam perscrutati, studioque ad considerationem adhibito, quæ suæ possent favere sententiæ, sive ratiocinationibus, sive locis in rem utrique suam e Scriptura

D depromptis adinvenerunt, ut nihil omnino supersit posteris ad excogitandum, per quæ vos poteritis minori cum labore acres fieri judices veritatis : nec opus erit libros evolvere, atque inde sumere quæ ad rem faciunt, aut per vos doctum aliquod et cum scriptis congruens argumentum comminisci ad examinandam utramque opinionem, sed satis erit adhibere quæ sunt ab aliis inventa, et singula ponderare ad veram justamque ferendam sententiam. Puto autem et Deum ipsum, quod videret judicium de re proposita fore difficile, tum iis qui primi dubitare cœperunt, tum et multo magis iis qui subsecuti sunt, quorum aliquos turbabant voces oppositæ, aliquos vero rationes, quibus illæ probantur, et quas illi semper plures et fortiores inveniebant, pacem usque ad vos proro-

gasse, quorum præcipue illa opus exstiterit. Neque enim vestras de pace cogitationes tollet certandi studium, neque apparens discrepantia vos turbabit, ut earum quæ utrinque sunt suspicione difficultatum et periculorum, temerarium esse de his aliquid pronuntiare existimetis. Quare ex hoc temporis beneficio fit vobis, ut perfectum judicantium obtineatis statum, cum labores alii studiose susceperint, et vestram solam, ut ita dicam, exspectent sententiam, quam ferre vobis non erit valde laboriosum. Oportet igitur vos quidem continere a probris et contumeliis, et argumentis ad absurda deducentibus, et cæteris omnibus, quæ diuturna tulit discordia, primos autem eorum inventuros arguere, imo vero benigne illis veniam dare, et solo temporis uti beneficio, et propter hoc unum illis hominibus agere gratias, quicunque apud utrosque laborem hunc subierunt, nec plus illis tribuere auctoritatis, quam congruit litigantibus : neque enim veritatis arbitri et judices fuere illi hominum generi, ut estis vos, propter quod sit illis tribuendus honor maximus, et rata habenda quæ dicunt : sed suam quisque partem tutatus est, et pro viribus illam defendit, quam bene vero dixerit, judicandum reliquerunt sententiam de rebus hisce laturis. Et pro iis quidem, quæ bene sunt ab illis dicta, et quæ vobis commodiorem viam facient ad reperiendam veritatem, et habendæ illis gratiæ, et dicta illa confidenter usurpanda : quæ vero prolata sunt contentionis studio, et præstabat silentio præteriri, ea penitus rejicienda. Quin imo illorum hominum scripta supervacuum prorsus arbitror legi a vobis, quippe quæ ad præsens negotium nullam possunt afferre utilitatem : neque enim pacis modum vobis ostendunt, aut quomodo maxime utriusque conducat, sed vel omnino partem hanc omiserunt, vel difficillima postulant, de illo tantum usquequaque solliciti, quomodo victoriam ab altera parte reportent : at vobis propositum est pacem quærere et cognitionem veritatis.

ὑμῶν τὴν εἰρήνην ἀναβαλίσθαι, ὧν μάλιστ' ἂν ἔργον αὐτὴ γένοιτο. Οὔτε γὰρ ἡ τῶν ἀγώνων φιλοτιμία τοὺς εἰρηνικοὺς ὑμῶν λογισμοὺς ἀφελεῖται, οὔθ' ὑπὸ τῆς φαινομένης διαφορᾶς ταραττόμενοι, καὶ τὰς ἐκατέρωθεν ὑποπτεύοντες δυσχερείας καὶ τοὺς κινδύνους, προπετές τι περὶ τούτων ἀποφαίνεσθαι νομιεῖτε. Ὥστ' ἐκ γε τῶν τοιούτων ἀπὸ τοῦ χρόνου βοηθημάτων τό τε τῶν δικαζόντων ἀκραιφνῶς ὑμῖν περιγίνεται σχῆμα, ἄλλων τοῖς ἀγῶσιν ἐμφιλοτιμησαμένων, καὶ μόνην, ὡς εἰπεῖν, τὴν ὑμετέραν ψῆφον ἀναμενόντων, καὶ τὸ γνώμην ἀποφαίνεσθαι πόνον ὑμῖν οὐ μέγαν παρέξει. Δεῖ τοίνυν ὕβρεων καὶ λοιδοριῶν καὶ τῶν εἰς ἄτοπα ἀπαγωγῶν, καὶ ὧν ἡ μακρὰ διάστασις πεποίηκε πάντων, αὐτοὺς τε ἀποσχομένους, καὶ τοῖς εὑροῦσι πρώτοις ἐπιτιμήσαντας, μᾶλλον δὲ συνεγνωκότας ὑπὸ φιλανθρωπίας, μόνῳ τῷ παρὰ τοῦ χρόνου χρήσασθαι βοηθήματι, καὶ ὑπὲρ τούτου μόνου χάριν εἰδέναι τοῖς ἀνδράσιν ἐκείνοις, ὅσοι παρ' ἑκατέροις τὸν ἀγῶνα τοῦτον ὑπέστησαν· μηδὲ πλέον τι νέμειν αὐτοῖς ἀξιώματος, ἢ ὅσον δικαζομένοις ἁρμόττει. Οὐ γὰρ τῆς ἀληθείας ἐξεταστὰ καὶ κριταὶ τῷ κοινῷ τῶν ἀνθρώπων ὑπῆρξαν, τοῦτο δὴ τὸ ὑμέτερον, ὥστε καὶ δεῖν αὐτοῖς τὴν μεγίστην ἀποδιδόναι τιμήν, καὶ νομίζειν, ἃ φασι κύρια· ἀλλὰ τῆς οἰκείας ἕκαστοι προὔστησαν μοίρας, καὶ ταύτῃ τὸν δυνατὸν συνηγωνίσαντο τρόπον, τοῖς τὰ τοιαῦτα δικάσουσι τὴν ὑπὲρ ὧν εἶπον ψῆφον καταλιπόντες. Τῶν μὲν δὴ καλῶς εἰρημένων, καὶ ὅσα πρὸς τὴν τῆς ἀληθείας εὕρεσιν ὑμῖν μέλλει λυσιτελεῖν, ἱστίον τε χάριν αὐτοῖς καὶ θαῤῥούντως σφίσι χρηστέον· ἐφ' ἃ δ' ὑπὸ φιλονεικίας προήχθησαν, καὶ ἃ σιγᾶσθαι βέλτιον ἦν, τούτων καθάπαξ ἀποστατέον· μᾶλλον δὲ καὶ παντάπασιν οἶμαι τὰ τῶν ἀνδρῶν ἐκείνων παρεῖκον εἶναι μεταχειρίζειν ἡμᾶς, ἅτε μηδὲν πρὸς τὴν παροῦσαν σκέψιν ἐξ αὐτῶν ὠφελησομένους. Οὐδὲ γὰρ τὸν τῆς εἰρήνης τρόπον ὑμῖν ὑφηγοῦνται, ἢ ὡς ἂν ἀμφοῖν συνενέγκαι μάλιστα· ἀλλ' ἢ παρῆκαν πάντη τοῦτο τὸ μέρος, ἢ τὰ χαλεπώτατα ἀξιοῦσιν, ὅπως περιέσονται τῶν ἑτέρων πανταχόθεν μόνον φροντίζοντες· ὑμεῖς δὲ τὴν εἰρήνην καὶ τὴν τῆς ἀληθείας γνῶσιν προὔργου ζητεῖτε.

Quoniam igitur rei naturam, de qua quæritur, tum ex oppositis aliorum lucubrationibus cognitam habere potestis, tum per vos ipsi jam perspexistis, non modo vestra scientes, sed et aliorum utrique altercationes quidem istas omnino missas facere, ad ea vero statim oportet incumbere, per quæ sola licet consequi pacem. Consideranti porro mihi videntur hæc esse ; primo quidem recurrere ad fundamenta fidei, veræque theologiæ principia, atque ad hæc utramque opinionem examinare, et dispicere utra cum illis maxime congruat : deinde inquirere, quomodo accepta fuerint ab Ecclesiæ doctoribus pronuntiata Scripturæ, quæ videntur spectare ad hanc materiam : ad hæc quid singuli de quæsito hoc philosophati fuerint. Et quidem ex eo quod primum dixi, arbitror multam emergere

Ἐπεὶ τοίνυν τὴν τοῦ ζητουμένου φύσιν ἐξ ὧν ἄλλοι τε ἠγωνίσαντο καὶ αὐτοὶ δύνασθε συνορᾶν, καὶ οἶκοθεν ἥκετε κατειληφότες ἤδη, οὐ μόνον τὰ ἑαυτῶν εἰδότες, ἀλλὰ καὶ τὰ τῶν ἄλλων ἑκάτεροι, τῶν μὲν ἀγωνισμάτων τούτων καθάπαξ ὑπεριδεῖν, δι' ὧν δὴ μόνον ἔνεστιν εἰρήνης τυχεῖν, τούτων εὐθὺς ἅψασθαι δεῖ. Τὰ δ' ἐστὶν, ὡς ἐμοὶ δοκεῖ σκοπουμένῳ, πρῶτον μὲν πρὸς τοὺς θεμελίους ἀναδραμόντα τῆς πίστεως, καὶ τὰς τῆς ἀληθοῦς θεολογίας ἀρχὰς, τούτοις ἑκατέραν δόξαν προσάγειν, καὶ ἥτις ἂν ἐκείνοις συμβαίνοι μάλιστα θεωρεῖν· ἔτι γε μὴν οἱ τῆς Ἐκκλησίας διδάσκαλοι πῶς ἐξειλήφασι τὰ τῆς Γραφῆς ἀξιώματα, ἃ πρὸς ταύτην τὴν ὕλην τείνειν δοκεῖ· πρὸς δὲ τούτοις, τί περὶ τοῦ ζητήματος ἐθεολόγησαν ἕκαστοι. Ὧν ἐκ μὲν τοῦ πρώτου ῥηθέντος πολλὴν ἡγοῦμαι δυσχέρειαν ἀναχύπτειν·

περὶ γὰρ τὰς τῆς πίστεως ἀρχὰς εἰκὸς εἶναι πλείους διαφορὰς, ἐξ ὧν τῶν συμπερασμάτων ἐναντιότης συνάγεται· ἃς οὔτ' ἀναιρεῖν εὔπρακτὸν, λήσομεν γὰρ πολλαπλασιάσαντες τὸ δεινὸν καὶ πολλοῖς τισιν αἰτίοις ἀπορράγέντες ἀλλήλων, ἐν οἷς ἔσται τις καὶ χαλεπωτέρα τῆς παρούσης διαφορᾶς, οὔτ' εἰκὸς ἐστι συγχωρεῖν οὔτε τοὺς ἑτέρους τοῖς ἄλλοις, τοῦτο γὰρ ταυτὸν ἔσται καὶ τὴν ἧτταν ὁμολογεῖν, οὔτ' ἀλλήλοις· καὶ ταύτῃ γὰρ ἀσύμβατοι μέχρι παντὸς ἐσόμεθα, τὰ ἀντικεῖσθαι δοκοῦντα συμπεραίνοντες; ἐξ ἀντικειμένων ἀρχῶν, καὶ πρὸς ἑαυτοὺς τὴν τῶν ἑτέρων δόξαν ἀντιμεθιστάντες ἑκάτεροι. Συμφέρει δὴ τὰς μάλιστα ἀρεσκούσας ἀλλήλοις ἐκλεξαμένους ἀρχὰς, ἐκ τούτων ἐπιχειρεῖν· εἰ δ' οἷόν τε καὶ περὶ πάσας τὰς ἄλλας δείκνυσθαι συμφωνοῦντας, σκέψασθαι μετὰ ταῦτα· εἰ μή τις οἴοιτο περιττὸν εἶναι τοῖς περὶ τὸ συμπέρασμα συμφωνεῖν δυνηθεῖσι τὰς ἀρχὰς ἐξετάζειν, ἐξ ὧν ἡ προτέρα μάχη συνῆπτετο. Περὶ δὲ τὰ λοιπὰ δύο μηδεμίαν εἶπον' ἂν εἶναι δυσχέρειαν· τάς τε γὰρ ἐξηγήσεις τῶν διδασκάλων ῥᾴδιον οἶμαι χρῆμα τοῖς γε τὰ τοιαῦτα μάλιστα δεινοτέροις ἀκριβῶς συνιδεῖν, ὁπόσας τοῖς τῆς Γραφῆς χωρίοις ἀπέδωκαν· εἰ δέ τινες ἐν ὑμῖν διαφόρως καὶ ταύτας νοοῖεν, τοῖς σοφωτέροις καὶ πλείοσι τὴν νίκην ἀφορίζεσθαι δεῖ· τοῦτο γὰρ καὶ δίκαιον καὶ προσῆκον ἂν εἴη· τάς τε τῶν ἁγίων περὶ τῶν προκειμένων δόξας ἐφαρμόττειν ἀλλήλαις, καὶ πρὸς μίαν ἁπάσας γνώμην συνάγειν, κἂν ἔστιν οὗ δοκῶσι διενηνέχθαι, καὶ προσῆκον οἶμαι καὶ ῥᾴδιον. Οὐ γὰρ δεῖ γε προσέχειν, εἴ τις καταψηφίζεσθαί τινος βούλοιτο τῶν ὑπὸ τοῦ κοινοῦ τῆς Ἐκκλησίας τετιμημένων, ἢ διεφθάρθαι τὴν ἐκείνου θεολογίαν ὑπὸ τῶν οἰκείων τιθεῖς, τὰς παρ' αὐτοῦ μὴ προσίοιτο μαρτυρίας· πλὴν ἂν μή τί που φανερῶς διεφθορὸς ᾖ, καὶ συγχωρῆτε μὲν ἑκάτεροι, μαρτυρῇ δὲ καὶ τὰ παρ' ἑκατέροις βιβλία τῆς λύμης ταύτης ἀπηλλαγμένα, καὶ τὸ γνήσιον ἑαυτοῖς παρισώζοντα. Καθόλου μὲν οὖν ἐπὶ τὴν γνῶσιν τῆς ἀληθείας τρισὶ τούτοις ὁδηγηθήσεσθε· τοῖς τῆς Γραφῆς ἀξιώμασι, δηλονότι ταῖς αὐτῶν ἀναπτύξεσι, καὶ ταῖς ἰδίαις τῶν διδασκάλων γνώμαις ἃς ὁπουδήποτε τῶν οἰκείων λόγων τοῖς ἄλλοις κατέμιξαν, μνησθῆναι τῆς τοῦ Πνεύματος προόδου δεήσαν. Ὡς δὲ ταῦτα πάντα διάθησθε κάλλιστά τε καὶ προχειρότατα, τά; τε προλήψεις καὶ φιλονεικους ἐνστάσεις ἐξαιρετέον, καὶ τὰς σαθρὰς καὶ ῥᾳδίως ἐξελέγχεσθαι δυναμένας ἀποφυγὰς, καὶ πανταχοῦ μετὰ τῆς ἰσότητος χωρητέον· οὐ γὰρ μᾶλλον νῦν ἀλλήλους καθήμεθα δικασταὶ περὶ τῶν ἀμφισβητουμένων ἢ τῇ τε θείᾳ Γραφῇ καὶ τοῖς ταύτης ἐξηγηταῖς τε καὶ διδασκάλοις τῆς ἀναγκαίας συμφωνίας ἐφευρεταὶ καὶ συνήγοροι. Ὅθεν οὐκ ὀρθῶς κεχρημένοι τοῖς προκειμένοις, πολλοῖς καὶ ποικίλοις ἀδικήμασιν ἐνεχόμεθα. Οὐκοῦν ὡς τῆς φιλονεικίας ἐπὶ πλεῖον τῶν ἀνηκίστων ἡμᾶς δυναμένης ἐκφέρειν, ἀπέχειν μὲν αὐτῆς παντελῶς, συμμάχους δὲ ἐπὶ τοῦτο τὴν τε πρὸς ἀλλήλους εὔνοιαν, καὶ τὸ μετὰ τῆς ἀληθείας ἅπαντα λέ-

difficultatem. Nam * circa principia fidei (1) par esse multas discrepantias, ex quibus contrariæ conclusiones inferuntur. Ea porro nec destruere decet, ita enim fiet, ut aliud agendo multiplicemus malum, simusque multis de causis disjuncti, de quibus aliqua erit gravior quam præsens differentia, neque par est aut alteram partem alteri concedere, hoc enim idem esset atque se victos fateri aut utramque alteri: hâc enim ratione nunquam conveniemus, deducentes quæ videntur opposita ex oppositis principiis, et alterius partis sententiam utrique in nos ipsos transferentes. Operæ pretium ergo est seligere principia maxime utrisque probata, et inde argumenta ducere: quod si fieri poterit de aliis etiam omnibus consentire, id postea considerandum relinquere, nisi quis superfluum putet, ab illis qui potuere in unam de conclusione convenire sententiam, examinari principia, ex quibus prior pugna conserebatur. Reliqua vero duo nullam dico habere difficultatem, nam et doctorum expositiones facile posse perspici opinor a rerum hujusmodi peritis, quæcunque Scripturæ locis tributæ ab illis sunt: si qui vero sunt inter vos, qui et hos aliter intelligant, sapientioribus et pluribus victoria danda est, hoc enim æquum et consentaneum est: et sanctorum de re proposita sententias conciliare et ad unam omnes redigere, licet in aliquo dissentire videantur, conveniens arbitror et facile esse. Neque enim audiendus erit si quis velit reprobare quempiam ex iis, quos universa honorat Ecclesia; aut ejus testimonia non admittat, quod putet ejus theologiam a suis corruptam; nisi quid sit perspicue depravatum, idque utrique affirmetis, et probent utriusque partis libri tali corruptela liberi, germanamque lectionem in se conservantes. Omnino igitur tribus hisce ducemini ad cognoscendam veritatem; videlicet Scripturæ auctoritatibus, earum explanationibus, et propriis doctorum sententiis, quas illi suis in sermonibus sparsim protulere, cum opus esset mentionem facere de Spiritus processione. Ut vero hæc optime facillimeque præstetis, tollendæ sunt anticipatæ animo opiniones, et contentiosæ reluctationes, atque infirma effugia, quæ facile refutari possunt; et ubique plana ingenuitate utendum: neque enim nunc magis alteri alteris judices controversiæ sedemus, quam divinæ Scripturæ ejusque interpretum ac doctorum, quorum est necessario adinveniendæ consensio, conciliatores et patroni. Quare si propositum negotium non recte tractaverimus, multorum ac diversorum rei criminum erimus. Cum igitur contentio nos possit ulterius in mala gravissima devehere, abjicienda omnino illa est, et assumenda sunt nobis subsidio tum mutua inter nos benevolentia, tum voluntas eniteudi ut omnia cum veritate proferantur. Et primo quidem non deret velle omnia disertis verbis e Scriptu.a

(1) Id est, circa principia fidei varie intellecta.

desumere, nam et multos hæreticos scimus prætextu hoc usos : sed si quid verbis ita prolatis sit consequens, adæque erit honorandum : similiter quod veris et confessis visum repugnans et contrarium, nullo modo erit admittendum. Deinde eorum quæ obscurius dicta sunt, sumendæ sunt e Scriptura ipsa veluti magistra explicationes per ea quæ uspiam clarius illa disserit. Ad hæc si qua videtur esse discrepantia, tollenda est adhibita expositione, si tempora, usus ac necessitas, sensuumque diversitas, et hujusmodi alia perpendantur. Neque enim est omnino credendum, in doctrina Spiritus inesse quidquam dissensionis, aut minus solidæ veritatis. Sed quomodo nos plane loca hujusmodi distinguere debeamus, non solum exemplo communium nobis doctorum, et imitatione eorum quæ ab illis adhibita sunt, dum pari necessitate premerentur ; sed certis quoque de hoc eorum admonitionibus, cum vellent nos hac etiam in parte non esse auxilio destitutos, dignoscere ac percipere valemus. Ut enim Cyrillum et Chrysostomum et Augustinum, et reliquos præteream theologos, nam longum esset exempla omnium enumerare, quibus illud curæ fuit, si quidquam aliud, Scripturas inter se consonas demonstrare, beati Patris Nysseni dicta vestram in memoriam redigam, ita enim puto fore ut et Scripturis ea merito habeatur reverentia, quæ ab omnibus debetur, et sanctos Patres ostendam fuisse pios et doctos Scripturarum auditores. Propositum ergo illi est beatum Stephanum laudibus celebrare ; at inter alia recenset illud, quod se vidisse Stephanus ait : qua tum occasione scite admodum in hæreticos invehitur, quod illi visionem Stephani ansam sibi facerent ; futilis argumenti atque mendacii exponam vero ipsa propemodum illius verba. Nam quia visionem illam rabiosi Spiritus oppugnatores existimabant esse in rem suam, ita dicentes : Si Patri et Filio annumerandus omnino est Spiritus, cur a Stephano non est visus una cum Filio ? ex ipsismet verbis, quibus enarratur visio, refellit eos, consequentia cum antecedentibus connectens, ostenditque ibi annumerari Spiritum sanctum, sed eos tanquam pravitate obcæcatos illum præterire. Si enim per simile, inquit, videntur similia, et non nisi in lumine potest lumen videri, perspicuum sane est et ipsum Stephanum gloria Spiritus ante illustratum conspexisse gloriam Patris et Filii : *Stephanus enim*, inquit, *cum esset plenus Spiritu sancto, vidit gloriam Dei, ejusque Unigenitum* [1]. Nam quod Scriptura tacuit, enumerans quæ fuere visa, jam antea posuerat, dum asseruit a gratia Spiritus profectam esse elevationem ac visionem illam martyris ; et rem adeo præclaram exstitisse non humanæ opus solertiæ, sed divinæ virtutis. Est igitur verum undecunque colligendum apum exemplo sedularum : idcirco enim et scrutari jubemur Scripturas,

γειν πειράσθαι, πρέπει παλεῖν· καὶ πρῶτα μὲν μὴ πάντα βούλεσθαι διαῤῥήδην λαμβάνειν ἐκ τῆς Γραφῆς, τούτῳ γὰρ καὶ πολλοὺς τῶν αἱρετικῶν ἴσμεν χρησαμένους τῷ προκαλύμματι, ἀλλ' ἂν τι τοῖς οὕτω λεγομένοις ἀκόλουθον ᾖ, καὶ τοῦτο τῆς ἴσης τιμῆς ἀξιοῦν· ὡσαύτως εἴ τι τοῖς ἀληθέσι καὶ ἀναντιῤῥήτοις ἐναντιούμενον φαίνοιτο, τοῦτο μηδένα παραδέχεσθαι τρόπον· ἔπειτα τῶν μὴ σαφῶς εἰρημένων αὐτὴν τὴν Γραφὴν λαμβάνειν διδάσκαλον, ἐξ ὧν ἄλλοθί που σαφέστερον πραγματεύεται· πρὸς δὲ τούτοις τὴν δοκοῦσαν διαφωνίαν ἐξηγουμένους λύειν πειράσθαι, καιρούς τε καὶ χρείας καὶ διαφόρους ἐννοίας καὶ τὰ τοιαῦτα παραλαμβάνοντας. Οὐ γὰρ πιστεύειν ὅλως εἰκὸς ἀσυμφωνίας τι καὶ σαθρότητος τῇ τοῦ Πνεύματος διδασκαλίᾳ προσεῖναι· καὶ ὅλως πῶς δεῖ τὰ τοιαῦτα τέμνειν ἡμᾶς, οὐ μόνον τῷ κατὰ κοινοὺς ἡμῶν διδασκάλους παραδείγματι καὶ οἷς ἐπὶ τῆς ἴσης εἶλοντο χρείας, ἀλλὰ καὶ οἷς εἶπον περὶ τούτων ἐπίτηδες, οὐδὲ τοῦτο τὸ μέρος ἀδοηθήτους ἐῶντες, συμβάλλειν τε καὶ εἰδέναι δυνάμεθα. Ἵνα γὰρ Κύριλλον καὶ Χρυσόστομον καὶ Αὐγουστῖνον, καὶ τοὺς ἄλλους τῶν θεολόγων παρῶ, μακρὸν γὰρ ἂν εἴη τὰ πάντων ἐξαριθμεῖν, οἷς ἔπερ ἄλλου του καὶ τῆς τῶν Γραφῶν ἐμέλησε συμφωνίας, οὕτω κἀκείναις τὴν παρὰ πάντων αἰδὼ τηρήσειν δικαίως, καὶ σφᾶς εὐγνώμονας καὶ σοφοὺς ἐκείνων ὁμιλητὰς δείξειν ὑπειληφὼς, τῶν τοῦ μακαρίου Νύσσης ὑμᾶς ἀναμνῆσαι βούλομαι· ἀ τὸν μακάριον Στέφανον ἐγκωμιάσαι προθέμενος, ἐπεὶ καὶ τὴν ὀπτασίαν ἐκείνου τοῦ λόγου μέρος ἐγνω ποιήσασθαι, κατὰ τῶν αἱρετιζόντων εὐφυῶς ἀποπέμπει, πρόφασιν εἰκαιολογίας καὶ ψεύδους ἐκείνην πεποιημένων. Ἐκθήσομαι δὲ αὐτὰ σχεδὸν ἐκείνου τὰ ῥήματα. Ἐπειδὴ γὰρ ἐκ τῆς θεωρίας ἐκείνης οἱ λυσσῶντες κατὰ τοῦ Πνεύματος ᾤοντο βοηθεῖσθαι, λέγοντες· Εἰ μετὰ τοῦ Πατρὸς καὶ Υἱοῦ δεῖ πάντως ἀριθμεῖσθαι τὸ Πνεῦμα, πῶς οὐκ εἶδε Στέφανος ἐν τῇ ὀπτασίᾳ μετὰ τοῦ Υἱοῦ καὶ τὸ Πνεῦμα ; ἐξ αὐτῶν τῶν τῆς θεωρίας ῥημάτων αὐτοὺς ἀνατρέπει, τὰ ἑπόμενα τοῖς ἡγουμένοις συνάπτων· καὶ δείκνυσιν ἀριθμούμενον μὲν ἐκεῖ τὸ Πνεῦμα τὸ ἅγιον, αὐτοὺς δ' ἅτε τυφλώττοντας ὑπὸ τῆς πονηρίας παριέντας αὐτό. Εἰ γὰρ τῷ ὁμοίῳ, φησὶ, καθορᾶται τὰ ὅμοια, καὶ οὐκ ἔστι τὸ φῶς ὀφθῆναι μὴ ἐν τῷ φωτὶ καθορώμενον, εὔδηλον ὅτι καὶ Στέφανος προκατευγασθεὶς τῇ δόξῃ τοῦ Πνεύματος, ἐν περιωπῇ τῆς τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ δόξης ἐγένετο. Στέφανος γὰρ, φησὶ, πλήρης ὢν Πνεύματος ἁγίου εἶδε τὴν δόξαν τοῦ Θεοῦ καὶ τὸν Μονογενῆ τοῦ Θεοῦ. Ὃ γὰρ στέγηκεν ἡ Γραφὴ ἐν τῇ τῶν φανέντων ἀπαριθμήσει, τοῦτο τέθεικε πρότερον, τῆς τοῦ Πνεύματος χάριτος ἔργον εἶναι τὴν ὕψωσιν καὶ τὴν θεωρίαν ἐκείνην τοῦ μάρτυρος ἀποφηναμένη, καὶ δυνάμεως εἶναι θείας, οὐκ ἀνθρωπίνης μηχανῆς τὸ κατόρθωμα. Ὥστε πανταχόθεν συλλέγειν δεῖ τἀληθὲς καθάπερ τὰς φιλοπόνους μελίττας· διὰ γὰρ τοῦτο καὶ ἐρευνᾶν τὰς Γραφὰς

[1] Act. VII. 55.

προστατεύεται, ὡς οὐ προχείρου τῆς ἀληθείας ἐν ταύταις κειμένης, ἀλλὰ σπουδῇ καὶ πόνοις ἀνευρίσκεσθαι δυναμένης. Ἀλλ' οἱ πνευματομάχοι, μέρει τῶν λεγομένων προσέχοντες, τὰ λοιπὰ δι' ὧν πρὸς τὴν γνῶσιν ἔμελλον ἀφικέσθαι τοῦ ζητουμένου, κακουργοῦντες παρέλιπον. Ὁ δὲ μακάριος Νύσσης οὐ μόνον αὐτὰ τὰ μέρη τῆς θεωρίας ἀλλήλοις συνάπτει καλῶς, ἀλλὰ καὶ ταῖς ἄλλαις Γραφαῖς αὐτὰ συμβαίνοντα δείκνυσιν, ἔνθεν μὲν τῷ τοῦ Εὐαγγελίου· *Θεὸν οὐδεὶς ἑώρακε πώποτε*· ἐκεῖθεν δὲ τῷ τοῦ Ἀποστόλου· *Οὔτε τις εἶδεν ἀνθρώπων Θεὸν, οὔτε ἰδεῖν δύναται*. Εἰ γὰρ ἀνθρωπίνῃ φύσει καὶ δυνάμει, φησὶν, ἡ τοῦ Πατρὸς καὶ Υἱοῦ δόξα χωρητὴ κατέστη, ψευδῆ πάντως ἑκάτερα. Ἀλλὰ μὴν οὔτ' ἐκεῖνα ψεύδεσθαι, καὶ τὴν ἱστορίαν ἀληθεύειν ἐπάναγκες. Ὥστε δι' οὗ τὸ θεῖον ὁρᾶν περιγίνεται μόνου, καὶ αὐτὸ Θεός ἐστιν ἄντικρυς. Τὰ δ' αὐτὰ καὶ τῶν Ἀρειανῶν κακουργούντων ἐκ τῆς αὐτῆς θεωρίας, καὶ τὸ παρεστάναι λέγεσθαι τῇ δόξῃ τοῦ Πατρὸς τὸν Υἱὸν, τῆς τοῦ Μονογενοῦς ἐλαττώσεως ἀπόδειξιν ποιουμένων, μετὰ τῆς ἴσης ἀποκρίνεται σοφίας καὶ χάριτος· καὶ τὸν Ἀπόστολον μετὰ τοῦ Δαβὶδ ἀφορίζοντα τοῦτο παράγει, τὴν ἐκ δεξιῶν τοῦ Πατρὸς καθέδραν, ἢ τῆς ὁμοτιμίας ἐστὶ σημεῖον. Εἶτά φησιν· Ἢ τοίνυν παραγραφέσθωσαν τὰς μεγαλοπρεπεῖς μαρτυρίας, δι' ὧν τὸ ὄφελον τῆς ἀξίας διασημαίνεται, ἢ καὶ ταύτην εὐσεβῶς ἐκδεξάσθωσαν· εἷς γὰρ ἑφ' ἑκάστου τῶν εἰρημένων διδάσκαλος, ἡ τοῦ Πνεύματος χάρις. Ἀλλ' εἰπερ εἷς, φησὶν, ὁ διδάσκαλος τὸ Πνεῦμα τῆς ἀληθείας ἐστὶ, τὸ ἐν τοῖς θεοφορουμένοις γινόμενον, πῶς ἂν τις διαφωνίαν τινὰ τῶν δογμάτων καθυποπτεύσειεν; Οὐκοῦν τὴν μὲν ἑτερότητα τῆς καθέδρας τε καὶ τῆς στάσεως κατὰ τὸ προχείρως νοούμενον τοῖς σώμασι φυλακτέον· τῆς δ' ἀσωμάτου φύσεως οὐδὲν ὅλως προσιεμένης, ἐξ ὧν ἡ τῶν ὀνομάτων τούτων εἰσάγεται διαφορὰ, λείπεται δι' ἑκατέρας φωνῆς τὸ ἓν τῷ ἀγαθῷ στάσιμόν τε καὶ ἀμετάθετον ἐννοεῖν εὐσεβῶς. Ὁ τε γὰρ ἑστάναι καὶ ὁ καθῆσθαι τὸ θεῖον λέγων οὐδὲν πρὸς ἀλλήλους ἐν τῇ τῶν ῥημάτων ἑτερότητι περὶ τὸν νοῦν διαφέρονται· ὁ μὲν βεβηκέναι παγίως, ὁ δὲ καθιδρῦσθαι ἀμεταθέτως τὸ θεῖον ἐν τῷ ἀγαθῷ δογματίζοντες.

Πῶς οὖν ἂν τις ἄμεινον ὑφηγήσαιτο τὰ τῆς Γραφῆς ὄντινα χρὴ τρόπον νοεῖσθαι, καὶ τὰς ἐν αὐτῇ φαινομένας λύειν διαφωνίας; Μᾶλλον δὲ τίς ἂν γένοιτο βελτίων ἀπόδειξις τοῦ φαῦλον μὲν χρῆμα καὶ τῆς τῶν αἱρετικῶν κακουργίας τὴν τῶν Γραφῶν διαίρεσιν καὶ τὸν συγκρουσμὸν, τὴν δὲ τούτων συνεισαγωγὴν θεοφιλὲς εἶναι καὶ τοῦ παντὸς ἄξιον; Εἰ δὲ καὶ μόνος ἂν ἦρκεσεν ἡμῖν οὗτος, οὕτω μὲν σαφέστατα περὶ τούτων ἀποφαινόμενος, ἀξιώματι δὲ μηδενὸς τῶν τῆς Ἐκκλησίας διδασκάλων ἥττασθαι δίκαιος ὤν, τίς ἂν μετὰ τούτου καὶ τοὺς ἄλλους πάντας περιιδὼν τὴν ἴσην ἔχοντας γνώμην, καὶ τὰ τῆς Γραφῆς ἄλλον τινὰ τρόπον αὐτὸς θέλων ἐκδέχεσθαι ὑγιές τι καὶ νοῦ μετέχον πράττειν δόξειεν ἄν; Οὐ μόνον δὲ τῶν ἁγίων ἕκαστος οὕτω τῇ Γραφῇ προσηνέχθη, αὐτός τε οἰκοθεν τὸ δέον εὑρίσκων, καὶ τοὺς

A quod veritas in illis non ita facile se det obviam, sed studio ac labore possit inveniri. At Spiritus oppugnatores non integrum considerantes locum, malitiosi prætermittebant reliqua, per quæ poterant assequi quod quærebant. Verum beatus Pater Nyssenus non modo partes visionis hujus inter se apte conjungit, sed cum aliis etiam Scripturæ locis convenire illas ostendit, tum evangelico : *Deum nemo vidit unquam* [1], tum et illo apostolico : *Deum nullus hominum vidit, sed nec videre potest* [2]. Nam si Patris, inquit, et Filii gloria capi potuit viribus naturæ humanæ, falsum prorsus erit horum utrumque : verum et ista falsa non esse, et historiam non mentiri necesse est. Illud ergo, per quod unum fit ut videatur Deus, et ipsum plane Deus erit. Simi-
B liter Arianis ex eadem visione, quod Filius dicatur astare Patris gloriæ, perverse inferentibus, Unigenitum esse minorem, respondet pari scientia dicendique lepore, profertque Apostolum cum David hoc decidentem, quod nimirum ad Patris dexteram sedere, honoris æqualitatem significet. Deinde ait : Aut ergo circumducant magnifica testimonia, quæ summum dignitatis fastigium designant, aut hoc etiam die excipiant; ab uno enim magistro profecta sunt singula hæc dicta, nempe a Spiritus gratia. Quod si unus, inquit, est magister, Spiritus veritatis, quo aguntur homines divino numine afflati, quis ullam inter dogmata suspicetur discrepantiam? Itaque sedendi standique diversitas juxta vulgarem
C sensum corporibus reservanda est : cum vero natura incorporea nihil prorsus admittat eorum, ex quibus desumitur horum nominum differentia, reliquum est, fixum atque immutabilem in bono statum. Nam et qui Deum stare, et qui sedere illum ait, nulla inter se ob diversitatem vocum sensus differentia pugnant : ille Dei firmam in bono stabilitatem, iste immutabilem collocationem dogmatizantes.

Ecquis commodius intelligendorum Scripturæ locorum, aut tollendarum, quæ in eis videntur esse, discrepantiarum explicet rationem? Imo vero quænam aptior fuerit demonstratio, qua probetur, improborum, et perversitatis hæreticorum esse
D Scripturas distrahere, atque inter se pugnantes velle; Deo vero gratum et plurimi faciendum, eas in concordiam reducere? Cum igitur vel unus hic nobis sufficeret, planissimis verbis hac de re pronuntians, et dignitate inter doctores Ecclesiæ nulli jure posthabendus; quis, quæso, spretis etiam cum isto cæteris omnibus idem atque iste sentientibus, dum vult Scripturæ dicta alio quodam modo excipere, videri possit rem facere cordato homine dignam? Nec vero solum sanctorum quisque ita se gessit erga Scripturam, tum ipse per se adinveniens

[1] Joan. I, 18. [2] I Tim. VI, 16.

quod opus esset, tum exempla majorum sequenda ducens, sed universi etiam sententiam hanc sequebantur, si quando illos occasio suscipiendi pro veritate certamina unum in locum congregaret. Sic Patres, qui primum convenere Nicæam, cum periculum esset, ne Dei Patris atque Unigeniti exploderetur æqualitas, pro ea ipsa propugnarunt. Censebant enim, audiendos non esse simpliciter eos, qui ad probandum mendacium, Scripturæ sententiis vim afferebant; sed cum opinionem opinioni viderent contrariam, pugnam vero hanc ad Scripturam quoque pervenire, quæ oppositis favere videbatur opinionibus, putarunt quidem impossibile solam veritatis magistram sibi non constare, nequaquam vero aliquibus ejus partibus alias præferre voluerunt, sed congruentem cum universa Scriptura sententiam compererunt, nempe Filium esse Patri æqualem, verumque Deum. Sublata enim æqualitate divinarum personarum, viderentur quidem fortasse quæ humilius de Christi humanitate dicuntur consistere, at vero pro iis quæ dant Divinitati testimonium, frustra esset sublata: immota vero illa manente, utraque salva esse poterant. Hanc igitur illi, quæ bellum excitabat, proposuerunt, nec prius destiterunt, quam huic victoriam tribuerint, et Scripturæ, quod per sententiam illam fit, convenientiam consensumque reddiderint. Horum studium, ac certamina pro pietate suscepta consecuti alii, primi quoque fuere modi hujus adhibendi æmulatores. De rebus enim tunc in controversiam deductis illi etiam exacta peræque diligentia, cavente ne qua ex parte Scriptura labefactaretur, tulere sententiam, et deinceps unaquæque synodus eadem mente quæstionum alias aliter agitatarum tractationem suscepit, ut ex omnibus una vere aurea catena connexa sit, omni pariter pulchritudine ornata, eademque in declarando Scripturæ sensu optime conserta et coaptata. Quamvis enim singuli non possent per se ipsos adinvenire quod rectum et æquum esset, suppetebant tamen posterioribus priorum exempla: quod si etiam his caruissent, certe Spiritus auxilio poterant ipsi per se totum hoc egregie præstare. Itaque non modo sanctorum quisque separatim, sed congregati etiam omnes omnia, servata concordia Scripturarum, egerunt: neque tantum singulatim, sed complures quoque simul eamdem de iisdem habuere sententiam. Neque docendo suos putarunt habendam esse præ oculis usquequaque convenientiam Scripturarum; pugnando vero cum adversariis alium esse modum adhibendum, sed contra, priora illis fuere opus propter posteriora. Atque ut nemo apparentia tantum attendens, latentem vero non effodiens thesaurum sibi fieret causa erroris, putaretque duce ad præcipitia lumine uti, illas etiam viarum asperitates, hoc est loca, quæ videntur asserere pugnantia, complanabant, eumdemque in omnibus sensum consistere demonstrabant. Ita veluti communi consilio tum publice

A φθάσαντες ζηλοῦν ἀξιῶν, ἀλλὰ καὶ πάντες ὁμοῦ ταυτησὶ τῇς γνώμης ἐγίνοντο, ὁπότε τῶν ὑπὲρ τῆς ἀληθείας ἀγώνων αὐτοὺς ἡ χρεία συνῆγεν. Αὐτίκα γὰρ οἱ τὸ πρῶτον συνελθόντες ἐν Νικαίᾳ Πατέρες, τῆς πρὸς τὸν Πατέρα τοῦ Μονογενοῦς ἰσοτιμίας κινδυνευούσης ἐκβάλλεσθαι, τοῦτον τὸν τρόπον προέστησαν· οὐ γὰρ ἠξίουν προσέχειν ἁπλῶς τοῖς εἰς ἀπόδειξιν τοῦ ψεύδους βιαζομένοις τὰ τῆς Γραφῆς ἀξιώματα· ἀλλὰ δόξῃ μὲν δόξαν μαχομένην ὁρῶντες, τὸν δὲ πόλεμον τοῦτον καὶ πρὸς τὴν Γραφὴν διαβαίνοντα, ἣ ταῖς ἐναντίαις δόξαις ἐδόκει συνηγορεῖν, τὴν μὲν μόνην τῆς ἀληθείας διδάσκαλον ἀδύνατον ἐνόμισαν εἶναι περιπίπτειν αὐτῇ· οὐ· ἠξίωσαν, ἀλλὰ μᾶλλον ἄλλων τιμᾷν αὐτῆς μέρη· τὴν δ' ἁπάσῃ τῇ Γραφῇ συμφωνοῦσαν δόξαν ἀνεῦρον, ἥτις ἦν ἡ τῷ Πατρὶ τὸν Υἱὸν ἴσον εἶναι τιθεῖσα, καὶ Θεὸν ἀληθῆ. Τῆς γὰρ τῶν θείων προσώπων ἰσοτιμίας ἀναιρουμένης, ἔδοξε μὲν ἂν ἴσως τὰ περὶ τοῦ Χριστοῦ ταπεινότερόν τε καὶ ἀνθρωπικώτερον λεγόμενα σώζεσθαι, τοῖς δὲ τὴν θεότητα μαρτυροῦσι μάτην ἀνῃρῆσθαι περιεγεγόνει. Ἐκείνης δ' ἀκινήτου μενούσης, καὶ ἀμφοτέροις τούτοις ὑπῆρχε κρατεῖν. Ταύτην οὖν τῆς τὸν πόλεμον ἀνεγειρούσης προὐτίμησαν, οὐδ' ἀπέστησαν ἕως ταύτῃ μὲν τὸ νικᾷν, τῇ δὲ Γραφῇ τὸ γινόμενον δι' αὐτῆς καὶ τὴν συμφωνίαν ἀπέδοσαν. Τούτων ἄλλοι τοὺς ὑπὲρ τῆς εὐσεβείας ἀγῶνας καὶ τὴν προθυμίαν ἐκδεξάμενοι, πρῶτοι καὶ τῆς περὶ ταῦτα μεθόδου κατέστησαν ζηλωταί· τοῖς γὰρ τότε ζητηθεῖσι καὶ οὗτοι μετὰ τῆς αὐτῆς ἀκριβείας καὶ τοῦ παντοχόθεν τὴν Γραφὴν φυλάττειν ἀσάλευτον, τὴν κρίσιν ἀπέδωκαν. Καὶ πᾶσα σύνοδος ἑφεξῆς μετὰ τῆς αὐτῆς διανοίας περὶ τῶν ἄλλοτε ἄλλως ζητουμένων ἐσκέψατο, ὡς δι' ἁπασῶν μίαν τινὰ χρυσῆν ὡς ἀληθῶς ἀποτελεσθῆναι σειρὰν, ἴσην ἅπασι τοῖς καλοῖς, πρός δὲ καὶ τῇ περὶ τῶν Γραφῶν γνώμῃ συμβεβηκυῖαν ἄριστα καὶ συνηρμοσμένην. Εἰ γὰρ καὶ μὴ παρ' ἑαυτῶν ἕκαστοι τὸ καλὸν καὶ δίκαιον εἶχον εὑρίσκειν, ἀλλ' ἦν ἐκ τῶν προτέρων τοῖς ὑστέροις τὰ παραδείγματα. Εἰ δὲ καὶ τούτων ἠπόρουν, ἀλλ' οἴκοθεν αὐτοὶ κατορθοῦν ἠδύναντο τῷ Πνεύματι βοηθούμενοι, ὥστ' οὐ μόνον ἕκαστοι τῶν ἁγίων χωρὶς, ἀλλὰ καὶ πάντες ὁμοῦ μετὰ τῆς τῶν Γραφῶν συμφωνίας πάντα ἐποίησαν· καὶ μὴ μόνον καθ' ἕνα, ἀλλὰ καὶ κατὰ πλείους τὴν αὐτὴν περὶ τῶν αὐτῶν προεῖλοντο γνώμην· οὐδ' ἠξίωσαντοὺς μὲν οἰκείους διδάσκοντες τῆς τῶν Γραφῶν συμφωνίας στοχάζεσθαι παντοχοῦ, τοὺς δὲ πρὸς τοὺς ἐναντίους ἀγῶνα· ἄλλον τινὰ διατίθεσθαι τρόπον· τοὐναντίον γὰρ μᾶλλον καὶ τῶν προτέρων αὐτοῖς τῶν ὑστέρων χάριν ἐδίησε. Καὶ ὥστε μηδένα τῷ φαινομένῳ μόνον προσέχοντα, τὸν δ' ἐγκείμενον οὐκ ἀνορύττοντα θησαυρὸν, πλάνης αἴτιον αὐτῷ γεγενῆσθαι, καὶ οἴεσθαι τῷ φωτὶ χρῆσθαι πρὸς τοὺς κρημνοὺς ὁδηγῷ, καὶ ἀνοδίας τὰς ὁδοὺς διαφωνίας ἐξῆρουν, καὶ τὸν αὐτὸν διὰ πάντων σώζεσθαι νοῦν ἀπεδείκνυον. Οὕτω καθάπερ ἀπὸ συνθήματος καὶ κοινῆ καὶ ἰδίᾳ καὶ παντοχοῦ καὶ πρὸς πᾶσαν χρείαν τούτου μάλιστα πάντων ἐφρόντισαν, ὡς τοῦτο κεφάλαιον ὂν αὐτοῖς τῆς

σπουδῆς. Τὸν γὰρ αὐτὸν ὑπέρ τε τούτου καὶ τῆς ἀληθείας καὶ τῆς αὐτῶν σωτηρίας ἥδεσαν ὄντα σφίσιν ἀγῶνα· καὶ μετ' αὐτοῦ μὲν τὰ λοιπὰ κατορθώσειν, ἐν δὲ τούτων περιιδόντες, καὶ τῶν λοιπῶν ἐκπεσεῖσθαι πάντως ἐνόμιζον.

Τούτων τοίνυν οὕτω κειμένων, καὶ μηδενὸς ἄλλως ταῦτ' ἔχειν εἰπόντος ἂν, κἂν σφόδρα φιλόνεικος ᾖ, καὶ ὑμᾶς τὴν αὐτὴν ἐλέσθαι πρὸς τὰ παρόντα γνώμην ἐπάναγκες, καὶ τοῦ ταῖς Γραφαῖς γινόμενον διασώσασθαι πάντα ἄγειν ἐλάττω. Εἴτε γὰρ πρὸς ἕκαστον τῶν μακαρίων ἐκείνων χρὴ ἀποβλέπειν, ὑμεῖς ὄντες τοσοῦτοι δικαιότερον ἂν καὶ βουληθείητε ταῦτα, καὶ καταπράξαισθε· εἴτε πάντας ὁμοῦ λογιεῖταί τις, τὸ μετ' ἐκείνους εἰς τὴν αὐτὴν χρείαν ὑμᾶς, καὶ ζηλοῦν, βούλεσθαι λυσιτελές· καὶ τὴν ἐναντίαν ἰοῦσι, ψόγων αἴτιον ἔσται. Καίτοι τοῖς μὲν, εἰ καὶ μὴ πᾶσιν, ἀλλὰ τοῖς γε προτέροις αἱ Γραφαὶ μόνον προὔκειντο, ἃς δυσχερὲς μὲν ἦν, ὅμως δ' ἴσχυσαν συμβιβάσαι· ὑμῖν δ' οὐ μικρὰ βοηθείας προσθήκη, ἀλλὰ σχεδὸν αὐτὴ τὸ πᾶν οὖσα, αἵ τε τῶν διδασκάλων ἐπὶ ταῖς Γραφαῖς ἐξηγήσεις, καὶ ἄλλοι τούτων ἀγῶνες, οὓς ἐπὶ ἐλέγχῳ μὲν τῶν ἀνθισταμένων τῇ ἀληθείᾳ, βεβαιώσει δὲ τῶν οἰκείων καὶ πειθομένων αὐταῖς ἐνεστήσαντο· ὧν τοσούτων ὄντων καὶ μαρτυρούντων ἀλλήλοις τὴν συμφωνίαν, ὥσπερ ὁδηγόν τινα ἀπλανῆ τῆς ζητουμένης ἀληθείας λαβεῖν πρόχειρόν ἐστιν οὐδὲν ἧττον ἢ δίκαιον. Ἀλλὰ τὰ μὲν περὶ τῶν διδασκάλων αὐτίκα, τὰ δὲ τῶν Γραφῶν ἀξιώματα δεῖ συνάπτεσθαι πρῶτον. Ἔχει γὰρ οὕτω· Τὸ μὲν ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον κεῖται μὲν διαῤῥήδην ἐν τῇ Γραφῇ, ὁμολογεῖται δὲ παρὰ πάντων ἡμῶν, καὶ οὐ μᾶλλον πρὸς Γραικῶν ἢ Λατίνων ἕστηκε τοῦτο, οὐδ' ἔστιν ἐκ τούτου λύειν τὴν ἀμφισβήτησιν· οὔτε γὰρ ἀνάγκη καὶ ἐκ τοῦ Υἱοῦ προϊέναι τὸ Πνεῦμα τούτου κειμένου, οὔτ' ἀδύνατον καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι. Ἡ γὰρ κατάφασις αὕτη τὴν ἑτέραν κατάφασιν οὔτε τίθησιν, οὔτ' ἀναιρεῖ, ἀλλ' ἐνδέχεται μὲν ἐκ τοῦ Υἱοῦ προϊέναι, ἐνδέχεται δὲ καὶ μὴ προϊέναι ὅσον ἔκ γε τοῦ λόγου· ὥσπερ εἴ τις λέγοι τὸν ἄνθρωπον εἶναι ζῷον, οὔτε λογικὸν, εἶναι τίθησιν ἐξ ἀνάγκης, οὔτε τοῦτ' ἀναιρεῖ· καίτοι πρὸς τὸν τῆς προόδου τῶν θείων προσώπων τρόπον ἀφορῶσιν ἡμῖν καὶ ἣν οἱ θεῖοι Πατέρες τούτοις ἀπέδωκαν τάξιν, τίθησι καὶ πολὺ μᾶλλον ἡ κατάφασις τὴν κατάφασιν. Τῶν γὰρ τῷ Πατρὶ προσόντων καὶ τὸν Υἱὸν δεῖ κοινωνεῖν, ἂν μή τι κωλύῃ· καὶ τὸ διά τινος ἐκ τινος οὐσιωδῶς προῖὸν αἰτίαν ἔχει καὶ τὸ δι' οὗ πρόεισι· καθάπερ εἴ τις τὴν θέρμην ἐκ τοῦ ἡλίου προέρχεσθαι λέγοι, τὸ καὶ ἐκ τῆς ἀκτῖνος προϊέναι αὐτὴν οὔτε τίθησιν οὔτ' ἀνατρέπει· οὐκοῦν ἔκ γε τοῦ λόγου· καίτοι τίθησι μᾶλλον, ἄν τις τὸν τῆς προόδου τρόπον λογίζοιτο, καὶ τὸ μεσιτεῦον ἦν τινα τάξιν πρὸς ἑκάτερον ἔχει· τότε γὰρ τὸ διὰ τῆς ἀκτῖνος φυσικῶς προῖὸν καὶ ἐξ αὐτῆς ὡς ἐκ προσεχοῦς αἰτίας προέρχεσθαι πάντως ἐρεῖ· τέως δὲ τὸν λόγον μόνον σκοποῦντες, οὐδέτερον ἐξ ἀνάγκης ἀποφαινόμεθα. Ἆρ' οὖν οὕτω καὶ

tum privatim, quovis loco, et quando res ita ferebat, hoc ante omnia curarunt, ut sui studii caput. Idem quippe certamen pro hoc ipso, pro veritate, proque sua ipsorum salute propositum sibi sciebant : et cum ipso quidem, recte se alia peracturos, hoc autem uno posthabito, reliqua etiam se amissuros plane censebant.

His igitur ita se habentibus, quæ aliter se habere nemo unquam dixerit, vel nimium contentiosus, necesse est vos etiam eodem erga materiam propositam animo sitis, et postponatis omnia concordiæ Scripturarum. Sive enim oportet inspicere, quid sanctus quisque egerit : vos, qui tanto estis numero, justius hoc idem et velle debetis et perficere; sive quis etiam eos consideret universos, operæ pretium est vos eadem post illos necessitate adactos, illorum velle sequi vestigia; opposita vero incedentes via reprehensionem non effugietis. Quanquam illis quidem, etsi non omnibus, at certe primis, solæ Scripturæ erant ob oculos, quas difficile quidem, potuere tamen in unam revocare convenientiam : at vobis non parva adjumenti accessio est, imo vero ipsa totum fere valet, quod doctorum expositiones in Scripturas, et certamina eorum habetis proposita, quæ illi tum ad veritatis hostes redarguendos, tum ad suos confirmandos, dictis scilicet eorum audientes, susceperе. Quorum, cum adeo multi sibique invicem testes sint, consensionem facile pariter ac justum est sumere veluti ducem certissimum ad veritatem indagandam. Ac de doctorum quidem consensu postea : prius autem agendum est de convenientia sententiarum Scripturæ, etenim res ita se habet : Spiritum sanctum ex Patre procedere, testatur manifeste Scriptura, et communiter omnes fatemur, nec magis Græcis quam Latinis id favet, nec solvitur per hoc dubitatio. Hoc enim posito, neque necessarium neque impossibile est, etiam ex Filio procedere Spiritum, cum hæc affirmatio nec ponat nec tollat alteram affirmationem, sed possibile sit ex vi hujus propositionis procedere aut non procedere ex Filio; ut qui dicit hominem esse animal, nec rationis participem illum necessario asserit, neque id negat. Quanquam si modum processionis divinarum personarum spectemus, ordinemque illis assignatum a sanctis Patribus, multo magis affirmatio ponit affirmationem : nam ea quæ Pater habet, sint etiam Filio communia necesse est, nisi aliquid obstet : et quod ex aliquo per aliquid essentialiter prodit, causam habet illud etiam per quod prodit, ut si quis calorem e sole dicat oriri, illum e radio quoque oriri neque ait neque negat, quod attinet ad ipsam propositionem, quanquam affirmat magis, si quis modum productionis consideret, et ordinem quem habet ad utrumque res intermedia; tunc enim plane non negabit ex ipso etiam radio ut proxima causa oriri, quod per illum emanat naturaliter : interim id solum considerantes, quod pronuntiatum est, neutrum exprimimus necessario.

Itane ergo philosophandum est de proposita quoque materia? Minime. Procedere quippe illum a Filio, rursusque non procedere, omnino est impossibile. Restat igitur ut alterum illorum sit verum. At neutrum licet e Scriptura planis verbis desumere : colligendum ergo est ex quibusdam aliis, quæ Scriptura dicat aperte. Ea igitur consideranda : Et si quidem omnia Scripturæ loca Latinorum affirmationi favent, amplectenda illa est : si vero negationi Græcorum, rejicienda affirmatio. Veluti si mitti a Patre et Filio : si quia dicitur Spiritus utrtusque, non solius videlicet Patris, sed modo quidem veritatis, modo vero Christi et Filii; si quod omnia quæ Pater habet, sint etiam Filii; si accipere a Filio, et annuntiare; si dari discipulis Spiritum insufflatione corporea; si quod Filius mittat illum a Patre, sicut Pater mittit eumdem in nomine Filii; si quia missus a Filio glorificet illum, quemadmodum Filius a Patre missus glorificat eum a quo missus est : si hæc omnia sunt affirmationi consona, habenda est illa pro vera et certa. Rursus si qua sunt perspicua Scripturæ dicta, quæ faveant propositioni asserenti Spiritum non procedere ex Filio, negationi adhærendum. Si vero omnia, uno quopiam excepto, non decet illud arripere, forte aliunde pendens, quodve possit explanari per multa alia, atque per hoc utramvis confirmare sententiam, contemptis aliis, quæ possunt oppositam firmare opinionem, quod vero videtur contrarium, et placet, facitque nobiscum, minime inferunt : hæc igitur calumniari non oportet, sed ita interpretantes omnia, ut cohæreant conveniantque inter se, dijudicantesque pauciora et obscuriora per ea quæ plura sunt et clariora, tum demum de sententiis tutissime pronuntiare, et eam quidem amplecti, quæ facit, ut Scriptura nulla ex parte secum pugnet, quæ vero aliter se habet, rejicere, atque ad hoc potissimum adhibere rationes ad absurda deducentes : illud unum omnino absurdum cavente, ne Scripturæ loca collidamus, et opinionem sequamur, quæ bellum inter Scripturæ sententias excitet. Nam alioquin hujusmodi deductiones ad impossibile in ea de qua agimus materia, invalidas arbitror, atque ut uno verbo dicam, insidiosas (nec vero difficile est ad incommoda quæque nos invicem deducere, sed facilius est omnia declinare); quanquam licet nullum ex his sequeretur periculum, merito non decet illas admittere. De quibus enim e Scriptura non licet accipere pronuntiata, sed oportet nos conjecturis uti ad ferendam sententiam, ad ea nullum crimen est afferre etiam deductiones ad impossibile, et quamvis aliam argumentationem, quæ nos ducat ad assequendum id, quod esse verius videtur. Nunc vero cum tot pronuntiata nobis suppetant, quorum aliqua satis esse nobis possunt, cum recta tendant ad id quod quæritur, ex aliquibus autem licet inferre veritatem, inane quiddam est et supervacuum hujusmodi argumentationum usus, nec est aliud, quam vana

τοῦ πράγματος ἔχει; Οὔμενουν· ἐκπορεύεσθαι γὰρ αὐτὸ παρὰ τοῦ Υἱοῦ, καὶ πάλιν οὐκ ἐκπορεύεσθαι, καθάπαξ ἀδύνατον. Λείπεται τοίνυν θάτερον τούτων ἀληθὲς εἶναι. Ἀλλ' οὐδέτερον τούτων ἐκ τῆς Γραφῆς διαῤῥήδην ἔστι λαβεῖν. Οὐκοῦν ἔκ τινων ἄλλων τοῦτο συνάγεσθαι δεῖ φανερῶς ἐκεῖ λεγομένων. Ταῦτα τοίνυν δίκαιόν ἐστι θεωρεῖν· καὶ εἰ μὲν πάντα τὰ τῆς Γραφῆς τῇ τῶν Λατίνων βοηθεῖ καταφάσει, ταύτην ἐλέσθαι· εἰ δὲ τῇ τῶν Γραικῶν ἀποφάσει, τὴν κατάφασιν ἀτιμάζειν. Οἷον εἰ τὸ πέμπεσθαι παρὰ Πατρὸς καὶ Υἱοῦ· εἰ τὸ καὶ ἀμφοτέρων λέγεσθαι Πνεῦμα, οὐ μόνον δηλονότι Πατρὸς, ἀλλ' ἔνθα μὲν ἀληθείας, ἔνθα δὲ Χριστοῦ καὶ Υἱοῦ· εἰ τὸ πάντα τὰ τοῦ Πατρὸς ἔχειν καὶ τὸν Υἱόν· εἰ τὸ παρὰ τοῦ Υἱοῦ λαμβάνειν καὶ ἀναγγέλλειν· εἰ τὸ τοῖς μαθηταῖς ἐμφυσήματι σωματικῷ τὸ Πνεῦμα δίδοσθαι· εἰ τὸ πέμπειν αὐτὸ τὸν Υἱὸν παρὰ τοῦ Πατρὸς, ὥσπερ ὁ Πατὴρ αὐτὸ πέμπει ἐν τῷ ὀνόματι τοῦ Υἱοῦ· εἰ τὸ πεμπόμενον ἐκ τοῦ Υἱοῦ δοξάζει αὐτὸν, ὥσπερ ὁ Υἱὸς ἀποσταλεὶς ἐκ τοῦ Πατρὸς δοξάζει τὸν ἀποστείλαντα· εἰ τὰ τοιαῦτα πάντα τῇ καταφάσει συνᾴδει, ἀληθῆ καὶ κυρίαν αὐτὴν πρέπει νομίζειν. Καὶ πάλιν, εἰ τῷ μὴ ἐκπορεύεσθαι τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ διαῤῥήδην ἐν τῇ Γραφῇ τινα κείμενα συνηγορεῖ, τῇ ἀποφάσει προστίθεσθαι. Εἰ δὲ καὶ πάντα πρὶν ἑνός τινος, δραξαμένους ἀλλοθεν ἠρτημένου τυχὸν, ἢ διὰ πολλῶν ἄλλων φανερουμένου, καὶ τούτῳ βεβαιοῦντας τὴν δόξαν ὁποτέραν ἂν εἴποι τις, τῶν ἄλλων ὑπερορᾶν, ἃ τῇ μὲν ἀντικειμένῃ δόξῃ βοηθεῖν ἔχει, τὸ δὲ δοκοῦν ἀνθίστασθαι φίλον καὶ σύμμαχον ἐπάγεται, μὴ συκοφαντοῦντας, ἀλλὰ μᾶλλον ἅπανθ' ὡς ἂν ἀλλήλοις συνάπτοιντο, καὶ συνᾴδοιεν ἐξηγησαμένους, καὶ τοῖς πλείοσι καὶ φανερωτέροις τὰ ἐλάττω καὶ ἀσαφέστερα κρίναντας, ἐκεῖθεν καὶ περὶ τῶν δοξῶν ἀσφαλῶς ἀποφαίνεσθαι· καὶ τὴν μὲν αἰτίαν γινομένην τοῦ διὰ πάντων ἑαυτῇ τὴν Γραφὴν συμφωνεῖν, ταύτην αἱρεῖσθαι, τὴν δ' ὡς ἑτέρως ἔχουσαν ἀποπέμπεσθαι, καὶ ταῖς εἰς ἄτοπον ἀπαγωγαῖς ἐπὶ τούτου μάλιστα χρῆσθαι· ἓν ἄτοπον διὰ πάντων φυλαττομένους, τὸ τὰ τῆς Γραφῆς συγκρούειν πρὸς ἄλληλα, καὶ δόξαν τιμᾶν πολέμου καὶ μάχης τούτοις αἰτίαν· ἐπεὶ τά γε ἄλλα σαθρὰς ἡγοῦμαι τὰς τοιαύτας μεθόδους ἐπὶ τῶν προκειμένων, καὶ τὸ πᾶν εἰπεῖν ἐπιβούλους· καὶ ῥᾴδιον μὲν ἀπαγαγεῖν ἀλλήλους ἐπὶ τὰ χείριστα, τὸ δὲ πάντα ἐκκλίνειν μείζονος εὐκολίας· καίτοι καὶ μηδενὸς ἐκ τούτων ἑπομένου κινδύνου, οὐκ ἂν εὐλόγως ταύτας προσίεσθαι. Περὶ μὲν γὰρ ὧν οὐκ ἔστι λαβεῖν ἐκ τῆς Γραφῆς ἀξιώματα, ἀλλὰ δεῖ τοῦ εἰκότος στοχαζομένους ἡμᾶς ἀποφαίνεσθαι, πρὸς ταῦτα καὶ ταῖς εἰς ἀδύνατον ἀπαγωγαῖς ἀνέγκλητόν ἐστι χρῆσθαι, καὶ πάσαις ἄλλαις μεθόδοις, αἳ πρὸς τὴν τοῦ δοκοῦντος ἀληθεστέρου κατάληψιν ἡμᾶς μέλλουσιν ὁδηγεῖν· τοσούτων δὲ νῦν ὄντων ἀξιωμάτων, ὧν τὰ μὲν αὐτὰ καὶ μόνον ἀρκεῖ, τείνοντα πρὸς τὸ προκείμενον ἀντικρυς, ἐκ δὲ τῶν ἔξεστι τὴν ἀλήθειαν ἡμῖν συμπεραίνεσθαι, περιττόν τι χρῆμα καὶ μάταιον ἡ τῶν μεθόδων τούτων καθέστηκε χρῆσις, καὶ φιλοτιμία μόνον κενή. Οἶδα δὲ καὶ ὑμᾶς, ὦ Γραικοὶ, οὐδὲ ταῖς

ἀποδείξεσιν ἔν γε τοῖς τοιούτοις θαῤῥοῦντας, ἀλλ' ὀλομένους αὐτὰς ὑποπτόν τι χρῆμα καὶ σφαλερόν· πολλῷ μᾶλλον τοίνυν τοῖς δι' ἀδυνάτου συλλογισμοῖς αὐτοί τε εὐλαβηθήσεσθε χρῆσθαι, καὶ χρωμένων ἄλλων φυλάξεσθε. Εἶεν.

Οὐ τοίνυν τὰ μὲν τῆς Γραφῆς ἀξιώματα συνάπτειν ἀλλήλοις καὶ συμβιβάζειν, ὡς ἂν μάλιστα συνάπτοιντο, δεῖ, τοὺς δὲ τούτων ἐξηγητὰς ἐν οἷς ταῦτά τε διαλευκαίνοντες, καὶ ἄλλως περὶ τῶν τοιούτων ἀγωνιζόμενοι λέγουσι, διαιρεῖν ἀξιώσομεν· ἀλλὰ καὶ τούτοις μετὰ τῆς ἴσης εὐνοίας χρήσασθαι δεῖ, καὶ μηδένα τῆς ὀφειλομένης πᾶσιν ἀποκλείειν αἰδοῦς. Εἰ γὰρ τοὺς μὲν στέργειν καὶ τιμᾶν ψηφιούμεθα, τοῖς δὲ δεῖν ἡγησόμεθα μὴ προσέχειν, νομίζοντες αὐτοὺς διαφέρεσθαι, πρῶτον μὲν οὐδὲ τῆς περὶ τὰς Γραφὰς εὐλαβείας ἀπολαύειν τι δυνησόμεθα, τῆς ἐξ ἐκείνων περιγενομένης εἰρήνης·εἰκ τῆς φαινομένης τῶν διδασκάλων διαφωνίας πάλιν συγχεομένης, καὶ τῶν ἐκεῖθεν μισθῶν ἡμῖν διὰ τὴν κατὰ τῶν ἁγίων συκοφαντίαν ἀπολλυμένων, οὗ; εἰκός ἐστι τὴν τῆς ἀληθείας εἶναι φανέρωσιν. Ἔπειτα καὶ τὸ δεινὸν διπλοῦν ἡμῖν ἀπαντᾷ· ἢ γὰρ ἑνίους αὐτῶν τῆς ἐν ἁγιότητι στερήσομεν δόξης, ἵνα καὶ τῷ ψεύδει συγχωρήσῃ τις αὐτοὺς ὑποκεῖσθαι, καὶ δικαίους παρεωρᾶσθαι· ἢ τὸ τῆς διαφωνίας ἔγκλημα καὶ ἄκοντες ἀπ' αὐτῶν ἐπὶ τὰς Γραφὰς μεταστήσομεν πάλιν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, οὗ τυγχάνουσιν αἱ Γραφαί· κἀκείνους μὲν καλῶς ἐπιστῆσαι πᾶσι καὶ νουνεχόντως, τὴν δὲ Γραφὴν τὰς τῆς διαφορᾶς αἰτίας σφίσι προβάλλεσθαι νομιοῦμεν. Πρὸς δὲ τούτοις σοφωτέρους ἡμᾶς καὶ ἁγιωτέρους ἐκείνων δείξομεν ὄντας, εἴπερ ἡμεῖς μὲν καὶ τῇ παρὰ τῶν Γραφῶν ἀληθείᾳ καὶ τοῖς ἄλλοις τῶν διδασκάλων συνάμεθα συμφωνεῖν, αὐτοὶ δὲ καὶ τούτων ἀμφοτέρων διήμαρτον· καὶ νενομίκασι μὲν ἅπερ οὐκ ἔδει, ἀθάνατον δὲ πρὸς τοὺς ἀδελφοὺς ἐνεστήσαντο πόλεμον. Μᾶλλον δὲ ταῦτα μὲν οὔτε τις ὑπὲρ ἡμῶν ἀξιώσει, οὔθ' ἡμᾶς ὑπὲρ ἑαυτῶν λογίζεσθαι χρή· ἀλλὰ δείξομεν ἀληθῶς ἀφυεῖς ὄντες αὐτῶν μαθηταὶ, καὶ πάντα μᾶλλον ἢ τοῖς τῶν διδασκάλων λόγοις προσέχοντες, εἴπερ ἐκείνων ὅπως ἁρμόττει τοῖς ὑπὸ τοῦ Πνεύματος λεγομένοις προσφέρεσθαι, καλῶς ἡμῖν ὑφηγησαμένων, καὶ παραδείγματιν ἱκανοῖς τὴν διδασκαλίαν βεβαιωσάντων, αὐτοὶ παντάπασιν ἐναντίως χρῆσθαι βουλόμεθα. Καὶ μὴν οὐδὲ δίκαιον ὅλως, ἐκείνους μὲν ἐξηγητὰς ἄλλων καθισταμένους, ὡς μέγιστόν τι τῶν ἀγαθῶν αὐτοῖς ἀπονείμαι τὴν συμφωνίαν, ἡμᾶς δὲ τἀκείνων αὖθις ἐξηγουμένους, τῆς τηλικαύτης ὥσπερ φθονῆσαι φορᾶς· καὶ ὧν αὐτοὶ τοῖς ἄλλοις μετέδωκαν, τούτων ὑφ' ἡμῶν στερηθῆναι. Ἀλλ' εἰ καὶ μηδενὸς ἄλλου χάριν χαλεπῶς ἡμῖν ἕξουσι, τό γε καταψεύδεσθαι τῆς αὐτῶν σοφίας καὶ ἀρετῆς, καὶ ταῦθ' ὑπ' αὐτῶν ὠφελημένου; τὰ μέγιστα, καὶ πάντων αὐτοῖς δικαίαν χάριν ὀφείλοντας, δεινὸν οὐ φαῦλον ποιήσονται. Οὔτε γὰρ ἁγίοις οὔτε σοφοῖς δοκεῖν αὐτοὺς περιέσται,

A gloriolæ cupiditas. Scio vero etiam vos, Græci, ne demonstrationibus quidem in hujusce modi rebus confidere, sed habere illas suspectas et periculi plenas; multo ergo magis ipsi a syllogismis deducentibus ad impossibile refugietis, ab aliisque illos adhibentibus cavebitis. Et hæc quidem sic se habent.

Non erunt porro Scripturæ quidem pronuntiata concilianda inter se, ut maxime oportet; eorum vero interpretes, aut ubi ea dilucidant, aut etiam ubi de illis disputant, in oppositas sententias distrahendi; sed par in illos quoque navanda benevolentia, nullique deneganda illa observantia, quæ omnibus debetur. Nam si hos quidem recipiendos, atque in honore habendos, alios vero censebimus B rejiciendos, putantes inter se illos pugnare; primum quidem nihil frui nobis licebit reverentia, qua Scripturas honoramus, interturbata rursus pace Scripturarum, quam nobis illi peperere, per apparentem pugnam doctorum; et pereunte nobis mercede illi debita, quam par est esse veritatis manifestationem, ob calumniam sanctis illatam. Deinde malum nobis duplo majus fiet; aut enim quosdam ex illis sanctitatis gloria privabimus, ut possint illis mendacia tribui, et jure debeant contemni, aut rursus discrepantiæ crimen ab eis ad Scripturas vel inviti transferemus, et Spiritui sancto ascribemus, a quo Scripturæ manarunt; et illos quidem arbitrabimur examinasse omnia recte atque prudenter, Scripturam vero illis dedisse causas pugnæ. At hæc sapientiores C nos, sanctioresque illis ostendemus, si veritatem Scripturarum nos quidem assequi possumus, et cum aliis doctoribus concordare; ipsi vero neutrum sunt assecuti, et opinati sunt quæ non oportebat, et bellum cum fratribus perpetuum susceperunt. An vero nec quisquam nobis hæc tribuenda putaverit, nec nos ea de nobis cogitare debemus; sed ostendemus revera ineptos nos esse illorum auditores, et quidvis potius attendere, quam dicta præceptorum; cum illi nobis egregia documenta dederint, quales nos conveniat præstare ad ea, quæ a Spiritu dictata sunt, et idoneis exemplis doctrinam firmarint; nos vero contrario modo uti velimus. Nec vero etiam æquum omnino est, ipsos quidem, dum D se præberent aliorum interpretes, tanquam eximium quiddam illis concordiam tribuisse; nos autem rursus scripta eorum interpretantes, tantam quodammodo illis invidere fortunam, et negare ipsis bona illa, quibus ipsi alios cumularunt. Quod si nullam aliam ob causam nobis succensebunt, at certe molestissime ferent, falso a nobis accusari scientiam ac virtutem suam, idque cum ab illis affecti simus beneficiis maximis, ob quæ illis omnia gratiam referre debemus. Neque enim esse aut sancti aut docti videbuntur, qui senserint et scripserint quæ sunt a veritate aliena; imo etiam digni videbuntur, qui pœnas luant graves propter eos qui decepti sunt. Præterea nec doctores illi, quibus honorem deferimus, habebunt potius gratias, quam

merito de nobis conquerentur, tum quia fratrum injuria communis etiam est ipsis ; et inhonoratis illis censebunt nullum sibi quoque fieri honorem, licet multum honorari videantur : tum si versati esse in errore ipsi videbuntur, quod quasi doctores celebraverint homines, qui errori subservierunt. Ignorat enim nemo, quam miris laudibus alter alterius mentionem faciendo, sese invicem ornaverint tum publice, tum privatim. Has igitur ob causas, et plures alias consimiles, (neque enim percensendo singula obstrependum arbitror vestris auribus) oportere aio omnes Ecclesiæ doctores honorari a vobis, et nullum eorum haberi tanquam in errorem lapsum, nec ullum inter illos pugnæ vestigium suspicione attingi ; sed jure illud opinantibus, exoptatam vobis concordiam fuisse illis cordi magis, re melius considerata, primo quidem illud pro certo esse ponendum, eadem illos sibique congruentia sensisse ; deinde quod placet illis omnibus, ut vestram itidem sententiam confidenter amplectendum. Quod quamvis arduum penitus esset, ipsorum arbitror doctorum studio et opera fieret, ut vobis id facile futurum esset. Verum et facillimum est et nullo labore, sed alacri tantum voluntate indiget. Nam si viderentur sancti digladiari inter se, aut certe sermonibus oppositis de rebus propositis uterentur, ne sic quidem esset difficile eos inter se conciliare, verborumque pugnam tollere per convenientiam sensus : non enim deessent nobis ad hoc viæ quædam et præclara inventa, quæ subministrat ubertas philosophica, si vellemus apparentes oppositiones diluere cum adminiculo veritatis : sed tamen refugeret hoc quispiam, sciens multi hoc esse opus negotii ac laboris. Nunc autem non ita se habere sanctorum scripta omnes videmus ; sed multa in illis tranquillitas est, et emittunt nobis eminus concordiæ radios. Quod si quid etiam in illis discrepantiæ mistum est, superficie tenus illud est atque in speciem. Aut enim diversa de iisdem plures loquuntur, quod eruditos homines turbare minime potest, turbaverit autem primo aspectu simpliciores : aut dicendo et tacendo inter se differunt, quod illis contingere est consentaneum. Nam et nos ipsi per dies singulos diversa de iisdem sentientes ac enuntiantes, nihilominus conjuncti sumus, nec propterea inter nos decertamus, et jure quidem optimo : cum enim in unaquaque re multa considerentur, et alius aliter illam concipiat animo, variis quoque sermonibus exprimantur ea necesse est, aut iisdem sane, sed varie acceptis, dum rerum naturæ congruere velimus ipsos sermones, hoc est esse veros ; quandoquidem ipsum esse rei sequitur orationis veritas, ut norunt omnes. Quod si dicendo de iisdem diversa, pugnaremus, contraria quoque ipsi veritati assereremus, quæ rerum naturas ex multis diversoque modo inexsistentibus constare vult. Neque igitur in his dissentimus, neque rem exprimere, aut silentio præterire, talia sunt, ut manus propterea conseramus ; imo vero contra, pacem conciliare vi-

A τἀναντία τοῖς ἀληθέσι φρονοῦσί τε καὶ συγγράφουσι· πρὸς δὲ τούτοις καὶ πολλὰς ὑπὲρ τῶν ἠσπημένων δίκας ὀφείλειν. Ἄνευ δὲ τούτων οὐδ' οἱ παρ' ἡμῶν τιμῆς ἀξιούμενοι χάριν εἴσονται μᾶλλον ἡμῖν, ἢ δικαίως ὀνειδιοῦσι καὶ μέμψονται, τοῦτο μὲν καὶ αὐτοὶ κοινωνοῦντες τῆς τῶν ἀδελφῶν ἀτιμίας, καὶ νομίζοντες ἐκείνων ἀμελουμένων, μηδ' αὐτοὶ τῶν εἰκότων τυγχάνειν κἂν σφόδρα δοκῶσι, τοῦτο δὲ εἰ δόξουσιν ἠπατῆσθαι, καὶ ταῖς τῶν διδασκάλων τιμαῖς τοὺς τῇ πλάνῃ κατασχεθέντας ἀποσεμνῦναι· ἀγνοεῖ γὰρ οὐδεὶς ὁπόσα μεμνημένοι μετ' εὐφημίας ἀλλήλους ἰδίᾳ τε καὶ κοινῇ τετιμήκασι. Τούτων τε τοίνυν εἵνεκα καὶ πολλῶν ἄλλων ὁμοίων, οὐ γὰρ οἶμαι δεῖν ἀποκναίειν τὰς ὑμῶν ἀκοὰς ἕκαστα καταλέγων, δεῖν φημι πάντας τοὺς τῆς B Ἐκκλησίας διδασκάλους τιμᾶν ὑμᾶς, καὶ μηδένα τούτων πεπλανῆσθαι νομίζειν, μηδ' ἴχνος τι μάχης ἐν τούτοις ὑπονοεῖν· ἀλλὰ τὴν ὑμῖν πεσουμένην ὁμόνοιαν πολλῷ μᾶλλον ἐκείνοις καὶ σπουδασθῆναι καὶ κατωρθῶσθαι δικαίως ὑπειληφότας, πρῶτα μὲν ἐκείνους ἀδελφὰ φρονοῦντας καὶ ἀλλήλοις συμβαίνοντας ὑποθέσθαι, ἔπειτα τὸ πᾶσιν ἐκείνοις ἀρέσκον καὶ ὑμετέραν γνώμην θαρρούντως ποιήσασθαι. Τοῦτο δὲ εἰ καὶ παντάπασι δυσχερὲς ἐτύγχανεν ὄν, αὐτοὺς οἶμαι τοὺς διδασκάλους συνεφαψαμένους ὑμῖν ῥᾴδιον ἀποδείξειν. Ἀλλὰ μὴν καὶ τῶν εὐκολωτάτων ἐστὶ, καὶ πόνου μὲν οὐδενὸς, προθυμίας δὲ μόνης δεόμενον. Εἰ μὲν γὰρ ἀντιφάσκειν ἀλλήλοις ἐδόκουν οἱ ἅγιοι, καὶ λόγοις γοῦν ἀντικειμένοις περὶ τῶν προκειμένων ἐχρῶντο, οὐδ' C οὕτω μὲν χαλεπὸν ἂν ἦν συνάπτειν αὐτοὺς, καὶ τὴν περὶ τοὺς λόγους ἀντίθεσιν τῇ τῶν φρονημάτων ἀναιρεῖν συμφωνίᾳ. Οὐ γὰρ ἂν ἐνέλιπον ἡμῖν ὁδοί τινες ἐπὶ τοῦτο καὶ μηχαναί, ἃς ἡμῖν ἡ τῆς φιλοσοφίας εὐπορία παρέχει, τὰς φαινομένας ἐναντιότητας λύειν μετὰ τῆς ἀληθείας ἐθέλουσιν· ἀπώκνησε δ' ἄν τις ὅμως πρὸς τοῦτο, πολλῆς πραγματείας ἔργον καὶ πόνων εἰδώς. Νῦν δ' οὐχ οὕτω τὰ τῶν ἁγίων ὁρῶμεν ἅπαντες ἔχοντα, ἀλλὰ πολλῆς γέμει γαλήνης, καὶ πόρρωθεν ἡμῖν ἐφιᾶσι τὰς τῆς ὁμονοίας ἀκτῖνας. Εἰ δέ τι καὶ παραλλάττον αὐτοῖς ἀναμέμικται, ἐπιπόλαιόν ἐστι καὶ μέχρι τοῦ φαινομένου· ἡ γὰρ διάφορα περὶ τῶν αὐτῶν ἀξιοῦσιν οἱ πλείους, ὃ τοῖς μὲν σοφωτέροις οὐδένα παρέχειν D δύναται θόρυβον, ταράξειε δ' ἂν τοὺς ἁπλουστέρους· εὐθὺς, ἢ λόγῳ καὶ σωπῇ τὰ τούτων διῄρηται, οὕτω δὲ συμβαίνειν ἀλλήλοις οὐδέν ἐστι χαλεπόν· καὶ ἡμεῖς γὰρ καθ' ἑκάστην διάφορα περὶ τῶν αὐτῶν φρονοῦντες καὶ λέγοντες, οὐδὲν ἧττον μένομεν ἡνωμένοι· καὶ περὶ τούτων οὐδεὶς ἡμῖν συρρήγνυται πόλεμος, καὶ εἰκότως· πολλῶν γὰρ ἐφ' ἑκάστου θεωρουμένων, καὶ ἀλλοτρόπως ἄλλου προσιόντος αὐτῷ, καὶ διαφόροις ἀνάγκη ταῦτα λόγοις σημαίνεσθαι· ἢ τοῖς; αὐτοῖς μὲν, διαφόρως; δὲ ὅπου λαμβανομένοις, ἕως ἂν τῇ τῶν πραγμάτων ὑπάρξει τοὺς περὶ τούτων λόγους συνᾴδειν βουλώμεθα· ὃ ταυτόν ἐστι καὶ ἀληθεῖς εἶναι θέλειν αὐτοὺς, ἐφ' ὅσον τὴν τῶν λόγων ἀλήθειαν τῷ εἶναι τῶν πραγμάτων ἴσμεν ἀκολουθεῖν. Εἰ δ' ἐκ τοῦ διάφορα λέ-

γειν περὶ τῶν αὐτῶν, ἐμαχόμεθα, καὶ πρὸς τὴν ἀλήθειαν αὐτὴν ἠναντιούμεθα ἂν· ἢ τὰς τῶν ὄντων ὑπάρξεις ἐκ πολλῶν τινων καὶ διαφόρως ἐνυπαρχόντων αὐτοῖς συνίστασθαι βούλεται. Οὔτε τοίνυν ἐπὶ τούτοις διαφερόμεθα, οὔτε λόγος καὶ σιωπὴ πεφύκασιν ἡμᾶς συρρηγνύναι· τοὐναντίον γὰρ μᾶλλον καὶ διαλλάττειν δοκοῦσιν, εἴπερ ἐν ἴσῳ τῇ συγκαταθέσει τὸ τῆς σιγῆς καὶ ὑπὸ τῶν πολιτικῶν λαμβάνεται νόμων· πρὸς δὲ τὸν συναινοῦντα πόλεμος οὐδεὶς οὐδὲ μάχη τῷ γε νοῦν ἔχοντι.

Εἰ μὲν οὖν ἄλλον τινὰ τρόπον ἐκ τῶν τῆς Ἐκκλησίας δ' ἀσκάλων εἴχομεν εἰληφότες, ᾧ τὰς ἐξ ἐκείνων ἡμῖν ἀποτικτομένας ἀμφισβητήσεις λύεσθαι δεῖ, καὶ ᾧ δυνησόμεθα συνάπτειν ἐκείνους ἐν οἷς ἂν διαφερόμενοι φαίνοιντο, τῶν ἡμῖν ἐγνωσμένων τούτων ἠμελημένων, καὶ οἷς χρῆσθαι πρὸς ἀλλήλους εἰώθαμεν, ἐκείνῳ δὴ καὶ χρηστέον. Εἰ δὲ τοῦτο μὲν οὐκ ἔστιν εὑρεῖν, οὐ γὰρ ἠδύναντο ἀνθρώποις τε διαλεγόμενοι καὶ αὐτοὶ τὴν ἡμετέραν ἔχοντες φύσιν, οἷς δ' ἐπὶ τῶν Γραφῶν αὐτοὶ τοῖς εἰωθόσι τούτοις τῶν διαλλαγῶν ἐχρήσαντο τρόποις, καὶ ἡμῖν ἐοίκασι συμβουλεύειν μηδ' ἐπ' αὐτῶν βελτίους ἄλλους ζητεῖν, ἡνίκα ἂν δέῃ συμφωνοῦντα ἀλλήλοις δείκνυσθαι, οὔτε παραιτεῖσθαι δεῖ τὴν ἐκείνων εἰρήνην, ἧς ἥρτηται τὰ τῆς ἡμῶν ὁμονοίας, οὔτε δυσχερές ἐστιν οἷς ἐφ' ἡμῶν ἐχρησάμεθ' ἂν τῆς ὁμονοίας σημείοις, διὰ τούτων τὴν σύμπνοιαν καὶ τὸ φρονεῖν ὁδελφὰ κἀκείνοις ψηφίζεσθαι. Οὔτε κίνδυνόν τινα προσεῖναι τῷ πράγματι πιστεύειν ὅλως εἰκός. Ἔμοιγε γὰρ τοὐναντίον μᾶλλον δοκεῖ, μηδὲν ἂν ἀσφαλέστερον τούτου γενέσθαι τοῖς εὐθύνας βίου τε καὶ δόξης ὁμοίως δώσειν ὑπειληφόσιν. Εἰ γὰρ καὶ τῆς ἀληθείας ἐμέλλομεν ταύτῃ διαμαρτάνειν, ἱκανὴ πρὸς Θεὸν ἡμῖν ἂν εἴη παραίτησις, τὸ βουληθῆναι μὲν εἰρήνην ἄγειν μετὰ πολέμους μακροὺς, καὶ τὴν αὐτὴν περὶ τῶν πρὶν ἀμφισβητουμένων γνώμην λαβεῖν, ἑαυτοῖς δὲ θαῤῥεῖν οὐκ ἔχοντας ἐπὶ τὰς Γραφὰς ἀπιδεῖν καὶ τοὺς διδασκάλους· φαινομένης δέ τινος κἂν τούτοις διαφορᾶς, ἐνθυμηθέντας ὡς ἀδύνατον τοῖς ὑπὸ τοῦ Πνεύματος ἐνηχουμένοις ἐναντιότητός τι καὶ πλάνης ἴχνος προσεῖναι, καὶ βουληθέντας πᾶσιν ὁμοίως τὴν τῆς ἁγιωσύνης δόξαν τηρεῖν, διαλλακτὰς μᾶλλον ἢ δικαστὰς αὐτῶν γεγονέναι· καὶ συνάψαι μὲν ἀλλήλοις ἐκείνους ὡς ἐνεχώρει, συναφθῆναι δ' ἔπειτα καὶ αὐτοὶ, καὶ ταύτην ὡς ἀσφαλεστέραν ἑλέσθαι τῆς εἰρήνης ὁδὸν, ταῖς ἄλλαις πολλῶν τε καὶ προφανῶν κινδύνων συνεζευγμένων τούτοις ἡγοῦμαι καὶ πάνυ τὸν φιλάνθρωπον δυσωπηθήσεσθαι δικαστὴν, καὶ συγγνώμης ἀξιώσειν πολλῆς τοὺς ἐπιθυμήσαντας μὲν τῶν μεγίστων, ἑλομένους δέ τι καὶ παρακινδυνεύειν ὑπὲρ αὐτῶν, τῶν δὲ κινδύνων συνιδόντας τε καὶ στέρξαντας τὸν κουφότερον. Οἷς γὰρ ἅπαντα θεμένοις καλῶς οὐκ ἐξεγένετο τῆς ποθουμένης ἀληθείας τυχεῖν, τούτων οὐ πονηρίᾳ γνώμης, ἀλλὰ τῇ δυσχερείᾳ τῆς ἀληθείας ἐπιγράφεσθαι δεῖ τὸ ἀτύχημα. Ὅτι μὲν τοίνυν τοὺς μὴ τὰ αὐτὰ τοῖς πλείοσι φάσκοντας θεολόγους, οὐχ ὡς ἐκείνοις ἀντιλέγοντας, ἀλλ' ὡς ἄλλο τι βουλομένους τῶν ἀναγκαίων ἐπισημαίνεσθαι, περὶ δ' ὧν εἶπον ἐκείνοι τὴν ἴσην ἔχοντας γνώμην, πρέπει νοεῖν, ἐκ πολλῶν ἄλλων ὁμοίων συνάγεσθαι δυνα-

dentur, quando silentium civiles quoque leges sumunt pro assensu; cum assentiente vero conflligit nemo, si sapiat.

Si quis igitur est alius modus a doctoribus Ecclesiæ nobis traditus, quo dirimendæ sint controversiæ, quæ per illos oriuntur, et quo possimus conciliare illos inter se, ubi dissentire videntur; posthabitis hisce quos novimus, et quibus uti inter nos solemus, age illum adhibeamus. Sed si talem reperire modum non licet; neque enim poterant, cum sermo illis esset ad homines nostram et ipsis naturam habentibus; et per consuetos hosce conciliationum modos, quibus ipsi usi sunt ad componenda Scripturæ loca, nobis id concilii dare videntur, ut nullos quæramus meliores, per quos oporteat, cum opus fuerit, probare ipsorum quoque doctorum convenientiam; profecto nec pacem illorum debemus missam facere, ex qua pendet nostra concordia; nec difficile est, per quæ nos signa nostram significaremus concordiam, per hæc eadem illorum convenientiam et consensionem declarare. Neque ullum omnino hac in re periculum subesse censendum est; mihi enim videtur potius contrarium, nihil posse tutius contingere hominibus, qui se existimant reddituros rationem vitæ pariter ac opinionis. Quamvis enim ita futurum esset, ut a veritate aberraremus, idonea tamen nobis esset apud Deum excusatio, quod pacem habere voluerimus post longa dissidia, depositisque controversiis in unam omnes ire sententiam: cum vero nobis ipsi non confideremus, ad Scripturas accurreremus et doctores: apparente vero in iis etiam discrepantia quadam, consideraverimus nullum esse posse vestigium pugnæ et erroris in illis qui sunt Spiritus afflatu edocti: volentesque omnibus æque conservare opinionem sanctitatis, conciliatores potius quam judices ipsorum sederimus: et illi quidem a nobis quoad ejus fieri potuit in unam reducti concordiam, postea vero et nos uniti fuerimus, delectaque a nobis hæc pacis via uti tutior, aliis multa et manifesta habentibus conjuncta pericula. Hæc plane arbitror clementissimum judicem æqui bonique facturum, ven'amque abunde daturam hominibus, qui rerum quidem maximarum affecti fuerint desiderio, proque illis aliquod etiam periculum subire voluerint: ex periculis autem cognoverint adierintque levissimum. Quibus enim, ubi omnia recte atque ordine disposuissent, non successit exoptatæ veritatis assecutio, haud pravæ illorum voluntati debet ascribi exitus infelix, sed arduæ veritatis indagationi. Quod igitur intelligendum sit, theologos qui non conveniunt cum pluribus, nequaquam illis adversari, sed velle quiddam aliud necessarium significare, eadem vero sentire quæ illi de rebus per eos explica is, colligi potest ex multis aliis simi-

libus. Quis enim ignorat, sanctos omnes passim causæ et causæ voces usurpare, et præ omnibus Nyssenum? Attamen Cyrillus (1) utendum iis esse negat. Anne ergo dissentiendo ab aliis id asserit, eodemque sibi scopo proposito contrariam habuit sententiam; ut oporteat ab aliis præter ipsum, aut ab ipso uno stare veritatem? Et qua ratione fieri possit, aut alios adeo multos non perspexisse quod opus est, aut hunc in tantum esse lapsum errorem, idque posteriorem multis qui usi sunt illis vocibus? Imo vero et illi simul omnes, et iste nihilominus propter sanctatis opinionem effugiunt suspicionem mendacii. Non ergo contraria dicunt, et verum utrique dicunt; par enim est respicientes ad diversas vocum istarum significationes, illos quidem usurpasse, hunc autem refugisse. Nam alii quidem certe respexerunt ad processiones, hic vero ad artem Aristotelicam. Ut si quis commutata causa, cur hi usurpaverint, ille tacuerit, ex iis quæreret, futurum esset ut caverent qui usurparunt, non dubitaret usurpare qui cavit.

Quid præterea, magis pium, aut passim in theologia usitatum, quam divinarum ordo personarum? Quidam tamen sanctorum in hanc etiam invehuntur vocem; verum neutri mentiuntur. Licet enim in divinis aliquem ordinem necessario ponere, et alium rursus inde repellere, ut naturæ creatæ convenientem. Solius Patris imaginem esse solum Filium Augustinus asserit, et Occidentalium Patrum caterva, nomenque imaginis dicunt esse proprium hypostasis Filii; doctores autem Orientales Spiritum quoque Filii, nec non Patris imaginem sine ulla hæsitatione vocant omnes. Sed hi quidem ita loquuntur respicientes ad essentiæ identitatem, et utuntur nomine imaginis loco perfectæ similitudinis; illi vero formalem habebant sine dubio præ oculis similitudinem, quam ratio Filii continet; productioni enim Verbi proprie tributa est similitudo formalis ad id a quo procedit.

τοῦ Λόγου ἡ τοῦ εἴδους ὁμοιότης πρὸς τὸ ἀφ' οὗ πρόεισιν ἰδίως ἀφώριστται.

Basilius quoque (2) genimen vocari Dei Filium non permittit, cum alii utantur intrepide hoc vocabulo. Dicemus ergo propter hoc dissentire hunc ab illis, an potius et ipsum conjungemus cum cæteris omnibus? Dicemus enim illos quidem geniminis significatione adductos, quæ rite Filio aptatur, usos esse hac voce, hunc vero considerata vocis usurpatione; nam in deteriorem partem accepit eam Scriptura, vocans Judæos viperarum genimina, et imperfectis illam assignavit; devitasse ipsam, aliisque consilium dare, ut eam fugiant. Imo quod gravius est, secum quoque pugnare doctores videbit quispiam: ut si quis illorum scripta percurrat leviter, et quæ apparent sola perpendat, dicat illos potius ludere. Adeo variis in locis sæpe usi sunt contrariis sermonibus, moti sensuum diversitate.

τόν. Τίς γὰρ οὐκ οἶδε πάντας ἁγίους αἴτιον καὶ αἰτιατὸν ἄνω καὶ κάτω στρέφοντας; καὶ πρό γε πάντων τὸν Νύσσης; Ἀλλ' ὅ γε Κύριλλός φησι χρῆσθαι τούτοις ἀπαγορεύει. Ἆρ' οὖν ἀντιλέγων τοῖς ἄλλοις ταῦτά φησι, καὶ πρὸς τὸν αὐτὸν σκοπὸν ἀποβλέπων τῆς ἀντικειμένης γέγονε γνώμης, ὥστε καὶ δεῖν ἢ μετὰ τῶν ἄλλων πλὴν αὐτοῦ, ἢ μετ' αὐτοῦ μόνου τὴν ἀλήθειαν εἶναι; Καὶ πῶς ἂν ἔχοι λόγον ἢ τοὺς ἄλλους τοσούτους ὄντας τὸ δέον μὴ συνιδεῖν, ἢ τοῦτον πλανηθῆναι τοσοῦτον, καὶ ταῦτα μετὰ πολλοὺς ἐλθόντα, χρησαμένους τοῖς ὀνόματι τούτοις; Μᾶλλον δὲ τῆς τοῦ ψεύδους ὑποψίας ἐκεῖνοί τε πάντες ὁμοῦ καὶ οὗτος οὐδὲν ἧττον διὰ τὴν τῆς ἀγιωσύνης δόξαν ἀπήλλαχται. Οὐκοῦν οὔτ' ἀντιλέγουσι, καὶ ἀληθῆ λέγουσιν ἄμφω· εἰκὸς γάρ ἐστι πρὸς διαφόρους τῶν ὀνομάτων τούτων ἀποδόντας ἐννοίας, τοὺς μὲν χρήσασθαι, τὸν δὲ φυλάξασθαι. Οἱ μὲν γὰρ ἄλλοι δήπου πρὸς τὰς προόδους ἀπέβλεψαν, ὁ δὲ πρὸς τὴν Ἀριστοτελικὴν τεχνολογίαν ἀπεῖδεν· ὥστε τοὺς μὲν εἰπόντας φυλάξασθαι ἄν, τὸν δὲ διευλαβηθέντα θαρρῆσαι, εἴ τις αὐτῶν ἐπαλλάττων τὰς τοῦ λόγου καὶ τῆς σιωπῆς αἰτίας ἐπύθετο.

Τί δὲ καὶ τῆς ἐν τοῖς θείοις προσώποις τάξεως εὐσεβέστερον, ἢ τῇ θεολογίᾳ πανταχοῦ συνηθέστερον; Ἀλλ' ἔνιοι τῶν ἁγίων καὶ κατὰ τοῦ τῆς τάξεως ὀνόματος φέρονται. Ἀλλ' οὐδέτεροι ψεύδονται. Ἔστι γὰρ καὶ φρονεῖν τινα τάξιν ἐξ ἀνάγκης ἐπὶ Θεοῦ, καὶ πάλιν ἄλλην ἐλαύνειν ἐκεῖθεν, ὡς τῇ κτιστῇ φύσει προσήκουσαν. Ἀλλὰ μὴν εἰκόνα μόνου τοῦ Πατρὸς τὸν Υἱὸν εἶναι μόνον φασὶν Αὐγουστῖνός τε καὶ ἡ λοιπὴ τῶν Δυτικῶν ἑταιρεία, καὶ τὸ τῆς εἰκόνος ὄνομα λέγουσιν ἴδιον εἶναι τῆς ὑποστάσεως τοῦ Υἱοῦ· οἱ δὲ τῆς Ἑῴας διδάσκαλοι καὶ τὸ Πνεῦμα εἰκόνα τοῦ Υἱοῦ καὶ μὴν καὶ τοῦ Πατρὸς τεθαρρηκότως πάντες καλοῦσιν. Ἀλλ' οὗτοι μὲν πρὸς τὴν κατ' οὐσίαν ταυτότητα βλέποντες, ταῦτ' ἀξιοῦσι, καὶ τῷ τῆς εἰκόνος ὀνόματι ἀντὶ τῆς τελείας ὁμοιότητος χρῶνται· ἐκεῖνοι δὲ τὴν κατὰ τὸ εἶδος ἐσκόπουν δήπουθεν ὁμοιότητα, ἥτις ἐν τῷ τοῦ Υἱοῦ περιέχεται λόγῳ· τῇ γὰρ προόδῳ

Ὁ δὲ Βασίλειος καὶ γέννημα τὸν τοῦ Θεοῦ λέγειν οὐ συγχωρεῖ, καίτοι τῶν ἄλλων ἀδεῶς οὕτω καλούντων· ἆρ' οὖν διαφωνεῖν ἐροῦμεν ἐκείνοις αὐτόν, ἢ μᾶλλον καὶ τοῦτον τοῖς ἄλλοις πᾶσι συνάψομεν; ἐροῦμεν γὰρ τοὺς μὲν ὑπὸ τῆς τοῦ γεννήματος ἐννοίας ὀρθῶς ἐπὶ τοῦ Υἱοῦ λεγομένης προτρεπομένους χρήσασθαι τῇ φωνῇ, τὸν δὲ πρὸς τὴν χρῆσιν ἀποδόντα τῆς λέξεως, ἐπὶ κακοῦ γὰρ ἐξέλαβεν αὐτὴν ἡ Γραφὴ, γεννήματα ἐχιδνῶν τοὺς Ἰουδαίους ἀποκαλοῦσα, καὶ τοῖς ἀτελέσι ταύτην ἀπέδωκεν, αὐτόν τε φυλάξασθαι, καὶ τοῖς ἄλλοις πᾶσι συμβουλεύειν· τὸ δὲ δὴ μεῖζον, ὅτι τοῦτ' αὐτὸ καὶ πρὸς ἑαυτοὺς πα θόντας τοὺς διδασκάλους ἴδοι τις ἂν· ὥστ' εἴ τις ἁπλῶς τἀκείνων ἐπίοι, καὶ τοῖς φαινομένοις μόνοις προσέχοι, παίζειν αὐτοὺς μᾶλλον ἐρεῖ. Οὕτω τοῖς ἐναντίοις πολλαχοῦ καὶ πολλάκις λόγοις ἐχρήσαντο

(1) Lib. II *ad Hermiam*.
(2) Lib. II, *contra Eunomium*.

πρὸς διαφόρου, ὀπιδόντες ἐννοίας. Καὶ τί θαυμαστὸν, ὅπου καὶ τοῖς λογίοις τοῦτο συμβέβηκε; ποῦ μὲν μείζω τοῦ Υἱοῦ τὸν Πατέρα λέγουσιν ἐναργῶς, ποῦ δὲ τὴν ἐν σφίσιν ἰσότητα φανερῶς ἀποφαινομένοις; καὶ ταῦτ' οὐ μόνον περὶ τῆς διπλῆς ἐν τῷ Χριστῷ νοοῦσι φύσεως οἱ διδάσκαλοι, ἀλλ' ἔνιοι τούτων καὶ περὶ τὴν θείαν φύσιν αὐτοῦ συγχωροῦσιν ἀμφότερα· καὶ μείζω μέν φασι τῷ αἰτίῳ, οὐ μείζω δὲ πάλιν τῇ φύσει· καὶ περὶ τοῦ αὐτοῦ πράγματος τὰ ἀντικείμενα λέγουσι, πρὸς ἄλλο μέντοι καὶ ἄλλο τούτων ἑκάτερον. Καὶ τίς ἂν καταλέγοι τὰ ἐν τοῖς θείοις λογίοις δοκούσας διαφωνίας, ἄλλων δι' ἄλλο τι καὶ πάντων ἀληθῶς λεγομένων; καὶ τῶν μὲν οἰκείως καὶ καταλλήλως τῇ τοῦ Σωτῆρος θειότητι, τῶν δὲ ταπεινότερόν τε καὶ ἀνθρωπικώτερον νοουμένων; Ἆρ' οὖν ἀλλήλοις πάντα συγχροῦσομεν, καὶ ἢ πιστεύσομεν τοῖς ἀντικειμένοις, ἢ τὰ δοκοῦντα τούτων ἐλόμενοι, καὶ τούτοις ἀποδεδωκότες τὴν πίστιν, τῶν λοιπῶν, ὡς οὐχ ἡμῖν ἀρεσκόντων, καταφρονήσομεν; Ἀλλὰ δίδια μὴ μᾶλλον δίκας ὀφλήσωμεν τῆς καταφάσεως, ἢ χάριτας λάβωμεν τῆς εὐλαβείας, μᾶλλον δ' ὑπὲρ ἀμφοτέρων δίκας ἐκτίσωμεν, ἅτε κακῶς καὶ ἄμφω ποιοῦντες; οὐ γὰρ ἡμῖν γε δικασταί εἰσι τούτων ἀμφότεροι, οὐ μᾶλλον ἢ διδασκάλοις. Οὐκοῦν πάντα μὲν ἐπίσης νομίσαντας ἀληθῆ, ἑκάστου δ' αὐτῶν ἀποδιδόντας αἰτίαν, καίτοι καὶ τούτου χωρὶς ἁπλῶς οὕτως καὶ ἀνεξετάστως ἔπρεπε πείθεσθαι, ἀλλ' ὅμως οὐκ ἔστιν ἐφ' ὅτου τῶν λεγομένων ζητοῦντες αἰτίαν οὐκ ἐντευξόμεθα, καὶ ἡμᾶς αὐτοὺς τοῦ πολεμεῖν ἀλλήλοις, κἀκείνους τῆς ἀδυνάτου διαφωνίας ἀπαλλάξασθαι προσήκει.

Ἀλλὰ μὴν καὶ ὅτι τοὺς εἰπόντας τι περὶ τῶν προκειμένων τοῖς σεσιγηκόσι συνάπτειν οὐ χαλεπὸν, οὐδὲ λόγου δεῖν ἡγοῦμαι δεικνύναι. Ἵνα γὰρ παρῶ λόγον καὶ σιωπὴν ἐξετάζειν, καὶ τίς ἑκατέρου τούτων ἡ φύσις· πρῶτον μὲν οὐδεὶς ἂν ἰσχυρίσαιτο κατεγνωκότας τοῦ δόγματος σιγῇ παρελθεῖν αὐτό. Ὅπου γὰρ οὐδὲ τοὺς λέγοντας ἁπλῶς ἃ λέγουσι νομίζομεν ἐπαινεῖν, ἂν μὴ τῶν βελτίστων ὦσί τινες, καὶ ὧν ἀνάγκη τοῖς δόγμασι τοὺς λόγους συνᾴδειν, σχολῇ γ' ἄν τις δοίη τῷ σιγᾷν ἕπεσθαι τὸ κατεγνωκέναι· εἴτε γὰρ περὶ ὧν οὐδεὶς εἶπεν ἐσίγων, καὶ πολλῶν ἄλλων ἀληθῶν κατψηφιούμεθα· οὕτω ταῦτά γε κρίνοντες ἢ τοῖς διδασκάλων λόγοις πᾶσαν ὁριούμεθα τὴν ἀλήθειαν, καὶ μηδὲν εἶναι φήσομεν πλέον οὐδ' αὐτῷ τῷ Θεῷ, ὃ τοῖς ἀνθρώποις ἀποκαλύπτων προσθήσει τῇ τῆς πίστεως ἀληθείᾳ· εἴτε περὶ ὧν εἰρήκασιν ἕτεροι, εἰ μὲν οὐκ εἰδότες ἃ τοῖς ἄλλοις ἐδόκει, οὐκ ἀρετῆς ἄρα καὶ τῆς περὶ τὰς δόξας ὀρθότητος ἄθλον, ἀλλ' εὐνοίας ὁμοιθὴν, καὶ ὅλως πρὸς τὴν σφῶν αὐτῶν βούλησιν τὰς τιμὰς αὐτοῖς συνεχώρουν· καὶ ὡς ἔοικε τοὺς περὶ ταῦτα παρεξῆεσαν νόμους, εἰ μὴ πρὸ τῶν γερῶν τὰς ἑκάστου πράξεις, καὶ τοὺς ἀγῶνας πρὸ τῶν στεφάνων ἐξήταζον. Εἰ δὲ εἰδότες, ὥσπερ ἄρα καὶ ᾔδεσαν, οὐκ ἔδει δημοσίᾳ τοὺς εἰπόντας ἀνακηρύττειν, καὶ σὺν εὐφημίᾳ τούτων μεμνῆσθαι, καὶ τῶν ἐπ' ἀρετῇ καὶ σοφίᾳ πρωτείων αὐτοὺς ἀπαραγράπτους μάρτυρας γίνεσθαι, καὶ τοῖς μὴ πείθεσθαι βουλομένοις ἃ καὶ τοῖς τὰς

A Et quid mirum, quando sacris eloquiis hoc idem contigit? Siquidem illa Patrem modo asserunt aperte majorem Filio, modo vero æqualitatem eorum manifeste significant, idque doctores non solum intelligunt de duplici natura Christi, sed quidam etiam utrumque de divina ejus natura concedunt; et majorem quidem aiunt, causa, non majorem rursus, natura; et contraria de eadem re affirmant, verum ad aliud et aliud horum utrumque. Et quis enumeret quæ in Scripturæ verbis pugnare videntur? cum alio alia spectent, et omnia vera sint? et hæc quidem Salvatoris divinitati aptissime congruant, illa vero humilius humanitusque intelligantur? Num igitur omnia inter se opposita constituemus; et vel credemus contrariis, vel seligentes ea quæ placent, B fidem illis habebimus, reliqua vero ut minime grata rejiciemus? Sed vereor ne potius damnemur, quod hæc contempserimus, quam referatur nobis gratia, quod adversus illa reverentiam adhibuerimus; imo vero pœnas luamus, quod utrumque male fecerimus; non enim convenit harum rerum nos esse judices, non magis certe quam magistros. Itaque habentes omnia pariter pro veris, et causam singulis assignantes: quamvis citra hoc etiam oporteret simpliciter ac sine ullo examine fidem illis tribuere: cum tamen nullum sit de quo, si quæratur, afferri non possit causa: et nos ipsos mutuis conflictionibus, et illos liberare oportet dissensione quæ nulla ratione admittenda est.

C

Quod vero difficile non sit concordes ostendere eos qui de hac materia locuti sunt, atque illos qui tacuerunt, ne ratione quidem arbitror opus esse ut probetur. Ut enim omittam de dicendi ac tacendi philosophari, quæque sit utriusque natura explicare: primum quidem nemo contenderit, ut qui tacuerunt, ideo sint usi silentio, quod hoc dogma damnarent. Si enim eos qui de re aliqua simpliciter pronuntiant, non continuo probare existimamus quæ dicunt, nisi sint ex numero probatissimorum hominum, et quorum sermones necesse est cum dogmatibus convenire; quis facile concesserit, ea quæ tacentur, improbari? Sive enim ea tacuerunt, de quibus nemo locutus est, sequitur ut multa quoque alia vera D damnemus, sicque de his opinantes, doctorum sermonibus veritatem omnem circumscriberemus, nihilque dicemus superesse vel ipsi Deo, quod revelando hominibus addere possit ad fidei veritatem: sive tacuerunt quæ ab aliis fuere tractata, si quidem cum nescirent quid aliis videretur, honorem igitur illis tribuebant, non virtutis ergo, atque ut præmium sanæ opinionis, sed benevolentiæ causa, atque omnino ad suum arbitrium: et leges, ut videre est, hujusmodi rerum perfringebant, non examinantes ante præmia quid quisque gesserit, et ante coronas quantum certaverit. Si vero cum scirent, ut profecto sciebant, non oportebat ab iis publice laudari eos qui disseruerant, et honorificam

eorum mentionem fieri, et amplissimum dari testimonium, quod primas illi tulerint virtutis et doctrinæ, minasque non auscultantibus proponi, quæ jactari solent in eos qui sacras paginas non venerantur. Neque enim aut dogma exiguum est, dignumque quod contemnatur; aut putandi sunt illi, quod fratres colerent observarentque, voluisse parvipendere sententiam, quæ sibi tantopere displiceret, et corrumpendorum posterorum omnium auctores ipsi videri. Quod si per solum silentium sperarunt se victoriam reportaturos ab iis qui verba fecerunt, et persuasuros omnibus ut ab illorum sententia abhorrerent, nec eruditione præstantium, nec doctorum id foret: exspectassent enim impossibilia, quæ etiam non evenerunt: nam maxima et potissima orbis terrarum pars eos sequitur, qui de hoc dogmate sunt locuti. Esse autem doctorum dixerim, non quæ recta sunt effari, et prava tantum supprimere; sed hæc etiam in medium proferre, atque omnes hortari ut ea fugiant; et eo magis tunc, cum hæc ipsa laudantur ab aliis, et plurimi fiunt viris et ipsis doctis, atque ad persuadendum idoneis. Aut si omnino per silentium id se effecturos existimabant, at certe a præconiis abstinere debebant, et a summo honoris temperare cumulo, dum eos ornarent laudibus, qui de hoc dogmate disputarunt: scientes sermonem honorarium silentio nihil attestante plus valiturum. Oportebat enim nihil omnino dicere, et eo contentos esse, si eorum qui dogmatis mentionem fecerunt dicta sacræ Scripturæ verbis erant contraria; aut si per illa fiebat ut aliquid ex confessis everti manifeste contingeret. Nunc autem cum nihil tale sit, suffragari nulla res potest eorum silentio, quod sane assensus potius opinionem præ se fert, quam fugæ et negationis. Sed esto, nihil illi dixerint, improbantes quidem sententiam, sed fratrum honori consulentes, litesque et pugnas excitare nolentes, rem obvolverint silentio, atque in profundo cordis dissensionem occultarint. Verum ex hoc, cum formidinis et pravitatis suspicione non careat, futurum erat ut non magis cæteri omnes cum iis conjungerentur, quam aperte disjungerentur. Nam ante omnia de veritate sollicitos esse illos oportebat; nec fuisset quidquam jucundius certaminibus, quæ illis ipsis atque omnibus utilitatem attulissent: cæterum ipsi ea penitus refugientes, ostendissent se plane nec propriis confidere viribus, nec velle pro communi omnium salute labores perferre. Atqui horum omnium nihil prorsus beatis illis viris ascribere pium et justum est: contra vero æquissime debitum Patribus ac doctoribus honorem illis tribuerimus; ut qui providentia, scientia, virtutisque studio pervenerint, quo pervenire homines possunt; et jure illis gratiam habuerimus propter omnia, tum quæ reticere voluerunt, quod causa nostra utrumque fecerint, et quidem sapienter admodum. Non tacuere igitur, quia necessario damnarent; nec infert silentium necessi-

A ἱερὰς Γραφὰς ἀτιμάζουσιν ἀπειλεῖν. Οὔτε γὰρ μικρόν τι τὸ δόγμα καὶ οἷον ἂν καταφρονηθῆναι, οὔτε τῇ περὶ τοὺς ἀδελφοὺς εὐλαβείᾳ δόξης οὕτως αὐτοῖς ἀπαρεσκούσης ὀλιγωρεῖν ἂν ἠβουλήθησαν, καὶ τῆς τῶν μετὰ ταῦτα πάντων φθορᾶς αὐτοὶ δοκεῖν αἴτιοι. Ἀλλὰ μὴν εἰ τῷ σιγῆσαι μόνον ἤλπισαν περιέσεσθαι τῶν εἰπόντων, καὶ πεῖσειν πάντας τῆς ἐκείνων δόξης ἀφίστασθαι, οὔτε πρὸς σοφῶν οὔτε πρὸς διδασκάλων τοῦτό γ' ἂν ἦν· τά τε γὰρ ἀδύνατα γίνεσθαι προσδόκων· οὔκουν οὐδὲ γεγόνασιν, ἀλλὰ τὸ πλεῖστον νῦν τῆς οἰκουμένης καὶ κάλλιστον μετὰ τῶν εἰρηκότων ἐστί· καὶ διδασκάλων εἰποιμ' ἂν οὐ τὸ τὰ μὲν ἀγαθὰ λέγειν, τὰ δὲ φαῦλα μόνον σιγᾷν, ἀλλὰ καὶ ταῦτα παράγειν εἰς μέσον, καὶ φεύγειν ἅπασι παραινεῖν· καὶ πολλῷ μᾶλλον ὁπόταν ὑπό τινων ἄλλων ἐπαινῆται ταῦτα, καὶ τοῦ παντὸς ἄξια κρίνηται, κἀκείνων σοφῶν καὶ πείθειν ὄντων ἀξίων. Εἰ δὲ καὶ τὴν σιγὴν ὅλως ἐνόμιζον τοῦτ' αὐτὸ καταπράξασθαι, ἔδει φείδεσθαι τῶν ἀνακηρύξεων, καὶ μὴ τοῖς κατὰ τῶν εἰπόντων ἐπαίνοις πᾶσαν ὑπερβολὴν τιμῆς παρελθεῖν, εἰδότας ὡς λόγος μετὰ τιμῆς σιωπῆς ἁμαρτύρου βελτίων ἔσται· ἔδει γὰρ ἀγαπῆσαι μόνον σιγῶντας, εἰ τὰ τῶν εἰπόντων τοῖς ἱεροῖς λογίοις ἀνθίστατο, ἢ εἴ τι τῶν ὁμολογουμένων ἐξ αὐτῶν φανερῶς συνέβαινεν ἀναιρεῖσθαι· νῦν δὲ μηδενὸς ὄντος τοιούτου, ἀδοήθητος αὐτοῖς ἡ σιωπὴ κατελείπετο, καὶ συγκαταθέσεως μᾶλλον ἢ φυγῆς καὶ ἀρνήσεως φέρουσα δόξαν. Κεἰσθω δὲ καὶ κατεγνωκότας μὲν οὐκ εἰπεῖν, φειδοῖ δὲ τῆς τῶν ἀδελφῶν ἀτιμίας καὶ τῷ μὴ βούλεσθαι πόλεμον ἐγείρειν καὶ μάχην, ἐπὶ τὴν σιγὴν ἀπιδεῖν καὶ τὴν ἐν τῷ βάθει κρύψαι διάστασιν. Ἀλλὰ τοῦτο δειλίας ὁμοῦ καὶ πονηρίας ἔχον ὑπόνοιαν οὐ μᾶλλον ἔμελλεν αὐτοῖς προσάξεσθαι πάντας, ἢ περιφανῶς ἀποστήσειν. Καὶ γὰρ πρὸ τῆς ἀληθείας οὐδενὸς φροντίζειν ἐχρῆν, καὶ τῶν ἀγώνων οὐδὲν ἂν ἦδιον ἦν, ἐξ ὧν αὐτοί τε καὶ πάντες ἂν ὠφελοῦντο· οὓς ἀναδυόμενοι μέχρι παντὸς, οὔτε θαῤῥοῦντες σφίσιν αὐτοῖς, οὔθ' ὑπὲρ τῆς τῶν ὅλων σωτηρίας πονεῖν ἀνεχόμενοι πάντως ἔδειξαν ἄν. Ἀλλ' οὐδὲν τούτων ἁπάντων τοῖς μακαρίοις ἐκείνοις προσάπτειν εὐσεβές ἐστιν ὅλως καὶ δίκαιον· τοὐναντίον γὰρ καὶ προνοίᾳ καὶ σοφίᾳ καὶ τῇ τῆς ἀληθείας σπουδῇ μέχρι τοῦ γινομένου παντὸς ἀφιγμένους δικαιότατ' ἂν ταῖς τῶν Πατέρων καὶ διδασκάλων τιμαῖς αὐτοὺς περιέποιμεν· καὶ πάντων ὁμοίως, ὧν τε εἶπον ὧν τε σιγῆσαι προείλοντο, δικαίαν αὐτοῖς εἰδείημεν χάριν, ὡς ὑπὲρ ἡμῶν προειλομένοις ἀμφότερα, καὶ πάνυ σοφῶς. Οὐκ ἄρα κατεγνωκότες ἐξ ἀνάγκης ἐσίγησαν, οὐδ' ἔχει τι πρὸς ἀνάγκης λόγον ἡ σιωπὴ τοί γε κατὰ τοῦ λόγου ταύτῃ χρωμένοις. Εἰ δὲ λέγοι τις, μηδὲ τοὐναντίον δεῖν ἰσχυρίζεσθαι, ὡς ἄρα τῇ σιωπῇ τὴν δόξαν κρατύνουσι, καὶ δηλοῦσι ταύτην ἀποδεχόμενοι· μάλιστα μὲν καὶ τοῦτ' ἐστὶν εἰπεῖν, ὡς εἰ καὶ μὴ παντάπασιν ἀκριβῶς ἀποδεχομένων ἦν τὸ σιγᾷν, ἀλλά γε μᾶλλον τοῦ συναινεῖν, ἢ τοῦ μισεῖν καὶ καταφρονεῖν ἀπόδειξιν ἔχει· ἐγὼ δὲ νομίζω, μήτε καθάπαξ ἀτιμαζόντων, μήτε σφόδρα ὑπερῤῥούντων εἶναι τῇ δόξῃ. Παραιτοῦμαι δ' ὑμᾶς, ὦ Γραικοί, περὶ ὧν μέλλω λέγειν· οὐ γὰρ ἀποφαινόμε-

νος οὐδὲ κρατεῖν βουλόμενος ταῦτα, οὐδὲ περὶ τουτωνὶ τῶν προκειμένων μᾶλλον ὑμῖν ἢ περὶ παντός; ἐκείνοις σεσιγημένου τὴν ἐμὴν προτίθημι γνώμην. Ὁρᾶτε γὰρ με κἀν τοῖς ἔμπροσθεν εἰρημένοις τὸ δόξαν προσκρούειν ὑμῖν ἐῶ; ἐξὴν φυλαξάμενον· καίτοι τοῖς τῆς ἀληθείας ἐξετασταῖς οὔτε λέγουσιν οὔτ' ἀκούουσιν ἁρμόττει τούτου φροντίζειν.

A tatis rationem iis qui silentium afferunt ad damnandos eos qui non tacuerunt. Si quis vero dicat, neque contrarium esse pugnaciter inferendum, nempe ab illis per silentium opinionem roborari, eoque indicio significari, receptam hanc esse ab illis : responderi quidem optime potest : Etsi tacendo innuebant, non omnino illam sibi probari, potius tamen significasse assensum, quam odium et contemptum. Ego vero arbitror, silentium hoc fuisse hominum nec omnino reprobantium opinionem, nec rursus velut omnino tutam illam recipientium. Quæso autem a vobis, Græci, ut quæ dicturus sum, ita a me dici existimetis, non quasi velim certam ipse pronuntiare sententiam, et rata esse quæ profero : neque enim ego nunc magis de proposita materia quid sentiam profero, quam de alia quavis re quam illi tacuerint. Et videtis ipsi quanta per totum sermonem diligentia illud caverim, ne quoad ejus fieri posset vestras offenderem aures : quanquam iis qui veritatem inquirunt, curare id minime convenit, sive dicant ipsi, sive audiant.

Ἐγὼ τοίνυν, ὅπερ εἶπον, τοὺς ἁγίους ἡγοῦμαι μηδὲν ἀποφαινομένους περὶ ὧν ἕτεροι λέγουσι φανερῶς, οὔτε σφόδρα συνηγοροῦντας, εἰ δεῖ λέγειν οὕτως, οὔτ' ἐναντιουμένους καθάπαξ τοῦτο ποιεῖν· τὸ μὲν γὰρ πόρρω τῆς ἐκείνων ἀρετῆς καὶ σοφίας ἐστὶ, τὸ δ' εἶχεν ἂν λόγον οὐδένα πάντας ὁμοῦ καθάπερ συνθεμένους ἐλέσθαι, καὶ δόγματι παρὰ πολλῶν ὁμολογουμένῳ συνηγορίαν οὕτω νεκρὰν εἰσενέγκασθαι. Ἀλλ' οἶμαι τούτους ἢ τὴν δόξαν ἀμφιγνοοῦντας ὡς ἀκινδύνῳ χρήσασθαι τῇ σιγῇ, ἢ τῇ μὲν γνώμῃ μετὰ τῶν ὄντων ἐστάναι, τοῦ δὲ δημοσιεύειν αὐτὴν ἀποσχέσθαι, ἕτερόν τι προνοουμένους. Καὶ τούτων ἑκάτερον εὐλαβείας τε καὶ προνοίας προσηκούσης ἁγίοις ἐστὶν ἀπόδειξις. Εἴτε γὰρ ὃ μὴ παντάπασιν ἐθάρρουν εἰπεῖν, ἀλλ' οὐδὲ τῶν ἀνηκέστων ἤδεσαν ὄν, τοῦτο σιγῇ παρελθεῖν, καὶ τὰς ἔκ τε τοῦ μαρτυρεῖν ἔκ τε τοῦ διώκειν ὑποψίας φυγεῖν ἐβουλεύσαντο, θαυμασταὶ τῆς εὐλαβείας εἰσὶ, δι' ἣν καὶ τοῖς ὑπ' αὐτῶν εἰρημένοις ἀναμφισβητήτως προσκεῖσθαι δίκαιον ἅπαντας· εἴτε ἐκ τοῦ φανερὰν ποιεῖσθαι τὴν δόξαν, συνεωρακότες τι τῶν οὐκ ἀμεινόνων ἐψόμενον, κατασχεῖν αὐτὴν ἐν σφίσιν ἐνόμισαν, ἐπαινετοὶ τῆς προνοίας. Εἰ γὰρ τῶν λόγων αὐτοῖς ἅτε διδασκάλων καὶ Πατέρων ἔχουσι τάξιν, ἡ τῶν ὑπ' αὐτοὺς ὠφέλεια τέλος ἔμελλεν εἶναι, οὐκ ἔδει τὰ βλάψοντα προστιθέναι· καὶ τὸν ἀληθῆ καὶ κοινὸν κάντεῦθεν διδάσκαλον προεστήσαντο, ὃς πολλὰ τῶν ἀξιολόγων κατεῖχε, μήπω δυναμένους ἐκεῖνα βαστάζειν τοὺς ἀποστόλους εἰδώς· τί γὰρ ὄφελος ἀληθείας ὑψηλοτέρας τοῖς ἐπὶ τῶν ταπεινοτέρων ἀδεδαίοις ἔτι καὶ κλονουμένοις; Ὅτι δ' ἑκάτερον τούτων πολὺ τὸ εὔλογον ἔχει, καὶ πολὺ μᾶλλον ἢ τὸ τἀναντία δοξάζειν τοὺς διδασκάλους, οὕκουν ὥστε καὶ παραβάλλειν ἐξεῖναι, καὶ ὅτι συνάπτειν, ὡς εἴρηται, τούτους οὐδέν ἐστι χαλεπὸν, ὁπότερον ἂν τούτων μέλλοι κρατεῖν, αὐτόθεν οἶμαι δῆλον ἅπασι καθεστάναι. Εἰ μὲν γὰρ ἀγαθόν τι χρῆμα καὶ πολλῆς ἄξιον εὐφημίας ἡ περὶ ταῦτ' εὐλάβεια πᾶσι δοκεῖ, πῶς οὐ δεῖ ταύτην τοῖς ἀρίστοις προσάπτεσθαι τῶν ἀνθρώπων; εἰ δὲ καὶ μὴ, καὶ πάντες ἅπαντα λέγουσιν οὔ γε μετὰ τῆς ἴσης σοφίας καὶ τῆς ἄνωθεν χάριτος, ἀλλ' ἔστι τις ἐν αὐτοῖς καθάπερ ἀγεωσύνης καὶ τῶν ὑπὲρ εὐσεβείας ἀγώνων, οὕτω καὶ σοφίας

B Ego igitur, quod dixi, sanctos arbitror nihil esse locutos de eo, quod alii dicunt aperte, propterea quod illi nec multum faverent, si ita dicendum est, nec illud omnino rejicerent : hoc enim a virtute eorum et scientia procul abest : illud autem nulla ratione niteretur : quasi omnes communicatis consiliis id facere, et dogma confessum a multis adeo frigida ratione fulcire voluerint. Sed puto illos aut de re quæ sibi erat ambigua tacuisse, tutius hoc ducentes : aut idem sensisse quidem quod alii qui rem aperte dixerunt, sed abstinuisse a sententiæ divulgatione, quiddam aliud prospicientes : quorum utrumque cautelam et providentiam eos adhibuisse, quæ sanctos decet, certum indicium est. Si enim præterire silentio id voluerunt, quod omnino dicere non audebant, nec tamen pro exsecrando habebant dogmate, suspicionesque evitandas putarunt, quæ subortæ essent, sive illi dogma probassent, sive improbassent : admirabili sane cautione sunt usi, ob quam omnes dicta eorum sequi sine ulla hæsitatione debeant. Si vero infausti aliquid prospexere consecuturum ex promulgatione hujus sententiæ, et proinde retinendam illi apud se judicarunt : laudanda profecto est hæc providentia. Cum enim sermonibus eorum finis esset propositus, utilitas hominum sibi subditorum, nempe ut Patribus ac doctoribus, proferenda non erant ab illis, quæ obesse poterant : idque etiam exemplo veri communisque omnium magistri, qui multa scitu digna non aperuit sciens ea nondum suos ferre posse apostolos. Quid enim prodest sublimior veritas iis qui adhuc in humilioribus nutant? Quod autem utrumque horum solida ratione nitatur, multoque magis sit rationi consentaneum, quam asserere doctores inter se pugnare, ut nulla queat inter hæc esse comparatio : quodque, utrumlibet verum dicatur, nullo negotio possint illi inter se conciliari, per se ipsum arbitror esse omnibus manifestum. Nam si bona res et multis digna præconiis videtur omnibus cautio in hujusmodi negotiis, cur optimis hominibus illa non tribuatur? Sin vero aliter, et omnes omnia dicunt non pari doctrina cœlestique gratia, sed est inter eos uti sanctitatis laborumque pro pietate susceptorum, ita quoque scientiæ facundiæque ac divinæ gratiæ, per quam hæc omnia dantur et con-

firmantur, ordo quidam et gradus: quid incommodi fuerit, si quæ alius quidam multa usus fiducia dixit, hæc alium veritum tacuisse dicamus? Ego enim sane, ut paululum hac in re immorer, sanctorum hominum res ita se habere puto. Non omnibus hominibus dat omnia Deus. sed hunc quidem hoc ornat munere, alium vero alio decorat, et huic quidem largitus est unum, illi autem plura etiam addit: et sicuti dona ipsa inter se differunt, ita unumquodque plus minusve perfectionis ac pietatis habere dignoscitur. Causa vero cur illa differant aut plura sint, est quidem gratia donantis secundum prædefinitionem et præcognitionem quamdam ineffabilem, est vero etiam accipientium cujusque ad hæc dispositio: ut neque bonorum quidquam, juxta Pauli sententiam, tanquam a nobis provenisse putantes muntiamur: et nostrarum actionum his quidem pœnæ, illis vero præmia reddantur. Quod porro modo bonorum largitor eos tractet, qui in accepta dona ingrati sunt, alterius fuerit negotii considerare. Illis autem qui dono bene utuntur, idque unum a seipsis conferre volunt, non modo benefactor, sed et custos fit rei datæ: atque ad scopum uniuscujusque ducem se præbet, difficultatesque tollit, efficitque ut progressus in eo faciant, et secunda donat gratia, cum id etiam libitum fuerit: et felicitatem postremo adjicit præmium non tam eorum quæ ipsi gesserunt, quam quibus ipse, ut per eos gererentur, auctor fuit: ut sit velle quidem a nobis; inde autem perficere: et currere quidem nostrum, assequi vero quod optamus, solius divinæ clementiæ: imo vero aberrare quidem ab honesto, sit nostri tantum consilii: prope vero bonum accedere, et illi quodam modo adhærescere, a divina proveniat gratia. Et quoniam non est par in omnibus boni voluntas et studium, neque omnibus uno modo natura opitulatur: quin et momenta temporum non æque omnibus sese offerunt: hinc fit ut adeptio quoque finis aliter aliis respondeat. Veritatis enim et boni natura nullis terminis circumscribitur; quorum illa quidem nobis contemplantibus, hoc autem agentibus propositum est. Hinc mansionum oriuntur differentiæ, et varia ac multiplex ultimæ felicitatis possessio. Ita ergo etiam Ecclesiæ doctores sciendi dicendique munere ornati, virtutem illi conjunxerunt; atque ita primum sese ostenderunt eo dono non indignos; tum veritatis notitia fruebantur, quæ una scientiæ sudorumque ad acquirendam eam insumendorum dignus finis exstiterit; Deus porro erat, qui hæc suppeditabat, atque ad illam attrahebat: sed non omnes eodem apparatu ad scientiam accesserunt, neque pari scientia veritatem examinarunt. Ideirco docti quidem omnes erant, sed doctrinæ modo inter se differebant; et veritatem quidem omnes attigerunt, sed iste non tantum veritatis apprehendit, quantum ille. In quibuscumque autem loqui se tuto quisque putavit; apte congruenterque locutus est, alius autem alio plus quiddam est ausus; et audere qui-

καὶ λόγων καὶ τῆς ταῦτα διδούσης καὶ βεβαιούσης χάριτος ἐκ Θεοῦ, τάξις τις καὶ βαθμός· τί δεινὸν ἂν ἁ τις ἄλλος πλείονι τῷ τεθαρρηκότι χρώμενος εἶπε, ταῦθ' ἕτερον εὐλαβηθέντα σιωπᾷν ἀξιώσωμεν; ἐγὼ γὰρ, ἵνα τι καὶ μικρὸν προσδιατρίψω τῷ λόγῳ, τὰ κατὰ τοὺς οὕτως ἔχειν ἡγοῦμαι. Οὐ πᾶσιν ἀνθρώποις πάντα δίδωσιν ὁ Θεὸς, ἀλλὰ κοσμεῖ μὲν τοῦτον ἐκεῖνος, τιμᾷ δὲ ἄλλον ἄλλῳ τῶν ἀγαθῶν· καὶ τὸν μὲν ἑνὶ δωρησάμενος ἕστη, τῷ δὲ καὶ πλείω προστίθησι· καὶ καθάπερ ἄλλου πρὸς ἄλλο τῶν χαρισμάτων ἐστὶ διαφορὰ, οὕτω καὶ κατ' αὐτὸ τῷ τελειοτέρῳ τε καὶ εὐσεβεστέρῳ διενήνοχεν ἕκαστον. Τῆς δὲ διαφορᾶς αὐτῶν καὶ τοῦ πλήθους ἐστὶ μὲν ἡ τοῦ διδόντος χάρις αἰτία κατά τινα προορισμὸν καὶ πρόγνωσιν ἄῤῥητον, ἔστι δὲ δή που καὶ ἡ τῶν λαμβανόντων ἑκάστου πρὸς ταῦτα παρασκευὴ, ἵνα μήτε τι τῶν ἀγαθῶν κατὰ Παῦλον εἰπεῖν, ὡς ἀφ' ἡμῶν αὐτῶν ψευδώμεθα λογιζόμενοι, καὶ τῶν ἡμετέρων πράξεων ταῖς μὲν συμβαίνωσιν αἱ ποιναὶ, αἱ δὲ τυγχάνωσιν ἄθλων. Τοῖς μὲν οὖν ἀχαρίστοις ὀφθεῖσι περὶ τὴν δωρεὰν ὄντινα χρὴ τρόπον ὁ δεδωκὼς, ἄλλης ἂν εἴη μελέτης σκοπεῖν· τοῖς δὲ καλῶς αὐτῇ χρησαμένοις, καὶ τοῦτο μόνον παρ' ἑαυτῶν εἰσφέρειν θελήσασιν, οὐ μόνον εὐεργέτης, ἀλλὰ καὶ φύλαξ γίνεται τοῦ δοθέντος, καὶ πρὸς τὸν ἑκάστου σκοπὸν αὐτὸς ὁδηγεῖ, καὶ λύει τὰς δυσχερείας, καὶ ὅπως ἐν αὐτῷ προκόπτωσι πράττει, καὶ χάριτος ἀξιοῖ δευτέρας· ὁπόταν καὶ τοῦτο δοκῇ· καὶ τὴν εὐδαιμονίαν ἐπὶ πᾶσιν, οὐχ ὧν αὐτοὶ κατεπράξαντο μᾶλλον ἢ σφίσιν ἐκεῖνος γέγονεν αἴτιος, ἆθλον προστίθησιν· ὥστ' εἶναι τὸ μὲν βούλεσθαι παρ' ἡμῶν, τὸ δ' ἀνύειν ἐκεῖθεν· καὶ τρέχειν μὲν ἡμῶν, τὸ δ' ἐφικνεῖσθαι τοῦ ποθουμένου τῆς ἐκείνου μόνης εἶναι φιλανθρωπίας· μᾶλλον δὲ τὸ μὲν διαμαρτεῖν τοῦ καλοῦ μόνης εἶναι τῆς ἡμετέρας βουλῆς, τὸ δ' ἐγγίσαι τῷ ἀγαθῷ καὶ προσφῦναί πως ἐκ τῆς θείας χάριτος ἥκειν. Ἐπεὶ δ' οὕτω πᾶσιν ἴση τῶν καλῶν ἡ βούλησις, οὔθ' ἡ περὶ ταῦτα σπουδὴ, οὔτε πᾶσιν ἡ φύσις τὸν ἴσον τρόπον συναγωνίζεται, ἀλλὰ δὴ καὶ ἡ παρὰ τῶν καιρῶν οὐχ ὁμοία πᾶσι ῥοπὴ, καὶ τοῦ τέλους ἡ κτῆσις ἄλλοις ἄλλον περιγίνεται τρόπον, ἀπείρου τῆς τ' ἀληθείας τοῦ τε καλοῦ τὴν φύσιν τυγχάνοντος, ὧν τῆς μὲν ἐν τῷ θεωρεῖν, τοῦ δὲ ἐν ταῖς πράξεσι στοχαζόμεθα· κἀντεῦθεν αἱ διαφοραὶ τῶν μονῶν, καὶ τῆς ἐσχάτης εὐδαιμονίας ἡ ποικιλία τε καὶ πολυσχιδὴς προῆλθεν ἀπόλαυσις· καὶ τῆς Ἐκκλησίας οὖν οἱ διδάσκαλοι τῷ τῆς σοφίας καὶ τῶν λόγων κοσμηθέντες χαρίσματι, ἐπὶ τούτῳ συνῆψαν ἀρετήν· καὶ ταύτῃ πρῶτον ἔδειξαν ἄξιοι γεγονότες τοῦ δώρου, καὶ τοῦ τυχεῖν τῆς ἀληθείας ἀπέλαυον, ἡ μόνη σοφία; καὶ τῶν ἐπ' αὐτῇ σπουδασμάτων τέλος γένοιτ' ἂν ἄξιον· καὶ Θεός ἦν ὁ ταῦτα δίδους, καὶ ταύτῃ προσάγων. Ἀλλ' οὔτε πρὸς τὴν σοφίαν τὴν αὐτὴν εἰσενέγκαντο πάντες παρασκευὴν, οὔτ' ἀπὸ τῆς ἴσης σοφίας τὰ τῆς ἀληθείας ἐξήτασαν. Διὸ σοφοὶ μὲν ἅπαντες ἦσαν, διενηνόχει δ' ἄλλος ἄλλου τῷ μέτρῳ· καὶ πάντες μὲν τῆς ἀληθείας ἐπέτυχον, οὐ τοσοῦτον μέντοι ταύτης οὗτος κατείληφεν ὅσον ἔσχεν ἐκεῖνος·

ἀλλ' ἐν οἷς μὲν ἐθάῤῥησεν ἕκαστος, ἀραρότως εἶπε καὶ προσφυῶς, ἄλλος δ' ἄλλο τι πλέον ἐτόλμησε· καὶ τὸ μὲν θαῤῥῆσαι τῆς ἑκάστου σοφίας ἐτύγχανε, τὸ δὲ μὴ πλανηθῆναι τῆς ἀληθείας, τῆς τοῦ Θεοῦ χάριτος ἦν, τήν τε γνώμην μεθ' ἧς ἐζήτουν ἀσπαζομένου, καὶ τὴν προθυμίαν καὶ τὸν πόνον οἰκτείροντος· καὶ τοῖς μὲν εὐλαβεστέροις οὐ μεμφομένου, τοῖς δὲ θαῤῥοῦσι καλῶς παρέχοντος τὴν ἀσφάλειαν. Οὐκοῦν καὶ ἡμᾶς τῶν μὲν δεῖ τὴν εὐλάβειαν ἐπαινεῖν, τῶν δὲ θαυμάζειν τὴν παῤῥησίαν· καὶ νομίζειν μὲν ἀληθῆ τὰ κοινῇ παρὰ πάντων ἠξιωμένα, ἐφ' ἃ δὲ προεληλύθασιν ἕνιοι, σοφίᾳ τε μείζονι καὶ τῇ παρὰ τοῦ Πνεύματος συμμαχίᾳ θαῤῥοῦντες, μηδὲ τούτων καταφρονεῖν· μηδ' ἡ προπετεῖς οἴεσθαι τοὺς εἰπόντας, ἢ νομίζειν ἐλαττοῦσθαί τι τοὺς σιγήσαντας ἐκ τῆς εἰς ἑτέρους τιμῆς, ἢ τὴν ἐν ἁγιότητι δόξαν αὐτῶν παρυπεῖσθαι, ἂν καὶ ἄλλο τι νομίζωμεν ἀληθὲς, ὧν αὐτοὶ θαῤῥοῦσιν ἐπέκεινα. Εἰ γὰρ μηδὲ τῆς ἐν ἁγιότητι δόξης καὶ τῶν δι' ἐκείνην στεφάνων ἐπίσης πάντες μετέσχον, καίτοι πάντες ᾠκειωμένοι τῷ Θεῷ, καὶ γνήσιοι φανέντες ἐκείνου θεραπευταὶ, οὔτε βαθμοῖς τισι διαφέροντες ἀδικεῖσθαι νομίζουσιν, ἢ φθονοῦσι τοῖς ὑψηλοτέροις οἱ ταπεινότεροι, σχολῇ γε τῆς ἁγιότητος εἵνεκα καὶ τὴν τῆς ἀληθείας γνῶσιν ἐπίσης συμμεριοῦνται, ἢ χαλεπῶς οἴσουσιν ἄν τις καὶ τῇ τῆς ἀληθείας γνώσει τὴν διαφορὰν αὐτοῖς ἀφορίζοιτο. Εἰ δὲ καὶ τὴν μέλλουσαν εὐδαιμονίαν τὴν τοῦ Θεοῦ γνῶσιν ἀποφαίνονται πάντες, ὃ ἐστιν ἡ πρώτη καὶ καθαρωτάτη πάντως ἀλήθεια, τῆς δὲ διαφοραὶ πολλαὶ καὶ βαθμοὶ, εἴπερ καὶ τῆς εὐδαιμονίας εἶναι πιστεύονται, πῶς οὐ κάνταῦθα τῆς ἀληθείας τὸ φῶς διαφόρως σφίσιν ἐπέλαμψεν, ὃ τοῦ φωτὸς ἐκείνου πρόδρομον καὶ σύμβολον ἦν; Ἢ πῶς οὐχ ἡμῖν, ἂν ἄλλο τι λέγωμεν, ὡς καταψευδομένοις αὐτῶν ὀργιοῦνται; προφάσει τῆς εἰς ἑνίους αἰδοῦς ὁριζομένοις μέν που τὴν περὶ τῶν θείων ἀλήθειαν, ἣν οὐδ' ἐν τῷ μέλλοντι βίῳ περιλαβεῖν δυνατὸν τοὺς ταύτης ἐπόπτας· ἀτιμάζουσι δὲ τὴν τῶν ἄλλων ἀγίων σπουδὴν καὶ τὴν χάριν, καὶ ἣν ἐντεῦθεν ἀλήθειαν ἐπορίσαντο; Ἄλλως τ' εἰ μὲν πάντα μέλλομεν ὑποπτεύειν, ἃ μὴ κοινῇ καὶ καθάπερ ἀφ' ἑνὸς στόματος πάντες ἠξίουν, ἄλλος ἂν εἴη λόγος· καίτοι τὰ μὲν παρόντα λύσομεν ἴσως καλῶς, καὶ πόνων ἡμᾶς αὐτοὺς ἀπαλλάξομεν, καταψηφιούμεθα δέ τινων παντελῶς, καὶ τοῦ χοροῦ τῶν διδασκάλων αὐτοὺς ἀποκλείσομεν, οἷς αἱ τῶν Πατέρων σύνοδοι πᾶσαι καὶ τὴν τῶν κορυφαίων τάξιν ἀπένειμαν· ἃ γὰρ πλείω τῶν ἄλλων εἶπον ἐκεῖνοι, ταῦτα σχεδόν ἐστιν ἅπερ εἶπον· οὕτως ὀξύτητι διανοίας καὶ χάριτι Πνεύματος ἐπὶ πλεῖστον προῆλθον. Πάντ' οὖν ἐκεῖνα λῆρος δόξουσιν εἶναι· καὶ ἀληθῶς ληρήσουσιν εἰ ταῦτα λέγειν τολμῶντες. Εἰ δ' ἐκεῖνα πάντα θαυμάζομεν, ποῦ δίκαιον μόνα ταυτὶ μὴ προσίεσθαι; ἢ γὰρ ἐπὶ πάντων τῶν ὁμοίων δεῖ τὴν γνώμην ταύτην νικᾶν, ἢ μηδ' ἐφ' ἑνός τινος εἶναι κυρίαν. Ὅτι μὲν τοίνυν τὴν σιγὴν οὐκ ἐναντιουμένων, ἀλλ' εὐλαβουμένων ὑπάρχειν εἰκὸς, καὶ μὴ σφόδρα θαῤῥούντων ἐφ' ἑαυτοῖς ἐν τούτῳ τῷ μέρει, ἐκ τῶν εἰρημένων οἶμαι δῆλον ὑπάρχειν

Μαρτυρεῖ δὲ τῷ λόγῳ καὶ τὰ τῶν ἁγίων συγ-

dem loqui, scientiæ erat, qua quisque pollebat: non aberrasse autem a veritate, Dei munus, voluntatem eorum qua quærebant, acceptam habentis, studiumque ac laborem commiserantis: et cautelam quidem adhibentes non objurgantis, recte autem confidentia utentibus securitatem largientis. Et nos igitur oportet in his quidem laudare cautionem, in illis vero loquendi libertatem admirari: et vera quidem existimare, quæ ab omnibus æque sunt pronuntiata: si qua vero prolata sunt a quibusdam ultra progredientibus, tum abundantiori doctrina fretis, tum auxilio Spiritus, nequaquam parvipendere, neque eos qui protulere, temerarios ducere, aut eos qui tacuerunt, mirentur existimare quod honorentur alteri, sanctitatisve opinione privatos putare, si quid nos pro vero habeamus ultra quam ipsi proferre sunt ausi. Si enim sanctitatis opinio, et corona quam adepti propterea sunt, non fuit omnibus æqualis: cum tamen omnes Deo chari fuerint, et germani ipsius cultores, et nullam sibi putant fieri injuriam, quod gradibus quibusdam differant, neque individent inferiores sublimioribus; minus certe propter sanctitatem pro æqua certabunt veritatis cognitione, aut moleste ferent, si quis cognitæ veritatis differentiam inter illos constituat. Jam vero si visionem Dei esse beatitudinem futuram omnes affirmant, qui prima et purissima sine dubio veritas est: hujus autem visionis multæ differentiæ gradusque esse creduntur, quemadmodum et beatitudinis: qua ratione fiat, ut illis hic etiam veritatis lumen diversis modis non illuxerit, quod luminis prænuntium ac symbolum erat? Nobis vero, si aliter dicamus, quomodo illi non succenseant, tanquam de illis falsa affirmantibus; qui dum reverentes aliquorum videri volumus, rerum divinarum veritati terminum statuimus: quam ne in futuro quidem sæculo capere poterunt ejus spectatores: nec non aliorum sanctorum studia, collatamque in eos gratiam, et quam illi per hæc assecuti sunt veritatem inhonoramus? Nam si suspecta volumus habere omnia quæ non fuerint communiter et quasi uno ore pronuntiata ab omnibus, alia id erit res: quanquam hasce quidem difficultates fortasse bene diluemus, et molestiis liberi erimus, sed aliquos plane damnabimus, et a doctorum cœtu excludemus, quibus tamen omnia Patrum concilia locum vel coryphæorum assignarunt. Quæ enim illi addidere ad aliorum dicta, hæc fere sunt, quæ dixi. Adeo ingenii acumine ac Spiritus gratia progressi sunt ad penitus intima. Esse igitur videbuntur nugæ illa omnia: at nugas vere effutient, qui hæc dicere audent. Quod si nobis admirationi sunt illa omnia, cur hæc sola improbemus? Aut enim sententia hæc de similibus omnibus, aut de nullo rata esse debet. Quod igitur silentium par sit esse hominum nequaquam repugnantium, sed cautela utentium, nec multum sibi hac in parte confidentium, constare arbitror ex iis quæ dicta sunt.

Id ita esse testantur etiam scripta sanctorum;

in quibus alii aliis confidentius loqui videntur, ut quisque scientia aut collata gratia pollebat : nec magis Latini a Græcis, quam Græci inter se hac ratione differunt. Sed neque impossibile, aut statui eorum videtur minus congruens, si quis asserat, illos quidem absque ulla hæsitatione eadem sensisse quæ alii : veritos autem esse, ne aperta rei confessio periculosa foret simplicioribus. Qui enim, ne quisquam per ea quæ dicebantur, ullum contraberet damnum, palam contradicentes ea dicentibus restitere : necnon ea credi proferrique prohibuere, quæ aliis erant vel ipso respirandi usu magis familiaria : cum tamen ipsis potissimum constaret vera illa esse; cur censendi non sint hanc ipsam ob causam libentius tacuisse? Mitius enim plane erat tacuisse, quam videri contradixisse. Fortasse vero iis qui Spiritum ex Filio procedere audiebant, nec dictum valde capiebant, multa etiam alia in mentem absurda veniebant, et hæc ipsa, in quæ Latinos deducunt, qui contra illos edidere longa volumina; et quæ necessario dicunt ex dogmate sequi : ut puta, opinari duo principia, et inferiorem esse Spiritum aliis divinis personis, et reliqua hujusmodi. Nam si Latini ad hæc respondentes, et neque se ita sentire, neque absurda illa necessario sequi ostendentes, nondum hoc persuadere Græcis potuere ; sed putant illi quidvis potius, quam Latinorum sententiam his incommodis carere. Adeo longe aliter de additamento sentiunt, quam velint qui illud asserunt : quid facturos homines existimamus, sanctis omnibus ex Filio Spiritum affirmantibus, et simpliciter, ut moris est illis, dogma hoc proferentibus, et nihil addentibus ex iis, quæ nunc a Latinis adinventa sunt causa defendendi dogmatis, et evadendi hæc incommoda? Ego enim arbitror futurum fuisse ut hæc quidem illi sequi absurda opinarentur; contradicente vero nemine, nec cavenda illa esse admonente, et sententiam amplecterentur, tanquam nulla sui ex parte ipsa inferentem, et incommodis hisce tanquam veris facile assentirentur. Quæ sane omnia par est doctores prævidisse, ideoque abstinuisse a proferenda sententia, quodque multum lædere poterat, silvisse. Cum enim illi de securitate discipulorum valde solliciti eos ubique cohortentur ut sola sequantur Scripturæ verba, et nihil aliud curiose inquirant, quam etiam ob causam multa Scripturæ loca explicant contra quam omnes, et ipsimet etiam sentirent, nec videri erubescunt hujusmodi sententiarum plani interpretes, et profunda non penetrantes, eo tantum consilio, quo valeant persuadere aliis, ut contineant se intra terminos, et temeritatis pericula evitent : quid mirum, si has cogitationes secuti, hæc ipsa quoque tacuerunt, ut multa alia, quæ ab illis poterant citra periculum enuntiari? Oportebat enim non solum verbis commonere quid fieri deceat, sed reipsa quoque palam facere, et se ipsos exemplum adhibendæ cautionis præbere. Sciebant quippe hoc verorum

γράμματα, ἐν οἷς ἄλλοι μᾶλλον ἄλλων τεθαρρηκότες ὁρῶνται, ὡς ἕκαστος ἐπιστήμης ἢ χάριτος εἶχε· καὶ οὐδὲν μᾶλλον Λατῖνοι Γραικῶν, ἢ Γραικοὶ πρὸς ἑαυτοὺς ταύτῃ φαίνονται διενηνοχότες.

Ἀλλὰ μὴν καὶ τὸ ταυτὰ τοῖς ἄλλοις φρονοῦντας ἀναρριβόλως, τὴν ὁμολογίαν ὡς οὐκ ἀσφαλῆ τοῖς ἁπλουστέροις φυλάξασθαι, οὔτ' ἀδύνατον, οὔτε τῆς ἐκείνων τάξεως ἀπᾴδον εἶναι δοκεῖ. Οἱ γὰρ ἕνεκα τοῦ μηδένα ἂν ἐκ τῶν λόγων βλάβος τι παθεῖν, φανερῶς τοῖς λέγουσιν ἀντειπόντες, καὶ φρονεῖν καὶ λέγειν ἀπαγορεύσαντες ἃ τοῖς ἄλλοις καὶ τοῖς ἀναπνοῆς αὐτῆς συνηθέστερα, καίτοι παντὸς μᾶλλον αὐτοὶ ταῦτ' ᾔδεσαν ἀληθῆ, πῶς οὐκ αὐτοῦ δὴ τούτου χάριν προθυμότερον ἐσίγησαν ἄν; τὸ γὰρ σιγῆσαι τοῦ δοκεῖν ἀντιλέγειν δήπου πραότερον. Εἰκὸς γὰρ ἦν τοὺς ἀκούοντας ἐκ τοῦ Υἱοῦ προϊέναι τὸ Πνεῦμα, καὶ μὴ χωροῦντας πάνυ τὸν λόγον, ἄλλα γε πολλὰ τῶν ἀτόπων ἐνθυμηθῆναι, καὶ ταῦτα δὴ πρὸς ἃ Λατίνους ἀπάγουσιν οἱ τὰ μακρὰ κατ' αὐτῶν ἐκδεδωκότες συγγράμματα, καὶ ἃ φασιν ἀκολουθεῖν ἐξ ἀνάγκης τῷ δόγματι· οἷόν ἐστι καὶ τὸ διττὰς νομίζειν ἀρχάς, καὶ τὸ τῶν ἄλλων θείων προσώπων εἶναι τὸ Πνεῦμα καταδεέστερον, καὶ τἄλλα δὴ τὰ τοιαῦτα. Εἰ γὰρ Λατῖνοι περὶ τούτων ἀπολογούμενοι, καὶ μήτε φρονεῖν αὐτὰ, μήτ' ἐξ ἀνάγκης ἕπεσθαι τῇ δόξῃ δεικνύντες, οὔπω καὶ τήμερον πεῖσαι Γραικοὺς ἠδυνήθησαν, ἀλλ' οἴονται πάντα μᾶλλον ἢ τῶν ἀτόπων ἀπηλλάχθαι τούτων τὴν δόξαν· οὕτως ἀκούουσι τῆς προσθήκης, οὐχ ὡς ἃ οἱ λέγοντες βούλοιντο, τί παθεῖν εἰκὸς; ἦν τοὺς ἀνθρώπους, τῶν ἁγίων ἁπάντων ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα λεγόντων, καὶ τοῦτο δογματιζόντων ἁπλῶς ὡς ἔθος αὐτοῖς, μηδὲν δὲ προστιθέντων τῶν νῦν Λατίνοις εἰς ἀπολογίαν ἐξευρημένων τοῦ δόγματος, καὶ πρὸς τὰς τῶν ἀτόπων τούτων ἀποφυγάς; ἐγὼ γὰρ οἶμαι, τῇ μὲν δόξῃ νομίσαντας ἕπεσθαι τὰ τοιαῦτα, ἀντιλέγοντος δὲ μηδενὸς, ταῦτα φυλάττεσθαι παραινοῦντος, καὶ τὴν δόξαν ὡς οὐδαμόθεν τούτων αἰτίαν τιμᾷν, καὶ ὡς ἀληθέσι τοῖς ἀτόποις τούτοις ῥᾳδίως ἂν προσθέσθαι. Ἃ δὴ πάντα προιδομένους εἰκὸς ἦστι φείσασθαι τῆς δόξης τοὺς διδασκάλους, καὶ σιγῆσαι τὸ μεγάλα βλάπτειν δυνάμενον. Εἰ δὲ καὶ τῆς τῶν μαθητῶν ἀσφαλείας σφόδρα φροντίζοντες, πανταχοῦ παραινοῦσιν αὐτοῖς τῶν ἐν τῇ Γραφῇ λεγομένων ἔχεσθαι μόνον, καὶ μηδὲν περιεργάζεσθαι πλέον· ὥστε καὶ πολλὰ τῆς Γραφῆς ἐξηγοῦνται τῇ τε πάντων δόξῃ καὶ τῇ σφῶν αὐτῶν ἐναντίως· οὐδ' αἰδοῦνται τὸ δόξαι σαφεῖς τινες ὄντες καὶ ἐπιπόλαιοι τῶν τοιούτων ἐξηγηταὶ, μόνον ἵνα δυνηθῶσι πεῖσαι τοὺς ἄλλους εἴσω μένειν τῶν ὅρων, καὶ τῶν ἐκ τῆς προπετείας ἀπηλλάχθαι κινδύνων· τί θαυμαστὸν, εἰ τούτοις ἑπόμενοι τοῖς λογισμοῖς καὶ ταῦτα ἐσίγησαν, ὥσπερ εὕροι τις ἂν αὐτοὺς καὶ πολλὰ ἄλλα τῶν ἀκινδύνως ἂν εἰρημένων σεσιγηκότας; ἔδει γὰρ μὴ λόγῳ μόνον τὸ δέον ὑπαγορεύειν, ἀλλὰ καὶ ἔργῳ φανεροῦν αὐτὸ, καὶ παράδειγμα σφᾶς αὐτοὺς διδόναι τῆς εὐλαβείας· τοῦτο γὰρ ἀληθινῶν διδασκάλων ᾔδεσαν ὄν. Ἐπεὶ δὲ καὶ τὴν ἀλήθειαν ἀπό γε τῶν σοφωτέρων κρύ-

πτειν οὐκ ἔδει· ἦ γὰρ ἂν ἠδίκουν τῇ τῶν ἀσθενεστέρων φειδοῖ τοὺς ἄμεινον παρεσκευασμένους ἀτελεστέρους ἐῶντες, μηδὲ καὶ τούτοις συμμετρεῖν τὸν τῆς διδασκαλίας λόγον ἐθέλοντες· ἄλλον τινὰ τρόπον καὶ τούτοις τὴν ἀληθῆ προὐτίθεσαν δόξαν ἀρκοῦντα σοφοῖς· καθάπερ οὐδ' αὐτοὶ παρὰ τῶν Γραφῶν αὐταῖς ἐζήτουν λέξεσι τὴν ἀλήθειαν, ἀλλ' ὅσα τοῖς διαῤῥήδην λεγομένοις τὴν ἴσην δύναμιν ἔχει, καὶ ἃ ταῖς ὁμολογουμέναις περὶ τῶν θείων ἐννοίαις συνᾴδουσι, πρὸς τὴν ταύτης θήραν σφίσιν ἐνόμισαν ἐξαρκεῖν. Ταύτην καὶ οἱ λοιποὶ τῶν διδασκάλων εἵλοντο τὴν ὁδὸν ἐν οἷς ἐδογμάτισαν. Μὴ γὰρ ὅτι ταύτην ἐξεῖπον τὴν δόξαν ἄλλοις ἐσεσιγημένην σκοπείτω τις, ἀλλ' ὅτι κἀκεῖνοι πολλὰ κατέσχον παρ' ἑαυτοῖς ὧν ἠδύναντο λέγειν· ἃ τοσούτῳ μείζω κίνδυνον ἴσως ἤνεγκεν ἂν καὶ οὕτω πλείοσι τῶν ἀνθρώπων, ὅσῳ καὶ βαθυτέρας τοῖς ὑπ' αὐτῶν λεγομένοις δεῖ διανοίας, καὶ πολλῷ βελτίονος ἐδέησεν ἂν τοῖς σιωπωμένοις. Ἑτέρᾳ δέ τινι μηχανῇ κἀκεῖνοι τοὺς παρακολουθεῖν δυναμένους ὧν ἐφρόνουν πεποίηνται κοινωνούς· καὶ τοῦτ' ἔστι συνιδεῖν εἴ τις αὐτῶν τοῖς λόγοις προσέχοι. Ὁ δὲ τοὺς διδασκάλους ἑκάστους παθεῖν εἰκός ἐστι πρὸς τοὺς ὑπ' αὐτῶν μυουμένους, τοῦτο πολλῷ πρότερον πρὸς πᾶσαν αὐτοῦ τὴν Ἐκκλησίαν ᾠκονομηκέναι τὸ Πνεῦμα τῆς ἀληθείας οὐδὲν ἀπεικὸς θαυμαστῇ τινι καὶ πάντα λόγον νικώσῃ προνοίᾳ. Προὐνόησε γὰρ ἑκατέρας τῶν ἀνθρώπων τῆς ἕξεως, καὶ διδασκάλους πλάσαν ταύταις συμβαίνοντας, τοῖς μὲν ἀτελεστέροις τοὺς εὐλαβείᾳ χρησαμένους ἐπέστησε, τοῖς δ' ὑψηλοτέροις τὸν νοῦν τοὺς μάλιστα τεθαῤῥηκότας ἐφῆκε· καὶ διδάσκει μὲν τὴν ἀναγκαίαν ἀλήθειαν διὰ πάντων ὁμοίως, ἧς ἡ πίστις ποιεῖ τοὺς σωθησομένους· ἂν δέ τις θεωρητικώτερος ὢν καὶ κρειττόνων ὑποψίας κινδύνων, πρὸς τὰς τῶν μειζόνων ἄγει μυήσεις, καὶ τούτῳ τὸν πόθον παραμυθεῖται, διακόνοις οὐ ἰδίως πρὸς ταῦτα παρεσκεύακε χρώμενον. Ὥστ' εἰ τῶν ἁγίων τοὺς μὲν ἐπαινεσόμεθα, τοῖς δ' ἐπιτιμήσομεν τῆς σιγῆς ἢ τῶν λόγων, καὶ τοὺς μὲν ἐγκρινοῦμεν, τοὺς δ' ὡς ἡμῖν ἀχρήστους ἀποπεμψόμεθα· ἐξέστω καὶ κατὰ τοῦ Πνεύματος ἐκεῖνα τολμᾷν, οὐ μόνον οἷς τῆς σιωπῆς καὶ τῶν λόγων ἑκάστῳ γέγονεν αἴτιον, καὶ κοινωνεῖν ἀνάγκη διὰ τοῦτο τῶν τιμῶν καὶ τῶν ὄφρεων, ἀλλὰ καὶ οἷς ἐφ' ἑκάστου χρησάμενον φαίνεται, καὶ τὰ μὲν σιγῆσαν τὰ δ' εἰρηκὸς διὰ τῶν διδασκάλων, οἷς τὸν τῆς ἀληθείας λόγον ἐνέπνει. Εἰ δ' ἔν ἐστιν ἐκεῖνο, καὶ ἀληθείας Πνεῦμα πιστεύεται, καὶ πᾶσιν ὁμοίως εὐεργετεῖ τοὺς ἀνθρώπους, οὐδὲ τὰ τῶν διδασκάλων ἄλλως ἔχειν οἰέσθαι χρή. Ἀλλ' ἵνα μὴ πολλὰ λέγων ὑμῖν ἐνοχλῶ, ὅθεν τῶν λόγων τούτων ἠρξάμην, ἐκεῖσε πάλιν ἐπάνειμι. Εἰ μὲν γὰρ φανερῶς ἀντιφάσκοντες οἱ τῆς Ἐκκλησίας ἐωρῶντο διδάσκαλοι, καὶ δίχα διαιρεθέντες· οἱ μὲν ἔλεγον οὐκ ἐκ τοῦ Υἱοῦ προϊέναι τὸ Πνεῦμα, οἱ δὲ τοῦτο κατέφασκον ᾧ νῦν λέγουσι τρόπῳ, ἔδει τὴν μὲν ἀντίφασιν μέχρι τῶν λόγων εἶναι νομίζοντας καὶ τὴν μάχην, τοῖς δὲ νοήμασι καὶ σφόδρα συνῆφθαι τούτους ἀλλήλοις, ὑποτιθεμένοις, πειρᾶσθαι τῆς ἐν τοῖς ῥήμασιν

esse doctorum. Quoniam vero sapientiores quoque celare veritatem non debebant: alioquin, dum consultum volebant imbecillioribus, iniqui in magis idoneos exstitissent, imperfectos relinquendo, nec volendo illis etiam impendere doctrinæ sermonem, alio quodam modo et illis veram proponebant sententiam, qui sapientibus satis esset: quemadmodum et ipsi veritatem e Scripturis non nudis verbis expositam requirebant, sed ad comperiendam illam satis esse sibi putarunt, quæ perinde valent atque ipsa aperte pronuntiata, quæque congruunt cum certis et indubitatis animi conceptibus de rebus divinis. Hanc et cæteri doctores secuti sunt viam, dum exponerent dogmata. Nec illud perpendat quispiam, quod hanc sententiam protulerint, quam alii tacuerint, sed quod et illi multa penes se retinuerint, quæ potuerint effari: quæ tanto majus fortasse periculum attulissent, et eo pluribus hominibus perniciosum, quanto profundiori opus est intelligentia ad percipienda quæ illi dicunt, et multo etiam acutiori opus esset ad ea quæ tacuerunt. Sed et illi præclara quadam alia ratione eos sui sensus fecere participes, qui hujusmodi res assequi possunt, id quod perspicere licet, si quis eorum libros legat attentius. Quod autem par est singulis contigisse doctoribus in iis quos instituebant, hoc multo antea fuisse a Spiritu veritatis provisum in universa sua Ecclesia non est dissentaneum, admirabili quadam et superante omnem dicendi facultatem Providentia. Consuluit enim utrique hominum ordini, congruentesque illis formans doctores, imperfectioribus quidem præfecit cautela usos, eminentiori autem intellectu præditis dedit confidentius loculos. Et necessariam quidem per omnes æque docet veritatem, qua fides imbuit salvandos: si quis vero majori polleat ingenii acumine, nec pericula formidet, hunc a sublimiora intelligenda evehit, et satisfacit ejus desiderio per eos quos ad hæc peculiariter præparavit administros. Quare si sanctorum alios quidem laudabimus, alios autem reprehendemus, quod tacuerint expresserintve aliquid, et hos quidem probabimus, alios vero, quod non sint nobis usui, rejiciemus: liceat hæc eadem audere contra ipsum Spiritum, non solum quia is fuerit auctor, cur hi tacuerint, illi expresserint, quo fit ut necessario et ipse participet honores et contumelias: sed etiam quod usus singulorum opera, hæc quidem ipse tacuerit, illa vero per doctores expresserit, quibus sermonem veritatis infundebat. At si unus ille est, et spiritus creditur veritatis, et beneficiis afficit homines adæque per omnia, nec res doctorum aliter se habere putandæ sunt. Sed ne multa dicendo sim vobis molestus, ad ea revertor de quibus agere cœperam. Si enim Ecclesiæ doctores apertissime pugnarent inter se, atque duas in partes divisi, hi quidem negarent Spiritum ex Filio procedere, hi vero affirmarent ut nunc faciunt: oporteret, contrariorum assertionem et pugnam

existimare verbo tenus esse inter eos, et pro certo habere, magna sensus convenientia inter se congruere, tumque rationes investigare cur verbis usi fuerint contrariis, et quorsum ita sint loculi; et adinventa quidem causa, nec enim effugere illa posset, contentiones missas facere, aut simul utrumque dicendo, et rationibus utriusque partis acquiescendo, aut unum ex omnibus deligendo, quo nos maxime conjungeremur: multis enim modis potuissent hæc effici: aberrando autem, dolere quidem, quod mentem doctorum assequi non possemus, utrosque vero utrumque simpliciter amplectendo, atque, ut moris est, nostra recitando, ita demum et doctores et nos omnes in unam reduci concordiam. Nec solum doctores, sed nos ipsos etiam, si verbis contradicentia proferremus, et in fidei Symbolo pars una affirmationem, altera negationem recitaremus: quod factum, omnium gravissimum, et maxima hæc differentiarum visa esset: haud tamen foret difficile vel sic differentes unum in sensum convenire, postulante hoc ipsa materia, rebusque id facillime ferentibus. Ego enim existimo, nec sit qui mihi irascatur, cum paratus sim mutata propria sententia eam amplecti quæ vestro communi consensu pronuntiata fuerit: et hæc consilii gratia dicam, et periculum sententiæ meæ faciam, velimque potissimum ut et nos pace fruamur, et honor cunctis doctoribus servetur incolumis. Ego, inquam, existimo, propositiones istas, quæ videntur contradicentes, posse in bonum accipi sensum utramque, et neutram rursus in bonum: ut defensores utriusque, si conjuncta fugiant incommoda, possint et veritatem salvam tueri, et ipsi inter se consentire: et horum demonstrationes afferre paratus sum, cum ipsi volueritis: nec enim præsentibus convenire arbitror sermonibus illam disputationem: et vos ipsi non ignoratis, quæ dicturus esset, cum multo melius quam ego, hujusmodi rerum habeatis notitiam. Esset igitur ita etiam nobis contentiones evitare, sensuum, ut ita dicam, convenientia dirimentibus pugnam verborum: nunc autem affirmationem quidem viri sancti ac docti, adeoque multi veluti præconis voce prædicant: tanta illam certitudine veram putabant: negationem vero dixit nemo, sed illam quidem omnes silentio prætereunt, dicunt autem qui videntur et negationi et affirmationi favere. Cur porro tacuerint potest afferri pro causa illorum ingenium, quod cautione indigebat, aut mos in dicendo servatus, quem majorum inter ipsos imitatio perpetua serie ad posteros transmissa induxerat: ex quo factum est, ut non hoc solum, sed multa etiam ex confessis tacuerint, antiquiores quidem, quod ea non haberentur explicite in Scriptura; posteriores vero, quod illorum cautelæ vellent esse imitatores. Licet igitur opinari, has etiam fuisse silentii causas: forte etiam periculi cujuspiam formidine, ad quod lapsuros putabant simpliciores, si veritas palam fuisset significata, a

A ἐναντιότητος τοὺς λόγους εὑρίσκειν, καὶ τί σκοποῦντες ταῦτα προείλοντο· καὶ τυγχάνοντας μὲν, ἔδει δὲ ἀήπου τυγχάνειν, καὶ αὐτοὺς ἡμᾶς πεπαῦσθαι φιλονεικεῖν, ἢ λέγοντας ἑκάτερον καὶ φρονοῦντας μετὰ τῶν ἑκατέρου λόγων, ἢ τὸ μάλιστα συνάπτειν μέλλον ἡμᾶς ἐκ πάντων ἐκλεξαμένους· πολλοῖς γὰρ ἐνεχώρει τρόπους ταῦτα περαίνεσθαι· διαμαρτάνοντας δὲ, ἀλγεῖν μὲν ἄτε τῆς τῶν διδασκάλων διανοίας οὐ δυναμένους στοχάζεσθαι, ἑκάτερον δὲ φρονοῦντας ἑκατέρου ἁπλῶς, λέγοντας δὲ τὰ συνήθη, οὕτω καὶ τοῖς διδασκάλοις καὶ σφίσιν αὐτοῖς διηλλάχθαι. Οὐ μόνον δὲ τοὺς διδασκάλους, ἀλλ' οὐδ' ἡμᾶς αὐτοὺς ἀντιφάσκοντας ἀλλήλοις τῷ λόγῳ, κἀν τῷ Συμβόλῳ τῆς πίστεως τοὺς μὲν κατάφασιν, τοὺς δὲ τὴν ἀπόφασιν ὁμολογοῦντας· ὅπερ

B εἰ γεγονὸς ἔτυχε, χαλεπώτατον ἂν ἔδοξεν εἶναι, καὶ μέγιστ' ἂν τῶν διαφορῶν αὕτη· οὐδ' ὅμως τοίνυν οὕτω διακειμένους δυσχερὲς ἂν ἦν τῇ διανοίᾳ συμβαίνειν, τοῦτο δυναμένης τῆς ὕλης, καὶ τῶν πραγμάτων λίαν ἐπιτρεπόντων. Ἐγὼ γὰρ οἶμαι, καί μοι μηδαμῶς ὀργισθῆτε, οὐ γὰρ χαλεπῶς ἔχω τὰ κοινῇ δόξαντα πᾶσιν ὑμῖν ἰδίας γνώμης ἀλλάττεσθαι, ἀλλὰ συμβουλεύων ταῦτά φημι, καὶ τῆς ἐμῆς πειρώμενος γνώμης, καὶ βουλόμενος εἴπερ ἄλλο τι καὶ ἡμᾶς εἰρηνεύειν, καὶ τοῖς διδασκάλοις πᾶσι περισώζεσθαι τὴν τιμήν· οἶμαι τοίνυν ἐγὼ τὰς ἀντιφάσκειν δοκούσας ταύτας προτάσεις, καὶ ἄμφω καλῶς ἐνδέχεσθαι λέγεσθαι, καὶ μηδετέραν πάλιν καλῶς· ὥστε τοὺς ἑκατέρας προστησαμένους,

C εἰ τὰς συναζευγμένας φυλάττοιντο δυσχερείας, καὶ τὴν ἀλήθειαν δύνασθαι σώζειν, καὶ σφίσιν αὐτοῖς ὁμογνωμονεῖν. Καὶ τούτων ἕτοιμός εἰμι τὰς ἀποδείξεις, ὁπόταν βουληθῆτε, παρέχεσθαι· οὐ γάρ, οἶμαι, τοῖς παροῦσι λόγοις ἡ περὶ ἐκείνων σκέψις ἁρμόττει· ἀγνοεῖτε δὲ οὐδ' ὑμεῖς ἃ λέγειν ἤμελλον πολὺ βέλτιον ἐμοῦ τὰ τοιαῦτα ἐπεσκεμμένοι. Ἦν μὲν ἄν τοίνυν καὶ οὕτω πρόχειρον ἡμῖν τῶν φιλονεικιῶν ἀπαλλάττεσθαι, τῇ τῶν νοημάτων, ὡς εἰπεῖν, συμφωνίᾳ τὴν περὶ τοὺς λόγους ἐναντιότητα λύουσι· νῦν δὲ τὴν μὲν κατάφασιν ἄνδρες ἅγιοι καὶ σοφοὶ καὶ οὕτω πολλοὶ καθάπερ ὑπὸ κήρυκος λέγουσιν· οὕτως αὐτὴν ἁπάσης ἄνευ ἀμφιβολίας ἐφρόνουν· τὴν δ' ἀπόφασιν εἶπεν οὐδείς, ἀλλὰ σιγῶσι μὲν αὐτὴν πάντες, λέγουσι δ' ἃ καὶ ταύτῃ

D καὶ τῇ καταφάσει δοκοῦσι συναγωνίζεσθαι. Καὶ τῆς σιγῆς ἐστι μὲν τὴν ἔξιν αὐτῶν αἰτιάσασθαι χρῄζουσαν εὐλαβείας, ἢ τὸ τῶν λόγων ἔθος, ὅπερ ἡ τῶν ἐν αὐτοῖς πρεσβυτέρων μίμησις ἐπὶ τοὺς ὑστέρους ἀεὶ διαβαίνουσα, κρατεῖν ἐν σφίσι πεποίηκε· δι' ὃ μὴ τοῦτο μόνον, ἀλλὰ καὶ πολλὰ τῶν ὁμολογουμένων σιγῶσιν, οἱ μὲν ἀρχαιότεροι τῷ μὴ διαῤῥήδην ὑπὸ τῆς Γραφῆς σημαίνεσθαι ταῦτα, οἱ δὲ μετ' ἐκείνους ζηλοῦντες εὐλάβειαν. Ἔστι μὲν οὖν καὶ ταῦτα νομίζειν αἴτια τῆς σιγῆς· εἰκὸς δὲ καί τινα κίνδυνον ὑφορωμένους, ᾧ τοὺς ἁπλουστέρους ἐκ τῶν λόγων ᾤοντο περιπεσεῖσθαι, τὴν τῶν ἀληθῶν διδασκαλίαν φυλάξασθαι· τὸ δὲ σιγᾷν ἐναντιουμένους τοῖς λέγουσι, καὶ τῇ δόξῃ συνειδότας τὸ ψεῦδος, οὐδένα λόγον ἔχον ἐδείχθη. Εἰ δέ τις καὶ τὴν ἀπόφασιν

τεθέναι δοκεῖ τῇ περὶ τούτων σιωπῇ, τῇ Γραφῇ καὶ μοίρᾳ τῶν διδασκάλων μᾶ οἷς ὠμίλησε, μᾶλλον ἔοικε μαρτυρεῖν, ἢ καθαρῶς ἀποφάσκειν· καίτοι καὶ φανερῶς ἠρνημένην χαλεπὸν οὐδέν ἐστι τοῖς εἰρηκόσι συνάπτεσθαι, ἢ καὶ πολλοὺς ἄλλους ἐμέλλομεν ἂν συνάπτειν συναραμένους.

docenda rei veritate abstinuerunt. Quod autem silentium indicio sit eos contra sentire aliis rem exprimentibus, et haberi sententiam ab iis pro falsa, jam ostensum est nulla ratione dici posse : et si quis hæc tacendo negationem ponere videtur, Scripturæ potius, et alteri doctorum parti, quorum

lucubrationes legit, dare videtur testimonium, quam perspicue negare : quanquam aperte etiam negatione posita, potest affirmantibus nullo negotio conciliari, ut multi quoque alii, si negationi favissent.

Τούτων οὖν οὕτως ἐχόντων, μάτην κοψόμεθα, τὰ συγκεκλωσμένα διιστῶντές τε καὶ συμφύροντες τοὐναντίον ἢ λέγεται· καὶ διαλύσεις οὕτω προχείρους περιοψόμεθα, ὥσπερ τῷ πολεμεῖν ἀλλήλοις καὶ ταῦτα περὶ τοιούτων φιλοτιμούμενοι· καὶ διαστήσομεν ἀλλήλων τοὺς διδασκάλους, οὓς αὐτὰ συνάπτει καὶ πρὸ τῶν οἰκείων λόγων τὰ πράγματα. Ἀλλ' ὥσπερ οὐκ ἔστι καθαρῶς ἡμᾶς εἰρηνεύειν μὴ τῶν ἀμφισβητουμένων κρίσει λυθέντων, καὶ διορισθέντου ἑνός τινος τοῦ πᾶσιν ἀρέσκοντος· οὕτως οὐδὲ τῆς ἀληθείας ἐπιτυχεῖν ἔστι μὴ τῆς τῶν ἁγίων συμπνοίας ἐπ' αὐτὴν ἡμᾶς ὁδηγούσης. Ὑπὲρ τούτων δὲ ἀμφοτέρων ἡμῖν πᾶσα ἡ σπουδή. Ἐπὶ τί δὲ πρὸς Θεοῦ καὶ τὴν αἰτίαν ἀνοίσετε τοῦ μὴ πάντας τοὺς διδασκάλους στέργειν ἐπίσης, ὁπόταν ὑμῶν ἐπὶ τοῦ κοινοῦ δικαστηρίου πυνθάνωνται; οὐ γὰρ οἶμαι σιγῇ τοιοῦτον ἀδίκημα παρελθεῖν ἂν τοὺς ἠμελημένους· μᾶλλον δὲ οὐδὲν ἧττον ἐκείνων ὑπὲρ ἐκείνων καὶ οἱ τιμᾶσθαι δοκοῦντες ἀγανακτήσουσι. Τὸ τῶν σιγησάντων ἀξίωμα προβαλεῖσθε; Καὶ μὴν αὐτῶν ἁγιότητι μὲν οὐδὲν ἐλάττους εἰσὶ, σοφίᾳ δὲ καὶ πολὺ προέχουσιν ἔνιοι τῶν εἰπόντων. Ἀλλὰ τὸ πλῆθος ἐρεῖτε; Καὶ μὴν καὶ τούτῳ νικῶσιν. Εἰ δὲ τὰς παρὰ τῶν συνόδων τιμὰς, παρὰ σφίσι δείξουσιν οὖσαν τὴν ὑπεροχήν. Ἀλλὰ τῷ δεινὸν οἴεσθαι δόξαν μὴ παρὰ πάντων ὁμοῦ κρατυνομένην προσδέχεσθαι. Ἀλλ' οὐδὲ τοῦτ' εὔλογον· ἀντιλέγοντος γὰρ οὐδενὸς οὕτως φανερῶς, ἱκανόν ἐστιν αὐτὴν ἀπὸ δυοῖν μαρτυρεῖσθαι· αὕτη δὲ τοσούτων συνηγόρων ηὐπόρηκεν. Ἢ καὶ τὸ περὶ τὸν Λάζαρον θαῦμα, καὶ τὴν τῆς Σαμαρείτιδος συντυχίαν παραδραμούμεθα, ὅτι μὴ πάντας ἔσχε συμφωνοῦντας ὁ ταῦτα λέγων τοὺς εὐαγγελιστάς. Εἶτα καὶ τοὺς ἐν τοῖς δικαστηρίοις ἀγῶνας ἄλλον τινὰ διατίθεσθε τρόπον, οἱ ἄνθρωποι πρὸς ἡμᾶς ἐροῦσι, καὶ πάνυ δικαίως· οὔτε γὰρ σιωπὴν προὐτιμήσατέ ποτε λόγου πρὸς μαρτυρίαν· μᾶλλον δὲ καὶ ταύτῃ λόγῳ συναπτομένῃ λόγου χρείαν ἐνέμετε· καὶ τρεῖς λαμβάνοντες μάρτυρας τῶν ζητουμένων, ἀξίους ὄντας πιστεύεσθαι, οὔθ' ἑαυτοῖς λοιπὸν οὔτε τοῖς παράγουσιν ἠνωχλεῖτε, πάντας ἀνθρώπους ζητοῦντες μάρτυρας ἥκειν. Οἶμαι τὰ τῶν ἄλλων διδασκάλων ἀξιώματα προβαλεῖσθε, ἐξ ὧν ὑπεναντίον τι τῇ τῶν εἰπόντων καταφάσει συνάγεται· ἀλλ' οὐδὲ τοῦτ' ἐροῦσι δίκαιον οὐδὲ νόμιμον εἶναι, τὰ διαῤῥήδην λεγόμενα παριδόντας τοῖς ἀμφιβόλοις προστίθεσθαι· τοὐναντίον γὰρ μᾶλλον, ἐκ τῶν φανερωτάτων καὶ ταῦτα κρίνεσθαι δεῖ. Ἃ γὰρ λέγετε κατὰ τῶν ἡμετέρων ἀδελφῶν ἀξιώματα, οὐ τὸν ἴσον τρόπον πάντες ἐνόουν· ἀλλ' οἱ μὲν ὡς τὴν ἀπόφασιν συμπεραίνοντα, οἱ δ' ὡς τῇ

Cum igitur hæc ita se habeant, frustra querimonias iterabimus, quæ consuta sunt dissuentes confundentesque, contra quam adagio dicitur; et conciliationem adeo facilem negligemus, perinde ac si mutuis bellis, idque de rebus hujusmodi, honoris causa oblectemur : et doctores a communi concordia disjungemus, quos ante sua etiam ipsorum dicta res ipsæ conjungunt : sed quemadmodum fieri non potest ut vera pax conficiatur ni prius per judicium controversiæ tollantur, et unum quid definiatur quod omnibus placeat : ita nec veritatem assequi possumus, ni sanctorum consensus ad eam nos ducat : omne porro nostrum studium in his duobus versatur. Quid vero per Deum, obsecro, causæ afferetis, cur non æque doctores omnes admittatis, cum id a vobis quærent in communi judicio? Neque enim puto contemptos tantam injuriam silentio præterituros : imo vero non minus quam illi, pro illis graviter hoc ipsum laturos eos etiam, qui videntur honorari. Auctoritatem obtendetis eorum qui tacuerunt? At certe alii sanctitate quidem non sunt inferiores; quidam vero etiam eruditione sunt longe superiores. Producetis multitudinem, ait? at illi hac etiam in parte vincunt. Si honores a conciliis delatos; ostendent illi plane majorem pro se honorum cumulum. Dicetis, durum videri vobis sententiam recipere, quæ non sit omnibus probata. Verum id etiam non est rationi consentaneum : nam cum apertis verbis nemo contradicat, satis est duobus illam testibus fulciri, cum tamen illi tanta adsit copia patronorum. Alioquin prætereamus etiam miraculum de Lazaro, colloquiumque cum Samaritana habitum, quod qui hæc narrat non omnes habeat attestantes evangelistas. Deinde objicient nobis alii homines, et jure quidem optimo : cur litibus apud tribunalia alium quemdam præscripsistis modum? in illis enim silentium ad dandum testimonium nunquam sermoni prætulistis; quin imo silentio, si conjunctum cum sermone sit, usum sermonis tribuistis; tribusque adhibitis idoneis testibus de rebus quæ sunt in controversia, nec vobis ipsis amplius, nec iilis a quibus producti sunt negotium exhibuistis, quærentes vobis omnes homines proferri testes, Fortasse aliorum doctorum objicietis axiomata, e quibus contrarium quiddam colligitur eorum affirmationi, qui de hoc dogmate locuti sunt. Sed respondebunt hoc etiam nec justum nec legibus esse consonum, ut manifestis posthabitis ambigua sequenda sint : contra enim, ex manifestissimis

hæc etiam sunt judicanda. Nam quæ vocatis contraria nostrorum fratrum axiomata, non uno modo ab omnibus intellecta sunt, a quibusdam enim sic accepta sunt, quasi negationem concludentia : quidam vero illa, ut affirmationi prorsus faventia intellexerunt; neque id solum, sed multis quoque aliis doctorum auctoritatibus usi sunt vestræ negationis defensores. Quare quod ad hæc pronuntiata attinet, non magis aliorum silentio standum est, quam nostris dictis. Neque vero confugietis ad ignorantiam, qui hæc omnia probe scitis, et multos alios habetis suis obtestationibus ea vobis proponentes; nihil enim est, quod impedimento esse possit, nisi una voluntas. Quod si aliorum quoque sanctorum proferantur querelæ, quas missas facere minime volumus, quod fratres quidem juste conquerantur, nos vero propalam haud æqua lance etamur, seque dicant honoris prætextu simul cum illis affectos esse injuria, simulque explosos, si prodeuntes in medium hæc illi objiciant : neque enim ibi quoque contrariis, opinor, sequentur partes, et sententias de nobis pronuntiabunt oppositas : quid nobis, quæso, refugii supererit? Et quod majus est, reposcenti a nobis domino pacem, et veritatis cognitionem; quarum illa quidem servanda erat a nobis veluti hæreditas quædam : hæc vero ex hac vita asportanda, quod per unam illam sit nobis salus : quid plane respondentes non videamur insuper et petulantes esse, ac digni de quibus graviores pœnæ sumantur? Nam neque Scripturarum obscuritatem afferemus, cujus adeo multos constituit nobis interpretes : neque doctores advocabimus patronos, jam olim certe damnati ab illis. Quod si etiam affuerint, hi quidem rursus tacentes, illi vero aperte contraria testimonio suo dicentes, non permittent judici, ut diu de ferenda sententia cogitet. Sed neque audebimus dicere, melius a nobis quam ab illis omnibus intelligi Scripturas : neque illud enixe affirmabimus, pacem optasse quidem, sed assequi non potuisse : qua enim fronte hoc dicamus, qui doctores etiam inter se committere voluerimus, quorum concordia debebat e medio tollere nostra scandala? Satius plane erit tacere, cum nulla nobis futura sit excusatio : satisque erit judici confessionis loco nostrum silentium. Ita nobis, si doctores Ecclesiæ distrahamus in contrarias sententias, aut dissidentibus, aut non bona pace convenientibus, facit, ut nulla ex parte possimus accusationem evitare; si vero illos in concordiam reducamus, ut jam antea dictum est, ad omnem hoc satis est fortunam. Nam licet ita etiam non fiamus compotes veritatis, multa tamen erunt, ob quæ jure veniam mereamur : et reverentia, quam adversus doctores adhibebimus, cum multorum secum afferat examen bonorum, illud etiam præstabit, ut nullam futuro judici debeamus reddere rationem. Verum fieri non potest, ut pace inter doctores confirmata nos a veritate aberr mus; sicut æque illos hallucinatos esse impossibile est, cum ducem habuerint Spiritum.

Est igitur hac via utendum, quæ vera atque expedita est, nec non usquequaque tutissima. Si vero sit alius modus eo, quem dixi, præstantior,

A καταφάσει συνηγοροῦντα πάντως; ἐδέχοντο· οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ πολλοί; ἄλλοις ἐκ τῶν διδασκάλων οἱ τῆς ὑμετέρας προϊστάμενοι ἀποφάσεως ἐχρῶντο ῥητοῖς· ὅθεν ἔκ γε τῶν τοιούτων οὐ μᾶλλον τῇ σιωπῇ τῶν ἄλλων ἢ τοῖς ἡμετέροις λόγοις τίθεσθαι χρή. Καὶ μὴν οὔτ' ἐπὶ τὴν ἄγνοιαν καταφεύξεσθε, αὐτοί τε ταῦτα πάντα εἰδότες, καὶ πολλῶν ἄλλων ὑμῖν διαμαρτυρομένων, καὶ τοῦ μὴ βούλεσθαι μόνον εἴργειν ἔχοντος. Εἰ δὲ καὶ παρὰ τῶν ἄλλων ἁγίων προτεθεῖεν ὀνείδη, οἷς προσέχειν δῆθεν βουλόμεθα, καὶ δίκαια μὲν αἰτιᾶσθαι τοὺς ἀδελφούς, ἡμᾶς δὲ φανερῶς ἀδικεῖν, αὐτοὶ δ' ἐν τιμῆς προσχήματι συνηδικῆσθαι καὶ συνεκβεβλῆσθαι φήσειαν παρελθόντες· οὐ γάρ, οἶμαι, στασιάσουσι πρὸς ἀλλήλους, καὶ τἀναντία περὶ ἡμῶν ψηφιοῦνται· τίς

B ἡμῖν λοιπὸν ἔσται καταφυγή; τὸ δὲ μεῖζον, ἀπαιτοῦντι τῷ δεσπότῃ παρ' ἡμῶν τὴν εἰρήνην καὶ τὴν γνῶσιν τῆς ἀληθείας, ὧν τὴν μὲν καθάπερ τινὰ κλῆρον ἔδει διαφυλάττειν, τὴν δὲ φέρειν ἐχρῆν ἀπὸ τῆς ἐνταῦθα ζωῆς, ὡς δι' ἐκείνης μόνης σωθησομένους, τί τῶν ἀπάντων εἰπόντες οὐχὶ καὶ προσαναισχυντεῖν δόξαιμεν ἂν καὶ χείρους δίκας ὀφείλειν; οὔτε γὰρ τὴν τῶν Γραφῶν ἐροῦμεν ἀσάφειαν ἧς τοσούτους ἡμῖν ἐκάθισεν ἑρμηνεῖς, οὔτε τοὺς διδασκάλους συνηγόρους καλέσομεν, προκατεγνωκότας

C πάντως ἡμῶν. Εἰ δὲ καὶ μέλλοιεν παρεῖναι, οἱ μὲν αὐτῶν καὶ πάλιν σιγῶντες, οἱ δὲ τἀναντία μαρτυροῦντες περιφανῶς, οὐδὲ διατρίβειν ἐάσουσι περὶ τὰς ψήφους τὸν δικαστήν. Ἀλλ' οὐδ' ἄμεινον ἐκείνων ἁπάντων τὰ τῶν Γραφῶν αὐτοὶ νοεῖν τολμήσομεν λέγειν· οὔτε τῆς εἰρήνης ἐπιθυμῆσαι μὲν, οὐ τυχεῖν δὲ διεσχυριούμεθα· πῶς γὰρ οἱ καὶ τοὺς διδασκάλους ἀλλήλοις ἐκπολεμοῦν βουληθέντες, ὧν τὴν ὁμόνοιαν τῶν ἐν ἡμῖν σκανδάλων ἔδει γίνεσθαι λύσιν; Ἥπου σιγᾷν μὲν ἄμεινον ἔσται μηδὲν ἔχουσιν εἰς ἀπολογίαν προβάλλεσθαι· ἀντὶ δὲ τῆς τῶν ἐγκλημάτων ὁμολογίας τὰ τῆς σιωπῆς ἀποχρήσει

D τῷ δικαστῇ. Οὕτως ἡμῖν διαιρεῖν τοὺς διδασκάλους τῆς Ἐκκλησίας ταῖς γνώμαις, ἢ μαχομένοις ἀλλήλοις, ἢ κακῶς εἰρηνεύουσιν ἀπαραίτητον ἔχει πανταχόθεν τὴν μέμψιν· τὸ δὲ συνάπτειν ἐκείνους, ὡς καὶ πρότερον εἴρηται, πρὸς πᾶσαν τύχην ἀρκεῖ. Εἰ γὰρ μὴ καὶ τὰ τῆς ἀληθείας ἡμῖν; οὕτωσὶ περιγένοιτο, πολλὰ τὰ τὴν συγγνώμην πράξοντα δικαίως προσέσται· καὶ τῇ πρὸς τοὺς αἰδοῖ πολλῶν ἀγαθῶν ἑσμὸν συνεπαγομένῃ τὰς ἐκεῖθεν εὐθύνας ἐξωνησόμεθα. Ἀλλ' οὐκ ἔστι τῶν ἐνδεχομένων τῆς ἀληθείας διαμαρτεῖν, ἡμᾶς ὑπὸ τῇ τῶν διδασκάλων εἰρήνῃ, οὐ μᾶλλον ἢ κἀκείνους τοῦτο παθεῖν ὑπὸ τῇ τοῦ Πνεύματος ὁδηγίᾳ.

Ταύτην τοίνυν ἑλέσθαι δεῖ τὴν ἀληθῆ τε οὖσαν καὶ πρόχειρον, καὶ πρὸς τούτοις γέμουσαν ἀσφαλείας. Εἰ δ' ἔστιν ἄλλον τινὰ συνάψαι τρόπον τοῦ

διδασκάλους τοῦ νῦν ὑπομνησθέντος ἀμείνω, τοῦτ' εὐχῆς ἔργον ἐμοί· οὐδὲ γὰρ ἂν αὐτὸς φαίην, τοῦτον μόνον ἁπάντων ἄριστον εἶναι· ἀλλὰ τὸ μὲν συνάπτειν αὐτοὺς καὶ συμβαίνοντας διὰ πάντων δεικνύναι, τοῦτ' ἀναγκαῖον εἶναί φημι, καὶ τοῦτον δεῖ ὑπερβεβλῆσθαι τῆς ἡμετέρας ὁμονοίας ὥσπερ θεμέλιον, ὡς τούτου χωρὶς μήτε καλῶς μήθ' ὅλως ἱδρυσομένης· ᾧ δ' ἂν ταῦτα γένοιτο τρόπῳ, ὑμέτερόν ἐστιν ἀνευρίσκειν. Καὶ ἃ γὰρ τῶν εἰρημένων εἰς τοῦτο τείνειν δοκεῖ, οὐ μᾶλλον εἰσηγουμένου τὸν τρόπον ἦν ἢ προτιθέντος ὑμῖν εἰκόνα καὶ τύπον τῆς τῶν διδασκάλων συμβάσεως. Εἰ δὲ καὶ γνώμη τις ἦν ἐμὴ καθαρῶς ἐκεῖνα, καὶ τοῦτον ἡγούμην τὸν τρόπον εἶναι λυσιτελέστερον, οὐδὲν θαυμαστόν. Ἐξέστω γὰρ ἐμοί τε καὶ τῶν ἄλλων ἑκάστῳ φρονεῖν ὁτιδήποτε περὶ τούτων, ἕως ἂν ὑμεῖς ἕλησθε τὰ βελτίω, καὶ ἅπερ ἀναμφιβόλως μέλλει κρατεῖν. Οὐ τοῖς ἁγίοις δὲ μόνοις ἀλλὰ καὶ τοῖς τῆς Γραφῆς ἀξιώμασιν, ὅπερ ἔφθην εἰπών, τὴν ἕνωσιν ταύτην ἀποδίδοσθαι δεῖ· καὶ πολλῷ μᾶλλον, ὁπόταν ἡμῖν κἀκείνων πρὸς τὰ παρόντα γένηται χρεία. Ἐγὼ γὰρ εἶπον ἂν ὡς ἐλάχιστα δεῖσθαι τῶν τῆς Γραφῆς, ἀρκουμένους τῇ δόξῃ τῶν διδασκάλων, οἳ καλῶς ἐκείνην ἐξήτασαν, καὶ ἃν ἔλεγον ἐκεῖθεν ἔσχον τὰς ἀφορμάς· καὶ εἴ τις αὐτοὺς ἀπήτει τῶν λόγων τὰς ἀποδείξεις, εὐθὺς ἐπὶ τὴν Γραφὴν κατέφυγον ἄν· καὶ μηδενὸς αὐτοὺς ἀπαιτοῦντος, πολλοὶ καὶ πολλάκις φαίνονται πράττοντες. Εἰ δὲ δεῖ ποτε κἀκείνῃ χρήσασθαι, οὐ πρὸς τὸ συμπέρασμα βλέποντας μᾶλλον ἢ πρὸς τὸ συνάπτειν τοὺς διδασκάλους τοῦτο ποιεῖν· τέως δὲ καὶ τῇ Γραφῇ τὴν ἀπὸ τῆς συμφωνίας ἀποδοῦναι τιμήν, ἧς ἄνευ οὔτε τιμῶσιν οὔτε χρωμένοις ἄλλως συνοίσει. Καὶ ὅλως ἐξ ὧν εἰρηνεύειν μέλλομεν μόνον ἄλλως ἀπὸ φιλονεικίας ἁρμοττούσης ἀνθρώποις, που τῶν ἀμφισβητήσεων οὐκ ἂν ἐξοκείλαντες τούτων, ὡς ποῤῥωτάτω τὴν τῆς ἀντιλογίας δόξαν ἀπάγειν, καὶ ταῦτα πρῶτον τίθεσθαι συμφωνεῖν· καὶ τοῦτο πράττειν μετὰ σοφίας καὶ τοῦ γινομένου παντὸς, μὴ καὶ λάθωμεν ἀντὶ τοῦ συνάπτειν ἀλλήλοις τὰ τῆς Γραφῆς καὶ τῶν διδασκάλων, διιστάντες αὐτά τε τῆς ἀληθείας κοινῆ, καὶ ἡμᾶς ἐκείνοις συναφιστάντες.

Ταῦτ', ὦ Πατέρες σεβάσμιοι, πρὸς τὴν ζητουμένην εἰρήνην ἀντὶ πάντων ὑμῖν ἀρκέσειν ἡγοῦμαι· εἰ δὲ καὶ ἄλλα πολλὰ πρὸς τούτοις ἐστὶ τῶν χρησίμων ἐνθυμηθῆναι, ἀλλὰ ταῦτα καθάπερ τις ἀρχὴ καὶ κεφάλαιον ἐκείνοις εἶναι δοκεῖ. Κἀντεῦθεν μὲν ἀρξαμένους ὑμᾶς εἰκός ἐστι καὶ δεομένους ἀλλήλων [*f.* ἄλλων] ταῦτα προσθήσειν, καὶ τὸ ζητούμενον κατεργάζεσθαι· τούτων δ' ἄνευ οὐδὲν ἂν τῶν ἀμεινόνων συμβαίη. Διὸ δὴ περὶ τούτων μόνον ὑμᾶς ὑπομνήσας, ὥστε καὶ τὰς ὑποσχέσεις ἐκτίσαι καὶ τὴν ὑπὲρ τοῦ καλοῦ προθυμίαν ἐνδείξασθαι, καὶ λίαν ἀρκούντως ἔχειν ἡγοῦμαι· τοῦτο μόνον ὑμῶν πρὸς τοῖς εἰρημένοις δεόμενος, εἰ Θεὸς ἵλεως ἐπιβλέψας ἡμῖν, τὴν ἀλήθειαν τῆς Γραφῆς καὶ τῶν διδασκάλων συνιδεῖν ἕνωσιν δοίη, ἣ καὶ ἡμῶν εὐθὺς καὶ πάσης τῆς Ἐκκλησίας ἕνωσις ἔσται, ἵνα καὶ τῷ Συμβόλῳ ταύτην τῆς πίστεως ὁποία ποτ' ἂν εἴη φανερὰν ποιεῖν ἀξιώ-

A quo possint doctores conciliari, id mihi erit summopere exoptandum: neque enim ego affirmaverim hunc unum esse omnium optimum, sed aio necessarium quidem esse conjungere, et probare illos in omnibus esse concordes, et jaciendum esse hoc veluti fundamentum nostræ unionis: nam sine hoc nec bene, sed nec omnino quidem illa stabilietur: qua vero hæc ratione fiant, adinvenire vestrum est. Etenim quæ spectare huc videntur ex iis quæ dixi, non ita dicta sunt a me, quasi modum ipse docerem: sed ut potius effigiem adumbrationemque proponerem conciliationis doctorum. Si vero etiam hæc eadem ex animo ipse sentirem, existimaremque hunc esse modum utiliorem, quid mirum? Et mihi et aliis quibuscunque liceat de proposita materia B quidvis sentire, donec a vobis eligantur potiora, et quæ indubitanter credenda sint. Non solum vero sanctis, sed ipsis etiam Scripturæ dictis, reddenda est hæc concordia: et eo magis, cum et illa nobis opus fuerint ad præsens negotium. Ego enim dixerim minimum nos indigere Scripturæ axiomatis, cum sit nobis satis doctorum sententia, qui bene illam expenderunt, et dicta sua inde sumpserunt: ut si quis ex iis quæsisset, ut dictorum suorum probationes exponerent, statim illi sane ad Scripturam confugissent, quod etiam exigente nemine videntur multi frequenter præstare. Si quando vero etiam uti Scriptura oportebit, faciendum hoc erit non tam spectando conclusionem, quam doctorum convenientiam: honorando interim Scripturam per C expositionem suæ concordiæ: nam si honor iste illi non tribuatur, nihil aut venerantibus, aut citantibus proderit: et omnino ea tantum, per quæ pax erit, adhibendo (ita enim nequaquam per contentiones, ex his controversiis, ut assolet inter homines, ad alias devolvemur) opinio de pugna locorum propellenda est quam longissime, primumque pro certo ponendum, dicta inter se concordare: et agendum hoc cum scientia et accurata diligentia, ne loco concordiæ dictorum Scripturæ atque doctorum, inconsiderate tum illa distrahamus a veritate universim, tum nos ipsos etiam pariter divellamus.

Hæc, venerandi Patres, instar omnium satis fore vobis puto ad pacem propositam: nam etsi præter hæc, multa quoque alia quæ in rem faciant, venire D possunt in mentem, at certe ista videntur esse velut origo quædam et caput illorum. Et hinc quidem vobis exordientibus par est et alia, si usus fuerit, additum iri, et agitatam quæstionem ad finem perduci: sine istis autem evenire nihil bene poterit. Idcirco si tantum hæc vestram in memoriam redegero, ut et promissa solvam, et ingens honesti desiderium patefaciam, satis superque mihi jam dixisse videor. (Addo tamen unum hoc, obsecroque, ut si Deus nos respexerit propitius, concesseritque veram Scripturæ doctorumque consensionis notitiam, quæ nostra continuo totiusque Ecclesiæ unio fuerit, velitis eam, quæcunque illa fuerit, in fidei symbolo palam exprimere, ut possitis et verbis exterio-

ribus congruere, et esse qualibet ex parte conjuncti. Sin minus, optandum certe erit ut sensu conveniatis: hoc enim etsi non exactam fidei confessionem, continebit tamen mutuam inter doctores convenientiam, rectumque in nobis fidei sensum. Quod si etiam aliud quidpiam Symbolo addatis, quod a sanctis omnibus communiter prolatum affirmationi quidem faveat, negationem vero non inducat; illud autem hi quidem sancti videantur usurpasse pro iis quæ tacuere : illi vero, quod perinde valeat atque ea quæ expressere : modus sane hic erit unionis tertio loco numerandus : quare, neque a doctorum consensu, neque a nostris de eo sermonibus erit et ille alienus. Itaque finis idem nobis quavis ratione constet, Scripturæ scilicet ac doctorum consensio.)

Sed quia jam tacendum mihi censeo, vereor enim, ne sermonum meorum prolixitas tædio vos afficiat, volo consilii quod a me datum est, enumerare capita, et revocare vos ad eorum memoriam. Dedi consilium, ut apparentem illam præsenti rerum statui profuturam unitatem, quam aliqui habent in animo, ne cogitatione quidem vestris mentibus concipiatis. sed unionem veram et sententiarum conjunctionem peragatis, quam in eo dixi consistere, si de rebus controversis idem omnes senseritis, et hoc in fidei quoque Symbolo expresseritis, sive addendo, sive aliquid demendo, utrumvis divina gratia dictaverit. Ad hæc ostendi, difficultates quibus turbati nonnulli pacem hanc erant desperaturi, esse penitus infirmas, et quidvis aliud posse magis, quam esse vobis jure impedimento. Deinde per quæ pax confici debeat, non insistens, sed plurima percurrens, breviter apposui, quæ, ut uno verbo dicam, nihil aliud sunt, quam sacrarum Scripturarum et Ecclesiæ doctorum convenientia. Ad hæc omnia sum vos adhortatus, si non cum debita reverentia, at certe tanta, quanta potest in hujusmodi sermonibus adhiberi. Hæc quidem ego : in quibus, si bene dicta sunt, fortunæ magis agnosco beneficium, quam scientiæ aut eloquentiæ nervos : si vero male, illud video, multam illa veniam mereri, quod boni honestique causa libenter hunc laborem subierim. Reliquum est, ut vos jam segniter non agatis, sed vel hæc ipsa, si quid ego dicere videor, præstetis ; vel certe meliora quæratis, Deo vobis ad utrumque duce proposito.

σητε, ἵνα καὶ τοῖς ἔξω λόγοις δύνησθε συμφωνεῖν καὶ διὰ πάντων ἡνῶσθαι · εἰ δ' οὖν, εὐχῆς ἔργον ἂν εἴη τῇ γε γνώμῃ συνάπτεσθαι · τοῦτο γὰρ εἰ καὶ μὴ τῆς πίστεως τὴν ἀκρίβειαν, τὴν γοῦν πρὸς ἀλλήλους τῶν διδασκάλων εἰρήνην καὶ τὰ τάληθῆ φρονεῖν ἡμᾶς περιέξει. Εἰ δὲ καὶ ἄλλο τι τῷ συμβόλῳ προσθήσετε, ὃ τοῖς ὁγίοις ἅπασι κοινῶς ἀξιούμενον, τῇ μὲν καταφάσει συναγωνίζεται, τὴν δ' ἀπόφασιν οὐκ εἰσάγει, καὶ τοῖς μὲν τῶν ἁγίων ἀνθ' ὧν ἐσίγησαν ἦν, οἱ δ' ὡς τὴν ἴσην οἷς εἶπον ἔχοντι δύναμιν φαίνονται χρώμενοι, ἑνώσεως μὲν τοῦτο σχῆμα λοιπὸν κατὰ τρίτον, ὡς ἂν εἶποι τις, πλοῦν · οὐκοῦν οὐδὲ τοῦτο τῆς τῶν διδασκάλων συμφωνίας καὶ τῶν ἡμετέρων περὶ ταύτης λόγων ἀπήλλακται. Ὥστε πανταχόθεν ἡμῖν ταυτὸ περιείη τῆς τε Γραφῆς καὶ τῶν διδασκάλων ἡ συμφωνία.

Ἀλλ' ἐπεὶ καὶ δὴ σιγᾷν ἔγνωκα μὴ τῷ μήκει τῶν λόγων ἀηδὴς ὑμῖν γένωμαι δεδιὼς, τὰ τῆς ἐμῆς κεφάλαια συμβουλῆς ἐξαριθμήσασθαι, καὶ τούτων ὑμᾶς ἀναμνῆσαι βούλομαι. Ἣν μὲν ἔνιοι σκοποῦσιν οἰκονομίαν, ταύτην μηδ' ἐπὶ νοῦν λαβεῖν συνεβούλευσα, ἕνωσιν δ' ἀληθῆ καὶ δοξῶν κοινωνίαν πράττειν εἰρηκα δεῖν, ἣν τὸ μίαν περὶ τῶν ἀμφισβητουμένων γνώμην λαβεῖν εἶπον εἶναι · ταύτην δὲ κἂν τῷ συμβόλῳ τῆς πίστεως ὁμολογεῖν ἢ προστιθέντας ἢ ἀφαιροῦντας, ὁπότερον ἂν ἡ τοῦ Θεοῦ χάρις ὑπαγορεύσειεν. Ἐπὶ δὲ τούτοις, ὑφ' ὧν ἔνιοι ταραττόμενοι τὴν εἰρήνην ταύτην ἔμελλον ἀπελπίζειν, ἀσθενῆ παντάπασιν ἔδειξα, καὶ πάντα μᾶλλον ἢ κωλύειν ὑμᾶς εὐλόγως δυνάμενα. Εἶτα καὶ τὰ ποιήσοντα ταύτην οὐκ ἐπιμένων, ἀλλ' οὐτωσὶ παριὼν τὰ πλεῖστα προσέθηκα · ἅπερ ἡ τῶν θείων Γραφῶν καὶ τῶν διδασκάλων τῆς Ἐκκλησίας ἕνωσις ἦν τὸ σύμπαν εἰπεῖν. Ἐφ' ἃ δὴ πάντα μετ' εὐλαβείας ὑμᾶς παρακέκληκα, εἰ καὶ μὴ τῆς ὀφειλομένης, ἀλλ' οὖν τῆς γε δυνατῆς ἐν τοῖς τοιούτοις τῶν λόγων. Ταῦτα μὲν ἐγὼ, τῷ μὲν κατορθοῦν τύχην ἀγαθὴν μᾶλλον ἢ δεινότητα καὶ σοφίαν, τῷ δὲ διαμαρτεῖν πολλὴν ἔχοντα συγγνώμην ἕνεκά γε τοῦ προθυμήσασθαί τι καὶ παθεῖν ὑπὲρ τοῦ καλοῦ · ὑμῶν δ' εἴη λοιπὸν οὐ μέλλειν, ἀλλ' ἢ ταῦτα πράττειν, ἂν δοκῶμέν τι λέγειν, ἢ βελτίω ζητεῖν, ἑκατέρου Θεὸν ἡγεμόνα λαβόντας.

GEORGII SCHOLARII

PRECATIO

AD DOMINUM NOSTRUM JESUM CHRISTUM

Matutina, Meridiana, et Vespertina.

(Editore et interprete Aldo Manutio, Romæ 1501, 4°, cum Prudentii et aliorum carminibus.)

Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ, Θεὲ ἀληθινὲ, βασιλεῦ ὕψιστε, ὑπεράγιε, ὑπεράγαθε, εὔσπλαγχνε, Λόγε ἀΐδιε τοῦ ἀνάρχου Θεοῦ καὶ Πατρὸς, δημιουργὲ πάσης τῆς κτίσεως, τῆς δὲ ἀνθρωπίνης καὶ ἀνακαινιστὰ δι' ἄκραν φιλανθρωπίαν, ὑπὲρ ἧς ἡμῖν σαρκὸς καὶ αἵματος ἐκοινώνησας, καὶ τὴν ἀπόῤῥητον ἐκείνην καὶ ὑπερφυᾶ μετῆλθες οἰκονομίαν ἀχράντως, εἰ τὰς ἁγίας καὶ ὑπερουρανίους δυνάμεις οὐδέποτε ἔλαθεν, οὔτε λήψεται κόρος, ἀλλὰ ἀκαταπαύστοις φωναῖς νοεραῖς ἀνυμνοῦσι τὸ μεγαλεῖον, καὶ τὴν λαμπρότητα τῆς Θεότητός σου, διατί ἡμεῖς οἱ ταπεινοὶ καὶ γήϊνοι δοῦλοί σου, οἱ ὠνητοὶ τοῦ τιμίου σου αἵματος, κορεσθησόμεθα τοῦ ὑμνεῖν διανοίᾳ καὶ στόματι; Καὶ εἰ ἡ φιλανθρωπία σου καὶ ἡ χάρις σου ἀκορέστως ἐνεργεῖ ἐν ἡμῖν, ἀπὸ πρωΐας ἐπὶ ἑσπέραν, καὶ ἀπὸ ἑσπέρας ἐφ' ἑτέραν πρωΐαν, διατί ἡμεῖς οὐκ ἐν διαστήμασιν ὡρισμένοις εὐχαριστήσομέν σοι τῷ εὐεργέτῃ ἡμῶν; Ἀλλὰ σύγγνωθι ἡμῖν, Χριστὲ εὐδιάκριτε, ὅτι ἡ ἀκολουθία τῆς προσκαίρου ταύτης ζωῆς καὶ αἱ ἀνάγκαι τῆς φύσεως καὶ ἡ τάξις αὐτὴ, εἰς ἣν ἡμᾶς ταχθῆναι ἠθέλησας, μερίζουσιν καὶ οὐκ ἐῶσιν ἀναπολεῖν σε ἀδιαλείπτως κατὰ τὸν νοῦν, καὶ διὰ τῆς γλώττης ἀσιγήτως ὑμνεῖν. Καὶ διὰ τοῦτο ὡς ἀπαρχήν τινα τῶν ἡμερησίων νοημάτων καὶ ῥημάτων ἡμῶν τὴν πρωϊνὴν καὶ μεσημβρινὴν καὶ ἑσπερινὴν προσάγομέν σοι λατρείαν.

Προσκυνῶ σε τοίνυν, τὸν ἐμὸν δημιουργὸν καὶ Πατέρα σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ ζωοποιῷ καὶ παναγίῳ σου Πνεύματι. Κλίνω γόνυ καρδίας καὶ σώματος μετὰ φρίκης καὶ τρόμου σοὶ τῷ παντοδυνάμῳ καὶ φοβερῷ καὶ ὑπεραγάθῳ Δεσπότῃ μου· εὐχαριστῶ ὑπὲρ πάντων, ὧν ἐποίησας καὶ ποιεῖς εἰς ἐμέ. Τῇ χειρί σού με ἔπλασας, τῷ ἐμφυσήματί σου ἐζώωσας, τῇ προνοίᾳ σου ἐξέθρεψας, τῇ χειρί σου τὴν ἀληθῆ πίστιν ἐγνώρισας, τοῖς μυστηρίοις τῆς ἱερᾶς σου Ἐκκλησίας ἐπαιδαγώγησας. Ἐκόσμησάς με καὶ τοῖς προσκαίροις τούτοις καλοῖς τῆς ἀνθρωπίνης εὐημερίας· κινδύνων ἀπήλλαξας, νόσων ἐξήγειρας· πρὸς τὸ συμφέρον ἀοράτως ὡδήγησας· κυβερνᾷς καὶ περιθάλπεις, ὡς νοσσίον σου, ὡς ποίημα τῆς ἀγάπης σου.

Ἀλλὰ τί καὶ τολμῶ διηγεῖσθαι τὰς εὐεργεσίας σου; πέλαγός εἰσιν ἀνεξάντλητον, βυθὸς ἐκτάληπτος, ὕψος ἀόρατον. Οὐ φθάνω εὐχαριστῆσαι διὰ τὰ προγεγενημένα καὶ καταλαμβάνει με ὁρμαθὸς εὐεργεσιῶν καινοτέρων. Καὶ αὐτὸ δὲ τὸ δύνασθαί

A Here Domine Jesu Christe, Deus vere, rex excelse, valde sancte, valde bone, misericors, Verbum æternum inoriginis Dei et Patris, artifex omnis creaturæ, humanæ etiam renovator ob summam humanitatem, per quam nobiscum carnis et sanguinis participasti, et indicibilem illam et supernaturalem inisti dispensationem immaculate. Si sanctas et supercœlestes potestates nunquam cepit nec capiet satietas, sed incessabilibus vocibus intelligibilibus laudant magnificentiam et splendorem divinitatis tuæ, cur nos humiles et terrestres servi tui, emti pretioso tuo sanguine, saturabimur laudando te mente et ore? Et si humanitas tua et gratia tua insatiabiliter agit in nobis a mane ad vesperam, et a vespera ad alterum mane, cur B nos non in spatiis determinatis gratias agimus tibi benefactori nostro? Sed parce nobis, Christe, bone judex, quoniam sequela temporalis hujus vitæ, et necessitates naturæ, et ordo hic, in quem nos constitutos esse voluisti, dividunt, et non sinunt animadvertere te indesinenter, et lingua intacite laudare. Et propter hoc tanquam primitias quasdam diurnarum cogitationum et verborum nostrorum, matutinum et meridianum et vespertinum adducimus tibi cultum.

Adoro igitur te, meum conditorem et patrem una cum inorigine tuo Patre et vitæfico et sanctissimo tuo Spiritu. Inclino genu cordis et C corporis cum horrore et tremore tibi omnipotenti et tremendo et sanctissimo Domino meo; gratias ago pro omnibus, quæ fecisti et facis in me. Manu tua me formasti, et anhelitu tuo vivificasti, providentia tua educasti, manu tua veram fidem notam fecisti, mysteriis sacræ tuæ Ecclesiæ erudiisti, ornasti me et temporalibus his bonis humanæ felicitatis, a periculis liberasti, a morbis elevasti, ad utile invisibiliter adduxisti: guberuas et foves, ut pullum tuum, tanquam facturam amoris tui.

Sed quid etiam audeo narrare beneficia tua? pelagus sunt inexhaustum, profunditas indeprehensibilis, altitudo invisibilis. Non sic cito gratias ago ob D antefacta, quin deprehendat me series beneficiorum novorum, et hoc ipsum, posse gratias agere, quan-

tum donum est! O meam humilitatem! O tuam bonitatem! quoniam quod solum habeo pro omnibus afferre tibi gratiarum actionem et laudem, et hoc tuum est munus. O invictum amorem tuum, quoniam omnes mihi effudisti divitias bonorum tuorum! solam novi legitimam gratiarum actionem, impletionem voluntatum tuarum. Sed si sit spiritus promptus, caro infirma est. Tu hoc, Domine, dixisti, sed promptitudo spiritus extemporalibus exstinguitur cogitationibus. Sed tu, Domine, potens es solus, et voluntatem accendere et carnem fortificare. Sic gratias agam legitime, si simul adjungatur mea voluntas cum voluntate tua, et si totum meum cor conglutinabitur amori tuo, et sic dignare me gratias agere tibi, Christe rex, Fili amoris Dei, et Deus valde bone. Sed quid loquar ad te pro hodierna die? Quid autem pro crastina? Quid bonum volam mihi quod non tu vis vel ante me? Et quis vidit meum bonum magis quam tu? Tu solus cognoscis et vis vere meum bonum, quod etiam solus ipsum facere potes. Et tacente igitur me facies meum bonum: si vero et prece opus est, ad tuam bonitatem precatur pro me mysterium administrationis tuæ, et quæ suscepit te clavis fixum crux, et quæ supernaturaliter servivit mysterio sanctissima perimmaculata virgo et mater tua, et cœlestis disciplinæ et vitæ tuæ æmulatores legitimi facti usque ad mortem.

Tot igitur precantibus pro me aperies et hodie, ut soles, manum tuam, et implebis me bonæ voluntatis, et proteget me dextra tua. Si autem impediunt fontem humanitatis tuæ peccata mea, tamen dele hæc, despice, parce, mittantur in oblivionis profunditatem. Opus assiduum tibi, Christe rex, remissio peccatorum, quoniam intellectus noster hominum acutius lumine est discurrens, et verbum ludicrum et opera silvosa et ex obscura hac pinguedine: et propterea non gloriabitur coram te omnis caro. Tu autem solus, Domine, purus et impeccabilis exsistens, et solus dimittere peccata nostra potes. Custodi, Jesu mi dulcissime, vitam longam feliciter et indolenter piorum Christianorum, servorum vero tuæ bonitatis legitimorum: et post præsentem vitam quam determinaveris mensuris et terminis quibus novisti ipse, in æternam illam adduc vitamque et regnum emancipatos non a nostra dignitate, sed a tua bonitate. Fiat, Domine rex clemens, quoniam te decet omnis gloria, honor et adoratio, et inoriginalem tuum Patrem cum quo in unitate sancti Spiritus vivisque et regnas per omnia sæcula sæculorum. Amen.

με εὐχαριστεῖν, πηλίκον δῶρόν ἐστιν; Ὢ τῆς ἐμῆς ταπεινότητος· ὢ τῆς σῆς ἀγαθότητος, ὅτι ὃ μόνον ἔχω, ἀντὶ πάντων προσφέρειν σοι εὐχαριστίαν καὶ ὕμνον, καὶ τοῦτο σόν ἐστι δῶρον. Ὢ τῆς ὑπερβαλούσης ἀγάπης σου, ὅτι πάντα μοι ἐξέχεας τὸν πλοῦτον τῶν ἀγαθῶν σου. Μίαν οἶδα γνησίαν εὐχαριστίαν τὴν ἐκπλήρωσιν τῶν θελημάτων σου· ἀλλ' ἐὰν μὲν ᾖ τὸ πνεῦμα πρόθυμον, ἡ σὰρξ ἀσθενής ἐστι. Σὺ τοῦτο, Κύριε, εἶπας· ἡ δὲ προθυμία τοῦ πνεύματος ἐκ τῶν προσκαίρων σβέννυται λογισμῶν. Ἀλλὰ σὺ, Κύριε, δυνατὸς εἶ μόνος καὶ τὴν προαίρεσιν ἀνάψαι, καὶ τὴν σάρκα ἐνδυναμῶσαι. Οὕτως εὐχαριστήσω γνησίως, ἐὰν συναφθῇ μου ἡ βούλησις τῷ θελήματί σου, καὶ ἐὰν ὅλη μου ἡ καρδία προσκολληθῇ τῇ ἀγάπῃ σου. Καὶ οὕτως ἀξίωσόν με εὐχαριστεῖν σοι, Χριστὲ βασιλεῦ, Υἱὲ τῆς ἀγάπης τοῦ Θεοῦ, καὶ Θεὲ ὑπεράγαθε. Ἀλλὰ τί λαλήσω πρὸς σὲ ὑπὲρ τῆς σήμερον; τί δὲ ὑπὲρ τῆς αὔριον; Τί ἀγαθὸν βουλήσομαι ἐμαυτῷ ὅπερ οὐ σὺ βούλει καὶ πρὸ ἐμοῦ; καὶ τίς οἶδε τὸ ἐμὸν ἀγαθὸν ὃς καὶ μόνος αὐτὸ ποιεῖν δύνασαι; Καὶ σιωπῶντος τοίνυν ἐμοῦ ποιήσεις τὸ ἐμὸν ἀγαθόν. Εἰ δὲ καὶ παρακλήσεως χρεία πρὸς τὴν σὴν ἀγαθότητα, πρεσβεύει ὑπὲρ ἐμοῦ τὸ μυστήριον τῆς οἰκονομίας σου, καὶ ὁ δεξάμενός σε προσηλωθέντα σταυρὸς, καὶ ἡ ὑπερφυῶς ὑπουργήσασα τῷ μυστηρίῳ παναγία ὑπεράμωμος Παρθένος καὶ μήτηρ σου, καὶ οἱ τῆς οὐρανίου διδασκαλίας καὶ πολιτείας σου ζηλωταὶ γνήσιοι γεγενημένοι μέχρι θανάτου.

Τοσούτων τοίνυν πρεσβευόντων ὑπὲρ ἐμοῦ, ἀνοίξεις καὶ σήμερον συνήθως τὴν χεῖρά σου, καὶ ἐμπλήσεις με εὐδοκίας, καὶ ἀντιλήψεταί μου ἡ δεξιά σου. Εἰ δὲ ἐμποδίζει τῇ πηγῇ τῆς φιλανθρωπίας σου τὰ ἁμαρτήματά μου, ἀλλὰ ἀπάλειψον αὐτὰ, πάριδε, σύγγνωθι· πεμφθήτωσαν εἰς λήθης βυθόν. Ἔργον ἀδιάλειπτόν σοι, Χριστὲ βασιλεῦ, ἡ ἄφεσις τῶν πλημμελημάτων, ὅτι ἡ διάνοια ἡμῶν τῶν ἀνθρώπων ὀξύτερον φωτὸς ἐστι διατρέχουσα, καὶ ὁ λόγος ἁλισθηρὸς, καὶ τὰ ἔργα ὑλώδη, καὶ τῆς σκοτεινῆς ταύτης παχύτητος. Καὶ διὰ τοῦτο οὐ καυχήσεται ἐνώπιόν σου πᾶσα σάρξ. Σὺ δὲ μόνος, Κύριε, καθαρὸς καὶ ἀναμάρτητος ὤν, καὶ μόνος ἀφιέναι τὰς ἁμαρτίας ἡμῶν δύνασαι. Φύλαξον, Ἰησοῦ μου γλυκύτατε, τὴν ζωὴν ἐπιμήκιστον εὐτυχῶς καὶ ἀδιαλύπως τῶν εὐσεβῶν Χριστιανῶν, δούλων δὲ τῆς σῆς ἀγαθότητος γνησίων. Καὶ μετὰ τὴν παροῦσαν ζωὴν ἣν ἂν ὁρίσαις μέτροις καὶ ὅροις οἷς οἶδας αὐτὸς, εἰς τὴν ἀΐδιον ἐκείνην εἰσάγαγε ζωήν τε καὶ βασιλείαν, χειραγωγουμένους οὐχ ὑπὸ τῆς ἡμῶν ἀξίας, ἀλλ' ὑπὸ τῆς σῆς ἀγαθότητος. Ναὶ, Κύριε βασιλεῦ ἀνεξίκακε, ὅτι σοι πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, καὶ τῷ ἀνάρχῳ σου Πατρὶ· μεθ' οὗ ἐν τῇ ἑνότητι τοῦ ἁγίου Πνεύματος ζῇς τε καὶ βασιλεύεις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

EUSEBII RENAUDOTII MONITUM.

Superiori Dissertationi fragmenta hæc adjicere, quæ nobis codex Regius, n. 2963, subministravit, visum est operæ pretium, cum historiam Gennadii magnopere illustrent, et quæstionem de uno vel pluribus Gennadiis, nisi vehementer fallimur, absolvant, tum quod ea alibi exstare non existimemus. Verba sunt Marci Ephesii de Scholario, et ad eum præsentibus Græcis multis dignitate conspicuis, et a Latinismo remotissimis dicta, quibus ipsi curam Ecclesiæ defendendæ committit, illius scilicet quæ, Unione Florentina insuper habita, a Latinorum communione esset alienissima. Illis subjungitur Scholarii Responsio, quibus pollicetur se Marci Ephesii loco ad ultima usque mortis pericula pro avita fide pugnaturum. Hæc alteri quam Gennadio convenire non possunt, ei scilicet qui capta Constantinopoli patriarcha renuntiatus est; neque enim cadere in alium quemvis possunt laudes eximiæ doctrinæ et eloquentiæ, tum dignitas ἄρχοντος, nempe viri primarii, qualis Scholarius fuit, judex nempe in aula imperiali. Quod etiam in negotio fidei humani aliquid passus, non manifeste Græcorum sententias propugnasset, eum satis designant, eoque pertinet epistola quam Emericus Bigotius Allatio communicavit, et quam Regius alter codex repræsentat; in qua Marcus Ephesius Scholarium vehementer redarguit (1), quod media et temperamenta quibus unio fieri posset, non aspernaretur, sed ea probaret. Nam Scholarium Florentiam venisse eo animo, non ejus modo ad Ambrosium Camaldulensem Epistola, et Acta Græca, sed Syropulus ipse testatur, cum is formulam referat ab illo delineatam, secundum quam controversia de processione Spiritus sancti componeretur. Ex verbis Gennadii, quibus Marco respondens operam omnem suam pollicitus est ad Ecclesiæ Græcæ defensionem, satis apparet, neminem Latinis minus addictum fuisse eo qui fidem amico datam accuratissime præstitit. Cum autem opera Gennadii sive Scholarii multa in eodem codice descripta sint, quæ illius esse certissimis ex historia testimoniis demonstratur, et quæ referri non possunt ad alium ab eo qui cum Joanne Palæologo in Italiam navigaverit : ex illis nonnulla exstent in Brundusino nostro codice, qui Homiliam de Eucharistia repræsentat, de illius αὐθεντίᾳ lis moveri, nisi per summam calumniam, nulla potest. His adjungimus extrema Marci Ephesii verba, plena odii et veneni adversus Latinos et Unionem renovatam opera Isidori cardinalis legati apostolici, cui Gregorius patriarcha consenserat, cuique Gennadius præ cæteris obstiterat, ut Ducas accurate scripsit.

Scripta sunt autem in eo quem diximus Regio codice, non eadem manu qua codex ipse, sed alia, docta quidem, verum ineleganti, qualis sæpe virorum doctorum esse solet.

Sequitur Excerptum ex Epistola Gennadii ad Maximum Sophianum et ascetas montis Sina, in qua Latinis religionis causa venientibus vetat dari Eucharistiam, sed ἀντίδωρον seu panem benedictum dari permittit : unde patet quam parum ipsi cum Romana Ecclesia conveniret.

(1) Vide infra in Marco Ephesio. Edit.

ΠΡΟΣ ΤΟΝ ΣΧΟΛΑΡΙΟΝ

ΤΟΥ ΕΦΕΣΟΥ.

VERBA MARCI EPHESII MORIENTIS

AD GEORGIUM SCHOLARIUM.

(*Ex Cod. MS. Bibl. Reg.* 2963.)

Λέγω καὶ ἀποφαίνομαι περὶ τοῦ ἄρχοντος τοῦ Σχολαρίου, ὅτι οἶδα αὐτὸν ἐξ ἔτι πάνυ νέας τῆς αὐτοῦ ἡλικίας, καὶ διάθεσιν καὶ ἀγάπην ἔχω εἰς αὐτὸν, καὶ ὡς ἐμὸν υἱὸν καὶ φίλον στέργω αὐτόν·

De principe Scholario hæc mea est sententia. Ipsum admodum juvenem novi, affectuque illum et charitate summa prosequor, et tanquam filium meum et amicum diligo, charitate quanta potest

esse maxima, et si quidquam aliud ad amicitiam conciliandam valet. Cum eo usque ad obitum meum quem instare sentio conversatus, perspectissimum habeo quanta ejus prudentia sipientiaque sit, quantaque dicendi facultas. Unde ex iis ipsis intelligo persuasumque habeo, ipsum solum ex iis qui in vita supersunt, posse adjutricem manum porrigere rectæ fidei, quæ violentis molitionibus eorum qui dogmatum ejus sinceritatem corruperunt, tantopere jactatur, atque adeo Ecclesiam cum Dei auxilio reformare, ita ut orthodoxam ejus fidem conservet solus, modo velit operi non deesse, nec lucernam sub modio abscondere. Verumtamen, neque illum ita affectum fore confido, neque propriæ conscientiæ ita defuturum, ut Ecclesiam variis tempestatibus agitatam, fluctuantemque vacillantem videns, humano more loquor, sciensque inesse sibi, unde illi auxilium ferre possit, non omni studio magnaque animi alacritate ipsius defensionem suscipiat. Nec enim ullatenus ignorat, vir sapiens cum sit, catholicæ fidei subversionem communem esse rerum omnium pestem et interitum. Equidem cum fortassis existimaret sufficere antea quæ ab aliis nonnullis, nobisque præsertim, ad ejus defensionem gesta sunt, non videbatur aperte veritatem propugnare, humanis fortasse quibusdam consiliis retardatus. Sed ego olim aut nihil aut parum omnino ad fidei defensionem contuli, cum neque vires, neque studium, ut res postulabat, suppeterent. Nunc vero nihil plane fio, nihilo autem quid tandem magis nihili esse potest? Si igitur ex iis quæ a me designata sunt, vulgo existimatum est fortassis posse nos quidpiam in hoc negotio efficere, ex iisdem intelligere quisque debet, quid alii possint, quid ille tandem suscipere queat. Sed jam cum mihi hinc abeundum modo sit, alium neminem video, qui ad Ecclesiæ, fidei dogmatumque orthodoxorum defensionem partes meas præ illo implere possit. Idcirco illum rogo, ut cum tempus non invitet solum, sed etiam urgeat, absconditam in se fidei scintillam detegat, Ecclesiamque et ejus sanas doctrinas propugnet, ut quod ipse perficere non potui, ipse cum Dei auxilio ad finem perducat. Id enim potest per Dei gratiam, ex naturali qua pollet prudentia dicendique facultate, velit modo iis uti cum res ita postulabit. Atque id sane debet Deo et fidei, pro qua fideliter et sincere pugnabit. Hunc sane ipsi pugnandi laborem committo, ut meo loco sit defensor Ecclesiæ, sanæque doctrinæ interpres, orthodoxorum dogmatum veritatisque propugnator, auxilio Dei ipsique veritati confisus, pro quibus certamina illa suscipiuntur, tanquam communicans sanctis Doctoribus, Deiferisque Patribus, magnis theologis, præmiaque expectans a justo Judice, qui omnes pro pietate certantes victores remunerat. Ita etiam ipse debet, quantum in eo est, omne studium adhibere ad stabilienda Ecclesiæ recta dogmata, tanquam rationem de illo redditurus in hora judicii. etiam mihi qui ipsi hæc suscipienda com-

A καὶ εἴ τι ἄλλο ἐνθυμηθείη τις σχέσεως καὶ ἀγάπης κινητικόν· ᾧ καὶ μέχρι τοῦ παρόντος ἐν τῷ ἐγγίζειν τὴν τελευτήν μου ὁμιλῶν ἔχω ἀκριβῆ κατάληψιν περὶ αὐτοῦ, οἵας ἐστὶ φρονήσεως καὶ σοφίας, καὶ δυνάμεως ἐν τοῖς λόγοις· καὶ ἐκ τούτων πιστεύω ὅτι αὐτὸς μόνος ἐκ τῶν εὑρισκομένων κατὰ τὸν καιρὸν τοῦτον δύναται δοῦναι χεῖρα βοηθείας τῇ ὀρθῇ πίστει, χειμαζομένῃ ταῖς βίαις τῶν παραφθειράντων τὴν τῶν δογμάτων ἀκρίβειαν, ὥστε τὴν Ἐκκλησίαν ὀρθώσασθαι Θεοῦ συναιρομένου καὶ τὴν ὀρθοδοξίαν κρατῦναι, μόνον εἰ μὴ θελήσει καὶ αὐτὸς γενέσθαι τῷ ἔργῳ, καὶ τὸν λύχνον ὑπὸ τὸν μόδιον κρύψαι. Ἀλλ' ἐγὼ θαῤῥῶ μὴ ἂν οὕτως αὐτὸν διατεθῆναι, μηδ' οὕτω τῇ οἰκείᾳ ἀπειθῆσαι συνειδήσει, ὥστε τὴν Ἐκκλησίαν κλυδωνιζομένην ὁρῶντα, καὶ τὴν πίστιν σαλεύουσαν ἐπ'

B . . . . . ἀνθρωπίνως λέγω, καὶ εἰδότα ἐπ' αὐτῷ εἶναι, βοηθῆσαι ταύτῃ μὴ πάσῃ σπουδῇ καὶ προθυμίᾳ τὴν συμμαχίαν ἐργάσασθαι. Πάντως γὰρ οὐκ ἀγνοεῖ, σοφὸς ὤν, ὡς καθολικῆς πίστεως ἀνατροπὴ κοινὴ ἐστιν ἀπώλεια. Ἴσως ἐν τοῖς προλαβοῦσιν ἀρκοῦσαν συμμαχίαν ἡγούμενος, τὴν ὑφ' ἑτέρων τινῶν, καὶ μάλιστα τὴν ὑπ' ἐμοῦ, οὐκ ἐφαίνετο καθαρῶς τῇ ἀληθείᾳ συμμαχῶν ὑπό τινων ἀνακοπτόμενος τυχὸν, λογισμῶν εἴη καὶ ἀνθρωπίνων. Ἀλλ' ἐγὼ καὶ πρότερον οὐδὲν, ἢ καὶ πάνυ μικρὸν συνεισήνεγκα τῇ συμμαχίᾳ, τῷ μήτ' ἀνάλογον ἔχειν δύναμιν μήτε σπουδήν. Κἀγὼ δὲ ἤδη εἰς τὸ μηδὲν ἥκω, τοῦ δὲ μηδὲν ὄντος τί ἄλλο μηδαμινώτερον; Εἰ γοῦν ἐκ τούτου ἐδόξασαν ἴσως ὅτι ἡμεῖς δυνάμεθά τι καθορ-

C θοῦν· αὐτὸ παρέλκον ἐνόμισαν ὅπερ δύνανται ἕτεροι πράττειν καὶ αὐτὸς μεταχειρίσασθαι. Ἀλλὰ νῦν ὅτε ἐγὼ μὲν ἤδη ἐντεῦθεν ἀπαλλάττω, ἄλλον τινὰ οὐχ ὁρῶ κατὰ τὸ εἰκὸς τῇ Ἐκκλησίᾳ καὶ τῇ πίστει καὶ τοῖς δόγμασι τῆς ὀρθοδοξίας δυνάμενον ἐκπληρῶσαι ἀντ' ἐμοῦ. Διὰ τοῦτο ἀξιῶ αὐτὸν, ἵνα καλοῦντος νῦν τοῦ καιροῦ, μᾶλλον δὲ κατεπείγοντος, τὸν ἐν αὐτῷ κεκρυμμένον τῆς εὐσεβείας σπινθῆρα ἀναλαύψῃ, καὶ συμμαχήσῃ τῇ Ἐκκλησίᾳ καὶ τοῖς ὑγιαίνουσι δόγμασιν· ἵνα ὅπερ οὐκ ἠδυνήθην αὐτὸς ἐκτελέσαι, κατορθώσῃ αὐτὸς τῇ τοῦ Θεοῦ συμμαχίᾳ. Δύναται γὰρ τοῦτο τῇ χάριτι τοῦ Θεοῦ ἔκ τε τῆς φυσικῆς αὐτοῦ φρονήσεως, καὶ τῆς ἐν λόγοις δυνάμεως, εἰ θελήσῃ μόνον τούτοις ἐν δέοντι χρήσασθαι. Καὶ ἴσως μὲν ὀφείλει τοῦτο τῷ Θεῷ καὶ τῇ

D πίστει, ἀγωνίσει δὲ πιστῶς καὶ καθαρῶς ὑπὲρ τῆς πίστεως. Ἀποτίθημι δὲ ὁμως καὶ αὐτὸς τὸν τοιοῦτον αὐτῷ ἀγῶνα, ἵνα ᾖ ἀντ' ἐμοῦ πρόμαχος τῆς Ἐκκλησίας, καὶ τῆς ὑγιοῦς διδασκαλίας ὑφηγητὴς, καὶ τῶν ὀρθῶν δογμάτων καὶ τῆς ἀληθείας ὑπέρμαχος, πεποιθὼς τῇ συμμαχίᾳ τοῦ Θεοῦ καὶ τῇ ἀληθείᾳ αὐτῇ, περὶ ὧν οἱ ἀγῶνες, ὡς κοινωνῶν τοῖς ἁγίοις διδασκάλοις, καὶ θεοφόροις Πατράσι, τοῖς μεγάλοις θεολόγοις, καὶ τοὺς μισθοὺς ἐκδεχόμενος παρὰ τοῦ δικαίου Κριτοῦ, τοῦ καὶ πάντας τοὺς ὑπὲρ εὐσέβειαν ἀγωνιζομένους ἀναχηρύξαντος, ὥσπερ δὴ καὶ αὐτὸς ὀφείλει, ὅσον οἷόν τε σπουδάσαι ὑπὲρ συστάσεως τῶν ὀρθῶν τῆς Ἐκκλησίας δογμάτων, ὡς λόγον ὀφείλων ὑπὲρ τούτων ἐν ὥρᾳ κρίσεως, καὶ ἐμοὶ τῷ ταῦτα ἀναθεμένῳ αὐτῷ, τεθαῤῥηκότι ἴσως καρποφορήσειν

τοὺς λόγους μου τούτους ὑπὲρ τὰ ἑκατὸν, ὡς εἰς ἀγαθὴν γῆν καταβαλλομένους. Περὶ οὗ καὶ ἀποκριθήτω μοι, ἵνα λάβω τέλειαν πληροφορίαν τῆς παρούσης ζωῆς ἐξερχόμενος, καὶ μὴ ἀηδῶς ἀποδιώτω, ὡς ἀπεγνωκὼς τὴν τῆς Ἐκκλησίας διόρθωσιν.

A mendo, sperans sermones illos meos plus quam centuplum fructum reddituros tanquam in bonam terram conjectos. De quo ipse mihi respondeat velim, ut egressurus ex præsenti vita, plenam certitudinem habeam, nec injucunde ex vita abeam tanquam de Ecclesiæ reformatione plane desperans.

ΑΠΟΚΡΙΣΙΣ ΤΟΥ ΣΧΟΛΑΡΙΟΥ.

RESPONSIO SCHOLARII.

Ἐγὼ, δέσποτά μου ἅγιε, πρῶτον μὲν εὐχαριστῶ τῇ μεγάλῃ ἁγιωσύνῃ σου ἐπὶ τοῖς ἐπαίνοις οἷς ἐχρήσω εἰς ἐμὲ, ὅτι βουληθεὶς ἐμοὶ χαρίσασθαι προσεμαρτύρησάς μοι, ὅσα οὐκ ἔχω οὐδ' ἐπίσταμαι προσεῖναί μοι. Ἀλλὰ τοῦτό ἐστι τῆς ἄκρας καλοκαγαθίας καὶ ἀρετῆς καὶ σοφίας τῆς μεγάλης ἁγιωσύνης σου, ἣν καὶ αὐτὸς εἰδὼς ἐξ ἀρχῆς καὶ θαυμάζων, οὐ διέλιπον ἐς δεῦρο ὅσα πατρὶ καὶ διδασκάλῳ καὶ παιδαγωγῷ ὀφείλεται, ἐκτελῶν εἰς τὴν μεγάλην ἁγιωσύνην σου, καὶ ὡς κανόνι χρώμενος τῇ σῇ γνώμῃ, τῆς τε ἐν δόγμασιν ἀκριβείας, καὶ τῆς τῶν λόγων ὀρθότητος, οἷς ἂν ἐνασμενίσειας καὶ αὐτὸς συντιθέμενος. Καὶ ὅσα μὴ κατὰ γνώμην δὲ σὴν ἀνενδιάστως τούτων ἐκτρεπόμενος, τὴν τοῦ παιδὸς καὶ μαθητοῦ τάξιν τηρεῖν πρὸς τὴν μεγάλην ἁγιωσύνην σου οὐκ ἀπηξίωσα πώποτε, μάρτυρι χρώμενος πρὸς ταῦτα τῇ μεγάλῃ ἁγιωσύνῃ σου. Οἶδας ὡς ἀεὶ τὸν τρόπον τοῦτόν σοι προσηρχόμην, καὶ βαθύτερα τῆς ἐμῆς διανοίας ἀνακαλύπτων, τοιαύτας ἐγγύας σοι παρετιθέμην· καὶ τοῦ ὅτι ἔν τισι τῶν καιρῶν οὐ φανερῶς ἀπεδυόμην πρὸς τοὺς ἀγῶνας οὓς ἡ σὴ μεγίστη ἁγιωσύνη ἠγωνίζετο, ἀλλὰ σιωπῇ τούτους παρέρχομαι τοὺς λόγους, τοῦτο οὐδεὶς βέλτιον οἶδε τῆς μεγάλης ἁγιωσύνης σου, ἐπεὶ καὶ πολλάκις τοὺς λογισμούς μού σοι θαῤῥήσας, καὶ τοὺς περὶ τούτου σοι ἀνεκάλυψα καθαρῶς, καὶ παραιτησάμενος τῆς συγγνώμης οὐκ ἀπέτυχον. Ἀλλὰ νῦν Θεοῦ συνάρσει τούτων πάντων καταπεφρόνηκα, καὶ ἐμαυτὸν καθαρώτατον καὶ φανερώτατον τῆς ἀληθείας συναγωνιστὴν ἔταξα, ὥστε τὰ τῶν πατρῶν μου δόγματα, καὶ τὴν τῆς ὀρθοδοξίας ἀκρίβειαν ἀνυποστόλως διαγγέλλειν κατὰ τὸν σκοπὸν τῆς σῆς μεγίστης ἁγιωσύνης. Λέγω δὲ ταῦτα οὐχ ὡς ὁρῶν τὴν μεγάλην ἁγιωσύνην σου ἐντεῦθεν ἀπελθόντα· οὐκ ἔτι γὰρ τὰς τελευταίας ἐλπίδας ἀπεβάλομεν· θαῤῥοῦμεν δὲ ἐπὶ τῷ Θεῷ περιγενήσεσθαί σε τῆς νόσου, καὶ σὺν ἡμῖν ἔσεσθαι, καὶ ἅμα τὰ τοιαῦτα ἐπεξεργάσεσθαι. Εἰ δέ γε κρίμασιν οἷς οἶδε Θεὸς ἐντεῦθεν ἀποδημήσεις, πρὸς ἣν ἡτοίμασας αὐτῷ τόπον τῆς ἀναπαύσεως πληροφορῶν, λέγω σοι ἐνώπιον τοῦ Θεοῦ καὶ τῶν ἁγίων ἀγγέλων τῶν ἀοράτως παρισταμένων νῦν ἡμῖν, καὶ τῶν καθεωρεθέντων ἐνταῦθα πολλῶν καὶ ἀξιολόγων ἀν-

B Ego, domine mi sancte, primum quidem magnæ sanctitati tuæ gratias ago de laudibus quibus me cumulasti, simulque mihi abblandiri volens, ea de me testatus es quæ non habeo, nec inesse mihi certo scio. (Verum hoc a summa sanctitatis tuæ bonitate, sapientia et virtute profectum est, quam olim probe cognitam admiratus, huc usque nunquam cessavi, sanctitati tuæ deferens, quæcunque patri, magistro et præceptori tribui debent, sententia tua tanquam regula utens, et circa dogmatum accuratam expositionem, rectamque theologiæ rationem, iis quæ tibi probabantur plane consentiens. Quæcunque etiam non erant ex animi tui sententia, illa absque dubitatione aversatus, nunquam aliter quam ut filius discipulusque erga sanctitatem tuam
C me gessi, quæ quidem tuo ipsius testimonio satis apud te constare puto.) Nosti enim me ita affectum ad te accessisse, et intima animi mei secreta aperientem, talem tibi sponsionem fecisse. (Quod si aliquando ad ea certamina, quæ sanctitas maxima tua suscepit, palam non accessi, rationes quas quidem silentio prætereo, nemo te melius novit, quandoquidem quæ tunc in animo haberem, confidenter manifestavi tibi, et excusatione facta, veniam a te consecutus sum.) Verum Dei auxilio hæc omnia jam contempsi, meque manifestum et publicum veritatis defensorem constitui, patrum meorum dogmata orthodoxæque fidei veritatem absque ulla dissimulatione secundum sanctitatis tuæ
D propositum annuntiaturus. Neque hæc dico tanquam te ex hoc mundo abeuntem videns, nec enim spem ultimam abjecimus; imo confidimus te ex hoc morbo convalescentem, futurum adhuc nobiscum, et simul hæc omnia exsecuturum. Quod si occultis judiciis quæ Deus novit, hinc ad quietis locum quem parasti tibi, te migrare contingat, tibi certissime affirmo coram Deo et sanctis angelis, qui nunc nobis invisibiliter assistunt, et multis clarissimisque viris, qui hic astant, me tuo loco futurum, et tanquam ore tuo, quæcunque amplectebaris et docebas, amplexurum et defensurum, omnibusque annuntiaturum : nihil omnino eorum

praetermissurum, sed ad extrema usque sanguinis mortisque pericula pro illis decertaturum. Quamvis porro experientia mea et vires exiguæ omnino sint, confido tamen fore, ut magna sanctitas tua defectus meos compenset, sospes quidem perfectissima tua in rebus illis tractandis peritia, hinc vero migrans acceptissimis orationibus ad Deum tuis.

A ὁρῶν, ὅτι ἔσομαι αὐτὸς ἐγὼ ἐν τοῖς τοίχοις ἀντὶ σοῦ καὶ ἀντὶ σοῦ στόματος, ὅσα αὐτὸς ἐσπούδαζες καὶ παρεδίδου, στέργων καὶ αὐτὸς καὶ δεφενδεύων, καὶ πᾶσιν ὑποτιθεὶς, μηδ' ἐν οὐδ' ὅλως τῶν τοιούτων κατασφεὶς τὸ παράπαν, ἀλλὰ μέχρι τῶν ἐσχάτων κινδύνων αἵματός τε καὶ θανάτου ὑπὲρ τούτων ἀγωνίζειν. Καὶ εἰ καὶ μικρὰ πάνυ τυγχάνει ἡ ἐμὴ περὶ ταῦτα πεῖρα καὶ δύναμις· ἀλλ' οὖν πείθομαι ὅτι ἡ μεγάλη ἁγιωσύνη σου ἀναπληρώσει τὰ ἐμὰ ἐλλείμματα, καὶ παρὸν ἡμῖν ἐνταῦθα τῇ ἐνούσῃ σοι περὶ τὰ τοιαῦτα τελειότητι, καὶ ἁπάρας ταῖς σαῖς πρὸς Θεὸν εὐπαρρησιάστοις ἐντεύξεσιν.

ΑΠΟΛΟΓΙΑ

ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΕΦΕΣΟΥ ΚΥΡΙΟΥ ΜΑΡΚΟΥ ΤΟΥ ΕΥΓΕΝΙΚΟΥ

Ῥηθεῖσα ἐπὶ τῇ τελευτῇ αὐτοῦ αὐτοσχεδίως.

—

APOLOGIA

SANCTISSIMI METROPOLITÆ EPHESII DOMINI MARCI EUGENICI.

Dicta ex tempore instante ejus obitu.

—

Quæ mea sententia sit, fusius explicare volo, quod si unquam, id nunc a me, appropinquante exitu meo, fieri debet, ut mihi ipsi ab initio ad finem usque consentiens sim, neque aliquibus videar alia quidem dixisse, alia in animo occultasse, quæ hac resolutionis meæ hora deprehendi debere verisimile sit. De Patriarcha loquor, ne forte honoris mei specie ad funus humilis illius mei corporis, vel ad commemorationis officia illi in mentem veniat mittere aliquos ex episcopis suis, aut clero suo, aut omnino aliquem eorum qui ipsi communicant, ad preces aut funus deducendum cum sacerdotibus partis nostræ, atque ita existimare quispiam possit, me quocunque modo etiam in occulto admittere ipsius communionem. Ne vero silentium meum occasionem suspicandi aliquod temperamentum præbeat illis qui non plene et penitus propositi mei rationem nosset, dico et adtestor coram præsentibus, multis dignitate conspicuis viris, me neque suscipere illius aut sequacium ejus communionem, prorsus et omnino, neque dum vivo, neque post mortem : ut neque factam Unionem, neque Latinorum dogmata quæ ipse et qui illi adhærent susceperunt, quorum defendendorum gratia hunc sibi primatum comparavit ad rectorum Ecclesiæ dogmatum subversionem. Certissime enim teneo, me quantum ab illo et ejusmodi hominibus procul sum, tanto magis Deo et omnibus fidelibus et sanctis Patribus esse proximum : et sicut ab illis dividor, tanto magis unior veritati et sanctis Patribus Ecclesiæ theologis : ut pariter persuasum habeo illos qui ejusmodi dogmatibus consenserunt, a veritate et sancti Ecclesiæ Doctoribus distare longis-

B Βούλομαι πλατύτερον τὴν ἐμὴν γνώμην εἰπεῖν, εἴπερ ποτὲ καὶ νῦν ἐν τῷ ἐγγίζειν τὴν τελευτήν μου, ἵνα σύμφωνος ὦ ἐμαυτῷ ἀπ' ἀρχῆς μέχρι τέλους, καὶ μὴ δόξω τισὶν ὅτι ἄλλα μὲν ἔλεγον, ἄλλα δὲ ἔκρυπτον ἐν τῇ διανοίᾳ, ἃ εἰκὸς ἦν ἐλεγχθῆναι τῇ ὥρᾳ ταύτῃ τῆς ἐμῆς ἀναλύσεως. Λέγω δὲ περὶ τοῦ Πατριάρχου, μήπω δόξῃ αὐτῷ προφάσει τάχα τιμῆν τῆς πρὸς ἐμὲ ἐν τῇ κηδείᾳ τοῦ ταπεινοῦ μου τούτου σώματος, ἢ καὶ ἐν τοῖς μνημοσύνοις μου, στεῖλαί τινας τῶν ἀρχιερέων αὐτοῦ, ἢ τοῦ κλήρου αὐτοῦ ἢ ἄλλως τῶν κοινωνούντων αὐτῷ τινα συνεύξασθαι, ἢ συμφορέσαι τοῖς ἐξ ἡμετέρου μέρους ἱερεῦσι τοῖς πρὸς τὰ τοιαῦτα παρακληθεῖσι δοξάσῃ ὡς οἱῳδήποτε τρόπῳ προσιέναι κἂν ἐν τῷ κρυπτῷ τὴν αὐτοῦ κοινωνίαν. Καὶ ἵνα μὴ ἡ σιωπή μου συγχατάβασίν τινα C ὑπονοῆσαι παρέξῃ τοῖς μὴ καλῶς καὶ εἰς βάθος εἰδόσι τὸν ἐμὸν σκοπὸν, λέγω καὶ διαμαρτύρομαι ἐνώπιον τῶν παρατυχόντων πολλῶν καὶ ἀξιολόγων ἀνδρῶν, ὡς οὔτε βούλομαι οὔτε δέχομαι τὴν αὐτοῦ ἢ τῶν μετ' αὐτοῦ κοινωνίαν, τὸ παράπαν οὐδαμῶς οὔτε ἐπὶ ζωῆς μου, οὔτε μετὰ θάνατον, ὥσπερ οὔτε γεγονυῖαν ἕνωσιν, καὶ τὰ δόγματα Λατινικὰ ἅπερ ἐδέξατο αὐτὸς καὶ οἱ μετ' αὐτοῦ, καὶ ὑπὲρ τοῦ δεφενδεύειν ταῦτα, καὶ τὴν προστασίαν ταύτην ἐμνηστεύσατο ἐπὶ καταστροφῇ τῶν ὀρθῶν δογμάτων τῆς Ἐκκλησίας. Πέπεισμαι γὰρ ἀκριβῶς, ὅτι ὅσον ἀποδίσταμαι τούτου καὶ τῶν τοιούτων, ἐγγίζω τῷ Θεῷ καὶ πᾶσι τοῖς πιστοῖς καὶ ἁγίοις Πατράσι· καὶ ὥσπερ τούτων χωρίζομαι, οὕτως ἑνοῦμαι τῇ ἀληθείᾳ D καὶ τοῖς ἁγίοις Πατράσι τοῖς θεολόγοις τῆς Ἐκκλησίας· ὥσπερ αὖ πείθομαι τοὺς συντιθεμένους τούτοις ἀποδίστασθαι τῆς ἀληθείας καὶ τῶν μακαρίων τῆς Ἐκκλησίας διδασκάλων. Καὶ διὰ τοῦτο λέγω

ὥσπερ πρὸ πάσαν μου τὴν ζωὴν ἐμὴν κεχωρισμένος ἀπ' αὐτῶν, οὕτω καὶ ἐν τῷ καιρῷ τῆς ἐξόδου μου, καὶ ἔτι καὶ μετὰ τὴν ἐμὴν ἀποβίωσιν· καὶ ἐξορκῶν ἐντέλλομαι, ἵνα μηδεὶς ἐξ αὐτῶν προσεγγίσῃ ἢ ἐν τῇ ἐμῇ κηδείᾳ, ἢ ἐν τοῖς μνημοσύνοις μου· ἀλλ' οὐδὲ ἄλλου τινὸς τῶν τούτου μέρους ἡμῶν ὥστε συμφορεύειν ἐπιχειρῆσαι, καὶ συλλειτουργεῖν τοῖς ἡμετέροις. Τοῦτο γάρ ἐστι τὸ τὰ ἄμικτα μίγνυσθαι. Δεῖ γὰρ παντάπασιν ἐκείνους εἶναι κεχωρισμένους ἡμῶν, μέχρις ἂν δῷ ὁ Θεὸς τὴν καλὴν διόρθωσιν καὶ εἰρήνην τῆς Ἐκκλησίας αὐτοῦ.

A sime. Idcirco me, ut tota vita mea ab illis separatus fui, ita in tempore exitus mei fore dico, et post obitum meum : itaque adjurans præcipio, ut nullus eorum accedat ad funus meum, aut ad exequiarum officia : sed neque quisquam alius ex ea parte cum nostris se ingerat, aut ad funus deducendum, aut ad Liturgiam simul celebrandam. Hoc enim esset ea conjungere quæ conjungi non possunt. Illos enim omnino separatos esse a nobis oportet, donec Deus præclaram reformationem et pacem Ecclesiæ suæ dederit.

ΕΚ ΤΗΣ ΕΠΙΣΤΟΛΗΣ ΓΕΝΝΑΔΙΟΥ

ΤΩ ΚΥΡΙΩ ΜΑΞΙΜΩ ΤΩ ΚΑΤΑ ΚΟΣΜΟΝ ΣΟΦΙΑΝΩ, ΚΑΙ ΠΑΣΙ ΤΟΙΣ ΕΝΑΣΚΟΥΜΕΝΟΙΣ ΤΗ ΑΓΙΑ ΜΟΝΗ ΤΟΥ ΣΙΝΑ ΟΣΙΩΤΑΤΟΙΣ ΙΕΡΟΜΟΝΑΧΟΙΣ ΚΑΙ ΜΟΝΑΧΟΙΣ.

—

EX EPISTOLA GENNADII

AD MAXIMUM MONACHUM, SOPHIANUM IN SÆCULO APPELLATUM, ET OMNES ASCETAS MONTIS SINA, SACERDOTES ET ALIOS SANCTISSIMOS MONACHOS.

—

Ἔτι ἠρώτησαν οἱ μοναχοὶ, εἰ ἔνι συγκεχωρημένον ἵνα διδῶτε τοῖς Ἀρμενίοις ἢ Λατίνοις τὴν παναγίαν, τοῖς προσκυνηταῖς. Ἡμεῖς δὲ λέγομεν ἵνα διδῶτε αὐτοῖς καὶ τὸ ἀντίδωρον. Χριστιανοὶ γάρ εἰσι, καὶ διὰ τοῦτο ἔρχονται ἐκ τοσούτων διαστημάτων εἰς προσκύνησιν τοῦ Δεσποτικοῦ τάφου. Εἰ γοῦν καὶ ἐσχισμένοι εἰσὶν ἀφ' ἡμῶν διά τινα ζητήματα τῆς πίστεως, καὶ εἰσὶν ἑτερόδοξοι· ἀλλ' ὡς Χριστιανοὶ μετὰ πίστεως καὶ εὐλαβείας ζητοῦσι τὸν ἁγιασμὸν ἡμῶν· καὶ ἡμεῖς ὀφείλομεν διδόναι. Τὸ γὰρ, *Μὴ δότε τὰ ἅγια τοῖς κυσὶ*, καὶ τὰ ἑξῆς, περὶ τῶν ἀπίστων νοεῖται, ἤγουν Ἰουδαίων, καὶ Σαρακηνῶν, καὶ Ἑλλήνων, καὶ Μανιχαίων, καὶ ἄλλων, οἵτινες προσποιοῦνται τὸν Χριστιανισμὸν, μὴ ὄντες Χριστιανοί. Δι' ὃ καὶ ἔπεται μή ποτε στραφέντες καταπατήσωσιν αὐτὰ, καὶ ῥήξωσιν ἡμᾶς. Κύνες οὖν εἰσι καὶ χοῖροι οἱ καταπατοῦντες. Οἱ δὲ μετὰ πίστεως καὶ εὐλαβείας ζητοῦντες τὰ ἅγια καὶ προσλαμβάνοντες, οὐκ εἰσὶ τοιοῦτοι. Ἀκούετε δὲ καὶ τοῦ Κυρίου εἰπόντος, ὅτι *Ὁ μὴ ὢν καθ' ἡμῶν, ὑπὲρ ἡμῶν ἐστι*· καὶ, *Τὸν ἐρχόμενον πρός με οὐκ ἐκβάλλω ἔξω*. Τὸ μέγα μυστήριον τῆς κοινωνίας μόνον μὴ δίδοτε αὐτοῖς. Εἰ δέ τις ἀπ' αὐτῶν βουληθῇ προσμεῖναι αὐτόθι, ἢ νοσηθῇ, ἀρνήσεται μὲν πρῶτον τὴν πάτριον δόξαν, ὁμολογήσει δὲ τὴν δόξαν τῆς καθολικῆς Ἐκκλησίας, ἀξιοῦντες αὐτὸν τῆς τοιαύτης κοινωνίας. Τοῦτό ἐστιν ἡ συνήθεια τῆς καθολικῆς τῶν Χριστιανῶν Ἐκκλησίας.

Δι' ὃ καὶ οἱ ἁγιώτατοι πατριάρχαι, ὅτε ἐλειτούργουν ἑορτασίμως, ἐρχομένους καὶ Ἀρμενίους καὶ

B Interrogaverunt etiam monachi : an vobis liceat Armenis et Latinis qui adoratum veniunt, dare sanctissimam communionem. Nos autem dicimus, ut detis ipsis Antidorum sive panem benedictum : sunt enim Christiani, et idcirco ex tanto locorum intervallo veniunt ad Dominici sepulcri venerationem. Porro si a nobis schismate dividuntur propter aliquas circa fidem quæstiones, et sunt heterodoxi ; tanquam Christiani cum fide et pietate quærunt sanctificationem a nobis, et nos dare debemus. Illud enim, *Nolite dare sancta canibus*, etc., de infidelibus intelligitur, Judæis nempe et Saracenis, Gentilibus, Manichæis, et aliis qui Christianismum simulant, cum Christiani non sint. Unde sequitur ne forte conversi ea conculcent, et dirumpant nos. C Canes igitur et porci sunt qui conculcant. Qui vero cum fide et pietate quærunt sancta, et ea suscipiunt, tales nequaquam sunt. Audite etiam Dominum dicentem, *Qui non est contra nos, pro nobis est* : tum illud, *Eum qui venit ad me, non ejiciam foras*. Igitur magnum mysterium communionis solummodo ne dederitis eis. Si vero aliquis illorum illic permanere voluerit, aut in ægritudinem inciderit, abnegabit quidem primum patriam opinionem, et confitebitur id quod docet Ecclesia Catholica, et tunc communione illum dignabimini : hæc est enim consuetudo Catholicæ Christianorum Ecclesiæ.

Eapropter sanctissimi Patriarchæ, cum festis solemnibus Liturgiam celebrarent, venientes Armenos

et Latinos cum magna modestia ad Liturgiam, non repellebant, imo abeuntibus, cum orthodoxis, adorantibusque, et patriarchalem manum osculantibus, benedictionem dabant et antidorum : quippe ut discipuli Christi ad ipsum venientes non ejiciant foras. Sufficit igitur quod sacram communionem ab illis nec petitis, nec accipitis, quia sunt heterodoxi et divisi. Sed si communionem ipsam a vobis expetunt, non debetis eos, ut diximus repellere.

Λατίνους μετὰ πάσης εὐλαβείας εἰς τὴν λειτουργίαν οὔτε ἐδίωκον, ἀλλὰ καὶ ἀπερχομένους μετὰ ὀρθοδόξων καὶ προσκυνοῦντας, καὶ ἀσπαζομένους τὴν πατριαρχικὴν χεῖρα, καὶ εὐλόγουν καὶ ἐδίδουν αὐτοῖς τὸ ἀντίδωρον. Ὡς γὰρ μαθηταὶ τοῦ Χριστοῦ οὐκ ἐξέβαλον ἔξω τοὺς εἰς αὐτὸν ἐρχομένους. Ἀρκετὸν οὖν ἐστιν ὑμῖν ὅτι οὐ ζητεῖτε, οὔτε λαμβάνετε ἁγιασμὸν παρ' αὐτῶν, διότι εἰσὶν ἑτερόδοξοι καὶ κεχωρισμένοι. Ἀλλ' ἐὰν ζητῶσιν αὐτὸν τὸν ἁγιασμὸν ἀφ' ὑμῶν, μὴ ἀποπέμπειν αὐτοὺς, ὡς προείπομεν.

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΓΕΝΝΑΔΙΟΥ

ΤΟΥ ΣΧΟΛΑΡΙΟΥ

ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΠΡΟΣ ΤΟΝ ΤΙΜΙΩΤΑΤΟΝ ΚΑΙ ΟΣΙΩΤΑΤΟΝ
ΕΝ ΜΟΝΑΧΟΙΣ ΓΕΝΝΑΙΟΝ ΙΩΣΗΦ
ΤΩΝ ΕΝ ΘΕΣΣΑΛΟΝΙΚΗ,

ΠΕΡΙ ΠΡΟΟΡΙΣΜΟΥ.

—

SAPIENTISSIMI GENNADII

SCHOLARII

PATRIARCHÆ CONSTANTINOPOLITANI

AD ILLUSTREM AC VENERANDUM MONACHUM THESSALONICENSEM
GENEROSUM JOSEPHUM

EPISTOLA DE PRÆDESTINATIONE.

(Græce edidit Hœschelius, Aug. Vindel. 1606, in-4°; Latine Fed. Morellus, Paris. 1618, in- 12 (1).

—

Decumbens in lecto, litteras tuas accepi; et nunc tandem morbo utcunque recreatus, constitueram

Κλινοπετὴς ἐδεξάμην σου τὴν ἐπιστολὴν, καὶ νῦν ὀλίγὲ μικρὸν ἀνασφήλας τῆς νόσου, ἐβουλόμην μὲν

(1) Hanc Gennadii Scholarii Apologeticam Epistolam super assertione Basilii M. de Prædestinatione, minime spernendam, tum subjecti gravitate, tum Attici scriptoris elegantia et eruditione singulari, puræque et orthodoxæ fidei vindice V. C. David Hœschelius, optime dum vixit de re litteraria meritus, Augustæ Vindelicorum Græce tantum edi sedulo curaverat ante xx annos, cum id munus ms. non levidense, οὐδ' ἀπόβλητον a doctissimo sapientissimoque Cytherorum episcopo Maximo accepisset. Postea novissimis quas ad me scripsit litteris conquestus illius operis, eruditorum ac proborum fere omnium suffragiis approbati, Latinam versionem tot annorum spatio a nemine esse tentatam, hortatusque est ac prope flagitavit, ut insigne illud scriptum apologeticum Latinitate donarem, ederemque in eorum gratiam quibus Græca non ita pervia sunt. Equidem tametsi in aliis ἐγχειρήσεσιν admodum essem occupatus, nolui tamen deesse ne tacitæ quidem flagitationi viri tam φιλοφίλου καὶ φιλομούσου. MORELLUS.

μηδὲν ἀποκρίνεσθαι περὶ ὧν ἐπυνθάνου, συνήθει δὲ γραφῇ τὸ τῆς εὐνοίας χρέος πληροῦν. Ὁ γὰρ ἡμέτερος καιρὸς καὶ τῶν ἡμετέρων ᾤχετο λόγων, μᾶλλον δὲ παντὸς ἀγαθοῦ, καὶ δεῖ τὴν ἐσχάτην ἀμορφίαν τοῦ γένους ἐν ἅπαντι πράγματι καθημένους ἐν γωνίᾳ που θρηνεῖν αἰωπῇ, καὶ τὴν ἀπαγωγὴν τῆς τοιαύτης ἐξαιτεῖσθαι ζωῆς, ὁπόταν ἐπινεύῃ τὸ Θεῖον. Ἀλλ' ἡ πρὸς τὸν μέγαν Βασίλειον αἰδὼς κατηνάγκασεν. Ἐκείνῳ τοίνυν ἔχοις ἂν τὴν χάριν, οὐχ ὑμῖν, ταυτησὶ τῆς ἀπολογίας.

A quidem nihil ad ea respondere, de quibus percunctatus fueras, sed consueta familiarique scriptione benevolentiæ debitum persolvendo, tibi satisfacere. Etenim opportunum tempus et nostris concessum sermonibus præteriit, imo potius cujusvis boni occasio : quin extremam gentis deformitatem in omni negotio considentes in angulo lugere tacite alicubi præstat, et avocationem ab ejusmodi vita exposcere, quando Numen annuit. Sed reverentia, qua Basilium Magnum prosequor, ad respondendum coegit. Quocirca gratiam illi habere potes hujus Apologiæ, non autem nobis.

Ὁ μὲν γὰρ μέγας τῆς Ἐκκλησίας διδάσκαλος φησί που, « Θάνατοι δὲ ἀπάγονται, τῶν ὅρων τῆς ζωῆς πληρωθέντων, οὓς περὶ ἕκαστον ἔπηξεν ἡ δικαία τοῦ Θεοῦ κρίσις, πόρρωθεν τὸ περὶ ἡμᾶς συμφέρον προβλεπομένου. » Σὺ δέ, ὁσιώτατε καὶ φίλτατε, ἀκούειν λέγεις πολλῶν, πολλοῖς ἐπιχειρήμασι μὴ θελόντων τοῦτο, μηδὲ δεχομένων. Ὅθεν καί τινας αὐτῶν τὸν μέγαν ἐξαιτιωμένους ἐπὶ τούτῳ Βασίλειον, λέγειν, ὡς ἐκ τοῦ παρήκοντος εἶπεν οὕτω, καὶ δι' ὠφέλειαν τῶν τότε ἐκείνου ἀκουόντων. Εἶναι μὲν πολλοὺς τοὺς ταῦτα λέγοντας οὐδὲν θαυμαστόν. Τὰ γὰρ θεῖα καὶ ὑψηλὰ καὶ φιλοσοφίας γέμοντα τοὺς πολλοὺς διαπέφευγεν. Ὅθεν οὐδὲ χρὴ πειθεῖσθαι πρὸς ἐκείνους λόγον οὐδένα. Σὲ δὲ εὐνοίας ἕνεκα τῷ μεγάλῳ συνιστῶμεν Πατρὶ, καὶ τῷ τὴν ἱερὰν ἐκείνου ψυχὴν φωτίσαντι Πνεύματι. Ἔστω δὲ, ὡς αὐτοί φασιν, ἐκ τοῦ παρήκοντος θεολογεῖν τινα τῶν ἀληθῶν θεολόγων, ἀλλὰ ψευδῆ θεολογεῖν οὐχ οἷόν τε, οὔτε προῦργου, οὔτ' ἐκ τοῦ παρήκοντος θεολογοῦντα. Ἐμελλε δὲ ἐκ τοῦ παρήκοντος θεολογεῖν ποτε ὁ πάσης προσοχῆς καὶ ἀκριβείας κανὼν, καὶ ταῦτα περὶ μεγίστου δόγματος, καὶ εἰς τὸ δεύτερον τῆς πίστεως ἀνήκοντος ἄρθρον, καὶ δι' ὠφέλειαν τῶν ἀκουόντων ἔμελλε ψευδῆ προτιθέναι δόγματα ; καὶ ὠφέλεια τῶν ἀκουόντων ἂν ἦν, ἵνα περὶ τὸ ἦθός τι βελτίους γινόμενοι, ψευδοδοξῶσι περὶ Θεοῦ καὶ τῶν θείων ; καὶ ὠφελῶν ἄλλους ἐν μικροῖς, ἔβλαπτεν ἑαυτὸν ἐν τοῖς μεγίστοις ἐκὼν περὶ τῶν θείων ψευδόμενος, καὶ ταῦτα μηδὲ πρὸς δῆμον τὸν λόγον ποιούμενος, ἀλλ' ἰδίᾳ τισὶ πεπαιδευμένοις τε καὶ παρακολουθεῖν δυναμένοις, καὶ μὴν παντὶ συλλογιζομένῳ, εἰ καὶ σκοπός ἐστι τὸ συμπέρασμα, ἀλλ' οὐκ ἐκ τοῦ παρήκοντος αἱ προτάσεις λαμβάνονται. Πρὸς δὲ τὸν λόγον, καὶ τὴν κατ' αὐτὸν ἀλήθειαν ἁπλῶς δηλονότι, αὗται καὶ μᾶλλόν εἰσι προῦργου, ὡς ἄνευ αὐτῶν ἀδύνατον συμπεραίνειν. Ὁ δὲ τῆς ἀληθείας διδάσκαλος ἐκ τοῦ παρήκοντος ποιήσεται καὶ παρέργως τὴν ἐκ τῶν θείων λογίων ἀπόδειξιν ; εἰ δὲ καὶ ἐκ μὴ ἀληθῶν, τὸ πεῖσαι μόνον σκοπῶν, ἔτι τῆς ἀληθείας ἔσται διδάσκαλος, ἢ σοφιστῆς ἐναρίθμιος μᾶλλον ; Εἰ τοίνυν ἐκ τῆς οὐρανίου προδιατάξεως περὶ τῆς ἀνθρωπίνης ζωῆς τε καὶ τελευτῆς, κατά τε χρόνον καὶ τρόπον ὁ μέγας ἤθελε πείθειν, μεθ' ὑπομονῆς εὐχαρίστου φέρειν τὴν τελευτὴν, μᾶλλον δὲ ἀναγκάζειν, ὡς ἄλλως μέλλοντας ἀσεβήσειν, ἢ τὸν θεῖον ἀγνοοῦντας προορισμὸν, ἢ εἰδότας καὶ οὐ φροντίζοντας ἐκ φιλοζωΐας ἑαυτῶν τε καὶ τῶν οἰ-

Enimvero magnus Ecclesiæ doctor ait alicubi : « Mortes autem inducuntur, terminis vitæ absolutis, quos circa unumquemque fixit justum Dei judicium, eminus quod nobis conducit prospicientis. » Tu vero, sanctissime et amicissime, audire multos dicis, qui pluribus hoc argumentis improbant, refutant ac repudiant : quin etiam eorum nonnullos ais de Basilio magno ob id expostulantes, querentesque dicere illum, quasi aliud agendo, et propter emolumentum eorum qui tunc ipsum audiebant, ita hoc enuntiasse. Quod multi sint qui hæc proferunt, nihil mirum est : nam divina et sublimia et philosophicis rationibus cumulata plebeios fugiunt. Quare ne verba quidem ulla cum iis commutanda sunt. Te vero benevolentiæ causa magno conciliamus Patri, et qui sacram illius animam illustravit, Spiritui. Esto sane, ut isti dicunt, aliquem e veris et tanto nomine dignis theologis de Deo et rebus divinis, cum licentia supina disserere. Verum nefas est de Deo verba facientem, falsa in theologico sermone enuntiare, sive id e re et ex professo, sive remisse sibique indulgendo agat. An vero futurum erat, ut qui omnis attentionis et exactæ diligentiæ regula est, de Deo unquam dissertaret præter id quod par est : idque de magni momenti decreto, et quod ad secundum fidei articulum refertur : ac propter audientium commodum scita falsa proponeret? an etiam emolumentum foret auscultantium, ut cum ratione morum ingenique meliores fierent, falsa de Deo ac rebus divinis opinarentur? et doctor, alios in exiguis juvando, seipsum in maximis ultro læderet, de divinis mentiendo? cum præsertim ad populum verba non faceret, sed privatim apud eruditos quosdam, et eos qui subsequi possent : ac profecto omni argumentorum rationibus utenti, quamvis scopus sit conclusio, non idcirco propositiones perfunctorie et neglectim sumuntur : sed ad rationem et veritatem quæ secundum ipsam est, omnino sumptiones hæ scilicet magis e re sunt et conferunt, quando sine ipsis impossibile est concludere. At veritatis antistes faceretne segniter ac supervacanee e divinis oraculis institutam demonstrationem? quod si etiam ex non veris, id solum spectans, ut persuadeat, siccine adhuc veritatis doctor erit, an potius in sophistarum album referetur? Quocirca si a cœlesti præconstitutione de hominum vita et obitu, juxta tempus et modum, magnus vir

suadere voluit, cum patientia gratoque animo ferendam esse mortem, imo etiam cogere aggressus est eos qui aliter impie acturi essent, aut quia divinam ignorarent prædestinationem : vel cum eam cognoscerent, ejus tamen curam haberent nullam, præ temeraria sui suorumque vitæ cupiditate : nonne sermo de divina præordinatione susceptus maxime conducibilis ipsi erat, qui cum veritate suadere volebat? an non etiam discentibus, si quidem obtemperare statuissent, utilissimum fuisset, cum ob id maxime persuaderentur? Quocirca plane ineptum est ita expostulare de eo qui omni culpa vacat. Verum prudentius conquererentur, si dicerent : Non ut doctus, sapiens ac divinus, sed ut homo hac in parte duntaxat ignoravit, nec potuit pulchre veram doctamque sententiam discernendi que vim adipisci. Atqui ne istud quidem rationi consentaneum est. Etenim tametsi exploratum perspectumque habeamus magnum Basilium non doctrina tantum aliis anteivisse omnibus, verum etiam illuminationibus a Deo acceptis insignem exstitisse : non plus tamen illi tribuimus, quam Athanasio, Gregorio Theologo, et Nysseno atque Augustino, quibus omnibus magnus hic concinit, et hi omnes illi consentiunt. Qui autem fieri potest ut tanti doctores in hac assertione simul errore abducti fuerint? Quod autem multis in locis hæc eadem asserat, et cum cura et exaggeratione multa, ut si hac de re orationem ad utilitatem susciperet, ac futurum esset ut eos veritatis sententia juvaret, qui subsequi ac percipere possent : attende quid alio loco dicat; et hac studiosa sedulitate comperies, haudquaquam fortuitum quemdam concursum eorum quæ hominibus fiunt enuntiandum esse : tanquam si nullus moderator et princeps hunc mundum regeret, pravas tibi opiniones suggerendo; duntaxat a limitibus pietatis excidere caveas. « Nam qui nos finxit et animavit Deus, proprium concessit cuique animæ degendæ vitæ statum, atque alios aliis limites exitus fixit. Etenim hunc quidem plures in mole corporis et luce moras facere Numinis dispensatio statuit : illum vero citius vinculis corporeis solvi constituit, juxta inenarrabilis sapientiæ ac justitiæ suæ rationes. Quemadmodum ex iis qui in carcerem traduntur, alii diuturniore temporis spatio custodiæ carcerum molestia vexantur, alii promptiorem invenient ærumnæ liberationem : sic etiam ex animabus aliæ perdiu vitæ hujus usura fruentes detinentur, aliæ breviori temporis intervallo, pro meriti cujusque ratione et proportione, cum tam alte et sapienter (adeo ut mens humana eo pervenire nequeat) qui creavit nos prospiciat ea quæ ad singulos mortales pertinent. Non audis Davidem canentem, «Educ de carcere animam meam?» Non auscultasti, de sancto dictum, solutam fuisse ipsius animam? Quid vero Symeon, quando amplexatus est Dominum nostrum? qualem emisit vocem? nonne hanc, «Nunc dimittis servum tuum, Domine?» Nam ad vitam quæ in superis locis agitanda est,

A κείων ἀλόγου· οὐκ ἦν αὐτῷ μάλιστα προῦργου ὁ περὶ τῆς θείας προδιατάξεως λόγος, τῷ μετὰ τῆς ἀληθείας πείθειν ἐθέλοντι, ἢ οὐχὶ καὶ τοῖς διδασκομένοις εἴπερ ἠβούλοντο πείθεσθαι, προὐργιαίτατον ἂν ἦν, ὡς διὰ τοῦτο μάλιστα πειθομένοις, ὥστε πάνυ χυδαῖον οὕτως ἐξαιτιᾶσθαι τὸν καθάπαξ ἀναίτιον. Ἀλλὰ φρονιμώτερον ἂν ἐξητιῶντο λέγοντες, ὡς εἰ σοφὸς ἦν καὶ θεῖος, ἀλλ' ὡς ἄνθρωπος ἠγνόησεν ἐν τούτῳ τῷ μέρει, καὶ οὐκ ἠδυνήθη καλῶς τῆς ἀληθοῦς καὶ σοφῆς ἐφικέσθαι γνώμης καὶ διακρίσεως. Ἀλλ' οὐδὲ τοῦτο λόγον ἔχον ἐστίν. Ἡμεῖς γὰρ καίτοι τὸν μέγαν εἰδότες οὐ σοφίᾳ μόνον παρεληλακότα πάντας, ἀλλὰ καὶ τοῖς ἐκ Θεοῦ φωτισμοῖς διαπρέψαντα, ὅμως οὐκ αὐτῷ τιθέμεθα μᾶλλον ἢ Ἀθανασίῳ, καὶ Γρηγορίῳ τῷ Θεολόγῳ, καὶ τῷ Νύσσης
B αὐτῷ, καὶ Αὐγουστίνῳ, οἷς πᾶσιν ὁ μέγας ἐνταῦθα συνᾴδει Βασίλειος, καὶ οὗτοι πάντες αὐτῷ. Καὶ πῶς οἷόν τε *τηλικούτους διδασκάλους ὁμοῦ περὶ τοῦτο πλανηθῆναι τὸ μέρος; ὅτι δὲ πολλαχοῦ τὰ αὐτὰ ταῦτά φησι, καὶ μετὰ πολλῆς τῆς ἐπεξεργασίας, ὡς προῦργου τὸν περὶ τούτων λόγον ποιούμενος, καὶ ὠφελεῖν μέλλων τῇ δόξῃ τῆς ἀληθείας τοὺς παρακολουθεῖν δυναμένους· ἄκουε τί φησιν ἀλλαχοῦ, καὶ σπουδάσας εὑρήσεις, μὴ αὐτόματόν τινα εἶπῃς συντυχίαν τῶν γινομένων ἀνθρώποις, ὡς μηδενὸς προστάτου τὸν κόσμον οἰκονομοῦντος, πονηρὰ δόγματα ὑποτιθέμενος σεαυτῷ, μηδὲ ἐκπέσῃς τῶν ὅρων τῆς εὐσεβείας. « Ὁ γὰρ πλάσας ἡμᾶς καὶ ψυχώσας Θεὸς, ἰδίαν ἔδωκεν ἑκάστῃ ψυχῇ τὴν τοῦ βίου διαγωγὴν, καὶ ἄλλοις
C ἄλλους ὅρους ἔπηξε τῆς ἐξόδου. Τὸν μὲν γὰρ ἐπὶ πλεῖον περιμεῖναι τῇ παρουσίᾳ τῆς σαρκὸς ᾠκονόμησε· τὸν δὲ θᾶττον ἀπολυθῆναι τῶν δεσμῶν τοῦ σώματος διετάξατο, κατὰ τοὺς τῆς ἀῤῥήτου σοφίας ἑαυτοῦ καὶ δικαιοσύνης λόγους. Ὥσπερ οὖν οἱ ταῖς εἱρκταῖς ἐμπίπτοντες, οἱ μὲν ἐπὶ πλείονα χρόνον τῇ κακώσει τῶν δεσμωτηρίων ἐναποκλείονται, οἱ δὲ ταχυτέραν εὑρίσκουσι τὴν τῆς κακοπαθείας ἀπαλλαγήν· οὕτω καὶ αἱ ψυχαὶ, αἱ μὲν ἐπὶ πολὺ προσκατέχονται τῇ ζωῇ ταύτῃ, αἱ δὲ ἐπ' ἔλαττον, κατὰ τὴν ἀξίαν τῆς ἀναλογίας ἑκάστου, σοφῶς καὶ βαθέως, ὡς οὐκ ἂν ἐφίκοιτο νοῦς ἀνθρώπων, τὰ περὶ
D ἕκαστον ἡμῶν τοῦ κτίσαντος προβλεπομένου. Οὐκ ἀκούεις λέγοντος τοῦ Δαβίδ· « Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου; » οὐκ ἤκουσας περὶ τοῦ ἁγίου, ὅτι ἀπελύθη αὐτοῦ ἡ ψυχή; τί δὲ Συμεών, ὅτε ἐνηγκαλίσατο τὸν Κύριον ἡμῶν, ποίαν φωνὴν ἀφῆκεν; οὐχ, ὅτι « Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα; » τῷ γὰρ ἐπειγομένῳ πρὸς τὴν ἄνω διαγωγὴν βαρυτέρα πάσης κολάσεως, καὶ δεσμωτηρίου παντὸς, ἡ μετὰ τοῦ σώματός ἐστι διατριβή. » Ταῦτα μὲν ἐν ἑνὶ λόγῳ φησίν. Ἐκ τοῦ παρήκοντος οὖν δογματίζει τὴν πατρικὴν ὁμοῦ καὶ δεσποτικὴν περὶ τῆς ἀνθρωπίνης ζωῆς καὶ μεταστάσεως πρόνοιαν· καὶ ὅλως τὸν θεῖον ἐν τοῖς ἀνθρώποις προορισμὸν καὶ ὑποδείγμασι καὶ γραφικαῖς ἀποδείξεσι μετὰ πολλῆς δεικνύων σπουδῆς; Καίτοι γε, εἰ πρὸς ἀντιλέγοντας ἐποιεῖτο τὸν λόγον, εἶδες ἂν πᾶσαν τὴν ἱερὰν Γραφὴν αὐτὸν ἐπιφέροντα. Ἀλλὰ καὶ πανταχοῦ τῶν αὐτοῦ λόγων, προδιατεταγμένον ἐν ἑκάστοις τῆς ζωῆς τὸ τέλος καλεῖ· κἀν-

τεῦθεν ἄνισα καὶ ἀνόμοια γίνεσθαι τοῖς ἀνθρώποις τοῦ βίου τὰ πέρατα, κατὰ τὰς περὶ ἕκαστον διαφόρους καὶ ἡμῖν ἀνεννοήτους τοῦ θείου οἰκονομίας, ἄνισα μὲν κατὰ τὸν χρόνον δηλονότι, ἀνόμοια δὲ κατὰ τὸν τρόπον. Αὗται λέξεις ἐκείνου.

A properanti, gravior est omni supplicio et quovis carcere commoratio in corpore. » Hæc certe enarrat in quodam tractatu. An abs re igitur negligenterque docet providentiam paternam simul ac dominicam, de vita humana et demigratione ab illa, cum omnino divinam in hominibus prædestinationem tum exemplis, tum eloquiorum sacrorum auctoritate magna diligentia studioque comprobet? Quin etiam si ad repugnantes ac refractorios verba faceret, videres ipsum totam Scripturam sacram adducere. Jam vero ubique scriptorum suorum præstitutum in singulis vitæ exitum appellat; proindeque inæquales ac dissimiles usuvenire hominibus vitæ limites, secundum differentes nec sub intelligentiam nostram cadentes divini numinis dispensationes, inæquales quidem, ratione nimirum temporis, dissimiles autem modo. Atque hæc ipsissima auctoris dicta sensaque sunt.

Ὅτι μὲν οὖν οὐκ ἐκ τοῦ παρήκοντος ἔλεγεν ἐκεῖνα τὰ πρῶτα, ἀλλὰ προὔργου, καὶ ὡς οὕτω φρονῶν, ἀρκείτω σοι ταῦτα. Ἀλλὰ μὴν καὶ ἀξίως τῆς παντοίας σοφίας αὐτοῦ καὶ μεγαλονοίας, καὶ τοῦ φωτίζοντος αὐτὸν Πνεύματος, οὕτως ἐφρόνει τε καὶ ἐδίδασκεν ὁ ἔνθεος τῆς οἰκουμένης φωστήρ. Ἤδει μὲν γὰρ ἐν τοῖς ἀνθρωπίνοις πράγμασι τὸν θεῖον πανσόφως καὶ πανταγάθως ἐνεργοῦντα προορισμὸν, ὃς ἐστιν ἡ ἀΐδιος ἐν τῷ Θεῷ τάξις τῆς ἐπὶ τὴν μακαρίαν ζωὴν ὁδηγίας τοῦ ἀνθρώπου, καίτοι γινομένης ἐν χρόνῳ, τοῦ Θεοῦ πέμποντος αὐτὸν ἐπὶ τὸν ὅρον ἐκεῖνον, ὡς τοῦ τοξότου τὸ βέλος πρὸς τὸν σκοπὸν, καὶ πέμποντος, ὡς οἴκοθεν μόνον ἀδυνατοῦντα, εἰ καὶ πρὸς τοῦτο γεγένηται. Καὶ διὰ τοῦτο τὰς ἀσθενείας καὶ τὰς ἐλλείψεις ταῖς περὶ τὴν ζωὴν ποικίλαις οἰκονομίαις αὐτοῦ, καὶ τὴν τελευτὴν ἰωμένου καὶ θεραπεύοντος δι' ἐλέους ὑπερβολήν. « Οὐ γὰρ ἐξ ἔργων δικαιοσύνης, ὧν ἡμεῖς ἐποιήσαμεν, ὁ θεῖός φησιν Ἀπόστολος, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς. » Ἔκτοτε καὶ νῦν, καὶ ἕως ἂν ἡ τῶν ἀνθρώπων γένεσις ᾖ, ὡς ἅπαξ οἴκτῳ μόνῳ οἰκείῳ, τὴν τῆς ζωῆς ὁδὸν ἀνοίξας ἡμῖν. Ὁ γὰρ πάντων τῶν ποιημάτων αὐτοῦ προνοούμενος εὐλόγως Θεὸς, κατὰ τὴν ἑκάστων ἀξίαν καὶ τάξιν ἐν τῷ παντὶ ἰδιαιτάτην τῇ λογικῇ φύσει χαριζόμενος πρόνοιαν, τοῖς δώροις, οἷς αὐτὴν ἐκόσμησε πρέπουσαν, καὶ τέλος αὐτῇ τοῦ γεγονέναι καὶ εἶναι, τὴν μακαρίαν τάξας ζωὴν, ἐν τῇ εἰλικρινεῖ καὶ ἀμέσῳ τοῦ Θεοῦ καὶ τῶν θείων γνώσει συνισταμένην. « Αὕτη γάρ ἐστι, φησὶν, ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσι σὲ τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστὸν, » τουτέστι, τὰ τῆς θεολογίας καὶ οἰκονομίας ἀπόῤῥητα, ἃ νῦν ἐν ἐσόπτρῳ καὶ αἰνίγματι βλέπουσιν οἱ πιστεύοντες· αὐτὸς αὐτῇ τὸν ὅρον ἐκεῖνον τίθησι, καὶ τὸ τέλος, καὶ τὸν σκοπὸν, οὐδενὸς τῶν ὄντων, οὐδὲ πάντων ὁμοῦ τοῦτό γε δυναμένων, αὐτὸς καὶ πρὸς ἐκεῖνον ὁρίζει. Εἰ γὰρ καὶ ὅρος αὐτῆς ἐστιν, οὕτω τῷ Θεῷ δόξαν, ἀλλ' ὑπερῳυὴς, καὶ ὁρίζει συγκινῶν, καὶ οἴκοθεν κινουμένην. Τὴν γὰρ προαιρετικὴν αὐτῇ δύναμιν δέδωκεν, ὡς δύνασθαι καὶ οἴκοθεν πρὸς ἐκεῖνον κινεῖσθαι μετὰ τῆς ἄνωθεν ὁδηγίας, ὁδηγῶν ἐπὶ τοῦτο, συνεπιῶθῶν, λύων τὰς δυσχερείας, ἐπιφέρων ἄλλας, κἂν δέῃ πρὸς γυμνασίαν, παραχωρῶν ὑπονοστεῖν ἐπὶ τῷ συμφέροντι, ὑποστρέφοντας εὐθὺς ἐπανάγων, παρακαλῶν, θλίβων αὖ, ὁπόταν καὶ τοῦτο συμφέρῃ, τὰ μὲν ἀφανῶς, τὰ δὲ καὶ προδήλως τοῖς περὶ ταῦτα πρασέχουσι· καὶ τὰ μὲν ἀμέσως δι' ἑαυτοῦ

Hæc duntaxat tibi sufficiant, quibus liquido constat Basilium superius illud propositum non abs re animive tantum causa, sed consulto et ex usu protulisse, quodque ita plane sentiret. Præterea vero pro dignitate etiam omnis generis doctrinæ, ac magnitudinis animi ratione qua præditus fuit vir tantus, et pro majestate Spiritus quo illustrabatur, ita et sensit et docuit, Numine afflatum hoc orbis terrarum lumen. Enimvero in humanis rebus divinam prædestinationem sapientissime optimeque operantem noverat; quæ sempiternus est ordo in Deo ad deducendum hominem ad beatam vitam: tametsi ea deductio fiat in tempore, cum Deus mittit hominem ad eum limitem, ut sagittarius telum ad metam. Ideoque mittit, quod viribus tantum suis eo pervenire nequeat, etiamsi ad id natus sit. Idem propterea infirmitates et defectus variis circa vitam et obitum dispensationibus sanat et curat misericordiæ suæ immensitate. « Non enim ex operibus justitiæ, quæ nos fecimus, (inquit divinus Apostolus), sed secundum misericordiam suam salvos nos fecit. » Ab omni ævo, etiam nunc, et quandiu hominum generatio constiterit: ut qui semel commiseratione sola propriaque vitæ viam nobis aperuit. Etenim qui omnibus suis operibus rationi congruenter providet, pro singulorum dignitate et ordine, in omni utique peculiarem maxime rationali naturæ providentiam largiendo muneribus quibus eam decoravit insignem, ipsique constituto fine nascendi et exsistendi in beata vita, quæ sincera, pura immediataque Dei et rerum divinarum cognitione consistit. « Hæc enim est, inquit, æterna vita, ut cognoscant te solum verum Deum, et quem misisti Jesum Christum. » Hæc sunt theologiæ et dispensationis arcana, quæ nunc in speculo et ænigmate credentes vident; ille, inquam, ipse hunc statuit terminum et finem et scopum, cum nihil eorum quæ sunt, nec omnia simul hoc præstare queant; ipse etiam ad illum diffinit: nam quamvis terminus ejus sit, quando ita Deo visum est, immensus tamen exsuperansque, et determinat, commovendo etiam ab origine commotam: sed etiam electivam ipsi potentiam concessit, ut possit tanquam e domo ad illum cieri cum manuductione ab alto, viam ad hoc muniens, compellens, difficultates solvens, aliasque inducens; etiam si opus sit, ad exercitium decedendo reverti, emolumenti gratia; divertentes,

illico reducendo, hortando solandoque, itemque urgendo, cum id expedit, partim lateater obscureque, partim aperte iis qui ad hæc animum adhibent : ac partim immediate et absque adminiculo per seipsum efficiens, quoties gratiam immittens infundit, partim per angelos custodes, quorum singuli hominibus singulis assignati ac præscripti, incitant ad bonum, et a dæmonum insidiis liberant, quas occulte struunt in hoc itinere quo (ut ait David) proficiscimur, non animæ tantum, verum etiam vitæ nostræ quantum conniti possunt : et cogitationum humanarum imbecillitatem corroborant, ut sic in genere loquar. Neque enim fas est, nec oportet ea audacter aggredi, quæ nec investigari, nec numero comprehendi possunt : dum vitam omnem ita moderantur in iis ad id quod optimum est, ut nulla in re divina bonitas recedat a paterna providentia in liberos, quicunque illam adamant vitam ; parum admodum, et ex lege tantum, de præsenti solliciti. Porro vitæ finem ipsis immittit, aut sinit præparari, secundum tempus et modum, qui aliis ipsius providentiæ generibus consonet, et cæteris eorum qui determinantur, obsequiis et studiis, decore convenienterque saluti propriæ. Propterea Deus et providere omnibus quæ ab ipso facta sunt, dicitur : et divinæ providentiæ bonum ad omnia pertinet, quæ quomodocunque exsistendi capacia sunt : sed prædestinare rationalem tantum naturam, hominem nimirum, existimatur. Adeo ut idem sit in homine duntaxat, providentia Dei et prædestinatio : utroque enim declaratur ratio ordinis ad proprium finem accedendi ; omnino autem et absolute non idem est, sed pars providentiæ exempta. Cætera quippe omnia ad finem ordinantur naturæ suæ congruentem, ac ducuntur solum ut statutum ipsis est duci, non ducunt se ; homo vero cum ad finem excellentem determinetur a Deo, et e domo ducatur simul et adjuvetur ab angelo custode. Itaque sicut ipse solus novit prædestinandos, ita postquam a semetipsis quoque intulerint omne quod ab eximia divinaque in ipsos beneficentia manaverit, cumque sciat ut determinandi sint, etiam ante quam destinentur ; nec prius tantum quam prædestinati, et finem assecuti fuerunt, verum etiam priusquam ipsi nati sunt existuntque, prædestinare dicitur. Ac prædestinati rursus hi vocantur. Et prædestinavit quidem eos qui servantur servandos esse, quemadmodum etiam servat : porro salvos facit, ut et servandos prædestinavit. Proinde, ut qui se exorbitant, deflectunt a via ad terminum ducente, aut obliquando sponte hinc inde, ac Dei erga ipsos studium irritum reddendo, quod, ut destinari possent ac prædestinandi essent, modis omnibus ostendunt. Itaque a limite merito excidentes, reprobantur utique propter seipsos, cum occasio ipsis se obtulerit experientia finis repulsam cognoscendi. Jam vero a Deo reprobati, etiam priusquam fuerint, exsistunt ; non quod in sempiternum reprobare velit, sed quod præscientia præsciat in

A ποιῶν, ὅτε χάριν ἐπιπέμπων ἐνίησι, τὰ δὲ διὰ τῶν φυλαττόντων ἀγγέλων, ὧν ἕκαστος ἑκάστῳ τῶν ἀνθρώπων ἀφωρισμένος, κινεῖ μὲν πρὸς τἀγαθὸν, ἀπαλλάττει δὲ τῆς τῶν δαιμόνων ἐνέδρας, ἣν ὑποκρύπτουσιν ἐν τῇ ὁδῷ ταύτῃ, κατὰ τὸν Δαβὶδ, ᾗ πορευόμεθα, οὐ ταῖς ψυχικαῖς μόνον, ἀλλὰ καὶ ταῖς ζωαῖς ἡμῶν ὅσον δύνανται· καὶ τὴν ἀσθένειαν τῶν ἀνθρωπίνων λογισμῶν ἐνισχύει, ἁπλῶς εἰπεῖν, οὐ γὰρ οἷόν τέ ἐστιν, οὔτε δεῖ τῶν ἀνεξιχνιάστων καὶ ἀναριθμήτων κατατολμᾶν· τὴν μὲν ζωὴν πᾶσαν οὕτως οἰκονομῶν αὐτοῖς πρὸς τὸ βέλτιστον, ὡς μηδὲν τὴν θείαν ἀγαθότητα τῆς πατρικῆς προνοίας ἐκλελοιπέναι τοῖς τέκνοις, ὁπόσοι τῆς ζωῆς ἐκείνης ἐρῶσι, τῆς παρούσης ὀλίγα καὶ κατὰ νόμον φροντίζοντες. Τὸ δὲ τῆς ζωῆς τέλος αὐτοῖς ἐπιπέμπων, ἢ

B παρασκευάζεσθαι συγχωρῶν κατά τε χρόνον καὶ τρόπον, οἷον ἂν γένοιτο ταῖς ἄλλαις αὐτοῦ προνοίαις συνᾴδον, πρὸς τὸ καθάπαξ ὁρισθῆναι καλῶς καὶ ταῖς τῶν ὁριζομένων παρακολουθήσεσι καὶ σπουδαῖς, ὑπὲρ τῆς οἰκείας σωτηρίας πρεπόντως. Διὰ ταῦτα καὶ προνοεῖν μὲν ἁπάντων ὁ Θεὸς λέγεται τῶν ὑπ' αὐτῶν γεγονότων, καὶ τὸ τῆς θείας προνοίας ἀγαθὸν εἰς πάντα διήκει τὰ ὁπωσοῦν τοῦ εἶναι μετέχοντα· προορίζειν δὲ τὴν λογικὴν φύσιν μόνον τὸν ἄνθρωπον. Ὡς εἶναι ταυτὸν μὲν ἐπ' ἀνθρώπου προνοιαν Θεοῦ καὶ προορισμὸν, ἑκατέρῳ γὰρ ὁ λόγος δηλοῦται τῆς εἰς τὸ οἰκεῖον τάξεως τέλος· ἁπλῶς δὲ, οὐ ταυτὸν, ἀλλὰ μέρος τῆς προνοίας ἐξῃρημένον. Τὰ μὲν γὰρ ἄλλα τάττονται πρὸς τέλος τῇ αὐτῶν φύσει

C σύστοιχον, καὶ ἄγονται μόνον ὡς ἐτάχθησαν ἄγεσθαι, οὐκ ἄγουσιν ἑαυτά· ἄνθρωπος δὲ πρὸς τέλος ὑπερφυὲς, ὁριζόμενος μὲν ὑπὸ Θεοῦ πρὸς αὐτὸν, καὶ οἴκοθεν δὲ ἀγόμενος ἅμα, καὶ ἀγγέλῳ φύλακι βοηθούμενος· ὡς οὖν αὐτὸς μόνος εἰδὼς τοὺς ὁρισθησομένους, οὕτως, ἐπειδὰν καὶ τὸ παρ' ἑαυτῶν εἰσενέγκωσιν ἅπαν, τῇ θείᾳ περὶ αὐτοὺς καὶ ὑπερφυεῖ δωρεᾷ· καὶ εἰδὼς, ὡς ὁρισθήσονται, καὶ πρὶν ὁρισθῆναι. Οὐδὲ πρὶν ὁρισθῆναι μόνον, καὶ τοῦ τέλους τυχεῖν· ἀλλὰ καὶ πρὶν αὐτοὺς γεγονέναι καὶ εἶναι, προορίζειν λέγεται. Καὶ προωρισμένοι πάλιν οὗτοι καλοῦνται. Καὶ προώρισε μὲν σωθῆναι τοὺς σωζομένους, ὥσπερ καὶ σώζει· σώζει δὲ, ὡς καὶ σωθῆναι προώρισεν· ὥσπερ αὖ οἱ καθάπαξ ἀφηνιάζοντες τῆς πρὸς τὸν ὄρον ὁδοῦ, ἢ πλαγιάζοντες ἔνθεν κά-

D κεῖθεν ἐκόντες, καὶ τὴν τοῦ Θεοῦ περὶ αὐτοὺς ἀκυροῦντες σπουδὴν, ἣν ὡς ἂν ὁρίζοιντό τε καὶ ὁρισθεῖεν, πᾶσι τρόποις ἐνδείκνυνται. Καὶ οὕτω τοῦ ὄρου δικαίως ἐκπίπτοντες, ἀποδοκιμάζονται μὲν δι' ἑαυτοὺς, ἐπειδὰν ὁ καιρὸς αὐτοῖς ἐπιστῇ τοῦ πείρᾳ γνῶναι τὴν τοῦ τέλους ἀπότευξιν. Τῷ δὲ Θεῷ προαποδεδοκιμασμένοι καὶ πρὶν γενέσθαι τυγχάνουσι, οὐχ ὡς αἰωνίως ἀποδοκιμάζειν ἐθέλοντι, ἀλλ' ὡς αἰωνίως ἀποδοκιμασθησομένους εἰδότι, καὶ πᾶσαν τὴν περὶ αὐτοὺς ἀκυρώσαντας τοῦ Θεοῦ καὶ Πατρὸς πρόνοιαν, καὶ τὴν πρὸς τὸ τυχεῖν τοῦ τέλους σπουδήν. Ἀλλὰ ταῦτα μὲν ἰδίας καὶ μεγάλης δεῖται τῆς πραγματείας. Ἰτέον δὲ νῦν ἐπὶ τὸ προκείμενον. Οὐ γὰρ περὶ τοῦ θείου προορισμοῦ διαλαβεῖν, ἀλλὰ τὸ κινοῦν τὴν μέγαν φωστῆρα δεῖξαι βουλόμεθα.

omne ævum reprobandos, omnemque erga ipsos Dei Patris et Servatoris providentiam irritam effecturos ac studium ad finem assequendum. Verum hæc peculiari magnoque indigent tractatu : nunc ad propositum accedendum est. Etenim non de divina prædestinatione disputationem instituere, sed quid magnum lumen incitarit ostendere volumus.

Ἐπὶ τούτοις ἤδη καλῶς, σκοπείσθω γὰρ ἅμα καὶ τοὐναντίον, εἰς μείζω τῆς ἀληθείας βεβαίωσιν, ὡς ἄρα τῆς ἀνθρωπίνης ζωῆς τε καὶ τελευτῆς, προαιρέσει τε αὐτῶν καὶ φύσει καὶ τύχῃ καταλειπομένων ἂν καθάπαξ, ἢ καὶ μόνῃ τῇ κοινῇ καὶ προσκαίρῳ περὶ τὰ ζῶντα πάντα προνοίᾳ, οἰχήσεται μὲν ἡ τοῦ τοῖς ἀνθρώποις κειμένου τέλους ἐπίτευξις. Οὐ καθάπαξ ὄντος ὑπερφυοῦς, οὐδεὶς αὐτῷ προσαχθῆναι δύναται, μὴ τοῦ θεμένου τε καὶ ὁρίσαντος τούτῳ προσάγοντος, τῷ λύειν τὰς πολλὰς ἐνταῦθα δυσχερείας, καὶ τοσαύτας ταῖς εἰρημέναις μεθόδοις. Καὶ μάτην μὲν Μωϋσῆς, καὶ ὁ δι' αὐτοῦ παιδαγωγικὸς νόμος, πρὸς μείζω τεταγμένος νόμον καὶ τελεώτερον· μάτην δὲ πᾶσα ἡ περὶ τῆς τῶν ἀνθρώπων σωτηρίας σπουδὴ, συλλήδδην εἰπεῖν. Οὐ γὰρ δεῖ καθ' ἕκαστα λέγειν. Ὁ δὲ θεῖος προορισμὸς οὐκ ἔσται λοιπὸν, ὡς οὔτε αὐτοῖς προσάγοντος κατὰ καιρὸν αὐτοὺς τῷ ὅρῳ καὶ τῷ σκοπῷ· οὔθ' ἑαυτῷ πόρρωθεν, καὶ πρὶν γενέσθαι αὐτοὺς προσαγηοχότος. Ἡ δὲ θεία συναναιρεθήσεται πρόνοια οὐ τῶν ἀνθρωπίνων μόνον πραγμάτων, ἀλλὰ καὶ πάντων σχεδόν. Τὴν γὰρ ποικιλωτάτην καὶ σοφωτάτην τῶν ἀνθρωπίνων διοίκησιν τέλος ἡ ἡμετέρα πίστις καὶ καρπὸν ποιεῖται τῆς ἁπλουστέρας τοῦ παντὸς διοικήσεως. Ἐπεὶ καὶ ὑποτεταχέναι ὁ Θεὸς λέγεται τῷ ἀνθρώπῳ πάντα ὑπὸ τοὺς πόδας αὐτοῦ, ὡς ἐπὶ τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ καταστάντι, καὶ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένῳ. Διὸ καὶ τῆς τῶν ἀνθρώπων γενέσεως παυσομένης, καὶ ἡ τῶν οὐρανίων συναναπαύσεται κίνησις, τὰ θεῖά φασι Γόγια, ὡς ἐκείνῃ προὔργου τεταγμένη δουλεύιν. Ἀλλὰ τὰ μὲν ἄλλα ἐῶμεν. Περὶ δὲ τῶν ἀνθρώπων τίς ἔσται λοιπὸν ἡ τοῦ οὐρανίου Πατρὸς πρόνοια ; εἰ τέλος μὲν αὐτῶν τὸ τυχεῖν τῆς μακαρίας ζωῆς, ὁδὸς δὲ ἡ ἐνταῦθα ζωὴ, ἣν καλῶς ὁδεύοντες ἐφικνοῦνται τοῦ τέλους. Οὔτε δὲ καλῶς ὁδεύειν, οὔτε τοῦ τέλους τυγχάνειν ἔχουσιν ἄνευ Θεοῦ. Ὁ δὲ τῆς ὁδοιπορίας αὐτῶν, τουτέστι, τῆς ἐνταῦθα ζωῆς μὴ φροντίζει, ἀρχομένης τε καὶ προβαινούσης καὶ τελειουμένης, ὅπως ἂν δι' αὐτῆς εὐοδοῖντο πρὸς τὸ τέλος καλῶς ὑπερπηδῶντες πᾶσαν δυσχέρειαν ἐξ ἀπείρων συναντῶσαν τῶν τρόπων, μηδὲ πατρικῶς οἰκονομοίη τὰ τέκνα, ἀλλ' ἐᾷη μόνον αὐτὰ φύσεώς τε ἀσθενείᾳ καὶ προαιρέσεως ἀστασίᾳ, καὶ τύχης ἀλογίᾳ φέρεσθαι, δι' ὧν ἀδύνατόν ἐστιν τοῦ ὑπερφυοῦς ἐκείνου τέλους τυχεῖν, καὶ τοσοῦτον προνοοῖτο τῶν τέκνων, ὅσον καὶ τῶν βοῶν, οὐκ εἰδικώτατόν τινα τρόπον. Ἀλλ' ὁ μακάριος Παῦλος ἐν τῇ πρὸς Κορινθίους οὐ μέλειν τῷ Θεῷ φησι περὶ τῶν βοῶν· οὐχ ὡς μηδ' ὅλως μέλον αὐτῷ βοῶν τε καὶ τῶν ὁμοίων, ἀλλ' ὡς τῆς περὶ τούτων προνοίας μηδεμίαν σχεδὸν πρὸς τὴν περὶ τῶν ἀνθρώπων πρόνοιαν ἐχούσης παράθεσιν. Ὡς ταύτην μόνον δύνασθαι καὶ χρῆναι καλεῖσθαι πρόνοιαν ἀληθῶς καὶ φροντίδα τοῦ θείου παντὸς ἕνεκεν δικαίου καὶ λόγου. Τούτων δὲ ἀναιρουμένων, ὡς εἴρηται, εἰκῇ μὲν Ἰὼβ ἐπαινεῖ-

A Jam super his pulchre se res habet. Simul utique spectetur etiam contrarium, ut veritas magis stabiliatur : tanquam si humana vita atque obitus consilio et naturæ et fortunæ semel derelinquerentur, vel soli communi et opportunæ providentiæ quæ omnibus viventibus consulit ; ita evanesceret propositi finis hominibus assecutio. Qui cum prorsus naturam superet, nullus ad ipsum potest adduci, nisi is qui statuit et definit, ad eum adducat, multas hic solvendo difficultates, et tot tamque variis viis et rationibus quæ dictæ sunt. At frustra sane Moses et per eum condita lex instituendi vim habens, ' ad graviorem et perfectiorem legem constituta : incassum etiam omnis de salute hominum

B cura et sollicitudo, ut simul omnia dicendo complectar : nec enim sigillatim quæque enuntianda sunt. Utique divinæ prædestinationi locus non relinquetur, cum nec exsistat qui homines commode opportuneque admoveat termino et metæ, neque vero qui sibi eminus priusquam nati sint adduxerit. Porro divina simul tolletur providentia, non humanarum modo rerum, sed et omnium propemodum. Etenim diversissimam ac prudentissimam humanarum rerum administrationem, fides nostra finem fructumque facit simplicioris universorum gubernationis. Quandoquidem Deus omnia homini subdidisse dicitur, et quasi pedibus substravisse, ut ei qui propositus est operibus manuum suarum, ‹ et paululum distat ab angelis, › et mentibus cœlestibus prope

C exæquatur. Idcirco cum hominis progenies desinet, una etiam cœlestium orbium motio consistet, ut divina aiunt oracula, tanquam ad hunc finem ut serviat illi constituta. Verum hæc et alia missa faciamus. Pro hominibus autem quænam erit deinceps Patris ætherei providentia? siquidem finis præmiumque ipsorum est vitam beatam assequi. Vita vero quæ hic degitur, via est, quam qui pulchre conficiunt, ad metam perveniunt. Sed neque ulli pulchre iter illud ingredi, neque finem obtinere unquam absque Deo possunt. Hic autem viæ ab illis cœptæ, procedentis et perfectæ, hoc est vitæ quam hic exigunt, curam rationemque haberet nullam, ut per eam prospere accederent ad ultimum bonum, omnem difficultatem

D ex innumeris modis occurrentem facile pulchreque superantes : neque liberos affectu paterno moderaretur, sed eos tantum et imbecillitati naturæ et voluntatis inconstantiæ permitteret, ac fortunæ temeritati agi ferri sineret : quibus certe modis nefas est finem illum qui naturam excedit consequi, eodemque pacto prospiceret liberis, quo bobus consulit, non peculiari maxime cura? Verumenim vero beatus Paulus, in Epistola ad Corinthios, Deo haudquaquam curæ boves esse affirmat : non quod boum ac similium curam prorsus abjecerit, sed quia pro-

videntia, qua prospicitur illis, nullam fere comparationem habeat cum providentia qua consulit hominibus : ut hanc tantum fas ac necesse sit vere providentiam et curam divinam optimo jure appellari. His autem sublatis, ut dictum est, temere Job laudaretur, dum ait, « Dominus dedit, Dominus abstulit : ut Domino visum est, ita factum est. » Frustra etiam David laudibus extolleretur quotidie in ecclesiis, qui in omnibus ferme psalmis suis divinam celebrat et prædicat prædestinationem, cum non unicuique tantum homini dicit, « Angelis suis mandavit de te, » et quæ deinceps : verum etiam nationibus totis familiisque et urbibus. Quæ concinunt Isaiæ et Amos vaticiniis : in quibus ille quidem dicit, « Qui pacem facit et creat mala ; » hic vero, « Non est malum in civitate, quod Deus non fecerit. » Ac rursus apud Isaiam scribitur, « Omnia opera nostra operatus es, Domine, nobis. » Inaniter quoque angelicorum ordinum præfecturæ essent, quorum ministerio divinis hæc suffragiis peraguntur. Et Jesu Domino nostro dicente, « Sine Dei voluntate ne capillus quidem e capite vestro perit, » et quæ sequuntur ; ac de se ipso iterum loquente, « Ita scriptum est, et sic oportuit Christum pati, etc. » Itemque hoc, « Sed non ut ego volo ; verum ut tu. » Et istud, « Sine me non potestis facere quidquam, » et multa ejusmodi quæ divinam firmant prædestinationem de cujusque vita et nece : quandoquidem etiam ipse, ut de homine, de se hæc disserebat, et quasi secundum humanitatem pateretur hæc omnia, serio et congruenter Deo definita, ubinam statuemus ? Sed ad apostolos accedamus. Petrus omnibus fratribus consiliam dat ut impense studeant per opera bona firmam vocationem et electionem reddere, qua electi fuerant. De se vero, « scire dicit proxime instare depositionem tabernaculi sui, » idque Dominum Jesum Christum sibi declaravisse ; Paulus autem se prædestinatum nominans ad Evangelium Dei, quod pranuntiavit per prophetas in eloquiis sacris, et quæ deinceps ; idemque per Mosem stabiliens hoc profert : « Miserebor quem misereor, et commiseratione prosequar quem commisereor ; » ita perorando, « Igitur non volentis, nec currentis, sed miserantis Dei ; » et, « Quos præscivit et prædestinavit, hos et vocavit. » Itemque illos quidem « vasa iræ apta in interitum » dicens, hos vero « vasa misericordiæ præparata et vocata ad gloriam. » Ac rursus, « Nemo (inquit) sibi ipsi vivit, et nemo sibi moritur. » Idem rursus ad Ephesios ait, « Elegit nos in se (Deus) ante mundi constitutionem, qui prædestinavit nos in adoptionem filiorum, etc. » Eodemque modo de reprobatis ab æterna vita dicit in ea quam ad Romanos scripsit : « Quod si Deus volens ostendere iram » (hoc est, justitiæ ultricem dicamve) « et notam facere potentiam suam, sustinuit » (hoc est condemnavit) « in multa patientia vasa iræ aptata in interitum : ut ostenderet divitias gloriæ suæ in vasa misericordiæ, quæ præparavit in gloriam. » Et ubique suarum Epistolarum, divinam ita prædestinationem confirmans.

τατι λέγων, « Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο, ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο· » εἰκῆ δὲ καὶ Δαβὶδ πάνυ τιμᾶται καθ' ἡμέραν ἐν ἐκκλησίαις, διὰ πάντων αὐτοῦ τῶν ψαλμῶν σχεδὸν τὸν θεῖον ἀνυμνῶν καὶ κηρύττων προορισμὸν, οὐκ ἐφ' ἑκάστῳ μόνον ἀνθρώπῳ λέγων· « Τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ » καὶ τὰ ἑξῆς, ἀλλὰ καὶ ἔθνεσιν ὅλοις, καὶ συνοικίαις, καὶ πόλεσιν, Ἡσαΐᾳ συμφώνως καὶ τῷ Ἀμὼς· τῷ μὲν λέγοντι, « Ὁ ποιῶν εἰρήνην, καὶ κτίζων κακά· » τῷ δὲ, « Οὐκ ἔστι κακία ἐν πόλει, ἣν Κύριος οὐκ ἐποίησε. » Καὶ αὖθις αὐτῷ τῷ Ἡσαΐᾳ, « Πάντα τὰ ἡμέτερα ἔργα εἰργάσω, Κύριε, ἐν ἡμῖν. » Εἰκῆ δὲ αἱ τῶν ἀγγελικῶν ταγμάτων ἐπιστασίαι, δι' ὧν ταῦτα ὑπηρετουμένων ταῖς θείαις ψήφοις ἀνύεται. Τοῦ δὲ Κυρίου ἡμῶν Ἰησοῦ λέγοντος, ὅτι « Ἄνευ τοῦ θείου θελήματος οὐδὲ θρὶξ ἐκ τῆς ἡμῶν ἀπόλλυται κεφαλῆς, » καὶ τὰ ἑξῆς· καὶ περὶ ἑαυτοῦ λέγοντος αὖ, ὅτι « Οὕτω γέγραπται, καὶ οὕτως ἔδει παθεῖν τὸν Χριστὸν, » καὶ τὰ ἑξῆς· καὶ τὸ, « Πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ· » καὶ τὸ, « Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδὲν, » καὶ πολλὰ τοιαῦτα, τὸν θεῖον ἐπικυροῦντα προορισμὸν περὶ τῆς ἑκάστου ζωῆς καὶ τελευτῆς. Ἐπεὶ καὶ αὐτὸς, ὡς περὶ ἀνθρώπου ἑαυτοῦ ταυτὶ διελέγετο, καὶ ὡς κατὰ τὸ ἀνθρώπινον πάσχοντος ταῦτα πάντα σπουδαίως καὶ θεοπρεπῶς ὡρισμένα, ποῦ τάξομεν ; Ἀλλ' ἐπὶ τοὺς ἀποστόλους ἐρχώμεθα. Ὁ Πέτρος συμβουλεύων πᾶσι τοῖς ἀδελφοῖς, ὅπως σπουδάζωσι δι' ἀγαθῶν ἔργων βεβαίαν τὴν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθαι, ἣν ἐξελέγησαν· περὶ δὲ ἑαυτοῦ λέγων εἰδέναι, ὡς ἄρα ταχινή ἐστιν ἡ ἀπόθεσις τοῦ σκηνώματος αὐτοῦ, καὶ ὁ Κύριος Ἰησοῦς Χριστὸς αὐτῷ τοῦτο ἐδήλωσεν· ὁ δὲ Παῦλος ἀφωρισμένον ἑαυτὸν καλῶν, εἰς εὐαγγέλιον Θεοῦ ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν ἐν Γραφαῖς ἁγίαις, καὶ τὰ ἑξῆς· ἔτι τὸ διὰ τοῦ Μωσέως βεβαιῶν, « Ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω· » καὶ συμπεραίνων, « Ἄρα οὖν οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ· » καὶ πάλιν· « Οὓς προέγνω, καὶ προώρισε, τούτους καὶ ἐκάλεσε· » καὶ αὖθις, τοὺς μὲν « σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν, » λέγων, τοὺς δὲ « σκεύη ἐλέους, προητοιμασμένα καὶ κεκλημένα εἰς δόξαν· » καὶ αὖθις λέγων, « Οὐδεὶς ἑαυτῷ ζῇ, καὶ οὐδεὶς ἑαυτῷ ἀποθνήσκει· » καὶ πρὸς Ἐφεσίους αὖθις λέγων· « Ἐξελέξατο ἡμᾶς ἐν ἑαυτῷ ὁ Θεὸς πρὸ καταβολῆς κόσμου, προορίσας ἡμᾶς εἰς υἱοθεσίαν, » καὶ τὰ ἑξῆς· ὁμοίως καὶ περὶ τῶν ἀποδεδοκιμασμένων ἀπὸ τῆς αἰωνίου ζωῆς λέγων ἐν τῇ πρὸς Ῥωμαίους· « Εἰ δὲ θέλων ὁ Θεὸς δεῖξαι τὴν ὀργὴν, τουτέστι τὴν τῆς δικαιοσύνης ἀπότισιν, καὶ γνωρίσας τὴν δύναμιν αὐτοῦ, ὑπέμεινε, τουτέστι, συνεχώρησεν, ἐν πολλῇ μακροθυμίᾳ, σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν, ἵνα δείξῃ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ ἐπὶ σκεύη ἐλέους, ἃ προητοίμασεν εἰς δόξαν· » καὶ πανταχοῦ τῶν οἰκείων ἐπιστολῶν τὸν θεῖον οὕτω προορισμὸν βεβαιῶν, τὴν περὶ τοὺς ἀνθρώπους δηλαδὴ εἰδικὴν πρόνοιαν, καὶ ὅσα ταύτῃ περὶ τῶν ἀνθρωπίνων πραγμάτων συνέπεται· εἰκῇ ταῦτα λέγει, μᾶλλον δὲ λέγουσιν ; ἀπείη γε τοῦτο.

specialem nimirum circa homines providentiam, et quæcunque huic in hominum negotiis consentanea sunt : an incassum hæc dicit, vel potius dicunt? absit hoc plane.

Ὁρᾷς τῆς ἐναντίας δόξης τεθείσης ἐξ ὑποθέσεως, A ὅσα τῶν ἀληθῶν ἀναιρεῖται ; μᾶλλον δὲ οὐδὲν σχεδὸν ὑπολείπεται. Τὰ γὰρ ἐκ τῆς ἱερᾶς Γραφῆς παρηγμένα νῦν ἄλλο μὲν ἄλλου μυστηρίου πλήρες ἐστί· πάντα δὲ αὐτὰ σὺν ἐκείνοις, μιᾶς τῆς προκειμένης ἡμῖν ὕλης εὐρυτάτης οὔσης, ἔνδον ἐστίν. Ἧς σαλευομένης ἂν, οὐδὲν ἐκείνων μένει λοιπόν. Εἰ δὲ πάσαις ἀνάγκαις ὁ θεῖος κρατεῖ προορισμός, μέρος ὢν τῆς θείας Προνοίας, τὸ μέγιστον καὶ δόγμα τῆς πίστεως ἀναντίῤῥητον, καὶ καθάπερ σύνδεσμος τῆς πίστεως ὅλης. Καὶ οἱ μὲν τῶν ἀνθρώπων πρὸς τὴν αἰώνιόν εἰσι προωρισμένοι ζωήν, οἷς καὶ οἱ ἐλεούμενοι συναριθμεῖσθωσαν νῦν· οἱ δὲ ἀπ' αὐτῆς ἀποδεδοκιμασμένοι εὐλόγως καὶ τὰ κατὰ τὴν ζωὴν ἑκάστου καὶ τελευτὴν τῇ ἐπιτεύξει τοῦ τέλους, ἢ ἀποτεύξει, οἰκείως συνδιατίθενται· ὡς ἐπίπαν μὲν, B καὶ τῆς ἑκάστου πονηρίας ἢ ἀρετῆς, καὶ εὐβουλίας ἢ ἀβουλίας, τῇ τοιαύτῃ συνεργούσης ἐφεξῆς· διατάξει τοῦ θείου, ἔστι δὲ ὅτε καὶ παρὰ τὴν ἑκατέρων ἐν τῷ παραυτίκα μελέτην τε καὶ σπουδὴν, τὸ πρέπον ταῖς αὐτῶν ἕξεσι καὶ ἀξίαις, καὶ ζῶσι καὶ τελευτῶσιν οἰκονομοῦντος, ὡς ἂν ποικίλαις τε καὶ πολυτρόποις μεθόδοις, καὶ ἄλλαις ἐπ' ἄλλων κρινομέναις, κατὰ τὴν εὐρυτάτην καὶ πάνσοφον αὐτοῦ διοίκησιν, ὁ θεῖος περὶ αὐτοὺς προορισμὸς ἐξανύοιτο, ἡ τοῦ ὅρου δηλονότι καὶ τέλους ἐπίτευξις ἢ ἀπότευξις. Εἰλήφθω γὰρ νῦν κοινῶς προορισμὸς, ὡς προορισμοῦ γένος καὶ ἀποδοκιμασίας. Τῆς δὲ τῶν ἀνθρώπων ζωῆς, ἣν ἂν οἰκοθεν προαιρῆνται, ἢ συμπροσαγούσης τῷ τέλει μετὰ τῆς ἄνωθεν συνεργείας, ἢ ἀφιστώσης τοῦ τέ- C λους μετὰ τῆς ἐκεῖθεν ἐγκαταλείψεως· εὐλόγως καὶ ἡ μετάθεσις μὲν ἀπὸ τῆς τοιαύτης ζωῆς, τῇ τε πρὸς τὸ τέλος ὁδῷ, τοῦτ' ἔστι τῇ παρούσῃ ζωῇ, καὶ τῇ μετ' αὐτὴν οἰκείᾳ τοῦ τέλους ἐπιτεύξει ἢ ἀποτεύξει, σύμμορφός ἐστι καὶ συνᾴδουσα, ὥσπερ μεθόριον οὖσα τῶν ζωῶν ἀμφοτέρων, καὶ τῆς ὁδοῦ, καὶ τοῦ τέλους ὥσπερ συνάφεια· ἔστι μὲν ὅτε καὶ φανερᾶς οὔσης πᾶσι τῆς τελευτῆς, ὅπως ἔχει πρὸς τὴν εὐθὺς διαδεξομένην ζωὴν ἀθλίαν, ἢ μακαρίαν, ὡς ἐπὶ τῶν δικαιοσύνης ἕνεκα, ἢ εὐσεβείας, αἱρουμένων θνήσκειν προδήλως, οὐκ ἄνευ Θεοῦ καὶ τῆς ἄνωθεν ἐπιπνοίας, ὃ προσήκει τοῖς μάρτυσι, καὶ πᾶσι τοῖς μετ' ἀρετῆς καὶ δι' αὐτὴν τελευτῶσι, κἂν μὴ φανερῶς τῷ μαρτυρίῳ προσάγωνται, ἀλλ' ἐπιβουλευόμενοι βιαίως ἐξάγωνται τῆς ζωῆς καὶ συκοφαν- D τούμενοι, ἢ ἐπὶ τῶν φυγόντων τὸν κόσμον, καὶ σταυρῷ πρέπουσαν ζησάντων ζωὴν, καὶ ὁμοίαν τῇ ζωῇ τελευτὴν ἀπαράκλητον, ἐνίων δὲ καὶ ἄδικον ὑφισταμένων, ἢ τοὐναντίον ἐπὶ τῶν ἐπ' ἀδίκοις καὶ πονηροῖς τολμήμασι, καὶ τῇ ὅλῃ συμμόρφοις αὐτῶν ζωῇ τὴν πρέπουσαν ὑφισταμένων βιαίως ἔξοδον.

Viden, ut opinione contraria constituta ex conditione, quot vera decreta de medio tollantur? quin imo nihil propemodum reliqui est. Etenim ex his quæ ex sacra Scriptura modo sunt abducta, aliud quidem alio mysterio plenum est. Sed hæc omnia cum illis intra unam e proposita nobis materia quæ latissime patet, continentur : qua nutante, illorum nihil in posterum remanet. Quod si sacra prædestinatio omnibus præpollet necessitatibus, cum divinæ Providentiæ pars sit maxima, et fidei decretum cui adversari non licet, ac veluti fidei totius convinctio: et homines partim ad æternam vitam sunt prædestinati, quorum numero etiam nunc ascribantur, quibus misericordia fit : partim ab ipsa reprobati sunt : jure merito etiam quæ ad vitam cujusque et obitum spectant, finis consecutione vel repulsa peculiariter una disponuntur : quasi omnino unius cujusque improbitate et virtute, et bono vel malo consilio huic Dei constitutioni deinceps cooperante. Interdum etiam juxta utrorumque curam et studium, repente vestigio, quod ipsorum habitibus et meritis decorum est, et viventibus et morientibus numen regit ac moderatur : sicut variis ac diversis admodum modis et rationibus quæ aliæ in aliis judicantur, secundum latissimam et sapientissimam ipsius administrationem, divina circa eos prædestinatio perficere posset, nimirum limitis ac termini consecutio vel repulsa. Sumatur enim nunc communiter prædestinatio; velut genus prædestinationis et reprobationis : quando hominum vita, quam apud se quisque domi elegerit, aut simul ad finem adducit cum adjumento cooperationis ab alto; aut a fine abducit cum derelictione, quæ indidem fit; consentanea etiam demutatio ab ejusmodi vita congruens viæ quæ ad finem perducit; hoc est præsenti vitæ, et peculiari post eam finis adeptioni aut repulsæ conformis est atque consonans; perinde ac si in confinio esset utriusque vitæ, et tanquam viæ atque finis copula. Aliquando enim cum interitus omnibus sit conspicuus, ut habet se ad vitam ærumnosam aut beatam quæ statim exceptura est : quemadmodum in iis qui justitiæ causa aut pietatis palam mori voluere, non absque Deo, et inspiratione quæ desursum venit; quod martyribus convenit, atque omnibus qui cum virtute et propter ipsam moriuntur; tametsi manifeste martyrio non admoveantur; sed insidiis et calumniis appetiti, vita spolientur : aut iis qui fugere mundum, vel cruci congruentem agitarunt vitam, ac similem vitæ obitum consolationis expertem : cum nonnulli iniquam vitæ degendæ mortisque subeundæ rationem insistunt : aut contra, iis convenientem qui ob injusta et scelerata facinora toti ipsorum vitæ consentanea, congruentem interitum violenter sufferunt.

Οὐ μόνον δὲ τῇ κρίσει τῶν ἀνθρώπων σαφὴς ἐστιν ἡ τοιαύτη τελευτὴ ποῦ φέρει, ἀλλὰ τοῖς ὑπὲρ ἀρετῆς τε καὶ εὐσεβείας θνήσκειν προαιρουμένοις λαμπρὰ καὶ ποικίλη ἡ οὐράνιος ἐπιφαίνεται μαρτυρία, καὶ

Verum non judicio tantum hominum dilucidum est, quo tendat mors ejusmodi : sed pro virtute et pietate mori cupientibus, clarum et varium apparet cœleste testimonium, et familiarium oculos ac

mentes percellit. Interdum etiam multos fugit mortis terminus, præter eos qui sustinent : aliquando nc ipsis quidem hic conspicitur donec sunt in corpore, vel dum etiam expiat interitus divina benignitate, si violentus sit; quibus decretum fuerit sufficere usque adeo expiari, ut misericordiam obtinentes finem beatum nanciscantur : vel dum alios juvat, si exordium sit infelicitatis quæ illic est, et improbitatis, quæ hic exercetur, atque indicium animadversionis propter ipsam, vi inducatur; aut additamento miseriæ quæ ibi est, facto in improbis, si absque cruciatu mors fuerit : aut ad compensationem aliquam justitiæ hic actæ, quasi alia pravitas ipsorum illic quod par et proprium est acceperit; justitia hic exhibita viventibus et morientibus non prorsus mercede fraudata fuerit : interdum etiam nonnullorum precibus numen elargitur. Non enim omnibus neque omnium votis gratificatur; ac diversam in ipsis vitæ sortem decernit. Etenim quidam vitæ exitum dolore carentem et pacatum sibi apprecantur : alii generosum potius et qui materiam ipsis exhibeat sapientiæ studii, et bonæ spei. Nam sic e vita migrare, vel coronarum augmentum iis qui honeste, probe pieque admodum vixerunt, aut expiationem perfectam absolutionemque omnis reatus iis qui lapsi sunt, comparare certum est. Subministrat autem divino circa quemvis judicio, tum diversus vitæ status, ordo et propositum, in unoquoque, tum electionis voluntatisque rursus in pluribus, et ordinis communione, ad diversum in singulis, et eumdem in pluribus vitæ excessum definiendum. Ecquænam porro mens satis virium et acuminis haberet, ad infinitam Dei dispensationem investigandam in ejusmodi rebus e sacris eloquiis ac divinis actis colligendam? Quemadmodum igitur sapientissima et divina administratio circa mortis modum est, juxta Providentiæ ipsius constitutionem in unoquoque hominum : sic etiam circa commutationis tempus diversam et variam dispensationem divinam videre est. Nam iis qui in juventute vitam cum morte commutant, vita eripitur, eo quod temporis accessione virtus et intelligentia ipsorum incrementum acceptura non esset; sed in pejus mutatura. Aliis vita prorogatur, qui concessa vitæ usura, magnos in bono profectus facturi, atque aliis profuturi sunt exemplo suo : vel ex adverso, quia futurum esset ut parentum peccati fierent participes, ac flagitii, eorum pœnas hic luerent. Imbecillitate vero et corporis morbis vexati affliguntur, et mortem obeunt, plerique quibus mors ante diem conceditur, ut errata leviora interitu condonentur : at vivunt quidam utique diutius ut plurimum, ad usum et bonum publicum : alii contra ad perniciem reipubl. cum digni sint utrique : hi quidem qui subministrent, illi autem qui divina benignitate potiantur, aut aversa a Deo mente. Excedunt porro e vita ad utilitatem certe suam celerius, sed eorum damno quibus illorum vita emolumento erat, postquam indigni ipsa judicati fuerint. Ex iis autem

A τὰς τῶν συνόντων ὄψεις καὶ ψυχὰς καταπλήττουσα. Ἔστι δ' ὅτε καὶ λανθάνει μὲν τοὺς πολλοὺς τὸ πέρας τῆς τελευτῆς, πλὴν αὐτῶν τῶν ὑφισταμένων, ἐνίοτε μηδὲ αὐτοῖς ἐνταῦθα συνορώμενον, ἕως εἰσὶν ἐν τῷ σώματι, καὶ ἡ καθαιρούσης τῆς τελευτῆς ἐκ θείας φιλανθρωπίας ἂν βίαιος ᾖ, οἷς ἀρκεῖν ἂν κριθείη τοσοῦτον καθήρασθαι πρὸς τὸ τυχεῖν ἐλεουμένους τέλους εὐδαίμονος, ἢ τοὺς ἄλλους ὠφελούσης, ἂν προοίμιον τῆς ἐκεῖ κακοδαιμονίας, καὶ τῆς ἐνταῦθα πονηρίας, καὶ δι' αὐτὴν ἀποστροφῆς ἐνδειξις, βιαίως ἐπάγηται, καὶ ἡ προσθήκης τῇ ἐκεῖ κακοδαιμονίᾳ οὔσης ἐν τοῖς πονηροῖς, ἂν ἀνώδυνος ᾖ· ἢ πρὸς ἀμοιβήν τινα δικαιοσύνης ἐνταῦθά τινος, ὡς ἂν τῆς ἄλλης πονηρίας αὐτῶν ἐκεῖ τὸ δέον καὶ οἰκεῖον προσλῃψομένης, ἡ ἐνταῦθα δικαιοσύνη καὶ
B ζῶσι καὶ τελευτῶσι, μὴ καθάπαξ ἄμισθος ᾖ. Ἐνίοτε δὲ καὶ εὐχαῖς τινων χαριζόμενον τὸ θεῖον, οὐ γὰρ πάσαις οὐδὲ πάντων χαρίζεται, τὴν διάφορον ἐν αὐτοῖς τοῦ βίου ψηφίζεται λῆξιν. Οἱ μὲν γὰρ ἀνώδυνον καὶ εἰρηνικὸν αὐτοῖς εὔχονται τὸ τοῦ βίου τέλος ὑπάρξειν· οἱ δὲ γενναῖον μᾶλλον, καὶ ὕλην αὐτοῖς παρέχον φιλοσοφίας καὶ εὐελπι. Τὸ γὰρ οὕτω μεταστῆναι τοῦ βίου ἢ στεφάνων προσθήκην τοῖς ἀκριβῶς βεβιωκόσιν, ἢ κάθαρσιν τελείαν καὶ λύσιν ἐνοχῆς ἁπάσης τοῖς ἐπιεικόσιν, οἰδασιν ὃν. Ὑπουργεῖ δὲ τῇ θείᾳ περὶ ἕκαστον κρίσει ἥ τε διάφορος τοῦ βίου τάξις τε καὶ προαίρεσις ἐν ἑκάστῳ, καὶ ἡ τῆς
C προαιρέσεως αὖ ἐν πλείοσι καὶ τῆς τάξεως κοινωνία, πρὸς τὸ διάφορον ἐν ἑκάστοις, ἢ τὸ αὐτὸ ἐν πολλοῖς· τὸ τῆς ζωῆς ὁρίζεσθαι τέλος. Καὶ ποῖος ἂν ἐξαρκέσειε νοῦς τὴν ἄπειρον ἀνιχνεύειν τοῦ θείου οἰκονομίαν ἐν τοῖς τοιούτοις ἐκ τῶν θείων Γραφῶν, καὶ τῶν θείων ἔργων συλλεγομένην; Ὥσπερ οὖν περὶ τὸν τρόπον τῆς τελευτῆς ποικιλωτάτη καὶ πάνσοφος ἡ θεία οἰκονομία, κατὰ τὴν ἐφ' ἑκάστῳ τῶν ἀνθρώπων τῆς αὐτοῦ Προνοίας διάταξιν· οὕτω καὶ περὶ τὸν χρόνον τῆς μεταστάσεως διάφορον καὶ ποικίλην τὴν θείαν οἰκονομίαν ἔστιν ὁρᾷν. Οἱ μὲν γὰρ ἐν νεότητι μεθίστανται τῆς ζωῆς ταύτης ἁρπαζόμενοι, ὡς τῆς τῶν χρόνων προσθήκης οὐ τὴν ἀρετὴν αὐτῶν καὶ τὴν σύνεσιν αὔξειν μελλούσης, ἀλλὰ μεταβάλλειν ἐπὶ τὸ χεῖρον· οἱ δὲ συγχωροῦνται ζῆν τῇ τῆς ζωῆς προσθήκῃ, προκόψοντες ἐπὶ τἀγαθὸν, καὶ ἄλλους ὠφελήσοντες τῷ καθ' ἑαυτοὺς ὑποδείγματι, ἢ τοὐν-
D αντίον, ὥστε τῆς τῶν πατέρων ἁμαρτίας μέλλοντας γίνεσθαι κοινωνοὺς, καὶ τὴν τῆς ἁμαρτίας ἐκείνων δίκην ὑπέχειν ἐνταῦθα. Οἱ δὲ ἀσθενοῦντες καὶ ἀῤῥωστοῦντες κακοπαθοῦσι καὶ θνήσκουσιν ἱκανοὶ, οἷς ἡ τελευτὴ καὶ πρὸ ὥρας συγχωρεῖται· ὥστε τὰ ἁμαρτήματα τῶν κουφοτέρων ὄντα τῇ τελευτῇ διαλύσασθαι. Καὶ ζῶσι μέν τινες ἐπὶ πλέον κοινωφελῶς, ἄλλοι δὲ τοὐναντίον κοινοβλαβῶς, ἀξίων ὄντων ἑκατέρων τῶν μὲν ὑπουργεῖν, τῶν δὲ ἀπολαύειν τῆς θείας εὐμενείας, ἢ τῆς θείας ἀποστροφῆς. Μεθίστανται δέ τινες αὖθις ἐπ' ὠφελείᾳ μὲν ἑαυτῶν τάχιον, ζημίᾳ δὲ τῶν ἐκ τῆς ἐκείνων ὠφελουμένων ζωῆς, ἐπειδὰν αὐτῆς κριθῶσιν ἀνάξιοι. Τῶν δ' ἑαυτοῖς μόνοις καὶ Θεῷ ζώντων ἄλλοις δι' ἄλλας αἰτίας, ὠφελίμους αὐτοῖς, ἡ ζωὴ μακρύνεται ἢ συντέμνε-

ται, καὶ προδηλοῦταί γε πολλοῖς αὐτῶν, καὶ ἄλλοις περὶ αὐτῶν προδηλοῦται. Καὶ οὕτω τῷ τρόπῳ τῆς τελευτῆς ὁ χρόνος αὐτῆς ἐν τῷ πανσόφῳ περὶ αὐτῶν συνάδει θελήματι, ὡς ἐνίοτε μὲν καὶ τοῖς καλῶς ἐπισκιπτομένοις ὁρᾶσθαι δύνασθαι, καὶ μᾶλλον ἀποκαλύπτοντος τοῦ Θεοῦ, τὸ δὲ πλεῖστον τῷ Θεῷ μὲν ἐγνῶσθαι, πάντας δὲ λανθάνειν ἀνθρώπους.

qui sibiipsis tantum et Deo vivunt, nonnullis propter alias causas ipsis utiles vita producitur, vel corripitur : ac præsagitur sane plerisque ipsorum, atque aliis de ipsis præsignificatur. Itaque interitus generi, tempus ipsius in sapientissima de utroque voluntate concinit ; adeo ut aliquando etiam pulchre inspectantibus videri possit, sed multo magis

revelante Deo : ut plurimum autem Deo quidem utrumque perspectum est, omnes vero homines latet.

Τούτων ἁπάντων αἱ ἱεραὶ ἱστορίαι πλήρεις εἰσίν. Αἱ τῶν Πατέρων διακρίσεις τῶν ἱερῶν, οὐ μάτην συγγεγραμμέναι, οὐ μάτην ἀναγινωσκόμεναι, τοῖς μετὰ τῆς ἀληθείας ; ὁμοῦ καὶ τῆς ἑαυτῶν φροντίζουσι σωτηρίας. Ἀλλ' ὃ μεῖζόν ἐστι, τούτων ἁπάντων ἡ θεία γέμει Γραφή, λέξεσιν αὐταῖς, ἃ νῦν γεγραπται, βεβαιοῦσα, εἰ καὶ συντομίας χάριν τὰς ἐφ' ἑκάστῳ τούτων ἐξ αὐτῆς παρήκαμεν μαρτυρίας. Οὐδ' αὐτὴ πάντας ἱστορεῖ τοὺς τρόπους, ἀμήχανον γάρ· ἀλλὰ βραχεῖ τινας τούτους, ὡς ἂν ἐξ αὐτῶν καὶ περὶ τῶν ἀγνοουμένων, ὡς σιωπωμένων, βεβαίαν ἡμεῖς τὴν περὶ τῆς Προνοίας ἔχωμεν πίστιν, ἣν οὐ γεννωμένων μόνον ἡμῶν καὶ ζώντων, ἀλλὰ καὶ μεθισταμένων ἐντεῦθεν ποιεῖται, ὡς τῇ θείᾳ πρέπον ἐστὶν ἀξίᾳ καὶ ἀγαθότητι καὶ σοφίᾳ. Μᾶλλον δὲ ταυτόν ἐστι τὸ ζώντων ἡμῶν προνοεῖν, καὶ τὸ τέλος τῆς ζωῆς ὁποῖον ἔσται καὶ ὅτε μὴ καθάπαξ ὑπερορᾷν. Ὅ τῆς ἐνταῦθα ζωῆς ὅρος, καὶ πέρας, καὶ κρίσις ἐστὶ καὶ σφραγίς, καὶ οὗ προὔργου πάντες οἱ ζῶντες φροντίζουσιν, οἵ τε ἀπευχόμενοι τὸν θάνατον ἐγγύθεν ἥκειν, οἵ τε εὐχόμενοι, διαφόρως ἑκάτεροι. Ἔστι δ' ὅτε καὶ τοῖς αὐτοῖς ἀγόμενοι λογισμοῖς, ἀκούουσι γὰρ τὸ, Ἐν ᾧ εὕρω σε, ἐκεῖ καὶ κρινῶ σε. Τίνα δὲ λόγον ἔχον ἐστὶ τῆς μὲν τῶν ἀνθρώπων ζωῆς οὕτω πατρικῶς τὸν Θεὸν προνοεῖν, τῆς δὲ τελευτῆς αὐτῶν μηδένα ποιεῖσθαι λόγον ; ἡ μὲν γὰρ ἐνταῦθα ζωὴ ὁδοιπορία τίς ἐστι πρὸς τὸ προκείμενον τέλος· ὁ δὲ θάνατος τὴν ἐνταῦθα παύει ζωήν. Καὶ πᾶσα μὲν ἑκάστου σπουδὴ, πᾶσα δὲ θεόθεν χορηγία συναποπαύεται. Πολλὰ δὲ τὰ ποιοῦντα τὸν θάνατον· ὥστε καὶ τὰ τὴν ζωὴν παύοντα ταύτην, τὴν μόνην ὕλην τῶν περὶ ἡμᾶς προνοιῶν τοῦ Θεοῦ, δι' ὧν πρὸς αὐτὸν ὁριζόμεθα. Αὐτὸς γάρ ἐστι τὸ τέλος ἡμῶν, οὐδ' εἰ; ἄλλο τέλος ἡμᾶς ὁρίζει παρ' ἑαυτόν. Οὐκοῦν ἡ τοσαύτη περὶ ἡμᾶς τοῦ Θεοῦ πρόνοια πάρεργον ἔσται τῶν ποικίλων καὶ πολυτρόπων αἰτιῶν τοῦ θανάτου, καὶ τύχης καὶ αὐτομάτου, καὶ τῶν κατὰ συμβεβηκὸς λεγομένων καὶ πάντων τῶν ὁπωσοῦν ὄντων, κατὰ πρόνοιαν ὄντων, ἢ μᾶλλον, ὁ μὴ προντίζων ὁπότε καὶ ὅπως ὁ θάνατος τὴν ζωὴν παύσει, καὶ τὴν ταύτης καρποφορίαν τοῖς ζῶσι σπουδαίως, οὐδ' ὅπως ζήσονται, καὶ τί ζῶντες ἀνύσουσι, πάντι φροντιεῖ. Εἰ δὲ τοῦτο ψεῦδός τε καὶ ἀδύνατον, καὶ δι' αὐτοῦ μόνου κατευοδοῦνται πρὸς τὸ τέλος ὁριζόμενοι, ὁπόσον ἂν καὶ οἱοσθεν σπεύδωσιν οἵ γε σπουδαῖοι· εὐλόγως καὶ τῷ τῆς ζωῆς μέτρῳ πρὸς τὸ συμφέρον κέχρηται τῶν ὁριζομένων, καὶ μετρεῖ τὴν ζωὴν ὁ μόνος μετρεῖν δυνάμενος ; καὶ τὰ ποιοῦντα τὴν τελευτὴν, αὐτοῦ κελεύοντος, ἢ συγχωροῦντος καὶ μὴ κωλύοντος, ταύτην ποιοῦσιν. « Ἅπτεται γὰρ

Iis omnibus plenæ sunt historiæ sacræ, et sanctorum Patrum dijudicationes non frustra litteris consignatæ, nec inaniter lectæ, iis quidem certe quibus, cum veritatis, tum salutis suæ cura præcipua est. Sed quod majus est, his omnibus divina eloquia referta sunt, quæ verbis disertis ea stabiliunt, quæ nunc scripta sunt : tametsi brevitatis gratia testimonia super unoquoque horum prætermisimus : neque ipsa Scriptura omnes commemorat modos (id enim ex eo genere est quod fieri non potest), verum paucos tantum quosdam, ut ex ejusmodi etiam de ignotis veluti silentio præteritis, nos firmam de Providentia fidem habeamus, quam non nobis solum qui nascimur et vivimus, verum etiam his qui excedunt hinc, adhibet, ut divinæ decorum est dignationi et bonitati ac sapientiæ : imo vero idem est viventibus nobis providere, et vitæ finem qualis sit futurus et quando venturus, non semel prospicere. At terminus vitæ quæ hic agitur limes, judicium, sigillumque est : et id operæ pretium cujus omnes qui vivunt curam habent : tam ii qui detestantur mortem prope accedere, quam qui optant propius adesse ; differenter utrique : nonnunquam etiam iisdem rationibus inducti : auscultant enim hoc : « In quo te statu invenero, etiam te judicabo. » Quam autem haberet rationem, vitæ quidem hominum ita paterne indulgenterque Deum consulere, mortem vero ipsorum nulla providentia prosequi? Nam quæ hic agitatur vita, via quædam progressusque est ad finem propositum ; mors autem vitam hanc metæ admovet : ac omne sane cujusque studium omnisque largitio Dei munere concessa una cessat. Multa porro sunt quæ mortem afferunt : ita ut quæ vitam hanc opprimunt, sola sit materia multiplicis Dei providentiæ circa nos, per quam ad ipsum destinamur. Enimvero ipse finis noster est, neque ad alium nos finem destinat, præter quam seipsum. Nunquid ergo tanta Dei in nos providentia, quasi corollarium erit variarum multipliciumque interitus causarum, et fortunæ et casus et eorum quæ per accidens dicuntur, et omnium quæ quomodocunque exsistunt juxta Providentiam? an potius (Deus) non curat, quando et quo pacto more expellet vitam, ejusque fructum, iis qui honeste et ex virtute vivunt : nec quomodo quique vivent, et quid vivendo perficient, omnino sollicitus erit? quod si hoc mendacium est, et fieri nequit : ac per Deum solum prospere ducuntur ad finem qui prædestinantur, quantumcunque sua indole industriaque festinarint, virtutes utique amantes : etiam rationi

congruenter, vitæ modulo ad eorum qui destinantur emolumentum utitur; et vitam metitur, qui solus metiri potest: et quæ mortem pariunt ipso jubente, aut concedente, saltem non vetante, interitum efficiunt. « Attingit enim a fine usque ad finem fortiter: » ut in Sapientia dicitur. « Et duo passerculi asse parvo væneunt; atque unus ex ipsis non cadet in terra absque Patre meo: » (et quæ deinceps sequuntur): Dominus ipse noster ait. Quod autem non omnes sunt studiosi, neque ad æternam vitam prædestinati, hoc nihil ad rem. Etenim sufficit etiam cum magno Patre Basilio, quod prædestinatis affixi sunt Dei concessu vitæ limites; et ad sempiternum bonum ipsis extenduntur aut contrahuntur, pariter cum aureis atque argenteis quæque in honorem sunt vasis, ex B. Paulo; qui quidem sunt innumeri: atque eapropter generatio est ad supplementum angelorum qui e cœlis exciderunt. Hi cum Deo soli cognoscantur, et ab eo manifestentur quidam ex ipsis, quos etiam hic manifestari voluerit, et quos latere nefas est. Deinde, quemadmodum providet quidem omnibus in vita hominibus, sed differenter, et pro merito ac dignitate cujusque: sic etiam de fine ipsorum, par est varium habere ordinem et respectum apud divinum judicium. Etenim omnibus quidem hominibus præficit angelum. Sed non eadem angeli sollicitudine potitur infidelis atque fidelis: neque improbus pariter ea fruitur ac probus, tametsi ambo sint fideles. Itaque hic quoque vitam nostram omnium, et exitum definitum esse, omnino necessum est. Porro differens circa hæc judicium juxta eorum qui vivunt discrimina, Deo soli perspectum est, cum pauca nobis sint revelata, tum ex divinis Litteris tum ex historiis sacris, ut antea luculenter exposuimus: neque æquum est nos aggredi ea quæ neque comprehendi queunt neque tradi: et ab iis quæ conceduntur et dantur nobis ad cognoscendum, dissidendo abscedere. Et tamen cum reprobatorum et misericordiam adeptorum vitam divino subjici jugo; tum ipsi placentem eductionem e vita, bos quoque sustinere divina docet Scriptura. Ostendunt etiam violentæ mortes populis inductæ et principibus, ardenti zelo justitiæ angelorum subministrantium ac prophetarum, non sine numine. Id quoque declarant ruinæ et depopulationes, quas vates urbibus et gentibus comminatim fuerant, eædemque vel pœnitentia eorum qui ad Deum confugerant, cessarunt; vel ob impœnitentia obduratos remanserunt. Incrementa vitæ in quibusdam qui resipuerant, postquam de vita despondissent, interitu a Deo declarato et signis ostentisque omnibus conspicuo facto. Ananias vero et Sapphira exanimati sunt, non Petri, sed Dei virtute, quem invocarat; ac Petro non præsente et mendacium arguente, exspirassent, ita volente Deo. Et quot homines insane jus violantes, violenter e vivis excedunt? dum alius aliam suffert violentiam, ac latent homines, dum violentiæ effectum patentem considerant: verum cœleste ad id momentum subducere

A ἐκ τοῦ ἐσχάτου μέχρι καὶ τοῦ ἐσχάτου ἰσχυρῶς ὁ Θεὸς, » ἐν τῇ Σοφίᾳ λέγεται· καὶ « Δύο στρουθία ἀσσαρίου πωλεῖται, καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται εἰς τὴν γῆν ἄνευ τοῦ Πατρός μου, » καὶ τὰ ἑξῆς, αὐτὸς ὁ Κύριος ἡμῶν φησι. Τὸ δὲ μὴ πάντας εἶναι σπουδαίους, μηδὲ πρὸς τὴν προαιώνιον προωρισμένους ζωὴν, οὐδὲν πρὸς τὸν λόγον. Ἀρκεῖ γὰρ καὶ ἡμῖν μετὰ τοῦ μεγάλου Πατρὸς Βασιλείου τὸ τοῖς προωρισμένοις πεπηγέναι θεόθεν τὰ τῆς ζωῆς μέτρα, καὶ πρὸς τὸ ἀΐδιον συμφέρον αὐτοῖς ἐκτείνεσθαι, ἢ συστέλλεσθαι τοῖς χρυσοῖς τε καὶ ἀργυροῖς καὶ εἰς τιμὴν σκεύεσι, κατὰ τὸν Παῦλον, οἵπερ ἀναρίθμητοι μέν εἰσι, καὶ τούτου χάρις ἡ γένεσις, εἰς ἀναπλήρωσιν τῶν πεσόντων οὐρανόθεν ἀγγέλων. Θεῷ δὲ γινωσκόμενοι μόνῳ, καὶ ὑπ' αὐτοῦ φανεροῦνταί τινες ἐξ B αὐτῶν, εἰ; ἂν βούλοιντο φανερωθῆναι κἀνταῦθα, καὶ οὓς λανθάνειν ἀδύνατον. Ἔπειτα, καθάπερ προνοεῖ μὲν πάντων ἐν τῇ ζωῇ τῶν ἀνθρώπων, ἀλλὰ διαφόρως καὶ κατὰ τὴν ἀξίαν ἑκάστων· οὕτω καὶ περὶ τοῦ τέλους αὐτῶν ποικίλην εἰκὸς ἔχειν παρὰ τῇ θείᾳ κρίσει τὴν τάξιν καὶ τὴν ἀπόβλεψιν. Καὶ πᾶσι μὲν γὰρ ἀνθρώποις ἐφίστησιν ἄγγελον, ἀλλ' οὐ τῆς αὐτῆς ἀπολαύει τοῦ ἀγγέλου κηδεμονίας ὁ πιστὸς τῷ ἀπίστῳ, οὐδ' ὁ φαῦλος τῷ ἀγαθῷ, κἂν ὦσιν ἄμφω πιστοί· οὕτω κἀνταῦθα τὴν μὲν ζωὴν ἡμῶν ἁπάντων καὶ τὸ τέλος ὡρίσθαι πᾶσα ἀνάγκη· ἡ δὲ διάφορος περὶ ταῦτα κρίσις κατὰ τὰς τῶν ζώντων διαφορὰς τῷ Θεῷ ἔγνωσται μόνῳ, ὀλίγων ἡμῖν ἀποκαλυφθέντων ἔκ τε τῶν θείων Γραφῶν, ἔκ τε τῶν ἱερῶν C ἱστοριῶν, ὡς φθάσαντες διεξήλθομεν. Καὶ οὐ δίκαιον ἡμᾶς, διὰ τὸ μὴ δύνασθαι τοῖς ἀκαταλήπτοις τε καὶ μὴ δεδομένοις ἐπιχειρεῖν, καὶ τῶν ὁμολογουμένων καὶ δεδομένων ἡμῖν εἰδέναι διαπιστοῦντας ἀφίστασθαι. Καίτοι τὸ καὶ τὰς τῶν ἀποδεδοκιμασμένων ἢ ἠλεημένων ζωὰς τῷ θείῳ ὑποκεῖσθαι ζυγῷ, καὶ τὴν αὐτῷ δοκοῦσαν ἐξαγωγὴν ἐκ τοῦ βίου καὶ τούτους ὑφίστασθαι, ἡ θεία διδάσκει Γραφή. Καὶ δηλοῦσι μὲν οἱ βίαιοι θάνατοι πλήθεσιν ἐπαχθέντες καὶ ἀρχουσι, ζήλῳ δικαιοσύνης ἀγγέλων ὑπηρετουμένων καὶ προφητῶν, οὐκ ἄνευ Θεοῦ· δηλοῦσι δὲ αἱ διὰ τῶν προφητῶν ἀπειληθεῖσαι πόλεσί τε καὶ ἔθνεσιν ἐξολοθρεύσεις· καὶ ἡ μετανοίᾳ καταφυγόντων ἐπὶ τὸν Θεὸν πεπαυμέναι, ἢ ἀμετανοήτων μεινάντων γενόμεναι· αἱ προσθῆκαι τῆς ζωῆς ἐνίοις μετανοήσασι, D μετὰ τὴν τῆς ζωῆς ἀπαγόρευσιν, ἐκ Θεοῦ μηνυθείσης τῆς τελευτῆς, καὶ σημείοις πᾶσι φανερᾶς γενομένης. Ἀνανίας δὲ καὶ Σάπφειρα ἀποψύξαντες, οὐ τῇ τοῦ Πέτρου, τῇ δὲ τοῦ Θεοῦ δυνάμει, ὃν ὁ Πέτρος ἐπεκαλεῖτο, καὶ τοῦ Πέτρου μὴ παρόντος, καὶ τὸ ψεῦδος ἐλέγχοντος, ἀπέψυξαν ἄν· οὕτω τοῦ Θεοῦ βουλομένου. Καὶ πόσοι τῶν ἀνθρώπων ἀνηκέστως παρανομοῦντες βιαίως ἐξάγονται, ἄλλος ἄλλην ὑφιστάμενοι βίαν, καὶ τοὺς ἀνθρώπους λανθάνουσι, σκοπουμένους μὲν τὸ τῆς βίας φαινόμενον, τὴν δι' οὐράνιον πρὸς τοῦτο ῥοπὴν λογίζεσθαι μηδ' ὅλως ἐφικνουμένους; Αἱ δὲ πρόδηλοι τῶν θανάτων καὶ παρὰ φύσιν ἀπαλλαγαὶ, τῆς ἐκ νεκρῶν ἀναστάσεως οὐδὲν διαφέρουσαι, παρείσθωσαν ἐν τούτῳ τῷ μέρει, ὡς τῇ τῶν προωρισμένων τάξει συμβαίνουσαι, τότε

μὲν ἀπαλλάττοντος τοῦ Θεοῦ παραδόξως, ὡς οὕτω συμφέρον αὐτοῖς, καὶ τῷ αὐτοῦ συνᾴδον θελήματι, ἄλλοτε δὲ καὶ δι' ὁμφότερα συγχωροῦντος σφίσι μεθίστασθαι, ἢ τῆς φύσεως ὑπουργούσης, ἢ βίας τυραννικῆς ἐξαγούσης. Ἱκανὰ μὲν οὖν καὶ ταῦτα τὸν ἡμέτερον ἐκφῆναι σκοπὸν ἐπὶ συστάσει τῆς ὀληθείας· οὐχ ἧττον ἢ τῆς τοῦ διδασκάλου γνώμης. Εἰ δὲ ἐν τῇ Σοφίᾳ λέγεται, « Ὁ Θεὸς θάνατον οὐκ ἐποίησε· » τοῦτο κατὰ τὴν αἰτίαν τοῦ θανάτου νοεῖται. Οὐ γὰρ θέλει τὸν θάνατον τῶν ἀνθρώπων προηγουμένως, οὔτε ποιεῖ, ὥσπερ οὐδὲ τὴν αἰτίαν τούτου τὴν ἁμαρτίαν· ἀλλὰ τὴν τῆς δικαιοσύνης τάξιν καὶ πάνυ βουλόμενος, ἧς ἐστι τὸ τοῖς ἁμαρτάνουσι δίκην ἐπάγεσθαι ἐπομένῃ θελήσει, θέλει αὐτὸν καὶ ποιεῖ· εἰ καὶ ἐλέους ὑπερβολῇ, καὶ φιλανθρωπίᾳ, καὶ τοῦτον τοῖς τέκνοις μυρίοις τρόποις οἰκονομεῖ πρὸς τὸ βέλτιον, καὶ πρὸς εὐεργεσίαν τῇ κοινῇ τοῦ γένους ποινῇ, πρὸς οὓς ἂν βούλοιτο, καὶ πρέπον εἴη, πατρικῶς ἀποχρῆται. Καὶ διὰ τοῦτο ἐν τῇ α' τῶν Βασιλειῶν λέγεται· « Κύριος θανατοῖ καὶ ζωογονεῖ· » οὐχ ὡς ἰδίᾳ πράττοντος μόνον ἑκάτερον, ὃ ταυτόν ἐστι τῷ θέλοντος ἑκάτερον γίνεσθαι, ὡς αὐτοῦ ζωῆς καὶ θανάτου τὴν ἐξουσίαν ἔχοντος, ἀλλ' ὡς καὶ ἐν τῷ θανατοῦν πολλάκις ζωογονοῦντος καὶ τὸν τοῦ θανάτου χρόνον καὶ τρόπον πρὸς τὸ συμφέρον, καὶ τὴν προωρισμένην ζωὴν, πολλοῖς οἰκονομοῦντος καὶ τάττοντος. Καὶ αὖθις εἰ ἐν τῷ Ἐκκλησιαστῇ λέγεται, « Ἀφῆκεν ὁ Θεὸς τὸν ἄ ωπον ἐν τῇ βουλῇ τῆς χειρὸς αὐτοῦ, » εἰ καὶ μάλιστα περὶ τῶν ἀποδεδοκιμασμένων τοῦτο νοοῖτο ἄν, ἀλλὰ καὶ πᾶσιν ἁπλῶς τὴν τῆς αὐτεξουσιότητος ἐλευθερίαν προσμαρτυρεῖ. Οὐ γὰρ ἄκοντας ἕλκει πρὸς τἀγαθόν· ᾧ δ' ἂν αὐτοὶ προαιρούμενοι πράττωσιν, ἐπόπτης ἐστὶν αὐτὸς, καὶ διανομεὺς τῶν ἁρμοττόντων ἑκάστῳ, καὶ διὰ τὴν αὐτεξουσιότητα τῆς θείας οὐκ ἐξαιροῦνται Προνοίας οὔτ' ἐπὶ τὸ χεῖρον, οὔτ' ἐπὶ τὸ βέλτιον αὐτοῖς, ἁπλῶς δὲ ἀγαθόν τε καὶ δίκαιον.

A nentiquam aggrediuntur : sed manifestæ a morte et quæ præter naturam sunt liberationes, nihil a resurrectione differentes, prætermittantur hac in parte, utpote quæ ordini prædestinatorum contingant : tunc quidem incredibili modo liberante Deo, quod sic ipsis expediat, et eorum voluntati concinat : alias vero etiam propter utrumque Deo concedente ipsis ut migrent e vita, aut natura subministrante, aut vi tyrannica exigente. Sufficient igitur hæc ad scopum nostrum elucidandum, non minus ad veritatis commendationem, quam ad Doctoris sententiam tuendam. Quod si in Sapientia dicitur, « Deus mortem non fecit, » hoc juxta causam mortis intelligitur. Nam non vult hominum mortem præcipue, neque facit : sicut neque B causam ipsius, peccatum : sed quod justitiæ ordinem omnino velit : cujus munus est, peccantibus pœnas irrogare, consequenti voluntate, vult ipsam et facit ; etsi misericordiæ excessu, et benignitate erga homines, etiam liberis obitum innumeris modis dispensat ad melius et ad beneficentiam, communi generis supplicio ; erga eos quos voluerit, et decens fuerit, paterno affectu indulgendo. Et propterea in primo Regum dicitur, « Dominus mortificat et vivificat. » Non tanquam proprie agens solum alterutrum : quod idem est ac si diceret volens utrumque fieri, eo quod ipse vitæ et mortis potestatem habeat : sed quasi etiam in mortificando sæpe vivificet, ac mortis tempus et modum ad id quod expedit, et vitam prædestinatam multis moderetur et C ordinet. Ac rursus si in Ecclesiaste dicitur, « Reliquit Deus hominem in manus suæ consilio. » Etiamsi de reprobatis potissimum hoc intelligi possit, omnibus tamen absolute attestatur libertatem arbitrii : non enim invitos ad bonum trahit. At eorum quæ volentes agerent Dominus est inspector et distributor eorum quæ quadrant unicuique. Hæc propter liberum arbitrium non eximuntur a divina Providentia, neque in melius neque in pejus ipsis, sed omnino in bonum et justum.

Τούτοις καὶ τοῖς τοιούτοις ὁ μέγας ἦχθη Βασίλειος, ἐκεῖνα περὶ τῶν τῆς ζωῆς ὅρων διδάσκειν τὰ τέκνα, καὶ τῷ θείῳ προσάγειν αὐτοὺς ἐντεῦθεν θελήματι, προὔργου μὲν θεολογῶν, ἑπομένως δὲ καὶ πρὸς τὰ ἤθη λυσιτελῶς, ὃ τοῖς διδασκάλοις πᾶσιν ἐσπούδασται. Καὶ εἰ μηδαμόθεν ἄλλοθεν τὰ τοιαῦτα D εἶχεν εἰδέναι, τοῦ γοῦν προφήτου Δαβὶδ καθ' ἡμέραν ἤκουε λέγοντος, καὶ οὐκ ἂν εἶχε τὸν τοῦ θείου κάτοχον παραχρούεσθαι. Ἤκουε δὲ αὐτοῦ λέγοντος· « Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι· καὶ γνώρισόν μοι τὸ πέρας μου καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου τίς ἐστιν. » Οὐκοῦν παρ' εἰδότος ἐζήτει μαθεῖν, ὡς καὶ ὡρισμένον εἰδότος, καὶ μαθεῖν ὡρισμένον. Καὶ ἵνα μηδεὶς ἔχῃ λέγειν, ὡς ᾔδει μὲν ὁ Θεὸς, καὶ διὰ τοῦτο ἀποκαλύπτειν εἶπεν, εἶπερ ἠβούλετο, οὐκ εἶχε δὲ πράττειν ἐν τοῖς τοιούτοις τῇ φύσει καὶ τοῖς ἄλλοις αἰτίοις ὅπως ποτὲ ταῦτ' ἐπιτρέψας, ἀλλαχοῦ πάλιν φησίν· « Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου. » Καὶ οὐκ ἐζήτει θανεῖν ἁπλῶς, εἴτουν ἀπαλλαγῆναι, τοῦτο γὰρ καὶ μὴ ζητοῦντος ἔμελλέ ποτε

His ac talibus magnus Basilius adductus est ut illa de vitæ finibus doceret filios, atque eos ad divinam voluntatem inde adduceret ; consulto quidem theologum agens de Deo disserendo, consequenter autem utiliter sermones ad mores referendo ; in quo doctores omnes studium atque operam collocant. D Quod si haudquaquam aliunde talia perspecta habere posset, saltem prophetam Davidem quotidie dicentem auscultabat : nec utique potuisset afflatum numine explodere : audiebat, inquam, vatem regium dicentem, « Notam fac mihi viam in qua ambulem, et notum fac mihi finem ; et numerum dierum meorum quis est. » Quocirca ab eo qui sciebat discere quærebat, ut ab eo etiam qui determinatum sciret, et discere avebat quod destinatum erat. Atque ut nemo dicere queat quod sciret quidem Deus, et idcirco revelare posset, si quidem vellet : verumtamen non haberet agere in talibus natura aliisque causis : quomodo his permissis, alibi rursus ait, « Educ e custodia animam meam. » Ubi

non quærebat emori omnino, hoc est, discedere e vita (hoc enim etiam non quærenti eventurum erat aliquando), verum petebat divina educi voluntate, etiam priusquam ad senectutem perveniret. Ideoque alio loco dicit, « Ne revoces me in dimidio dierum meorum. » Atqui non quærebat quod insolens erat divinæ providentiæ, talis cum esset, et a Spiritu sancto edoctus, quænam petere oporteret. Quamobrem educit Deus hominis animum ex hac vita, cum ita constituerit, vel in dimidio cursu, aut prorsus in parte quadam mensuræ communioris, omnibus qui in vita persistunt, et adcit et conscindit, sicut dictum est prius, dum aut sic ipse judicat, aut precantibus gratificatur, illi soli prægnitum, tanquam in termino et limite esset, quod in operibus ultimum usuvenit.

A γίνεσθαι, ἀλλὰ θεὸς ἐξαχθῆναι θελήματι, καὶ πρὶν εἰς γῆρας ἐλθεῖν. Καὶ διὰ τοῦτό φησιν ἑλλαχοῦ· « Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου. » Οὐκ ἐζήτει δὲ τὸ ἄηθες τῇ θείᾳ προνοίᾳ τοιοῦτος ὤν, καὶ εἰδὼς ἐκ τοῦ Πνεύματος ἃ δεῖ αἰτεῖσθαι. Οὐκοῦν ἐξάγει ὁ Θεὸς τὴν τοῦ ἀνθρώπου ψυχὴν τῆς ἐνταῦθα ζωῆς, ἐπειδὰν βουληθῇ ἐν τῷ ἡμίσει, ἢ ὅλως μέρει τινὶ, τοῦ πᾶσι καινοτέρου μέτρου τοῖς ἐν τῇ ζωῇ διαρκοῦσι, καὶ προστίθησι καὶ συντέμνει, καθάπερ εἴρηται πρότερον, ἢ οὕτω κρίνων αὐτὸς, ἢ καὶ τοῖς εὐχομένοις χαριζόμενος, ἐκείνῳ μόνῳ προεγνωσμένον, καθάπερ ὅρου καὶ πέρατος, ὃ τοῖς ἔργοις τελευταῖον ἐκβαίνει.

Quandoquidem vero nonnulli, ut ais, Basilium Magnum accusantes, ac propterea non admittentes, rursus expostulant; tu nunc, vir sanctissime, perrepisti præclare tum accusationem, tum expostulationem, quantum prudentiæ ac veritatis habeat. Animadvertisti porro eum non perfunctorie sermonem hunc theologicum instituisse, sed in rem et ex professo: hæc et capita et metas pietatis nominando: a quibus par non esse quemquam deflectere audivisti a nobis, quippe cum in iis omnes doctores inter se consentiant; imo etiam divina opera legumque statuta concinant: tu æqui bonique consules, quæ ex multis pauca tibi nunc exposuimus, quantum enodare licuit doctoris eximii cum divinis canonibus ipsis cohærentiam. Quando autem argumenta in contrarium miseris nobis, quæ te a multis audisse dicis: mittemus etiam ad te illorum solutiones. Quoniam vero hæc Basilii Magni assertio ad divinam prædestinationem tendit, habes amplum et luculentum sermonem nostrum de providentia Dei et prædestinatione (1), ad rem et usum tunc et sedulo admodum a nobis conscriptum. (O commune infortunium! o mœstissimam vitam meam!) illic etiam omnem ferme solutam invenies quæstionem, non eos solum, in quibus nonnulli fluctuant. Etenim dubitantes an fas esset, jam humanam eligendi optionem efficacem esse autumant in iis quæ sub electionem cadunt, aut coronari, aut puniri prælente divina prædestinatione. An etiam fieri possit ut preces ad Deum fusæ utiles adhuc sint: et de iis quæ casu ac fortuito fieri dicuntur. Hæc et ejusmodi dubia habentes, quæ solvere minime possent, divinam destruunt prædestinationem, ut quæstionum dubitationumque causam. Illic hæc omnia videbis medicata veritatis pharmaco: ibidemque etiam Damascenum Joannem invenies pulcherrime consentientem antistiti, atque ut ipse Joannes voluisset: idemque gratiam habet iis qui ad consensum inducunt. Ibidem divinam Providen

B Ἐπεὶ δέ τινες, ὡς φῂς, αὐτὸν τὸν μέγαν Βασίλειον αἰτιώμενοι, καὶ διὰ τοῦτο μὴ προσιέμενοι, αὖθις ἐξαιτιῶνται· σὺ νῦν, ὁσιώτατε, συνῆκας μὲν τὴν αἰτίασιν καὶ τὴν ἐξαιτίασιν καλῶς, ὁπόσον ἔχει φρονήσεώς τε καὶ ἀληθείας· ἔμαθες δὲ αὐτὸν οὐκ ἐκ τοῦ παρήκοντος θεολογοῦντα ταῦτα, ἀλλὰ προῦργου, καὶ ὅρους εὐσεβείας ταῦτα, καὶ κεφάλαια ὀνομάζοντα, ὧν μὴ χρῆναι μηδένα παρεξιέναι ἤκουσας παρ' ἡμῶν, καὶ πᾶσι τοῖς διδασκάλοις τοῖς ὁμοίοις συμφωνοῦντα, μᾶλλον δὲ τοῖς θείοις ἔργοις καὶ νόμοις συνάδοντα, [Ισ. ταῦτα δέχου ἢ ἄλλο τι] ἅπερ ἐκ πολλῶν ὀλίγα σοι νῦν ἐξεθέμεθα, ὅσον αἰνίξασθαι τὴν τοῦ διδασκάλου πρὸς τοὺς θείους κανόνας ἐφαρμογήν. Ὁπόταν δὲ καὶ τὰς εἰς τοὐναντίον ἐπιχειρήσεις πέμψῃς ἡμῖν, ἃς ἀκηκοέναι λέγεις πολλῶν· πέμψομέν σοι κἀκείνων τὰς λύσεις. Ἐπεὶ δὲ ἡ τοῦ Μεγάλου Βασιλείου ἀπόφασις αὕτη πρὸς τὸν θεῖον ἀνήκει προορισμὸν, ἔχεις τὸν πολὺν περὶ θείας προνοίας καὶ προορισμοῦ λόγον ἡμῶν, προῦργου τότε καὶ πάνυ σπουδαίως συγγεγραμμένον ἡμῖν. Ὦ τῆς κοινῆς δυστυχίας! Ὦ τῆς ἐμῆς λυγροτάτης ζωῆς! Ἐκεῖ καὶ πᾶσαν σχεδὸν λυομένην ἀπορίαν εὑρήσεις, οὐ μόνον αὐτὰς, ὑφ' ὧν τινες σαλεύονται. Ἀποροῦντες γὰρ, εἰ δυνατόν ἐστι, λοιπὸν τὴν ἀνθρωπίνην προαίρεσιν ἐνεργεῖν ἐν τοῖς προαιρετοῖς, καὶ ἢ στεφανοῦσθαι ἢ κολάζεσθαι, τοῦ θείου κρατοῦντος προορισμοῦ, καὶ εἰ δυνατόν ἐστι χρησιμεύειν ἡμῖν ἔτι τὰς εἰς τὸ θεῖον εὐχὰς, καὶ περὶ τῶν ἐκ τύχης καὶ αὐτομάτου λεγομένων γίνεσθαι, καί τινα τοιαῦτα ἀποροῦντες, καὶ μὴ δυνάμενοι λύειν, τὸν θεῖον ἀποσκευάζονται προορισμὸν, ὡς τῶν ἀπορίων αὐτοῖς αἴτιον. Ἐκεῖ ταῦτα πάντα δῦσι ἰατρευόμενα τῷ φαρμάκῳ τῆς ἀληθείας. Ἐκεῖ καὶ τὸν Δαμασκηνὸν Ἰωάννην συμβιβαζόμενον εὑρήσεις τῷ καθηγεμόνι πάνυ καλῶς, καὶ ὡς ἂν αὐτὸς ὁ θεῖος Ἰωάννης βουληθείη, καὶ χάριν ἔχει τοῖς συμβιβάζουσιν. Ἐκεῖ τὴν θείαν Πρόνοιαν οὐ χωλεύων, καὶ πρὶν ὁμολογεῖν, ἀναιρῶν, ὡς οἱ πολλοὶ δι' ἄγνοιαν πάσχουσιν· ἀλλ' ὡς αὐτὸς βούλεται καὶτὶς ἐκβεβιάσεις, καὶ ὡς ἀπο-

(1) Hunc tractatum et alios tres quos de eodem argumento Gennadius elucubravit, huc usque inedítos, ex cod. Græc. Paris., Gennadii autographis, describendos curavimus cum aliis ejusdem opusculis anecdotis; at, ut jam monuimus, moras trahentibus descriptoribus nostris, omnia ad calcem voluminis amandare cogimur. Edit.

καλυφθῆναι τοῖς τέκνοις ἠθέλησεν, οἷς εὐδόκησε, τὴν ἁρμόττουσαν αὐτοῖς ἐκ φιλοσοφίας δοῦσα πρῶτον παρασκευήν. Ὡς οὖν ἐκείνου σοι τοῦ λόγου πρὸς πάντα ἀρκέσαντος, οὐδὲν νῦν περὶ τούτου πραγματευόμεθα. Σοὶ δὲ, φίλτατε, περὶ μὲν τῶν ὅρων τῆς ἀνθρωπίνης ζωῆς ἀρκεῖτω πρὸς τοὺς ἐναντίους τὸ τοῦ Βασιλείου μόνον ἀξίωμα, εἰ μὴ δύνασαι ἀντεπιχειρεῖν αὐτοῖς καὶ λύειν τὰς ἀπορίας· τοῦτο γὰρ ποιεῖν ἐν τοῖς τοιούτοις φρονίμων ἐστίν· ἅμα δὲ καὶ ὑπὸ τῶν καθηγεμόνων τῆς Ἐκκλησίας οὕτω ποιεῖν κεκανονισμένον ἐστὶ καὶ προωρισμένον. Περὶ δὲ τοῦ θείου προορισμοῦ ἀρκεῖτω σοι τὸ τοῦ Παύλου ἀξίωμα, ἵνα μὴ λέγω τῆς ἱερᾶς ἁπάσης Γραφῆς. Ἐκ περιουσίας δέ σε τῇ δόξῃ τῆς ἀληθείας ἐνιδρύων ταύτῃ καλῶς, τὸν μέγαν προτίθημι Μάξιμον, ὥσπερ ἐπισφράγισμα τῇ τῶν ἁγίων καὶ σοφῶν καὶ θεολόγων σφραγῖδι, ὃν ταυτόν ἐστι διὰ τοῦτο καὶ πάντας προσθεῖναι τοὺς πρὸ αὐτοῦ. Ἐκεῖνος γὰρ πλείους Ἑκατοντάδας κεφαλαίων ἐξέθετο, ἃ *Γνωστικὰ* καὶ *Θεολογικὰ* ἐπιγράφει, ἄλλου κεφαλαίου παντάπασιν ἄλλην ὑπόθεσιν διοριζομένου· καὶ ὥσπερ ἀποφάσεις καὶ ὅρους ταῦτα συνέθετο, ὡς Ἱπποκράτης μέν ποτε τοὺς λεγομένους *Ἀφορισμοὺς*, τοὺς δὲ *Καρποὺς* Πτολεμαῖος. Τὸ τοίνυν κ' κεφάλαιον αὐτοῦ τῆς δ' Ἑκατοντάδος οὕτωσὶ διορίζεται· Ὃ τρόπῳ βούλεται ὁ τὴν ἑκάστου πρὸ τῶν αἰώνων διορίσας ζωὴν ὁ Θεὸς, ἕκαστον πρὸς τὸ οἰκεῖον τῆς ζωῆς ἄγει τέλος, εἴτε δίκαιον, εἴτε ἄδικον. Καὶ τοῦτο ὅλον καὶ μόνον αὐτοῦ τὸ κ' ἐστὶ κεφάλαιον. Ὡς οὖν προωμολογημένου πᾶσι τοῦ καὶ τὴν ζωὴν ἑκάστου διωρισμένην εἶναι, κατὰ τὸν χρόνον, καὶ τὸ *πέρας* αὐτῆς, ἀκολούθως καὶ τὸν τῆς τελευτῆς τρόπον, τῷ θείῳ θελήματι παραδίδωσι· ὡς ἂν καὶ ὁ τρόπος τῆς τελευτῆς τῷ μέτρῳ τῆς ζωῆς συμπροωρισμένος ᾖ πρὸ αἰώνων, καὶ ἕκαστος τῶν ἀνθρώπων πρὸς τὸ τῆς ζωῆς ἄγοιτο τέλος, καθὼς ἂν τῷ Θεῷ δόξειεν οἰκεῖον εἶναι τῇ ἐνταῦθα τούτου ζωῇ, καὶ τῇ μετ' αὐτὴν διαδεξομένῃ καταστάσει, καὶ τὸ δικαίως ἀποθνήσκειν, εἴτε ἀδίκως, καὶ εἴτε τοὺς δικαίως βιοῦντας, εἴτε ἀδίκως, τῷ ποικίλῃ τε καὶ πανσόφῳ τοῦ Θεοῦ περὶ ἑκατέρους κρίσει μόνῃ προσήκει. Ταῦτα δὲ ἡμεῖς εὐρύτερον διειλόμεθα οὐκ οἰκοθεν, ἀλλὰ ταῖς ἱεραῖς ἀκολουθοῦντες Γραφαῖς. Ὁ δὲ φερωνύμως μέγιστος οὗτος τῆς Ἐκκλησίας διδάσκαλος τὸ συμπέρασμα προστίθησι μόνον· ὥσπερ νομοθετῶν ἔχεις, ὦ φίλτατε, καὶ τοῦτον ἡμῶν ἐκ τῆς ἡσυχίας τὸν λόγον. Μᾶλλον δὲ ὁ μέγας ἔχει Βασίλειος, καὶ ὁ τὴν ψυχὴν ἐκείνην φωτίσας, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

tiam, non elaudicans, et priusquam confessus sit, tollens, ut multis præ ignorantia usuvenit, verum ut ipse vult, ut ipsemet, inquam, afflatus numine, utique voluit revelari liberis, in quibus sibi complacuit, cum ipsis congruentem ex philosophia primum dederit apparatum. Quamobrem tanquam tractatus ille tibi ad omnia sufficerit, nihil jam ea de re commentamur. Tibi autem, charissime, de vitæ humanæ limitibus, satis sit contra adversarios Basilii sola auctoritas: nisi possis argumentis aliis vincere, et quæstiones solvere: nam id præstare hac in re prudentium est: ad hæc etiam ab institutoribus Ecclesiæ sic facere regula constitutum ac præscriptum est. Porro de prædestinatione sufficiet tibi B. Pauli auctoritas, ne dicam totius sacræ doctrinæ. Sed addens cumulo, teque in hac agnitione veritatis præclare stabiliens, propono magnum Maximum, tanquam corollarium sigillo sanctorum et eruditorum theologorum, quem hic idem prope est atque omnes adjungere, qui eum præcesserunt. Etenim plures ille Centurias capitum exposuit, quæ Gnostica et Theologica inscribit, alio capite aliud omnino argumentum definiente; siquidem veluti enuntiationes ac terminos hæc composuit, ut olim Hippocrates celebres Aphorismos, et Ptolemæus Carpos. Igitur vicesimum caput Centuriæ IV Maximi sic determinat: Quo pacto vult Deus, qui ante omne ævum cujusque vitam definit, unumquemque ad proprium vitæ finem ducit sive justum, sive injustum. Et hoc solum per totum caput XX tractatur. Itaque, posito quod in confesso est et ab omnibus ante concessum, vitam nimirum cujusque determinatam præscriptamque esse secundum tempus et finem ejus; consequenter etiam interitus modum divinæ voluntati tradit; ut modus interitus simul cum vitæ modulo prædestinatus sit ante sæcula, et quisque hominum ad vitæ exitum duci possit; quemadmodum Deo videretur proprium esse ejus vitæ quæ hic degitur, et statui qui post illam succedet: et juste mori sive injuste: item seu juste viventes, seu inique, multiplici et sapientissimo Dei judicio soli congruit. Hæc autem nos latius enarravimus, non ex ingenio, sed convenienter Litteris sacris. Verum maximus hic Ecclesiæ doctor tanto nomine dignus, conclusionem tantum adjungit, quasi legem sanciens. Tu, charissime, etiam hunc a nobis ex otio sermonem habes: quin potius magnus habet Basilius, et qui mentem illam illustravit, cui gloria in omne ævum. Amen.

ΓΕΩΡΓΙΟΥ ΣΧΟΛΑΡΙΟΥ

ΗΤΟΙ

ΓΕΝΝΑΔΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

ΠΕΡΙ ΤΟΥ ΕΝΟΣ ΕΝ ΤΡΙΑΔΙ ΘΕΟΥ ΗΜΩΝ

ΚΑΙ ΠΑΝΤΩΝ ΤΩΝ ΟΝΤΩΝ

ΚΑΙ ΚΑΤΑ ΑΘΕΩΝ ΗΤΟΙ ΑΥΤΟΜΑΤΙΣΤΩΝ, ΚΑΙ ΚΑΤΑ ΠΟΛΥΘΕΩΝ (1).

—

GEORGII SCHOLARII

SIVE

GENNADII PATRIARCHÆ

DE DEO IN TRINITATE UNO

NOSTRI OMNIUMQUE RERUM CONDITORE

TUM ADVERSUS ATHEOS QUI AD CASUM CUNCTA REFERUNT, TUM CONTRA POLYTHEISTAS.

—

Opinari non esse Deum summæ est insaniæ, A quemadmodum divus ait David : *Dixit insipiens in corde suo : Non est Deus ;* imo si qua hominibus inest nequitia, id insaniæ opus ; adeo ut idem ferme sit bonum esse ac mente sanum, et summæ nequitiæ sic opinari. Quidam enim sensibus atque his insitæ voluptati semel affixi hanc in semetipsis pariunt malam insaniam, rursusque ex hujusmodi sententia, abjectis hominum moribus, in brutorum vitam toto pondere ruunt. Sunt autem admodum pauci qui suæ audeant pravitatis defensionem suscipere ; eo quod omnes homines tum boni tum improbi, rudiores simul atque docti Deum exsistere omnino persuasum habentes, eum sibi ipsis bonorum esse causam sentiunt ac tenent, pravitatis vero suæ calamitatumque inde decurrentium sese sibi- B met auctores ; sive jam ipsa hac de causa ad probatiorem mentem sint aliquando reversuri, sive etiam præ irrevocabili nequitia voluntariam stultitiam non abnegent. Paucissimi igitur, ut errorem suum iis commendent quos forte noverint suum

Οἴεσθαι μὲν μὴ εἶναι Θεὸν ἐσχάτης ἐστὶν ἀφροσύνης, ᾗ φησιν ὁ θεῖος Δαβὶδ, *Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, Οὐκ ἔστι Θεός·* εἰ δὲ καὶ πονηρία ἐν ἀνθρώποις ἀφροσύνης ἔργον ἐστί· διὸ καὶ ταυτὸν ἐστί πως ἀγαθὸν εἶναι καὶ ἔμφρονα, καὶ πονηρίας ἐστὶ τῆς ἐσχάτης τὸ οὕτως οἴεσθαι. Αἴσθήσει γάρ τινες καὶ τῇ κατ' αὐτὴν ἡδονῇ καθάπαξ [προσηλωμένοι τὴν πονηρὰν ταύτην ἐν σφίσιν αὐτοῖς ὠδίνουσιν ἀφροσύνην καὶ ἐκ τοῦ τοιαῦτα δοξάζειν αὖ ἀντὶ τοῦ κατ' ἀνθρώπους ζῆν ἐθέλειν, πρὸς τὸν βοσκηματώδη βίον ὅλῃ ῥοπῇ φέρονται· ὀλίγοι δὲ πάνυ τὴν τῆς πονηρίας ἀπολογίαν θαῤῥεῖν ἔχουσι, διὰ τὸ πάντας ἀνθρώπους ἀγαθούς τε ὁμοίως καὶ φαύλους, ἰδιώτας τε καὶ σοφοὺς, Θεὸν εἶναι βεβαίως πάνυ φρονοῦντας, τῶν μὲν ἀγαθῶν σφίσιν αὐτοῖς ἐκεῖνον αἴτιον ἡγεῖσθαι καὶ ἔχειν, τῆς δὲ πονηρίας σφᾶς αὐτοὺς εἶναι νομίζειν αἰτίους καὶ τῶν ἐπομένων ταύτῃ δεινῶν, εἴτε καὶ ἐπιστρέφοντάς ποτε δι' αὐτὸ τοῦτο λογισμῷ ὀρθοτέρῳ, εἴτε καὶ ἐν ἀνεπιστρόφῳ τῇ πονηρίᾳ τὴν ἑκούσιον ἀφροσύνην οὐκ ἀρνουμένους. Ὀλίγοι τοίνυν πάνυ τὴν ἑαυτῶν καταπι-

(1) Ex cod. Gr. Paris. 1294, addita interpretatione nostra. Titulus apud Fabricium Bibl. Gr. XI, 878, et apud Alexandrum in Append. ad Plethonem *De legibus*, p. 441, sic effertur : Κατὰ Αὐτοματιστῶν καὶ Ἑλληνιστῶν ἤτοι πολυθέων, καὶ ὅτι Θεὸς εἷς ἐστι καὶ δημιουργὸς τοῦ παντὸς ἐν τριάδι ὑποστάσεων.

στεύοντας πλάνην, οὓς ἂν αἴσθοιντο πρὸς τὸν αὐτὸν αὐτοῖς κρημνὸν φέρεσθαι, πρὸς ἅπαντας εὐσεβεῖν προσποιοῦνται, καὶ γλώττῃ μὲν ὁμολογοῦσι τοῖς ἄλλοις πᾶσι Θεὸν εἶναι, τῇ δὲ καρδίᾳ τὸν ἰὸν τῆς ἀφροσύνης ἐγκρύπτουσι, διὸ καὶ μένουσιν ἀνιάτρευτοι· οὐδ' ἐν τῇ διανοίᾳ τὸν τοιοῦτον τῆς ἀσεβείας ἀθροίζουσι λογισμὸν, πόρρω γὰρ διανοίας οὕτως ὁ τόκος, ἀλλ' ἐν τῇ καρδίᾳ τὴν ἀθεΐαν ὠδίνουσι, τῆς πρὸς τὴν αἴσθησιν καὶ τὴν ὕλην ἀλογωτάτης ῥοπῆς αὐτὴν ἐναπειρούσης. Εἰ γὰρ διανοίᾳ καὶ λόγῳ χρῆσθαι ἠδύναντο, δυνηθέντες ἂν εὐθὺς, εἴγε καὶ βουλομένοις ἦν ἁπάσῃ σπουδῇ τὸ Θεὸν εἶναι, καὶ φωτὸς ἦν ἂν αὐτοῖς ἐναργέστερον, καὶ ὅσα τῆς εὐσεβείας ἐντεῦθεν ἀνίσχει δόγματα· καὶ ἃ μὲν τὰς τῶν σοφῶν διανοίας καταλάμπουσι τοῦ Θεοῦ ἔργα, τοῖς πολλοῖς ἀνέφικτα καθορᾶσθαι, παρείσθω νῦν, ἐγκείμενα δὲ τοῖς αὐτῶν βιβλίοις, ἔξεστι τῷ δυναμένῳ τε καὶ βουλομένῳ ζητεῖν, ἐξ ὧν ὅτι τε ἀνάγκη πᾶσα τὸν Θεὸν εἶναι, καὶ ὡς ἀδύνατον ἂν μὴ εἶναι καὶ πέρα παντὸς ἀδυνάτου, δείκνυται. Παρίεμεν δὲ καὶ τὴν κοινὴν ἁπάντων ἀνθρώπων δόξαν, μέγα τι πρὸς τὴν ἀλήθειαν δυναμένην, εἴπερ οὐδέν ἐστιν ἀληθέστερον τῶν φύσει πᾶσιν ἐγνωσμένων ἀρχῶν· πλὴν γὰρ ἐλαχίστων πάνυ τῶν λίαν ἀφρονεστάτων, ὡς εἴρηται, Θεὸν πάντες ἐτίθεντό τε καὶ τίθενται, ὥστε καὶ τὸ τί ἦν εἶναι καὶ πῶς εἶναι τοῦτον ἐπιζητῆσαι θελήσαντες διὰ τὴν ἐν τούτοις δυσχέρειαν, ὡς εἰκὸς ἐστι περὶ Θεοῦ σκοπουμένοις, εἰς διαφόρους κατεμερίσθησαν ἄνθρωποι δόξας καὶ τῆς προτέρας ὅμως καὶ κοινοτέρας οὐκ ἀφίστανται θέσεως. Θαύματι μὲν οὖν ἀσμενίζουσι καὶ κατέχουσι· τὸ γὰρ μὴ δύνασθαι τῷ ἐμφύτῳ λόγῳ κατανοεῖν ταῦτα περὶ Θεοῦ, μηδὲ τοῖς φύσει γινωσκομένοις καὶ ταῦτα σύστοιχα εἶναι, τοῦ Θεὸν εἶναι ποιοῦνται μέγα τεκμήριον, εἴπερ τῇ τοῦ Θεὸν εἶναι ἐννοίᾳ τὸ τὴν οὐσίαν αὐτοῦ νῷ τε ἄληπτον εἶναι καὶ γλώττῃ ἄῤῥητον, σοφῶς πάνυ καὶ οἰκείως ἀκολουθεῖ· οὐδὲ τὰς θεόθεν ἀποκαλύψεις τῆς περὶ αὐτὸν ἀληθείας τίθεμεν νῦν, πρός γε τὴν χρείαν τοῦ τῶν ἀφρονευομένων ἐλέγχου, λίαν οἰκείως προϊόντος τοῦ λόγου, πρὸς ἑτέραν χρείαν παραληψόμενοι. Ἀλλ' ἐπεὶ Θεὸν οὐ νομίζοντες εἶναι τήν τε τῶν ὄντων ἀναιροῦσι δημιουργίαν καὶ τὴν εἰς πάντα ταῦτα διατρέχουσαν τοῦ Δημιουργοῦ πρόνοιαν, ἀκολούθως τῇ ἐνταθείσῃ, αὐτοῖς ἐν τῷ παντὶ τῷδε τάξει καὶ αὐτομάτως τά τε ὄντα εἶναι τά τε γινόμενα γίνεσθαι οἴονται, καὶ ἅπας ἄλλος ἐσμὸς τοῦ ψεύδους ἐντεῦθεν ἀκολουθεῖ, ἀρκεῖ πρὸς τὴν παροῦσαν χρείαν πυθέσθαι τινὸς αὐτῶν ἁπλᾶ τινα καὶ πάνυ βραχέα περὶ αὐτοῦ μόνου καὶ μόνον αὐτὸν ἔλεγχον τῆς οἰκείας ἀφροσύνης προστήσασθαι ἐξ· ὀλίγων τε καὶ φανερωτάτων τῶν περὶ αὐτὸν φαινομένων.

Ἄνθρωπε, σὺ τῶν ἄλλων ἐν γῇ πραγμάτων προέχεις τῇ φύσει προδήλως καὶ τῆς γῆς αὐτῆς· γῆς μὲν ὑπέρκεισαι καὶ λίθου τοῖς ἐν σοὶ πᾶσι καλοῖς τῆς φύσεως, σωματότητι μόνῃ τούτοις ἐνούμενος· καὶ σὺ γὰρ σῶμα περίκεισαι, εἰ δὲ βούλει, καὶ τῷ εἶναι ὃ κοινόν ἐστι τοῖς οὖσι πᾶσιν ἁπλῶς. Φυτῷ δὲ

A In idem ferri præcipitium, apud omnes pietatem simulant et lingua quidem una cum cæteris omnibus Deum esse confitentur, in corde vero insaniæ venenum abstrusum retinent; atque ideo manent insanabiles. At neque mente tenus illud impietatis cogitatum sibi conferunt, quippe qui alienus a mente fœtus iste; sed in corde atheismum generant, conceptum scilicet ex amentissimo illo ad sensibiles terrenasque res impetu. Nam si mente possint ac ratione uti, quod certe facile possent dum omni studio Deum esse velint, ipsa luce clarius et divina veritas et quotcunque ad pietatem inde prodeunt dogmata illis effulgerent. Porro ea quidem Dei opera quæ doctiorum mentes illuminant, vulgi vero oculis sunt inaccessa, quod nunc
B est, prætereamus; atenim quæ in eorum libris memorantur cuivis idoneo ac volenti licet inquirere, unde demonstratur et necesse omnino esse Deum exsistere et supra quam dici potest impossibile eum non esse. Sed et illam prætermitto communem omnibus hominibus sententiam, quæ non modicum pro veritate valet; siquidem principiis naturaliter apud omnes acceptis nihil quidquam certius. Nam, ut diximus, præter quam paucissimos admodum insanientes, Deum omnes agnoverunt et agnoscunt; ita nempe ut cum ejus essentiam et modos explorare tentaverint, rerum difficultate pressi, ut par est de Deo speculantibus, in varias varii divisi sunt opiniones; nec tamen a priori communioriique sensu
C hucusque deficiunt. Atqui admirationi indulgent et inhærent: cum enim hæc de Deo præfata nec indita ratione possint intelligi neque rebus naturaliter notis sint congeneræ, hinc Deum esse argumentum non leve sibi comparant: siquidem posito prius illum exsistere, tum ejus essentiam neque intellectu comprehendi nec sermone declarari posse, perquam apposite ac genuine consequens est. Neque divinas de ejusdem Dei veritate revelationes in præsentiarum adducam; cum ad eos confutandos, qui ita dementiunt aptissime ratio per se proficiat, cæterum illas alium ad finem allaturus. Sed quoniam semel abjecto Deo entium creatorem simul auferunt et Creatoris per hæc omnia permeantem Providentiam, consentaneum est, ex ip-
D sorum de his universis inducto systemate, ut casu esse quæ sunt et fieri quæ fiunt arbitrentur, ac indidem omnigenum aliud erroris agmen exsequitur. Idcirco sat erit ad præsentem scopum cuipiam eorum brevissimas quasdam et apertas interrogationes circa ipsum solum proponere unumque ipsum sibi in amentiæ suæ argumentum proferre, scilicet ex paucissimis evidentissimisque quæ ad ipsum attinent phænomenis.

Mi homo, tu manifeste cæteris terrenis rebus ipsique terræ natura præstas: terram nempe et lapidem internis omnibus naturæ dotibus superas, corpore tantum cum illis adunatus (nam et tu corpore circumvestiris); aut etiam, si placet, ipsomet esse quod universis omnino entibus convenit.

Cum planta autem magis ac perfectius vitam participas, qua et planta etiam a terra et lapide ac quovis inanimato distat. Jam vero cum zoophytis ambulatorium motum communem habes quo et illa plantas exsuperant. Hoc iterum tibi cum animalibus congruit quod præter omnia præfata sensu polles, unde et animalia cæteris cunctis præeminent. Uni tandem tibi indita ratio est qua summe cætera præcellis universa. Undenam igitur concinna hæc inter te primum et reliqua, horum dein inter se invicem distinctio, quæ per omnem cujusque generis atomorum infinitatem pervadit? Nunquid ab ipsis? At si lapis quidem potuisset esse planta, humilioremne gradum teneret? Haud certe magis quam tu regiæ malis esse janitor quam, optione tibi data, ad cubile regium assistere. Num et planta sponte fuisset animali inferior? Aut equus nonne, si penes ipsum fuerit, humanam sibi naturam vindicasset? At neutiquam, inquit, a semetipsis illa distinctio, sed fortuito et casu facta est. Verum enim si quid ejusmodi raro in iis adsit quæ statuto et definito fiunt ordine, id, ut natura vult et ratio, his quatenus sunt ex diametro est. Unde si hæc non exsisterent, neque illud unquam fieret, sicut morbus non supervenit nisi præcedenti sanitati. Sed esto nunc causa hæc sit cur ita res forte contingat, non ideo cæteris omnibus similiter se habet. Porro nulla movente causa, nihil unquam futurum esset, at certe portentosum aliquid semel accidens per multas temporum periodos corruptio est naturalis ordinis ex quodam naturæ morbo exorta. Præterea nonne tu cuncta moliris, quippe qui ratione polles, ut quænam sint agenda eligas? Ut quid ergo volatum jamdiu non usurpasti cum sæpius fortasse dixeris: Utinam modo volare queam? Ex eo evidenter quod, ad volandum cum natus non sis, fieri non potest ut homo simul exsistas et volatile. Quidni vero per imum mare perambulas; ut jam tot tantosque labores ac discursus fugias quibus desursum piscanti opus est? Quia videlicet a natura non habes ut in aquis degere valeas, sicut nec in terra piscis, Unde quamvis tuopte cæterorum vivendi genus affectes, id natura tibi circa pleraque præfinitum est, et natus non sis oportet ad omnia pro libito peragenda, imo quoad pleraque sis omnino impos.

Illæ igitur inter unumquodque rerum genus differentiæ, quæ ad ipsos usque generis atomos ita perveniunt ut nec plus neque minus habere possint boni quam cuique natura præstituit, qui jam casu essent aut fortuito, si quidem quod fortuitum aut casuale est cum ordinatis definitisque rebus ex adverso dissidet et ea quæ in contrarium discrepant nunquam coalere possunt? Illa autem quæ sunt per ordinem disposita, sive id natura fiat sive hominis arbitrio, quomodo sic evaderent, disponente nemine? Aut nec a semetipsis ordinata undenam tandem ordinarentur? Si vero mihi dederis ex superioribus quidem et communioribus causis hoc quodam ex ordine fieri, primum a te jamjam effluit casuale

A καὶ ἔτι πλείονος κοινωνεῖς καὶ μείζονος τοῦ ἐμψύχου, ᾧ καὶ τὸ φυτὸν γῆς τε καὶ λίθου καὶ παντὸς ἀψύχου διίσταται· πρὸς δέ γε τὰ ζωόφυτα τὸ κινεῖσθαι μεταβατικῶς κοινὸν ἔχεις, ᾧ κἀκεῖνα τῶν φυομένων πλεονεκτοῦσι. Τοῖς δὲ ζώοις ἔτι περαιτέρω συμπέπλεξαι, τῷ πρὸς τοῖς εἰρημένοις πᾶσι καὶ αἰσθάνεσθαι, ᾧ καὶ τὰ ζῶα τῶν ἄλλων πάντων προέχουσιν· σοὶ δὲ μόνῳ τὸ λογίζεσθαι μόνον ἔστιν, ᾧ τῶν ἄλλων πάντων ἐξόχως ὑπέρκεισαι. Πόθεν οὖν ἡ εὔτακτος αὕτη διάκρισίς ἐστί σοι πρός γε τὰ ἄλλα κἀκείνοις πρὸς ἑαυτὰ πᾶσαν διατρέχουσα τῶν ὑφ' ἑκάστῳ γένει τὴν ἀπειρίαν ἀτόμων; πότερον ἀφ' αὐτῶν; καὶ εἴπερ ὁ λίθος ἠδύνατο φυτὸν εἶναι, εἵλετο ἂν τὸν χείρω βαθμόν; Οὐ μᾶλλον, ἢ σὺ θυρωρὸς ἂν εἶλου τῶν βασιλείων εἶναι ἀντὶ τοῦ τῷ βασι-
B λικῷ κοιτῶνι παρίστασθαι, ἐπὶ σοὶ κειμένης τῆς ἐκλογῆς. Καὶ φυτὸν ἦν ἂν ἑκὼν χεῖρον τοῦ ζώου; καὶ ἵππος δυνάμενος ἂν ἀνθρώπου φύσιν ἔχειν οὐκ ἂν ἐδουλήθη; Ἀφ' αὐτῶν μὲν οὖν οὐδαμῆ, ἀλλ' αὐτομάτως καὶ τυχαίως ὧδί διακέκριται. Ἀλλ' εἴ τι τοιοῦτο ἐν τοῖς γινομένοις σπανίως ἐστὶ τοῖς τεταγμένοις τε καὶ ὡρισμένοις, καὶ κατὰ φύσιν καὶ λόγον οὗσιν ἀντιδιήρηται, ὅθεν εἰ μὴ ταῦτ' ἦν, οὐδ' ἂν ἐκεῖνό ποτε γίνεσθαι ὥσπερ νόσος ἐπισυμβαίνει, διὰ τὸ πολλῷ πρότερον ὑγείαν εἶναι· καίτοι καὶ τοῦτο προσεχῆ μὲν αἰτίαν τοῦ ὧδί πως ἀποβαίνειν οὐκ ἔχει τοῖς ἄλλοις πᾶσιν ὁμοίως· αἰτίας δ' ἄνευ τῆς; ποιούσης οὐκ ἂν ποτε γένοιτο, καὶ τερατῶδες δέ τι γινόμενον ἅπαξ ἐν περιόδοις χρόνων πολλαῖς φθορὰ
C τῆς φυσικῆς ἐστι τάξεως διά τι πάθος τῆς ὕλης οὕτω συμβαίνουσα. Ἐπὶ τούτοις οὐ σύ γε πάντα ποιεῖς προαιρούμενος ἅττ' ἂν ποιοῖης, τῷ γε λογικὸς εἶναι; διὰ τί μὴ καὶ ἵπτασθαί ποτε προαιρῇ καίτοι πολλάκις ἴσως εἰπών, Εἴθε νῦν ἠδυνάμην πτῆναι; ἢ δῆλον, ὅτι μὴ πέφυκας ἵπτασθαι, οὐδ' οἷόν τέ ἐστιν ἄνθρωπόν σε ἅμα καὶ πτηνὸν εἶναι. Διὰ τί δὲ μὴ καὶ τὸν τῆς θαλάττης διατρέχεις; βυθὸν, ἵνα μὴ τοσούτοις πόνοις καὶ μεθόδοις τρέφῃ τοιαύταις, τοὺς ἰχθῦς ἄνωθεν ἁλιεύων; ἢ δῆλον, ὅτι μὴ πέφυκας ἐν ὕδασι δύνασθαι ζῆν, ὥσπερ οὐδ' ἰχθὺς τοῦτο δύναιτ' ἂν ἐν τῇ γῇ· ὅθεν εἰ καὶ τῷ προαιρέσει ζῆν τῶν ἄλλων πλεονεκτεῖς, ἀλλὰ φύσει καὶ τοῦτό σοι πρὸς πλείστά γε ὥρισται, καὶ δεῖ σε μὴ πάντα πεφυ-
D κέναι πράττειν προηρημένον, πρὸς τὰ πλείστα δὲ ἀποπεφυκέναι.

Αὗται τοίνυν αἱ διαφοραὶ κατὰ γένος μὲν ἕκαστον οὖσαι, ἐπὶ δὲ τὰ τοῦ γένους ἄτομα διατρέχουσαι, ὡς μήτε δύνασθαι πλέον ἔχειν μήτ' ἔλαττον τοῦ φύσει ἑκάστοις ὡρισμένου καλοῦ, πῶς ἂν τυχαίως εἶεν ἢ αὐτομάτως, εἴπερ τὸ τυχαῖόν τε καὶ αὐτόματον τῷ τεταγμένῳ τε καὶ ὡρισμένῳ ἀντιδιήρηται, καὶ ἀντιφατικῶς διακεχριμένα οὐκ ἂν δύναιτο συνελθεῖν, τεταγμένα δὲ ὄντα τὰ φύσει τε οὕτω γινόμενα καὶ προαιρέσει ἀνθρωπίνῃ, πῶς ἂν ἄνευ εἶεν τοῦ τάττοντος, καὶ ὑφ' αὐτῶν οὐ ταττόμενα τάττοιντ' ἂν ἑτέρωθεν ὅπου; Εἰ τοίνυν δοίης, αἰτίοις ὑψηλοτέροις τε καὶ κοινοτέροις ταῦθ' οὕτω γίνεσθαι μετά τινος τάξεως, πρῶτον μὲν οἴχεταί σοι λοιπὸν τὸ τυχαῖόν τε καὶ αὐτόματον· εἶτα καὶ περὶ ἐκείνων ἡ

αὐτὴ ἂν ζήτησις εἴη, τοῖς ὑποκάτω τούτοις ὁμοίως φύσει τε καὶ τάξει πρὸς ἄλληλα διαφερόντων. Οὐδ' ἐκεῖνα γὰρ παρ' ἑαυτῶν τὴν τοῦ ποιεῖν οὕτω καὶ τάττειν ἐν τοῖς ὑποδεεστέροις ἔχουσι δύναμιν, οὔτε τὴν πρὸς ἄλληλα ὑπεροχήν τε καὶ ὕφεσιν· σελήνη γὰρ, εἴπερ ἐξῆν αὐτῇ, εἶλετ' ἂν μᾶλλον ἥλιος εἶναι καὶ ἅπερ ἥλιος ἐν τοῖς ὑποκάτω τούτοις ποιεῖ, ταῦτα ποιεῖν μᾶλλον αὐτὴ, πλείω τε καὶ βελτίω ὄντα, ὧν αὐτὴ ποιεῖν δύναται· καὶ ἥλιος πρός γε τὰ ὑπὲρ αὐτὸν σώματα τοιοῦτος ἂν ἦν, καὶ μάχη τις ἂν ἦν ἀντὶ τάξεως. Οὐκοῦν καὶ τοῖς ὑψηλοτέροις ἐκείνοις ἠναγκασμένη τίς ἐστιν ἡ τοιαύτη τάξις· ὅθεν αὐτῇ καὶ τὸ ἀμετάβλητον διηνεκῶς ἕνεστι, καὶ φυσικῆς οὔσης τῆς τοιαύτης ἐν αὐτοῖς τάξεως καὶ τὴν φύσιν ἐν αὐτοῖς ἐχούσης ἀρχὴν, τὴν αὐτὴν ἂν ἔχοιεν αἰτίαν δήπου, τοῦ τε ὧδε πεφυκέναι τοῦ τε οὕτωσὶ τετάχθαι καὶ τοιάδε δρᾶν ἐν τοῖς ὑποκάτω τούτοις. Ἀλλὰ καὶ αὖθις πυνθάνομαί σου· οἰκοδόμος εἶ σύ γε τυχὸν, καὶ πῶς οὐχ ἅμα καὶ ναυπηγὸς εἶ; εἰ δὲ καὶ τοῦτο, διὰ τί μὴ καὶ τρίτην τὴν σκυτοτομικὴν ἔχεις; καὶ ὡς ἂν συνελὼν φαίην, διὰ τί μὴ καθάπερ μιᾶς, οὕτω καὶ πάσης τέχνης προέστηκας; ἢ δῆλον, ὅτι τῷ μὴ δύνασθαι πάσας ὁμοῦ μετιέναι. Δεῖ γὰρ πρὸς ἑκάστην τέχνην πολλὰ μὲν μαθεῖν, πλείω δὲ ἐνηργηκέναι καὶ οὕτω τὴν ἕξιν πείρᾳ λαβεῖν· ταῦτα δὲ πλείονος ἂν δέοιτο χρόνου, οὐδ' ἂν ὁ ἑκάστου βίος ἀρκέσειε πρὸς τὸ πλείους οὕτω κτήσασθαι μόνον, καὶ πρίν τινα μαθεῖν ἁπάσας καλῶς τοῦ θανάτου φθάσαντος οὐκ ἂν οὐδεμιᾷ χρήσαιτο. Τοῦ δὲ δύνασθαι χρῆσθαι χάριν ταύτας κτᾶσθαι σπουδάζουσιν ἄνθρωποι· ἀλλὰ καὶ τὸ δύνασθαι τέχνην μίαν ἢ δύο μαθεῖν πόθεν ἔχεις; παρὰ σαυτοῦ; καὶ μὴν ἦρκει γ' ἂν τὸ θελῆσαι πρὸς τὸ μαθεῖν, καὶ οὕτως ἂν ἐν ὀλίγῳ χρόνῳ πάσας ἂν εἶχες εἰδέναι· ἀλλὰ τῆς εἰρημένης προχωρήσεως; δεῖ καὶ χρόνου πρὸς ἑκάστην πλείονος. Οὐκοῦν ἄλλοθέν σοι τὸ δύνασθαι μαθεῖν ἐστιν ὅτιοῦν τῇ φύσει σπινθῆρος δίκην ἐγκείμενον· καὶ ὥσπερ οὐκ ἐγένου τῷ θελῆσαι γίνεσθαι, οὐ γὰρ ἦσθα πρὶν γίνεσθαι, οὕτως οὐδὲ τὸν σπινθῆρα τοῦτον ἔσχες τῷ βουληθῆναι, καὶ τὸ μὴ πάσας ἀλλ' ἐνίας δύνασθαι, καὶ τὸ μὴ πρὸς πάσας ὁμοίως ἀδυνατεῖν. Οὔτε μὴν αὐτομάτως ἔσχες· εἶχες γὰρ ἂν μόνος ἢ μετ' ὀλίγων αὐτὸς, τῶν ἄλλων πρὸς τὸ μαθεῖν ἀποπεφυκότων, ὥσπερ πρὸς τὰ φύσει γινόμενα οὐδέν ἐστι σχεδὸν τά γε αὐτομάτως λεγόμενα γίνεσθαι. Νῦν δὲ πάντες ἄνθρωποι τὴν τοῦ μανθάνειν ἔχουσι δύναμιν, ἀορίστως μὲν τὴν ἀρχὴν πρὸς ἁπάσας ἔχουσαν τέχνας πρὶν ἄρξασθαι μανθάνειν, μετὰ δὲ τοῦτο πρὸς μίαν τέχνην ὁριζομένην, ἣν ἄν τις καὶ μανθάνειν ἄρξαιτο, εἰ δ' εὐφυέστερός τις εἴη, πρὸς δύο καὶ τρεῖς, ἀλλ' οὔτοι γε πρὸς τὰς πλείστας, σχολῇ γε πρὸς πάσας ὁμοῦ· καὶ τὴν τοιαύτην δὲ τῆς φύσεως ἐπιτηδειότητα πρὸς τὸ πλείους μαθεῖν ἑτέρωθεν ἔχεις, ὅθεν δὴ καὶ τὸ μαθεῖν ἁπλῶς δύνασθαι· ὥστε καὶ σημεῖα τῆς τοιαύτης δεινότητος, ὥσπερ αὖ τοὐναντίον τοῦ μὴ πεφυκέναι πρὸς πλείους, ἐν τῇ τοῦ σώματος ὁρῶνται κατασκευῇ τὴν ἔνδον δηλοῦντα διάθεσιν, ἃ τοῖς περὶ ταῦτα δεινοῖς καλῶς ἐξητάσθη.

A istud et fortuitum, deinde et illa ipsa, eadem si disquisitio fieret, naturaque et ordine, sicut res inferiores ab invicem dissita comperias. Neque illis enim a seipsis facultas inest ita peragendi disponendive circa res inferius positas, nec etiam inter se præstandive aut subjacendi. Etenim luna, si per se liceat, sol esse potius haberet et eadem quæ sol apud inferiora ipsamet agere, ut pote plura et præstantiora quam quæ ipsa potest. Ita et sol eodem modo se haberet erga sublimiora sibi corpora, indeque pugna quædam pro ordine prodiret. Quamobrem illis etiam sublimioribus rebus statuta quædam hæc est ordinatio, unde et ipsa quidem in perpetuum staret indefecta, et in illis ejusmodi ordinatione insita quæ ipsam habet auctorem naturam, eadem omnibus causa esset cur ita sint nata definitaque ad similia sibi subjectis impertienda. Atenim a te rursum quæro: Tu forte artis es cameritiæ, quidni vero simul et naupegiæ? Porro si res ita se habeat, cur non et filium tenes sutorium? Denique ut summatim loquar, quare ut artem unam sic omnes adeptus non es? Ex eo manifeste quod impossibile sit cunctas simul assequi. Nam ad quamlibet artem multa quidem ediscenda; plura sunt exercenda ut quispiam usu peritus evadat. Ad hæc autem multo tempore opus esset nec singulis vita sufficeret ad plures tantum acquirendas, et priusquam scite omnes aliquis attingeret, morte præoccupatus ne unam quidem exerceret. Sed esto: homines illas ut exercere valeant acquirere contendant; atqui ipsa hæc artem unam aut duo callendi facultas undenam tibi? Num a temetipso? Tum igitur velle satis fuisset ediscendi gratia, sicque omnes brevi potuisses edoceri. Sed præfato tane progressu et multo tempore tibi ad singulas opus est. Ergo aliunde habes ut discere valeas quidquid instar scintillæ est in natura depositum. At quemadmodum non ex eo factus es quod fieri volueris (nec enim prior fuisti quam fieres), ita neque scintillam istam haberes eo ipso quod animo proposueris sive non dicam omnes sed aliquot percallere, sive non esse omnium simul expertem. Cæterum neque istud casu nactus esses, haberes enim unus ipse aut tecum pauci, peritiæ cæteris exsortibus; quemadmodum quæ fortuita dicuntur, pro naturaliter contingentibus nihil fere sunt. Jam vero omnibus inest hominibus ediscendi facultas, indefinita quidem initio circa artes omnes, priusquam discere incipiant; postea vero uni tantum addicta quam quivis susceperit assequendam. Quod si quis aptioris fuerit ingenii, ad duo vel tres nec ad plures pertinget, multo minus ad universas. Verum hæc etiam naturalis ad plures artes aptitudo aliunde tibi fit, unde nimirum ipsa discendi facultas. Adeo ut signa etiam ejusmodi habilitatis sicut et inertiæ, in corporis constitutione appareant ex quibus innotescit animi captus, prout accurate de his perite compertum habent.

Qua vero de causa non eædem omnibus artibus materiæ subjacent, sed alii alia quæritur? Nec enim profecto eadem ex materia tibi calceamentum et domum erues, et si non modo cæmentitiam sed et sutoriam coleres artem; neque ultro laborares si ex eadem posses utrumque conficere. Undenam igitur apud artifices illa circa materias discretio? Non enim sua sponte id operis exhibent; tuque ipse liceat omnibus similiter ad structuram tuam uti liceret, at non ideo posses. Viden, quod ejusmodi ordinatio, tametsi in artibus et opificiis per se videatur arti subjecta, ipsa revera præsit omnibus quæ naturaliter constant, tibi vero potestas indita sit inveniendi quænam cuilibet arti materia congruat; ipsa denique ratio est etiam sibi famulantis exercitii. Præterea quare cum ædificas a fundamento incipis, muros deinde coagmentas, posthæc tabulamenta supersternis ac parietes rursum erigis, tum deinceps tectum imponis, ac tandem distributam exornas interiorem domum; atenim nunquam retroversus ista peragis? Annon evidens quod etiamsi aliter velis, non ideo præstare queas? Vel etiam profecto pedibus utut capiti innixis incederes, si modo valeas, quod et lusores quidam prodigiose patrant; hi vero ne una quidem vice capiti pro pedibus insistunt, impossibile enim est; manibus autem evecto capite humi ludunt, vice pedum manibus utentes. Utquid insuper in mari non ædificas, aut nauta non solet terra navigare, nisi quod neque per agros navigatio, nec in mari unquam ædificatio fungi queat suo munere? Uno verbo, ex arte quidem ædificare didicisti, natura autem naturalibusque rebus uteris. Aut si esses medicus, herbas utique ac lapides in hanc artem adhiberes. Atqui alia quidem ad aliud herba nata est, neque ad morbos tantum sanandos, sed et inducendo tum scilicet ipsis utentibus, tum iis qui recte uti nesciunt; alia vero etiam plane perimunt, nedum sanitatem servent aut revocent. Ita et lapides operantur, nec eorum natura ulla unquam posset industria mutari. Hoc tantum prohibentur ne, proprium assequendo finem, alias sibi contrarias vires aut efficaciores præpediant necnon et reliquas artis methodos.

Ἔνεστι δὲ πῶς οὐχ αἱ αὐταὶ πάσαις ὑπέκεινται τέχναις; πρὸς δ' ἄλλην τέχνην ἄλλη ζητεῖται· οὐ γὰρ τῇ αὐτῇ γε ὕλῃ ὑπόδημα ἂν τεχνάσαιο καὶ οἰκίαν, εἴπερ καὶ σκυτοτομεῖν εἰδείης, οὐ μόνον οἰκοδομεῖν· οὐκ ἂν δ' εἶχες πράγματα ἐκὼν, εἴπερ ἠδύνασο, τῇ αὐτῇ οἰκόν τε καὶ ὑπόδημα ποιεῖν ὕλῃ. Πόθεν δ' ἡ κατὰ τὴν ὕλην αὖτη διαφορὰ πρός γε τὰς τέχνας τοῖς μετιοῦσιν; οὐ γὰρ βουλόμενοι τοῦτο πάσχουσιν, καὶ σὺ βουληθεὶς κεχρῆσθαι πάσαις ὁμοίως πρὸς τὴν σὴν οἰκοδομικὴν οὐκ ἂν δύναιο, καθάπερ ἔφθην εἰπών. Ὁρᾷς τὴν τοιαύτην τάξιν κἀν ταῖς τέχναις τε καὶ τοῖς τεχνητοῖς φαινομένην τῷ τὴν μὲν φύσιν ὑποκεῖσθαι τῇ τέχνῃ, τετάχθαι δὲ προδήλως αὐτὴν ἐν τοῖς φύσει συνεστῶσιν ἅπασι, σοὶ δὲ δύναμιν ἐντεθεῖσθαι τοῦ, ποία ἂν ὕλη ποίᾳ τέχνῃ ἁρμόσειεν, εὑρετικήν· ταύτην δ' εἶναι τὸν λόγον καὶ πεῖρας ὑπουργούσης αὐτῷ. Ἀλλὰ μὴν καὶ διὰ τί ἐκ θεμελίου οἰκοδομῶν ἄρχῃ, εἶτα τοίχους συνείρεις, εἶτ' ἐφαπλοῖς καταστρώματα καὶ τοίχους αὖ ἐπεγείρεις, εἶτα τελευταῖον ἐπιτιθεῖς ὀροφὴν, εἶτα μερίζων ἔνδον καταχοσμεῖς, ἀλλ' οὐδέποτε καὶ ἀντεστραμμένως ταῦτα ποιεῖς; ἢ δῆλον, ὡς οὐκ ἂν ἄλλως δύναιο ποιεῖν οὐδὲ βουληθείς; Ἢ γὰρ ἂν καὶ περιεπάτεις ποτὲ τῇ κεφαλῇ τοὺς πόδας ἐπερείδων, εἴπερ ἠδύνασο, ὅπερ ἔνιοι παίζοντες παραζοποιοῦσιν· κάθηνται δὲ οὐδ' οὗτοι τῇ κεφαλῇ καθάπαξ ἀντὶ ποδῶν, ἀμήχανον γὰρ, ταῖς δὲ χερσὶ τὴν κεφαλὴν μετεωρίζοντες ἐπὶ γῆς παίζουσι ταῖς χερσὶν ἀντὶ ποδῶν χρώμενοι. Διὰ τί δὲ καὶ μὴ οἰκοδομεῖς ἐν θαλάσσῃ, οὐδ' ὁ πλευστικὸς ἐπὶ γῆς εἴωθε πλεῖν, ἢ ὅτι πλευστικὴ μὲν ἐπὶ γῆς, οἰκοδομικὴ δὲ ἐπὶ θαλάττης οὐκ ἂν δύναιντό ποτε τὰ αὐτῶν πράττειν; καὶ ἁπλῶς εἰπεῖν, τέχνῃ μὲν δῆπου τὸ οἰκοδομεῖν ἔχειν εἴληφας, κέχρησαι δὲ φύσει τε καὶ τοῖς τῆς φύσεως ἔργοις. Καὶ ἰατρὸς εἴπερ ἦσθα, βοτάναις ἂν καὶ λίθοις πρὸς τὴν τέχνην ταύτην ἐκέχρησο· βοτάνη δὲ ἄλλη δρᾷν ἄλλο τι πέφυκεν, οὐδὲ νοσημάτων ἁπαλλάττειν μόνον, ἀλλὰ καὶ νόσους ποιεῖν τοῖς ὅλως χρωμένοις ἢ τοῖς οὐκ εἰδόσι χρῆσθαι καλῶς, καὶ κτείνουσι δὲ ἄλλαι τελείως ἀντὶ τοῦ τρέφειν ἢ τὴν ὑγείαν ἐπανασώζειν· καὶ λίθοι δὲ ὡσαύτως ταῦτα ποιοῦσι, καὶ τὴν αὐτῶν φύσιν οὐδεὶς ἂν οὐδεμιᾷ μεταποιήσειε τέχνῃ· εἴργονται μόνον τὰ αὐτῶν, ἐξανύειν ἄλλοις τἀναντία τε πεφυκόσι καὶ δραστικωτέροις ἀντιπραττόμενα καὶ μεθόδοις τέχνης ἑτέραις.

Itaque ex sublimioribus Dei operibus atque rerum et virium his insitarum tam concinna distinctione, ex manifestissima et stupenda mundi hujus universi administratione cui tantus ordo præest, ex multis aliis denique id generis unde omnes ad Dei notitiam necessario compulsi sunt, posses et tu comperire, si libeat, nihil esse vel fieri quod præter ordinem fiat aut sit, universaque entia quadam quasi permirabili catena connecti simul ac secerni, cujus non fuissent ipsi sibimet auctores. Neque tot tamque dissimiles naturæ in unius mundi constitutionem inter se essent ab initio consertæ, nemine jam tum conserente illisque sic perpetuo coalendi vim suppeditante quam ipse posset ad nutum solvere. Porro ordinatim ista conserere idem est ac

Ἐκ τῶν ὑψηλοτέρων τοίνυν τοῦ Θεοῦ ἔργων καὶ τῆς εὐτάκτου διαφορᾶς τῶν ἐν αὐτοῖς φύσεων καὶ δυνάμεων, καὶ τῆς φανερωτάτης καὶ ξενιζούσης τοῦδε τοῦ παντὸς διοικήσεως οὕτω λίαν οὔσης εὐτάκτου καὶ πολλῶν ἄλλων τοιούτων, δι' ὧν ἀναγκαίως πρὸς τὴν περὶ τοῦ θείου πάντες ἤχθησαν ἔννοιαν, εἴχες ἄν, εἴπερ ἐβούλου καταμαθεῖν καὶ αὐτὸς, ὡς οὐδὲν ἔστιν ἐν τοῖς οὖσι καὶ γινομένοις ἄνευ τάξεως ὂν καὶ γινόμενον, καὶ ὅτι καθάπερ ὑπερθαυμάσιόν τινι σειρᾷ τὰ ὄντα πάντα συνδέδεταί τε καὶ διακέκριται, ἧτις οὐκ ἂν ἀπ' αὐτῶν ἐν αὐτοῖς εἴη· οὐδ' ἂν συνεπλάκησαν τὴν ἀρχὴν τοσαῦται τῷ πλήθει φύσεις καὶ οὕτω διάφοροι πρὸς ἑνὸς κόσμου σύστασιν ἄνευ τοῦ συμπλέξαντός τε τὴν ἀρχὴν καὶ τὴν τοῦ διὰ παντὸς οὕτω συμπεπλέχθαι δύναμιν αὐτοῖς ἐν-

θεμένου, ἦν αὐτὸς μόνος ἂν ἠδύνατο καὶ λύειν, εἴγε ἐβούλετο. Τὸ δὲ συμπλέκειν ταῦτα εὐτάκτως ταυτόν ἐστι τῷ ποιεῖν, καὶ τῷ φθείρειν τὸ διαλύειν· εἰ δὲ συμπλέκεις καὶ σὺ διαφόρους φύσεις οἰκοδομῶν, ἀλλ' οὐχ ὡς ἂν βουληθείης, ὡς ἂν δὲ συμπλέκοιντο, καὶ ἡ τῆς σῆς τέχνης ἐφαρμογὴ τῇ συμπλοκῇ τῶν φύσεων ἕπεται· ὅθεν συμπλέκεις μόνον καὶ οὐ ποιεῖς αὐτάς. Ὁ δὲ τὰς φυσικὰς συμπλέκων ἰδιότητας ἐν τοῖς οὖσι καὶ ποιητὴς αὐτῶν ἐστι δήπου· ποιεῖ γὰρ καὶ ὑφίστησιν οὕτως, ὡς ἂν καὶ συμπλέκεσθαι δυνηθεῖεν πρὸς ἑνὸς τοῦ παντὸς τοῦδε σύστασιν, ἧτις ἦν τῷ παντὸς ἐποίει τε καὶ συνέπλεκε μέρη.

Εἰ δ' ἐκ μηδενὸς τῶν τοιούτων, ἀπὸ σαυτοῦ γοῦν μόνου καὶ τῆς σῆς φύσεως καὶ τῶν σῶν ἔργων ἔδει σε τὸν ἐπιγνῶναι δημιουργὸν, ὃς σοι μετὰ τοῦ εἶναι καὶ τὴν πρὸς τἄλλα δέδωκε τάξιν· καὶ ταύτην σοι τὴν ὁδὸν νῦν ἡμεῖς ἐκ περιουσίας ἀντὶ πολλῶν τε ἄλλων καὶ σοφωτέρων ὁδῶν προὐθήκαμεν, οὐκ ἐπ' ἐλέγχῳ μόνον τῆς σῆς ἀφροσύνης, ἀλλὰ καὶ συνεργοῦντες, εἴποτε βουληθείης ἐντεῦθεν γοῦν ἠρεμέω τοῦ σε καὶ πάντα ποιήσαντος συναισθέσθαι Θεοῦ. Σὺ δὲ τῆς μὲν οἰκίας δημιουργὸν σαυτὸν εἶναι φῂς, καὶ πάνυ καλῶς, καὶ τῆς ἐν σοὶ τοῦ δημιουργεῖν οὕτω τέχνης αἴτιον τὸν διδάξαντά σε ταύτην ὁμολογεῖς· ἄπειρ οὐδ' εὐθὺς γεννηθέντι, μετὰ δὲ τὴν δευτέραν ἡλικίαν παρῆν, πάσαις παρασκευαῖς ἐκ τῆς φύσεως ἐξηρτυμένῳ καλῶς πρὸς τὸ δύνασθαι μανθάνειν τε καὶ ἐργάζεσθαι. Καὶ οὔτε λέγεις τὴν οἰκίαν αὐτόματον ὑποστῆναι, ἢ γὰρ ἂν αὐτῆς οὐκ ἀπῄτεις μισθὸν, οὔτ' αὐτομάτως σοι τὴν τέχνην ἐλθεῖν· οὐ γὰρ ἂν ἔδει σε προσεδρεύειν φοιτῶντα οὐδὲ μισθοὺς ὑπισχνεῖσθαί τε καὶ παρέχειν τῷ δεικνύναι σοι δυναμένῳ· τοῦ δ' ἐκ ψυχῆς σε συνεστάναι καὶ σώματος καὶ τὴν μὲν ψυχὴν τοσαύταις συνεῖναι καὶ τοιαύταις δυνάμεσι, τὸ δὲ σῶμα τοσούτοις συντεθεῖσθαι στοιχείοις, ἃ τοῖς τοῦ κόσμου στοιχείοις; ᾠκείωταί πως τοῦδε τοῦ πρὸς ἡμῖν, εἶτα τοσούτοις αὐτὸ μέρεσι καὶ μορίοις διακεκρίσθαι τε ὁμοῦ καὶ ἡνῶσθαι, ὁμοιομερές τε καὶ ἀνομοιομερὲς, καὶ ἐνδοτέροις καὶ φανεροῖς, καὶ τάξιν αἰτίου τε καὶ αἰτιατοῦ πρὸς ἄλληλα ἔχουσι, καὶ τοῦ τὴν ψυχὴν τελειοῦσθαι μὲν εἰς ἀρετὴν δύνασθαι καὶ σοφίαν χρωμένην ὀρθῶς τῷ σώματι, φαύλως δὲ κεχρημένην ἀμφοτέρων διαμαρτάνειν καὶ πρὸς τὴν ἐναντίαν ἧκειν διάθεσιν, καὶ ἁπλῶς εἰπεῖν τοῦ ἐν σοὶ ποικιλωτάτου καὶ παραδοξοτάτου χρήματος, οὐδ' ἐν σοὶ μόνον, ἀλλὰ καὶ ἐν ἀναριθμήτοις ὁμοίως τοῖς τῆς αὐτῆς μετεσχηκόσι σοι φύσεως, οὐ θέλεις εἶναι δημιουργὸν καὶ χείρω εἶναι τοσοῦτον θέλεις τῶν σῶν ποιημάτων! Καὶ σὺ μὲν ἂν οἰκοδόμος ἦς καὶ δεσπότης ὁμοῦ τῆς οἰκίας, οὐχ ὅπως μόνον γένοιτο τὴν ἀρχὴν, ἀλλὰ καὶ ὅπως ἂν συνίσταιτο προνοεῖς, τῶν πρὸς τοῦτο φερόντων πάντων ἐπιμελόμενος· σοῦ δὲ καὶ τῆς σῆς ζωῆς οὐδένα βούλει φροντιστὴν εἶναι καὶ κηδεμόνα· καὶ ἀνθρώπου μὲν δεῖ πρὸς ταῦτά ποτε, ὃς οὐδὲ αὐτῷ ξύναται βοηθεῖν· τοῦ δὲ μόνου βοηθεῖν ἔχοντος καὶ βοηθοῦντος οὐκ ἐπαΐεις καὶ βοηθοῦντι προσέχειν οὐ βούλει μηδὲ χάριν ὁμολογεῖν! Καὶ οἰκίαν μὲν ἐπαινεῖς ὡς εὖ εἰργασμένην συντόνως ἐπαινῶν τὸν δεδη-

A lacere, idem et dissolvere atque delere. Tu vero cum ædificas, etsi varias etiam compingis naturas, id non pro nutu quidem, sed ut forte contigerit et artis tuæ dispositio naturis subditur. Unde coagmentas modo, non vero creas. Qui autem entibus naturales aptat proprietates, ille procul dubio est et eorum factor. Ita namque ipsam substantiam efficit ut possint ad hujusce totius mundi compositionem adaptari, prout illi profuerit; quem ad finem omnes universi partes confecit et conciliavit.

Sin vero nihildum moveare hujusmodi exemplis, ex temetipso certe quidem tuaque natura et operibus tibi creator erat agnoscendus, a quo tum esse tum B ad reliqua ordinari nactus es. Hanc igitur ego, neglectis aliis pluribus iisque optimis, alteram ex abundanti viam propono, non ut tuam modo confutem insaniam, sed etiam adjuvem, si qua tandem hinc cœpisse velis tui omniumque conditorem intelligere Deum. Tu ergo domus ædificatorem teipsum ais, et plane merito; atque hujus artis eum tibi causam esse fateris a quo didicisti; quippe qui nec dudum natus, nonnisi firmata jam ætate, ad hoc par evaseris, instructus scilicet omnibus naturæ dotibus ut discere posses et exerceri. Attamen neque domum asseris casu exsistere, nam mercedem profecto ex ea non expeteres; neque fortuito tibi innatam artem, tum enim non oportebat magistrum adeo frequentare, nummosque spondere et solvere. Nunc autem quod C anima constes et corpore, atque tot tantisque anima sit instructa viribus, corpus autem tot elementis constitutum, quæ cum hujusce circa nos mundi principiis fere coalescunt, quod tam multis istud partibus et particulis sit distinctum simul et adunatum, similibus ac dissimilibus, internisque et apparentibus compositum, quæ inter se invicem ratione causæ et effectus ordinantur, quod insuper anima virtute possit et sapientia perfici, modo recte corpore utatur, sin minus ab utroque decidet jam in contrarium decessura; et ne plura, quod in te sit perquam varius ille ac stupendissimus thesaurus neque in te uno, sed et apud innumeros pariter ejusdem naturæ tibi comparticipes, tune vis auctorem esse nullum, atque opus tantum tuis factis de- D terius! Et tu quidem si domus structor simul exsistas et dominus, non solum quomodo sit exsequenda provides ab initio, sed etiam quomodo disponenda, et quidquid operi conferat nonnihil curas. De te vero ac vita tua neminem esse ducis qui curet aut cogitet! imo hoc aliquando hominem rogabis qui ne sesequidem valet adjuvare, atque solum vere juvantem juvandique capacem non laudas, neque etiam juvanti vis attendere aut gratias referre! Ac domum quidem laudas ut affabre factam structoremque incessanter prædicas; quæ autem in te est stupendam hanc et eximiam architecturam dehonestas cujus tam proterve structorem abnegas! cumque asserentem quamlibet casu constare domum tuam

irrideas, eorum tamen elementorum tanto magis illa pretiosorum quo operis tui pulchritudinem ratione materiæ superant, quorum eximia concinnitas et per quæ subjecta materia præstanter efformatur, horum inficiaris quemquam esse causam et factorem, et, quod summæ est amentiæ, neque tui neque tuorum in te bonorum opificem! Quid igitur mirum si et reliqua cuncta ignores, quomodo et undenam sint, qui in temetipso prior tantas instituis tenebras? Sed, ut jam promisimus, quoniam prave et turpiter vivere proposueris, in hancce devenisti vesaniam, atque iterum sic insaniendo malis mala securus congeris, humanamque vitam semel aversatus retro peragis.

μιουργηκότα· τὴν δ' ἐν σοὶ ξενίζουσαν καὶ σοφωτάτην οἰκοδομίαν ἀτιμάζεις οὕτω δεινῶς τὸν δημιουργὸν αὐτῆς ἐξαρνούμενος! Καὶ λέγοντος μέν τινος τὴν οἰκίαν αὐτομάτως συστῆναι καταγελᾷς· τῶν δὲ πολὺ ταύτης τιμιωτέρων ὑλῶν, αἳ πρὸς μὲν τὸ παρὰ τῆς σῆς τέχνης εἶδος τὸν τῆς ὕλης ἔχουσι λόγον, εἶδη δ' εἰσὶν αὐταὶ διαφέροντα καὶ διαφόρως τὴν ὑποκειμένην ὕλην μορφοῦντα, τούτων οὐ θέλεις αἴτιον εἶναι καὶ δημιουργὸν, καὶ ὃ μεῖζον εἰς ἀπόνοιαν, οὐδὲ σοῦ καὶ τῶν ἐν σοὶ καλῶν αἴτιον! Τί τοίνυν θαυμαστὸν, εἰ τὰ ἄλλα πάντα ὅπως τε καὶ ὅθεν ἐστὶν ἀγνοεῖς, ἐν σαυτῷ πρώτιμ τὸν τοιοῦτον ὑφιστάμενος σκότον, ἀλλ' ὅπερ ἔφθην εἰπὼν ἐκ πονηρίας τε καὶ τοῦ φαύλως προῃρῆσθαι βιοῦν ἐπὶ ταύτην ἥκεις τὴν ἀφροσύνην, καὶ οὕτως ἀφρονευόμενος αὖ ἀδεῶς καθάπαξ ἠρνημένος; περινοστεῖς!

Hoc itaque contra eos qui pro multa stultitia nullum esse Deum in corde delirant, perpaucis et expedite diximus; et minus forte insaniunt qui plures aiunt esse deos quam qui divinam plane naturam denegant. Attamen eo quod illam multiplicem faciunt, graviter et ipsi unicum in Deum delinquunt. Adeo namque illos fugit hujusmodi phænomenorum concinnitas et diligentia, ut divinam naturam in totidem partes dividere præsumpserint, cum exhinc potius, ratione duce, ad omnium accedendum fuisset principium. Latuit enim eos quod illis in rebus quidquid causale videtur, instrumenti et juvaminis loco est, ac servis et creaturis congruum, non autem diis dominis; quodque tanta in adeo multis et variis naturis accuratio non ex ipsis inest, id enim fieri nequit; sed a quodam sublimiori et primo illarum conditore ac præpotente Domino istud boni est illis insitum. Quibus ii qui præ cæteris fuerunt curiosi incorporales substantias astruentes, illasque, addito Dei nomine, ab invicem separantes non dignitate solum et ordine, sed et genere ac propensione tum ad bona tum ad turpia, nihil et ipsi melius invenere quam cæteri qui a vero erraverunt. Nam dii si essent, non ita distribuerentur, neque ita distributi dii essent. Si vero homonyme sic appellantur, vana jam hæc appellatio et exinde multa impossibilia et absurda turmatim insequuntur. Etenim sive homines in deos mutarent alios quidem ob virtutem aut artium utiles inventus, alios autem ob contraria et pejora merita, sive in deos mutarentur alii plerumque adhuc vita compotes, alii vero sibimet vivisque et mortuis istiusmodi vesaniam conciliantes, ultra omnes impietatis limites ventum erat, donec tanto errori quo totum pene genus humanum in ævum detinebatur, finem Deus posuerit qui solus poterat. Jam nunc autem orbis universus in unum Deum credit, haud magis de atheorum stupiditate sollicitus de qua nunquam ante curaverat; ac de polytheistarum impietate sub pietatis specie. Etenim si nuper quidam unus exstitit qui gentilem polytheismum voluerit instaurare, id iste pro mentis hebetudine deliravit. Illi vero hebetiores futuri, si qui

Πρὸς μὲν δὴ τοὺς διὰ πολλὴν ἀφροσύνην ἐν τῇ καρδίᾳ ληροῦντας μὴ εἶναι Θεὸν ἔν τι τοῦτο προχείρως εἰρηται· καὶ ἧττον μὲν εἶναι ἄφρονες οἱ πολλοὺς εἶναι θεοὺς λέγοντες τῶν πάντῃ τὴν θείαν φύσιν ἐξαρνουμένων· τῷ μέντοι ταύτην πληθύνειν εἰς τὸν ἕνα καὶ αὐτοὶ δεινῶς παρανομοῦσι Θεόν. Οὕτω γὰρ αὐτοὺς εἶδεν ἡ ἐν τοῖς φαινομένοις τούτοις εὐταξία καὶ τὸ ἐν αὐτοῖς δραστικὸν, ὥστε τὴν θείαν φύσιν καὶ μέχρι τούτων καταμερίζειν ἠθέλησαν, ἀντὶ τοῦ μᾶλλον ἐντεῦθεν πρὸς τὴν μίαν καὶ μόνην ἀνατρέχειν τῷ λογισμῷ πάντων ἀρχὴν, οὐκ εἰδότες, ὡς τὸ ἐν τούτοις φαινόμενον αἰτιῶδες ὀργανικόν ἐστι καὶ ὑπουργικὸν καὶ δούλοις πρέπον καὶ κτίσμασιν, οὐ θεοῖς δὲ δεσπόταις, οὐδ' ὅτι τῆς ἐν οὕτω πολλοῖς τε καὶ διαφέρουσιν εὐταξίας οὐκ αὐτά εἰσιν αἰτια, ἀμήχανον γὰρ, ἀλλ' ἔκ τινος ὑψηλοτέρου καὶ πρώτου πρὸς ταῦτα ποιητοῦ καὶ δεσπότου δύναμιν ἔχοντος τοῦτ' ἐνεστιν αὐτοῖς τἀγαθόν. Οὐσίας δὲ ἀσωμάτους ἐφιστῶντες αὐτοῖς ὡς ἔνδοθεν κινούσας οἵ γε τῶν ἄλλων περιεργότεροι καὶ θεοὺς εἶναι ταύτας λέγοντες καὶ διαιροῦντες οὐκ ἀξίᾳ μόνον καὶ τάξει, ἀλλὰ καὶ γένει καὶ προαιρέσεσιν ἀγαθαῖς τε καὶ φαύλαις, οὐδὲν ἧττον τῶν ἄλλων καὶ αὐτοὶ τῆς ἀληθείας διημαρτήκασι. Θεοί τε γὰρ ὄντες οὐκ ἂν ὠδὶ διακρίνοιντο, θεοί τ' οὐκ ἂν εἶεν ὠδὶ διακεκριμένοι· εἰ δ' ὁμωνύμως οὕτως ἐκάλουν, τοῦτο οὐδέν ἐστι λέγειν, καὶ πολλῶν ἀδυνάτων τε καὶ ἀτόπων ἐσμὸς τ' ἅμα ταύτῃ συνέπεται. Ὅτι δὲ καὶ ἀνθρώπους ἐθεοποίουν, τοὺς μὲν ἐπ' ἀρετῇ καὶ σεμνοτέροις εὑρήμασι τῶν πρὸς τὰς ἀνθρωπίνας χρείας τεινόντων, τοὺς δ' ἐπὶ τοῖς ἐναντίοις καὶ χείροσι, καὶ ὡς ἐθεοποιοῦντο μὲν οἱ πλείους ἐκείνων ζῶντες αὐτοὶ, ἄλλοι δὲ καὶ ζῶσι καὶ τελευτήσασιν αὐτοῖς ἐχαρίζοντο τὸ τὴν τοιαύτην ἀφροσύνην κυροῦν, τοῦτο καὶ πᾶσαν παρελήλυθει τότε δυσσέβειαν, τῆς τοιαύτης πλάνης τὸ τῶν ἀνθρώπων κατασχούσης γένος ἅπαν σχεδὸν ἐς πλεῖστον τὸν χρόνον, ὁ Θεὸς ἀπῆλλαξε μόνος τοῦτο δυνάμενος. Καὶ νῦν ἅπας ὁ κόσμος εἰς ἕνα πιστεύει Θεὸν οὕτω τῆς τῶν ἀθέων φροντίζων ἀναισθησίας, ἧς οὐδὲ τὸν πρόσθεν χρόνον ἐφρόντιζεν, οὔτε τῆς τῶν πολυθέων ἀνευλαβείας· ἐν εὐλαβείας προσχήματι. Εἰ γάρ πού τις γέγονε πρὸ μικροῦ τὴν Ἑλληνικὴν πολυθεΐαν αὖθις ἐθέλων ἀνα

νεοῦν, δι' ἀμβλύτητα μὲν διανοίας τοῦτο καὶ αὐτὸς ἐπεπόνθει· ἀμβλύτεροι δι' ἂν εἶεν, εἴ πού τινες ἐκείνῳ προστεθειμένοι τὴν ἐξόριστον πλάνην ἀντὶ τῆς ἀληθεστάτης καὶ κοινῆς τῶν ἀνθρώπων δόξης αἱροῖντο. Καὶ ἡμεῖς κατὰ τῆς ἀβουλίας ἐκείνου πλεῖστα συνεγραψάμεθα, οὐκ ἐκείνων δὲ ὧν ἠδολέσχει κατὰ τῆς ἱερᾶς ἀληθείας φροντίζοντες, ἀλλὰ τῆς τῶν πλείστων ἐν τῷ γένει νῦν ἀμαθίας τῷ πάλαι καὶ πρὸ μικροῦ σοφωτάτῳ, δι' ἣν καὶ κινδυνεύσειεν ἄν τις τῶν ἁπλουστέρων τῇ ψευδεῖ περὶ τῆς σοφίας ἐκείνου φήμῃ πειθόμενος. Μαθημάτων μὲν γὰρ τῆς ὑπτιότητος μόνης μετέσχεν, ἄλλο δ' οὐδὲν ἄξιον αὐτῷ τε ἀπώνατο καὶ τῆς ἐπικοσμούσης ταῦτα σοφίας. Εὐφραδείας δὲ ἐπεμελήθη μὲν καλῶς τῆς ἀρχαίας, ἀλλ' ἐν ἀσεβεστάτῳ καὶ ἀφρονεστάτῳ συγγράμματι, ἣν ἡ Λατίνων παροιμία διὰ τοῦτο προσηκόντως τιμᾷ ἐν τοῖς εἰλικρινῶς καὶ μόνης αὐτῆς ἐπιμεληθεῖσιν· ἐν τούτοις μὲν οὖν κἂν εἴχέ τις αὐτὸν ἐπαινεῖν. Οὕτω δ' ἁπλοῦς πάνυ καὶ τῶν χυδαίων οὐδὲν σχεδὸν διαφέρων ἦν περὶ τὸ δύνασθαι κρίνειν ἀληθείας πέρι καὶ ψεύδους, ὥστε καὶ παῖς αὐτὸν ἐξήλεγχεν ἂν καὶ παιδὶ ἀντιλέγειν οὐκ ἂν οἷός τε ἦν πειραστικῶς ψευδομένῳ· διὸ καὶ τὴν πλάνην ὑπέστη ταύτην, καὶ ἡμεῖς τῆς ἀρίστης ἐκείνου Νομοθεσίας (1), οὕτω γὰρ ἐπέγραφε τὸ βιβλίον, οἰκείαις χερσὶ γεγραμμένον, δημοσίαν τήν τε ἀντιλογίαν ἐποιησάμεθα, καὶ τὴν ποινὴν πυρὶ παραδόντες. Ἠνάγκαζε δὲ ἡμᾶς ὁ τοῦ δι' ἡμᾶς τὴν ἡμετέραν φύσιν προσειληφότος Υἱοῦ τοῦ Θεοῦ καὶ τῆς ἀρίστης ἐκείνου νομοθεσίας πόθος καὶ φόβος, οἷς ἱκανοποιοῦντας οὐκ ἂν προσῆκεν ἄλλως ποιεῖν.

Τῶν μὲν οὖν πολυθέων ἐξελέγχειν τὴν πλάνην διὰ ταῦτα νῦν οὐ καιρὸς, ἀρκούντως τε ἐληλεγμένης ὑπ' αὐτοῦ Θεοῦ καὶ τῶν τὰ θεῖα φρονούντων, καὶ νῦν ὑπὸ γωνίᾳ μόνον καὶ σκότει πολυθεούντων ἴσως ὀλίγων, ὅτι μὴ τολμῶσιν ἀναπεύεσθαι κατὰ τῆς πανταχοῦ κρατούσης ἀληθείας· ὁ πᾶς γὰρ νῦν, ὡς εἴρηται, κόσμος καὶ εἶναι Θεὸν καὶ τοῦτον ἕνα εἶναι φρονεῖ. Ἐπεὶ δὲ τὸν ἕνα Θεὸν διαφόρως τιθέντες εἰς πλείους αἱρέσεις καταμερίζονται, ἡμῖν μὲν ἀρκεῖ καὶ τοῖς ἄλλοις, ὁπόσοι τοῖς θείοις τοῦ Ἰησοῦ καὶ Σωτῆρος ἡμῶν νόμοις ἀγόμεθα, αὐτὸν ἐκεῖνον προΐστασθαι καὶ τοὺς αὐτοῦ μαθητὰς καὶ τοὺς ἐκείνων αὖ διαδόχους, καὶ τὸν ἕνα Θεὸν, ὡς ἐκεῖθεν δεδιδάγμεθα φρονεῖν τε καὶ τοῖς οἰκείοις κηρύττειν τῆς πίστεως· ἀλλὰ τῶν διαφερομένων ἕνεκα καὶ περὶ τούτου τι προσθετέον. Ὅτι τοίνυν ὁ εἷς κατ' οὐσίαν Θεὸς ἅμα καὶ τριάς ἐστιν ἰδιοτήτων ἔργῳ διακεκριμένων, ταυτὸν δ' εἰπεῖν ὑποστάσεων, πλείους μὲν ἀποδείξεις ἔξεστι κομίζειν ἔκ τε τῆς παλαιᾶς ἔκ τε τῆς νέας Γραφῆς· ἀλλὰ τοῖς τὰς αὐτὰς ἡμῖν οὐκ ἔχουσι περὶ τῶν θείων ἀρχὰς ἔκ τινων ἀρχῶν κοινοτέρων δεῖ τοὺς λόγους ποιεῖσθαι. Ἐπεὶ τοίνυν Ἰουδαῖοί τε καὶ σὺν αὐτοῖς ἕτεροι τὴν ἐν τῷ Θεῷ Τριάδα φανερῶς δὴ ἀρνούμενοι τὴν τοῦ Μωσέως διδασκαλίαν εἰ καὶ μὴ λίαν ὁμοίως προσίενται (Ἰου-

sint, qui ad unum illum accedentes, pro certissima et communi hominum fide, extorrem fraudem amplecterentur. Atqui ego quidem, etsi contra illius insipientiam plura conscripsi, nihil attamen curavi de his quæ sanctam adversus veritatem garriebat, sed tantum de hac plurimorum hujusce gentis quondam et non ita pridem sapientissimæ inscitia, quæ causa esset cur incautus aliquis, ex mentita illius sapientiæ fama, in seductionis periculo versaretur. Nam ex mathematicis solam supinitatem calluit, nihil verum aliud illi fuit operæ pretium, nihil ex ipsa sapientia quæ mathesibus est ornamento profecit. Cæterum veteri etiam facundiæ sedulo studuit, sed ex quodam admodum impio ac stultissimo scripto; quam ideo Latinum proverbium apposite apud eos celebrat qui illam diligenter et unice coluerunt. Inter illos proinde hunc laudare forte liceat. Atenim quod est de vero a falso discernendo ita fuit prorsus expers et a gregalibus nil fere distans, ut vel puer illum confutasset, nec ipse puero in experimentum mentienti potuisset contradicere. Quapropter et hunc errorem apud se recepit; cujus ego *de optima legislatione* librum (sic enim erat inscriptus et propria manu exaratus) publica disputatione confutavi, pœna quidem ipsa igni tradita. Compulerat autem me Filii Dei qui propter nos naturam nostram assumpsit, ejusque optimæ legislationis amor et timor; quibus ut satisfacerem, me non oportebat rem aliter aggredi.

Ex dictis igitur polytheistarum errorem per id temporis evincere non est, utpote jam ab ipso Deo devictum et a quibuscunque de divinis prudentibus; præsertim cum vix forte pauculi in angulo et furtim plures deos somnientur; nec enim auderent in veritatem ita undique prævalentem insolescere, universo nunc orbe, ut dictum est, Deum esse eumque unicum sentiente. Quoniam vero de Deo varia varii ponentes in multas dividuntur hæreses, sat nobis fuerit et cæteris quotcunque regimur divinis Salvatoris nostri Jesu legibus hunc ipsum ejusque discipulos ac eorum successores, necnon et unum Deum proponere, quemadmodum exhinc quid de fide tenendum, quid familiaribus prædicandum edocti sumus. Sed dissidentium gratia aliquid de his addere necesse est. Deum scilicet unum esse secundum substantiam et trinum juxta proprietates operatione distinctas, id est personas, plurimæ possunt demonstrationes adduci tum ex veteribus tum ex recentioribus Scripturis. At propter eos qui eadem ac nos de divinis rebus principia non tenent, a quibusdam communioribus est incipiendum. Cum igitur Judæi et alii cum illis Trinitatem in Deo palam negantes Mosaicæ doctrinæ, etsi non admodum pariter, assentiant (quippe quam

(1) Hujus libri fragmenta quæ supersunt edidit V. Cl. Alexander, Paris. 1858. Vide ipsius Præfationem. Confer etiam epist. Gennadii ad Josephum Exarchum infra.

Judæi utpote divinitus traditam absolute complectuntur, licet eam de divina dispensatione aut simulate surdi aut perverse interpretati prætermittant, nobis ad præsens sufficit ut ex Mosis doctrina quasi ex fundamento omnibus communissimo Dei Trinitatem illis demonstremus qui contra nos de illa disputant. Porro non publicis tantum disceptationibus, sed et libris integris hanc fidei nostræ clarissimam veritatem explanavi. Unum itaque, quod nunc est, idque ex ipso Mosis ore illis additum volo. Superne scilicet afflatus, Moses Deum inducit, cum universum hunc mundum ita disposite crearet ac distribueret, ad semetipsum dicentem: *Faciamus hominem ad imaginem et similitudinem nostram.* Si ergo, ipsismet fatentibus, verax est Moses, si Deus, omnium consensu, ad seipsum ita locutus est et divina sunt hæc verba, tum manifesto nobis ex illo sermone patet et unum esse Deum; ait enim, *Dixit Deus;* et pluralitatem quamdam ac numerum in Deo dignosci, nam, *Faciamus,* inquit sibimet Deus, quasi multiplex, utut sit, in semetipso exsistens; et juxta imaginem Dei hominem factum esse et constare, siquidem: *Ad imaginem nostram,* ait. Et revera prorsus apposite dictum istud, non eo solum quod libero arbitrio erat honorandus homo, unde et rerum omnium conditarum futurus erat dominus et continuo proximus a Deo, sed etiam quod divinam unitatem ac pluralitatem esset participaturus. Imo hinc quodam modo particeps effectus, cum et unus sit et pluribus, quoad animam, facultatibus coaleat. Hunc divinum numerum ille nobis reseravit quem venturum Moses prophetaverat Jesus. Quamobrem et ad nostram cæteram perfectionem adveniens iterumque venturus multo ante pronuntiatus edixit baptizandos eos qui crediderint in nomine Patris, et Filii, et Spiritus sancti, quibus, etsi tres sint, unum nomen est et in communi competit unam habere deitatem et unum Deum tria hoc esse. Quin etiam priusquam venisset Jesus, David hanc in Deo Trinitatem pellucide declaraverat: *Verbo Domini,* inquiens, *cæli firmati sunt et Spiritu oris ejus omnis virtus eorum.* Atqui nec Davidi contradicere audeant adversarii nostri. Ita et ex reliquis prophetis idem, de quo nunc, dogma colligitur, quod cum ipsorum de divina dispensatione prædictis apprime consonat.

Attamen, quanquam modo præmisi hominem ad imaginem Dei factum, id non ex Mose potius et ex eo quod loquentem Deum inducit, quam ex ipsa circa hominem evidenti veritate ac sola ratione stare posse monstrabo. Profecto quidem opus quodlibet intellectui operanti aliqua simile est; fit enim juxta speciem in intellectu factoris incusam, et immaterialis quæ huic inest operis imago communicatur materiæ modo ipsi proprio; unde tenuis similitudo est. Nam sicut ex vestigiis hominem esse novimus qui incessit, ita domum intuiti illam scimus opus esse cæmentarii, unaque structoris ha-

A δαῖοι γὰρ καθάπαξ αὐτῆς περιέχονται ὡς ἐκ Θεοῦ δεδομένης, εἰ καὶ τὰ περὶ τῆς θείας οἰκονομίας ἐθελοκωφοῦντες αὐτὴν παρατρέχουσιν ἢ διαστρόφως παρερμηνεύοντες;), ἀρκεῖ καὶ ἡμῖν νῦν διὰ ταῦτα ἐκ τῆς Μωσέως διδασκαλίας ὡς κοινοτάτης πᾶσιν ἀρχῆς τὴν ἐν τῷ Θεῷ δεῖξαι, Τριάδα τοῖς περὶ ταύτης πρὸς ἡμᾶς διαμφισβητοῦσιν· καὶ βιβλίοις μὲν ὅλοις, οὐ μόνον διαλέξεσι δημοσίαις πρὸς ἑκατέρους τὴν λαμπροτάτην ἀλήθειαν τῆς παρ' ἡμῖν ἱστορήκαμεν πίστεως. Νῦν δ' ἕν τι καὶ ἐκ μιᾶς τοῦ Μωσέως φωνῆς αὐτοῖς προθησόμεθα. Ὁ τοίνυν ἔνθεος Μωσῆς εἰσάγει τὸν Θεὸν ἐν τῷ τὸ σύμπαν τόδε διανενεμημένως τε δημιουργεῖν καὶ εὐτάκτως πρὸς ἑαυτὸν λέγοντα, *Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν.* Εἰ τοίνυν ἀληθής ἐστι Μωσῆς καὶ κατ' αὐτοὺς καὶ Θεὸς οὕτως εἶπεν ὁμολογουμένως πρὸς ἑαυτὸν καὶ θεῖος ταῦτα λόγος ἐστίν, ἔχομεν δὴ ἐκ τοῦ λόγου τούτου προδήλως, ὅτι τε εἷς ἐστιν ὁ Θεὸς (*Εἶπε* γὰρ, φησίν, *ὁ Θεός*), καὶ ὅτι πλῆθός τι καὶ ἀριθμός τις ἐν τῷ ἑνὶ νοεῖται Θεῷ (*Ποιήσωμεν* γὰρ, ἔφη πρὸς ἑαυτὸν ὁ Θεὸς ὡς δὴ τρόπῳ τινὶ καὶ πλήθους ἐν ἑαυτῷ μετέχοντα), καὶ ὅτι κατ' εἰκόνα Θεοῦ γέγονεν ἄνθρωπος καὶ ἔστι (*Κατ' εἰκόνα* γὰρ, φησὶν, *ἡμετέραν*), καὶ εὐλόγως πάνυ κατ' εἰκόνα θείαν ἐμελλε γίνεσθαι, οὐ μόνον ὡς αὐτεξουσιότητι τιμηθησόμενος, δι' ἣν καὶ τῶν γεννητῶν πάντων ἄρχων ἔσται καὶ τέλος μετὰ Θεὸν, ἀλλὰ δὴ καὶ ὡς τῆς θείας ἑνότητος καὶ τοῦ ἐν αὐτῇ μέλλων ἀριθμοῦ μετέχειν. Ὅθεν δὴ καὶ μετέσχεν ἀμηγέπη εἴς τε ὧν καὶ ἐκ πλειόνων τὴν ψυχὴν συνηρμοσμένος δυνάμεων· τοῦτον τὸν θεῖον ἀριθμὸν ὁ ἐκ Μωσέως ἥξειν προφητευθεὶς Ἰησοῦς ἡμῶν ἀνέπτυξε· τούτου χάριν καὶ τῆς ἄλλης ἡμῶν βελτιώσεως ἀφιγμένος τε ἀλλ' ἥξειν πόρρωθεν προκατηγγελμένος καὶ βαπτίζεσθαι δεῖν ἔφη πιστεύοντας εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, οἷς τρισὶν οὖσιν ἓν ὄνομα καὶ κοινὸν ἐστιν ἡ μία θεότης καὶ τὸ Θεὸν ἕνα τὰ τρία ταῦτ' εἶναι. Ἀλλὰ καὶ πρὶν ἥκειν τὸν Ἰησοῦν ὁ Δαβὶδ τὴν ἐν τῷ Θεῷ Τριάδα ταύτην ἐδήλου καλῶς, *Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν,* λέγων, *καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν,* ἀντιλέγειν δὲ οὐδὲ τῷ Δαβὶδ ἔχουσιν οἱ πρὸς ἡμᾶς διιστάμενοι. Καὶ ἐκ τῶν ἄλλων δὲ προφητῶν τὸ περὶ τῆς ἐν τῷ Θεῷ Τριάδος καλῶς ἀθροίζεται δόγμα ταῖς περὶ τῆς θείας οἰκονομίας προῤῥήσεσιν αὐτῶν οἰκείως ἐναρμοζόμενον.

Ἀλλὰ νῦν τὸ ἀνθρώπειον προστησάμενοι χρῆμα κατ' εἰκόνα θείαν γεγεννημένον, οὐδ' ἐκ τοῦ Μωσέως μᾶλλον, καὶ ὃν εἰσάγει λέγοντα τοῦτο Θεὸν, ἢ ἐκ τῆς φαινομένης περὶ τὸν ἄνθρωπον ἀληθείας τὸ δόγμα τοῦτο καὶ λόγῳ δυνάμενον κρατεῖν δείξομεν. Ἅπαν μὲν δὴ ποίημα ὁμοιόν πώς ἐστι τῷ μετὰ τοῦ ποιοῦντι· ποιεῖται γὰρ κατὰ τὸ ἐντυπωθὲν περὶ αὐτοῦ εἶδος τῷ νῷ τοῦ ποιοῦντος· καὶ ἡ ἄῦλος ἐν αὐτῷ τοῦ ποιήματος ὁμοιότης ἐν τῇ ὕλῃ κοινωνεῖται οἰκείως αὐτῇ, διὸ καὶ ἀσθενής ἐστιν ὁμοιότης. Ὡς γὰρ τῷ ἴχνει γινώσκομεν ἄνθρωπον τὸν περιπατήσαντα εἶναι, οὕτω καὶ οἰκίαν ἰδόντες νοοῦμέν

B

C

D

τε ἔργον οἰκοδόμου αὐτὴν εἶναι καὶ τὴν τοῦ ᾠκοδομηκότος ἕξιν καὶ δύναμιν συννοοῦμεν· τῇ γὰρ τῶν ποιημάτων διαφορᾷ τὴν διάφορον τῶν πεποιηκότων ἕξιν καταμετροῦμεν τῷ λογισμῷ, καὶ ἡ ὁμοιότης αὕτη ἴχνους ὁμοιότης ἔστι τε καὶ καλεῖται. Εἰ τοίνυν ἐπὶ τῶν κατὰ μέρος ποιούντων τοῦτ' ἐστὶν ἀληθὲς, πολλῷ μᾶλλον ἐπὶ τοῦ καθόλου ποιοῦντος. Ἀλλὰ ταῦτα μὲν σύστοιχά πως τοῖς ποιουμένοις εἰσὶν ὡς κτιστὰ πάντα τῷ γένει· ἡ δὲ πρώτη πάντων αἰτία τῶν ποιημάτων αὐτῆς ἀπειράκις ἀπείρως ὑπέρκειται. Διὸ καὶ ἀμυδροτάτη ἐστὶν ἡ ἐν αὐτοῖς ὁμοιότης, τῆς ὑπερβαλλούσης ἐν τῷ ποιοῦντι δυνάμεως τὴν τῆς ὁμοιότητος ἀσθένειαν ἐν τοῖς γινομένοις οὕτω ποιούσης· ἀλλὰ καὶ ἀσθενὴς ἐστιν οὕτω καὶ ἀμυδρὰ, ἀληθὴς μέντοι γε, ὡς ἀδύνατον ὂν ἄλλως ἔχειν. Ἔστι μὲν οὖν πάντα τὰ τοῦ Θεοῦ ποιήματα ὅμοιά πως αὐτῷ κατὰ τοῦτον τὸν λόγον, ὡς τὴν τοῦ πεποιηκότος ἐν σφίσιν αὐτοῖς ἐμφαίνοντα σοφίαν καὶ δύναμιν. Οὐδὲν γάρ ἐστι, κἂν τὸ σμικρότατον ᾖ, ὃ μὴ θαυμάσειεν ἄν τις ἐκτόπως, ἀντὶ τῶν ἐκ τοῦ μεγέθους ἐλαττωμάτων σοφίας αὐτοῖς καὶ μεθόδων ξένων ἐγκατῳκισμένων θεόθεν. Πρόσεστι δὲ αὐτοῖς καὶ τὸ δραστικόν τε καὶ ὠφέλιμον πλείοσι, καὶ ταῦτα πάντα πρὸς τὴν πρόνοιαν τῆς ἀνθρωπίνης προῦργου καταστρέφει ζωῆς. Ἀλλ' οὐδὲν τούτων εἰκὼν τοῦ Θεοῦ λέγεται· οὐρανὸς μὲν γὰρ καὶ τὰ οὐράνια σώματα οὐκ ἄνευ ὕλης ἐστὶ καὶ σώματα μόνον εἰσὶν ἄνευ ψυχῶν· ἄνθρωπος δὲ μόνος ἄϋλος καὶ ἀσώματος τῷ τῆς ψυχῆς, ὡς εἴρηται, μέρει, καὶ μόνος νοερὸς ἄρα, εἰ κἀκεῖνα πάντα μίαν ὁμοιότητα κοινοτάτην τὴν κατά γε τὸ εἶναι πρὸς τὴν ἰδίαν αἰτίαν ἔχουσιν· αὐτά τε γάρ εἰσι καὶ Θεός ἐστιν, εἰ καὶ τὸ θεῖον εἶναι τοῦ ἐν αὐτοῖς πᾶσιν εἶναι ἀπειράκις ἀπείρως ὑπέρκειται. Ἕνια δὲ τῶν ὑποκάτω καὶ μείζω τὴν κατὰ τὸ ζῆν ὁμοιότητα ἔχει· ἀλλ' ἡ κατὰ τὸ νοεῖν ὁμοιότης ὑπὲρ πάσας ταύτας ἰδίως ἔστιν, ὡς οὐδ' ἔστι παραβαλεῖν, ἰδίως ἀνθρώπῳ μόνῳ προσήκουσα ἔν γε τοῖς φαινομένοις τούτοις. Ἄγγελοι δὲ, νοῦ μὲν ὄντες εἰλικρινεῖς, εὐθὺς ἀπ' ἀρχῆς τῆς τοιαύτης ὁμοιότητος ἡμῶν μετέχουσιν ἄμεινον· ἄλλοις δὲ λόγοις καὶ τῶν ἀγγέλων αὕτη πλείων τοῖς ἐσπουδακόσιν ἐξ ἀνθρώπων ἁρμόττει. Μόνος τοίνυν ἐκ τῶν φαινομένων πάντων ὁ ἄνθρωπος εἰκὼν τοῦ Θεοῦ καὶ ἔστι καὶ λέγεται· καὶ λίαν εὐλόγως. Λέγεται μὲν γὰρ κατὰ τὴν ψυχὴν μάλιστα ἄνθρωπος, ὡς δ' ὄργανον αὐτῇ τὸ σῶμα συνῆπται· ἀνθρώπου δὲ ψυχὴ καθ' αὐτὴν ἀσώματός ἐστι καὶ ἄϋλος καὶ νοερά. Ταυτὶ δὲ θεῖα πλεονεκτήματα καὶ τοῦ Θεοῦ τελειότητες, εἰ καὶ ἀπείρῳ τῇ ὑπεροχῇ διενηνόχασιν, ὡς ἔνεισι τῷ Θεῷ ἢ ὡς ἐν ἀνθρώπῳ εἰσίν· ἀσωματότης μὲν οὖν καὶ ἀϋλία ἀπόφασις ὕλης ὄντα καὶ σώματος ἁπλῶς ἐν ἀνθρώπῳ θεωροῦνται, νοερότης δὲ φύσιν ἐν αὐτῇ τιθεῖσα καὶ φύσεως δύναμιν οὐ παντάπασιν ἁπλῶς θεωρεῖται, μετ' ἀναγκαίας δέ τινος διακρίσεως. Νοῦς τοίνυν ὁ ἄνθρωπος ὢν κατὰ τὴν ψυχὴν ἐνέργειαν ἔχει τὴν νόησιν, νοῦ γὰρ ἐνέργεια τὸ νοεῖν ὡς θερμοῦ τὸ θερμαίνειν. Ἡ δὲ τοιαύτη ἐνέργεια πρός τι φέρεται τέλος· τοῦτο δ' ἂν εἴη τὸ νοητὸν

bitum et artem intelligimus. Ex operum quippe differentia varios simul opificum habitus per ratiocinium dimetimur, et similitudo hoc vestigio par est et dicitur. Quod certe si de his verum est qui partim operantur, multo magis de eo qui ex integro. Sed congenera fere sunt hæc cum factoribus, sicut generi suo creata omnia; prima vero omnium causa suis operibus infinite et supra modum præeminet. Ideoque per obscura in illis est similitudo, præstantissima nempe auctoris potentia hanc similitudinis tenuitatem sic efficiente. Etenim etsi adeo tenuis est et obscura, sed vera tamen, quatenus aliter fieri nequeat. In cunctis igitur Dei operibus quædam cum ipso est hujusmodi similitudo, in scipsis quidem factoris sui sapientiam declarantibus et potestatem. Nihil namque vel minimum est quod stuporem cuivis haud incutiat, non autem illorum pro magnitudine rerum deficiens sapientia aut alienæ disquisitiones divino nutu apud illos introductæ. Inest etiam illis entibus efficacia et utilitas multa, et omnia hæc in præsidium humanæ vitæ commode convertuntur. Attamen nihil horum imago Dei dicitur: cœlum quippe et corpora cœlestia non exsistunt absque materia, et nihil aliud sunt quam inanimata corpora. Solus homo, quod animam spectat, ut proposuimus, immaterialis est et incorporeus, solusque intelligens; siquidem illa omnia unam communissimam similitudinem, *esse* scilicet, cum sua causa præ se ferunt. Nam et ipsa sunt et Deus est, tametsi divinum *esse* eorum omnium infinite superet. Nonnulla vero ex inferioribus majori pollent similitudine, eo nempe quod vivunt. Sed ea quæ ad intellectum attinet omnes facile vincit; adeo ut nulla sit cum ipsa componenda paritas; ex iis enim visibilibus cunctis uni proprie homini convenit: angeli quidem utpote qui simplices intellectus, jam inde a principio eamdem et potiorem ac nos similitudinem participant; quo tamen aliis de causis, strenuis quibusque ex hominibus pro angelis congruit. Unus itaque inter hæc visibilia cuncta imago Dei est et dicitur homo; et quidem non immerito. Nam ex anima præsertim homo nuncupatur; quippe cui vice instrumenti aptatur corpus. Hominis autem anima per se incorporea est, immaterialis, et intelligens. Illa vero Dei præstantia et perfectiones, quantumvis immensa distent præcellentia, haud aliter in Deo sunt aliter in homine. Sed incorporeitas et immaterialitas, cum materiæ et corporis sint negatio, facile in homine patent; intelligibilitas vero quæ naturam et naturæ vim in anima constituit non omnibus ita ultro declaratur, sed discretione quadam opus est. Itaque homo cum intellectu constet secundum animam, tanquam actum habet intelligentiam; intellectus enim actus est intelligere, sicut caloris calefacere. At ejusmodi actus ad quemdam finem tendit; scilicet intelligibile ut finis intelligenti propositum. Intelligentia verum interest quasi quædam communis ansa utrumque conjungens; quæ qui-

dem ex intellectu procedit, ad intelligibile pertinens et in illo terminata. Ita ut intelligentiæ sint quasi termini intellectus et intelligibile. Necesse autem est ut intelligibile sit species et similitudo intelligentis intellectus et intellectus sit intelligibile, sicut intelligentiæ principium est intellectus intelligens. Aio igitur, quandoquidem intellectus seipsum intelligit, erat ejus opus priusquam fieret. Species enim in abstracto sumpta est præcipue similitudo externi sui operis quatenus per ipsam opus innotescit. Est etiam intellectus similitudo utpote intelligibilis et intellectui similis effecta ; et quidem in intellectu sic est intelligibilis species ut quandocunque voluerit intellectus hæc in seipso maneat, si non sit immanens ; sin autem, illam ad extra pro nutu prodeat sive prolato verbo declaratam, sive in materia exterius depositam. Dixi : *quandocunque voluerit*, eo quod humanus intellectus duplici actu constat et vivit : intelligentia scilicet et voluntate; siquidem intelligens est voluntas, sicut et intellectus, quæ pro diverso respectu ad diversa in intellectu ordinantur. Nam potissimum rationi præit intelligentia, voluntas autem sequitur ; sed et nonnunquam intelligentiam præcedit voluntas. Nec enim ea semper vult quæ novit humanus intellectus, at quodammodo quæ vult intelligit. Quod pluribus quidem esset exponendum ; sed potiora nunc aggressi ad propositum deveniamus. Humanus igitur intellectus quæ super se sunt intelligit, obscure scilicet donec est in corpore, revera tamen et quasi in quadam eorum realitatis imagine, si propriis ac genuinis hujusce intuitus principiis obsequeretur ; quod solum piorum est circa divina hominum, qui vera sapientia et prudentia gubernantur. Sed humaniori nunc adhibito sermone, notiones apud sanctos ex divina revelatione comparatos prætermitto. Quæ autem ipsi sunt congenera prompte novit sive disciplina sive inventione præstita, accensa nempe cognitionis indita sibi scintilla. Porro perfectus hæc intelligit utpote suæ facultati consocia, et quanto promptius, tanto et perfectius. At perfectius iterum proprios actus intelligit, non ut peracta tantum intelligens, sed et priusquam exsistant qualia re futura sint ; ideoque ulterius ea sistens, quia prius noverit qualiter ita exstitura. Verum in humano intellectu intelligibilis species, quæ est intelligentiæ suæ principium, non qua species est, sed quatenus per speciem intelligit, sive intus solummodo sistat intelligentia qua speculative tantum fit sapiens, sive etiam ad extra prodeat unde practicus fiat et sit, hujusmodi, inquam, intelligibilis species hominis est intelligibilis ratio per quam secum, ut ita dicam, colloquitur humanus intellectus, et quæ intellectus quidem est progenies, per actum intelligentiæ proprium, ejusque dixerim perfectio sapientiaque et veritas. Jam vero intelligens voluntas efformat in homine spiritum, de quo dicitur quod *nemo novit ea quæ sunt hominis nisi spiritus hominis qui in ipso*

A ἀντικείμενον τῷ νοοῦντι ὡς τέλος. Ἡ δὲ νόησις μεταξύ ἐστιν, ὥσπερ κοινὴ σχέσις ἄμφω συνάπτουσα, ἐκ τοῦ νοῦ μὲν προϊοῦσα, τοῦ νοητοῦ δὲ οὖσα καὶ εἰς τοῦτο ὁριζομένη· ὥστ' εἶναι τῆς νοήσεως ὥσπερ ὅρους, τόν τε νοῦν καὶ τὸ νοητόν· τὸ δὲ νοητὸν εἶδος εἶναι δεῖ καὶ ὁμοιότητα τοῦ νοοῦντος νοῦ καὶ νοῦν νοητόν, ὥσπερ ἡ τῆς νοήσεως ἀρχὴ νοῦς ἐστι νοῶν. Φημὶ δὲ, ἐπειδὰν ὁ νοῦς ἑαυτὸν νοῇ, ἦ τὸ αὐτοῦ ἔργον πρὶν γενέσθαι. Τὸ γὰρ ἐξ ἀφαιρέσεως εἶδος μάλιστα μὲν ὁμοιότης ἐστὶ τοῦ ἔξω πράγματος, ὡς ἂν δι' αὐτοῦ τὸ πρᾶγμα νοῆται ; ἔστι δὲ καὶ τοῦ νοῦ ὁμοιότης, ὡς νοητὸν καὶ τῷ νῷ γενόμενον ὅμοιον· καὶ ἔστι μὲν ἐν τῷ νῷ τὸ νοητὸν εἶδος, ὅταν αὐτὸ μένειν ὁ νοῦς ἐν ἑαυτῷ βούληται μὴ τοιοῦτον ὄν, ἐπειδὰν δὲ βουληθῇ καὶ ἔξω B προάγηται, ἢ προφορικῷ φανερούμενον λόγῳ ἢ καὶ εἰς τὴν ὕλην ἔξω τιθέμενον, ἂν τοιοῦτον ᾖ. Φαμὲν δὲ ἔως ἂν βούληται, διὰ τὸ τὸν ἀνθρώπινον νοῦν δυσὶν ἐνεργείαις εἶναί τε καὶ ζῆν, τῇ τε τοῦ νοεῖν καὶ τῇ τοῦ θέλειν· ἔνδον αὐτῷ καὶ νοερᾶς τῆς θελήσεως οὔσης ὥσπερ δήπου καὶ τῆς νοήσεως, αἳ κατὰ διάφορον ἀπόβλεψιν διάφορον τάξιν ἔχουσιν ἐν τῷ νῷ. Μάλιστα μὲν γὰρ προτέρα τῷ λόγῳ ἡ νόησις, ἡ δὲ θέλησις ἕπεται. Ἔστι δ' ὅτε προτέρα τῆς νοήσεως ἡ θέλησις· οὐ γὰρ θέλει μόνον ἃ δήποτε νοεῖ ὁ ἀνθρώπινος νοῦς, ἀλλὰ καὶ νοεῖ πως ἃ θέλει· καὶ τοῦτο μὲν πλειόνων δεῖται λόγων, τὴν δὲ νῦν ὑπερβαίνοντος χρείαν ἐπὶ τὸ προκείμενον βαδιούμεθα. Ὁ τοίνυν ἀνθρώπινος νοῦς νοεῖ μὲν τὰ ὑπὲρ αὐτὸν, ἕως ἂν ἐν τῷ σώματι ᾖ, ἀμυδρῶς, C ἀληθῶς μέντοι καὶ ὡς ἔν τινι τῆς κατ' αὐτὰ ἀληθείας εἰκόνι, εἰ ταῖς οἰκείαις καὶ ἀληθεύειν ἀρχαῖς τῆς τοιαύτης σκέψεως ἕποιτο, ὃ τῶν εὐσεβούντων περὶ τὰ θεῖα μόνων ἐστὶν, σοφία τε ἀληθεῖ καὶ φρονήσει κυβερνωμένων. Φυσικώτερον δὲ διαλεγόμενοι νῦν οὐ λέγομεν περὶ τῶν κατὰ θείαν ἀποκάλυψιν ἐν τοῖς ἁγίοις νοήσεων· νοεῖ δὲ καὶ τὰ αὐτῷ σύστοιχα σπουδῇ καὶ μαθήσει καὶ εὑρέσει, τὸν ἐν αὐτῷ τῆς γνώσεως ἐξάπτων σπινθῆρα, καὶ ταῦτα δὲ τελειοτέρως νοεῖ ὡς τῇ αὐτοῦ σύστοιχα δυνάμει· ὅσῳ δὲ σπουδειότερον, τοσούτῳ καὶ τελεώτερον· τελεώτερον δ' ἔτι νοεῖ τὰ οἰκεῖα ἔργα, ὡς οὐ μόνον γεγεννημένα νοῶν, ἀλλὰ καὶ πρὶν ὑποστῆσαι ταῦτα νενοηκὼς ὡς καὶ ἔργῳ ὑποστησόμενα, καὶ διὰ τοῦτο D μᾶλλον ὕστερον ὑποστήσας, διότι νενόηκε πρότερον ὡς ὡδί πως ὑποστησόμενα. Τὸ μὲν οὖν ἐν τῷ ἀνθρωπίνῳ νῷ νοητὸν εἶδος, ὃ τῆς ἐν αὐτῷ νοήσεώς ἐστιν ἀρχὴ, οὐχ ᾗ τὸ εἶδος, ἀλλ' ᾗ τῷ εἴδει νοεῖ, εἴτ' ἔνδον μόνον τῆς νοήσεως οὔσης, ᾗ σοφὸς καὶ θεωρητικὸς γίνεται μόνον, εἴτε καὶ ἔξω προϊούσης, καθ' ἣν καὶ πρακτικός ἐστι καὶ γίνεται, τὸ τοιοῦτον ἅπαν νοητὸν εἶδος ὁ νοητὸς τοῦ ἀνθρώπου λόγος ἐστὶ, δι' οὗ πρὸς ἑαυτὸν ὡς εἰπεῖν ὁ ἀνθρώπινος διαλέγεται νοῦς, γέννημα μὲν ὢν τοῦ νοῦ διὰ τῆς κατὰ τὴν νόησιν ἐνεργείας, τελειότης δὲ αὐτοῦ καὶ σοφία οἷον εἰπεῖν καὶ ἀλήθεια. Ἡ δὲ νοερὰ θέλησις τὸ ἐν ἀνθρώπῳ πνεῦμα μορφοῖ, περὶ οὗ λέγεται, ὡς οὐδεὶς οἶδε τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ κατοικοῦν ἐν αὐτῷ· καὶ ἔστιν ἡ νοερὰ

θέλησις αὕτη διατείνουσα μὲν καὶ πρὸς αὐτὸν τὸν A νοῦν. Θέλει γὰρ ἑαυτὸν ὁ νοῦς, ὥσπερ δὴ καὶ νοεῖ, καὶ τὸ οἰκεῖον ἀγαθὸν θέλει, ἐπεὶ πρὸς τὸ θελητὸν ἡ θέλησις, ὡς ἡ νόησις πρὸς τὸ νοητὸν φέρεται· καὶ ὡς ἐκεῖ νοητόν ἐστι τάληθές, οὕτω θελητὸν ἐνταῦθα τὸ ἀγαθόν. Ὡς οὖν τὸ οἰκεῖον ἀγαθὸν θέλων ὁ νοῦς νοεῖ καὶ θέλων, ὡς εἴρηται, τελείωσιν εἰδὼς ἑαυτοῦ τὴν νόησιν οὖσαν· διατείνει μὲν οὖν ἡ νοερὰ τοῦ ἀνθρώπου θέλησις καὶ πρὸς αὐτὸν τὸν νοοῦντα νοῦν, ἀλλὰ μάλιστα πρὸς τὰ ἔργα αὐτοῦ καὶ ποιήματα διατείνει, κἂν τούτοις μάλιστα ἐνεργεῖ, κἂν τούτοις μάλιστα διαφαίνεται.

Τὸ μὲν οὖν ἀνθρώπειον χρῆμα τοιοῦτον συλλήδδην εἰπεῖν· πολλοῦ γὰρ ταῦτα γέμει τοῦ πλάτους προὔργου σκοπούμενα, καὶ τοιοῦτος ὁ ἀνθρώπινος νοῦς, νῷ καὶ νοητῷ λόγῳ καὶ νοερᾷ θελήσει ἢ νοητῷ B μᾶλλον ἔρωτι τὴν ἰδίαν τελειότητα ἔχων καὶ τούτοις διαμορφούμενος νοητῶς τοῖς τρισὶν ἰδιώμασιν. Ταυτὸν δέ ἐστι νοῦν ἀνθρώπινον εἰπεῖν καὶ ψυχὴν ἀνθρωπίνην, ἐξηπλωμένως μὲν τοῦ νοῦ, συνεσταλμένως δὲ τῆς ψυχῆς νοουμένων· ταυτόν τέ ἐστιν ἀνθρωπίνην ψυχὴν καὶ ἄνθρωπον φάναι κυρίως, ὡς εἴρηται πρότερον. Ἀλλὰ μὴν ἐκ τῆς πρώτης αἰτίας ἄνθρωπος ἅπαντα ταῦτα καὶ τοῦ πεποιηκότος ἔχει Θεοῦ, ὥστε κατὰ τὰ ἐξ ἀρχῆς ὑποτεθειμένα πολλῷ μᾶλλον ὁ Θεὸς ταῦτα ἀϊδίως ἔχει καὶ συμφωῶς εἰς ὑψηλότερον ἀπειράκις τρόπον, ὡς εἴρηταί τε καὶ αὐτίκα μᾶλλον δειχθήσεται. Κάντεῦθέν ἐστι τὸ τὸν ἄνθρωπον κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν λέγεσθαι γεγεννῆσθαι, ὅτι τῇ ἐν αὐτῷ Τριάδι τοῦτον ὁ Θεὸς C ἀφωμοίωσε· καὶ διὰ τοῦτο καλῶς ἀπὸ τῆς εἰκόνος ἐπὶ τὸ παράδειγμα τὰ εἰρημένα περὶ αὐτῆς δεῖ μεταφέρειν, ἐναργέστερον ἐκεῖ καὶ οἰκειότερον ἅμα θεολογούμενα, ὡς τοῖς διδασκάλοις τῆς Ἐκκλησίας κηρύττεται καθ' ἡμέραν. Ἔστι γὰρ ὁ εἷς καὶ ἁπλούστατος κατὰ φύσιν Θεὸς καὶ τοῦ παντὸς τοῦδε μόνος δημιουργὸς κατὰ τὴν τῶν θείων λογίων ὑφήγησιν τριὰς ἰδιοτήτων καὶ ὑποστάσεων, νοερὰ δὲ τριὰς τῷ πρώτῳ νῷ καὶ παντὸς αἰτίῳ κτίστου νοῦ πρέπουσα, ὁ θεῖος νοῦς δηλονότι, καὶ ὁ νοητὸς αὐτοῦ λόγος καρπὸς ἔμφυτος τῆς τοῦ ἀγεννήτου νοήσεως νοῦ, καὶ ὁ νοητὸς ἔρως καρπὸς τῆς νοερᾶς τοῦ πρώτου νοῦ καὶ ἐνδοτέρας θελήσεως. Νοῦς γὰρ ὢν ὁ Θεὸς σοφώτατός τε καὶ ἀγαθώτατος οὐδ' ἐκ τῆς ἐν ἡμῖν ὁμοιότητος αὐτοῦ μόνον, ἀλλὰ καὶ πάσαις D ἀνάγκαις οὕτω πεπιστευμένος, νοεῖ μὲν ἑαυτὸν ἀϊδίως (αὐτὸς γάρ ἐστι τάληθὲς ὁ νοῦ τε καὶ νοήσεως τέλος), ἐρᾷ δὲ καὶ ἑαυτοῦ ἀϊδίως (αὐτὸς γάρ ἐστι τἀγαθὸν, ὁ θελητόν ἐστι τῷ νῷ καὶ τῆς νοερᾶς θελήσεως τέλος). Καὶ νοῶν μὲν ἑαυτὸν ἀΐδιον συλλαμβάνει λόγον ἐν ἑαυτῷ, θέλων δὲ ἑαυτὸν ἀΐδιον ἀγάπην προάγει· ἅμα τε οὖν προάγει λόγον νοῶν καὶ ἑαυτὸν νοεῖ τῷ λόγῳ, καὶ θέλων ἀγάπην προάγει καὶ ἀγαπᾷ ταύτῃ καὶ θέλει, καὶ οἱ συμφυεῖς οὗτοι βλαστοὶ καὶ τόκοι τῆς νοερᾶς ἐν τῷ Θεῷ γονιμότητος οὐκ αὐτοῦ μόνον ὡς ἀληθῶς προάγοντος ἀληθῶς προϊόντα, ἀλλὰ καὶ ἀλλήλων τῷ διαφόρῳ τῆς προόδου διακρίνονται τρόπῳ, φύσει δὲ ἓν εἰσιν ἀλλήλοις τε καὶ τῷ προάγοντι νῷ. Καὶ ὁ μὲν θεῖος

habitat; ipsa autem voluntas intelligens tendit etiam ad eumdem intellectum. Semetipsum enim vult intellectus sicut et novit et proprium, vult bonum; siquidem voluntas ad voluntarium fertur sicut intellectus ad intelligibile. Atqui ut illic intelligibile est verum, ita et hic voluntarium bonum est. Tanquam igitur proprium bonum videns intellectus (sese?) novit et vult, sicut dictum est, scius perfectionem suam esse intelligentiam. Porro tendit etiam intelligens hominis voluntas ad ipsum cognoscentem intellectum, sed præsertim ad actus et opera sua, atque in illis potissimum agit et potissimum apparet.

Idcirco quidquid de homine est sic summatim colligitur; ista enim scite considerata multa pollent amplitudine; et humanæ mentis ratio hæc est: intellectu, intelligibili ratione et intelligenti voluntate seu potius intelligibili amore propriam perfectionem assequitur et tribus illis proprietatibus intelligibiliter efformatur. Jam vero idem est dicere humanum intellectum atque humanam animam, explicite quidem intellectu cognito, collectim autem anima. Idem rursus anima humana proprie dicitur atque homo, ut jam superius. Atenim a prima causa et conditore Deo hæc omnia possidet homo; adeo ut, juxta quæ initio proposueram, multo magis in Deo sint invisibiliter et congenere, idque infinite sublimiori modo. Quod hucusque dictum est, fusius præterea demonstrandum. Hinc itaque exeritur hominem ad imaginem et similitudinem Dei esse factum, quod illum Deus Trinitati quæ in ipso est similem efformavit. Ideoque ex imagine quæcunque de ea dicuntur ad exemplar sunt referenda, evidentius ac proprius de Deo theologice rata, ut quotidie docent Ecclesiæ magistri. Nam unus ille et simplicissimus natura Deus, totiusque hujus mundi solus conditor, divinis monentibus oraculis, Trinitas est proprietatum et personarum, Trinitas quidem intelligens qualis decet intellectum primum cujusvis creati intellectus auctorem, divinus videlicet intellectus, Verbumque ejus intelligibile fructus insitus intelligentiæ innati intellectus et intelligibilis amor fructus intelligentis et internæ voluntatis primi intellectus. Etenim Deus cum sit intellectus sapientissimus et optimus, ut certa fides est non ex sola ejus nobis impressa similitudine, sed et omnimodis argumentis æterne seipsum intelligit (ipse enim est verum intellectus et intelligentiæ finis); seipsum etiam æternum amat (nam et ipse bonum est intellectus appetibile et intelligentis voluntatis terminus); sese autem intelligendo æternum in semetipso Verbum concipit, et seipsum volendo æternam dilectionem producit; unaque igitur Verbum producit intelligendo et seipsum per Verbum intelligit, et volendo producit amorem et per illum amat et vult; atque congenera hæc germina et propagines intelligentis in Deo genitalitatis non solum ab ipso ut vere producente revera producuntur, sed etiam pro vario processionis modo ab invicem distinguuntur, natura

vero unum sunt et sibimet invicem et intellectui producenti. Divinum autem verbum (seu ratio) cujusvis intellectus et intelligibilis causa est in entibus, omnisque substantiæ simul et naturæ. Non enim producentis tantum intellectus, sed et operum quæ per ipsum cognoscuntur ad extra naturalis est similitudo. Unde innata similitudo vocatur generatricis intellectus et semper generantis, ideo vero creaturarum. Hinc apud Deum et ex Deo illud dicitur esse, per ipsum autem facta omnia. Ita et omnis boni causa entibus divinus est amor, id est, Spiritus sanctus; omnia namque continet et ad bonum convertit. Præterea cum illis unus est Deus et cunctorum entium creator; universaque a primariis ultimorum tenus opera sunt et mancipia unius Dei ac in ipso congenitæ Trinitatis.

Re igitur ipsa beata et divina Trinitas humanæ trinitatis causa est; nostræ autem humanæ cognitioni quasi causa est trinitas nobis propria cur et illam aliqua cognoscamus; ut jam exinde divina quæ nobis inest imagine frui possimus et per illam omnium causam agnoscere, veram nempe et principalem Trinitatem. Hæc ita loquimur propter eos qui imperfecte adhuc sentiunt et quasi qui vixdum initiantur. Illis vero qui perfectius novisse contendunt aut divina perceperunt munera, quod omnino præstat, accuratius inde quæ in nobis est trinitas innotescit. Unde nil mirum si multos lateat divina Trinitas, cum neque propriam naturam omnes norint aut nosse valeant. Nec etiam mirandum de reliquis differentiis exemplar inter et imaginem trinitatis. Nam, ut jam diximus, quod homo sit Deo similis, id ratio postulat et Moses confirmat et quotlibet alia in idem conveniunt; ac similis quidem trinitati internorum actuum, per quos homo est et vivit secundum animam, cæterasque Dei creaturas superat. Porro in Deo Trinitas esse debet supernaturalis, creatori consona ac prorsus Deo digna; in homine vero, prout creaturam decet, inferior. Primo etenim divinus intellectus est semper in actu, quatenus æterno et infinito congruit; humanus e contra a Deo creatus virtualiter quoad initium æque est in omnibus ad ea ordinatus quæ possunt intelligi et ad intelligentem per ea perficiendum; ac postea in actu fit ex eorum notitia, collectis in ipso speciebus alia post aliam, per viam scilicet abstractionis. Iterum humana ratio apud singulos multis speciebus efformata completur, quæ, ut dictum est, apud unumquemque coeunt pro habitudinis modo. Divina autem ratio una est et simplicissima species simplicissimæ in primo intelligibili intelligentiæ. Nam divinus intellectus, Pater scilicet, una eademque intelligentia omnia æterne novit, et seipsum intelligendo intelligibilem suam speciem sibimet objicit, nempe Verbum. Verbum autem novit ac seipsum simul. At cætera etiam extra se novit, æternum quidem intelligens ut futura vi potentiæ suæ, in futurum ut ad præsens intelligentia se movente; necnon et pro-

A λόγος νοῦ καὶ νοητοῦ παντός ἐστιν αἴτιος ἐν τοῖς οὖσι καὶ πάσης ἁπλῶς οὐσίας καὶ φύσεως· οὐ γὰρ τοῦ προάγοντος νοῦ μόνον, ἀλλὰ καὶ τῶν δι' αὐτοῦ νοουμένων ἔργων ἔξω αὐτοῦ πέφυκεν ὁμοιότης· ὅθεν εἰκὼν μὲν ἔμφυτος λέγεται τοῦ γεννήσαντος νοῦ καὶ ἀεὶ γεννῶντος, ἰδέα δὲ τῶν κτισμάτων, καὶ πρὸς τὸν Θεὸν μὲν αὐτὸς εἶναι καὶ τοῦ Θεοῦ, πάντα δὲ δι' αὐτοῦ γεγονέναι· αἴτιον δὲ παντὸς ἀγαθοῦ τοῖς οὖσίν ἐστιν ἡ θεία ἀγάπη, τὸ Πνεῦμα δηλονότι τὸ ἅγιον, συνέχει γὰρ πάντα καὶ ἐπιστρέφει πρὸς τἀγαθόν. Καὶ διὰ τοῦτο μετ' αὐτῶν εἷς ἐστι Θεὸς καὶ δημιουργὸς ὁ πατὴρ ἁπάντων τῶν ὄντων, καὶ πάντα ἐκ τῶν πρώτων ἄχρι καὶ τῶν ἐσχάτων ἔργα τε καὶ δοῦλα τοῦ ἑνὸς εἰσι Θεοῦ καὶ τῆς ἐν αὐτῷ συμφύτου

B Τριάδος.

Τῷ μὲν οὖν πράγματι αἰτία ἐστὶν ἡ μακαρία καὶ θεία Τριὰς τῆς ἐν ἀνθρώπῳ τριάδος· τῇ δ' ἡμετέρᾳ τῶν ἀνθρώπων γνώσει ἡ παρ' ἡμῖν τριὰς αἰτιόν πως τοῦ κἀκείνην ὡς οἷόν τε γινώσκεσθαι, ὡς τοῦτο πρῶτον ἀπολαύειν ἔχειν ἡμᾶς τῆς ἐκεῖθεν ἐν ἡμῖν εἰκόνος, τὸ δύνασθαι δι' αὐτῆς τὴν ἀληθῆ καὶ πρώτην καὶ τοῦ παντὸς αἰτίαν εἰδέναι Τριάδα. Τοῦτι δέ φαμεν περὶ τῶν ἀτελῶς ἔτι νοούντων κἀν τῇ τῶν εἰσαγομένων τάξει· τοῖς δὲ τελειότερον ἐσπουδακόσιν εἰδέναι ἢ δῶρα ἐκ Θεοῦ εἰληφόσιν, ὃ καὶ πάνυ μεῖζόν ἐστιν, ἐκεῖθεν ἡ ἐν ἡμῖν ἀκριβέστερον κατανοεῖται τριάς· ὅθεν οὐδὲν θαυμαστὸν, εἰ πολλοὶ τὴν θείαν ἀγνοοῦσι Τριάδα, εἴγε μηδὲ πάντες τὴν οἰκείαν οἴδασι ἢ εἰδέναι ἔχουσι φύσιν. Οὐ δεῖ δὲ θαυ-

C μάζειν περὶ τῶν ἄλλων διαφόρων τῆς ἐν τῷ παραδείγματι καὶ τῇ εἰκόνι τριάδος. Εἴρηται γὰρ, ὡς ὡμοιῶσθαι μὲν τῷ Θεῷ τὸν ἄνθρωπον ὅ τε λόγος ἀπαιτεῖ καὶ ἡ τοῦ Μωσέως ἀξίωσις, καὶ ὅσα ἄλλα ταύτῃ συντρέχει, καὶ ὡμοιῶσθαι τῇ τριάδι τῶν ἐνδοτέρων ἐνεργειῶν, αἷς ἄνθρωπός ἐστί τε καὶ ζῇ κατὰ τὴν ψυχὴν καὶ τῶν ἄλλων τοῦ Θεοῦ κτισμάτων προέχει. Δεῖ δὲ ἐν μὲν τῷ Θεῷ τὴν Τριάδα ὑπερφυᾶ τε καὶ πόρρω πρέπουσαν εἶναι καὶ ὅλως θεοπρεπῆ, ἐν ἀνθρώπῳ δὲ μετὰ τῆς τῷ κτίσματι προσηκούσης

D ὑφέσεως. Αὐτίκα γὰρ ὁ μὲν θεῖος νοῦς ἐνεργείᾳ ἐστὶν ἀεὶ, ὡς ἀϊδίῳ καὶ ἀπείρῳ προσήκει, ὁ δέ γε ἀνθρώπινος δημιουργηθεὶς ἐκ Θεοῦ δυνάμει μὲν ἔστι τὴν ἀρχὴν ἐν πᾶσιν ἀνθρώποις ὁμοίως πρὸς τὰ νοεῖσθαι δυνάμενα καὶ πρὸς τὸ δι' ἐκείνων τελειοῦσθαι νοοῦντα, ἐνεργείᾳ δ' ὕστερον γίνεται τῇ περὶ αὐτῶν ἐπιστήμῃ, ἀθροιζομένων ἐν αὐτῷ τῶν εἰδῶν ἄλλου μετ' ἄλλο τῇ ὁδῷ γε τῆς ἀφαιρίσεως. Καὶ λόγος αὖ ὁ μὲν ἀνθρώπινος ἐν ἑκάστῳ πολλοῖς εἴδεσι μορφούμενος συμπληροῦται συναγομένοις, ὡς εἴρηται, κατὰ μικρὸν ἐν αὐτῷ καὶ συνοῦσι λοιπὸν τῷ τρόπῳ τῆς ἕξεως· ὁ δὲ θεῖος λόγος ἓν ἐστι καὶ ἁπλούστατον εἶδος τῆς ἁπλουστάτης ἐν τῷ πρώτῳ νοητῷ νοήσεως· ὁ γὰρ θεῖος νοῦς, ὁ Πατὴρ δηλονότι, μιᾷ καὶ τῇ αὐτῇ νοήσει πάντα ἀϊδίως νοεῖ, καὶ ἑαυτὸν μὲν νοῶν τὸ νοητὸν ὑφίστησιν εἶδος· ἑαυτοῦ δὲ πρὸς ἑαυτὸν, τουτέστι τὸν Λόγον, νοεῖ δὲ τὸν Λόγον καὶ ἑαυτὸν ἅμα νοεῖ. Νοεῖ δὲ καὶ τὰ ἄλλα παρ' ἑαυτὸν ἀϊδίως· μὲν νοῶν ὡς ἐσόμενα περιουσίᾳ δυνάμεως, ἐπὶ τὸ ἐσό

μενον της νοήσεως ὡ; δὴ παρὸν φερομένης · νοῶν δὲ ὅτε ἠθέλησε καὶ γεγεννημένα, ἔργα τῆς θείας ὄντα θελήσεως, καθό ἐστι καὶ ἄλλων εὐποιητική. Ἀεὶ μὲν γὰρ ἐβούλετο τὸν κόσμον ἔσεσθαι, οὐκ ἐβούλετο δὲ καὶ ἀεὶ αὐτὸν ἔσεσθαι, οὐ γὰρ οἷόν τ' ἂν ἦν αὐτὸν ἀεὶ εἶναι οὔτ' ἔσεσθαι, ὧν τῷ μὲν τὸ μηδέποτ' ἂν γενέσθαι, τῷ δὲ τὸ εἶναι καίτοι μηδέποτε γεγεννημένον ἀκολουθεῖ · ἡ τοίνυν ἀΐδιος αὕτη νόησις μία καθάπαξ ἐστὶν ἐν τῷ πρώτῳ νῷ σημείοις μόνοις διακρινομένη νοήσεως. Ἐπὶ τούτοις ἐν μὲν τῷ ἀνθρωπίνῳ νῷ ἄλλο ἐστὶ τὸ νοεῖν τὸ πρᾶγμα, καὶ ἄλλο τὸ νοεῖν τὸ νοούμενον νόημα, ὅταν εἰς τὸ οἰκεῖον ἔργον ὁ νοῦς ἐπιστρέφῃ, ὅθεν ἕτεραι μὲν αἱ τῶν πραγμάτων, ἕτεραι δ' αἱ τῶν ἐπ' αὐτοῖς νοημάτων εἰσὶν ἐπιστῆμαι · ἐν δὲ τῷ Θεῷ ταῦτα οὐ διενήνοχε, καὶ ὁ μὲν ἐν ἀνθρώπῳ λόγος καὶ ἡ θέλησις οὐ πραγματικῶς πρὸς τὸν νοοῦντα καὶ θέλοντα διακρίνονται νοῦν · ὁ δὲ θεῖος Λόγος καὶ τὸ Πνεῦμα τὸ ἅγιον πραγματικῶς τοῦ Πατρὸς διακρίνονται · δεῖ γὰρ ἐκεῖ καὶ τὴν τῆς φύσεως ἕνωσιν ἄκραν εἶναι, ᾗ προσήκει Θεῷ, καὶ τὴν διάκρισιν αὖ ἀληθῆ τε καὶ ἔμπρακτον, τῇ μέντοι κατὰ τὴν φύσιν ἑνώσει μηδόλως προσισταμένην. Ἡ γὰρ ἀτομικὴ καὶ προσωπικὴ διάκρισις ἐν μὲν τοῖς ὁμοφυέσι κτίσμασι τὴν ὕλην αἰτίαν ἔχουσα εὐλόγως δὲ τὴν φύσιν ἐν τοῖς οὕτω διῃρημένοις ἀριθμοῖς διαιρεῖ · ἐν δὲ τῷ ἁπλουστάτῳ καὶ νοερωτάτῳ Θεῷ τὴν νοητὴν ἀναφορὰν αἰτίαν ἔχουσα μόνην οὐ διαιρεῖ τὴν κατὰ φύσιν ἑνότητα. Καὶ πολλὰς ἄλλας εἰκὸς εἶναι διαφορὰς τῆς τε ἀκτίστου Τριάδος ἐν τῷ Θεῷ καὶ τῆς ἐν ἀνθρώπῳ κτιστῆς · ἀλλὰ δὲ μετὰ τοσούτων τῶν διαφόρων οὐδὲν ἧττον ἡ κατὰ τὴν τριάδα τῶν ἰδωμάτων ἢ τῶν ὑποστάσεων ὁμοίωσις μένει · καὶ ἔστι κατὰ τὴν πρόοδον αὐτῶν καὶ τὴν τάξιν καὶ τὸν τῆς προόδου λόγον τε καὶ τῆς τάξεως καὶ τὴν ἐν τῷ πλήθει πάλιν ἑνότητα τῆς οὐσίας καὶ καθόλου φάνει τὴν νοερότητα. Εἰ δὲ μετὰ πλείστης ἐκεῖ μὲν τῆς ὑπεροχῆς, ἐνταῦθα δὲ τῆς ὑφέσεως, καίτοι κἂν τῷ κτίσματι πολλή τις ὁρᾶται διαφορὰ τῆς εἰκόνος · ἡ μὲν γὰρ τοῖς ἀνθρώποις ἐδόθη πᾶσι δῶρον κοινὸν μείζονος κοινωνίας ἀρχὴ κατὰ τὸν μέλλοντα βίον τοῖς ἐνταυθοῖ καλῶς κεχρημένοις · οὐχ ὁμοίως δὲ πάντες αὐτῆς ἀπολαύουσιν, ἀλλ' οἱ μὲν μορφοῦσι τὴν εὐγενεστάτην ταυτην τῆς φύσεως παρασκευὴν καὶ οἰκείᾳ προαιρέσει τε καὶ σπουδῇ καὶ τὸ κάλλος αὐτῆς ἐξάπτειν ποιοῦσι καὶ μέχρις οὐρανῶν ἀνιέναι, τοῖς δὲ ἀργόν τι χρῆμα καὶ ἄμορφον καταλείπεται ἀμαθίᾳ συγκαλυπτόμενον ἢ πονηρίᾳ.

Καὶ ταῦτα μὲν πάντα περὶ τῆς θείας Τριάδος πρὸς τοὺς ἔξω καὶ εἴρηται καὶ λέγεσθαι ἐστί, ὡς ἔκ τινος ἀρχῆς ἡμῖν τε καὶ ἐκείνοις κοινῆς τῆς τοῦ Μωσέως διδασκαλίας · ἡμῖν δὲ λόγου παντὸς ἐπέκεινα τὴν περὶ τούτων πίστιν αὐτὸς ὁ θεῖος ἐνέθηκε Λόγος. Τούτου χάριν τὴν ἡμετέραν ἀληθῶς μὲν θεοπρεπῶ, δὲ ὅμως προσλαβόμενος φύσιν, καὶ δόξαις τε ταῖς ἀληθέσι περὶ τοῦ μόνου Θεοῦ καὶ μόνου τῶν ὄντων πάντων αἰτίου καὶ νόμοις περὶ τοῦ βιοῦν ἔχειν ὀρθῶς ἐκόσμησεν ἡμᾶς ἐκ τῆς πρὶν ἀκοσμίας, ἣν ὁ τοῦ ψεύδους πατὴρ ἡμῖν ἐπεσώρευσεν οὐκ ἂν δυνηθείς ἡ, ὧν τὸ δέον ἅπαν τηρούντων. Δόξα τοίνυν τῷ Λό-

A ducta, quando voluerit, intelligit; cum divinæ voluntatis sint opera, quatenus est et aliis benefica. Nam semper volebat fore ut mundus esset, non autem ut semper exsisteret; nec enim pote fuisset illum semper esse aut fore, ex quorum altero consequitur ut nunquam exsisteret, ex altero ut exsisteret, tametsi nunquam effectus. Hæc igitur æterna intelligentia ex integro una est in primo intellectu signis tantum ab intelligentia discreta. Præterea in humano intellectu aliud est rem intelligere, aliud intellectionem intellectam, cum ad propriam operationem intellectus convertitur; unde aliæ sunt rerum, aliæ de rebus intellectionum notitiæ. Verum hoc in Deo non differunt. Aliunde ratio et voluntas in homine non revera distinguuntur erga cognoscentem et

B volentem intellectum. Divinum vero Verbum et Spiritus sanctus realiter a Patre distinguuntur. Nam illic oportet ut sit naturæ summa unitas, ut Deo par est, et vera similiter et effectiva distinctio, unitati tamen naturæ minime obstans. Etenim indivisa et personalis distinctio quæ in creaturis materiam habet causam, approbe per hujusmodi numeros naturam dividit. Sed apud simplicissimum et intelligentissimum Deum, cum ex intelligibili tantum relatione causam habeat, naturæ non dividit unitatem. Nec aliis paucis probabiliter inter se differunt increata Trinitas apud Deum, et apud hominem creata. At quantumvis multæ sint hæc differentiæ non cessat in Trinitate proprietatum seu personarum assimilatio. Permanet vero juxta processio-

C nem earum et ordinem, processionisque et ordinis modum atque etiam juxta substantiæ unitatem in pluralitate, ac uno tandem verbo intelligibilitatem. Quod si cum multa illic præcellentia, hic autem imperfectius, multa iterum in creatura differentia cernitur ab imagine, quæ quidem omnibus data est hominibus ut commune donum majoris communicationis principium, nempe in futura vita his qui præsenti recte usi fuerint: non autem omnes pariter illa fruuntur; sed alii generosissimum illum naturæ apparatum voluntate et contentione propria efformant, ejusque accendunt pulchritudinem et ad cœlos usque extollunt; alii contra velut iners et informe quidpiam illum inscitia aut malitia obrutum missum faciunt.

D Hæc omnia de divina Trinitate ad eos qui foris sunt dictum dicendumque est, ex quodam quasi principio nobis et ipsis communi, Mosis nempe doctrina. Nobis autem præter omne ratiocinium fides ab ipso divino Verbo de his inserta est. Quapropter naturam nostram vere, Deo tamen condigne suscipiens et veris sententiis de uno Deo solo cunctorum entium auctore et legibus ad dirigendos mores nos exornavit, priori amoto dedecore quod in nos mendacii pater congesserat, non ita certe læsurus si nos approbe stetissemus legibus. Gloria igitur Verbo Dei et Filio qui tanta nobis bona lar

gitus est haud qualia tantum omnibus entibus et operibus suis, sed etiam cunctis præstantia eaque perpetuo, neque solum omnibus una, sed et singulatim. Ipse enim ab æterno nos et mundum universum penes se habuit intelligibiliter, ad extra autem temporaliter produxit, simul et tempus faciens opus paternæ et sapientis bonitatis. Ipse admirabili dispensatione nos spiritualiter instauravit et una curatione a diuturno et multiplici morbo sanavit ob eamdem bonitatem, tanquam egregius medicus unaque pater et Dominus. Ipse moribus ac fide nos instituit, fidem scilicet edocens et cœlestis mysterium Trinitatis pulchre nobis reserans, quo solum agnito unus Deus rite ac legitime coli potest; morum autem dux effectus non præceptis tantummodo, sed suis etiam exemplis. Ad neutrum tamen hujusmodi bonorum nos allegit (cavendum enim ne perderet, cum salvare vellet); sed impedimentum æternæ vitæ insperato solvit, labem scilicet ex generationis semine propagatam; quamobrem sese spoliavit, et, corpore suscepto, pœnam nobis debitam in carne sua luit quæ nihil peccaverat; filiorum autem arbitrio fidemque et bona opera proposuit, quos etiam, propter omnimodam difficultatem utrique repugnantem, suis non destituit auxiliis. Ipse nobis Deum et Patrem manifestavit ab illo vicissim omnibus modis manifestatus. Ipse et Spiritum sanctum nobis revelavit ad majorem nempe sui revelationem, licet antea pro temporum opportunitate ab illo revelatus; hunc denique sigillum suorum in nos beneficiorum. Ipse singulorum vitam filiorum qui fide et arbitrio sunt efformati dirigit. Optima namque ex animo prorsus libero oportet eligi, statimque gratia ita proponentibus occurrit. Equid enumerandum tot manifestæ beneficentiæ dona quæ pro numero et magnitudine sunt omni sermone majora, soliusque obcæcatæ animæ oculis invisa manent et ignota? Quoniam vero, etsi forte proprius ad divinum Verbum, nostrum nempe Jesum hoc referuntur, una tamen fuerit a Patre et Filio in Spiritu divinæ dispensationis beneficentia, ex unaque communi benignitate, ac proinde nobis semper indivise omnigenæ felicitatis et salutis prodierint remedia, idem est divinum laudare Verbum ac totam concelebrare Trinitatem, seu potius unum in personarum Trinitate Deum. Ipsi gloria in sæcula. Amen.

τῷ τοῦ Θεοῦ καὶ Υἱῷ τοσούτων καλῶν ἡμῖν ὑπάρξαντι τοῖς ἀνθρώποις, οὐ μετὰ πάντων μόνον τῶν ὄντων τε καὶ ἔργων αὐτοῦ, ἀλλὰ καὶ ὑπὲρ πάντα καὶ πρὸς τούτῳ διηνεκῶς, οὐδὲ πᾶσι μόνον κοινῶς ἀλλὰ καὶ χωρὶς ἑκάστῳ. Αὐτὸς γὰρ καὶ ἀϊδίως ἡμᾶς τόν τε σύμπαντα κόσμον εἶχε παρ' ἑαυτῷ νοητῶς καὶ χρονικῶς ἔξω παρήγαγεν, ἅμα καὶ τὸν χρόνον ποιήσας ἔργον τῆς πατρικῆς καὶ αὐτοῦ σοφῆς ἀγαθότητος· αὐτὸς καὶ ἀνέπλασε πνευματικῶς οἰκονομίας τρόπῳ ξενίζοντι καὶ μεθόδῳ μιᾷ τὴν πολυχρόνιον ἡμῶν καὶ ποικίλην ἐξηκέσατο νόσον ἐκ τῆς αὐτῆς ἀγαθότητος ὡς ἄριστος ἰατρὸς ὁμοῦ καὶ πατὴρ καὶ δεσπότης. Αὐτὸς ἡμᾶς ἐμόρφωσε καὶ βίῳ καὶ πίστει, τὴν μὲν διδάξας καὶ τὸ τῆς οὐρανίου Τριάδος καλῶς ἡμῖν ἀναπτύξας μυστήριον, ᾧ μόνῳ τὸν ἕνα σέβειν Θεὸν καλῶς ἔνεστι καὶ γνησίως, τοῦ δὲ καθηγητὴς ἡμῖν γεγονὼς οὐ διδάγμασι μόνοις, ἀλλὰ καὶ τῷ καθ' αὐτὸν ὑποδείγματι· οὐ βιασάμενος πρὸς οὐδέτερον τοῖν δυοῖν τούτοιν καλῶν (οὐ γὰρ ἔδει φθείρειν ἀντὶ τοῦ σώζειν), ἀλλὰ τὸ μὲν κώλυμα τῆς αἰωνίου λύσας ἀνελπίστως ζωῆς τὴν ἐκ τῶν σπερμάτων τοῦ γένους διαβαίνουσαν λύμην, οἷς ἐκένωσεν ἑαυτὸν καὶ οἷς ὑπέστη καὶ τὴν ὀφειλομένην ἡμῖν δίκην ἐξέτισεν ἐν σαρκὶ μηδὲν ἁμαρτούσῃ, τῇ δὲ προαιρέσει τῶν τέκνων τό τε πιστεύειν τό τε βιοῦν ὀρθῶς ἐπιτρέψας, οὐκ ἄνευ μέντοι τῆς παρ' αὐτοῦ συμμαχίας διὰ τὴν ἑκατέρῳ πολλοῖς τρόποις ἀπαντῶσαν δυσχέρειαν, αὐτὸς ἡμῖν ἐφανέρωσε τὸν Θεὸν καὶ Πατέρα πᾶσι τρόποις ὑπ' ἐκείνου φανερωθείς. Αὐτὸς ἡμῖν καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐφανέρωσεν εἰς μείζω μὲν φανέρωσιν ἑαυτοῦ, καίτοι πρόσθεν ὑπ' ἐκείνου φανερωθεὶς τῷ καιρῷ προσηκόντως, σφραγῖδα δὲ τῶν εἰς ἡμᾶς εὐεργεσιῶν. Αὐτὸς καὶ τὸν ἑκάστου τῶν τέκνων βίον ἰθύνει τῶν πίστει τε καὶ προαιρέσει μεμορφωμένων, δεῖ γὰρ προελέσθαι τὰ κρείττω γνώμῃ ὅλῃ βοπῇ· ἡ δὲ χάρις εὐθὺς συναντᾷ τοῖς οὕτω προῃρημένοις· τί δεῖ καταριθμεῖν τὰ πάντα νικῶντα λόγον τῷ πλήθει τε καὶ μεγέθει τῆς φανερᾶς εὐποιίας, ἣ μόνοις τοῖς πεπηρωμένους τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς ἀφανὴς ἔτι μένει καὶ ἄγνωστος; Ἐπεὶ δ' εἰ καὶ ἰδιαίτερόν πως πρὸς τὸν θεῖον ἀναφέρεται Λόγον τὸν ἡμέτερον Ἰησοῦν, ἀλλὰ μία ἦν ἐκ Πατρὸς καὶ Υἱοῦ ἐν Πνεύματι ἡ τῆς θείας οἰκονομίας εὐεργεσία ἐκ μιᾶς ὁμόπνου φιλανθρωπίας, καὶ ἀχωρίστως ἡμῖν ἐκεῖθεν ἀεὶ τὰ τῆς παντοίας εὐτυχίας καὶ σωτηρίας ἐκεράννυτο φάρμακα, ταυτόν ἐστι τὸν θεῖον Λόγον ὑμνεῖν καὶ τὴν ὅλην ἐκθειάζειν Τριάδα, μᾶλλον δὲ τὸν ἐν Τριάδι προσώπων ἕνα Θεόν. Αὐτῷ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

SCHOLARII

POSTEA

GENNADII PATRIARCHÆ

EPISTOLA AD PLETHONEM

In ejus librum contra Latinos de processione Spiritus sancti.

—

ARGUMENTUM.

—

Pletho Gemistus librum ediderat inscriptum, *De processione Spiritus sancti contra Latinos*, in quo sub specie sententiæ Græcorum propugnandæ systema suum gentilitium adumbraverat. Hoc Gennadium non fugit; sine mora ideo ad refutationem se accinxit et responsum ad Plethonem ipsum direxit. Hæc epistola, quamvis nimis prolixa, magnam in auctore solertiam denotat. In ancipiti enim versabatur Gennadius : Plethonem oportebat ob propugnatas orthodoxorum partes laudare, at ob male propugnatas vituperare; propter orthodoxiam gratulari ita tamen ut pro dubio haberi intelligeret; ei ut homini a quo cavendum esset adblandiri, timorem tamen incutere ut se notum sentienti et larva sub qua latebat jamjam spoliandum; eo modo tamen ut verba cum amicitiæ nondum interruptæ exteriori specie concordarent. Exordium tale est : « Accepi, o amicorum optime et doctissime, epistolam, tuæ erga me amicitiæ et benevolentiæ testem. Ais, te ad imperatorem opus transmisisse quod contra meam pro Aristotele lucubrationem scripsisti; interea tamen tractatum contra Latinos edidisti, de quo omnino taces, quod rancorem quamdam significare videtur. Fortuito in manus meas venit; quoad vero tuam in causa Aristotelis responsionem, imperator ut mecum communicaretur e re non judicavit; in quo, si dicere licet, invidiose magis quam tu quoad gloriam tuam egit. Scriptum hoc, cujus desiderio teneor, aliquis fortasse non postulatum gratificandi vel molestandi causa transmittet. » Sententias deinde Plethonis Gennadius ad examen revocat, argumentis potioribus eas fulciens vel sub specie amicæ assentationis refutans. Plethoni enimvero gratulatur quod placitis philosophorum gentilium quæ in opere de Spiritu sancto adduxit, assensum non præbuerit. « Si qui, ait, exstarent adeo mente capti homines ut veteres istos errores instaurare vellent, eorum cæcitas venia omnino indigna foret.... Ex quo enim Verbum ipsum in mundum venit ut unitatis divinæ dogma doceret, quanti sceleris reus esset qui deos multiplices inducere vellet, post tot sæcula exstinctos polytheismi cineres movere, novum Olympum excogitare, quem non ipsa somniaverant poetarum cerebella, novum tandem cultum, religionem simpliciorem (1), ut aiunt nonnulli, qua respublica et mores juxta Zoroastris, Platonis et Stoicorum placita refingerentur : quod si tales impietates scripto mandarentur et ederentur, ad eas confutandas paratum me esse profiteor, quod alius sane cum non minori successu præstaret : at ut mihi concertationis honos reservetur postulo. Librum non igne (2) sed ratione et veritate oppugnabo; igni mandandi libri auctores. » Obmutuit Pletho; sed mox Diatribam in publicum emisit quam contra Gennadii pro Aristotele Apologiam scripserat, acrimonia et rancore plenam. Atqui fatendum Gennadium in Apologia Plethonem non minus male habuisse. Minoidem Mynam audiamus, hujus Apologiæ editorem : Ἐπιγράφεται, inquit, ἡ παροῦσα βίβλος, *Κατὰ τῶν Πλήθωνος ἀπορίων ἐπ' Ἀριστοτέλει*, δέον ἄλλως πως ἐπιγράψαι· ἐν γὰρ τοῖς ἐφεξῆς τῆς βίβλου οὐχ ὡς ἀπορῶν ὁ Πλήθων ἐλέγχεται, ἀλλὰ ψευδόμενος, καὶ συκοφάντης, καὶ μαινόμενος. Utrinque philosophicus tumor læsus controversiam in mutuas objurgationes verterat.

(1) Ἀγιστείας εὐσταλεῖς. His verbis, quæ leguntur in Prologo ad librum *De legibus*, sensui Christiano Pletho contradixit. Hic prologus, ad quem per totum hunc locum Gennadius alludit, ei nonnisi per linguam secreti non tenacem innotuisse debuit, nam librum suum Pletho nondum publici juris fecerat.

(2) Ignem tamen postea adhibuit Gennadius (vide epist. ad Josephum Exarchum), at contra librum, non contra libri auctorem.

—

ΣΧΟΛΑΡΙΟΥ
ΤΟΥ ΥΣΤΕΡΟΝ ΓΕΝΝΑΔΙΟΥ
ΠΡΟΣ ΠΛΗΘΩΝΑ

ΕΠΙ ΤΗ ΠΡΟΣ ΤΟ ΥΠΕΡ ΛΑΤΙΝΩΝ ΒΙΒΛΙΟΝ ΑΥΤΟΥ ΑΠΑΝΤΗΣΕΙ

Η ΚΑΤΑ ΕΛΛΗΝΩΝ (1).

Ἐδεξάμην σου, φίλων ἄριστε καὶ σοφώτατε, τὴν ἐπιστολήν, ἐν ᾗ φιλεῖν μὲν ἐμὲ, καὶ μήτε ὠργίσθαι, μήτε πρὸς ὀργήν τι ποιεῖν ἔλεγες· ἀναπέμψαι δέ τι βιβλίον τῷ θειοτάτῳ βασιλεῖ, πρὸς τὰ ὑπὲρ Ἀριστοτέλους ἠγωνισμένα μοί ποτε, ἀντιγεγραμμένον. Αὐτίκα δὲ καὶ βιβλίον τί σου κατὰ Λατίνων τῆς δόξης ἐφαίνετο, οὐ πρὸς ἡμᾶς γε οὐ μεμνημένος, ἐῴκεις αὖ καὶ μηνίοντι. Οὐ γὰρ ἠγνόεις ταυτησί γε τῆς ὕλης λόγῳ τε καὶ ἔργῳ τοῖς δυνατοῖς ἀντιποιουμένους, καὶ διὰ τοῦτ', εἴ τις ἡμῖν ποθεν ἦκοι συνηγορία, ταύτην τε μεθ' ἡδονῆς ἁρπάσοντας, ὡς εἰκὸς, καὶ εἰσομένους χάριτας τῷ διδόντι. Τοῦτο μὲν οὖν καλῶς ποιοῦν, καὶ σοῦ γε μὴ ἀξιοῦντος, τὰς ἡμετέρας πρὸ πάντων χεῖρας ἐζήτησεν. Ἃ δ' ἔφασκες ἀντιγεγραφὼς ἀναπέμψαι, καὶ δεῖν ἡμᾶς ἐκεῖθεν λαμβάνειν εἴ γε βουλοίμεθα, ὁ μὲν θειότατος βασιλεὺς ἡμῖν οὐκ ἐδίδου, σοῦ καὶ τῆς σῆς δόξης μᾶλλον, ὡς ἂν ἔγωγε φαίην, κηδόμενος· ἐπεὶ ἐώρα σε κατακεχρημένον τοῖς λόγοις, ὃν εἰς ἐπιείκειαν ἐπαινῶν καὶ σεμνότητα, καὶ τοιοῦτον βούλοιτ' ἂν πᾶσι δοκεῖν οἷς πράττεις. Τὸ γὰρ τῆς ἀσθενείας τῶν λόγων ἢ τῆς ἰσχύος ἄλλοις ἀφεῖναι ἂν οἶμαι σκοπεῖν· μηδὲ γὰρ αὐτῷ γε νῦν τῶν τοιούτων μέλειν. Ἀλλ' εἰς ἄλλους οὐκ οἶδ' ὅθεν καὶ ὅπως ἐκπεπτωκότα (δέοι γὰρ ἀρετὴν λόγων τοιαύτην δημοσιευθῆναί τε καὶ μὴ κρύπτεσθαι), οὐδὲ παρ' αὐτῶν πώ τινος δίδοται, οὐδ' ἐμοιγε αὐτῷ λαμβάνειν, εἰ δεῖ τἀληθῆ λέγειν, προὔργου γεγενημένον· ἴσως δέ ποτε δώσει τι; καὶ μὴ ἀπαιτοῦντι, ἢ χαριεῖσθαι, ἢ λυπήσειν οἰόμενος, ὁποτέρως ἂν ἐπιστήμης περὶ τῶν τοιούτων καὶ γνώμης ἔχων τύχοι περὶ ἐμέ. Κἀγὼ τὴν καὶ νῦν ἐνοῦσάν μοι περὶ αὐτῶν τε καὶ τῶν ἐμῶν ἐκείνων γνώμην, ταύτην αὐξήσας τότε, ὡς οἶμαι, τραχυτήτων δὲ τῶν ἐκεῖ, καὶ τοῦ μὴ χωρί; που, ἀλλ' ἐπ' αὐτοῖς τοῖς ἐμοῖς, ὥς τινα καὶ ἐπεμβαίνοντα ἢ προπηλακίζοντα, ἀντειπεῖν, ἢ ὅ τι ἄλλο σοι καὶ ὅτου χάριν εἴη ἐξευρημένον οὐκ ἐπὶ καθαιρέσει μᾶλλον ἢ θεραπείᾳ τύφου τινὸς, τούτων δὴ τοσῶτον φροντίσας, ὥστε καὶ ἐφησθῆναι, ἄλλως τε καὶ ἀνταποδιδομένοις, ἔπειτα θαυμάσομαί σε, οἷς ποτε προεῖλου νεανικώτερον ἀμύνοντα καὶ σαυτῷ. Καὶ ἀεὶ γάρ σου ποιοῦμαι ἐν θαύματι πρὸς τοῖς ἄλλοις, καὶ ὅσα ἐς σοφίαν καὶ τὴν τῶν λόγων ἐστὶ τέχνην. Τὸ μὲν γὰρ καὶ τἀληθοῦς ἐν ταῖς περὶ ἁπάντων δόξαις ἐφάπτεσθαι χαλεπόν ἐστι καὶ σοὶ καὶ ἐμοιγε καὶ ὀτῳοῦν, ἕως ἂν ἐν τῷδε ὦμεν τῷ σώματι· τὸ δὲ τὰ δοκοῦντα, ὡς οἷόν τε, καὶ λόγοις ἔχειν δεικνύναι, καὶ ἱκανοὺς εἶναί τι καὶ ἀντειπεῖν, τοὺς ἐπισταμένους πη τῶν μὴ τοιούτων καὶ τούτῳ (2) δὴ ἡγούμεθα διαφέρειν. Εἴ δέ τί μοι ἢ ἐν τοῖς τοῦ βιβλίου προοιμίοις ἐκείνου, ἢ ἔν τινι τῶν ἐπιστολῶν καὶ ἠπείλητο, καὶ τούτου ἀφέξομαι νῦν· οὐ διὰ τὸ οἴεσθαι, μὴ ἂν ποτέ σε δικαίως ἀντειπεῖν μου τῷ βιβλίῳ δύνασθαι· εἰδὼς γὰρ τοῦτο καὶ πρότερον, ὅμως διενοούμην τι καὶ ἀντιγράψειν αὖ πρὸς τὰ σὰ, ἢ καὶ ἄλλον τινὰ τρόπον τὰ τοιαῦτ' ἐξετάσειν, ὃς ἂν καὶ ἀμφοῖν τοῖν φιλοσόφοιν συνήνεγκε, καὶ σοὶ δήπου μετὰ θατέρου. Οὐ τοίνυν τούτου γε ἕνεκα, ἢ τοῦ δεῖν τῶν ἀντιγεγραμμένων σοι, ὡς μὴ κατὰ νόμον μήτ' ἐπὶ σπουδῇ ἀφειμένων, ὀλιγωρεῖν (οὐ γὰρ βούλομαί σε τοιαῦτα λέγων ἔτι λυπεῖν), ἀλλὰ τῷ μείζω σοι χάριν ὀφείλειν τῶν κατὰ τοῦ Λατινικοῦ βιβλίου συγγεγραμμένων, ἢ ὅσον ἀμύνοιτ' ἂν τις διὰ τὰ ἕτερα, εἰ καὶ ἔδει με ἀντιλέγειν, οὐκ ἀντερῶ· καὶ εἰ σιωπᾷν μᾶλλον ἐχρῆν τοῖς προτέροις ἐκείνοις ἀρκούμενον, καὶ διὰ τοῦτο μάλιστα σιωπήσομαι, καὶ ἀφέξομαί σου τῶν δευτέρων τούτων ἀποριῶν καθάπαξ. Τὸ μὲν γὰρ, εἴτε διὰ σὲ βελτίων φανείη Πλάτων Ἀριστοτέλους οἷς οὐ πρόσθεν τοιοῦτος εἰς πάντα ἐδόκει, εἴτ' Ἀριστοτέλει σώζοιτο δι' ἐμὲ νῦν, ἣν ἐκ πολλοῦ δόξαν ἔσχεν, ἐν τοῖς γε πλείοσι καὶ σοφωτέροις, οὐ πάνυ μοι διαφέρει. Καὶ εἴτε τὰ δυνατὰ λέγειν δόξαιμεν ἅμφω ὑπὲρ ὧν ἐν τοῖς ἔξω προϊστάμεθον λόγοις, εἴτε καὶ μηδέτερος μηδετέρῳ βοηθοίη καλῶς, ἀλλ' ἐπίδειξις εἶναι ταῦτα δοκοίη μόνον τοῖς κρίνουσιν, οὐδὲ τούτου μοι μέλει τοσοῦτον ἐν τῷ παρόντι· ἀλη-

(1) Primus edidit V. Cl. D. Alexander in Appendice ad Plethonis librum *De legibus*, p. 313, ex cod. Paris. 1297, ubi in titulo (inquit doctissimus editor) prius scriptum fuerat καὶ κατὰ τῆς Λατινικῆς δόξης, postea in margine rescriptum, ἢ κατὰ Ἑλλήνων ; quorum utrumque verum : non magis enim adversus Latinorum dogma quam adversus Plethonis novam gentilitatem scripta sunt hæc.

(2) Sic cod. Τούτῳ post τὸ δὲ anacoluthum. ALEX.

θείας τε περὶ τῆς ἐν τοῖς τοιούτοις, οὐθ' ἡμεῖς γε- A
νοίμεθ' ἂν ἀλλήλοις κριταί, περὶ ὧν διενηνέγμεθα
ἤδη, οὔτ' ἄλλοις πιστεύσαιμεν κρίνουσι, τῷ αὐτῷ δὴ
καὶ πάντων πάθει ἐνεσχημένων, καὶ τῶν μὲν τῷ
ἑτέρῳ προσκειμένων, τῶν δὲ τῷ ἑτέρῳ τοῖν φιλοσό-
φοιν, ὧν οὐδέτεροι τοῖς θάτερα τετιμηκόσι γένοιντ'
ἂν ἀξιόχρεῳ διαιτηταὶ περὶ τῶν ἑτέρων. Λοιδοριῶν
δὲ πέρι καὶ τοιαύτης ἀσχημοσύνης τίς ἂν ἀμιλληθείη
καὶ ὀτιοῦν; ὧν γε οὐδὲ τοῖς ἐχθροῖς εὔξαιτ' ἄν τις
τὸ πλέον ἔχειν, μή τί γε ἑαυτῷ, σώφρων τε καὶ
ἐπιεικὴς ὤν, πλὴν εἴ τινα καὶ τοιοῦτον θειοτέρα τις
αἰτία καὶ ἄφυκτος καὶ ἄρξασθαί ποτε κατηνάγκασε.
Τούτοις μὲν δὴ καὶ τοιούτοις ἔγωγε νῦν ἥκιστα προσ-
έχειν φημί. Τοῦ δὲ τὴν πάτριον ἡμῶν θεοσέβειαν,
ἣ φυλάττοντας ἅμα τε Θεῷ καὶ φρονίμοις πᾶσιν
ἀρέσκειν, ἦ, ὡς οὐδὲν διαφέρον, ἀντὶ δοξῶν τε οὐκ B
ἀληθῶν καὶ πραγμάτων ἄλλων προϊεμένους δυσσε-
βεῖν, πολύ τι δή, ὡς οἶσθα, καὶ ἡμῖν ἐκ πολλοῦ ἐμέ-
λησέ τε καὶ, σὺν Θεῷ φάναι, μελήσει, ὥσθ' ὅπως μὴ
πολλοὶς συμβαίη τὰ δεύτερα. Οὐ γὰρ περὶ ἡμῶν γε
αὐτῶν, σὺν αὐτῷ Θεῷ δ' εἰρήσθω, τοιοῦτό τι δέδιμεν.
Ὧν ἕνεκα ζηλωτοὶ τοῖς πολλοῖς ἐδοκοῦμεν, τούτων
οὐκ ἔσθ' ὅ τι οὐ προηκάμεθα χαίροντες. Οὐ γὰρ ἦν,
ὡς ἔοικεν, ἐκείνων τε ἀπολαύειν καλῶς, καὶ τοὺς
ἄλλους λόγῳ τε καὶ ἔργῳ πείθειν, ὡς σωφρονοῖεν.
Εἰσὶ δ' ἐν τῷ νῦν χρόνῳ τοιοῦτοι παρ' ἡμῖν οὐκ ὀλί-
γοι, οὓς καὶ αὐτὸς ἔφησθα δεδιέναι, τὸ δ' ὅπως μὴ
γένοιντό ποτε ἡμῶν τε καὶ τῶν ἡμετέρων λόγων
κρείττους Λατῖνοι, μὴ δεδιέναι. Τοσοῦτ' ἀπέσχομεν
θεοσέβειάν τε καὶ ἀνθρωπίνην τιμὴν ἀντικαταλλάτ- C
τεσθαι, ὃ λῆρεῖν τινες οὐκ ὀκνοῦσι, τῶν πραγμάτων
αὐτοῖς ἀντιφθεγγομένων, κυνιδίων ὡς ἀληθῶς ἐπι-
δεικνύμενοι προαίρεσίν τε καὶ δύναμιν, ὅτι τὸν θυ-
μὸν ἐν ταῖς λοιδορίαις, ὡς ἐκεῖνα ταῖς ὑλακαῖς, ἐξε-
μοῦντες, πολὺ πλέον ἐν τοῖς ἀναγκαίοις ἀπαυδῶσιν ἢ
ὅσον ἐν ταῖς τῶν περιττῶν τε καὶ χειρόνων νικῶσιν
ὑπερβολαῖς. Εἰ δ' ἀγανακτοῖεν πρεσβείου τινὸς εἵνε-
κα, καὶ μείζοσιν οὐκ ὀκνήσομεν αὐτοὺς παρεικάσαι,
ταῖς ἀλωπεκίσι καὶ ταῖς Ἀκταίωνος. Σὺ δ' ἀεί τε
ἦσθα ἐν τοῖς περὶ τοῦ ἀμφισδητουμένου τούτου λό-
γοις τῷ γένει τε καὶ τῇ Ἐκκλησίᾳ φίλιος, καὶ οὐδενὶ
οὐδέποτε τρόπῳ ἐπαχθής, καὶ νῦν τεκμηρίῳ μεγί-
στῳ τοῦτ' ἔδειξας· ὥστ' εἰ καί τινας πρόσθεν τοιοῦ-
τος ὢν ἐλελήθεις, αὐτοῖς τε καὶ τοῖς διαβάλλειν ἐπι-
χειροῦσι μηκέτ' ἂν ἐξεῖναι τὰ τῶν ἀγνοούντων ἢ D
ἐθελοκακούντων ἐνδείκνυσθαι περὶ σέ. Πῶς οὖν δί-
καιος ἂν ἦν ἀντιλέγειν ἐπιχειρῶν ἢ βασκαίνων τῷ
ἐς τὰ μέγιστά τε καὶ οἰκειότατα ξυμμαχοῦντι οὕτω
χρησίμως; Εἰ γάρ με δύο φεύγοντα δίκας, ἀπήλλατ-
τες μὲν τῆς μεγίστης συναγορεύων, καὶ ἦν πάντων
ἂν τῶν ὑπαρχόντων ἠλαττόμην νικᾷν· οὗ δ' ἕδει
με μηδέν τι σχεδὸν βλάπτεσθαι ἐπεβούλευες, ἢ διώ-
κων ἢ τῷ διώκοντι συνιστάμενος· ἆρ' εὐγνώμον ἂν
ἦν, ἀφέντα σοι χάριν εἰδέναι ὧν ἐσπούδακας ὠφε-
λεῖν, ἐλαχίστου ἀδικήματος μνησικακεῖν τε καὶ ἀν-
τεπεξιέναι πειρᾶσθαι; Πολλοῦ γε καὶ δεῖ. Εἰ δὲ καὶ

μὴ ἡμῖν ἐχαρίζου προῦργου, τῇ δ' ἀληθείᾳ, καὶ τῷ
δικαίῳ, καὶ πολλοῖς ἄλλοις ὧν σοὶ οὐδέν τι (1) ἧττον
ἡμῶν αὐτῶν μέλει, καὶ οὕτως ἡμᾶς ἔδει, τὸ οἰκεῖον
μὴ ὑπολογιζομένους, ἀμείδεσθαι τὸν εἰς τὸ κοινὸν
ὠφελοῦντα, εἴ τι καὶ ἰδίᾳ αὐτῷ μέμφεσθαι ἔχοιμεν,
ἀφιέντας, καὶ ἐξὸν ἐλέγχειν, οὐκ ἐξελέγχοντας. Οὐκ-
οὖν διὰ ταῦτα πρὸς μὲν τὰ σά γε ἐκεῖνα, ὁποῖ' ἂν
δόξειεν ὀφθέντα ποτὲ, οὐδέν μοι ἀντιγεγράφεται,
ἀλλ' ἐάσω σε ἀπολαύειν ὧν ἐς Ἀριστοτέλη τὲ αὖ
καὶ ἡμᾶς, ὡς οἱ ἰδόντες λέγουσιν, αὐτοσχεδιάσας,
ὅρου τι ἀμυνεῖσθαι ἢ ἐπιδείξεσθαι, ὡς ἂν εἴη σοι
καὶ ταῦτα διατριδὴ [καὶ] τοῖς ἥδιστ' ἂν ἰδοῦσι μετ'
ὀργῆς ἀναπαλαίειν πειρώμενον καὶ κραυγῆς, καί-
τοι σχεδὸν ἀποτριαχθέντα· οὐ γὰρ ἡμῖν γε δόξειεν
ἄν, οἷα δή φασι καὶ Κυμαίοις (2). Καὶ δ' ἴσως πλέον B
ἐστὶ, συγχωρήσαιμ' ἂν σοι καὶ Πλάτωνα καὶ Ἀρι-
στοτέλη ληρεῖν ὁμοίως. Τί γὰρ ἂν καὶ ὄφελος γένοι-
το, ὁποτέρου τούτοιν πλέον εὐδοκιμοῦντος; Οἳ τῆς
κερδαλεωτάτης ἀληθείας οὐχ οἷοί τε ἐγένοντο ἢ οὐκ
ἠξίωντο τυγχεῖν· ὃ σφίσι τε αὐτοῖς καὶ τοῖς ἄλλοις
αἴτιον γέγονε τοῦ καὶ περὶ τῶν ἄλλων, ὅσα ἐλάττω
τυγχάνει τῷ γένει ὄντα, ἄλλον ἐν ἄλλῳ τοῦ ὄντος
διαμαρτεῖν. Ἀλλ' εἴ τί γε ἄρα καὶ χρήσιμοι τοῖς
χρωμένοις δύναιντο εἶναι, τοῦτο καὶ παρ' ἑτέρων
λαδεῖν ἔστι, προαιρίσει μὲν τοῖς πολλοῖς οὐκ εὐπε-
τεστέρᾳ, σπουδῇ δὲ ἐλάττονι. Οὗτοι δ' εἰσὶν, οἳ τῷ
τῆς ἱερᾶς διδασκαλίας ἁλλαμφθέντες φωτὶ, τῇ ἐξ
ἐκείνων σοφίᾳ ὥσπερ τινὰ ἐπιστήσαντες ταύτην
παιδαγωγὸν, αὐτοί τε πολλῷ Ἀριστοτέλους καὶ
Πλάτωνος καὶ τῶν ὁμοίων βελτίους ἐγένοντο, καὶ C
τοὺς συγγιγνομένους αὐτῶν ταῖς βίβλοις τοιούτους
ποιοῦσι. Καὶ πολλοί γε δι' αὐτῶν τοιοῦτοι γεγένην-
ται, οἷοι μὴ ὅτι τῶν εἰρημένων, ἀλλὰ καὶ Ἑρμοῦ
αὐτοῦ καὶ Ἀπόλλωνος καὶ Μουσῶν, καὶ πάντων ἐφ'
οὗ; ἡ Ἑλληνικὴ ἀναφέρει σοφία, πάμπολυ ὑπερε-
νεγκεῖν. Τὰ μὲν γὰρ τῶν παρ' Ἕλλησιν ἐπὶ σοφίᾳ
πρώτων ἔργα τῶν γε πλειόνων, καὶ τῶν τῶν φαυ-
λοτάτων ἰδιωτῶν χείρω ἦν, τῷ τὴν μὲν περὶ τὸ
αἰσθητὸν ἅπαν διατριδὴν μὴ δύνασθαι τῇ μετουσίᾳ
τοῦ κρείττονος καὶ τῇ τοῦ ὄντος καλοῦ θήρᾳ τὸν ἄν-
θρωπον προσαγαγεῖν, καὶ εἰ θεωρητικῶς περὶ αὐτὰ
μόνον στρέφοιτο ἄνευ τοῦ ἥκιστα αὐτῶν ἐφάπτεσθαι
καὶ τῇ αἰσθήσει· περὶ δέ γε τῶν νοητῶν μηδὲν αὐ-
τοῖς σαφὲς εἶναι περὶ ὅτου ἂν καὶ ἐλπίς τις εἴη βε- D
βαία οὕτω καὶ ἔχειν ὡς ὑπ' αὐτῶν ἐγνωστο, ἀλλ'
ὥσπερ ἄλλην τινὰ τῶν ἐπιστημῶν, οὕτω δὴ καὶ τὴν
περὶ τῶν θείων ἀσκῆσαι, καὶ πολλῷ χείρον, ὅσῳ δὴ
καὶ ἧττονι βεβαιότητι· εἶναι μέν τινα τῶν φαινο-
μένων πολλῷ κρείττω καὶ αὐτῶν ἐνίους ὑπειληφό-
τας, τοιαῦτα δ', οἷα αὐτὸς ἕκαστος ὑπέληφεν εἶναι,
ἐκ τινων μύθων ἢ τῶν οἰκείων προλήψεων, καὶ ἀρ-
χῶν, ἃς ποτε ἀληθεστέρας τῶν ἄλλων τυγχάνειν
ᾠετο, ὡρμημένος. Λαθεῖν δὲ οὐδ' αὐτοὺς ἐκείνους τὸ
μηδὲν πιστὸν ἔχειν περὶ αὐτῶν, εἰ μὴ ἐς ὅσον καὶ
τῇ τῶν ἰδιωτῶν πλάνῃ ἐκέχρηντο, χρηστηρίοις καὶ
ταῖς ἐκεῖθεν προσέχοντες ἀφορμαῖς, οὐκ ἐξηπατη-

(1) Cod. οἷς οὐδέν τι, quod nos conjectando emendavimus. ALEX.

(2) Quia nempe σκώπτεται εἰς ἀναισθησίαν ἡ Κύμη (Strab.) ALEX.

μένοι μᾶλλον ἢ ἐκουσίῳ ἐνδείᾳ τοῦ ἀληθεστέρου τε καὶ βελτίονος· σαφὴς γὰρ ἦν ἡ παρὰ τῶν δαιμόνων φενάκη. Δι' ἃ δὴ καὶ οὐκ ἀπεικότως ἐκεῖνοι πάντες σχεδὸν ἀσύμφωνα τῇ ἐπαγγελίᾳ τοῦ βίου ἔργα ἐπιδειξάμενοι, οὐδὲν τοῦ τρίβωνος ὤναντο καὶ τῆς ἐν ταῖς στοαῖς ἢ τοῖς περιπάτοις ἀδολεσχίας, ὥστ' εἴπερ τινὰς, αὐτοὺς ἂν εἶναι τοὺς εἰς ὄνειν τε καὶ θηρίων ἄλλων σώματα εἰσιόντας σὺν αὐτῇ φιλοσοφίᾳ καὶ τοῖς καλοῖς θεωρήμασιν, εἴγε ἀληθεῖς αἱ μετενσωματώσεις καὶ οἱ περὶ αὐτῶν ἦσαν λόγοι. Οἱ δὲ τῆς ἱερᾶς ἡμῶν πίστεως ἡγεμόνες, εὐθὺς ἀπὸ τῆς εὐτυχοῦς ἐκείνης οἰκονομίας τοῦ κρείττονος μέχρι καὶ ἐπὶ πλεῖστον χρόνον, οὐ μόνον τοῦ αὐτῶν λόγου καὶ οἱ σοφώτεροι, ἀλλὰ καὶ παντὸς λόγου κρείττον ἐβίουν, (1) ὥσπερ εἰκὸς ἦν τοὺς αὐτῇ Θεοῦ σοφίᾳ, συγγενέσθαι τοῖς ἀνθρώποις ἀξιωσάσῃ τούτου χάριν, ἀκολουθοῦντες. Γραμμῶν μὲν καὶ ἀριθμῶν καὶ τῶν οὐρανίων τηρήσεως, καὶ φυσικῆς ἐπιστήμης, οἱ μὲν οὐδὲ τὴν ἀρχὴν ἐπαίοντες· ὧν γὰρ τῆς ἀπολαύσεως ὠλιγώρουν, τούτων τὴν εἴδησιν, καὶ τῶν περὶ αὐτὰ παθημάτων, οὐδὲν ἡγοῦντο σεμνὸν, πάνυ καλῶς ποιοῦντες. Εἰ γὰρ τὸ γνῶναι πρὸς τὸ ὑπερφρονῆσαι τῶν γε τοιούτων φέροι ἄν, τοῖς γε νοῦν ἔχουσι, καὶ ἐρασθῆναι τοῦ κάλλους, ὃ ὑπὲρ ταῦτα πάντα ἐστὶν, ἀφνὲς ἔτι ὄν, τί γ' ἂν ἐδέοντο κάμνειν περὶ τὴν τοιαύτην γνῶσιν, ὁδῷ ῥᾴστῃ τε καὶ δικαιοτάτῃ, καὶ πείρᾳ βεβαίῳ, μετὰ τοῦ ἐραστοῦ κἀνταῦθα, ὡς ἐγχωρεῖ, γενέσθαι δυνάμενοι; Οἱ δὲ καὶ ταῦτα μὲν ἤδεσαν, ἀλλ' οὐδὲν μᾶλλον τῶν οὐκ εἰδότων ἐχρῶντο, πλὴν εἴ που ἐδίησε τοὺς ἐπὶ τῇ ματαίᾳ ταύτῃ σπουδῇ μόνῃ σεμνυνομένους ἐλέγχειν, καὶ τὰ ἐκεῖθεν ἀνθίστασθαι τῇ ἱερᾷ ἀληθείᾳ δοκοῦντα δεικνύναι οἷα ἐχρῆν δείκνυσθαι, καὶ ὡς ἂν μὴ κομπάζειν δύναιντο, ἢ ὡς δι' ἀμαθίαν τῶν ἄλλων ἐπὶ τὰ βελτίω ἰεμένων, τῶν τῷ ὄντι φιλοσόφων καταγελᾷν, οἱ τῇ τῶν φαινομένων γνώσει προσηλωμένοι. Πάντες δ' ὁμοῦ τὴν ἀληθινὴν σοφίαν τοιαύτῃ τε εὗρον σπουδῇ, οὐκ ἄνευ τῆς ἐξ αὐτῆς ὁδηγίας, καὶ εὑρημένην ἐτίμησαν οὕτω, ὥσθ' ὑπὲρ αὐτῆς καὶ τῶν αὐτῆς νόμων θνήσκειν τε καὶ διὰ βίου τεθνηκέναι, ὃ δὴ τοῦ κατ' ἐκείνην βεβιωκέναι ἀκριβῶς, πολὺ μεῖζόν ἐστι. Τοιοῦτοι δὲ γεγονότες, οὐ μελέτην λέγοντες μόνον θανάτου εἶναι φιλοσοφίαν, ἣ μελετῶντες μὲν ἐν τῇ θανάτου τε καὶ τῶν θανάτου πολὺ χειρόνων κακῶν τοῦ σώματος ἀποσυλᾷ, ἐν δὲ τῷ ἔργῳ ἀφηνιάζοντες, ἀλλ' ἔργοις μᾶλλον ἢ λόγοις ἐπιδεδειχότες ἅπαντες τὴν προαίρεσιν, οὐ καθ' ἕνα αὐτοί τε οὕτως ἐφιλοσόφουν καὶ τοὺς ἄλλους ὁμοίους ἐποίουν, ἀλλὰ καθ' ὅσους παγχάλεπόν ἐστιν ἀριθμεῖν· πόλεις γὰρ ὅλαι καὶ ὅλα ἔθνη τὴν ὑψηλοτάτην αἵρεσιν ἠσπάζοντό τε ταύτην καὶ ἤσκουν, οὐδ' ἐν χρόνῳ πολλῷ, ἀλλ' αὐτίκα δὴ ἀποσκευαζόμενοι πᾶν κώλυμα, καὶ τῶν ἐν τῷ βίῳ τῷδε θελγήτρων, ὡς μηδ' ὑπ' αὐτῶν ποτε τερφθέντες, ἐπιλελησμένοι εὐθὺς τῷ τῆς ἀληθοῦς ζωῆς πόματι. Καὶ οἶμαι μὴ μόνον τῶν ἐκ τοῦ παντὸς τοῦ χρόνου ἀνθρώπων, ἀλλὰ καὶ πάντων τῶν ἐξ ἀϊδίου γ' ἂν γεγενημένων, ὡς Ἕλληνες ὑπελάμβανον, μὴ φιλοσοφῆσαι τοσούτους καὶ ἔργῳ τὴν προαίρεσιν ἐπιδείξασθαι, ὅσους ἡ ἐν πόλει μιᾷ τῶν ἁπανταχοῦ ἀρχῶν εἷς ἐν ἡμέρᾳ μιᾷ φιλοσοφήσαντας εἶδεν (οὐδὲν ἰσχυσάσης αὐτῷ τῆς μαγειρικῆς ὠμότητος, ἣ τὰ ἐκείνων σώματα μετιὼν, ἤλπισεν ἀποστρέψειν τοῦ ὀρθοῦ φρονήματος καὶ τῆς ἐπ' αὐτῷ βεβαίου ἐλπίδος τοὺς μακαρίους), ἢ ἐν τῶν τῆς ἀρετῆς ἀσκητηρίων ἑνὶ τῷ πανταχοῦ μιᾶς γενεᾶς χρόνῳ, καὶ ὑφ' ἑνί που, εἰ τύχοι, καθηγεμόνι, πεφιλοσοφηκότας γνησίως, τῇ τῶν μακαρίων ἐν οὐρανοῖς προσήνεγκε πολιτείᾳ. Τὸ δὲ πλῆθος ἅπαν τῶν ὑπὸ τῆς ἀληθείας κατασχεθέντων, ἐξότου δι' ἑαυτῆς ἐβουλήθη τοὺς ἀνθρώπους ἐπιστρέψαι πρὸς ἑαυτὴν, τίς ἂν οὐκ ἐπὶ νοῦν ἐκπλαγείη λαβών; Τοσοῦτον ἀπέχει τῇ κατὰ Χριστὸν φιλοσοφίᾳ ἡ τῶν τινος ἀνθρώπων παραβληθῆναι καὶ πάντων ὁμοῦ τῷ τε πλήθει τῶν βελτιουμένων καὶ τῷ τάχει τῆς βελτιώσεως, ὥστε καὶ κινδυνεῦσαι ἂν μάτην γεγονέναι τουτονὶ τὸν κόσμον (οὗ τῆς συστάσεως τέλος τὸν ἄνθρωπον καὶ τῶν ἔξω πολλοὶ τιθεῖσιν εἶναι, καὶ εἰ μὴ τοῦ σύμπαντος, ἀλλ' ὅσα τῶν γινομένων εἰσὶν ἀρχαὶ τῶν ἐν τούτῳ), καὶ τὰς τῶν ἀνθρώπων γενέσεις τε καὶ ζωὰς καὶ ἐφίσεις εἰκῇ τῷ παντὶ χρόνῳ προστίθεσθαι, εἰ μὴ τὴν τῆς ὑπερφυοῦς ἀληθείας φανέρωσιν οὕτως ὁ Θεὸς ᾠκονόμει, ὥστε καὶ ἀποκαλυφθείσης, καὶ μενούσης ἔτι τοῖς ἀμβλυτέροις κεκαλυμμένης, καὶ τῷ μὲν ὑπερφυεῖ τῶν μαθημάτων ἀφιστάνειν δοκούσης οὐχ ἧττον ἢ τῆς διδασκολίας τῷ τρόπῳ, διὰ δὲ τῶν παραδόξως αὖθις ἐνεργουμένων πάντας προσαγομένης, τοσοῦτον ἐσμὸν ἀνθρώπων ἀθρόον τῇ τῆς ἀληθείας ἐπιγνώσει, καὶ τῇ δι' αὐτὴν ἀρετῇ συμπάσῃ, πρὸς τὴν τοῦ θείου κοινωνίαν εὐμεθόδως ἐλθεῖν. Οὔκουν οὐδὲ περιὼφθη, μὴ ἐπὶ τὸ ἀναγκαιότατόν τε καὶ βέλτιστον τά τε ἀνθρώπεια ἐλθεῖν αὖ πράγματα τέλος, καὶ ὅσα αὐτῶν ἕνεκα τῶν ἀνθρώπων ἔστι καὶ γίνεται, οὗ (2) δὴ καὶ τὴν ἀρχὴν ἡ τοῦ πεποιηκότος ἔτεινε βούλησις, ὡς εἰκὸς ἦν. Διὸ δὴ καὶ τοῦ κατὰ Χριστὸν ἀνεψγμένου διδασκαλείου, ἐπεὶ ἔδει ποτὲ τοῦτ' ἀνοίγνυσθαι, ὑπεχώρουν μὲν οἱ φυσικοὶ καὶ γεώδεις περὶ τῶν ὑπερφυῶν στοχασμοὶ, τὰ δ' ἱερὰ τοῖς ἀνθρώποις ἐνεφυτεύετο δόγματα, καὶ ταῦτα τοῖς ἔργοις τῶν δοξαζόντων σύμφωνα ἦν. Καὶ ἡ μὲν τῶν δαιμόνων οὐκέτ' ἦν ἰσχὺς οὐδαμοῦ· τὸ δὲ τοῦ ταύτην καταλύσαντος ὄνομα Ἰησοῦ κατ' αὐτῶν τε καὶ τῶν ἀῤῥωστημάτων ἐκράτει πάντων τῆς φύσεως, καὶ ἡ ἐνδυναστεύουσα τοῖς ἀνθρώποις ἐκ μακροῦ φιλία τῶν προσύλων τούτων ἐλύετο, καὶ ἡ πρὸς τὸν οὐρανὸν φέρουσα τῶν ἐπὶ τὸν Θεὸν ἀνιόντων ἔγεμεν ὁσημέραι, μυρίων ἐξ ἁπάσης τῆς οἰκουμένης, τῶν μὲν ἀπὸ τῆς ὑπὲρ Χριστοῦ πάλης, τῶν δ' ἀπὸ τῆς ἐμπόνου τῶν ἐκείνου νόμων μελέτης ἀναλυόντων μετὰ πολλῶν τῆς μελλούσης εὐζωΐας καὶ φανερῶν ἐλπίδων καὶ προοιμίων. Καὶ ἠλέγχετο μὲν τὸ μαχόμενον ἅπαν τῇ βελτίστῃ ταύτῃ καινοτομίᾳ μάτην ἐπιχειροῦν· ἡ δὲ τοῦ Χριστοῦ δύναμις ἐν τῇ φυσικῇ τῶν αὐτῷ πιστευόντων ἀσθενείᾳ θαυμασίως ἐτελειοῦτο. Καὶ ἡ μὲν φύσις τοῖς τέρασιν ἐξηλέγ-

(1) Cod. ἐβίων.
(2) An οἳ potius, ob ἔτεινε quod sequitur ? Allx.

χετο δυνάμει μείζονι νικωμένη· ὁ δὲ φυσικὸς ὑπεχώρει λόγος τοῖς κατὰ φύσιν ἀπιθάνοις, πειστικῆς τινος χάριτος θεόθεν συνεγχεομένης εἰς τὰς τῶν ἀνθρώπων ψυχάς.

Τοιούτων αἱ ἱεραὶ βίβλοι διηγημάτων καὶ δογμάτων ἀνάμεστοι, μηδὲ τῆς ἐν τῷ λόγῳ χάριτος ἀμοιροῦσαι τούτων αἱ πλείους, καὶ τὸ μὲν δηλητηριῶδες Ἀριστοτέλους καὶ Πλάτωνος διαπεφευγυῖαι τὸ δὲ τέρπον ἀνεπαχθῶς τε καὶ ἀκινδύνως τοῖς μεταχειρίζουσιν οὐχ ἧττον ἐκείνων ἀποδιδοῦσαι. Ὧν τοῖς Πατράσιν ὥσπερ τισὶ καὶ ὑποδείγμασι χρώμεθα, τῶν ἀγαθῶν ἐκείνων τῆς οἰκονομίας ἐγγυτέρω γεγενημένοι· ὅτε δὴ καὶ πιθανότητος μέν τι προσῆν ἔτι τοῖς Πλάτωνος μύθοις, εἰ δὲ βούλει, καὶ τῶν αὐτοῦ πάντων ὁμιλητῶν μετ' Ἀριστοτέλους, ἐκ τῆς σαπρᾶς ἐκείνης καὶ σκιώδους σεμνότητος· αὐτοὶ δὲ τῷ φωτὶ τῆς κατὰ Χριστὸν ἀληθείας, ὑπερνικῶντι καὶ σβεννύντι τὴν δεισιδαιμονίαν ἐκείνην καὶ ὑπερορίζοντι, μὴ ταῖς ἐκ τῶν πραγμάτων μόνον ἀνάγκαις καὶ ταῖς ἄνωθεν κατοχαῖς, ἀλλὰ καὶ λογισμῶν κρίσει δεῖν ᾠοντο σώζεσθαι τεθειμένοι. Καὶ ὡς παραδείγμασιν οὖν αὐτοῖς κεχρημένοι καὶ κανόσιν ἀδιαψεύστοις τῶν σωφρονεστέρων περὶ τῆς ἡμετέρας εὐζωΐας ἐλπίδων, οὐκ ἂν Ἀριστοτέλους καὶ Πλάτωνος ὑπεραλγοῖμεν ὑπ' ἀλλήλων ἀναιρουμένων· χαίροιμεν δ' ἂν καὶ τῆς ἐς τὰ κρείττω τῶν μαθημάτων ἀμβλύτητος σφίσιν ὑπὸ τῶν ἐκ Χριστοῦ φωτισθέντων ἐλεγχομένης. Καίτοι καὶ συγγνώμην αὐτοῖς τινα νεμόντων ἀκήκοα λόγων ἱερωτέρων ἐγώ. Ἀλλ' εἴ τινες νῦν τὰ σαπρὰ Ἑλλήνων ἀνανεοῖεν ληρήματα, τούτους φασὶν ἐν ἀσυγγνώστῳ καλινδεῖσθαι τῷ ψεύδει. Μετὰ γὰρ τὴν λαμπρὰν τῆς μοναρχίας ἀπόδειξιν, ἣν ἐκεῖνοι μὲν, ταῖς ἐπεισαγωγαῖς τῶν ψευδωνύμων ἀναιροῦντες θεῶν, τοῖς λόγοις μόνοις ἐτίμων, ὁ δὲ τοῦ Θεοῦ συμφυὴς καὶ οὐσιώδης Λόγος, μετὰ τῶν ἀνθρώπων γεγενημένος, ἀναμφισβητήτως καὶ καθαρῶς πιστεύειν ἐδίδαξε, ποῦ νῦν ὅσιον αὖθις θεοποιεῖν, καὶ τὴν ἀλόγιστον ἐκείνην θεοποιΐαν ἀναζωπυρεῖν ἀπεσβεσμένην πειρᾶσθαι, καὶ θεῶν τινων ἀναγνωρισμοὺς ἐκ φιλοσοφίας (1) ὑπὲρ τὴν ποιητῶν διάστροφον γνώμην, καὶ ἀγιστείας εὐσταλεῖς, ὡς αὐτοί φασι, καὶ νόμους ἠθῶν καὶ διαίτης ὑφ' ἡγεμόνι Ζωροάστρῃ καὶ Πλάτωνι καὶ τοῖς ἐκ στοᾶς, καὶ τοιαύτην τινὰ λόγων ὁμίχλην αὖθις συνάγειν; ἧς ταῖς τῆς ἱερᾶς διδασκαλίας ἀκτῖσι θείως ἐσκεδασμένης, πρὸς τὰς τῆς ὑπερφυοῦς ἀληθείας αὐγὰς ἡ τῶν ἀνθρώπων φύσις ἀνέβλεψεν. Ἐκεῖνα μὲν οὖν εἰ συμβαίη μοι ἐς χεῖρας πάντα ἐλθεῖν, φλυαρίαν ὄντα δείξω μακρὰν, καὶ πολλοὶ δείξουσιν· ἀλλὰ γένοιτο κἀμοὶ τοῦτον ἐνστήσασθαι τὸν ἀγῶνα, καὶ μὴ πῦρ, ἀλλὰ λόγους μᾶλλον ἀληθείας ἐπαφεῖναι τοῖς γράμμασιν, ὡς τοῖς γράψασι μᾶλλον πρέποντος τοῦ πυρός. Εἰ δ' ἄλλό τι περὶ ἡμῶν δοκοίη τῷ κρείττονι, ἥ γε πρόθεσις πρὸς εὐσέβειαν ἐξαρκέσει. Ὅτι δὲ μὴ συκοφαντῶ τετολμηκέναι τὰ τοιαῦτά τινας, καὶ τινας ἄλλους χαίρειν αὐτοῖς, νῦν μὲν αὐτοί τε συνοίδασι καὶ πολλοὶ μετ' αὐτῶν· δείξει δὲ καὶ πᾶσιν ὁ χρόνος ὁ φανερῶν τὰ τέως κρυπτόμενα.

Ἀλλὰ σύ γε οὐ σμικρῶς ἡμᾶς εὐφρανας, τὸν μὲν τῶν Ἑλλήνων ἐκθεὶς λῆρον (2), οὐδ' ἴσως παρέργως, ὡς ἂν, εἴ τινες αὐτὸν ἀγνοοῦντες ὑπ' ἐνίων ἐξαπατῷντο, μάθοιέν τε καὶ καταγνοῖεν· ἀπὸ τῆς αὐτῆς δὲ ὁρμωμένους, ὡς ἔφησθα, καὶ Λατίνους αὐτοῖς ὑποθέσεως ἐν τῷ παρ' αὐτῶν πεμφθέντι σοι γράμματι, δείξας ἢ μάτην Ἑλλήνων κατηγορεῖν, ἢ τοῖς αὐτοῖς ἐνεσχημένους καὶ σφᾶς ἀγνοεῖν. Οὐ γὰρ ἔτι λοιπὸν χώρα τοῖς τὴν σὴν ψυχὴν διαβάλλουσι, καὶ φρονεῖν σε ἰσχυριζομένοις, ὧν δὴ καὶ προδήλως φαίνῃ καταφρονῶν· οὐδὲ πιστεύσει τις αὐτοῖς τῶν εἰδότων ταῦτα δὴ τὰ πρὸς Λατίνους σοι γεγραμμένα. Καὶ ἔγωγε, νὴ τὴν ἱερὰν ἀλήθειαν, ἐδόκουν δὴ καὶ Πλάτωνος ἀκούειν αὐτοῦ καὶ Ἀριστοτέλους πολλά τε μεμφομένων καὶ βοώντων ὑπὸ σοῦ τὰ μέγιστα ἠδικῆσθαι, μαθόντος μὲν αὐτῶν τὰ σεμνὰ, ἔπειτα ἐξορχησαμένου· ὃ δὴ καὶ τοὺς ὑπὸ τῆς ἀληθείας πεφωτισμένους πᾶσιν ἡμῖν ἐμέμφαντ' ἄν, εἰ παρῆσαν. Μᾶλλον δ' οἱ μὲν κἂν ἐπῄνεσαν ἡμᾶς οὕτω τἀκείνων φαυλίζοντας, πείρᾳ μεμαθηκότες, ὡς οὐδὲν αὐτοὺς ὤνησεν ἡ πρὸς τὴν θείαν φύσιν παρανομία, οὐδὲ τῆς θεοποιΐας εὐτυχῶς ἐκείνης ἀπήλαξαν· οἱ δὲ ζηλωταὶ νῦν ἐκείνων, ὑπ' ἀπειρίας, ἐγένοντ' ἂν σοὶ καὶ πολλῷ χαλεπώτεροι, εἴπερ οἷόν τ' ἦν, ἀπορρίψαντας τὴν ὡς ἐπὶ φαυλοτάτοις πάντως αἰδῶ, παῤῥησίᾳ σοῦ καταβοᾷν, ὡς ἠδικηκότος. Οὐ γὰρ μικρὸν ἡ σὴ ψῆφος δύναται, πρὸς μὲν τὴν τῆς ἀληθείας κατασκευὴν αὐτῆς τῆς ἀληθείας καὶ τῶν ταύτης ἔργων ἀρκούντων, καὶ τοῦ πλήθους τῶν ἐκείνῃ μετὰ λόγου τε καὶ ἀρετῆς τεθειμένων, ὧν εἴ τις ὑπερορῶν ἑαυτῷ πρὸ ἐκείνων θέλει πιστεύειν, τὰ τῶν μαινομένων ὄγε τοιοῦτος δικαίως ἂν νομίζοιτο πάσχειν· τοῦ δὲ τὸ ψεῦδος, ἀναβιώσκεσθαι τολμῶν, συμπατεῖσθαί τε καὶ συμπνίγεσθαι, δι' ἐκείνου μᾶλιστά γε συμβησομένου καλῶς, ὃν οὐδὲν λέληθεν, ἐφ' οἷς ἐκεῖνο πεφρονηκὸς ἀθαδίζεται. Ἀλλὰ σύ γε, ὥσπερ ἐπισκηπτόμενος, τιμᾷν μὲν φῄσεις αὐτοὺς καὶ Ἀριστοτέλη, ἐν οἷς ἂν δέοι, καὶ Πλάτωνα, καταγινώσκειν δ' αὐτῶν, οὗ τι καὶ παρὰ νόμον φθέγγονται· τοῦτο δ' ἐν τοῖς καιρίοις ἐάλωσαν πεπονθότες. Ἢ πῶς ἂν ἔχοι λόγον, ἢ τὴν οὐσίαν τοῦ Θεοῦ μὴ διακρίνειν τῆς ἐνεργείας (3) οὐδ' ὁπωσοῦν ἀληθῶς, ἐξ αὐτῆς τοῦ πράγματος διενηνοχότος τῆς φύσεως, καὶ τὸ τί ἦν εἶναι διάφορον ἔχοντος καὶ ἐν αὐτῷ τῷ Θεῷ, εἴ γε μέλλοι τις μὴ εἰκῇ ταῦτα φορεῖν τὰ ὀνόματα, καὶ μήτε τῆς, ὡς ἂν ἐκεῖνοι φαῖεν, ἐνότητος αὐτῶν, μήτε τῆς διακρίσεως εἰς οὐδὲν ἀπολαύειν· ἢ παῖδας μέν τινας τοῦ Θεοῦ λέγειν ἐκ τῆς οὐσίας αὐτοῦ προηγμένους, εἴπερ δὴ καὶ τῆς ἐνεργείας, τῆς αὐτῆς ἂν οὔσης τῇ φύσει καθάπαξ, εἶτα μὴ δεῖν τὸν Θεὸν ἀξιοῦν τοὺς αὐτοὺς τῇ φύσει, ἀλλ' ἑτέρας ἅπαντας οὐσίας καὶ πολὺ ὑποδεεστέρας προάγειν; Ἢ γὰρ

(1) Cfr. librorum de Legibus prœmium, pag. 2 et 4, quod Scholario jam tum, cum hæc scriberet, innotuisse mirum est, nisi alicujus a Plethonis secta transfugæ indicio. ALEX.

(2) Confer. quæ hic optime discutiuntur, ipsa Plethonis verba. ALEX.

(3) Hæc et seqq. ex ipso Plethone.

χρῆν μηδένα ἐκ τῆς οὐσίας τοῦ Θεοῦ, ταυτὸν δ' εἰπεῖν τῆς ἐνεργείας κατ' αὐτοὺς, προαχθῆναι λέγειν, ἀλλ' ἄπαιδα εἶναι καθάπαξ τὸν Θεὸν καὶ ἄγονον. Καίτοι οὕτω αὐτὸς μὲν μάλιστα ἂν εἷς ἦν καὶ ἓν ἄτομον, ὡς φασιν, ὃ πολὺ βέλτιον ἂν εἴη τοῦ ἐς πολλὰ τὴν θεότητα κατατέμνειν· ἡ δὲ κτίσις οὐκ ἂν ἐγίνετο ἐκ Θεοῦ, ἀλλ' ἡ ἐκ ταυτομάτου γ' ἂν ἦν, ἢ οὐδ' ἂν ἦν ὅλως· οὐχ ὅτι μόνον οὐκ ἂν οἷόν τ' ἦν, μὴ ὄντων τῶν συνδημιουργούντων τε αὐτὴν καὶ συνεπιτροπευόντων παίδων ἐκείνου (δέοι γὰρ ἂν αὐτοῖς καὶ ἄμφω ὑπάρχειν), ἀλλὰ τῷ καὶ τὴν ἐνέργειαν αὐτοῦ ἄγονον εἶναι, τὴν αὐτὴν οὖσαν τῇ οὐσίᾳ καθάπαξ. Ἢ τοίνυν οὕτω νομοθετεῖν αὐτοὺς ἔδει, ἢ ἐκ τῆς οὐσίας τοῦ Θεοῦ λέγοντας γεγεννῆσθαι παῖδάς τινας καὶ πολλούς γε, καὶ τῆς αὐτῆς οὐσίας ἀξιοῦν εἶναι, καὶ πάντας ὁμοουσίους, καὶ ἴσον δυναμένους ἁπλῶς τε κἂν τῷ παντὶ τῷδε καὶ τοῖς αὐτοῦ μέρεσι. Καίτοι οὕτω ἢ αὐτοὺς ἔδει μόνον αὖ εἶναι, καὶ τῶν δημιουργημάτων οὐδέν· οὐ γὰρ ἂν ἐμελλεν ὁ Θεὸς δήπου ἕτερ' ἅττα προάγειν τῇ ἐνεργείᾳ, ἵνα μὴ κἀκεῖνα θεοὶ εἶεν, τῇ αὐτῇ δήπου προηγμένα ἀρχῇ, τῆς αὐτῆς ἂν οὔσης ἐνεργείας τε καὶ οὐσίας καθάπαξ· ἢ καὶ τὰ ὄντα πάντα θεοὺς εἶναι, εἴθ' ὁμοίως ἐκ Θεοῦ τῇ οὐσίᾳ γεγενημένα, εἴτε καὶ ἐκ τῶν τοῦ Θεοῦ παίδων, ὡς αὐτοὶ ἐξ ἐκείνου τυγχάνουσι προηγμένοι. Οὐδεὶς γὰρ ἂν λόγος δοθείη ἀνθρώπινος τοῦ ἢ τὸν Θεὸν ἐκ τῆς οὐσίας μὲν αὐτοῦ προάγειν, εἶτουν τῆς ἐνεργείας, πάντα τὰ ὄντα, μὴ εἶναι δὲ πάντα θεούς, εἴπερ ἕνια αὐτῶν θεοί εἰσι διὰ τοῦτ' αὐτὸ τὸ ἐκ τῆς οὐσίας αὐτοῦ προελθεῖν, ἢ τοὺς Θεοῦ παῖδας, ἐκ τῆς οὐσίας αὐτοῦ προεληλυθότας, μὴ θεοὺς προάγειν, ἅτ' ἂν ἐκ τῆς σφῶν οὐσίας προάγοιεν. Τὸ δ' ἐκ τῆς οὐσίας τοῦ Θεοῦ προελθεῖν τινα μὴ τὴν οὐσίαν ἔχοντα τοῦ Θεοῦ, ἐπίσης ψαῦλόν ἐστι τῷ καὶ πάντα τὰ ἐκ τοῦ Θεοῦ προεληλυθότα ὁπωσοῦν τῆς αὐτοῦ μετειληφέναι οὐσίας. Ὡς γὰρ ἐκεῖ ἴσα τῷ Θεῷ ἔσται ἃ δεῖ αὐτοῦ πάμπολυ ἕτερα εἶναι καὶ μηδὲ ξυμβεβλῆσθαι ἄξια, οὕτω κἀνταῦθα ἔσται ἀνόμοια ἃ δέοι γ' ἂν μηδὲν διενηνοχέναι. Εἰ δὲ καὶ γόνιμος ὅλως ὢν καὶ παραγωγὸς πλειόνων, τὰ μὲν ἕτερα αὐτοῦ ὑποστήσει (τὸ δ' ὅπως ἐκ τῆς οὐσίας αὐτοῦ γινόμενα τοιαῦτ' ἂν εἴη, ἠπόρητοι πρότερον), ἐν ἑαυτῷ δὲ καὶ τῇ οἰκείᾳ ἑνότητι ἄνευ τινὸς προέδου μενεῖ, καὶ εἷς ἔσται, ὥσπερ ἓν ἁπλῶς ἄτομον, καὶ ὥσπερ τις μονώτης ὡς ἀληθῶς, πῶς οὐ καὶ πολὺ βελτίω αὐτοῦ ἔσται τὰ ἔργα; Τούτων γὰρ ἕνια οὐ κατ' ἐνέργειαν μόνον, ἀλλὰ δὴ καὶ τῇ οὐσίᾳ τινῶν αἴτια γίνονται, καὶ οὐ τέχνῃ μόνον ποιοῦσιν, ἀλλὰ καὶ φύσει προάγουσιν. Οἷς πολύ γ' ἂν εἴη βέλτιον τοῦ εἴδους μεταδοῦναι τῆς φύσεως καὶ ἐλάττοσιν, ἢ ὁμοια τῇ βουλήσει πάμπολλα παραγαγεῖν, οὐκ ἐπὶ τῇ τοῦ εἴδους διαμονῇ μόνον, ἀλλὰ καὶ ἁπλῶς. Καὶ βέλτιον μὲν ἔχειν τῶν κατὰ φύσιν μόνον προαγόντων τὰ πρὸς τούτῳ ἔτι καὶ κατὰ τέχνην ποιοῦντα, πᾶς τις ἂν φαίη. Εἰ δ' οἷόν τ' ἦν καὶ ἄλλως διελομένους ὡς ἐν ὑποθέσει σκοπεῖν, τῶν καὶ φύσει καὶ τέχνῃ γινομένων αἰτίων τινῶν ἧττον ἂν ἐδίω εὐδαιμόνως; τὰ τέχνῃ μόνον ποιοῦντα. Καὶ νῦν ἐν ἀνθρώποις πολλῷ τις ἥδιον βιοῖ καὶ εὐδαιμονέστερον ἐκ τοῦ δύο καὶ τρεῖς παῖδας γεγεννηκέναι τῇ φύσει ὁμοίους, ἢ ἐκ τοῦ πολλάκις τοσαύτας κλίνας πεποιηκέναι, ἢ ὅ τι ἂν τις φαίη τῶν τέχνῃ γινομένων, ἃ τῇ μὲν φύσει ἀνόμοια, τῷ δὲ προαιρετῷ ἔνδον εἶδει ἀμηγέπη ὡμοιωμένα. Καὶ εἰ μὴ αἱ διὰ τὴν παιδοτροφίαν φροντίδες, τῷ θεωρεῖν προσιστάμεναι, ἀγόνους βούλεσθαι εἶναι τοὺς πάνυ τοι ἐρῶντας τοῦ θεωρεῖν ἔπειθον, ἅμα δὲ καὶ ὅσα ἄλλα συνέζευκται τῇ παιδοκομίᾳ πρότερόν τε καὶ ὕστερον δυσχερῆ, κἂν ἀθλιώτατος ἦν ὁ τοῦτο φεύγων διὰ τὸ οἴεσθαι ἀρκεῖν ἂν αὐτῷ πρὸς εὐδαιμονίαν τὸ προαγαγεῖν τι τῶν τεχνητῶν, καὶ ἀληθοῦς ἡδονῆς ἀνεπίστροφος, ὅπου γε καὶ ταῦτα ἕνεκά τε τοῦ ἀνθρώπου ἴσμεν γινόμενα, καὶ διὰ τὴν χρείαν τιμώμενα, οὐ δι' ἑαυτά. Ὅσῳ τοίνυν βελτίων ἄνθρωπος κλίνης ἢ σκίμποδος, τοσούτῳ βέλτιον ἂν εἴη ἄνθρωπον γεννᾶν ἢ τι ἐκείνων δημιουργεῖν. Καὶ ὅσῳ τιμιώτερον, οὗ ἕνεκά τι παρῆκται, τούτου, ἢ αὖ τοῦ παρηγμένου ἐκείνου ἕνεκα αἴτιον εἶναι, τοσούτῳ καὶ ἄνθρωπον γεννᾶν ἢ οἰκίαν ποιεῖν ἀνθρώπῳ πέφυκε τιμιώτερον, εἴ τις ἔμελλεν αὐτὰ τῆς ἀληθοῦς ἀξίας, ἀλλὰ μὴ χρείας τινὸς ὠνεῖσθαί τε καὶ ἀντικαταλλάττεσθαι. Ἀλλ' ἐκεῖνοι μηδέν τι βουλόμενοι προάγειν ἐξ αὐτοῦ τὸν Θεὸν καθ' ὁμοιότητα φύσεως, ἀλλὰ μόνον τὰ ἕτερα ἑαυτοῦ, ἄγονον ἀτεχνῶς αὐτὸν ἀποφαίνουσι καὶ τῷ καλλίστῳ τῆς προαγωγῆς χωλεύοντα μέρει· οἷς δὴ καὶ τὸ εὐδαιμον αὐτοῦ καὶ μακάριον συνεξαμαυροῦσι. Πῶς γὰρ ἂν εἴη μακαριότητος ἐν ἀκρότητι τεταγμένος, εἰ μὴ αὐτάρκη ζωὴν ἔχοι, ἐν αὐτῷ τε καὶ πρὸς αὐτὸν καὶ αὐτοῦ ἕνεκα ἐνεργῶν, ἀλλὰ τῶν πολὺ χειρόνων αὐτοῦ δέοιτο, εἴτε ἔκ τινος χρόνου γεγενημένων, ὡς ὁ ἱερὸς διδάσκει λόγος, εἴτε καὶ ἐκ τοῦ παντὸς αἰῶνος, ὡς ἐκεῖνοι ἐβούλοντο, ὡς ἂν αὐτά τε καὶ περὶ αὐτὰ ἐνεργῶν, καὶ πρὸς ἑαυτὸν ταῦτ' ἐπιστρέφων, οὕτως ἐνεργὸν ἔχοι καὶ τὴν οὐσίαν, καὶ τῶν χειρόνων αὐτοῦ ἠρτημένον εἴη τὸ μακάριον αὐτῷ καὶ ἡ τελειότης; Δεῖ γὰρ τὸν Θεὸν τοιούτων ὄντων τῶν αὐτοῦ δημιουργημάτων πρότερον εἶναι τῇ φύσει, ὡς γοῦν οὗ τι ἴχνος ἐστὶ, τοῦτο τοῦ ἴχνους πρότερον εἶναι δέον τῇ φύσει· τοῦ γὰρ Θεοῦ ὥσπερ ἴχνη τὰ ὄντα λέγουσιν. Ἐν δὴ αὐτῷ τῷ προτέρῳ ἀνοήτόν τε ἔσται τὸ θεῖον καὶ ἀνέραστον, κατ' αὐτοὺς, ὅλως δ' εἰπεῖν, οὐδ' ὁπωστιοῦν ἐνεργόν. Οὐ γὰρ ἀρκεῖ τὸ ὡς αὐτίκα μάλα ἐσόμενα προγινώσκειν τὰ ὄντα, οὔθ' ἡ τοῦ κόσμου ἰδέα πρὸ τοῦ κόσμου γεγενημένη· καὶ ταύτην γὰρ τοῦ Θεοῦ ὑποδεεστέραν τιθεῖσιν οἱ λέγοντες, ἅτε μηδὲ ταύτης ἐκ τῆς ἀνάγκης γεγενημένης τῆς φύσεως. Ἤτοι νῦν μόνος ὁ Θεὸς ἑαυτὸν οὐ νοήσει, νοῦς ὤν, ἢ τῷ τὰ ἄλλα νοεῖν· ὧν τί γένοιτ' ἂν ἀτοπώτερον, εἰ δὴ ταῦτα μὲν ἀνακόλουθα, ὁ δὲ Θεός ὄν ἐστι καὶ ἀγαθόν τε καὶ ἀληθὲς, ἐν τῷ ἐσχάτῳ καὶ ἀκραιφνεῖ τῆς τε οὐσίας καὶ ἀγαθότητος καὶ ἀληθείας; ταῦτα γὰρ καὶ αὐτῶν Ἑλλήνων οἱ δοκιμώτεροι ἠξίωσαν ἀντιστρέφειν. Καὶ ὁ ἱερὸς δὲ λόγος αὐτὸν μὲν εἶναι τὸν Θεὸν τὴν ἀλήθειαν ἀξιοῖ, οὐδένα δὲ ἀγαθὸν, εἰ μὴ ἕνα τὸν Θεὸν, εἶναι· καὶ αὐτὸν ὑπάρχειν τὰ ὄντα γε καὶ τὸ ὄν, καὶ νοῦν δὲ τὸν ἄριστόν τε καὶ φρονιμώτατον, οὐχ ἡμεῖς μόνον, ἀλλὰ καὶ Ἑλλήνων οἱ αὐτοὶ οὗτοι λέγουσιν. Ἑαυτῷ μὲν

ἄρα καὶ οὐδενὸς ἄλλου ἕνεκα ὁ Θεὸς ἂν εἴη, ὃν τυγ- A
χάνον τὸ πρῶτον καὶ μάλιστά γε καὶ κυριώτατον.
Νοῦς δὲ ὢν, νοήσειεν ἂν δήπου καὶ ἑαυτόν, εἴ γε δεῖ
τἀληθὲς μὲν νοεῖν αὐτὸν, αὐτὸς δέ ἐστι τοῦτο. Καὶ
ἐρασθείη δ' ἂν τἀγαθοῦ· οὐ γὰρ δὴ μόνος ὁ ἀγαθὸς
ἔσται μὴ χαίρων τῷ ἀγαθῷ. Ἐρασθήσεται δ' ἑαυ-
τοῦ, εἴ γε δεῖ μὲν αὐτὸν τῷ ἀρίστῳ χαίρειν καὶ
ἀπολαύειν αὐτοῦ, αὐτὸς δέ ἐστι τἀγαθόν. Αὐτὸ
μὲν δὴ τὸ νοητὸν, ᾧ νοεῖ ἑαυτὸν, καὶ ἡ νόησις, ὁ
θεῖος πέφηνε Λόγος, ὁμοιότης αὐτοῦ καὶ ἰδέα τις
σύμφυτος ὢν, καὶ ἀληθειά γε αὐτὴ, οὐδ' ἐν τῷ
Θεῷ μόνον καὶ Θεὸς αὐτὸς, ἀλλὰ δὴ καὶ πρὸς τὸν
Θεὸν, ὡς τὰ λόγια βούλεται. Αὐτὸς δέ γε ὁ ἔρως,
ᾧ πρὸς ἑαυτὸν ἀντέστραπται ὁ Θεὸς, καὶ ἐρᾷ ἑαυ-
τοῦ τἀγαθοῦ ὄντος, τὸ θεῖον πέφηνε Πνεῦμα, ἀγαθὸν
ὄν, καὶ ἅγιον, καὶ ἀγαθότης αὐτὴ, καὶ ἁγιότης B
αὐτὴ, καὶ ἁγιασμὸς αὐτὸς κατὰ φύσιν. Καὶ οὕτως ἐν
ἑαυτῷ τρισσῶς ὑφέστηκεν ὁ Θεὸς, καὶ τρεῖς ὑποστά-
σεις εἰσὶν ἐν αὐτῷ, ἐν ἄκρᾳ ἑνότητι φύσεως. Οὐ γὰρ
δήπου τὸν θεῖον Λόγον, ὅς γε τῶν θείων νοημάτων
ἄδυσσός ἐστι πάντων, δέοι γ' ἂν μὴ ὑφεστῶτα εἶναι
Θεόν. Ἡ πῶς ἂν ἦν ἰδέα μὲν ἀληθὴς τοῦ Θεοῦ, ὡς
φυσική τις ὁμοιότης αὐτοῦ, καὶ εἰκὼν, καὶ χαρα-
κτὴρ, καὶ ἀπαύγασμα ἔμφυτον, ἰδέα δ' αὖ, ὡς πα-
ράδειγμά τι ὑπερφυὲς, τῶν πρὸς τὴν ὁμοιότητα τῆς
τοῦ γεννῶντος βουλήσεως καὶ ἑαυτοῦ, Θεοῦ τῇ φύσει
ὄντος, πεποιημένων, εἰ μὴ ὑφεστήκει Θεὸς νοητὸς
πρὸς τὸν αὐτὸν μὲν τῇ φύσει Θεὸν, νοοῦντα μέντοι
γε σχετικῶς, ἀντιτεταγμένος; Ἦν δ' ἂγ καὶ χεῖρον
μὲν τοῦ θείου νοῦ τὸ σύμφυτον ἐκείνου καὶ ἴσον C
ὁμοίωμα, μὴ καὶ τῷ ὑφεστάναι ὡμοιωμένον· τῶν
δὲ τοῦ Θεοῦ ἔργων πολὺ ἐλάττων ἡ ἐν τῷ Θεῷ ἰδέα
τε καὶ ὁ λόγος, ὑφεστώτων ἐκείνων, αὐτὴ μὴ ὑφε-
στηκυῖα, καίτοι πᾶσιν ἀπειράκις ἀπείρως ὑπερκει-
μένη. Ἀλλὰ δὴ καὶ τοῦ ἐν ἡμῖν λόγου τί ἂν εἶχε
πλέον ὁ θεῖος, τό γε εἰς τὴν φύσιν ἥκον τοῦ λόγου,
φημὶ δὴ τὸ ἐν τῷ νῷ συνειλῆφθαι ὡς εἶδός τι τῷ τε
νοητῷ πως καὶ τῷ νοοῦντι ὡμοιωμένον; Οὐ γὰρ
ὑπόστασις χωριστὴ (1) ὁ ἐν ἡμῖν πέφυκε λόγος,
ἀλλ' ἐν ὑποστάσει μᾶλλόν ἐστι τῇ τοῦ νοῦ, ὑπαρκτι-
κῶς ἐκείνου διακρινόμενος· οὐ γὰρ ἁπλῶς ἀλλ' ἡ
νοητός ἐστι. Τὸν δὲ θεῖον ἄρα Λόγον ἐχρῆν τῇ μὲν
ταυτότητι τῆς Θεότητος διὰ τὴν ἁπλότητα τῆς θείας
φύσεως κεκοσμῆσθαι, τῇ δὲ τῆς ὑποστάσεως ἰδιότητι
τοῦ νενοηκότος ἄξιον εἶναι, καὶ ὡς ἐκεῖνος νοῶν ἐστιν D
ἀληθῶς, οὕτως αὐτὸν κυρίως εἶναι νοούμενον. Ὁ δ'
αὐτός ἐστι καὶ περὶ τοῦ θείου Πνεύματος λόγος, εἴ
τις βούλοιτο τὰ πρότερον εἰρημένα καὶ αὐτῷ ἐφαρ-
μόζειν κατὰ τὰ περὶ αὐτοῦ παραδεδομένα, τὴν ἐν
τοῖς προσώποις σώζων διαφοράν. Ἅμα δὲ καὶ τὸ μὴ
δεῖν ἐπὶ πλείους ἐκτείνεσθαι τὰς θείας ὑποστάσεις
δῆλόν ἐστι τοῖς εὐλόγως τε ἅμα καὶ εὐσεβῶς σκο-
πουμένοις. Οὐδὲν γὰρ ὅ τι τῶν περὶ Θεοῦ λεγομέ-
νων οὐκ ἂν εἰς τὰς ὑποστάσεις ταύτας ἀνενεχθείη
καλῶς· καὶ τὰς προόδους αὐτῶν, εἴτ' ἀγαθότης εἴη
γε τοῦτο, εἴτε σοφία, εἴτ' ἰσχὺς, εἴθ' ὅ τι ἂν φαίη
τις τῶν τοιούτων. Ὥστε μὴ δεῖν ἂν ὑπ' ἀνάγκης οὐ-
δεμιᾶς πλειόνων εἶναι τὴν ἐνδοτέραν καὶ φυσικὴν
γονιμότητα, ἣ ὅσας ἴσμεν τε καὶ πιστεύομεν ὑποσ-
άσεις, προακτικήν· μήτε καὶ τὸν θεῖον Λόγον γεννᾷν
δεῖν ἢ προβάλλειν, νοοῦντά γε καὶ αὐτὸν, καὶ ἐρῶν-
τα αὐτοῦ τε καὶ τοῦ γεγεννηκότος καὶ τοῦ συμφυοῦς
Πνεύματος· ἢ τὸ Πνεῦμα προβάλλειν τε καὶ γεννᾷν,
νοήσεως εἵνεκα καὶ ἀγάπης, ἃ δεῖ καὶ τῷδε προσεῖ-
ναι. Νοεῖ γὰρ τούτοιν ἑκάτερον καὶ ἐρᾷ, ᾗ προῖόν
ἐστιν ἐκ τοῦ Θεοῦ, καὶ οὑτωσὶ προῖόν, ἀλλ' οὐχ ὡς ὁ
Θεὸς καὶ Πατὴρ, οὗ προεληλύθατον ἄμφω, καὶ ᾗ
λαμβάνον ἐστὶ, καὶ μετ' ἄλλου λαμβάνον, οὐχ ὡσαύ-
τως γε τὸ αὐτὸ, ἀλλ' οὐχ ᾗ δυνάμενον ἑτέρῳ γε κοι-
νωνεῖν, ὃ ταυτὸν ἂν εἴη τῷ κοινωνεῖν ἐν τοῖς θείοις
τῷ Πατρὶ προσὸν ἐξ ἀνάγκης. Τῷ γὰρ προῆχθαι καὶ B
τρόπον οὐ τὸν αὐτὸν, εἰ καὶ συμφυῶς, τῇ μὲν τοῦ
προηχότος αὐτὰ, τῇ δ' ἀλλήλων, διακρίνεσθον μό-
νῳ (2). Καὶ τοίνυν τούτου μόνου φυλαττομένου, τὴν
ἐν τοῖς ἄλλοις δεῖ κοινωνίαν καὶ σκοπεῖν καὶ τιθέναι·
φυλάττοιτο δ' ἂν, ἀγόνου καὶ τῆς νοήσεως καὶ τῆς
ἀγάπης προσόντων, ὡς Θεῷ μὲν νοητῷ καὶ γεννητῷ
γε, τῷ Λόγῳ, Θεῷ δὲ ἐρωμένῳ καὶ προβαλλομένῳ,
τῷ Πνεύματι· ὡς εἶναι μὲν τὴν τούτων ἀρχὴν (3),
νοοῦντα αὐτὸν καὶ ἐρῶντα αὐτὸν, ὃ ταυτόν ἐστι τῷ
μόνον εἶναι καὶ νοοῦντα καὶ ἐρῶντα γονίμως (τὸ γὰρ
κυρίως ἴσον ἐκεῖ τῷ ἅπαξ δύνασθαι, πάντες ἠξίω-
σαν)· τοῖν δὲ νόησιν μὲν αὐτὴν εἶναι καὶ νοητὸν
αὐτὸ θάτερον, τὸν τοῦ Θεοῦ δήπου Λόγον, ἔρωτα
δ' αὐτὸν καὶ ἐρώμενον αὐτὸ τὸ Πνεῦμα εἶναι τὸ ἅγιον·
ὃ ταυτὸν ἂν εἴη τῷ νοεῖν ἀγόνως γε καὶ ἐρᾷν. Καὶ
ὥσπερ ὁ Θεὸς καὶ Πατὴρ νοεῖταί γε ὑπ' ἀμφοῖν
καὶ ἐρᾶται ὁμοίως, ἀλλ' οὐ προάγεται ὑπ' ἀμφοῖν,
οὕτω καὶ ταῦτα νοεῖν μὲν καὶ ἐρᾷν ἀλλήλων καὶ τοῦ
Πατρὸς, μηδὲ τὸν Πατέρα ἀντιπροάγειν, μήθ' ὑπ'
ἀλλήλων προάγεσθαι· τῇ δὲ θείᾳ φύσεως ἐν ἅπα-
σιν οὔσῃ τῆς νοουμένης τε καὶ ἀγαπωμένης, αὐτῆς
τε καὶ τοῦ νοεῖν ἢ ἐρᾷν ἑνὸς ὄντοιν ἐκεῖ πράγμα-
τος, εἰ καὶ τρόπον ἕτερον, ἀληθείᾳ καὶ πράγματι
καὶ μὴ κατ' ἐπίνοιαν μόνην, ὡς ἐλήρουν τινὲς,
ἐστὸν διενηνοχότε, ἵνα (4) τῇ φύσει νοῦν καὶ Θεὸν
ἕνα τὰς τρεῖς ὑποστάσεις εἶναί τε καὶ τοῖς εὖ φρο-
νοῦσι πιστεύεσθαι, τοῦ τὴν νόησιν ἐκεῖ καὶ τὸν ἔρω-
τα τῷ γονίμῳ τε καὶ ἀγόνῳ διενηνοχέναι τό τε μόνως
αἴτιον καὶ τὰ μόνως αἰτιατὰ συνιστῶντος μόνου, ὧν
ταῖς ἀληθέσιν ἀναφοραῖς τε καὶ ἰδιότησιν ἐξ ἀνάγκης
τὰς τρεῖς ὑποστάσεις ἕπεσθαι δεῖ.

Ἀξιόπιστος δ' ὑπὲρ ἡμᾶς καὶ τὸν ἡμέτερον λόγον
ὁ τοῦ Θεοῦ Λόγος αὐτὸς, ἑαυτῷ τε καὶ τῷ θείῳ
Πνεύματι μαρτυρῶν, ὡς ἐκ Θεοῦ προηγμένοις τε
καθ' ὑπόστασιν, καὶ ἐν αὐτῷ κατὰ φύσιν οὐδὲν ἧτ-
τον οὖσι καὶ ἐν ἀλλήλοις. Δῆλη δὲ καὶ ἡ ἱερὰ τῶν
Ἰουδαίων θεολογία τὴν ἐξ ὕστερον ἀναλάμπειν μέλ-
λουσαν περὶ τῶν θείων ἀλήθειαν προδιατυποῦσα καὶ
προανακηρύττουσα, ἐν τῷ τῷ μὲν Λόγῳ Κυρίου τὴν

(1) Cod. χωρὶς, sine sensu, ubi nos e conj. χω-
ριστὴ, voce Peripateticis ac Neoplatonicis æque
familiari. ALEX.

(2) Cod. μόνω, sed quia ibi omitti solet ι sub-
scriptum : cave enim de duali cogites. ALEX.

(3) Mutare nihil audemus : suspicamur tamen
addendum Θεόν. ALEX.

(4) Ante ἕνα supplendum ὥστε. ALEX.

τῶν ὄντων σύμπηξίν τε καὶ σύστασιν ἀφορίζειν, τῷ δὲ τοῦ στόματος αὐτοῦ Πνεύματι μεταφορικῶς τὴν συντήρησιν αὐτῶν καὶ τὴν ἐν τῷ εἶναι διαμονὴν, καὶ τῷ μὲν τὸ εἶναι, τῷ δὲ τὸ εὖ ἔχειν ἐπιγράφειν τῶν ὄντων, ὅσον γε εἰς τὴν προσωπικὴν αὐτῶν ἐστιν ἰδιότητα (ᾗ γὰρ Θεός εἰσιν [*f.* ἐστιν] εἷς, ἔργα αὐτοῦ εἰσι πάντα, ὅσα τό τε εἶναι καὶ τὸ εὖ εἶναι τῶν ὄντων συνείληφε)· καὶ τὸν μὲν Λόγον τῆς τῶν ὄντων ἀληθείας τιθέναι ποιητικὸν, ἐφόσον ἐξομοιωτικός ἐστιν αὐτῶν πρὸς τὴν ἰδέαν τῆς θείας βουλήσεως, τὸ δὲ Πνεῦμα ἐπιστρεπτικὸν αὐτῶν πρὸς τἀγαθὸν, οὗ δεῖ ἕκαστα οἰκείως τῇ σφῶν φύσει ἐρᾷν τε καὶ ἐπεκτείνεσθαι κατὰ φύσιν. Ἄμφω δὲ τῆς θείας ἂν εἴη καὶ μεγίστης δυνάμεως, ὡς ἄνευ Θεοῦ οὔτ' εἶναι, οὔτ' ἀληθὲς εἶναι, οὔτε πρὸς τὸν Θεὸν ἐπιστρέφεσθαι δυναμένου του (1) τῶν ὄντων καὶ ὁτουοῦν.

Ἀλλὰ δὴ καὶ τῶν τὰ Ἑλλήνων τετιμημένων ἔνιοι τἀγαθόν τε καὶ νοῦν καὶ ψυχὴν τὰς ἀρχικὰς ὑποστάσεις εἰρηκότες εἶναι, καὶ τρεῖς αὐτὰς συνεκτικὰς τῶν ὄντων αἰτίας, καὶ τριπλῆν δὲ θεῶν σύνταξιν, τί γε ἄλλο ἢ τῇ παρ' ἡμῶν πρεσβευομένῃ Τριάδι συμφθέγγονται; τῷ τρόπῳ διενηνοχότες τῆς κατὰ Χριστὸν ἀληθείας, ὡς ἄρα γε καὶ εἰκὸς ἦν. Ἔδει γὰρ τὴν μὲν ἀκρίβειαν τοῦ οὐρανίου δόγματος δι' αὐτῆς ἀναλαλυφθῆναι τῆς ἀληθείας· τὰς δὲ μαρτυρίας αὐτῇ, διὰ τὴν τῶν ἀνθρώπων ἀσθένειαν καὶ φιλονεικίαν, τοῦτο μὲν παρὰ τῆς ἀτελεστέρας καὶ εἰσαγωγικῆς, ὡς ἂν φαῖμεν, θεολογίας, τοῦτο δὲ καὶ παρὰ τῆς ἀλλοτρίας πάντη καὶ νόθου θεοποιίας παρίστασθαι, εἴ τις ἀκριβῶς προσέχειν ἐθέλοι, ἅμα καὶ δῶρόν τι ἐκ Θεοῦ τοῦτο προσειληφώς. Ἐῶ δ' ὅσα, τὴν Τριάδα ἐξαίροντες, Ἑλλήνων παῖδες καλοῦσιν, εὐβουλίαν, καὶ φρόνησιν, καὶ εὐσέβειαν, καὶ ἁρμονίαν γε, καὶ ὁμόνοιαν, καὶ ἀρετὴν, καὶ τελείωσιν, καὶ πάντα δὴ τὰ τῶν ὀνομάτων σεμνότατα, ὡς ἓν τε ὁριθμοῖς καὶ μεγέθεσι καὶ τῇ τοῦ παντὸς τοῦδε φύσει διατεινούσαν θαυμασίως μετὰ πολλῆς τῆς ἰσχύος τε καὶ τοῦ κάλλους· οὐκ ἂν οὕτω γε πάντα διειληφυῖαν, εἰ μὴ τῇ πάντων αἰτίᾳ σύμφυτος οὖσα, ὡς πρέπει δήπου τῷ ἐσχάτῳ τῶν νῶν τε καὶ νοητῶν, ἐκεῖθεν καὶ τὰ αὐτῆς ἔργα ἀναλόγῳ τινὶ ὁμοιότητι ἐκόσμει συγκαθιεῖσα, ἵνα δὴ, ὡς τοῦ εἶναι τὰ τῇδε μετέχει ἐκ τοῦ Θεοῦ, οὕτω καὶ ἁρμονίας γε καὶ τελειότητος καὶ καλοῦ παντὸς διὰ τὴν ἐν αὐτοῖς εἰκόνα τῆς ὑπερφυοῦς Τριάδος ἀπολελαυκότα, ἀριστά τε ἔχοι καὶ ὁμοιότατα τῷ πεποιηκότι, ὡς ἐγχωρεῖ. Καὶ τῇ μὲν κατὰ Χριστὸν θεολογίᾳ τοιαῦτα· τῇ δὲ τῶν Ἑλλήνων, ἐρεῖς, οὐδὲν ὑγιὲς, οὐδὲν σεμνὸν, ἄνθρωποι, πρόσεστι. Τῷ μὲν γὰρ τῶν θεοτήτων πλήθει καὶ τῶν θεῶν εἰς οὐδὲν ἐχρήσαντο δέον, τῷ μὲν δοκεῖν ὑπερκαθίσαντες τὸν ἕνα Θεὸν, ἔργῳ δὲ μερίτας αὐτῷ καὶ κοινωνοὺς τοσούτους ἀνταναστήσαντες τῆς τε δυνάμεως συμπάσης καὶ τῆς ἀρχῆς, καὶ τῷ τὴν σεμνοτάτην προσηγορίαν εἰς βαθμοὺς τοσούτους κατενεγκεῖν τῷ πρώτῳ τοὺς μετ' ἐκεῖνον πάντας συναδικήσαντες, καὶ ἐς τὴν φύσιν αὐτὴν ἐξυβρίσαντες, ἣν τῇ προσηγορίᾳ ταύτῃ τιμῶσι. Πῶς γὰρ θεοὶ οἱ πεπερασμένην ἔχοντες δύναμιν, ἄλλου μετ' ἄλλον τεταγμένου τῇ φύσει, μέχρι καὶ τοῦ ἐσχάτου, ὃν τελευταία τις θεότης ἐκόσμησε, καὶ ἄλλο ἄλλου ἐγκεχειρισμένου πρὸς τὴν τοῦ παντὸς τοῦδε σύστασιν ἔργον, κατὰ τὴν ἀναλογίαν τῆς φύσεως, ὡς μὴ τῷ μείζονι μόνον, ἀλλὰ καὶ ἀλλήλοις ὑπουργεῖν τοὺς Θεοὺς αὐτοῖς; Καὶ εἰ μὴ μιᾷ δυνάμει ποικίλως ἐπὶ πάντα ἐκτεινομένῃ παρήγαγεν ὁ Θεὸς, εἷς μὲν ὤν, ἀναφοραῖς δέ τισιν ἀναγκαίαις καὶ οὐδὲν εἰς τὴν κατ' οὐσίαν ἑνότητα ζημιούσαις ἐν αὐτῷ διακεκριμένος, ἀλλὰ πολλὰς δυνάμεις πρὸς ἕκαστα διανενεμημένας ζητοῦντες, ταύτας δὴ καὶ θεοὺς ὀνομάζειν προαχθησόμεθα, μηδ' ὀνομάζειν μόνον, ἀλλὰ καὶ σέβειν, ἅτε φύσεις τινὸς παρὰ τὸν Θεὸν ὑφεστώσας, καὶ τὸ ἐκείνου ἔργον ποιούσας, καὶ κυβερνώσας τόδε τὸ πᾶν, πῶς τοὺς θεοὺς τούτους διάφορα δυναμένους καὶ μείζω τε καὶ ἐλάττω, μιᾷ δυνάμει ποικίλως ἐπὶ πάντα ἐκτεινομένῃ παρήγαγεν; Ὁμοίως γὰρ ἂν προαγοίμεθα καὶ θεοὺς ἑτέρους ζητεῖν τῶν τοῖς Ἕλλησι γνωριμωτέρων προτέρους τε καὶ αἰτίους, καὶ πρὸ ἐκείνων ἄλλους τῷ αὐτῷ λόγῳ, καὶ τοῦτο ἐπ' ἄπειρον, συγχωρούσης ἡμῖν τῆς ἀπείρου κατὰ τὴν φύσιν ὑπεροχῆς τοῦ Θεοῦ πρὸς τὰ τούτου ἔργα πρὸ τῶν ληφθέντων ἀεὶ λαμβάνειν ἑτέρους, διὰ τὸ μὴ δεῖν, φασὶν, ἀμέσως ποτὲ τὸν Θεὸν ἐπὶ τὴν δημιουργίαν ἀφικνεῖσθαι τῶν ὑποδεεστέρων, εἰ μὴ διά τινος βελτίονος φύσεως, καὶ οὕτως ἀπείρους ἀνάγκη σφίσι γίνεσθαι τοὺς θεοὺς, οὓς ἀδικοῦσιν ἀριθμῷ τινι περιγράφοντες. Καίτοι καὶ εὐλογώτερον ἂν ἦν ἀπείρους τούτους τιθέναι τοῖς ἅπασι τὴν θείαν φύσιν εἰς πλείους καταμερίσασιν, ὡς ἂν αὐτῇ πανταχόθεν προσήκοι τὸ ἄπειρον· εἰ μή τινος ἀσθενείας ἔνδειξιν φαῖεν εἶναι τὸ πλῆθος. Οὕτω δὲ κἂν ἑαυτοῖς πόλεμον εἶεν, ὡς ἡμῖν δήπου πρότερον εἴρηται. Οὐ γὰρ ἔδει πλείους τιθέναι θεοὺς, ἀσθένειαν τῇ θείᾳ φύσει προσάπτοντας. Ὥστ' ἀμφοτέρωθεν αὐτοὺς ἁμαρτάνειν, ἢ ἐν ἀριθμῷ τινι θέντας οὓς ἐχρῆν ἀπείρους εἶναι καὶ πλήθει, ἢ ἀσθενεῖς ἀποφαίνοντας, ὡς ἀπείρῳ τινὶ διαφορᾷ τῆς θείας ἰσχύος τε καὶ ἀξίας ἀπορραπίζοντας τῶν θεῶν τοὺς ὑποδεεστέρους· οὐδὲν γὰρ ἂν εἴη καὶ τὸ Ἀπόλλωνος ἄξίωμα, μὴ ὅτι γε τὸ Ἑρμοῦ καὶ τῶν ὑπ' αὐτοῦ ἔτι, τοσούτων πρὸ αὐτῶν θεῶν ὄντων ὀφηλοτέρων, δι' ὧν ἐπ' αὐτοὺς ἡ θεότης βαθμῷ τινι κατελήλυθεν. Τὸ δ' αὐτῶν εἵνεκα τῶν θεῶν καὶ τὰ ὑπ' αὐτῶν κινούμενα σώματα θεοποιεῖν πῶς οὐκ ἀνόσιον; Ταῦτα γὰρ μεγέθους μὲν εἵνεκα καὶ ἰσχύος καὶ κάλλους καὶ διαρκείας δέοι γ' ἂν καὶ πάνυ θαυμάζειν. Δεῖ μέντοι γε τὸ ἐπ' αὐτοῖς θαῦμα πέμπειν εὐθὺς ἐπὶ τὸν δημιουργὸν, ὥσπερ οἰκοδομήματος καλλίστου νοῦν ἔχοντας θεατὰς, οὕτω καὶ ἡμᾶς, αὐτὰ μὲν ἀγαμένους, ἅ εἰσιν ἔργα Θεοῦ τοιαῦτα, πρὸ δ' αὐτῶν τὴν τέχνην καὶ τὸν τεχνίτην ἐκπληττομένους· καὶ αἰδουμένους καὶ σέβοντας. Ὡς οὖν οὐδ' οἰκίαν τινὰ ἀνθρωπον νοῦν ἔχων ἂν τις εἴποι, ὅτι ἀνθρώπου ἔργον ἀριστά γε εἰργασμένου ἐστὶν, εἰ οὕτως καὶ τύχοι ἔχουσα, οὕτως οὐδὲ τὸν ἥλιον καὶ τὴν σελήνην θεοὺς προσαγορεύειν ἔδει καὶ προσκυνεῖν, ἐνορῶντας ὅτι Θεοῦ εἰσιν ἔργα, αὐτά τε ἐφ' ἑαυτῶν οὕτω καλὰ, καὶ τῷ παντὶ τῷδε κόσμῳ, καὶ τοῖς ὑποδεεστέροις

(1) Cod. τοῦ cum accentu.

πᾶσιν ὠφέλιμα. Ἢ ἐπὶ πάντα γ' ἂν ἔδει τὸ τοιοῦτο σέβας ἐκτείνειν, ἃ τι θαύματος ἄξιον ἔχουσι καὶ ἃ θεόθεν εἰσίν. Οὐδὲν δέ ἐστιν ἔργον Θεοῦ, κἂν τὸ σμικρότατον ᾖ, ὃ μὴ θαυμάσειεν ἂν τις ἐκτόπως. Καὶ πολὺ μεῖζόν ἐστιν ἐν τοῖς ἐλαχίστοις τὸ θαῦμα, τοῦ Θεοῦ σοφίσιν, ἀντὶ τῶν ἐκ τοῦ μεγέθους ἐλαττωμάτων, σοφίαν τινὰ καὶ μεθόδους ξένας ἐγκατοικίσαντος, εἰς ἔνδειξιν τῆς δυνάμεως. Διὸ καὶ τοὺς πολλοὺς ἡ τῶν σοφωτέρων σφήλασα περιεργία, ἣν ἐκεῖνοι περὶ τὰ μείζω τῶν ἐν τῷ κόσμῳ φαινομένων ἔπαθον τεθηπότες αὐτά, καὶ ταῦτα δὴ προήγαγε θεοποιεῖν τε καὶ σέβειν· εὐλόγως μὲν οὐδετέρων πεποιηκότων, τῶν δὲ πολλῶν εὐλογώτερον, ὅτι γε, δέον δόξαν τοῖς ἡγεμόσιν αὐτῶν τὸ θεῖον σέβας ἐπὶ τὰ ἔργα τοῦ Θεοῦ καταφέρειν, τῆς τοιαύτης αὐτοὶ τιμῆς οὐδενὶ τῶν ἔργων ἐφθόνησαν, ἅτε πᾶσιν ἐξαιρέτου τινὸς τῆς τοῦ Θεοῦ σοφίας ἐμφαινομένης, καὶ πρὸς μεῖζον θαῦμα δυναμένων ἐνάγειν τῶν δοκούντων ἠλαττῶσθαι ποσότητι, καὶ μηδενὸς αὐτῶν ὄντος, ᾧ μὴ τὸ αἰτιῶδές τε ὁπηοῦν ἔνεστι καὶ ὠφέλιμον. Τί δὲ ἡ πατουμένη Δημήτηρ, καὶ ὁ σβεννύμενος Ἥφαιστος, καὶ ὁ πικρὸς καὶ φθαρτικὸς Ποσειδῶν; Τί δὲ τὸ ἄῤῥεν ἐν τοῖς θεοῖς καὶ θῆλυ; Τί δὲ τὸ τοὺς μὲν ἐφεστάναι τοῖς ἀγαθοῖς, τοὺς δὲ τοῖς χείροσι τῶν ἔν τε τῇ φύσει καὶ ὑπ' αὐτῶν ἀνθρώπων γενομένων; Καὶ ἀνθρώπους δέ τινας ἀποθεοῦσι, καὶ ἄλλους αὖθις καταστερίζουσι, καὶ οὐδὲν ὅ τι οὐ πλάττουσι τῶν ἀτόπων, ὥσπερ ἐξεπίτηδες τὴν τελειότητα καὶ ἁπλότητα καὶ τὸ ἀνενδεὲς τοῦ Θεοῦ καὶ τὴν ἀπειρίαν καὶ τὴν ἀπάθειαν καὶ τὸ παντοδύναμον καὶ τὴν πρόνοιαν ἐξελαύνειν βουλόμενοι. Δι' ὧν εἰς τοιαῦτα κατασπῶσιν αἴσχη καὶ πάθη, πολὺ ἀφέδοντα τῆς βελτίστης καὶ σεμνοτάτης προσηγορίας τε καὶ τοῦ πράγματος. Καίτοι χωριστὰς μὲν οὐσίας τιθέναι τινὰς εὔλογόν ἐστι πάνυ· ἀλλ' οὐχὶ καὶ τῶν ὄντων δημιουργοὺς οὐδενὶ τρόπῳ, οὔτε συμμεριζομένας τὴν τοῦ παντὸς ἀρχὴν τῷ Θεῷ, ἀρκεῖν ἡγουμένους τῆς πρώτης αἰτίας τὴν δύναμιν δι' ἀπειρίαν πρὸς πάντα ἐκτεινομένην τὰς τῶν ὄντων φύσεις παράγειν. Καὶ διακονεῖσθαι μέντοι τὰς χωριστὰς οὐσίας ἐκείνας τῇ τοῦ Θεοῦ περὶ ἡμᾶς προνοίᾳ πιστεύομεν, ἀλλ' οὐχ οἷον Ἕλληνες ἔπλαττον· καὶ δαίμονας αὖ εἶναί τινας βλαπτικοὺς ὑπὸ φθόνου καὶ ἐπιχαιρεκακίας, πλάνης καὶ μυρίων δεινῶν ἀνθρώποις προξένους, ὅσοι μάλιστα δι' ἀναγωγίαν εὐχείρωτοί εἰσι ταῖς ἐξ ἐκείνων ἐπιβουλαῖς, οὐ τοιούτους τὴν ἀρχὴν καὶ γεγονότας ὑπὸ Θεοῦ, ἀλλ' ὑπὸ τόλμης καὶ αὐθαδίας καὶ χείρονι προαιρέσει ἐπὶ τὰ τοιαῦτα ἀποκλίναντας, καὶ ὑπὸ Θεοῦ ἐγκαταλειφθέντας, ἴσμεν τε καὶ ἀποστρεφόμεθα οὕτως ἔχοντας, καὶ ταῖς τῶν ἀγαθῶν τοῦ Θεοῦ διακόνων ἐπισασίαις ἀπαθεῖς διατηρούμεθα ἀπ' αὐτῶν· θεότητος δέ τι αὐτοῖς μετεῖναι πῶς ἂν φαῖμεν, οἱ μηδὲ τοῖς ἀγαθοῖς τοῦτο διδόντες; Καὶ μακαρίους μέν τινας ἐξ ἀνθρώπων γίνεσθαι τῶν ἀναγκαίων ἐστὶν, ἀλλὰ μακαρίους ἀνθρώπους. Καὶ δι' ἄλλων μὲν ἄλλα κυβερνᾶσθαι τῶν ὄντων, τό γε εἰς τὴν ἐκπλήρωσιν ἧκον τῆς ἐκ Θεοῦ προνοίας καὶ κυβερνήσεως, ἀληθές ἐστιν. Ἔδει γάρ τι καὶ αὐτοῖς τοῖς κυβερνωμένοις εἶναι καλὸν ἐν τῷ λυσιτελές τι καὶ τούτων ἕκαστον εἶναι· οὕτω γὰρ ἂν καὶ ἡ τοῦ μόνου κυβερνήτου τῶν ὄντων ἐξουσία λαμπρότερον διαφαίνοιτο, πολλῶν τε διακονουμένων αὐτῇ, καὶ πάντων εὐτάκτως, ᾗ ἄλλο ἄλλου ἥρτηται θαυμασίως, ὥσπερ ἐν τῇ τάξει τῆς φύσεως, οὕτω δὴ καὶ τῆς λειτουργίας· ὅσον δ' εἰς τὸν τῆς κυβερνήσεως ἧκει λόγον, ἁμέσως πάντα ἐκ Θεοῦ κυβερνᾶσθαι πιστεύομεν ὑπὸ τῆς θείας σοφίας τε καὶ δυνάμεως· ἐφαρμόττουσι γὰρ ἐν τῷ λόγῳ τῆς ἀπειρίας, μέχρι καὶ τῶν ἐσχάτων ἐκτεινομένῳ. Οὐδὲ γὰρ οἷόν τ' ἦν δι' αὐτοῦ μὲν κατασκευάσαι τὸν κόσμον, μὴ διοικεῖν δὲ τοῦτον δι' αὐτοῦ τὸν Θεὸν, μηδ' ἐξ αὐτοῦ τὸν τῆς τάξεως λογισμὸν ἐπιτεθεῖσθαί τε τὴν ἀρχὴν τοῖς ὑπ' αὐτοῦ γεγονόσι, καὶ νῦν ἐπιτίθεσθαι, εἰ μὴ δι' ἔνδειαν ἰσχύος ἢ λόγου· ὧν ἄρα καὶ τῶν τοιούτων οὐδὲν ἁρμόττει Θεῷ· οὔτε λόγον ἂν ἔχοι δυνάμενον καὶ εἰδότα καταφρονεῖν, ἐλαττοῦσθαί τι τῇ τῶν μερικῶν τούτων καὶ ταπεινῶν προνοίᾳ νομίζοντα. Εἰ γὰρ μηδ' ἐν αὐτοῖς ἐνεργῶν ἔσται τι χείρων, ἐνεργεῖ δὲ δήπου πάντα ἐν πᾶσιν, ἀτ' ἐξ αὐτοῦ πᾶσιν ἐπιῤῥεούσης οἰκείως τῆς τοῦ δύνασθαι πρὸς τὸ πράττειν προσαγωγῆς, σχολῇ γε τὴν ἀξίαν αὐτοῦ λυμανεῖται τὸ τῆς ἐν σφίσιν εὐταξίας φροντίζειν, ὅπερ οὐχ ἧττόν γε τοῦ προτέρου τὴν ὑπερκειμένην ἂν δείξαι δύναμιν.

Ταῦτά τε τοίνυν εἴποις ἂν πρὸς αὐτοὺς, ἀνδρῶν ἄριστε, καὶ ἄλλα πολὺ μὲν τούτων βελτίω, τῷ δὲ σκοπῷ παραπλήσια, δεικνὺς ὁπόσον τι τὸ διάφορον τῆς Ἑλληνικῆς δεισιδαιμονίας καὶ τῆς ἡμετέρας θεολογίας· καὶ πρὸς τούτοις, ὡς οὐδὲ δεῖ τῆς Ἐκκλησίας ἀγνοιάν τινα καταγινώσκειν αὐτοὺς, εἰ τὸ Ἑλληνικὸν ἀξίωμα μὴ προσήκατο. Ἄνευ γὰρ τοῦ μείζονι ἀξιώματι πειθομένην αὐτὴν δεῖν ἂν τούτου τε καὶ παντὸς ἄλλου καταφρονεῖν, πολλὰ πολλάκις ἐν τοῖς κατὰ τῶν αἱρετικῶν ἀγῶσιν ἐξεῦρεν, οἷς οὐκ ἀνάγκη διά γε ταύτην τὴν πρότασιν ἢ τὸν Υἱὸν τοῦ Θεοῦ ἑτέρας οὐσίας παρὰ τὸν Πατέρα τιθέναι, ἢ τὸ Πνεῦμα τὸ ἅγιον· πάντες γὰρ οἱ ἐξ Ἀρείου, τὰ Ἑλλήνων δήπου νενοσηκότες, τῇ ἐκείνων ταύτῃ προτάσει ἀρχῇ τινι τοῦ κατὰ τῶν θείων ὑποστάσεων ἐκέχρηντο ψεύδους· εὑροῦσα δὲ, καὶ πᾶσιν ἔδειξε φανερῶς, καὶ ψῆφον τοιαύτην ἤνεγκε. Καὶ Θεὸς ἄνωθεν ἐμαρτύρει τῇ ψήφῳ, πολλὰ ἐκφαίνων σημεῖα τοῦ θεοστυγεῖς γεγονέναι τοὺς ἀντὶ τοῦ τῆς Ἐκκλησίας ἀξιώματος τῷ Ἑλληνικῷ φιλονείκως ἰσχυριζομένους, καὶ μὴ ἀφισταμένους αὐτοῦ μετὰ τὴν τῆς Ἐκκλησίας ἐν τοῖς βελτίοσί τε καὶ ἀκριβεστέροις ὁμολογίαν. Τὸ μὲν γὰρ δι' αὐτὸ ὂν διαφέρειν μέν που τοῦ δι' ἐκεῖνό γε ὄντος, ἀλλ' οὐ δήπου καὶ φύσει διαφέρειν ἀνάγκη. Ἢ γὰρ ἂν καὶ τὸ ἔκ τινος ὂν ἅπαν διενηνόχει τοῦ ἐξ οὗ ἐστι φύσει. Ἔστι δέ τι (1) καὶ δι' ἕτερον, φύσει ταυτὸν τῷ δι' ὃ ἐστιν. Ὁ γὰρ Πέτρος διὰ τὸν Ζεβεδαῖον μέν ἐστι,

(1) Cave τὸ pro τι legi velis. ALEX.

φύσει δὲ οὐ διενηνόχατον. Εἰ δ' ὁ Ζεβεδαῖος δι' ἕτερόν ἐστι καὶ αὐτὸς, πρός γε τὸν λόγον οὐ διαφέρει· οὐ γὰρ ᾗ δι' ἕτερόν ἐστιν ὁ Ζεβεδαῖος, ταύτῃ γε ἐξ αὐτοῦ Πέτρος ἐστίν· ἅμα τε γὰρ ἂν ἦν Ζεβεδαῖος ἐκ τοῦ αὐτοῦ πατρὸς, καὶ Πέτρος ἐκ Ζεβεδαίου. Ἀλλ' ὑποτεθέντος καὶ μὴ παρ' ἄλλου εἶναι τὸν Ζεβεδαῖον, εἰ προάγοι Πέτρον ὡς νῦν τῇ αὐτοῦ φύσει, τὸν αὐτὸν ἂν τῇ αὐτοῦ φύσει προενέγκαι τοῦτον. Οὐκ ὀδύνατος δ' ἡ ὑπόθεσις· ἡ γὰρ ἱερὰ διδασκαλία πρῶτόν τινα ἄνθρωπον γεγονέναι βούλεται. Εἰ δὲ κἀκεῖνος διὰ τὸν Θεὸν, οὐκ ἐνταῦθα δεῖ τοῦτό γε σκοπεῖν· οὐ γὰρ ὁμοιδὴς ἡ αἰτία. Ἐπὶ δὲ τοῦ Θεοῦ καὶ παντάπασιν ἀληθής ἐστι, δι' οὐδὲν ἕτερον ὄντος, ἀλλὰ πάνυ δι' ἑαυτόν. Εἰ γοῦν οὐδέν τι κωλύει ἄτομόν τι ἐξ ἑτέρου γεγενημένον καὶ αὐτὸ ἄλλο προαγαγεῖν κατὰ τὸ τῆς φύσεως εἶδος, τί κωλύει τὸν Θεὸν καὶ ἡμᾶς οἴεσθαι ἄτομόν τι προαγαγεῖν ἐξ ἑαυτοῦ τῷ εἴδει τῆς φύσεως; Εἰ γὰρ μηδὲ τὸν Ζεβεδαῖον ἂν ἐκώλυσεν, εἴπερ οἷόν τ' ἦν αὐτὸν πρῶτον ἄνθρωπον γεγονέναι, τὸν Πέτρον προαγαγεῖν τοῦτ' αὐτὸ τὸ ἐκ μηδενὸς γεγενῆσθαι, ἕως τοιοῦτός γε ἦν καὶ τοιαῦτα ἐδύνατο, πῶς ἂν τὸ ἐκ μηδενὸς εἶναι κωλύσειε τὸν Θεὸν προάγειν τι ἐξ ἑαυτοῦ, ἕως ἂν ᾖ παντοδύναμος, καὶ φύσει τε καὶ βουλήσει τελεώτατός τε καὶ ἄριστος; Εἴη μὲν οὖν καὶ τοῦτο τοῦ πάντα δύνασθαι τὸν Θεὸν, τὸ δύνασθαι γεννῆσαι ἑαυτῷ ἴσον Υἱόν· καὶ ἀδυναμίας ἂν ἦν αὖ τὸ μὴ δύνασθαι. Οὕτως οὖν οὔτ' ἀνάγκη τὸ δι' ἕτερον ὂν ἅπαν τοῦ δι' ὃ ἐστι φύσει διακεχρίσθαι, οὐ μᾶλλον ἡ ἀνάγκη μηδέν τι εἶναι ὀπωσοῦν ἐκ τοῦ μηδαμόθεν ὄντος μηδ' ὁπωσοῦν, οὔτ' ἀνάγκη τὸν Υἱὸν τοῦ Θεοῦ ἕτερον εἶναι τοῦ γεγεννηκότος τῇ φύσει, ᾗ δὴ ἐβούλοντο οἱ περὶ τὸν Ἄρειον, καὶ εἰ μὴ τοιοῦτος εἴη, μηδ' ἂν αὐτὸν εἶναι ὅλως ἐκ τοῦ Θεοῦ, ὡς τὸ Ἑλληνικὸν καὶ ἐκείνων ἀπαιτεῖν ἐδόκει ἀξίωμα. Ὅλως δὲ, εἰ μὲν τὸ ἐκ μηδενὸς, ἀλλ' ἀγέννητόν τε καὶ ἀναίτιον ὄν, αὐτὸ μόνον ἔδει εἶναι, καὶ ὡς αὐτὸ μὴ ἔστιν ἐκ τινος οὐδενὶ τρόπῳ, οὐδ' ἄλλο τι ἐξ αὐτοῦ τρόπῳ μηδενὶ προεληλυθέναι, οὐδ' οἱ ψευδώνυμοι ἐκεῖνοι θεοὶ καὶ Θεοῦ παῖδες, οὐδ' ἄλλο τι τῶν ὄντων ἐγίνετ' ἂν ἐξ αὐτοῦ. Εἰ δὲ τοῦτό γε οὐκ ἀνάγκη, πολλὰ γὰρ ὑπὸ τοῦ ἀγεννήτου παρῆχθη καὶ γέγονεν ὀπωσοῦν, τίς ἡ ἀνάγκη τὸ ἀγέννητον μὴ καὶ συνωνύμως γεννᾷν; Οὐ γὰρ δὴ ἀνόμοια μὲν δυνήσεται, ὅμοια δὲ γεννᾷν μὴ δυνήσεται, ὃ δὴ ἔφθη ἐληλεγμένον, ὡς ἂν τινος τῶν γονίμων νόθα μὲν οἷόν τε ὄντος γεννᾷν, γνήσια δὲ προάγειν οὐ δυναμένου. Οὐδὲ κατὰ μὲν τὴν βούλησιν ἀρχή τινων, κατὰ δὲ τὴν φύσιν οὐδενὸς ἔσται· οὐ γὰρ τῶν αὐτῶν γε κατ' ἄμφω, οἷς τὸ τί ἐστιν οὐ ταυτόν· οὐδὲ τῇ μὲν ἔσται γόνιμος, τῇ δὲ ἄγονος. Οὐδ' εἰ τὴν μὲν φύσιν τὴν αὐτὴν ἔχοι τῇ ἐνεργείᾳ καθάπαξ, ἔστι τινῶν αἴτιος καὶ κατὰ τὴν φύσιν τῶν αὐτῶν, ἃ καὶ τῇ ἐνεργείᾳ προάγοι, καὶ οὐδὲν ἐντεῦθεν ἕψεται, τῷ καὶ φύσει εἶναι προαγωγόν. Εἰ δὲ διενηνέχθαι πως ἀληθῶς ἐν αὐτῷ φύσις καὶ οὐσία δεικνύοιτο, τῇ ἐνεργείᾳ προάξει καὶ οὐ τῇ φύσει. Οὐδὲ τὰ μὲν ἄλλα ποιήσει νοῶν, ἑαυτὸν δὲ οὐ νοήσει ποιεῖν τὰ ἄλλα δυνάμενον, ἵνα μὴ τὸ συλληφθὲν ἐν αὐτῷ νόημα καὶ Λόγος ᾖ τοῦ Θεοῦ, καὶ εἰκὼν αὐτοῦ ἔμφυτος. Οὐδὲ τὰ μὲν ἕτερα τοῦ Θεοῦ, διὰ τὸ αὐτὸν ἐκ μηδενὸς εἶναι, ἐξ αὐτοῦ ἔσται, ὁ δὲ Λόγος αὐτοῦ διὰ τοῦτ' αὐτὸ αὖ οὐκ ἔσται, καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Ἕως δ' ἂν οὐδεμία ἀνάγκη ᾖ τὸν Θεὸν ἄγονον εἶναι διὰ τὸ εἶναι ἀγέννητον, ἢ μηδέν τι εἶναι δι' αὐτὸν διὰ τὸ αὐτὸν εἶναι δι' ἑαυτὸν, οὐδεμίαν ἰσχὺν ἡ τῶν Ἑλλήνων καὶ τῶν Ἀρειανῶν ἕξει πρότασις· ἀλλ' ἔσται μὲν τὸ δι' αὐτὸ ὄν, καὶ τὸ δι' ἕτερον, οὐ ταυτόν πως· διοίσουσι δὲ οὐ τῇ αὐτῇ γε πάντως διαφορᾷ, ἀλλ' ἀριθμῷ μὲν, ἐάν τι διὰ τὴν αὐτοῦ φύσιν ᾖ ἐξ αὐτοῦ, καὶ εἴδει δὲ καὶ οὐσίᾳ, ἐὰν διὰ τὴν βούλησιν. Καὶ δυνάμεων διαφορὰ οὐχ ἡ μεγίστη ὁμοίως ἐν ἅπασιν, ἀλλ' ἂν μέν τι ἀγέννητον ὄν, καὶ φύσει δὴ καὶ βουλήσει ἄριστόν γε καὶ τελεώτατον, δημιουργήσῃ θελῆσαν ὡς τὰ τέχνῃ ποιούμενα, καὶ δυνάμει δὴ μάλιστά γε διοίσει τῶν ὑπ' αὐτοῦ γεγονότων τῇ φυσικῇ· μᾶλλον δ' αὐτὰ ἐκείνου διοίσουσι· φυσικῇ δὲ προόδῳ ἐξ αὐτοῦ τι ὧν προεληλυθότων, τῷ ἀγεννήτῳ μόνον καὶ τῷ ἐξ ἀγεννήτου εἶναι καὶ ὅλως τῇ κατ' ἀριθμὸν διαφορᾷ χωρισθήσονται, τῆς φύσεως τῆς αὐτῆς οὔσης καθάπαξ· καὶ οὕτω μᾶλλον τῆς αὐτῆς ἢ ἐν Ζεβεδαίῳ καὶ Πέτρῳ, ὅσῳ ἐκεῖ μὲν διὰ τὴν ὕλην ἀριθμῷ διενηνόχει τὸ εἶδος τῆς φύσεως ἐν ἀμφοῖν· ἐνταῦθα δὲ διὰ τὴν ἀΰλίαν τε καὶ τὴν ἀπειρίαν, ἀριθμῷ μία ἡ φύσις, ταυτὸν δ' εἰπεῖν ἡ θεότης, ἓν τε τῷ δι' αὐτὸ ὄντι καὶ τοῖς ἐξ αὐτοῦ τῇδε προηγμένοις πέφυκεν οὖσα. Καὶ εἴ γε δεῖ μᾶλλον ἐξακριβοῦν, ἁπλῶς μὲν ἔστι δι' αὐτὸν ὁ Θεὸς, καὶ δι' οὐδὲν ἄλλο· οὗ δὴ ἡ κτίσις μεγίστῃ δυνάμεων ἐκρίθη διαφορᾷ, ὡς αὐτοί φασι, δι' ἄλλο γεγονυῖά τε καὶ οὖσα, δηλονότι διὰ Θεόν. Ὁ δὲ θεῖος Λόγος οὐ δι' ἄλλο ἐστὶν, οὔτε τὸ Πνεῦμα, οὔτε τῷ δι' ἄλλο καὶ τῷ δι' αὐτὸ ἑαυτά τε καὶ ὁ προαγαγὼν Θεὸς διενήνοχε· πῶς γὰρ τὰ τὴν αὐτὴν ἀριθμῷ φύσιν ἔχοντα; ἀλλὰ τῷ δι' αὐτὸν μᾶλλον καὶ τῷ δι' ἕτερον, ὡς ἂν ἡ διαφορὰ πρὸς τὰς ὑποστάσεις αὐτὰς, μὴ πρὸς τὴν φύσιν ἀνιέναι τῳ δόξειεν. Ἐν οἷς δέ ἐστιν ἡ κατὰ φύσιν ἑνότης οὕτω λαμπρῶς, τὸ δι' αὐτόν τε εἶναι καὶ δι' ἐκεῖνον οὐδεμίαν διαφορὰν εἰσάγει δυνάμεων· ἡ διαφορὰν μὲν καὶ μεγάλην δήπου ποιεῖ, ὅτι ταύτῃ μόνον διενηνοχότα, τὴν διάκρισιν ἀνεπίμικτον σώζουσι, καὶ ὥσπερ οὐκ ἂν αὐτά γε τὴν τοῦ δι' αὐτὸν ὄντος ἰδιότητα μεταλάβοι, οὕτως οὐδ' ἂν αὐτό ποτε πρὸς τὴν τῶν αἰτιατῶν μετασταίη· διαφορὰν δὲ ἀτομικὴν καὶ προσωπικὴν, ἣ τὴν τῆς φύσεως οὐκ ἂν δύναιτο βλάπτειν ἑνότητα, οὔτε τοῦ Πατρὸς τὰ ἐξ αὐτοῦ τε καὶ ἐν αὐτῷ χείρω ποιεῖν ἕν τινι τῶν ἐς τὴν οὐσίαν ἡκόντων καὶ ἀσθενέστερα. Εἰ γὰρ τῷ μὴ δύνασθαι εἰς τὰς ἀλλήλων ἰδιότητας μετελθεῖν καὶ φύσει διοίσουσιν, οὐδὲν μᾶλλον αὐτὰ τοῦ Πατρὸς ἐλάττω ἔσται τῇ φύσει, ὅτι μὴ καὶ Πατήρ ἐστιν ἑκάτερον, καίτοι γε ὅπερ ὁ Πατὴρ ὄντα, ἢ καὶ ὁ Πατὴρ αὐτὸ τοῦτο πείσεται τῷ μηδ' αὐτὸς δύνασθαι εἶναι αὐτά, καίτοι γε ὅπερ αὐτὰ ὤν· ἀλλ' οὔτε ἧττόν τι ἕξει δυνάμεως ἐν αὐτοῖς οὐδὲν διὰ τὴν τοιαύτην ἀμεταβλησίαν, οὔτε βέλτιον ἔσται ἐς οὐσίαν ἢ χεῖρον· δυνάμεως γὰρ μᾶλλον ἢ ἀσθενείας τὸ τοιοῦτον ἂν εἴη.

Καὶ ταύτῃ γε ὁμοιότερα ἂν εἶεν τῷ προηχότι κατά τε φύσιν καὶ δύναμιν, ἢ εἰ οἷόν τε ἦν αὐτὰ καὶ εἰς τὴν αὐτοῦ ἰδιότητα μεταπίπτειν, ἐκείνου ἀμεταπτώτως πρὸς τὰς αὐτῶν ἔχοντος. Οὐ γὰρ δὴ ἐκεῖνος μὲν ἐπὶ τὸ χεῖρον, αὐτὰ δὲ ἐπὶ τὸ ἄμεινον ἦχθη ἄν, εἴπερ τὸ προῆχθαι ἐκ τοῦ Θεοῦ συμφυῶς τοῦ προαγαγεῖν Θεὸν οὐδέν τι ἧττον εἰς δόξαν, καὶ εἴπερ ἀνάγκη ἐν τῇ θεότητι τὸ μέν τι εἶναι προάγον, τὰ δὲ προϊόντα, καὶ τὸν ἕνα Θεὸν ἐν ἑαυτῷ καὶ πρὸς ἑαυτὸν τοιάνδε τινὰ διάκρισιν ἴσχειν, οἵαν εἰπόντες ἔφθημεν.

Ταῦτα μὲν οὖν ποτε πρὸς τοὺς ἀπορήσοντας καὶ πλείω τούτων ἐρεῖς. Νῦν δ' ἡ τῶν Ἑλλήνων θεολογία, τοιαύτη γε οὖσα, καλῶς καὶ σοὶ πέπαισται· οὗ μάλιστα ἦ τοῦ πρὸς Λατίνους ἀγῶνος νῦν τε οἶδά σοι χάριν καὶ ἀεὶ εἴσομαι. Καὶ Λατῖνοι δ' αὐτοὶ χάριν ἄν σοι δικαίως εἰδεῖεν, τηλικαῦτα ὠφελεῖσθαι τοῖς καλοῖς ἐκείνοις λόγοις δυνάμενοι, καὶ τοῦ ἀξιώματος ἐκείνου καταφρονοῖεν, δι' ὃ καὶ κινδυνεύσαι τις ἂν Ἀρειανικήν τινα καὶ Ἑλληνικὴν θεολογίαν ἐκ μακρᾶς ἀποδημίας κομίζειν, ἀφελῶς αὐτῷ τεθειμένος. Εἰ δὲ μήτ' ὠφελοῖντο καὶ κατεμέμφοιντο, αὐτοὶ τοῦ τῇ προτάσει συμβαίνοντος ἀπολαύοντων, ἐφ' ᾗ νῦν τὴν τοῦ δόγματος ἰσχὺν ἰδρῦσαι πᾶσαν πεπρᾶσθαι σφᾶς ἔφησθα· πολλοῖς γὰρ ἄλλοις αὐτὸ πρότερον ὑπερείδειν ἠγωνισμένοι, πολὺ ἀφαυροτέροις αὐτοῦ γε τοῦ ζητουμένου, ἐπείπερ, ὡς ἔοικεν, εὖρον ἐκεῖνα περιφανῶς ἐξειλεγμένα, σοφόν τι τοῦτο (1) ᾤοντο νῦν ἐξει[illegible]ένει, ᾧ καὶ ἥλπισαν ἡμᾶς ἀπαγαγεῖν σοφισάμενοι. Ἢ πῶς οὐκ ἐκεῖνα πείσονται ἅπαντα, τοῦτο δὴ ὡς ἀναγκαῖον τιθέντες; Οὐ γὰρ μᾶλλον δεῖ προβολέα καὶ τὸν Υἱὸν αὐτοὺς λέγειν τοῦ Πνεύματος, διὰ τὸ δεῖν ἂν αὐτὸν τῷ Πατρὶ κοινωνεῖν τῆς τοῦ προβάλλειν δυνάμεως, ἢ μηδὲ τὸν Πατέρα προβολέα εἶναι ἢ γεννήτορα, μήτε Υἱὸν εἶναί τινα τοῦ Θεοῦ καὶ Πνεῦμα ἅγιον, διὰ τὸ δεῖν ἂν αὐτά, εἴγε εἶεν, καὶ ἐλάττω εἶναι τῇ φύσει, οὔτε γεννητικὰ ἄλλων ὄντα, οὔτε προβλητικά· ἢ ἕως ἂν ἐκείνῳ μὲν τιθεῖντο τῷ ἀξιώματι, πιστεύωσι δ' εἰς Πατέρα καὶ Υἱὸν καὶ Πνεῦμα ἅγιον, καταδεεστέρας θεότητος τὸν Υἱὸν καὶ τὸ Πνεῦμα ὁμολογεῖν, ὡς δυνάμει δὴ ἐλαττούμενα τοῦ Πατρὸς, ἐκείνου ἀγεννήτου ὄντος, αὐτὰ προηγμένα τε ὑπ' αὐτοῦ καὶ μηδὲν ἄλλο προάγοντα. Καὶ ἡμεῖς μὲν ᾠόμεθα πρότερον αὐτοὺς μόνῳ τῷ Πνεύματι ἐνοχλεῖν, δυνάμεώς τινος εἰργοντας τῆς προβλητικῆς, ἣν κοινὴν Πατρί τε καὶ Υἱῷ γεγονέναι μόνοις νομοθετοῦσιν. Οἱ δέ σοι καὶ ἀπ' αὐτοῦ τοῦ θείου Λόγου τὸ δεινὸν ἀρχόμενοι πράττειν ἐδείχθησαν, εἰ δὲ καὶ μὴ αὐτοί, ἀλλ' ὅ γε λόγος αὐτῶν ταῦτα ποιῶν. Ὃ δὲ αὐτῶν ἐστι θαυμαστότερον, ὅτι συναισθόμενοι ἐπὶ τοιαῦτα σφῶν αὐτῶν φερομένων, πολύ τι δὴ ἑτέρᾳ χείρονι μηχανῇ καὶ πρὸς τὸ αὐτὸ φερούσῃ θᾶττον δεινὸν περιῶνται ἀποφυγεῖν ἂν· τὰς γὰρ πατρικὰς δυνάμεις, ὡς αὐτοί φασι, καὶ ἀμφοῖν τοῖς ἐξ αὐτοῦ προϊοῦσιν ἄμφω τιθέντες εἶναι κοινὰς, εἴτ' ἐν μὲν τῷ Υἱῷ τὴν ἑτέραν ἄνευ ἐνεργείας μένειν ἐῶσιν, ἐν δὲ τῷ Πνεύματι μηδετέραν ἀξιοῦσιν ἐνεργὸν γίνεσθαι· τὸ μὲν καὶ ἀνεργοὺς ταύτας τιθέναι, εἰδότες ὡς πολὺ ἀπάξει Χριστιανισμοῦ τοὺς τιθέντας ἄν, ὃ κἂν, εἰ ἐλπὶς ἦν λήσειν πράττοντας, ἔπραξαν, οὐκ αὐτοί γε οὕτω καὶ πιστεύοντες, ἀλλὰ πλείστου καὶ τοῦ παντὸς ποιούμενοι τὸ πρὸς τὴν αὐτῶν ἑλεῖν ἡμᾶς; ἕνωσιν· ἀλλὰ τούτου οὐδὲν ἂν ἦν ἐναργέστερον ἀτόπημα· τὸ δ' ἐκ δυνάμεων διδομένων τε καὶ αὖθις ἀφαιρουμένων, ἢ ἐπὶ ὑφέσει μείζονι διδομένων, τὸν Υἱὸν τοῦ Θεοῦ προβολέα τοῦ Πνεύματος ἀνίστασθαι ὑπ' αὐτῶν, δυνάμει αὖ ἐπὶ τὸ ἐνεργεῖν διδομένῃ, ὅσῳ οὔτ' εὔλογόν ἐστι καὶ πόρρω τῶν ἱερῶν, ἀγνοήσειν προσδοκῶντες, ἡμᾶς, καὶ οὕτω δὴ κελεύουσιν αὐτοῖς ἕψεσθαι· ὥσπερ οἷόν τε ὂν ἢ εἶναί τι ἐν τῷ Θεῷ εἰκῇ, ὃ μηδὲ τῇ φύσει καὶ τοῖς αὐτῆς ἔργοις δοῖεν ἄν, ἢ δύναμίν τινα τελειότητα εἶναι ὁτουοῦν, ἂν μὴ συνῇ ποτε αὐτῇ καὶ ἐνέργειά τις ἡ οἰκεία, ἢ τὸν Θεὸν δύναμίν τινα ἐνεργείας ἔχειν χωρὶς τῶν συνεπομένων τῷ πεφυκέναι αὐτὸν, οὐ τῷ βούλεσθαι, ἢ ὅσα ἄλλα τῇ ἀρχῇ τοῦ δόγματος αὐτῶν τῇδε φαῦλα ἀκολουθεῖ. Ταῦτά τε τοίνυν λέλυκας αὐτῶν ἱκανῶς, καὶ λόγῳ τὴν πάτριον ἡμῖν δόξαν ἀπέδειξας. Ὧ μάλιστα ἔγωγε χαίρω τῶν πρὸς Λατίνους λέγεσθαι δυναμένων. Οὐ γὰρ οἷόν τε πάντων ὁμοῦ τῶν χειρόνων αὐτοὺς χαίρειν ἀπηλλαγμένους, ἐφ' ἃ ἡ θέσις αὐτῶν ἥδε φέρει· ἀλλ' ἀνάγκη ἑνί τῳ τούτων ἐνεσχῆσθαι αὐτοὺς, τῇ ὁδῷ τοῦ τοιοῦδε λόγου, ὃ προσήκοι γ' ἂν τῷ θεμελίῳ τῆς δόξης, ὃν ἐκ πάντων ἂν ἕλοιντο. Τάξιν δὲ δεῖν μέν τινα εἶναι ἐν τῇ μακαρίᾳ Τριάδι, δι' ἣν καὶ τὸν Υἱὸν προηριθμῆσθαι τοῦ Πνεύματος συγχωρεῖς· πολλὴ γὰρ ἀνάγκη· οἵαν δὲ Λατῖνοι τιθεῖσιν, ἀπαξιοῖς. Τῇ μὲν γὰρ ἐκείνων πολλὰ τὰ ἄδοξα ἕπεσθαι· ὡς δ' ἡμεῖς τὰ θεῖα πρόσωπά φαμεν συντετάχθαι, ᾗ δὴ καὶ ὑπὸ τῶν λογίων συντίτακται, μηδὲν ἀπᾷδον συμβαίνειν· οὐ γὰρ τὸ ἡμέτερον καὶ τῇ παραδόσει τοῦ σωτηρίου βαπτίσματος ἧττον συνᾴδει, ὥσπερ τὰ ἄλλα πάντα ὀρθῶς ἔχει, ἢ τὸ ἐκείνων ἔοικεν αὐτῇ συμφωνεῖν, ἄλλως δὴ ἐξημαρτημένον. Καὶ ὡς μὲν πέμπων τὸ Πνεῦμα τὸ ἅγιον ὁ Υἱὸς, καὶ ἀξίωμά τι δι' αὐτὸ ἔχων, οὐκ ἂν πιθανῶς δόξειεν αὐτοῦ προτετάχθαι τοῖς τὰ τοιαῦτα ἐξακριβοῦσιν, εἰ καὶ τὴν σὴν σοφίαν οὐκ οἶδ' ὅπως τοῦτο διέλαθε· λαβὴν γάρ τινα οὐ μικρὰν τοῖς ἐναντίοις ὁ λόγος παρέξει. Ἡ γὰρ τῆς αὐτῆς οὔσης πέμψεώς τε καὶ ἐκπορεύσεως, ὡς αὐτοῖς δοκεῖ, ἔξουσι τὸ προκείμενον, ἢ διαφερουσῶν, ὡς ἡμεῖς γε οἰόμεθα, ἄτοποι αὐτοὶ δόξομεν, ἢ δυνάμει ἀΐδιῳ μὲν, ἀλλὰ κοινῇ τῆς Τριάδος, ἢ ἔργῳ τῆς δυνάμεως ταύτης ἐγχρόνῳ ἀΐδιον τάξιν προσώπου θείου πρὸς πρόσωπον θεῖον ἀξιοῦντες κατασκευάζειν. Ἐκεῖθεν μὲν οὖν οὐδαμῶς, ἄλλοις δὲ τρόποις τὴν τῆς τάξεως ἀνάγκην λαμβάνομεν ἡμεῖς τε αὐτοὶ, καὶ οἱ πρὸ ἡμῶν πάντες, οἷς οὔτε ταῖς τῆς πίστεως ἀρχαῖς, οὔτε τοῖς διδασκάλοις τῆς Ἐκκλησίας συμβαίνει τι οὐ συνῳδὸν, ὥσπερ τῇ παρὰ Λατίνοις ἐμβάθμῳ τοῦ θείου ἐπιπλοκῇ.

Ἀλλὰ περὶ μὲν τούτου ἐς τοσοῦτον· οὐ γὰρ ὁ

(1) Cod. τοῦτο, ὡς ᾤοντο, pessime, unde nobis totius hujus loci sententia restituenda fuit. ALEX.

πρὸς Λατίνους; νῶν λόγος ἡμῖν, περὶ ὧν τῆς ἀλη- A
θείας ἐνδεέστερον ἀποφαίνονται, προύργου ἐστίν.
Ὡς δὲ πολὺ ῥᾷον τοῖς ἡμετέροις ἢ Λατίνοις αὐ-
τοῖς τοὺς Πατέρας ἀλλήλοις συνῳδοὺς ἀποφαίνειν
τῇ γε τοῦ Πνεύματος ὁμωνυμίᾳ καὶ τῷ διττῷ τῶν
λεγομένων προόδων αὐτοῦ, καὶ τῇ τῆς προόδου
αὖ καὶ τοῦ προϊέναι, οὐδὲν ἂν τούτου ἀληθέστερον
γένοιτο, ὅπου γε καὶ Λατίνοις αὐτοῖς ταῦτα δοκεῖ.
Διὸ δὴ καὶ θαυμάζειν αὐτῶν ἄξιον, ὅτι τὰς ἀλη-
θεστάτας τῆς τῶν διδασκάλων συμφωνίας παριέντες
μεθόδους, ἐπ' ἄλλας ἀνηκούστους ἐκτρέπονται,
μεταπτώσεις τινὰς τῶν προσωπικῶν ἰδιοτήτων, καὶ
κοινωνίας τῶν ἀκοινωνήτων ἐπινοοῦντες. καὶ τοι-
αῦτα ἄττα ἐπισυνείροντες, ἃ πόρρω τῶν κοινῶν εἰσι
θέσεων. Πολὺ δ' ἂν ῥᾷον ἀντὶ τούτων ἦν, ἐπὶ τὰ
καὶ σφίσιν αὐτοῖς ὡμολογημένα τραπομένοις, ἀνε- B
παχθῶς τῇ διπλῇ ἐκλήψει τῶν ὁμωνυμούντων ἐκεί-
νων διαλλάττειν τε τοὺς Πατέρας καὶ λύειν τὴν
ἀμφισβήτησιν· καὶ Αὐγουστίνῳ δὲ καὶ Κυρίλλῳ
τοῖς μακαρίοις οὐκ ἂν οὕτω λυπηρῶς τῆς καινοτο-
μίας τὴν αἰτίαν ἐπέγραφον. Ἐκεῖνοι δὲ λέγουσι μὲν
ἐκ Πατρὸς καὶ Υἱοῦ προϊέναι τὸ Πνεῦμα πλειστά-
κις· ἀλλ' ἄτερος μὲν, τὸ μὲν ἐκπορεύεσθαι ἀντὶ τοῦ
ὑφεστάναι παρειληφὼς, μετὰ πάντων δὴ τῶν ἀπὸ
τῆς Ἀσίας Πατέρων (ἐπὶ γὰρ τοῦ Πνεύματος οὐκ
ἴσθ' ὅτε οὐχ οὕτω φαίνονται κεχρημένοι τῇδε τῇ
λέξει), μυριάκις μὲν ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι
λέγει, καὶ ἐκ τοῦ Υἱοῦ δὲ οὐδ' ἅπαξ· τῷ δὲ προϊέναι
ποῦ μὲν ἐπὶ τῆς πρὸς τὴν κτίσιν ἀποστολῆς, ποῦ
δ' ἀντὶ τῆς ὑπάρξεως κεχρημένος, ὅμως οὐδαμοῦ C
φαίνεται προϊέναι λέγων ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα,
ἂν μὴ καὶ κτιστός τις ὅρος προσκείμενος ᾖ, ὃ δεῖν
φασιν οἱ Πατέρες· σημεῖον ἡμᾶς ποιεῖσθαι τοῦ περὶ
τῆς πέμψεως λέγειν αὐτοὺς, αὐτοὶ τῶν ἰδίων ἐξη-
γηταὶ γινόμενοι λόγων, ὡς ἂν μὴ σοφιζομένοις
τισὶν ἐξῇ καὶ ἐπ' αὐτοὺς καταφεύγειν. Καίτοι ἄλ-
λοθι μὲν τῇ ἐν ταῖς Γραφαῖς ὁμωνυμίᾳ χρῶνται
Λατῖνοι, καὶ οὐ περιορῶσιν· ἄλλως γὰρ οὐκ ἂν
δύναιντο νοεῖν αὐτὰς ὑγιῶς· χρωμένοις δ' ἐνταῦθα
καὶ ἡμῖν ἐγκαλοῦσιν, ὡς δὴ σοφιστικὴς τὰς Γραφὰς
ἀποφαίνουσι καὶ τοὺς διδασκάλους· ὥσπερ ἀγνοοῦν-
τες ὅτι τὸ μὲν ἐξελεῖν τοῦ λόγου τὰ τοιαῦτα, παγχά-
λεπον ἦν καὶ τοῖς πρώτοις· συμπεραίνουσι δ' ἡμῖν
ἀπ' αὐτῶν μέσων, οἱ μὲν ἂν συμπεραίνοιτο, αὐτοῖς
τε ἀληθεύειν καὶ τοῖς πρῶτον εἰρηκόσι συνᾴδειν D
συμβαίνει· ψευδῆ δὲ καὶ οἷα τοὺς ἀπὸ ταύτης ἐπ'
ἐκείνην μεταπηδῶντας σημασίαν καὶ τὴν φύσιν
εἰκὸς, ἡμῖν μὲν σοφιστὰς εἶναί τε καὶ δοκεῖν τῷ
ὄντι περίεστι· κοινωνεῖν δὲ τοῦ ἐγκλήματος οὐκ
ἀνάγκη τοὺς ἡγεμόνας τῶν λέξεων, οἷς πειρώμεθα
συμφωνεῖν· διώριζον γὰρ ἐκεῖνοι καλῶς ταῖς χρείαις
τῶν λόγων ἑκάστοτε οἰκείως, τὰ αὐτὰ οὐχ ὡσαύτως
ὀνόματα ἐφαρμόζοντες. Καὶ Κύριλλος μὲν οὕτως·
Αὐγουστῖνος δὲ οὐδὲ δυοῖν λεξέοιν ἐμφαίνειν ἔχει τὸ
διττὸν τῶν προόδων γλώττης στενότητι· ἀλλ' ἄν τε
τὴν τοῦ Πνεύματος ὕπαρξιν, ἄν τε τὴν ἐνέργειαν
καὶ τὴν χάριν σημαίνειν ἄλλοθι βουληθῇ, αὐτὸς μὲν
ἑνὶ ῥήματι τῷ προϊέναι ἢ προχωρεῖν καὶ πρὸς
ἄμφω τὰς ἐννοίας ἐχρήσατο· τοῖς δ' εὐγνωμόνως

ἀκουσομένοις πρὸς τὴν τῶν λόγων χρείαν διαιρεῖ
καταλείπει. Οὐδὲ γὰρ αὐτὸς λέγει τά γε τοιαῦτα
πόρρω τῶν διπλῶν ἐκείνων ἐμφάσεων, ὧν αἱ μὲν
πρὸς τὴν τοῦ Πνεύματος ὕπαρξιν, αἱ δὲ πρὸς τὴν
πέμψιν, τὸ τῆς προόδου ῥῆμα συνέλκουσι. Καὶ θαυ-
μαστὸν οὐδέν· ὅπου καὶ τὸν Υἱὸν ἐκ τοῦ Πατρὸς
ἐκπορεύεσθαι Κύριλλος ἔφη που ἀντὶ τοῦ γεννᾶσθαι
τὸ ῥῆμα παρειληφὼς, ὅθεν εἰ καὶ τοῦ Αὐγουστίνου
τὴν λέξιν εἰς τὸ ἐκπορεύεσθαι ἑρμηνεύσει τις ὑπὸ
Λατίνων βεβιασμένος, οὐδ' οὕτως ἀνάγκη τὸ Πνεῦμα
διὰ τὴν Αὐγουστίνου λέξιν ὑφίστασθαι καὶ ἐξ Υἱοῦ.
Πολὺ γὰρ οἰκειότερον ἐπὶ τῆς λοιπῆς πρόοδου μετα-
φέρειν τὴν λέξιν, καὶ ἀμφοῖν τῷ Πνεύματι πρεπου-
σῶν (καὶ ἀΐδίως γὰρ ἐκ τοῦ Πατρὸς πεῖται καθ'
ὑπόστασιν, ἐκ τοῦ Πατρὸς τὸ εἶναι λαμβάνον, καὶ ἐκ Πατρὸς καὶ Υἱοῦ τοῖς πιστοῖς πνεῖται, τουτέστι κατὰ τὰς πνευματικὰς ἐνεργείας δίδοται καὶ μετέχεται), ἢ πρὸς τὴν γέννησιν ἕλκειν, ἧς οὐδαμῶς τῷ Πνεύματι μέτεστιν· ὃ τῷ Κυρίλλῳ γενναίως πάνυ τετόλμηται, ὁλοσχερέστερον εὐσεβῶς ἐκλαμ-
βανομένῳ τὴν λέξιν, ὅτε δὴ καὶ μόνον τὴν ὁμωνυ-
μίαν τοῦ ἐκπορεύεσθαι τῇ τοῦ Πνεύματος ὁμωνυμίᾳ συνῆψεν ἄν τις εὐλόγως ἐν τοῖς περὶ τοῦ Πνεύματος λόγοις, εἰ τὰ τῶν ἐκ τῆς ἑσπέρας Πατέρων οὕτω πρὸς βίαν ἡρμήνευτο, κανόνι τῷ τοῦ Κυρίλλου χρώμενος τρόπῳ, ὃν ἅπαξ ἐκαινοτόμησεν, ἐπὶ δυοῖν ὑποστάσεων καὶ εἴδει διαφερουσῶν προόδων τῷ ἐκπορεύεσθαι κεχρημένος. Καίτοι γε ἐπὶ μὲν τῶν ἄλλων ἁπάντων, εἰ τὸ προϊέναι ὁμώνυμον, οὐδὲν κωλύει καὶ τὸ ἐκπορεύεσθαι τοιοῦτον εἶναι· ἐπὶ δ' ἄρα τῆς ἱερᾶς θεολογίας τῷ μὲν ἐκπορεύεσθαι μό-
νην τὴν ὕπαρξιν εὑρίσκομεν τοῦ Πνεύματος πάντες δηλοῦντας, τῷ δὲ προϊέναι κατακεχρημένους ἐπὶ ταύτης τε καὶ τῆς πέμψεως, ὧν τῷ τύπῳ καὶ ἡμᾶς ἔπεσθαι δίκαιόν ἐστι. Τὸ δὲ τὸν μὲν Υἱὸν συναίτιον λέγειν, τὸν δὲ Πατέρα ἀρχοειδῆ αἰτίαν καλεῖν, καλῶς ποιῶν οὐκ ἐπῄνεσας· ἄνευ γὰρ τοῦ τὸ συναίτιον διαιρεῖν, αὐτοὶ δὴ μίαν ἀρχὴν τὰς ὑποστάσεις ἄμφω καλοῦσιν, ὥστε λοιπόν ἐστιν αὐτοὺς ἀντι-
φάσκειν, εἰ καὶ οἷόν τε ἦν μίαν ἀρχὴν εἶναι τὰ μὴ καθ' ὃ εἰσιν ἕν, ἀλλ' ᾗ δύο μᾶλλον, προῄγοντ' ἄν, εἴπερ προῆγεν, ποῦ τὴν τοῦ συναιτίου λέξιν εὗρον κειμένην ἐπὶ τῶν θείων; ἀλλ' οὐχὶ μᾶλλον καὶ ταύτην καινοτομοῦσι. Ποῦ τὸ ἀρχοειδῶς εὕρηταί τις λέγων τῶν μακαρίων; Ἀλλ' ἀρχικῶς μᾶλλον ἐκ τοῦ Πατρὸς φαῖεν τὸ Πνεῦμα προϊέναι τινὲς, ὡς ἂν ἐκφήνωσιν ἐκ τοῦ Υἱοῦ τοῦτο μὴ ἀρχικῶς προϊέναι, ἀλλὰ μᾶλλον πεμπτικῶς τε καὶ μεταδοτικῶς, οἵῳ κἂν ἑαυτοῦ προελθεῖν ῥηθείη γε τρόπῳ, καὶ ἑαυτοῦ δῶρον ὄν, καὶ τῇ τοῦ ἐπιῤῥήματος τοῦδε προσθήκῃ τὸ κατὰ τὴν λέξιν ἀδιόριστον τοῦ προϊέναι καὶ τῆς πρόοδου διορίσαντες ἐξιάσωνται. Οὐ γὰρ βραχείαν ᾔδεσαν τὴν διαφοράν, ἢ ὡς ἐξ ἀρχῆς τῆς ὑποστάσεως αὐτοῦ τί ποθεν προελθεῖν τῶν θείων προσώπων, τουτέστιν ἐκ τῆς γονίμου καὶ ἀγεννήτου τούτων αἰτίας, ἢ πρὸς τὴν τῆς κτίσεως εὐεργεσίαν ὁρμηθῆναί ποθεν κατὰ τὴν ἐνέργειαν, τουτέστιν ἐκ τῆς ὁμοίου τῶν τριῶν προσώπων θελήσεως. Ἢ τὸν Υἱὸν ἦν ἀνάγκη γεννᾶσθαι πεμπόμενον ἐκ τοῦ

Πνεύματος· προϊέναι δ' οὕτως ἐκεῖθεν αὐτὸν, καὶ ἡ A
Γραφὴ καὶ πάντες οἱ Πατέρες συμφθέγγονται. Καὶ
εὐλόγως. Ἐπεμψε γὰρ εἰς τὴν σάρκα καὶ τὴν ἐν
ταύτῃ φανέρωσιν τὸν Υἱὸν τοῦ Θεοῦ οὐχ ὁ Πατὴρ
μόνον, ἀλλὰ δὴ καὶ τὸ Πνεῦμα, συνευδοκῆσαν σφί-
σιν τὴν οἰκονομίαν ἐκείνην, ὡς δὴ ἓν ἔργον αὐτὴν
τῆς Τριάδος σύμπασης ἐν τῷ τοῦ Υἱοῦ συγκατα-
πραξαμένης προσώπῳ. Ὡς δὲ καὶ τὸ Πνεῦμα τὸ
ἅγιον ἀρχὴν μὲν ἔχει τὸν Πατέρα μόνον περι-
φανῶς, πρὸς δὲ τὴν κτίσιν ἀεὶ καὶ ἐκ τοῦ θείου
πέμπεται Λόγου, ὡς οὐχ οἷόν τε καλῶς τε καὶ εὖ
ἔχειν αὐτὴν ποτε μὴ τῷ θείῳ Πνεύματι κυβερνω-
μένην· καὶ ποτὲ μὲν ἀμυδρότερον, ἄλλοτε δ' ἣν
πληρέστερόν τε καὶ φανερώτερον, οὐ μᾶλλον αὐτὸ
πέμποντος τοῦ Υἱοῦ ἢ καὶ ὑφ' αὐτοῦ τε πεμπόμε-
νον, ἅτε κοινὴν τὴν τοῦ Πνεύματος χάριν καὶ τῶν B
τριῶν προσώπων συναφιέντων· ἧς διδομένης τε καὶ
ὑπὸ τῶν ἁγίων λαμβανομένης, καὶ δι' αὐτῆς πρὸς
τὴν τοῦ Θεοῦ κοινωνίαν ἀναλαμβανομένων τῶν
ἀνθρώπων, ὡς ἔξεστιν, αὐτὸ τὸ Πνεῦμα πέμπεσθαι
λέγεται. Τὸ δὲ ἀρχοειδῆ μὲν τὸν Πατέρα λέγειν
αἰτίαν τοῦ Πνεύματος, τὸν δὲ Υἱὸν συναίτιον, συμ-
φωνεῖτον μὲν αὐτοῖς, ἀλλ' ἐπί γε τῷ χείρονι· τὰ
γὰρ συναίτια πάντα πρὸς τὰ ἀρχοειδῶς ποιοῦντα
ὀργανικῶν αἰτίων ἔχουσι τάξιν· καὶ ταῦτα μόνα τῇ
τῶν συναιτίων λέξει καλῶς οἱ περὶ τούτων εὖ εἰδό-
τες προσαγορεύουσιν. Διὸ καὶ τῆς Ἀρειανικῆς οὐκ
ἀπάδειν δόξῃς εἰδότες· τὸ τὸν Υἱὸν συναίτιον τῷ Πα-
τρὶ τῶν κτισμάτων καλεῖν, ἐφείσαντό γε καλεῖν
οὕτως οἱ θεολόγοι, εἰ μή πού τις πρὸς ἀνάγκην
λόγων τινὰ κατεχρήσατο, ἀλλὰ μᾶλλον αἴτιον ἐν καὶ
μίαν ἀρχὴν ἄμφω τε καὶ τὴν Τριάδα ὅλην καλοῦσιν, C
ὡς, ἥ εἰσιν ἄμφω τε καὶ πάντα Θεὸς εἷς, ταύτῃ ἀπ'
αὐτῶν τῆς κτίσεως γενομένης· μήτε γὰρ οἷόν τε
εἶναι ὑπάρχειν τι Πατρὶ καὶ Υἱῷ, ὃ μὴ καὶ τῷ
Πνεύματι πρόσεστι, μήτε, εἴ τι μὴ ἐφαρμόττοι τῷ
Πνεύματι δι' ὅτιοῦν, τοῦτ' ἂν ἐγχωρεῖν, τῷ Πατρί
γε πρόσον, καὶ ἐς τὸν Υἱὸν κοινωνικῶς διαβαίνειν.

Πάντα μὲν οὖν ἐκεῖνα σοφῶς τε καὶ ἀληθῶς εἴ-
ρηκας, ὡς ἂν μὴ καθ' ἕκαστον ἐπαναλαμβάνων,
περιττόν τι δόξαιμι πράττειν. Ὧν δὲ μάλιστα χάριν
ἔχω σου τῇ σοφίᾳ μεγίστην, ἐρῶ, τούτων ἕνεκα καὶ
ἐπισείλαί σοι ταῦτα βαλόμενος κατὰ νοῦν. Ἐν τῇ
πόλει ταύτῃ δυσί τισι λόγοις τοὺς ἁπλουστέρους
ταράττουσι καὶ κλονοῦσιν οἱ τῆς πρὸς Λατίνους D
μεταθέσεως προϊστάμενοι. Καλῶ δὲ οὕτω καὶ τοὺς
λανθάνοντας πάντας· οὗτοι γὰρ καὶ τῶν φανερω-
τάτων οἱ χείρους εἰσί. Καὶ πρῶτα μὲν οὐδὲν δεινὸν
φασι Λατίνους ἡμᾶς ἐνοῦσθαι κατὰ τὴν δόξαν· εἰ
γὰρ καὶ ἀσύνηθές τι τὸ σφίσι λεγόμενον, ἀλλ' ἀλη-
θὲς εἶναι δύναται, μηδενὸς ἐντεῦθεν ἀτόπου συμβαί-
νοντος, καὶ Λατίνους, μηδὲν τοιοῦτον ἕπεσθαι πε-
πεισμένους, οὕτω χαίρειν ὡς ἀληθευούσῃ τῇ δόξῃ.
Καὶ εἴ γε βούλοισθε, φησὶν, ἀναστάντες ἐκηρύ-
ξουσι φανερῶς τοῖς ἀτόποις ἐκείνοις δόγμασί
ποτε τεθειμένοις, καὶ καθ' ἑαυτῶν, εἰ τιθέμενοι
κρύπτοιντο, τὴν τοιαύτην δήπου φέροντες ψῆφον·
καὶ ὡς οὐδενὶ συγχωροῦσι τῶν ἐκ τῆς δόξης ταύτης
ὑποπτευομένων δεινῶν, καὶ λόγοις καὶ γράμμασι

καὶ πᾶσι τρόποις ἔσονται ἔξαρνοι. Καὶ οἴονται
Λατίνους ἱκανόν τι δώσειν ἡμῖν τοῦτο διδόντας· καὶ
αὐτοὶ μετ' ἐκείνων ἐνωθήσεσθαι φρονίμως ἐλπί-
ζουσιν, οὕτως ἡνούμενοι· καὶ πολλοῖς, ὅπερ εἶπον,
τῶν ἀμαθῶν δοκοῦσί τι λέγειν οἱ πλείους τῶν ταῦτ'
ἀξιούντων, οὐδὲν ἐκείνων ὄντες σοφώτεροι. Ἡμεῖς
δὲ μετὰ πολλῶν ἄλλων τὰ τοιαῦτα εἰδότων. Ἔτι γὰρ
ἡ πόλις πεπαιδευμένους τρέφει τινὰς, πολλάκις
αὐτῶν τὴν πλάνην ἐλέγξαντες, ἔτι δὲ καὶ τὴν
κακουργίαν ἐνίων, ἐδόξαμεν ἐπαχθεῖς· καὶ δοκοῦμεν
ἔτι φιλονεικίας χάριν κενῆς τὴν μετὰ Λατίνων
ἕνωσιν εἴργειν. Καίτοι τί ἂν γένοιτο τούτου σαφέ-
στερόν τε καὶ δικαιότερον, ὅτι τὴν ἐξ ἀρχῆς ὑπό-
θεσιν αὐτοὺς ἀνατίθεσθαι δεῖ μᾶλλον, ὡς ἔφησθα,
καὶ περὶ τῶν ἀτόπων ἐκείνων οὔτ' αὐτοὺς δεήσει
πράγματ' ἔχειν ἐξαρνουμένους αὐτὰ, οὔθ' ἡμᾶς B
αὐτοῖς ἐγκαλεῖν ὡς ἐκείνοις ἐνεχομένοις. Ἕως
δ' ἂν τὴν τῶν ἀτόπων ἀρχὴν ἐκείνων διαφυλάττωσιν
ἐν ταῖς γνώμαις τε καὶ τοῖς λόγοις, οὐδ' ἂν ἐκεῖνα
μυριάκις ἀρνήσαιντο, λέγειν τι δόξουσι· καίτοι τὸ
μὲν ἐξελεῖν τῆς κοινῆς ὁμολογίας τὴν λέξιν ἐκείνην
τὴν τὰς Ἐκκλησίας οὕτω ταράξασαν, ἢ νοῦν αὐτῇ
τὸν ἀληθῆ τε καὶ πᾶσι γνώριμον δεδωκότας ἐν τῇ
φωνῇ μόνῃ καταλιπεῖν τὴν διαφοράν, περὶ ἧς οὐδ' ἂν
εἷς νοῦν ἔχων ἠμφισβήτει λοιπὸν (περὶ δὲ τῶν ἄλλων
διαφορῶν ἄλλος ἂν εἴη λόγος), ῥᾷστον ἂν εἴη θε-
λήσασι, καὶ ἅμα τὸ σεμνὸν προδέσθαι τῷ πράγματι.
Τὸ δὲ τοσούτων τῶν ἐντεῦθεν ἑπομένων ἀδόξων ἐξάρ-
νους γίνεσθαι βουλομένους, δοκεῖν μὲν ὡς ἐπὶ τοῖς
αἰσχίστοις ἐγκαλουμένους ἀπολογεῖσθαι, κινδυ-
νεύειν δὲ καὶ ἄλλοις τισὶ λανθάνειν ἐνεχομένους (τῷ C
γὰρ ψεύδει παντὶ πλείω τὰ ἄτοπα ἕπεσθαι· καὶ ὥρι-
σται μὲν ἀπανταχοῦ τἀληθὲς, τὸ δὲ ψεῦδος πολὺ
πλείους ἐχφύει τὰς κεφαλὰς τῶν περὶ τῆς ὕδρας
μυθευομένων· καὶ εἰκός ἐστι διὰ τοῦτο καὶ ἄλλο τι
συνεζεῦχθαι τῇ θέσει ταύτῃ δεινὸν πρὸς τούτοις δὴ
τοῖς μέχρι τοῦ παρόντος ἐξητασμένοις), πολλὴν
ἑκατέροις ἔχει δυσχέρειαν. Εἶτ' οὐδ' ἔξεστιν ἡμῖν
περὶ τῶν τῆς Ἐκκλησίας δογμάτων μὴ τῷ τῆς Ἐκ-
κλησίας ἕπεσθαι τύπῳ, ὃς τοσούτων ἐτῶν ἐν τοῖς
αὐτῆς προστάταις ἐκράτησεν, εἰ καὶ οἷόν τ' ἦν
ἐξαπατηθέντα δι' ἀμαθίαν προσίεσθαι τινὰ τὴν
ἀρχὴν τοῦ φανερωτάτου ψεύδους, κηρύττοντα,
ὅτι τῷ συνεζευγμένῳ ψεύδει μεθ' ἡμῶν φησι πολε-
μεῖν. Οἱ γὰρ ἐν ταῖς οἰκουμενικαῖς συνόδοις Πατέ-
ρες (καὶ μηδεὶς θορυβείσθω τῇ λέξει τε καὶ τῷ
παραδείγματι) τοιαῦτ' ἄττα τοὺς ἐν ἑκάσταις αἱρε-
τικοὺς τερατευομένους ἀπεωθοῦντο· ὀλίγαι γὰρ τῶν
αἱρέσεων αὐτόθεν ἐπολέμουν τῇ πίστει, καὶ τοῖς
ταύτης ὄρθροις ἐμάχοντο· ἀλλὰ περιόδῳ τινὶ κατὰ
τῆς ἀληθείας· αἱ πλείους ὠφέλιζοντο, καὶ ἔδει ταύτας
μάλιστα εὐλαβεῖσθαι, ὡς ὑπὸ τούτων ἂν τῶν ἁπλου-
στέρων μᾶλλον βλαφθησομένων. Οὕτως οὖν οἱ μὲν
περὶ τὸν Εὐτυχέα πάντων τῶν ἑπομένων σφίσιν
ἀτόπων ἐγίνοντο ἔξαρνοι· οὔτε γὰρ πάθος προ-
άπτειν τῇ θεότητι τοῦ ἡμετέρου Δεσπότου Χριστοῦ,
οὔτε κατὰ φαντασίαν ἄνθρωπον αὐτὸν γεγονέναι,
οὔτε τι τῶν τοιούτων ὁμολογοῦν φρονεῖν, ἀλλα τὰ;
δύο φύσεις εἰς μίαν ἐν τῷ Χριστῷ συνελθούσας

νομίζειν ἰσχυρίζοντο μόνον, καὶ λόγους τινὰς εὑπρεπεῖς τισι δοκοῦντας τῆς δόξης ταύτης ἐκόμιζον· ἐκεῖνα δὲ πάντα καὶ τοὺς ἐκείνοις ποτὲ τεθειμένους τῶν δυσσεβεστάτων εἶναι νομίζειν ἐδόων. Οἱ δὲ περὶ τὸν Πύρρον ὁμοίως ἠρνοῦντο μὲν τὴν μίαν φύσιν καὶ τὴν ἐνέργειαν ἐν Χριστῷ, θέλησιν μέντοι μίαν τιθέντες, οὐδὲν ἡγοῦντο λέγειν δεινὸν, ἅτε τῆς κατ' ἄνθρωπον θελήσεως τῇ θείᾳ καθαρῶς ὑποτεταγμένης ἐν τῷ ἡμετέρῳ δεσπότῃ· καὶ ἐδόκουν δὴ πολλοῖς προσδεκτέοι, ταῦτα λέγοντες, καὶ βοῶντες μηδενὶ τῶν ἐπαγομένων συγχωρεῖν σφίσιν ἀτόπων. Ἀλλ' οἱ σοφοὶ Πατέρες ἐκεῖνοι τὴν θέσιν μᾶλλον ἐκέλευον ἀπορρίπτειν, καὶ ἀρνεῖσθαι μὲν τὴν μίαν φύσιν τοὺς δεινοτέρους ἐκείνους τῆς οἰκονομίας ἐχθροὺς, δύο δὲ τιθέναι θελήσεις τοὺς ὑστέρους ἀντὶ μιᾶς ἐν τῷ τῆς ἀνθρωπίνης σωτηρίας καθηγεμόνι Χριστῷ, εἴγε μέλλοιεν μὴ πόρρω τῶν ἱερῶν ἐξελαύνεσθαι, ὥσπερ δὴ καὶ ἠλαύνοντο τῇ κρίσει τῆς Ἐκκλησίας οὐ πεπεισμένοι. Καὶ ἡμᾶς οὖν τοῖς Πατράσιν ἐκείνοις ἕπεσθαι χρὴ, καὶ μὴ καινοτομίαν λύειν καινοτομίᾳ χείρονι βούλεσθαι, μᾶλλον δὲ βεβαιοῦν τὴν ἑτέρων καινοτομίαν ἐν προσχήματι λύσεως, καὶ συγκαινοτομεῖν αὐτοῖς, τοὺς τοσοῦτον χρόνον εὐλόγως ὑπὲρ τῶν πατρίων ἀνθεστῶτας αὐτῇ· εἰ μή τις φαίη καὶ τὴν Ἐκκλησίαν πολλάκις ἐξαμαρτεῖν, οὕτω γε χρίναιμεν· οὗ τί ἂν εὐσεβέσιν ἀκοαῖς ἀπηχέστερον ἐμπέσοι ῥῆμά ποτε; Οὕτω δὲ καὶ αὐτοὶ Λατῖνοι τὴν ἡμετέραν ἀνάπτυξιν (ἦ δ' ἐστὶ, τὸ μὴ καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι εἶτ' οὖν ὑφίστασθαι) οὐ προσίενται, καίτοι ἡμῶν μὲν τὴν Ἀρειανὴν καὶ Νεστοριανὴν αἵρεσιν ἔν τε τῇ καθ' ἑκάστην ὁμολογίᾳ καὶ πᾶσι τρόποις ἐξαρνουμένων, ἃς ἡμῖν ἐπισείουσιν. Αὐτῆς δὲ οὔσης ἀσφαλεστάτης, ὅτι τε γνωριμωτάτη, καὶ ὅτι δέσι μὲν τῶν ἀπειλῶν τῆς τρίτης συνόδου, αἰδοῖ δὲ τῶν μετ' ἐκείνην τεττάρων, αἳ τοὺς τῆς τρίτης νόμους ἠδέσθησαν, οὐ καὶ τῷ συμβόλῳ γε αὐτὴν ἐνεθέμεθα. Πολλῷ δ' ἂν δικαιότερον συμφωνοῖεν ἡμῖν αὐτοὶ τὴν ἀπόφασιν διὰ τὰς ἡμετέρας ἀρνήσεις, ἢ, ὡς ἡμῖν ἐξαρκοῦν ἐκεῖνα σφᾶς ἐξαρνεῖσθαι, πρὸς τὴν κατάφασιν βιάζοιντ' ἂν τὴν αὐτῶν, ταῖς τε ἀρχαῖς οὐ πάνυ συνῳδὸν ταῖς κοιναῖς, καὶ, οὗπερ οὐκ ἦν θέμις, προστεθειμένην. Ἡμεῖς τε τῇ Λατίνων ἂν τεθειμένοι δόξῃ ἁπλῶς, χεῖρον ἂν αὐτῶν ἁμαρτάνοιμεν. Αὐτοὶ μὲν γὰρ καὶ οἰόμενοι μηδὲν τῶν φαύλων ταύτῃ ἀκολουθεῖν, οὐκ ἂν ἐκόντες εἶεν, οἵους ἡ θέσις ποιεῖ. Ἡμεῖς δὲ, ὡ; ἂν βεβαίως ἡγώμεθα ἔν τι ἐκ πλειόνων συνεζεῦχθαι ταύτῃ κακὸν, δεῖ ὡς πᾶσιν ἐκόντας ἐνεχομένους εὐθύνεσθαι, εἴ γε ὡς μηδὲν διαφέρον ὀλιγωροῖμεν. Ὅθεν οὐδὲ νεμεσητέα μᾶλλον ἡμῖν ἂν εἴη Λατίνοι; ἢ διοακτέα μὲν, εἰ δύναιντο πείθειν· εἰ δ' οὐχ οἷοί τέ ἐσμεν ἐπαΐειν, ἅμα καὶ πλείστοις σοφωτέροις μὲν ἡμῶν, πιθανωτέροις δὲ ἡμῖν Λατίνων, ἑπόμενοι, μετὰ τῆς ἐπὶ τῷ οὐκ εὐπαρακολουθήτῳ συγγνώμης, καὶ τῆς εὐλαβοῦς ἀσφαλείας ἐπαινετέα, ἕως μὴ βούλωνται τῇ μόνῃ δικαιοτάτῃ ὁδῷ τὸ ἐκκλησιαστικὸν ἐξιᾶσθαι τουτὶ τραῦμα, ὡς αὐτοί γε ὄντες οἱ πλήξαντες. Πειρῶνται μὲν οὖν καὶ τὸν τῶν ἀτόπων ἐκείνων πρὸς τὴν ἐξαρχῆς ὑπόθεσιν σύνδεσμον λύειν· ἀλλὰ τοσοῦτον λύειν ἀπέχουσιν, ὥστε δι' αὐτά γε φορτικώτεροι τοῖς εἰδόσι δοκοῦσιν, ἀδοξότερα πολλῷ τιθέντες τῶν ἐξ ἀρχῆς, ἵνα μόνον δυνηθῶσι δόξαι τι λέγειν, καὶ ἵνα ὄφελος λύειν οὐ λύοντες. Ἡμεῖς δὲ σὺν τοῖς Πατράσιν ἡμῶν τὴν τῶν ἀτόπων ἐκείνων ἀκολουθίαν ἐκ τῶν τῆς πίστεως ὑποθέσεων δείκνυμεν οὕτως, ὡς ἄν τι δόξειε τῶν ἁπάντων ἑτέρῳ τῳ κατὰ τοὺς τῶν λόγων νόμους ἀκολουθεῖν. Διὸ δὴ καὶ τῶν ἑπομένων οὐχ ἧττον τὴν ἐξαρχῆς ὑπόθεσιν διωθούμεθα, ἴσον δύνασθαι ταύτῃ τε κἀκείνοις χαίρειν τε καὶ ἀπηχθῆσθαι αὖ πρός τε τὸ μετὰ τῆς ἀληθείας καὶ τοὐναντίον εἶναι νομίζοντες.

Ταῦτα τοίνυν καὶ πολλάκις εἰπόντες τοῖς ποτε (1) ἡμετέροις, καὶ ἐν βιβλίοις συνταξάμενοι πολυστίχοις, οὐκ ἔρωτι τοῦ πολλὰ συγγράφειν βιβλία, ζήλῳ δὲ ὠφελείας, καὶ πόθῳ τῆς αὐτῶν, ὡ; ᾠήθημεν, ὠφελείας, οὐκέτι σωφρονεῖν τοὺς ἄνδρας ἐπείσαμεν. Ἀλλ' ἴσως νῦν αὐτοὺς ἡ σὴ βιάσεται ψῆφος, εἰ μὴ μάτην ταύτην ἀπῄτουν. Τὸ δὲ (2) μὴ ἂν ποθ' ἡμῖν εὐσέβημα ἑνί γε τούτῳ ἀντισωθῆναι τῷ ἀσεβήματι, ὅτι τὸν Θεὸν, οἷς ποιοῦμεν, τῆς ἡμῶν αὐτῶν ἀρχῆς ἐξελαύνομεν, οἷς μὲν αἱ ἄλλαι σώζονται πόλεις, τούτων ἁπάντων ὀλιγωροῦντες, καὶ οἷς τὸ θεῖον εἴωθε χαίρειν τῶν ἀνθρωπίνων ἐπιτηδευμάτων, ἀσκοῦντες τούτων οὐδὲν, ἀλλ' ἀγιστείαις μόναις, καὶ θυώμασι, καὶ φωνῶν ἐπάρσει, καὶ σκιαῖς τισι κούφαις θεοσεβείᾳ; ἀντὶ τῶν ἔργων, καὶ ὑποκρίσεσι τῶν καλῶν οἰόμενοι τὸν Θεὸν θεραπεύειν· εἶτα καὶ προδοσίᾳ δόξης τινὸς, ἣν περὶ τοῦ θείου καὶ παρ' αὐτοῦ γε τοῦ θείου λαβόντες ἔχομεν, ὠνούμενοι τὴν ἐκ τῶν ἐχθρῶν σωτηρίαν ἐκ τῶν μήτε δυναμένων μήτε βουλομένων ἴσως ταύτην παρέχειν, ἀλλὰ γράμμασι μόνοις ἀντὶ τῶν ἔργων καὶ κεναῖς ἐλπίσι ψυχαγωγούντων ἡμῶν τὸ μιχρόψυχον. Εἰ δὲ ἠδύναντο βοηθεῖν καὶ προηρημένοι, πολὺ μεῖζον δυνησομένης ἐκείνων εἰς τοὐναντίον, φημὶ δὴ τὴν ἡμετέραν, ὅπερ ἀπεῖη. φθορὰν τῆς ὀλιγωρίας τοῦ θείου· ἧς οὐδὲν ἂν γένοιτο τεκμήριον μεῖζον τοῦ μὴ μόνον τοῖς ἄλλοις, ἀλλὰ καὶ δογμάτων τῶν ἐκεῖθεν ἡμῖν ἡκόντων ἀρνήσει, παροξύνειν ἑτοίμους εἶναι. Τοῦτο καὶ Θεοῦ φωνήν τις εἰπὼν, οὐκ ἂν ἁμάρτοι τῆς ἀληθείας. Θεοῦ γὰρ ὄντως τὰ τοιαῦτα φωναὶ, προφητῶν ἱερὰς βίβλοις ἐγκείμενα, καὶ εἰς ἔργον ἐνηνεγμένα πολλάκις, οἷς δὴ καὶ προείρητο. Καὶ τὸ εἰκὸς δὲ σφίσι συμμαρτυρεῖ, καὶ τὸ ἀνθρώπινον δίκαιον, τύπος ὄν γε τοῦ θείου, καὶ αἱ κοιναὶ τοῖς ἔχουσι νοῦν ἐνοῦσαι δόξαι περὶ τῶν θείων. Ἡμεῖς δὲ καὶ ὑπὲρ τούτων τοῖς πολλοῖς ἀπηχθήμεθα, τάσά τε δὴ ταῦτα λέγοντες πρὸς αὐτοὺς, καὶ πρὸς τούτοις ὡς, εἰ μὲν κατεγνωκότες αὐτῶν τῆς πίστεως, οὕτως ἔχουσι περὶ τὰ οἰκεῖα ψυχρῶς ὥστε) καὶ συγχωρῆσαί τισιν ἃ μήπω πρότερον ὧρμηνται, οὐχ ἑνεκά γε τῆς παρ' ἐκείνων ἐλπιζομένης

(1) Hac particula ποτε secernit atque segregat a suis eos qui ad Latinorum partes transierant. ALEX.

(2) Ellipsis Attica; quasi scriptum esset: Τοῦτο δ' ἐστὶν ὃ ἐθέλω, τὸ μὴ ἄν, κ. τ. λ. Sed pro μὴ ἄν velimus μηδὲν ἄν. ALEX.

συμμαχίας, ἀλλ', εἰ καὶ μηδὲν τοιοῦτον ἐκεῖθεν ἐπήγγελτο, τῆς ἀληθείας αὐτῆς, ἧς οὐδὲν ἀνθρωπίνῳ νῷ τιμιώτερον, τοῦτο βουλευέσθων τε καὶ πραττόντων. Ἐξέστω δ' αὐτοῖς καὶ μετατίθεσθαι φανερῶς, πρὸς ἣν ποτε βελτίω πίστιν ἐγνώκεσαν· καὶ θρησκευόντων οὕτως, ὡς ἡ πίστις ἐκείνη βούλεται. Ἄλλαις γὰρ δόξαις περὶ Θεοῦ καὶ τῶν θείων ἄλλοι θρησκείας τρόποι συνάδουσι· δεῖ δὲ καὶ δι' ἀμφοῖν εὐσεβεῖν, καὶ ταῖς ἔνδον ὑπολήψεσι περὶ τοῦ Θεοῦ κατάλληλον τὴν ἔξω λατρείαν εἰσφέρειν. Καὶ ἦν Ἐκκλησίαν ἡγοῦνται διδάσκαλον ἀληθῆ τῆς προόδου τοῦ Πνεύματος εἶναι, ταύτης καὶ τοῖς ἄλλοις πᾶσι νόμοις ἐπέσθων. Τί γὰρ δεῖ τῆς σκηνῆς αὐτοῖς καὶ τῆς εἰρωνείας; Εἰ δὲ τὴν πάτριον ἐπαινοῦντες εὐσέβειαν, καὶ νομίζοντες πάσης ἄλλης εἶναι βεβαιοτέραν, κοσμικοῦ τινος αὐτὴν ἀλλάττονται χρήματος, εἶτα νομίζουσιν εὐσεβεῖν, πῶς οὐ μωρία καὶ γέλως, μᾶλλον δὲ συμφορῶν ἡ μεγίστη τοῦτο τοῖς πάσχουσι; Καὶ τὸ μὲν ἕνα τινὰ τὸ δεινὸν τοῦτο πωθεῖν ἀφόρητον ἂν εἴη τοῖς συγγενέσι, καὶ οἷς τι μέλει τοῦ πάσχοντος· τὸ δὲ καὶ πλείους οὕτω διεφθορότας φανερῶς τὸν ἴον τῆς ἀπιστίας ἐχεῖν, καὶ ταύτην ἀξιοῦν σωτηρίαν μόνην εἶναι τοῖς πράγμασι, καὶ δοκεῖν τι λέγειν οὕτως ἐπαχθῆ (1) καὶ ἀλλόκοτα λέγοντας, ποίας δουλείας, πόσων θανάτων οἱ μήπω διεφθορότες οὐκ ἂν ἡγήσαιντο χεῖρον; Τίσι δὲ τῶν ἀνθρώπων οὐκ ὄλεθρος τὸ τοιοῦτον εἶναι δοκεῖ; Καὶ νόμοι κεῖνται πανταχοῦ τοῖς τὰ χείρω προσποιουμένοις, ἐπειδὰν ἁλῶσι τοιοῦτό τι δυσσεβήσαντες. Ὁ δὲ τοῦ Χριστοῦ νόμος ἐν τῇ τῆς γλώττης ὁμολογίᾳ τῆς ἀληθείας καὶ πάσαις ταῖς ἔξωθεν ἐπιδείξεσι τὴν σωτηρίαν τῶν πιστευόντων ἔταξεν εἶναι, ὡς μηδενὸς ἄνευ τῆς τοιαύτης μεθόδου σωθησομένου. κἂν μυριάκις ὑγιαίνοι τὰ ἔνδον. Ἀλλ' οἱ καλοὶ τῶν προγόνων ἡμῶν ἔχγονοι καὶ τὴν πίστιν ὀξιοῦσι προπίνειν τοῖς ἀγαθόν τι μέλλουσι ποιεῖν, ὑφ' οὗ τοῖς πολεμίοις ἂν ἡ πόλις ἀχείρωτος εἴη· καὶ ἀξιοῦσι δυσσεβεστάτους πάντων ἀνθρώπων εἶναι καὶ γίνεσθαι τοὺς ἐπ' εὐσεβείᾳ πάντα φρονοῦντας, καὶ οὓς πάντες μεθ' ἑαυτοὺς εὐσεβεστάτους εἶναι νομίζουσιν, ἐκ δευτερείων τὰ πρῶτα νέμοντες. Ἤ τίς ἐν Ἰνδοῖς, ἐν Αἰθίοψιν, ἐν Ἀρμενίοις, ἐν Λίβυσιν, ἐν Πέρσαις, ἐν Ἰουδαίοις, ἐν Λατίνοις αὐτοῖς, τοῖς πάντων ἐθνῶν εὐσεβεστέροις ὑπάρχουσι μεθ' ἡμᾶς, τοιοῦτό τι πρόβλημα δοὺς ἐν τῷ συνεδρίῳ, εἰ δέοι τὴν πίστιν ἀλλαττομένους ἢ πλουσιωτέρους γίνεσθαι, ἢ προσλαμβάνειν ἀρχὴν οὐκ οὖσαν, ἢ πολιορκίαν πιέζουσαν ἀπωθεῖσθαι, οὐκ ἂν εὐθὺς ἴδοι καὶ λίθου; καὶ πῦρ ἐπ' αὐτὸν ἐνεχθέντα, καὶ πᾶν ὅτιοῦν κτείνειν δυνάμενον; ὥστε καὶ δοκεῖν ἐναγεῖς εἶναι τοὺς μὴ μετασχόντας τοῦ φόνου, κἂν προσήκοντες ὦσι, καὶ τοὺς ἐκγόνους μέχρι πολλῶν γενεῶν οὐδὲν τῶν ἐπιρρήτων σεμνοτέρους εἶναι τοῖς εἰδόσι τὴν πονηρίαν τῆς ῥίζης. Ἤ τί τοὺς ἐλωκότας μὲν τοῖς ἐχθροῖς, τὴν δὲ πίστιν φυλάττοντα; ἐπαινοῦμεν; κἂν τις κτείνοιτο βιασθείς, μάρτυρα τῆς ἀληθείας τοῦτον ἡγούμεθα; Ἐπαινεῖσθαι γὰρ μᾶλλον ἐχρῆν τοὺς τἀκείνων προσποιουμένους, ἢ καὶ καθάπαξ ἀρνουμένους τὴν πίστιν, ὅτι μὴ μόνον τὴν ἐλευθερίαν οὕτως ὠνοῦνται, ἀλλὰ καὶ πρὸς τὰς μεγίστας ἀρχὰς οἱ πλεῖστοι τούτων ἀναλαμβάνονται. Τὸ δ' ἐγγύθεν οὖσαν τὴν ἀγαθὴν τύχην περιεμεῖν πῶς οὐκ ἂν ἦν μωρία σαφής, εἴ γε οἷόν τε ἦν, τῇ προσποιήσει τῆς ἀσεβείας ὠφελουμένους οὕτω πάνυ κατὰ τὸν βίον, ἅμα τι καὶ θεοφιλεῖς, ὡς πρότερον, εἶναι; Ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν, οὔτε τῷ κοινῷ τῶν ἀνθρώπων οὕτω δοκεῖ. Καὶ μηδεὶς οἰέσθω με τῶν τὰ Χριστοῦ σεβομένων ὁποιονοῦν ἐν ἴσῳ τοῖς ἀπίστοις τούτοις τιθέναι· μὴ οὕτω μανείην. Ἀλλὰ τοὺς πονηροὺς ἐκείνους συμβούλους ἐλέγχων, ταῦτά φημι· πονηροὶ γάρ εἰσιν ὄντως, δόγμα πονηρὸν εἰς τὸν βίον εἰσάγοντες· ὃ μόνοις ἂν συνήνεγκε δήπου τοῖς ὅπως πρὸς ἡμᾶς μεταθήσονται σκοπουμένοις, οἳ μόνοι τῆς ἀῤῥαγοῦς ἐχόμεθα πέτρας, καὶ οὓς ὥσπερ κανόνας ἑστάναι τοῖς ἄλλοις ἀνθρώποις ἔταξεν ὁ Θεός. Εἰ δ' ἐν τοῖς ἄλλοις πράγμασιν ὀψὲ καὶ αὐτοὶ τῆς φαύλης ἐπειράθημεν τύχης, τοῦτ' ἄλλος ἂν εἴη λόγος. Οὐδὲ γὰρ οἷόν τ' ἦν ἄλλως τὰ ἡμέτερα ἔχειν ἐκ πλειόνων ἤνω νενοσηκότα τῶν χρόνων, ἅτε συνεδρίου μὲν ἀληθοῦς οὐδαμῶς παρ' ἡμῖν ὄντος, ἀλλὰ βουλῆς εἰδώλῳ πάντων διῳκημένων· αὐτονομίας δὲ, καὶ οἰήσεως, καὶ τοῦ τῶν οἰκείων μὲν ἀμελεῖν, τοῖς δ' ὑπὲρ δύναμιν ἐγχειρεῖν, καὶ τοιούτων τινῶν παθῶν πόῤῥωθεν ταῖς τῶν ἡγεμόνων ἐνσκηψάντων ψυχαῖς· καὶ τοῖς μὲν δυναμένοις λέγειν τὰ βέλτιστα καὶ ποιεῖν, παῤῥησίας οὐδεμιᾶς δεδομένης, τοῖς δὲ κόλαξι καὶ τετυφωμένοις καὶ πλεονέκταις πάντων ἐπιτεταμμένων καὶ ταῖς ἐκείνων ὁρμαῖς· καὶ τῆς μὲν ἀρετῆς φθονουμένης ἐν τοῖς ἀσκοῦσι, τῆς δὲ πονηρίας τῶν τοῖς ἀγαθοῖς προτηκόντων ἅλων ἀπολαυούσης· καὶ ὅρκων μὲν πατουμένων, καὶ ὃ χεῖρόν ἐστιν, οὐκ ἔκ τινος ἀνάγκης ἴσως, ἀλλ' ἐκ προθέσεως· ἱερῶν δὲ πιπρασκομένων, καὶ πρὸς τὰς τῶν ἀνθρωπείων ψυχῶν προστασίας τῶν ἐχόντων ἀῤῥὸν διδόναι χρυσίον, οὐ τῶν ὠφελῆσαί τι δυναμένων, προσκαλουμένων· νόμων δὲ καὶ δικαίου μέχρι ὀνόματος τιμωμένου· προνοίας δὲ καὶ δίκης τῆς ἐκ Θεοῦ καὶ τῶν τοιούτων λόγων ἄλλως εἶναι ῥᾳδούντων· τῶν δὲ τὴν Ἑλληνικὴν ἐλωκότων νόσον, κἀκεῖ δυσσέβειαν ζῆν τε καὶ τιμᾶσθαι καὶ τοὺς συνόντας φθείρειν συγχωρουμένων, δέον τοῖς ἐσχάτοις κατευθύνειν αὐτούς, οὗ πολὺ χεῖρον τὸ καὶ περὶ τῶν ἱερῶν δογμάτων αὐτούς τι λέγειν τολμᾷν (2), ὥσπερ τοῖς ἀδεβήλοις ὑπ' ἀδείας ἐμπυῤῥιχίζοντας. Οὐδὲ γὰρ ἐκ τῶν οὐρανῶν τινι πιστεύσαιμ' ἂν φάσκοντι, ὡς ἄρα οἷόν τ' ἐστὶ τοιούτους ὄντας τινὰς πειρᾶσθαι τύχης ἀμείνονος. Οὐδ' οἱ τὴν πίστιν ἡμῖν παραδεδωκότες, ταύτης ἐχομένους μόνον, τῶν δ' ἄλλων ὀλιγωροῦντας ἡμᾶς σωθήσεσθαί τε καὶ εὐμενοῦς πειράσεσθαι τοῦ θείου, προὔλεγόν τε καὶ συνεβούλευον, ἀλλὰ τοὐναντίον δεῖν μὲν καὶ πίστεως ὑγιοῦς καὶ ἠθῶν σπουδαίων μετ' εὐσεβείας

(1) Cod. ἀπειχθῆ, unde falso suspicetur quis ἀπεχθῆ.
(2) Hoc vero aperte contra Plethonem. ALEX.

τοῖς κάνταῦθα βέλτιον πράξουσι καὶ μετὰ ταῦτ' εὐ- A
δαιμόνως βιωσομένοις· ἐν δὲ τῇ παρούσῃ ζωῇ, καὶ
πρὸ τῆς ἐν τοῖς λόγμασιν ἀληθείας, τὴν ἄλλην εὐσέ-
βειαν καὶ δικαιοσύνην μέγα τοῖς αἱρουμένοις εἶναι
πρὸς εὐτυχίαν ἐφόδιον, ὡς ἐκείνης τῆς μείζονος
ἀρε-ῆς ἐν τῷ μέλλοντι βίῳ μᾶλλον τῶν καρπῶν τε-
θειμένων. Εἰ δ' ἡ πίστις ἡμῖν οὐκ ἀρκεῖ πρὸς οὐδε-
τέραν εὐδαιμονίαν ἄνευ τῶν ἄλλων, τί χρὴ προσδο-
κᾷν, εἰ καὶ τῶν εἰς ταύτην ἀνηκόντων τινὸς ἔξαρνοι
γεγονότες, καὶ Θεῷ καὶ Πατράσι καὶ διδασκάλοις
πᾶσι προσκόψαιμεν, ὥσπερ ἐκ πολλῶν ἑνὶ πείσματι
τὸ μὴ προσρῆξαι ἂν ταῖς πέτραις πιστεύοντες, εἰ
γένοιτό τις τοῦ κλύδωνος ἄνεσις, εἶτα καὶ τοῦτο ταῖς
ἑαυτῶν χερσὶ τέμνοντες.

Ἀλλὰ πολλὴ ἐστιν ἐλπὶς ἐπὶ τῷ καλλίστῳ Βασι- B
λεῖ (1), οὐχ ὅσον ἐς θεοσέβειαν ἧκει μόνον, ἀλλὰ δὴ
καὶ ἐν ἅπασιν ἀγαθοῖς· πολύ τι δι' αὐτοῦ τὰ ἡμέτερα
ἐπιδώσειν, ἔμφρονος ἡγεμονίας ὀφθῆναι νῦν ἀπολαύ-
σαντα. Θεὸς δὲ δοίη καὶ ἔργῳ τῆς ἐλπίδος πεῖραν
λαβεῖν. Εἰ δέ τις ἀξιοίη, μετὰ τῆς ἀληθείας ὄντων
ἡμῶν, τοὺς μικρόν τι ταύτης ἐκκλίνοντας οὐστινα-
οῦν ὁμοίως ἡμῖν τῆς μελλούσης ἀξιοῦσθαι ζωῆς ἔχ
γε τῆς πίστεως, καὶ διὰ τοῦτο μηδὲν εἶναι δει-
νὸν τοῖς ἄλλο τι μέλλουσιν ὠφελεῖν πρὸς τὰ χείρω
συγκαθέναι, λήσεται πάντας αἱρετικοὺς ὅ γε τοιοῦ-
τος καὶ τοὺς ἀπίστους ἅπαντας εἰς τὴν οὐράνιον εἰσ-
άγων λῆξιν, τῷ λόγῳ τῆς παρ' ὀλίγον διαφορᾶς οὐ
δυνάμενος εἴργειν οὐδένα. Δόξαι γὰρ πᾶσαι περὶ Θεοῦ
οὐκ ἀληθεῖς, τῷ παρὰ μικρὸν διενηνοχυῖα τῆς κυ- C
ριωτέρας ἡ χείρων ἐν ὀτῳοῦν, βαθμῷ τινι καὶ τάξει
τῆς ἀληθείας ἀποπεπλάνηνται. Τῶν οὖν τὴν πρώ-
τὴν τῆς ἀληθείας ἀπόστασιν πεπονθότων εἰσαγομέ-
νων εἰς τὴν ζωὴν, ὡς αὐτοί φασι, καὶ τοὺς ἴσῳ μέ-
τρῳ ταύτης ἀφεστηκότας εἰσάγεσθαι χρὴ τῷ αὐτῷ
δικαίῳ καὶ λόγῳ· καὶ τοῦθ' οὕτω προβαίνον μερί-
τα; ποιήσει τῆς ζωῆς ἐκείνης καὶ τοὺς ἐσχάτως ἅρα
πεπλανημένους. Εἰ δὲ τοῦτο τῶν καθάπαξ ἀδυνάτων
ἐστὶ, καὶ τί περὶ τῶν καὶ μικρὸν τῆς ὀρθῆς πίστεως
ἐκκλινόντων ἅπας ἀποφαίνεται νόμος, ἴσμεν καλῶς,
σκοπείτωσαν, οὗ τὰ τῶν ἐλπίδων σφίσιν ἐστὶν, οἱ
μικρὸν ἡγούμενοι τὴν τῆς ἀληθείας πρώτην ἀπό-
πτωσιν, καὶ ταῦθ' ἑκοῦσι γεγενημένην, χάριν τοῦ
κοσμικοῦ τινος τυχεῖν ἀγαθοῦ ἢ δεινοῦ τινος ἀπαλ-
λαγῆναι προσκαίρου. Εἰ δὲ τὸ τῆς ἑνώσεως καλὸν D
ἡμῖν καὶ τοὺς ἐκεῖθεν μισθοὺς προτείνοντες ἡγοῦν-
ταί τι λέγειν, μανθανέτωσαν αὖ, ὡς ἑνοῦσθαι μὲν
τοῖς ἐσχισμένοις συμφέρει· τοιοῦτοι δ' οἱ τῆς κοι-
νῆς ἀποῤῥηγνύμενοι γνώμης, καὶ τὸ δοκοῦν αὐτοῖς
χωρὶς ἡγούμενοι κύριον· τὸ δὲ προσλαμβάνειν τοὺς
σχιζομένους, ὅπερ ἂν ἁρμόττοι μᾶλλον ἡμῖν, οὐ τὸ
συγχωρεῖν ἐστι ταῖς καινοτομίαις καὶ συγκαταφρο-
νεῖν τῶν ἀρχαίων τοῖς πρώτοις τοῦτο θελήσασιν,
ἀλλὰ τὸ πείθειν ἐκείνους, ὥσπερ πρότερον, σωφρο-
νεῖν, τὴν ἰδιορυθμίαν (2) καὶ τὴν ἔνστασιν ἀρνουμέ-
νους, ᾗ τὸν σύνδεσμον λύουσι. Τὰς δ' ἐλπιζομένας
τοῖς ταῦτα λέγουσι βοηθείας εἰδώλων καὶ κούφης
σκιᾶς οὐδὲν διαφέρειν οἱ τὰ ἐκεῖθεν εἰδότες ἴσμεν
καλῶς· καὶ τοῦτ' ἐστὶ τὸ δεινότατον, καὶ ὃ λέληθε
τοὺς πολλοὺς, ὅτι πειθομένοις ἡμῖν ἃ συμβουλεύου-
σιν οὗτοι, ὑποστῆναι μὲν τὴν αἰσχύνην καὶ τὴν ζη-
μίαν ἐν τοῖς καιρίοις, τῶν δὲ μετὰ ταῦτα προσδο-
κωμένων διαμαρτεῖν ἁπάντων συμβήσεται, καὶ τοὺς
πολεμίους προσπαροξῦναι, δι' ὑποψίας ποιουμένους
τὴν ἕνωσιν. Ἐχρῆν δὲ τὸ μὲν Λατίνοις ἑνῶσθαι καὶ
πᾶσιν ἀνθρώποις τοῖς δικαιοτάτοις τρόποις ζη-
τεῖν, εἰ καὶ γῆς ἁπάσης ἐτυγχάνομεν κύριοι· τὴν
δὲ πρὸς τὸν Θεὸν καὶ τοὺς Πατέρας αἰδῶ μήτε Λα-
τίνων εἵνεκα, μήτε τῶν συγγενῶν αὐτῶν, προδιδό-
ναι, εἰ μέλλοι τις, ἐκείνην τηρῶν, ἀνθρώποις τε
πᾶσι καὶ ταῖς σαρξὶ πολεμίως χρῆσθαι ταῖς ἑαυτοῦ.

Ἀλλὰ τούτων οὐδὲν ἔνιοι συνορῶντες, τί μὲν οὐ
λέγουσι, τί δ' οὐ ποιοῦσι, τὰς τῶν μετρίων ψυχὰς
ταράττειν δυνάμενον; Τῶν δὲ μηδὲν διαφέρειν λε-
γόντων, ἃ τε νῦν Λατῖνοί φασι, καὶ ἃ, τοῖς ἡμετέ-
ροις Πατράσι καὶ διδασκάλοις δόξαντα τὴν ἀρχὴν,
καὶ ἡμῖν ὁμοίως δοκεῖ, περὶ ὧν ἀμφισβητοῦμεν Λα-
τίνοις, ὡς εἴ τις λέγοι μηδὲν διαφέρειν τὴν κατάφα-
σιν εἰπεῖν ἢ τὴν ἀντικειμένην ἀπόφασιν περὶ ὁτου-
οῦν, τούτων οὐδὲ φρονίσαι χρὴ, τοιούτων γε ὄντων.
Οἱ δὲ τούτων δεινότεροι βραχέα μὲν τοῦ ἱεροῦ καὶ πα-
δήμου διδασκαλείου, νέθου δέ τινος ἑτέρας διατριβῆς
καὶ οὐδ' ἀνεκτά γε τὰ πλεῖστα πρὸς κατασκευὴν τοῦ
δόγματος λέγοντες, θαυμάζειν ποιοῦσιν ἡμᾶς, εἰ καὶ
ἡ τῶν Ῥωμαίων Ἐκκλησία, ταῖς ἀρχαῖς ἐκείνοις
τεθεμένη, συμπερᾶνοι τὸ πρόβλημα. Πολὺ γὰρ
πλέον ἀμφισβητοῖμεν ἂν αὐτῇ περὶ τῶν ἀρχῶν,
ὅσῳ καὶ μείζων σφίσιν ἔνεστι κίνδυνος· τῶν γὰρ
χειρίστων οὐδέν τι βελτίους εἰσίν. Ἀλλ' οἷς ἐξεύ-
ρηνταί τινες ὁδοὶ πρὸς εἰρήνην, ἀρνήσεις ὧν οὐδεὶς
ἐγκαλεῖ, καὶ συγχωρήσεις ὧν οὐδεὶς ἀπαι-
τεῖ, καὶ τοῦ δόγματος βεβαιώσεις ἐν προσχήμα-
τι λύσεως, μόλις ἐθνογενεῖς τινας καὶ σκαπανέας
καὶ τοχογλύφους ἐξαπατῆσαι δυνάμεναι, ἤ τινας τῶν
καὶ πρὸ τούτου συνηρπασμένων (ὀλίγη δὲ (3) καὶ
τούτων φροντίς)· ἀλλ' οἱ ταῖς ἄλλαις μηχαναῖς
ἐκείναις τοὺς ἁπλουστέρους παράγειν πειρώμενοι,
οὗτοι δὴ καὶ τῶν φανερῶς ἀνθεστ.των, ὅπ ρ εἰπὼν
ἔφθην, οἱ χείρους.

Τούτοις πᾶσιν, ἄριστε, τὴν σὴν σοφίαν ἀντέτα-
ξας, ἀεὶ μὲν οὕτω καὶ πρόσθεν πεποιηκὼς, νῦν δ',
εἴπερ ποτὲ, ἐν καιρῷ, καὶ μετὰ πολλοῦ τοῦ περιόν-
τος αὐτῶν καθικόμενος λόγοις ἀῤῥήκτόν τινα τὴν
ἰσχὺν κεκτημένοις, οὐ τῆς ἐνούσης σοι τέχνης μᾶλ-
λον ἢ τῆς τῶν λόγων ὕλης τοῦτο παρασχομένης·
ἀληθείας γὰρ ὑπεραγωνιζομένῳ καὶ τοῦ Θεοῦ, μένος
ἐμπνευσθῆναί τι προσῆκεν ἐκεῖθεν. Ἄλλοι τε οὖν
πολλοὶ σοὶ μεγίστην εἴσονται χάριν καὶ δι' ἐμὲ, κἀγὼ
πρὸ πάντων ἐν τοῖς τιμίοις ἕξω σε καὶ τὰ σὰ πολλῷ
πλέον ἢ πρόσθεν, οὐ τῶν ἐν ἀρχῇ μόνον εἰρημένων
ἕνεκα, ἀλλ' ὅτι δὴ καὶ τὸ ὑπὲρ Λατίνων ἐκεῖνο βι-
βλίον ἡμῖν μὲν οὐκ ἐδείκνυον οἱ σοὶ πεπομφότες, τὴν
σὴν ὑπὲρ αὐτοῦ ψῆφον ἁρπάσειν πρὶν ἡμῖν ὀφθῆναι

(1) Constantinum innuit recens regnantem.
(2) An potius ἰδιορρύθμιαν?

(3) Hæc nos in parenthesi, ne quis δὴ pro δὲ legi velit. Alex.

νομίζοντες. Εἴτε δὲ καὶ πρότερόν, εἴτε καὶ μετὰ A
ταῦτά τις αὐτῶν ἐδείκνυ γε καὶ ἡμῖν, οὐδεὶς ἦν ἡμῖν
ἐγίνετο λόγος περὶ αὐτοῦ τε καὶ πρὸς αὐτόν, οὐχ
ὑπεροψίᾳ αὐτοῦ τε καὶ τῶν γραψάντων. Τοῖς μὲν γὰρ
οὐκ ἐξ ἡμῶν γε, τοῦ δόγματος ἡττημένοις, οὐ δέον,
ἀλλ' ἐκ Θεοῦ τὴν κρίσιν γίνεσθαι δεῖ. Τῷ δ', ὡς ἐν
Λατίνων συνηγορίᾳ, καί τινος ἀρτιστομίας μετῆν,
οὐδὲ καθάπαξ ἦν ἀδιέργαστον, [εἰ μὴ, (1)] πρὸς τὴν
ἐκ Πατέρων ἡμῖν μόνον καθήκουσαν πίστιν καὶ, ὡς
πεπείσμεθα, ἀληθῆ, πλεῖστά που διενήνεκτο· οὕτω
γὰρ δεῖ ἔχειν, εἴς τι τῇ δόξῃ Λατίνων ἔνεστι συνῳ-
δὸν, οὐδὲ δι' ἄλλο τι. Τῷ δὲ, πολλάκις περὶ τῶν
τοιούτων καὶ γραφῇ πεφιλοτιμημένοι καὶ λόγων
πολὺ βιαιοτέροις ὅπλοις τῶν ἐν γραφῇ, κόρον ἤδη
λαβεῖν, ἄλλοις ἂν τὸν ἀγῶνα τοῦτον ἐλείπομεν. Ἀλλὰ
σύ γε λαβών, οὐκ ἀπηξίωσας αὐτῷ τι καὶ ἀντιγρά- B
ψαι, πάνυ καλῶς ποιῶν· οὐ γὰρ ὡς ἐκείνῳ μᾶλλον
ἀντερῶν ἢ τοῖς πέμψασι χαριούμενος· καὶ τοὺς μὲν
δι' ἄγνοιαν προσέξειν ἀντὶ τῶν πατρίων τοῖς ὑπερ-
ορίοις κινδυνεύοντας ἀποστήσων, δείξων δὲ τοῖς
μήπω καλῶς εἰδόσιν, ὅπως ταῖς χθὲς καὶ πρότριτα
κεκινοτομίαις οὐδ' αὐτὸς τεθειμένος, ἕτοιμος εἶ καὶ
συναγορεύειν, ἐπειδάν ποτε δέῃ, τοῖς πρὸς αὐτὰ
ἱσταμένοις. Διὸ καὶ πρὸς ἕκαστα μὲν τῶν ἐν τῷ
γράμματι οὐκ ἠνέσχου δοῦναι σεαυτὸν, οὐδ' ἐλέγξαι·
τὸ δὲ βάθρον ἅπαν ὑπορύξαι δεῖν ᾤου· οὕτω γὰρ
ἂν καὶ τὴν ἐπιτεθειμένην αὐτῷ τῶν λόγων κατα-
σκευὴν πεσεῖσθαι κατασεισθεῖσαν. Ἅμα δέ τινα καὶ
συνηγορίαν τἀληθοῦς τοῖς λόγοις προσέπλεξας, καὶ
τοῖς οἰομένοις ἢ λέγειν τι πιθανὸν τοὺς ἀρνουμένους C
τὰς ἀτοπίας μενούσας ἐπὶ τῆς θέσεως (καὶ πρὸς
ἐκείνας ἀναμῖσθητήτως φέρῃ μετὰ τοῦ λόγου), ἢ
συνοίσειν τι τοῖς πράγμασι τὰ μὴ κατὰ Θεὸν αὐτοῖς
μελετώμενα, νοῦν τινα περὶ ἀμφοτέρων τούτων ἐν-
έθηκας, εἴ γε βουλήθείεν λαμβάνειν, οἵτινες ἂν
ποτε εἶεν οὗτοι. Σὺ μὲν οὖν τῷ ἡμετέρῳ δεσπότῃ
Χριστῷ μεγίστην ἂν εἰδείης τὴν χάριν. Τὸ μὲν γὰρ
σὺν τόκῳ σοι τὰς ἀναρμοστίας ἀντιστρέφειν ἐκεῖ-
νας ῥᾴδιον ὄν, οὐκ ἂν ἡμέτερον ἦν, ὡς γ' ἐν τῷ νῦν
σχήματι (2)· τὸ δὲ καὶ συναγορεύειν ὡς φίλα που
λέγοντι, ἐκ τῆς κατὰ Χριστόν σοι γέγονεν ἀληθείας,
ἣν ἐν τῷδέ σου τῷ συγγράμματι προστησάμενος τοῖς
ἐκείνῃ που πλέον συνᾴδουσιν, ἀντὶ Λατίνων συνέστης
ἡμῖν, καὶ ἀμφοτέρων τῷ Χριστῷ προσκειμένων.
Ἐγὼ δὲ χάριν ὑπὲρ πάντων εἰδὼς αὐτῷ, μισθόν D
τινα ἐκεῖθεν μενῶ, ὧν τε τῇ σῇ φιλίᾳ προσέκρουσα,
προφάσει τοῖς ὑπὲρ Ἀριστοτέλους χρησάμενος λόγοις
(ἄλλως γὰρ οὐδενί ποτε ἀνθρώπων ἐπαχθὴς ὤρθην
λόγῳ τε καὶ ἔργῳ μηδενὸς εἵνεκα), καὶ ὧν ἐν Τιθω-
νείῳ σύ τε τῷ γήρᾳ οὐ μᾶλλον νεανιεύσασθαι προ-
ήχθης ἢ παραφθέγξασθαι· ἀρκεῖ γὰρ οὕτως εἰπεῖν,
καὶ σύ γ' ἂν συγγνοίης τοσοῦτον ἀντὶ πολλῶν τῶν
πανταχόθεν σῶν λέγοντι. Καὶ εἴπερ οἷόν τε ἦν, εὐ-
ξάμην ἂν καὶ μάτην ἠνωχληκέναι σου τῇ φιλίᾳ· σύ
τε γὰρ οὐκ ἂν ἤσθα χείρων, καὶ ἡμῖν τό γε συνειδέ-
ναι καλῶς ὑπ' οὐδεμιᾶς χείρονος κεκινῆσθαι προφά-
σεως ἐξήρκεσεν ἂν πρὸς τοὺς φιλοσοφίας τε καὶ φι-
λίας νόμους, ἐπί τε Θεοῦ καὶ πάντων ἀνθρώπων δι-
καζομένους. Ἀλλὰ καὶ ταύτην ἡμῶν ἀφείλου, φεῦ!
τὴν ἐλπίδα, πρὸς τὰ ἐν τῷ τέλει τοῦ βιβλίου σιωπή-
σας ἐκών. Οὐ γὰρ ἄν τις πεισθείη ῥᾳδίως, ἄνευ τῶν
ἐπιλόγων μόνων τὸ σύμπαν ἀφῖχθαί σοι Πλάτωνός τε
καὶ Ἀριστοτέλους τῶν διαφορῶν πέρι. Καὶ δεύτερον
λόγον ἐνίστασι σὸν Θεῷ· ἔγκεινται γὰρ οὐκ ὀλίγοι,
καὶ οὐκ ἐάσειν φασὶν, ὑπερορᾷν προαιρούμενον·
ὅθεν συγγνώσῃ βιαζομένοις, εἰ μὴ πειθοίμεθά σοι
κελεύοντι σιωπᾷν, ὀψὲ γοῦν, ὡς μηδὲν ὑγιὲς περὶ
ὁτουοῦν λέγειν ἔχοντας. Καὶ σοῦ μὲν, καὶ ὧν ἀντι-
γέγραφας, ἥκιστά γε κεκάψομαι, ὡς καὶ ἐν προοι-
μίοις εἴρηται, διά τε τάχει εἰρημένα, καὶ τὸ πολὺ
μὲν αὐτὰ ἀπέχειν τοῦ, ὡς δὴ βλαφθέντα τι ὑπ' αὐ-
τῶν, τρέψαι με πρὸς ὀργήν· αὐτὸν δ' ὑπὲρ μὲν τῶν
Ἀριστοτέλει διαφερόντων κἂν ἀγαναχτῆσαί ποτε
δικαίως, μὴ ὅτι γε ὑπὲρ τῶν ἀξυμβλήτως μειζόνων·
φέρειν δὲ ἀνεξικάκως τὰ πρὸς ἐμὲ οὐδέν τι ἧττον
Σωκράτους μεμαθηκέναι, οὗ δὴ οἶσθα ἐκεῖνο τὸ θαυ-
μαζόμενον· ἄλλως τε καὶ μηδὲν εἰδέναι οὐ νῦν πρῶ-
τον σοί γε ἰσχυριζομένῳ, ἀλλ' ἐκ πλείονος ἐμαυτῷ
πεπεισμένον, καὶ ὁσημέραι μᾶλλον πειθόμενον.
Οὔτε τοίνυν τῶν δευτέρων σοι τούτων ἀγωνισμάτων,
ἄλλως τε καὶ ὑπὸ τοιούτῳ ἤθει ἐκδεδομένων καὶ οἷον
αὐτὸς τὸ τῶν ἐμῶν λόγων εἶναι διασύρεις, ὡς λέ-
γουσι, λοιπὸν φροντίζειν με δεῖ· οὔτε τοῖς ἐμοῖς
ἐκείνοις πρῦργου συναγορεῖσαι, δεδρακότα γὰρ,
ὡς σὺ δηλοῖς ἐπαγωνιζόμενος; καὶ τὴν προτέραν σοι
ῥίψαντα συγγραφὴν, ὥστε καὶ δεῖσθαι λόγων ἑτέ-
ρων πειρωμένων αὐτὴν ἀνεγείρειν, ἅμα δέ τινος
καὶ καταφυγῆς ἐς τὸ μηδὲ πάνυ σοι σπουδάσαντι
συγγεγράφθαι· πεφροντισμένοι δὲ, οὐδ' ἂν (3) ἡμεῖς
ἐπήλθομεν δήπου, οὐδεμιᾶς ἂν δέοιντο συμμαχίας,
ἡνυσμένου σφίσι καλῶς ὃ προὔθεντο. Ἐξ ὧν δὲ περὶ
τοῖν φιλοσόφοιν ἐρῶ, καὶ τούτοις ἀμφοῖν ἅπαν μετὰ
σώφρονος εὐφημίας ἀπαντήσεται τὸ προσῆκον (4).

(1) Ante πρὸς deerat εἰ μὴ, quod e conj. addendum fuit. ALEX.

(2) Alludit ad religiosum habitum, quem jam, ut videtur, induerat, etsi fortasse monasticam vitam nondum professus.

(3) Rectius esset οὐδ' εἰ ac deinde ἐδέοντο : sed veremur ne tota periodus laboret, sic restituenda : πεφροντισμένοις γὰρ οὐδ' ἂν ἡμεῖς ἐπήλθομεν δήπου, οὐδ' ἂν οὐδεμιᾶς δέοιντο συμμ. ALEX.

(4) Illud alterum philosophicum certamen, quod nunc assumit Scholarius, an unquam adierit incertum est. ALEX.

GENNADII PATRIARCHÆ

EPISTOLA

AD JOSEPHUM EXARCHUM.

Nuntiat se librum Plethonis igni tradidisse, et quibus rationibus ut tam severe ageret adductus fuerit, exponit.

—

Hanc epistolam primus edidit V. cl. D. Alexander in Appendice ad fragmenta quæ supersunt libri Plethonis *De legibus*, ex codd. Paris, 1289 et 1294, Gennadi autographis. In priore hæc titulo adduntur : Ἐγράφη ἐν τῷ ὄρει τοῦ Μενοικέως τῷ πρὸς ταῖς Φερραῖς, quæ urbs est Macedoniæ. Argumentum epistolæ ex titulo patet; ejus tamen analysin sive compendium, facem præferente doctissimo editore, et adhibitis ipsius auctoris verbis, hic exhibere operæ pretium facturos duximus. — « Plethone fatis functo, inquit Gennadius, ejus liber venit in manus eorum (1) qui tunc Peloponneso præerant; quo evoluto, ut ad me transmitteretur curaverunt, omnibus interea ut describeretur interdicentes (2) » Pergit dicens quanto dolore, aperto libro, correptus fuerit; tunc materiarum indicem exscribit qui cum eo qui superest omnino concordat. An librum totum, lecto indice capitulorum, ampliori inquisitioni supersedens, damnaret dubitans hæsit; at ne judicium causa non penitus cognita ferre videretur, totum opus evolvit; « in quo insumptis, inquit, horis quatuor, textum titulis respondere comperi. Tum, varium in modum exagitatus, modo absurditatem ridebam, modo perditam animam dolebam, quondam Christianam, dæmonum malitia in barathrum erroris præcipitatam; tum stolidæ impietati maledicebam cui per tot sæcula mundus servierat, Deo gratias agens quod nos ab ea liberare dignatus fuisset. Gentis nostræ calamitates, dedecus et opprobrium deplorabam, quibus hic cumulus additus !..... Omnia tandem mecum reputans, lacrymabundus, Plethonem ipsum, quasi coram me, sententiam auditurus, stetisset, alloquens, O stulte, inquam, unica est lex societatis humanæ, norma unica, quæ est doctrina sancta; tu vero, ea derelicta, impium systema amplecteris et in legislatorem te extollis ! At cui fucum facere sperasti ? » etc. Librum mox ad principissam Demetrii Despotæ conjugem transmittendum curavit Gennadius, mandans ut igni traderetur : « At ea, inquit, illum iterum ad me misit, meum esse dicens ut latam a me sententiam exsecutioni mandarem. Operis partibus quibusdam, quæ physicam, logicam vel similia spectabant, parcere fere constitueram; at post opus ad novum examen revocatum, agnovi nihil non censuræ obnoxium esse, omnibus paganico systemate et errore corruptis. » Hic Gennadius sententias quasdam exponit a morali veritate aberrantes, aut omnino Christianismo infensas, quæ per totum opus evolvebantur et quarum nonnullæ adhuc in fragmentis quæ supersunt leguntur. Omnia ergo igni tradidit, quibusdam tantum foliis exceptis (3). Hanc epistolam encyclicam fuisse demonstrant Gennadii verba quæ circa finem leguntur : « Cum autem alicubi fortasse hujus operis exemplar exstet, ab auctoris studiosis exscriptum, eo sive vivente sive fato functo, in nomine Domini omnibus et unicuique jubemus, quocunque modo et loco liber supradictus in manus eorum venerit, ut sine mora, si possunt, igni projiciatur; et quicunque eum penes se servare convictus fuerit, post primam et secundam admonitionem, si illum incendio delere recusaverit vel procrastinaverit, a communione fidelium sit extorris. »

(1) Demetrii scilicet Despotæ, et ejus uxoris Asaninæ.

(2) Quo factum est ut pauca adeo operis fragmenta supersint, et ea fere ex originali.

(3) Id ipse nos docet in nota hac marginali : Τοὺς τῶν ὑποθέσεων πίνακας μόνους ἀφήκαμεν ταῖς σανίσι μένειν προσδεδεμένους, καὶ τοὺς ὕμνους πρὸς τῷ τέλει τῶν ἐκείνου θεῶν · ὅπως σωζομένων αὐτῶν μηδεὶς ἔχῃ ποτὲ τῆς ἡμετέρας καταψεύδεσθαι κρίσεως · τὸ δ' ἄλλο πᾶν ἀποσπασθὲν ἐπαφείθη πυρὶ, καὶ πολλῶν ἐπ' ὄψεσι ταῦτα ἐγένετο. *Materiarum indicem initio libri involucris adhærentem servavi, et in fine hymnos quos in honorem deorum suorum Pletho elucubraverat, ut residuis his judicium meum fulciretur. Reliqua omnia lacerata et igni, multis testibus, tradita sunt.*

—

ΓΕΝΝΑΔΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

ΠΕΡΙ ΤΟΥ ΒΙΒΛΙΟΥ ΤΟΥ ΓΕΜΙΣΤΟΥ, ΚΑΙ ΚΑΤΑ ΤΗΣ ΕΛΛΗΝΙΚΗΣ ΠΟΛΥΘΕΙΑΣ.

Γεννάδιος ὁ Σχολάριος, καὶ τὰ λοιπὰ, Θεοῦ χάριτι, τῷ τιμιωτάτῳ καὶ πάντα ἀρίστῳ κυρίῳ Ἰωσὴφ τῷ Ἐξάρχῳ χαίρειν.

Ἐπαινοῦμέν σου τὴν περὶ τὰ βελτίω σπουδὴν ἀεὶ, ἣν αὐτός τε οὐδενὸς τῶν ἐνόντων ὀλιγωρῶν, καὶ ἄλλοις συμβουλεύων, ἐνδείκνυσαι. Τῷ σαυτοῦ δὴ γρώμενος τρόπῳ, καὶ περὶ τοῦ βιβλίου τοῦ Γεμιστοῦ νῦν ὑπομνῆσαι δεῖν ἡμᾶς ὤρου. Ἦλθε δὲ ἐφ' ἑτοίμοις τοῖς περὶ αὐτὸ πεπραγμένοις ἡμῖν ἡ σὴ συμβουλή. Καὶ οὕτω μέντοι χάριν εἰδότες σοι, ταῦτα δῆλα ποιοῦμεν· ἅμα δὲ καὶ προστίθεμεν, ἅπερ ἡμῖν τε πρέπον ἂν εἴη μὴ παρελθεῖν σιωπῇ, σοί τ' οὐκ ἂν ἀηδὴς διατριβὴ γένοιντο. Ἐκεῖνος τοίνυν ὁποῖος ἦν, ἐκ πολλοῦ δῆλος ἡμῖν ἐγεγόνει, καὶ ὅτι τοιοῦτο βιβλίον ἐν πλείοσι χρόνοις εἶχε συγγεγραφὼς, πολλῶν τε ἐξηγουμένων ἀξίων πιστεύεσθαι, καὶ ἡμῶν πολλαῖς καὶ φανεραῖς ἀποδείξεσιν ἐν Πελοποννήσῳ μὲν πρῶτον, εἶτ' ἐν Ἰταλίᾳ κατειλημμένων. Καὶ τοῦτό μοι τῆς ὑπὲρ Ἀριστοτέλους ἀντιγραφῆς ποτε πρὸς τάκείνου γέγονεν αἴτιον· ἐκεῖνός τε γὰρ θρασύτερον ἐπῆει τῷ φιλοσόφῳ, πολλὴν εἰδὼς ἐκ τῆς ἐκείνου φιλοσοφίας καὶ ὧν ἀντέστη τῷ Πλάτωνι, συνηγορίαν τῇ δόξῃ τῆς ἀληθείας προσγινομένην· καὶ ἡμεῖς οὐ Πλάτωνι φιλονεικοῦντες, οὐκ Ἀριστοτέλους τι πεφροντικότες ἰδίᾳ, τῷ δὲ σκοπῷ τοῦ Γεμιστοῦ χαλεπαίνοντες, ζήλῳ τῆς πίστεως, περιττὸν ἄλλως εἰλόμεθα πόνον. Ἐβουλόμεθα γὰρ οὕτως ἐνδείκνυσθαι τοῖς ἀγνοοῦσι τὸν ἄνθρωπον, ὡς ἂν μηδεὶς βλαφθείη λοιπὸν ἐξηπατημένος, οἷον οὐκ ὀλίγοι καὶ πρότερον πεπονθότες, ἄλγους ἡμῖν ὑπόθεσις ἐγένοντο χαλεποῦ· ὀνόματα δὲ ἐκείνων λέγειν οὐ χρή. Πρὸς ταῦτα δὲ ἡμᾶς ἀπιδεῖν, οὐ πρὸς οὐδεμίαν ἄλλην φιλοτιμίαν, τὰ ἐν ἀρχῇ καὶ τελευτῇ τοῦ βιβλίου δείκνυσιν ἡμῶν πάνυ καλῶς, πολλαχοῦ σωζομένου, οὐδ' ἀπωδὰ τοῦ ἡμετέρου τρόπου, σὺν Θεῷ δ' εἰρήσθω, τυγχάνοντα. Ὁ μὲν οὖν αὐτὸς ἀντέγραφε, τὸν αὐτὸν πρός τε Ἀριστοτέλη καὶ ἡμᾶς, ἐκείνῳ δῆθεν συνηγοροῦντας, ἀγῶνα πεποιημένος. Ἡμᾶς δὲ ἡ τῆς πατρίδος ἀντιγράφειν αὖ ἐκώλυε συμφορὰ, πλὴν ὅσον ἄλλης οὐκ ἀκαίρου τότε διεδραμένοι προφάσεως, καθηψάμεθα μὲν τῶν ἀκαιριῶν αὐτοῦ, φειδοί τε καὶ ἐμβριθέστερον· Ἀριστοτέλει δὲ καὶ Πλάτωνι λοιπὸν ὁμοίως χαίρειν εἰπόντες, κατὰ τῆς Ἑλληνικῆς δεισιδαιμονίας οὐ φαύλην ὑπεστησάμεθα πραγματείαν, ὡς αὐτοῦ δὴ φανερῶς πρὸς τὸν εὐσεβῆ σκοπὸν ἡμῶν ἀπομαχομένου, καὶ μηκέτ' ἀξιοῦντος δεῖν κρύπτεσθαι· ἦν δὴ καὶ ἐς ὄψιν ἐλθοῦσαν αὐτῷ, πολλά φασι λυπῆσαι τὸν ἄνθρωπον, ἐγνωκότα λοιπὸν τοῦ δυνήσεσθαί τι τὴν ἀρίστην νομοθεσίαν αὐτῷ, τῷ βίῳ περιόντων ἂν ἡμῶν, οἳ καὶ πυρὶ καὶ γραφῇ δυναίμεθ' ἂν ἀκυροῦν, ὁποτέρως ἂν δόξειεν· ταυτὶ γὰρ καὶ ἠπειλοῦμεν ἐν τῷ δευτέρῳ τῶν πρὸς αὐτὸν συγγραμμάτων. Οὕτω μὲν ἡμῖν εἶχε τὰ πρὸς ἐκεῖνον, τὰ μὲν ὑπὲρ τῆς πίστεως καὶ τῆς τῶν ἀδελφῶν ὠφελείας ἢ μὴ βλάβης συμβητομένης ἂν, φορτικῶς· τὰ δ' ἄλλα, ἀνεπαχθῶς. Ἔνιοι δὲ, μήτε τοῖς πράγμασι καὶ τοῖς συνειδόσι τε καὶ συμμαρτυροῦσιν ἡμῖν βουληθέντες προσέχειν, τό θ' ἡμέτερον διαβάλλοντες ἦθος, οὐ τὸ πρὸς ἐκεῖνον μόνον ἐν τοῖς συγγράμμασιν ἐπιδεδειγμένον ἀρκούντως, ἀλλὰ καὶ πάντας τοὺς ὁπουδήποτε συμβαλόντας ἡμῖν ἐν ὅλῳ τῷ βίῳ, βασκανίᾳ διαβάλλειν ἡμᾶς ἰσυκοφάντουν τὸν ἄνθρωπον. Ἡμεῖς δὲ μαρτυρόμεθά σοι, φίλτατε, τὸν Θεὸν, ὃν οὐκ ἔξεστιν οὐδεμιᾷ ἀνάγκῃ ψευδομένους καλεῖν, οὐδενός ποτε ὑπὸ βασκανίας ἐπὶ τὸ χεῖρον κατεψευσάμεθα· πολλοῖς δὲ ἐπὶ τὸ σφίσι βέλτιον, ἄλλῳ δέ τῳ οὐ βλαβερὸν, ἐχαρισάμεθά που τῷ ψεύδει, ὑπὸ φιλανθρωπίας, ἢ ἐξηπατημένοι· ἐξήλεγχον δὲ αὐτοὶ ψευσαμένους· ἡμεῖς μὲν γὰρ ἀγαθοὺς ἢ φίλους ἐδείκνυμεν αὐτοὺς τοῖς πολλοῖς, καὶ ὡς τοιούτοις ἐχρώμεθα δήπου· αὐτοὶ δὲ τοὐναντίον ἐν τοῖς πράγμασιν ἦσαν. Τίς δ' ἂν καὶ πρόφασις τοῦ πάθους ἦν ἡμῖν πρὸς τὸν ἄνθρωπον; Ἐξ ἁπάντων γὰρ ὧν ἡμῖν ὁ Θεὸς ἐδεδώκει, κρείττους ἦμεν ἢ ὥστε βασκῆναι ἂν ἐφ' ὁτῳοῦν τῶν ὑπαρχόντων ἐκείνῳ. Μόλις δ' ἂν καὶ φαυλοτάτῃ προαιρέσει προσῆκεν, ὑπὲρ εὐσεβείας προσποιούμενον καὶ ἀρετῆς ἐνοχλεῖν μηδὲν ἂν ἀδικοῦντι, ἅμα δὲ καὶ οὐδενὸς ἡττωμένῳ τῶν ὁμοτέχνων, μὴ ὅτι γε τηλικαύτης παρανομίας δίκην ὀφείλειν, ἀλλὰ καὶ τίνος οὐ χείρω κρίνεσθαι τοῖς ἀνθρώποις, ὀψὲ τῆς ἀληθείας φανερουμένης. Τοῖς μὲν δὴ τοιούτοις, ὀλίγοι δὲ ἦσαν, οὔτ' ἂν ἐπαινοῦσιν, οὔτε ψέξασι προσέχειν δεῖν εἴποι τις ἂν, αὐτοὺς εἰδώς. Ἅμα δὲ τὸ μὲν ἀνθρώπινον τοῦτο παρὰ τῶν φαυλοτέρων δήπου συνέβη· δεῖ γὰρ ἀνίαν τινὰ καὶ ὀλίγιν ἀνθυπαντᾷν τοῖς ἀγαθόν τι πράττουσιν, εἰ φέρειν εἰδεῖεν, πάνυ πολύ τι λυσιτελοῦσαν. Οἱ δὲ νοῦν ἔχοντες· καὶ φίλοι τῆς ἀληθείας, καὶ ὧν ἡ κρίσις οὐ περιοπτέα τοῖς γε νοῦν ἔχουσιν, οὐ μόνον περὶ τῶν ἄλλων ἔργων ἡμῖν καὶ λόγων ἐς ὅτι πλεῖστον τῆς γῆς λαμπρὰς ἐπήξαντο (1) τὰς ἀνακηρύξεις· ἀλλὰ καὶ τῶν εἰς τὸν Γεμιστὸν φιλαλήθως τε ὁμοῦ καὶ φιλοκοίνως ἐξητασμένων, ἐπήνουν μὲν καὶ χάριν ὡμολόγουν ἀεὶ, συνήλγουν δὲ μεθ' ἡμῶν τῇ πρεσβύτῃ τῆς ἀκαιρίας, καὶ μεταβαλεῖν ἂν, εἴπερ οἷόν τ' ἦν, εὔχοντο, αὐτοί τε εἰδότες εἶναι τοιοῦτον, καὶ ἡμῖν

(1) An potius ἐποιήσαντο? Alex.

οὐκ ἔχοντες ἀπιστεῖν. Ὁρᾷς, ὦ φίλτατε, πόση τις ἡμῖν ἁπανταχῇ διηνεκῶς ἐξ ἀνθρώπων τῆς ὑπὲρ τῶν κοινῶν ἀγαθῶν προνοίας ἡ χάρις, ὧν κατόπιν ἅπαν βίον ἀεὶ συμφέρον ἐθέμεθα. Ἀλλ' εἰ Θεὸν, ἡμῶν ἐν παντὶ τῷ βίῳ προϊστάμενον, ἔπαισαν ἐπὶ κόρρης πολλοί, τὸν ἐπὶ τῷ μηδὲν λελαληκέναι φαῦλον δεξάμενον τὴν πληγὴν ἐγγύθεν ἔχομεν συνειδότα, ὃν ὑπέρδικον ἐν τοῖς τοιούτοις ἐλπίζειν, ἅμα δὲ καὶ παρήγορον, χρὴ τοὺς μὴ καθάπαξ εἰκῇ τρέχοντας.

Ἐπεὶ δὲ ἔδει πάντα φανερωθῆναι τῷ χρόνῳ, καὶ ἦν μὲν τὸ βιβλίον τοῦ Γεμιστοῦ τεθνεῶτος παρὰ τοῖς ἄρχουσι τῆς Πελοποννήσου (διττῶν δὲ ὄντων (1), τοὺς εὐσεβεστέρους τε καὶ μείζους φημὶ), οὐκ εἶχον δὲ ἀγνοεῖν τῶν ἐν αὐτῷ γεγραμμένων τὴν ἀτοπίαν, ἐβούλοντο μὲν αὐτίκα πέμπειν ἡμῖν, καὶ πολλοῖς ἀπαιτοῦσιν ἐγκράφειν, οὐκ ἠξίουν διδόναι· ὑπὸ δὲ τῶν καιρῶν τουτὶ κωλυθέντες, ὑπὲρ τῶν αὐτῶν αὐτοὶ καὶ παρ' ἐλπίδας ἡμῖν ἦκον φέροντες, καὶ διπλοῦν ἡμῖν ἤνεγκαν πένθος, τὸ μὲν ἐπ' αὐτοῖς, ἀποναμένοις τῆς κοινῆς συμφορᾶς, ἐξ ὧν ἄλλοι προπετέστερον βουλευσάμενοι κατεπράξαντο· τὸ δ', ἐπὶ τῷ βιβλίῳ. Εὐθὺς γὰρ ἀναπτυχθὲν, τίνος ἡμῖν οὐκ ἀηδέστερον ἔδοξε συναντήματος;

Ἦν μὲν εἰς τρία διῃρημένον. Ἑκάστου δὲ ὑποθέσεις προτεταγμέναι ἦσαν πολλαὶ, καθάπερ ἐν πίνακι, μηδεμίαν πρὸς ἀλλήλας σώζουσαι τάξιν· σοφοῦ δὲ τὸ τάττειν ἐστί. Καὶ ἦν τοῦ μὲν προτέρου τμήματος ὑπόθεσις πρώτη, περὶ διαφορᾶς τῶν περὶ τῶν μεγίστων ἀνθρώποις δοξῶν. Δευτέρα, περὶ ἡγεμόνων τῶν βελτίστων λόγων. Τρίτη, περὶ τοῖν δυοῖν ἐναντίοιν λόγοιν, τοῦ τε Πρωταγορείου, καὶ τοῦ Πυῤῥωνείου. Τετάρτη, εἰς θεοὺς τοὺς λογίους εὐχή. Πέμπτη, κοιναὶ περὶ θεῶν δόγματα. Ἕκτη, περὶ Διὸς τοῦ βασιλέως. Ἑβδόμη, περὶ θεῶν τῶν ὑπερουρανίων. Ὀγδόη, περὶ θεῶν τῶν ἐντὸς οὐρανοῦ. Ἐνάτη, περὶ τῆς τῶν θεῶν συμπάντων ἀϊδιότητος. Δεκάτη, περὶ τῆς Ποσειδῶνός τε καὶ τῶν ἄλλων ὑπερουρανίων θεῶν γενέσεως. Ἑνδεκάτη, περὶ τῆς ἐντὸς οὐρανοῦ τοῦδε ἀθανάτων γενέσεως. Εἶτα, ἠθικὰς, οἰκονομικάς τε καὶ πολιτικὰς ὑποθέσεις συμπλέξας, εἰκοστὴν καὶ μίαν ἐπῆγε περὶ θεῶν θεραπείας. Ἐπὶ ταύτῃ, περὶ ἱερέων καὶ βίου αὐτῶν· ἐφ' ᾗ, περὶ καθαρμῶν. Εἶτα, λογικῇ μᾶλλον ἐπισκέψει προσηκούσας ὑποθέσεις συνάψας, τριακοστὴν καὶ μίαν ἐπῆγε, περὶ ὀνομάτων τῶν πρεσβυτάτων θεῶν· αὐτὴ δὲ ἦν ἡ τελευταία τῶν ὑποθέσεων τοῦ πρώτου βιβλίου. Ἐφεξῆς δέ γε, τῶν τοῦ δευτέρου πρώτη μὲν ἦν, περὶ κριτηρίου τοῦ ἐπὶ τὴν τῶν προκειμένων σκέψιν. Δευτέρα δὲ, πρόληψις κοινῶν ἐννοιῶν. Τρίτη, ὡς εἰσὶ θεοί. Τετάρτη, περὶ προνοίας θεῶν. Πέμπτη, ὡς οὐ κακῶν οἱ θεοὶ αἴτιοι. Ἕκτη, περὶ εἱμαρμένης. Ἑβδόμη, περὶ πλήθους θεῶν. Ὀγδόη, περὶ διαφορᾶς τῶν θεῶν γενῶν. Ἐνάτη, περὶ τῆς κατὰ Κούρητας θεοσεβείας. Δεκάτη, περὶ θεῶν τῶν τε ἐπτὰ πρεσβυτάτων, καὶ τῶν ἄλλων ὑπερουρανίων. Ἑνδεκάτη, περὶ τῆς τῶν ἐντὸς οὐρανοῦ θεῶν γενέσεως. Εἶτα, περὶ ψυχῆς καὶ ἄστρων, καὶ τῆς τῶν ἄστρων ψυχῆς (2), καὶ περὶ δαιμόνων ἄλλα τε, καὶ ὡς οὐ πονηροί εἰσι, καὶ ἔλεγχον τῶν κατὰ τῶν δαιμόνων διαβολῶν, καὶ περὶ αἰσθήσεων, καὶ περὶ θηρίων, καὶ τοιαῦτα προσθεὶς, εἰκοστὴν καὶ ἑβδόμην ἐπῆγε, περὶ τῆς τοῦ παντὸς ἀϊδιότητος· αὐτὴ δὲ, ἡ τελευταία τῶν ὑποθέσεων τοῦ δευτέρου. Τοῦ τρίτου δὲ ὑποθέσεις, πρώτη μὲν ἀνάληψις τοῦ περὶ εἱμαρμένης λόγου. Ταύτῃ δὲ εἵπετο, περὶ ψυχῆς. Εἶτα, περὶ τέλους τοῦ βίου. Εἶτα, περὶ φρονήσεως. Εἶτα περὶ παίδων ἀγωγῆς. Εἶτα, περὶ τοῦ τῆς πολιτείας σχήματος. Εἶτα, περὶ ἀνδρείας, καὶ ἄλλα ἐφεξῆς τοιαῦτα προσθεὶς, δεκάτην καὶ τετάρτην ἐπῆγε, περὶ τῆς γονέων ἐκγόνοις οὐ μίξεως. Εἶτα, περὶ θεῶν γενέσεως. Εἶτα, περὶ τῆς ἀνδρὶ ἐνὶ γυναικῶν πλειόνων συνοικήσεως. Εἶτα, περὶ τῆς τῶν κοινῶν γυναικῶν χρήσεως. Τούτοις, περὶ κρεῶν ἐδωδῆς, καὶ τοιαῦτα ἄλλα ἐπαγαγὼν, εἰκοστὴν καὶ δευτέραν ὑπόθεσιν ποιεῖται περὶ Διὸς, ὡς οὐδὲ λόγῳ διάκρισίς τίς ἐστιν ἐν αὐτῷ. Ταύτῃ ἐπισυνάψας ἠθικάς τινας ὑποθέσεις, καὶ πολιτείᾳ ἄλλας πρεπούσας, τριακοστὴν ἐπάγει καὶ δευτέραν, περὶ τῶν τῶν θεῶν ὀνομάτων, ᾗ τὰ κεφάλαια τῶν ὑποθέσεων καὶ ὁ προὐργιαίτατος (3) τῆς νομοθεσίας ταύτης σκοπὸς συνῆπτο εὐθύς. Τριακοστὴ γὰρ καὶ τρίτη ὑπόθεσις ἦν, περὶ προσευχῆς. Μετὰ ταύτην, εἰς θεοὺς προσρήσεις. Εἶτα, ὕμνοι εἰς θεούς. Εἶτα προσρήσεών τε καὶ ὕμνων χρήσεως διάταξις. Εἶτα, τίσι θεῶν τίνα θυτέα. Εἶτα, ἐπὶ τίσι πράξεσι, τίσι τε θεῶν καὶ ὅπως θυτέα. Ἔπειτα, ὅπως ἔχουσι τῶν θυσιῶν μεταληπτέα. Εἶτα, περὶ ἀκριβείας τῶν πρὸς θεούς. Εἶτα, κατὰ τίνων εὐκτέα τοῖς θεοῖς. Ἐπὶ πᾶσι, περὶ μαντειῶν. Ἐπινομὶς δὲ ἦν ἡ τελευταία τῶν ὑποθέσεων, τεσσαρακοστὴ καὶ τρίτη οὖσα τοῦ τρίτου βιβλίου. Ἑκάστῳ δὲ τῶν βιβλίων ἐπεγέγραπτο, Πλήθωνος νόμων συγγραφῆς βιβλίον πρῶτον, καὶ τοῖς λοιποῖς ὁκολούθως. Ἀρχὴ δὲ τοῦ παντὸς βιβλίου τοιάδε ἦν· Τάδε συγγέγραπται περὶ νόμων τε καὶ πολιτείας τῆς ἀρίστης, ᾗ ἂν διανοούμενοι ἄνθρωποι, καὶ ἅττ' ἂν καὶ ἰδίᾳ καὶ κοινῇ μετιόντες τε καὶ ἐπιτηδεύοντες, ὡς δυνατὸν ἀνθρώπῳ, κάλλιστά τε καὶ ἄριστα βιῷεν, καὶ ἐς ὅσον οἷόν τε, εὐδαιμονέστατα.

Τοιούτων συμφορῶν πλῆρες τὸ βιβλίον. Ἀπ' αὐτῶν δὲ πρώτων τῶν ἐπιγραφῶν καὶ ὑποθέσεων γνόντες, ἐβουλόμεθα μὲν εὐθὺς μηδ' ἐπιέναι λοιπόν. Ἐπεὶ δὲ ἦν ἀνάγκη πᾶσα τοιοῦτον ὂν ἀφανίζεσθαι, ἔδοξεν ἡμῖν δίκαιον εἶναι, καθάπερ ἂν παρόντι, τῷ γεγραφότι χαρίσασθαι τὸ μὴ ἐρήμην καταψηφίσασθαι τοῦ βιβλίου, ἀλλὰ τὸν ἐν ἡμῖν ἐκ Θεοῦ λόγον καὶ τὴν τῆς ἀληθείας συνείδησιν δικαστὰς καθίσαι τῇ τε γνώμῃ τοῦ ἀνθρώπου καὶ τῇ σπουδῇ, καὶ οἷ ἂν ἄγοιεν ἕπεσθαι, καὶ ὅπως ἂν ψηφίσαιντο πράττειν.

(1) Duos fratres intelligit, Demetrium et Thomam Palæologos, quorum majorem Demetrium postea designabit. ALEX.

(2) Delenda videntur verba quatuor, καὶ τῶν ἄστρων ψυχῆς, nisi quid aliud vitii subest. ALEX.

(3) Sic codd., non προὐργιαίτατος. ALEX.

τειν. Εἰκὸς γὰρ ἴσως αὐτὸν ἐπιγεγονότα τοῖς ἄλλοις ὅσοι περὶ τῶν τοιούτων ἐσπουδακότες εἰσὶν, ἀμείνω τινὰ τῆς θρησκείας συνηγορίαν εὑρεῖν, καὶ λόγοις καινοτέροις ὁμοῦ καὶ ἀξιωτέροις ἐντυχόντα πεισθῆναι, οὓς δέοι γ' ἂν μὴ περιιδεῖν· τοὐλάχιστον γὰρ οὐ πόρρω συγγνώμης ἂν εἴη, λόγοις ἰσχυροτέροις ἐνδοὺς, οὕπω μὲν ὑπὸ τῶν τῆς Ἐκκλησίας διδασκάλων ἐξητασμένοις, αὐτοῦ δὲ πάνυ κεκρατηκόσιν οὐκ ἔχοντος ἀντιλέγειν. Καίτοι συνῄδειμεν ἐκείνῳ τὴν πονηρὰν ἀπ' ἀρχῆς ὑποστάντι πρόληψιν. Ἀλλ' ἐχρῆν ἀπαθὲς αὐτῷ καθίζειν τὸ δικαστήριον· ἡμᾶς δὲ μὴ διαφυγεῖν ἂν, οὔτ' εἰ τὰ αὐτὰ ἢ καὶ χείρω τῶν ἄλλοις ἐξευρημένων, οὔτ' εἰ βελτίω τε καὶ καινότερα εἴη τὰ τὴν ψυχὴν ἐκείνου θηρεύσαντα. Ἱερᾶς μὲν γὰρ θεολογίας, ἧς πλεῖστα ἡμῖν ἐμέλησεν ἐν παντὶ τῷ βίῳ, καὶ πρόρρησις μηδενὶ ἂν συγχωρῆσαι τῶν νῦν ὄντων ἁπανταχοῦ καὶ ἴσα ἡμῖν εἰδέναι· Ἑλληνικῶν δὲ βιβλίων καὶ λόγων, ἐφ' οὓς ἐκεῖνος ἑαυτὸν ἀναφέρει, μηδὲν ἡμῖν περιωφθαι, ὅτε καὶ καταγινώσκειν αὐτῶν τοιούτων ὄντων εὐλόγως οἷοί τε ἦμεν, οὐ πρὶν ἐς τὴν τοιαύτην ἕξιν ἐλθεῖν, καὶ ὅτε σοφιζόμενός τις οὐκ ἂν λανθάνειν ἡμᾶς ἠδύνατο.

Ὑπὸ τοιούτων δὴ λογισμῶν ἐν ὥραις τέτταρσιν ὅλαις, ἐλαχίστῳ (1) μιᾶς ἡμέρας μορίῳ, τὸ βιβλίον ἅπαν ἐπήλθομεν, εἰδομέν τε καλῶς, τίσι λόγοις ἐπλήρου τὰς ὑποσχέσεις τῶν ὑποθέσεων. Ἐνταῦθα δὴ, πολλοῖς τε καὶ οὐ τοῖς αὐτοῖς, περιηγόμεθα πάθεσι. Κατεγελῶμεν τῆς ἁπλότητος τοῦ ἀνθρώπου. Ἐθρηνοῦμεν τὸν ὄλεθρον αὐτῷ τῆς ψυχῆς. Κατηρώμεθα τῶν πονηρῶν δαιμόνων, ὑφ' ὧν, στερήσει χάριτος οὐρανίου, συνηρπάγη συντεθῆναι τῷ ψεύδει. Κατεγινώσκομεν τῆς τῶν ἀνθρώπων παραφορᾶς, ἧ τὸν πρόσθεν χρόνον ἐδούλευον. Χάριτας ἀνεπέμπομεν τῷ προῖκα καὶ ὀψὲ τῇ φύσει τῶν ἀνθρώπων τὰς τῆς ἀληθείας πύλας ἀνοίξαντι, καὶ θαυμασίαις ὡπλικότι παρασκευαῖς, ὥστε ταύτης ἐπιμελομένους ἐφάπτεσθαι. Ἐδοξάζομεν αὐτὸν, ὡς οἷόν τε ἦν, ὅτι καὶ ἡμῖν τὴν χάριν ταύτην ἐφῆκεν. Ὠδυρόμεθα τὴν συμφορὰν τοῦ γένους ἡμῶν, τὴν αἰσχύνην, τὸ ἀνειδος. Ἔδει γὰρ τοῖς ἡμῶν κακοῖς καὶ τοῦτο προσκεῖσθαι, ὅτι τελευταῖον ἐνὶ τὰ τῆς Ἑλληνικῆς παιδείας ὑπελείφθη κεἰλὰ πρεσβύτῃ, καὶ οὗτος ἀπώνατο τῆς περὶ ταῦτα σπουδῆς φρενῶν αἰσχρὰν ἑκστατιν· οὐ γὰρ ἂν εἶχε σωφρονῶν τοιαῦτα καινοτομεῖν. Ἠλγοῦμεν ἐπὶ τοῖς πόνοις τοῦ γέροντος, οὓς ἀπώλεσε, τὴν περὶ τὴν λέξιν τε καὶ συνθήκην φιλοτιμίαν ὑποθέσεσι φαυλοτάταις συναναλώσας· ὥσπερ εἴ τις ἐν ὕλαις ἀτιμοτέραις, ἢ διαλυομέναις εὐθὺς, τὴν περὶ τοὺς ἀνδριάντας αὐτῷ τέχνην ἐπιδεικνύοι, βελτίοσι καὶ προσηκούσαις χρῆσθαι δυνάμενος. Τί δεῖ καταλέγειν ὁπόσα ἡμῖν συνέβαινε πάθη; Ἐπεὶ δὲ ἔδοξεν ἡμῖν ταῖς ἐπιγραφαῖς τοῦ βιβλίου καὶ τοῖς προοιμίοις δὶς ἐφιστᾶν, ἐνταῦθα δὴ δακρύων τὰς ὄψεις πλησθέντες καὶ βύθιόν τι στενάζαντες (ὀδξαμεν γὰρ αὐτὸν παρίστασθαι Γεμιστὸν, ἢ μᾶλλον, ὡς αὐτός φησι, Πλήθωνα, καὶ μέχρι τοσούτου τὴν περὶ τὸν Ἑλληνισμὸν ἐκτείνας σπουδὴν, ὡς ἀκούσαντες, αὐτοῦ πολλοὶ διηγοῦνται, ὅτι μὴ μόνον ἔφη λέξιν, ἀλλὰ καὶ ψυχὴν τὴν οἰκείαν οὕτω διενοήθη κοσμεῖν· τὸ δ' ὅπως, ἐκείνοι μᾶλλον λεγόντων), τότε τοίνυν ὥσπερ παρόντι διαλεγόμενοι, καὶ τὴν συνεγνωσμένην ἡμῖν περὶ τοῦ βιβλίου φέροντες ψῆφον....., Ἄνθρωπε, εἴπομεν, εἷς ἄριστος νόμος, καὶ μία πολιτεία βελτίστη· σὺ δὲ αὐτῶν ἀποστὰς, καὶ τοῖς φαυλοτάτοις ἀντὶ τούτων προσθέμενος, εἶτα καὶ νομοθέτης ἐπεθύμησας γενέσθαι; Τίνας ἐλπίσας; προσθήσεσθαί σοι; Εἰ μὲν γὰρ καινότερα ἐνομοθέτεις, καὶ μήπω ἐπιδεδειγμένα τῷ ἀνθρωπίνῳ βίῳ, εἶχεν ἄν τί σοι καὶ ἐλπίδος τὸ τόλμημα. Εἰ δὲ τὰ τῶν σῶν ἡγεμόνων βιβλία σωζόμενα πανταχοῦ, τοιοῦτον ἐν ἀνθρώποις οὐδὲν ἰσχύει, τῷ φωτὶ τοῦ Χριστιανικοῦ λόγου καὶ νόμου τῆς γῆς; ἁπάσης καταλαμφθείσης, οὐ μόνον ὅσον εἰς τὴν θείαν ἧκει ῥοπὴν, ἐξ ἧς προδήλως ἡ πανταχοῦ τῶν πλυθίων ἐσβέσθη πλάνη, ἀλλὰ καὶ ὅσον εἰς τὴν ἀνθρωπίνην ἧκει σοφίαν, πολλῶν ἀληθινῶν φιλοσόφων λόγοι; ἀληθεστάτοις καὶ ἐμφροσι τὴν μὲν πλάνην ἀνατρεψάντων, τὴν δ' ἐκ Θεοῦ καὶ ἱερὰν μόνην ἀληθειαν ἀποδειξάντων πάνυ καλῶς, πόθεν ἤλπισας μόνος; ἐνὶ βιβλίῳ τὰ τῶν ἄλλων ἐπιτέμνοντι, μηδὲν δὲ νεώτερον ἐπιδεικνυμένῳ ὃ τοὺς ἀρχαίους διέλαθε, πεῖσαι προσέξειν σοι τοὺς ἀνθρώπους; Εἰ δὲ τοῦτό σε τοσοῦτον διέλαθεν, οὐκ ἀπῇδον, εἰ καὶ τοιοῦτος ἦσθα, οἷος τοῦ μὲν πατρίου δόγματος ἐκ παίδων ὀλιγωρῆσαι, τῇ δὲ καταστασησπυίᾳ προσφυῆναι πολυθεΐᾳ. Ὧν δ' εἰς τὴν πολιτικὴν ὕλην ἢ οἰκονομικὴν ἢ ἠθικὴν ἀνηκόντων νομοθετεῖς, ὅσα μὲν εἰς Ἀριστοτέλη καὶ Πλάτωνα ἔστιν ἀναφέρειν, ἢ καὶ ἐς τὸν ἀληθῆ τοῦ ἡμετέρου Ἰησοῦ νόμον καὶ τῶν αὐτῷ προσκειμένων, ἢ τὰς τῶν εὐσεβῶς βασιλευσάντων νομοθεσίας, μᾶλλον ἂν ὠφελοῖτό τις ἐν τοῖς ἑκάστων αὐτὰ μετιὼν τόποις, καὶ τῷ πρωτοτύπῳ πλάτει αὐτῶν ἐντυγχάνων· αὐτὸς γὰρ συναφείᾳ ἐπιτεμὼν, οὐκ ἂν οὐδενὶ ὠφέλιμος εἴης. Ἃ δὲ καὶ οἰκοθεν προστιθέναι δοκεῖς, τούτων οὐδὲν ἂν ἀχρειότερον γένοιτο. Ἁγιστείας δὲ καὶ θρησκείας καὶ τὰ τοιαῦτα, καὶ πολλῷ χεῖρον, εἰ ἐνεργήσειν που τῆς γῆς προσδόκησας, οὔτε σοφῶν οὐδενὸς, οὔτε ἰδιωτῶν τινος, ἢ βουλησομένου ἢ δυνησομένου ταύτας μιμεῖσθαι. Ἀλλὰ τὰς μὲν σὰς περὶ ἧς ἐκ τῶν ἀνθρώπων ἤλπισα; εὐφημίας ἐπὶ τοῖς νόμοις τούτοις ἐλπίδα, ἐῶμεν. Τὰς δὲ ποικίλας τῶν ἀνθρώπων ἔν τε δόξαις καὶ βίοις διαφορὰς ἐκτιθεῖς μὲν εὐθὺς, ἀληθεύων· πᾶσι γὰρ δῆλα τοῖς καὶ ὁπωσοῦν εἰδόσι ταῦτά ἐστι· προσιστάμενα δέ σου ταῖς πρώταις ὑποθέσεσιν ἀγνοεῖς. Πῶς γὰρ ἂν εἴη κοινὰ τὰ περὶ θεῶν σοι δόγματα, οἷς οὐ πάντες ἄνθρωποι καὶ κατὰ σὲ τίθενται, οὐ νῦν μόνον, ἀλλὰ καὶ πάντα τὸν χρόνον; μᾶλλον δὲ νῦν οὐδεὶς αὐτοῖ, τίθεται· ἀλλ', ὡς εἰκὸς, περὶ τὰ ἄλλα διαφωνοῦντες, περὶ ἓν τοῦτο συνᾴδουσιν, ὅτι Θεός ἐστιν εἷς, οὐχ εἷς ἄκρος· ἐν ὑποδεεστέρων πλήθει πολλῷ, ἀλλ' ἁπλῶς εἷς τε καὶ μόνος. Ἀλλ' ἵνα δείξῃς σαυτὸν ὑπὸ τῆς τοιαύτης ἐν ἀνθρώποις διαφωνίας εἰς τὴν περὶ τἀληθοῦς κατάστῆναι ζήτησιν, οὐκ ἀγαπήσαντα τοῖς ὑπὸ τῶν σῶν

(1) Magis placeret οὐκ ἐλαχίστῳ. Alex

προγόνων εὑρημένοι; ἢ κεχριμένοις πάνυ καλῶς, τὴν ποικιλίαν τῆς περὶ τὸ τέλος τῶν ὀνθρώπων ὁδοῦ ἐν προοιμίοις; εὐθύς, οὐδὲν δέον, ἐξέθου, ἅμα δὲ καὶ τῷ σκοπῷ σου προσεστηκὸς, ὡς ἔφθην εἰπών. Καὶ φῂς μὲν καλῶς, ἀριστά που δοξάσειν τε καὶ βιώσεσθαι τὸν κρινοῦντα τὸ βέλτιστον περὶ πάντων· ἀλλ' εἴπερ εἰδείη κρίνειν, σὺ δ' οὐκ ὀλίγον ἀπέσχες. Διὸ σαυτῷ τὰ ψεύδη πρὸ τῶν ἀληθεστάτων ἐμπέδα ποιησάμενος, καὶ ἀθλιώτατος ἀνθρώπων ὑπῆρξας, καὶ σῇ δήπου κρίσει. Ἢ πῶς ἂν Ζωροάστρῃ φέρων ἔνειμα; σεαυτὸν, ὃν ὑπὲρ πάντας λέγεις προϊστασθαι, τῶν σοφωτάτων καὶ ἐνθέων ἀποφοιτήσας; Τίς ἀγνοεῖ Ζωροάστρην, ἐς ἀστρονομίαν περιδόητον Πέρσαις, ἐς οὐδὲν ἄλλο, γεγενημένον, ὑφ' ἧς δὴ καὶ πεπλάνηται, τὰ δ' ἄλλα τῇ γενέσει σύμφωνον τὴν προαίρεσιν ἐπιδεδειγμένον; Νίνου γὰρ ἦν υἱὸς, τὴν οἰκείαν γήμαντος μητέρα Σεμίρτμιν· ἀφ' ὧν ἐνομίσθη Πέρσαις μητρογαμεῖν. Τοῦτον ἐγνώρισέ σοι, πρόσθεν ἠγνοημένον, ὁ τῷ δοκεῖν μὲν Ἰουδαῖος, πολύθεος δὲ Ἑλισσαῖος· ᾧ μέγα δυναμένῳ τότε παρὰ τῇ τῶν βαρβάρων αὐλῇ, παρεσιτοῦ τὴν πατρίδα φυγών, ἵνα τὰ καλὰ παρ' ἐκείνου μάθῃς δ.δάγματα. οὗτος δὲ ὢν, πυρὶ τὴν τελευτὴν εὗρετο, καθὰ δήπου καὶ ὁ ὑμέτερος Ζωροάστρης· Ζωροάστρου μὲν οὖν τοῦδε, καὶ Μίνωος, καὶ Εὐμόλπου, καὶ Λυκούργου, καὶ Πολυείδου, καὶ Τειρεσίου, καὶ τῶν ἄλλων οὓς ἀριθμεῖς, οὐδὲ βιβλίοις ἐνέτυχες, ὅθεν ἂν τὴν νομοθεσίαν ταύτην εἶχες λαβών· πλὴν ὅσον πολλοὶ ἕτεροι ἑνιά που αὐτῶν ἀπομεμνημονεύκασιν, ὅθεν οὐ σοὶ μᾶλλον ἢ καὶ πᾶσι σπουδαίοις ἡ περὶ αὐτῶν εἴδησις γέγονεν. Ἀλλ' ἐκ τῶν ὑστέρων μᾶλλον πάντ' ἔχεις συνειλοχὼς, οἳ Πυθαγόραν καὶ ἔτι μᾶλλον Πλάτωνα προστησάμενοι, τὰ πλεῖστα μηδ' αὐτῷ Πλάτωνι δεδογμένα περὶ τῆς πολυθέου πλάνης ἐν βιβλίοις συνεγράψαντο πολυστίχοις, μετὰ τοὺς πλείστους δὲ αὐτῶν καὶ ὑπὲρ πάντας τοὺς ἐν αὐτοῖς ἄκρους, Πρόκλος, οὗ τῶν πολλῶν βιβλίων ταυτὶ τὰ βραχέα ἐσπερμολόγησας. Καίτοι Πλουτάρχῳ μὲν σύ γε καὶ Πλωτίνῳ καὶ Ἰαμβλίχῳ καὶ Πορφυρίῳ λέγεις ὁμολογεῖν Πρόκλον δὲ, τὸν αἰτιώτατόν σοι γενόμενον, σιωπᾷς, τὴν τοῦ πρῶτος ἐφευρηκέναι τὰ πλεῖστα δόξαν σεαυτῷ σοφιζόμενος. Ἀλλ' οἱ Πρόκλον ἀνεγνωκότες, ἅμα δὲ καὶ κατεγνωκότες, συνοίδασί μοι τὴν τῶν λόγων τούτων πηγήν. Εἶτα τοῖς κατόχοις τῆς ἀληθείας, τοῖς ἀπλανεστάτοις ἐν πᾶσι ταύτης καθηγηταῖς, σοφιστείαν καὶ νεωτερισμοὺς ἐγκαλεῖς καὶ τὰ τοιαῦτα, καὶ διὰ τοῦτο αὐτοῖς οὐκ ἂν ποτε θήσεσθαι. Τούτων τοίνυν ἐκ νεότητος ἀποστὰς, καὶ τοῖς καλοῖς σου διδασκάλοις τεθεὶς, οἷς ὁμολογεῖν ἰσχυρίζῃ, οὐδὲ τὰ ἐκείνων εἰδέναι πάντως ἠδύνασο, καὶ πότερον νεωτερίζουσιν ἀληθῶς αὐτοὶ, ἢ μᾶλλον τῇ πρώτῃ καὶ φυσικῶς ἐγκατεσπαρμένῃ περὶ τοῦ ἑνὸς Θεοῦ τοῖς ἀνθρώποι; δόξῃ συνεστηκότες εἰσὶ, τὴν δ' ἐκ διαφορᾶς τῶν ἀνθρωπίνων βίων τε καὶ γνωμῶν νεωτερισθεῖσαν πολυθεΐαν, ἐκ Θεοῦ καὶ Λόγου φωτισθέντες τε καὶ ἰσχὺν λαβόντες, ἀνεῖλον. Καὶ δι' αὐτό γε τῷ κριτηρίῳ τῶν σῶν Πατέρων, ὄντως ἀκριβεῖ τε καὶ θείῳ, τὸ σὸν ἀντανέστησας, οὐ τἄλλα μόνον διεφθορὸς, ἀλλὰ δὴ καὶ τῷ μηδὲν τῶν ἱερῶν μήτ' εἰδέναι μήτε βουληθῆναί ποτε μαθεῖν. Τοιούτῳ δὲ κριτηρίῳ μηδὲ περὶ τῶν ἐλαχίστων πιστεύειν δεῖν, ἅπας ἀξιοῖ λόγος. Ἵνα δὲ, σοφιστὰς τοὺς τῆς ἀληθείας καθηγεμόνας καλῶν, δόξης τι λέγειν, καὶ τῶν ποιητῶν καθάπτῃ τῶν σῶν. Καίτοι τῆς πολυθεΐας αὐτοὶ τοῖς σοῖς ἡγεμόσιν, οὓς ἀντὶ τῶν ἀληθῶν καὶ γνησίων προείλου, γεγόνασιν αἴτιοι· οἱ δὲ φιλοσοφήσαντες ὕστερον, ἐπὶ τὸ μεῖζον, ὡς αὐτοῖς ἐδόκει, μεταβαλόντες, εὐπρέπειάν τινα τῷ παρ' αὐτοῖς λόγῳ ταῖς ποιητικαῖς περὶ τῶν θεῶν σου τερατείαις ἐμηχανήσαντο. Οὐδὲν δὲ διαφέρει τῇδε ἢ ἄλλῃ τὰ τοιαῦτα συμπλάσαι, ἕως ἂν εἴτε ποιητικῶς εἴτε φιλοσόφως συμπλάττοιτο· αἴσχιον μέντοι ποιητικῶς. Καὶ ἡμεῖς μὲν λόγοις ἀληθέσι μάλιστα πεπειτμένοι περὶ ὧν φρονοῦμεν, ἔπειτα καὶ πολλαῖς ἐκ τοῦ θείου συνηγορίαις, ὥσπερ ἐπικουροῦντος τῇ εὐσεβεῖ δίξῃ τῶν ἀκριβῶς αὐτῷ προσεχόντων, ἐρείδομεν τὴν ἐκ τῶν λόγων ἐγγινομένην ἡμῖν πίστιν. Σὺ δὲ, τὴν μὲν ἐκ Θεοῦ χορηγίαν συκοφαντῶν, τὸν δὲ λόγον οὔτ' ἔχων, οὔτε σπουδάσας λαβεῖν, ποιηταῖς δὲ τὴν ἀρχὴν, εἶτα μᾶλλον φιλοσόφοις, οὓς λέγεις, προσεσχηκὼς, ὧν τοὺς μὲν καὶ σὺ κακίζειν δοκεῖς, τοὺς δὲ πολλοὶ καὶ γενναῖοι τῶν ἀληθῶν φιλοσόφων ἐξήλεγξαν λόγοι, καὶ πάντας ἔπεισαν ὡς λήρων καταφρονεῖν, ποῦ τὴν περὶ τοῦ τὰ ὄντα φρονεῖν ἱδρύεις ἐλπίδα νῦν, μετὰ τὴν τοσαύτην νέκρωσιν ἢ φυγὴν τῆς πολυθεΐας, μόνος αὐτὸς τὴν ὁδὸν ἐκείνης προηρημένος; Ἐξετάζειν δὲ καὶ μανθάνειν δεῖν περὶ τῶν θείων, ὡς τοῦτο τῇ λογικῇ φύσει πρέπον, καὶ πάνυ καλῶς σοι λέγεται, ἀλλ' ἐξετάζοντας δεῖ προστίθεσθαι τοῖς ἀληθεστέροις, ὃ δύναιντ' ἂν μετὰ τοῦ θείου πράττειν καλῶς οἱ σοφία; μὲν παντοίας ἀρκούντως μετεσχηκότες, διαλεκτικῆς δὲ ἐμπεπλησμένοι δυνάμεως, νοῦν δὲ μὴ θεωρητικὸν μόνον, ἀλλὰ καὶ πρακτικὸν ἔχοντες. Ἄνευ γὰρ τούτων οὔτε δυνήσεταί τις ὁπόταις ἂν χρήσαιτο τῶν ἀρχῶν εἰδέναι καλῶς, οὔτε τί ἂν ἔποιτο ταύταις ἁπλανῶς ἐξευρίσκειν, ἀλλ' ἢ τιθέντες ἃ μὴ χρὴ τὴν ἀρχὴν, ἢ καὶ χείρω ἐπισυνάπτοντες οὐδ' ὡς ἂν συναφθεῖεν, σφᾶς τε αὐτοὺς πολλοὶ καὶ πλείους ἄλλους ἀποπλανῶσι τῆς ἀληθείας· ὃ καὶ σοὶ, πρὸς τὴν περὶ τἀληθοῦς ζήτησιν ἄνευ παρασκευῆς ὡρμημένῳ πρεπούσης, συνέβη. Οὐ γὰρ τὸν Χριστιανικὸν ἐξετάσας καὶ μαθὼν πρῶτον λόγον, εἶτα τὰς τῶν ἄλλων ἀνθρώπων μετελήλυθὼς δόξας, ἣν ἐκ τοῦ λόγου συμφωνοτέραν εὗρες ταῖς τῶν ἀρχῶν ἀληθεστέραις ἢ κοινοτέραις, ταύτῃ προσέδραμες· ἀλλ' ὃ τῶν τῆς πατρίου δόξης ἐχομένων, καὶ μετὰ λόγου, διαβάλλων κατηγορεῖς ἡμῶν, προκατειλῆφθαί γε φάσκων, τοῦτο σὺ πρὸς τὴν ὀθνείαν ἔπαθες δόξαν, πρὶν ἕξιν λαβεῖν ἐκ τέχνης καὶ φύσεως τοῦ κρίνειν ἔχειν περὶ τοιούτων. Τοιοῦτόν σε οἱ καλῶς εἰδότες ἱστόρουν· καὶ ἡμεῖς ἔγνωμεν, πολλάκις σοι συμβαλόντες, ὡς περί γε τοῦ ἀληθοῦς τῶν Χριστιανῶν λόγου οὐδὲν εἶχες πλέον τῶν καθάπαξ ἀγροίκων, ἢ αὐτὸς εἰπεῖν, ἢ λεγόντων ἄλλων συνεῖναι. Ὅθεν τῇ μὲν περὶ τὴν ζήτησιν τῆς ἀληθείας σπουδῇ δικαίως πάνυ συνηγορεῖς, τὸν δὲ τρόπον αὐτῆς, ἐξ οἰκείας τε διαστροφῆς καὶ θείας ἐγκαταλείψεως,

οὐκ ἠξιώθης εὑρεῖν. Διόπερ οὔτ' αὐτός τι τῶν ἄλλων ἀπολέλαυκας πόνων, καὶ ὧν ἐς τήνδε σοι τὴν συγγραφὴν κατεβάλου, οὔτε τῳ τῶν ἄλλων ἔσῃ λυσιτελὴς· ἐκστήσειας μὲν οὖν τινας ἴσως ὑπ' ἀμαθίας ἢ πονηρίας ἄλλης, ἡγεμόνι σοι χρησαμένους. Ὥστε σοι καὶ εἰκῆ πάντα νῦν ηὔχηται· μᾶλλον δὲ, οὐδ' εἰκῆ, ἀλλ' ἄξιον τοιούτων εὐχῶν ἐπηκολούθησέ σοι, τῆς τε περὶ τοὺς λόγους ἐπιτυχίας καὶ τῆς τῶν ἐντευξομένων ὠφελείας τὸ πέρας. Αὐτίκα γὰρ οὔτε κοινὴ πάντων, οὔτε θείων τινῶν, ὡς φῂς μετὰ τὴν εὐχὴν ὁρχόμενος, ἀλλ' ἀτόπων ἀνδρῶν, ἡ περὶ τῶν θεῶν σου γέγονε δόξα. Εἶναι μὲν γὰρ τὴν θείαν φύσιν, καὶ πάντων αἰτίαν εἶναι τῶν ὄντων, κοινὴ σχεδὸν γέγονε δόξα. Διαιρεῖν δὲ τὴν τοιαύτην φύσιν εἰς πλῆθος τοσοῦτόν τε καὶ οὕτωσὶ διακεκριμένον, ὀλίγων ἦν, οὓς εἶλου καθηγεμόνας ἀντὶ τῶν πλείστων τε καὶ βελτίστων. Ἦν δέ ποτε καὶ πολλῶν· ἀλλ' ὑμεῖς οὐ τοῖς χυδαίοις, οὐδὲ ποιηταῖς, οὐδὲ σοφισταῖς προστίθεσθαι λέγετε, καίτοι μηδὲν καινότερον αὐτῶν ἀξιοῦντες, ἀλλ' ἐπιχρωννύντες μόνον εὐπρεπείᾳ λόγων τινὶ τὴν ἀλογίαν τῆς θέσεως. Δία γὰρ κἀκεῖνοι καὶ Ποσειδῶνα, καὶ Κρόνον, καὶ Ἥραν, καὶ Ἄρτεμιν, καὶ οὐρανίους, καὶ ταρταρίους, καὶ χθονίους, καὶ Τιτᾶνας, καὶ δαίμονας, καὶ ἄρρενά τε καὶ θηλείας, καὶ γνησίους καὶ νόθους, καὶ τὰ τοιαῦτα ἐλήρουν, ἀτοπωτέρως μέντοι καὶ αἴσχιον ἢ οἱ ὕστερον μεταπλάττουσιν. Ἀλλ' οἱ τῷ ὄντι θεῖοι γεγενημένοι, σιωπῶ δὲ τοὺς ἄλλους, ἀλλὰ Μωσῆς ἐκεῖνος ὁ μέγας, περὶ οὗ ἐν πρώτῃ τῶν ἱστοριῶν ὁ Διόδωρος, Μετὰ τὴν παλαιὰν, φησὶ, τοῦ κατ' Αἴγυπτον βίου κατάστασιν τὴν μυθολογουμένην γενέσθαι ἐπὶ θεῶν καὶ ἡρώων, πρῶτον πεῖσαί φασιν ἐγγράφοις νόμοις χρῆναι βιοῦν Μωσῆν, ἄνδρα καὶ τῇ ψυχῇ μέγαν καὶ τῷ βίῳ ἱκανώτατον μνημονευόμενον. Τὰς γὰρ ἄλλας περὶ αὐτοῦ θεόθεν τε καὶ ἐξ ἀνθρώπων μαρτυρίας παρίεμεν νῦν. Οὗτος τοίνυν ἐν δευτέρῳ τῶν νόμων βιβλίῳ φησὶν, Ἄκουε, Ἰσραὴλ, Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστι. Κἂν τῷ τῆς Ἐξόδου βιβλίῳ, Οὐκ ἔσονταί σοι, φησὶ, θεοὶ ἕτεροι πλὴν ἐμοῦ, ὡς ἐκ Θεοῦ τὸν νόμον τοῦτον τιθείς. Ὁ δὲ μακάριος Παῦλος ἐν τῇ πρὸς Ἐφεσίους Ἐπιστολῇ, Εἷς, φησὶ, Κύριος, μία πίστις. Οἷς ἀναρίθμητος ἐσμὸς ἐπακολουθεῖ θείων τε καὶ σοφωτάτων ἀνδρῶν, τὴν οὐράνιον ταύτην ἀλήθειαν καὶ λόγου κρίσει συμβεβαιοῦντες· καὶ τούτοις αὖ σύμπαν νῦν τῶν ἀνθρώπων πλῆθος ἀκολουθεῖ. Εἰ γὰρ τῷ Θεὸς ὀνόματι ἔσχατόν τι νοεῖται καὶ καθ' ὑπεροχὴν, ἕνα τὸν Θεὸν εἶναι ἀνάγκη. Ἓν γὰρ, οὐ πλείω, τὸ καθ' ὑπεροχήν τε καὶ ἔσχατον. Εἰ δὲ καὶ τελειότατον δεῖ τὸν Θεὸν εἶναι, ἵνα τυγχάνειν τοῦτον ἀνάγκη· οὐ γὰρ οἷόν τε πλείω εἶναι τὰ τέλεια, εἴπερ ἀδύνατον διαιρεθῆναι ἂν τοὺς πλείους θεοὺς τελείους ὄντας, οὐδενὸς σφίσιν ἐνδέοντος. Καὶ εἴπερ ἡ τῶν ὄντων διάκρισίς τε καὶ τάξις καὶ κυβέρνησις ἀρκούντως δι' ἑνὸς τοῦ πρώτου ποιοῦντος γίνεται, πάντων τῇ δυνάμει διικνουμένου, παρέλκον τε ἂν εἴη καὶ ἅμα οὐ βέλτιον διὰ πλειόνων αὐτὰ γίνεσθαι. Καὶ εἴπερ ἡ τῷ ὀνόματι τούτῳ σημαινομένη φύσις ἄτομός ἐστι καθ' αὑτὴν, ἀμήχανον ἑτέρῳ ταύτην ἁρμόζειν· ὃ γὰρ ἀρχῇ τοῦ ποιεῖν ἐστιν ἄτομον, πλείοσιν οὐχ οἷόν τε κοινὸν εἶναι· καθ' ἕτερον δέ τι καὶ μὴ καθ' αὐτὸ τὴν θείαν φύσιν ἄτομον εἶναι, οὐχ οἷόν τέ ἐστιν, ἵνα μὴ οὕτω δὴ καὶ σύνθετος ᾖ. Καὶ πολλοῖς ἄλλοις λόγοις καὶ τεκμηρίοις τὸ δόγμα τοῦτο δεικνύουσιν, ὧν ἁπάντων ἱκανώτατόν ἐστιν, ὅτι τῶν μὲν ἄλλων περὶ Θεοῦ λεγομένων ἕκαστον, μίαν τινὰ τελειότητα δήπου σημαίνον, κατηγορεῖτ' ἂν ἀμηγέπη καὶ τῶν κτισμάτων, οἷς ἐκεῖθεν ἡ τελειότης ἐστὶν, οἷον ἀγαθότης, σοφία, δύναμις, ἐνότης, καὶ τὰ τοιαῦτα· θεότης δὲ ταῖς τελειότησι πάσαις ὄνομα κεῖται, ἃς ἀδύνατον προσεῖναι πάσας ὁμοῦ, πλὴν τῇ πρώτῃ καὶ μόνῃ πάντων αἰτίᾳ. Οὐδ' ἀθροίζει μόνον τὰς τελειότητας τὸ τῆς θεότητος ὄνομα, ἀλλὰ καὶ τὸν τρόπον συνάπτει ᾧ ταῦτα· εἰς ἓν ἀθροίζεσθαι χρή· ᾧ γὰρ αἱ τελειότητες προσήκουσι πᾶσαι, τούτῳ καὶ ἀγεννήτως καὶ ἀπείρως καὶ ὑπερφυῶς, καὶ ὑπὲρ πάντα νοῦν τε καὶ λόγον, καὶ τελειώτατα, καὶ μόνῳ, χρὴ προσήκειν αὐτάς· καὶ διὰ τοῦτο ἀγαθὸν μὲν ἔστιν εἰπεῖν ὁτιοῦν τῶν κτισμάτων, καὶ σοφὸν, ᾧ τοῦτο προσήκει, καὶ ἄλλο, δυνατὸν, ἀληθεύοντας· ἀναλογικῶς γὰρ ταῦτα καὶ τοῖς τοῦ Θεοῦ προσήκουσιν ἔργοις, μετὰ τῆς ἐν τοῖς πράγμασιν ἀληθείας, καὶ τὰ ὀνόματα. Θεὸν δὲ οὐκ ἔστιν ἄλλον εἰπεῖν ἢ τὴν πάσης μὲν τελειότητος πληρεστάτην, πᾶσι δὲ λόγοις καὶ τρόποις ἀπειράκις ἀπείρως ὑπερκειμένην παντὸς ὁπωστοῦν ὄντος φύσιν. Πλείοσι δὲ φύσεσι ταύτης τῆς ὑπεροχῆς κοινωνεῖν οὐδ' ἂν αὐτὸς ὁ Θεὸς δύναιτο, βουληθεὶς ἂν, καίτοι πᾶσαν φύσιν παράγων μείζω τε καὶ ἐλάττω μόνος· αὐτὸς, ὥσπερ οὐδ' ἂν δύναιτο μὴ εἶναι Θεὸς, ἢ ὅλως μὴ εἶναι ὅπερ ἐστίν. Ἀλλ' οἱ τὸ θεῶν εἰσάγοντες πλῆθος τιθέασι ταῦτα μόνον ἁπλῶς, πρὸς τοὺς προτέρους οἱ ὕστεροι ἀναφέροντες, οὐ μᾶλλον αὐτοὶ σεμνυνόμενοι τῇ πρὸς ἐκείνους ἀναφορᾷ ἢ κἀκείνοις μεταδιδόντες τοῦ αἴσχους, μᾶλλον δὲ καὶ πολλῷ χείρους, ὡς αἰτιωτάτους αὐτοῖς τῆς πλάνης, δεικνύντες. Καὶ σὺ γὰρ ἐνταῦθα λόγον οὐδένα περὶ τοῦ πλήθους διδοὺς, γεννᾷς μόνον, καὶ ὀνομάζεις, καὶ συντάττεις, καὶ διακρίνεις, καὶ συνοικίζεις αὖ πλῆθός τι θεῶν ἀμύθητον. Ὅτι δὲ οὐδεὶς ἂν ὑμῖν πρὸς ταῦτα λόγος παρείη, δῆλον ἐντεῦθεν συντόμως. Πῶς γὰρ οἷόν τε, διεστηκότας ἀμηχάνῳ ἴσῳ τῆς πρώτης αἰτίας, οὓς φατε θεοὺς, μὴ τοῦ Θεοῦ κτίσματα εἶναι καὶ δοῦλα; Κτίσματα δὲ ὄντας Θεοῦ, οὐκ οἷόν τε θεοὺς εἶναι, καὶ θεῶν ἄλλων δημιουργούς. Ἀντιφάσεις γὰρ ταῦτα, τῆς τοῦ Θεὸς ὀνόματος ἀκριβείας ὡς χρὴ τηρουμένης. Οὐδ' ἀλλήλων τηλικαύτας τε καὶ τοιαύτας διακρινομένους ὑπεροχὰς καὶ ὑφέσεις, εὔλογον ἂν εἴη θεοὺς εἶναι καὶ καλεῖσθαι δεῖν οὕτω. Εἰ τοίνυν ἔργα τοῦ Θεοῦ καὶ αὐτοί γ' ἂν ἦσαν, καὶ τῆς θείας ἄνευ ἰσχύος μήτ' ἂν γεγενημένοι, μήτ' ἂν ἄλλους παραγαγόντες, μήτ' ἂν δυνηθέντες ἐν τῷ παντὶ τῷδε καὶ ὁτιοῦν, ὥστ' εἶναι τὴν πρώτην αἰτίαν, καὶ μόνην ὡς ἀληθῶς, ἧς τὸ δριστήριον ὡς δι' ὀργάνων τῶν ἀπ' αὐτοῦ πάντων μέχρι καὶ τῶν ὑστάτων διήκειν, τί σοι καὶ τοῖς σοῖς ἡγεμόσι τῶν τοιούτων πόνων ἐδέησεν, ὥστε συμπλάτιν ἀνάγκῃ μηδεμιᾷ τὰ πολλῆς ἀτοπίας γέμοντα; — Ἡμεῖς γὰρ

οἱ τὸν ἀληθῆ καὶ θεῖον πρωτοτόκιον λόγον, τὸν μὲν Θεὸν ἀμέσως πάντα δημιουργῆσαι φρονοῦμεν τὰ ὄντα, καὶ ἀμέσως αὐτὰ κυβερνᾷν τε ἐκεῖθεν καὶ προνοεῖν, ᾗ προσήκει πρώτῳ ποιοῦντι. Τὴν μέντοι τῆς θείας κυβερνήσεως ὑπουργίαν, ὡς δούλοις, καὶ τῶν κτισμάτων αὐτῶν ἀποδίδομεν ὑπήκοις τοῦτο προσήκει, τῷ τε θείῳ προσήκειν ἀξιώματι τοῦτο, καλῶς εἰδότες, καὶ τῇ τοῦ παντὸς συμφέρειν ἑνότητι, καὶ τῇ τάξει τῶν ἐν αὐτῷ μερῶν, καὶ ταῖς ἑκάστου πρὸς ἕκαστον ὑπεροχαῖς καὶ ὑφέσεσιν, οὐ μάτην ἐκ Θεοῦ δεδομέναις. Ὅθεν, συντόμως εἰπεῖν, ταῖς μὲν νοεραῖς καὶ πάντῃ σωμάτων κεχωρισμέναις οὐσίαις αὐτὴν ἀμέσως τὸν δημιουργὸν ἐφιστῶμεν, οὐκ ἄνευ τάξεως ἐξαιτίου πρὸς αὐτὸν ἀνατεινομέναις, καὶ τὰ θεῖα μυουμέναις προστάγματα περὶ τῆς τοῦ παντὸς διοικήσεως· ἣν εὐταξίαν αὐτῶν, ἐκ Θεοῦ δι' αὐτῶν ἀποκαλυφθεῖσαν, ἴσμεν ὡς οἷόν τε καλῶς. Τοῖς δ' οὐρανίοις σώμασιν ἐνίοις ἐφιστῶμεν αὐτῶν, ἃς οὐρανῶν καλοῦμεν δυνάμεις, οὔσας μέν τοι μὴ φύσεων αὐτῶν αἰτίας οὐδὲ τοῦ πεφυκέναι τῇδε κινεῖσθαι, τῷ δὲ συνεχεῖ τῆς κινήσεως ἐνεργοὺς, τρόποις εὐσεβῶς τε καὶ σοφῶς νοουμένοις. Τῶν δὲ γενητῶν τουτωνὶ, τοῖς μὲν ἄλλοις, οὐρανόν τε καὶ πᾶν ὑπ' αὐτὸν σῶμα, ἄλλο ἄλλῳ, οὐ τοῖς διαφέρουσι μόνον, ἀλλὰ καὶ τοῖς αὐτοῖς συμβαλλόμενα, πρὸς τὸ γίνεσθαί τε ὧδὶ καὶ εἶναι ἕως ἂν ᾖ. Ἀνθρώποις δὲ, τῷ μὲν γηΐνῳ, αὐτὰ δὴ ταῦτα, οὐκ ἄνευ τῆς τῶν ἀσωμάτων ἐπιπλοπῆς, ἐπειδάν ποτε καὶ τῆς δι' αὐτῶν προνοίας ἄξιον ᾖ διὰ τὴν ἀξίαν τοῦ συνημμένου καὶ χρείαν· αὐτῷ δὲ τῷ βελτίονι καὶ ἀθανάτῳ καὶ χωριστῷ τὰς ἀσωμάτους ἐφιστῶμεν οὐσίας μόνας, οὐκ ἄνευ Θεοῦ, οὐχ ὅπως γένοιτό τε καὶ ἐν σώματι εἴη (τοῦτο γὰρ Θεοῦ μόνου ἔργον), ἀλλ' ὅπως ἄμεινον δύναιτο βιοῦν, ἐπιμελομένας. Ἀλλ' οὔτε τι αὐτῶν ὀνόματος ἀξιοῦμεν οὔτ' ἔργου μιᾷδμόθεν σφίσι προσήκοντος, οὔτ' εἰς τὸν ἕνα παρανομοῦμεν Θεὸν, τὴν ὑψηλοτάτην ἐπωνυμίαν χραίνοντες τῷ καταβιβάζειν ἑνὶ μήτ' ἀληθὲς μήθ' ὅσιον, καὶ τῇ κοινωνίᾳ τῆς ἐπωνυμίας καὶ τὰς εἰς τὸν Θεὸν τιμὰς συμμερίζειν τοῖς δούλοις, καὶ δημιουργοὺς ἀλλήλων καὶ πατέρας ποιεῖν, καὶ τοῦ παντὸς τοῦδε δημιουργοὺς, καὶ γενῶν διακρίσεις καὶ συνουσίας καὶ ἁρπαγὰς καὶ ἔρωτας καὶ τὰς ἄλλας φλυαρίας, τῇ θείᾳ φύσει προσάπτειν, ἃ μετὰ τῶν ἄλλων οὐδὲ σὺ λίγων αἰδῇ καὶ νομοθετῶν. Ἀλλὰ φαίης ἂν καὶ τὴν ἡμετέραν Γραφὴν τῷ πλήθει τῶν Θεῶν συγχωρεῖν, λέγουσαν, « Θεὸς Θεῶν Κύριος ἐλάλησε· » καὶ, « Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε· » καὶ, « Ἐγὼ εἶπα, Θεοί ἐστε. » Πολλοῦ γε καὶ δεῖ ταυτὶ συγχωρεῖν. Ἐλαύνει μὲν οὖν πανταχοῦ, καὶ ἡμεῖς ὡς ἐλαυνούσῃ προσέχομεν· ἐκεῖνα δὲ νοοῦμεν, ὡς ἂν νοοῖτο δήπου καλῶς, εἰδότες δόγμα τε διακρίνειν, καὶ λόγων οἰκονομίαν, ἣ συνηθείᾳ, ἣ χρείᾳ χαριζομένην. Τοῖς γὰρ ὁμωνύμοις καὶ μεταφορικοῖς χρώμεθα μὲν πολλαχοῦ, τῇ χρείᾳ καλούσῃ· ὡς εἴ τις λέγοι τὸν ἀρετῇ καὶ πλεονεκτήμασιν ἐν τῷ τῶν ἀνθρώπων διαλάμψαντα βίῳ καὶ πολλοῖς ὠφέλιμον γεγονότα ἥλιον εἶναι, ἢ ἄλλον ἥλιον, ἢ δεύτερον ἥλιον· ἀλλ' οὐδεὶς νοῦν ἔχων, ἐντεῦθεν ἑλὼν, ἡλίους ἂν πολλοὺς πλάσειε, κοινωνοῦντάς τέ πῃ τῇ φύσει, καὶ οὐ διαλλάττοντας, ἵνα τὴν σὲ χείρω βούλησιν ἐκπληρώσῃ τὴν ἑαυτοῦ, καὶ μηδὲ δόξῃ τοῖς ἐκδήλοις καὶ ἀληθέσι πάνυ μαχόμενος. Παιζόντων γὰρ τὰ τοιαῦτα μᾶλλον ἂν εἴη· μὴ χρῆναι δὲ παίζειν ἐν οὐ παικτοῖς. Καὶ εἰ περὶ πάσης ὕλης φιλοσοφοῦντας γνησίως χρὴ τὰ τοιαῦτα φυλάττεσθαι, πῶς ἂν εἴη δίκαιον τὴν ἱερὰν τοὺς ἀνθρώπους κιβδηλεύειν θεολογίαν, ἵνα μὴ μόνον ψευδολογῶσι τὰ περὶ τῶν θείων, τὰς λέξεις ὥσπερ οἱ σοφισταὶ συναρπάζοντες, ἀλλὰ καὶ πολλὰ μὲν βλασφημεῖν, πολλὰ δὲ ἀσεβεῖν ἐντεῦθεν προάγωνται, ἐπὶ ψευδοῦς θεμελίου τὰ ἄλλα ἱδρύοντες; Ἡ μὲν οὖν ἱερὰ Γραφὴ τῇ τῶν πολλῶν ἀσθενείᾳ συγκατιοῦσά ποτε, καὶ ἐπὶ τῶν κτισμάτων καταχρῆται ταύτῃ τῇ λέξει, ὅσα τῶν ἄλλων ὑπερέχει τρόπῳ τινὶ, ἢ τῇ διοικήσει τῶν ὑποδεεστέρων κατὰ τὴν βούλησιν τῆς πρώτης αἰτίας, ἢ τῇ κοινωνίᾳ τῆς θείας μακαριότητος, ἢ τῇ τῆς σοφίας ὑπεροχῇ καὶ τῶν ἄλλων ἀγαθῶν ἐν τῷδε τῷ βίῳ· διὰ ταυτησὶ τῆς προσηγορίας πρὸς τὴν ἐπιμέλειαν τῆς κατὰ λόγον τε καὶ νόμον ζωῆς, δι' ἧς, ὡς ἐφικτὸν τῇ ἀνθρωπίνῃ φύσει, πρὸς τὴν θείαν ἀφίξονται κοινωνίαν, τὰς τῶν ἀκουόντων διανοίας ἐπαίρουσα. Τί δὲ τούτῳ κοινὸν πρὸς τὰ ἐκ τόπου θεοπλαστίας, αἷς ὑμεῖς ἐναυχεῖτε; Ἴδωμεν δὲ καὶ περαιτέρω σου τὴν σοφίαν. Κοινὴν εἶναι φῂς δόξαν, τὸ πλείους εἶναι θεούς. Ἀλλὰ δῆλον μὴ εἶναι δόξαν τοῦτο κοινήν. Ἔμελλες ἂν οὖν εἰκότως ἀποδεικνύειν· ἀλλ' οὐ δεικνύεις. Τοῦτο δέ ἐστι τὸ πάνυ ζητούμενον ἐκ πολλοῦ τοῖς ἀνθρώποις, ἐπεὶ καὶ οὐ τὴν κοινὴν δόξαν πάλιν εἰσάγεις; οὐκ εἶναι κοινὴν, τὰς περὶ τοῦ θείου διαφορὰς ἐκτιθέμενος. Εἶτα τιθείς, ὥσπερ νομοθετῶν, πλείους μὲν εἶναι θεοὺς, οὐ τοὺς αὐτοὺς δὲ θεότητι. Ἀλλ' ὥσπερ εἰ μὴ εἶεν θεότητι θεοὶ, οὐδ' ἂν θεοὶ εἶεν, οὕτως, εἰ μὲν τῇ αὐτῇ πάντες εἰσὶν, ᾧ ἔποιτ' ἂν καὶ αὐτοὺς εἶναι θεοὺς τοὺς αὐτοὺς τῇ αὐτῇ θεότητι εἰδοποιουμένους, ἀδύνατον ἕνα τινὰ διαφέρειν τῶν ἄλλων τῇ φύσει καὶ ἀμηχάνῳ ὅσῳ διαφέρειν, ὡς φῄς· εἶτα καὶ τοὺς ἄλλους σχεδὸν ἀλλήλων οὐτωσὶ διακρίνεσθαι· τοῖς γὰρ ἑνὸς κοινωνοῦσιν εἴδους ἀδύνατον τηλικαύτην ἐνυπάρχειν διαφοράν, ἀλλὰ συνωνύμως δεῖ κατ' αὐτῶν τοὔνομα λέγεσθαι. Φύσει δὲ μὴ διαφέροντες ἀλλήλων, ἢ οὐδὲ διοίσουσιν ὅλως, ἢ συμβεβηκόσι διοίσουσιν, ὧν τῷ μὲν ἔπεται μηδὲ εἶναι ὅλως οὔτε πλείους οὔθ' ἕνα· τῷ δὲ πλείστα ἄλλα τοιαῦτα ἀκολουθεῖ. Εἰ δὲ μὴ τῇ αὐτῇ θεότητι, δῆλον ὡς ὁμωνύμως οὕτω καλοῦνται. Ἦ τοίνυν ἅπαντες ὁμωνύμως οὕτω καλοῦνται, καὶ οὐδείς ἐστι κυρίως καὶ ἀληθῶς θεός· καὶ ἢ ἄλλοθί που αὖ ἡ ἀληθὴς θεότης ἐστὶν, οὐκ ἐν αὐτοῖς πᾶσιν ὁμοῦ, ἢ εἰκῇ οὕτω καλοῦνται, καὶ οὔτ' ἐν αὐτοῖς οὔτ' ἄλλοθί που θεότης ἐστὶν ἀληθής· ἢ εἰ ταῦτ' ἀδύνατα, εἷς μὲν ἔστιν ᾧ προσήκει μοναδικῶς τοῦτο τὸ ὄνομα καὶ κυρίως, αὐτὸς δέ ἐστι καὶ μόνος Θεὸς, καὶ ἄλλος οὐδείς. Αὐτὸς γὰρ οὐ μόνον οὐκ ἔσται ἄλλοις ὁ αὐτὸς τῇ θεότητι, ἀλλὰ καὶ τῇ αὐτοῦ θεότητι ὁ αὐτὸς ἔσται, τῷ ταὐτὸν εἶναι δεῖν ἐν τῷ Θεῷ τό τε ὑποκείμενον, καὶ τὴν φύσιν ἤτοι τὸ εἶδος, ἵνα μὴ σύνθετος ᾖ. Ταὐτὸν

δὲ εἰπεῖν, τῇ θεότητι ὁ αὐτὸς ἔσται διὰ τὰ εἰρημένα, καὶ εἷς ἔσται Θεὸς μόνος, καὶ μία θεότης οὕτω. Εἰ τοίνυν εἷς ἐστι Θεὸς, καὶ μάλιστα εἷς διὰ τὴν ἄκραν ἁπλότητά τε καὶ τελειότητα, οὐχ οἷόν τε πλείους εἶναι θεοὺς οὐδεμιᾷ μηχανῇ, οὔτε τοὺς αὐτοὺς αὐτῷ καὶ ἀλλήλοις θεότητι, οὔτε οὐ τοὺς αὐτούς. Πῶς δ' ἠγνόηκας, ἄνθρωπε, ὅτι πᾶσα ἡγεμονία τῆς ἑνότητος ἐφίεται φύσει; Ὅθεν κἀν ταῖς ἀρχαῖς ἰσχυρότατον, ἅμα δὲ καὶ χρησιμώτατον ἡ βασιλεία ἐστὶν, ἔννομος τυγχάνουσα μοναρχία· καὶ πολλοὶ μὲν ὑπηρετοῦνται τῷ βασιλεῖ, δι' ὧν τὴν ἀρχὴν αὐτὸς κατακοσμεῖ πᾶσαν, ἀλλ' οὐδεὶς αὐτῶν οὔτ' ἐστὶν οὔτε λέγεται βασιλεὺς, πλὴν αὐτοῦ. Κἀν τῷ σώματι δὲ, πλειόνων ὄντων μελῶν, μία μόνη ἐστὶ κεφαλή. Καὶ ἐπὶ πάντων ἁπλῶς τῇ ἀρχῇ καὶ τῷ πρώτῳ ἡ ἑνότης οἰκείως ἀνταποκρίνεται· καὶ διὰ ταῦτα πολλῷ μᾶλλον δεῖ τὸν Θεὸν πάντων αἴτιον ὄντα, καὶ ἕνα μόνον ὁμολογεῖν, ᾧ καὶ πρὸς τὰ μέγιστα καὶ τιμιώτερα τῶν ἔργων αὐτοῦ ἄπειρός ἐστιν ἡ ὑπεροχὴ· οὐ γὰρ τάξει μόνῃ καὶ αἰτίᾳ προέχει, τἄλλα σύμφυτος ὤν, ὡς τοῖς μέλεσιν ἡ κεφαλὴ, ἢ τῆς αὐτῆς τυγχάνων οὐσίας, ὥσπερ τοῖς βασιλευομένοις ὁ βασιλεὺς, ἀλλ' ὡς οἰκοδόμος ἔχει πρὸς τὴν οἰκίαν, ὁμοιουμένην τῷ ἐν αὐτῷ εἴδει τῆς βουλήσεως καὶ τῆς τέχνης, καὶ πολλῷ θειότερόν τε καὶ ὑψηλότερον. Διὸ ποιεῖ μέν ποτε ὁ τέκτων καὶ τὸ τῆς τέχνης ὄργανον, χρῆται δὲ γενομένῳ πρὸς ὃ δήπου γέγονεν ὑπ' αὐτοῦ· ἀλλ' οὐχὶ καὶ τὴν οἰκοδομικὴν ἐντίθησιν δύναμιν, οὐδὲ τέκτονα ἄλλον αὐτὸ ποιεῖ, οὔτ' ἴσον, οὔτ' ἐλάττονα ἑαυτοῦ. Οὕτω καὶ ὁ Θεὸς ποιεῖ μὲν τῇ ἀγαθότητι καὶ τῇ βουλήσει ἄλλα ἄλλων τιμιώτερα κτίσματα, ὧν τοῖς ὑψηλοτέροις καὶ πλέον τὸ αἰτιῶδες δίδωσι καὶ δραστήριον· ἀλλ' οὐ θεοὺς ἄλλους ταῦτα ποιεῖ, οὐδ' ἄλλους δημιουργοὺς, οὐδὲ φύσεων ὅλως παραγωγούς· ὀργανικὸν γὰρ αὐτοῖς καὶ ὑπουργικὸν τὸ αἰτιῶδες ἐντίθησιν, οὐχ ᾗ προήκει δημιουργοῖς. Θεοὶ δ' ἂν ἦσαν, ὡς ὑμεῖς βούλεσθε δήπου, εἰ τῇ ὁδῷ τῆς φύσεως προῆγεν αὐτός· οὕτω δὲ προηγμένοι, κἂν ὅμοιοι πανταπασιν ἦσαν τῷ προαγαγόντι, καὶ οἱ αὐτοὶ τῇ θεότητι, αὐτοῦ μὲν τῷ προῆχθαι διαφέροντες μόνῳ, ἀλλήλων δὲ τῇ τάξει τῆς προαγωγῆς, ὡς ἐπὶ πάντων ἔχει τῶν συνωνύμως τι προαγόντων, καὶ τῷ εἶδει τῆς φύσεως. Ἀλλὰ καὶ οὕτως ἀδύνατον πλείους ἂν εἶναι θεοὺς πολλῶν ἕνεκα. Σὺ δὲ καὶ τῇ ταυτότητι τῆς τε φύσεως καὶ βουλήσεως ἐν Θεῷ κατακέχρησαι πρὸς τὸ δεῖξαι τὰ τῆς θείας βουλήσεως ἔργα τὰ αὐτὰ καὶ τῆς θείας φύσεως εἶναι καρπούς· εἶτα τοὺς καρποὺς τῆς θείας φύσεως διακρίνεις αὐτῆς τῇ φύσει· εἶτα καὶ οὕτω ζῴους αὐτοῖς τὰ τῆς θείας ἐξαίρετα φύσεως, καὶ θεοὺς καὶ ἄρχοντας τῷδε τῷ παντὶ ἐφιστᾷς· οὐ μόνον τὴν σὴν πολυθεΐαν βεβαιῶν οὕτω, ὡς οἴει (ἀκυροῖ δὲ μᾶλλον οὕτω καὶ ἄκυρον οὖσαν), ἀλλὰ καὶ τῇ ἡμετέρᾳ πίστει μαχόμενος. Ἀγνοεῖς δὲ ὡς ἡ φύσις καὶ ἡ βούλησις ἐν Θεῷ διακέκριθον εἰδικῶς καὶ τῇ φύσει τοῦ πράγματος; Διὸ καὶ δύνανται προάγεσθαι δι' αὐτῶν διακεκριμένα τῇ φύσει καθάπαξ, τῆς ἐν τῇ αἰτίᾳ κουφοτέρας διαφορᾶς ἐν τοῖς αἰτιατοῖς εἰς πλεῖστον ὄγκον ἐκνίσης, καὶ μηδὲ τὴν θείαν ἁπλότητα παραβλάπτεσθαι. Ἃ δὲ περὶ τῶν θεῶν σου συνείρεις λοιπὸν, τοὺς μὲν λέγων αὐτοῦ Διὸς παῖδά τε καὶ ἔργα, ὧν δὴ πρῶτον εἶναι τὸν Ποσειδῶ, τοὺς δὲ παίδων τε παῖδας καὶ ἔργων, καὶ τοὺς μὲν ἄρρενας, τὰς δὲ θηλείας, καὶ νόθους τε καὶ γνησίους, καὶ ὀνόματα τούτων τιθεὶς, καὶ τάξεις ὑπέρ τε οὐρανὸν αὐτὸν κἀν τῷ παντὶ τῷδε, καὶ δράσεις, ταῦτα, πρὸς τῷ μηδὲν αὐτῶν τοῖς πρέπουσι περὶ Θεοῦ λογισμοῖς συμφωνεῖν, καὶ ἄλλως ἀδύνατά τε καὶ ἀσύστατα εἶναι, ἔτι καὶ σὺν οὐδεμιᾷ τίθενται προφάσει γοῦν ἀποδείξεως, ἀλλ' ὡς ἂν τις ἀκούσειέ του μύθους, ἢ ὀνείρους διηγουμένου. Ὅθεν, εἴ τις αὐτὰ διελέγχειν βουληθείη καθ' ἕκαστα, ἔσον ποιήσει τῷ πρὸς μύθους ἢ ὀνείρους ἀγωνίζεσθαι βουλομένῳ. Θεμελίοις δὲ τοιούτοις καὶ ὁμοια δι' ὅλου σοι τοῦ συγγράμματος ἐποικοδομεῖς, ὧν χείρω τὰ τελευταῖα, καὶ μηδ' ἀκοαῖς εὐσεβῶν ἀνεκτά. Ἀλλ' οἱ μὲν σοφοί σου καθηγεμόνες ἔξουσί τινα καὶ καταφυγήν· οὕπω γὰρ τοῦ θείου φωτὸς τὴν ἀνθρωπίνην τότε καταλάμψαντος φύσιν, πειρώμενοι τῆς ἀληθείας, τὸ μὲν ἄκοντες, τὸ δ' ἑκόντες διήμαρτον. Φαμὲν δὲ ἑκόντες, ὅτι τὰ τῶν ἰδιωτῶν αὐθις προεστήσαντο γνώμας, οὐκ αὐτοὶ πρῶτοι σφίσιν εὑρόντες; ἐξέδωκαν ἃ δέοι γ' ἂν περὶ τοῦ Θείου φρονεῖν. Καὶ πρῶτον μὲν τοῖ στοιχείοις οὕτως; ἀπεδόθη τὸ σέβας, εἶτα τοῖ ἄστροις ὑπ' ἄλλων, εἴτ' οὐρανῷ, εἶτα προϊόντων, ψυχαῖς, ἃς συνῆψαν ἐκείνοις τοῖς σώμασιν, οὐραν῵ τέ φημι καὶ τοῖ οὐρανίοις, εἶτα φύσεσιν ἄλλαις σωμάτων πάντη κεχωρισμέναις· οἱ δ' ὕστεροι πάντα μίξαντες, Θεὸν μὲν ἕνα ὑπεριδρύουσι λόγῳ καὶ τῷ δοκεῖν, ὑπ' ἀληθείας ἠναγκασμένοι, τὰ δ' εἰρημένα πάντα συντάττουσιν αὐτῷ, καὶ θεότητος αὐτῷ καὶ δημιουργίας καὶ παντὸς ἀξιώματος, θεοὺς, μερίτας ποιοῦσιν, εἶτα καὶ τὰς ἄλλας συνάπτουσιν ἀτοπίας· οὐ γὰρ ἠδύναντο χωρίζειν ταύτας τῶν ἄλλων, ἐξ ὧν τὴν ἀρχὴν ἐκεῖνα εἰλήφει. Ἐκεῖνοι μὲν οὖτοι. Σὺ δὲ τί παθὼν, ἄνθρωπε, τὴν ἀληθῆ θεολογίαν πάτριον ἔχων, ἐπὶ τὴν ἀσύστατον μᾶλλον ὥρμησας φλυαρίαν, καὶ ταύτῃ τὴν ὅλην σπουδὴν ἀπέδωκας; Τί, τῆς ἀληθείας ἅπασαν καταυγασάσης τὴν γῆν, αὐτὸς προεῖλου τὸ σκότος; Τί σαπροῖς καὶ φυγάσι καὶ πολλαχόθεν ἐληλεγμένοις, καὶ μηδεμίαν ἰσχὺν ἔτ' ἐχουσιν ἐν ταῖς ἀνθρωπίναις ψυχαῖς, προσέθου δόγμασιν, ὥσπερ σοὶ μόνῳ τῶν Ἑλληνικῶν πεφυλαγμένων βιβλίων; Ἀ, τῆς φωνῆς τε χάριν, καὶ τοῦ μενόντων ἐλέγχεσθαι μὲν τὴν ἀτοπίαν αὐτῶν, τὴν καθαρειότητα δὲ τῆς κατὰ Χριστὸν ἀναλάμπειν θεολογίας ἔσωζον οἱ Πατέρες ἡμῶν, πάνυ καλῶς εἰδότες, ὡ; οὐδεὶ; ἔσται λίαν ἁπλοῦς, ὥστ' ὀντι τοῦ καταγνῶναι μᾶλλον ἀσπάσασθαι. Τί; ἀπολογία σοι πρὸς τὸν τῆς ἀληθείας ἔρορον ἔσται καὶ πᾶσαν ἀληθείας καὶ νοῦ μετέχουσαν δίκην, ἐκ μέσης τῆς σωτηρίας πρὸς τὸν βόθρον αὐτομολήσαντι, εἶτα καὶ προσδοκήσαντι μόνῳ τὴν τοσούτοις ἔτεσι τεθνηκυῖαν πολυθεΐαν ἀναστήσειν αὖθις, καὶ ὅσα κατὰ τῆς σῆς ψυχῆς προσεδόκησας; Ἤπου γὰρ εἰ οἷός τε ἦσθα, καὶ τῶν δεινῶν ἂν ἐκείνων τυράννων ἐμιμήσω τὴν βίαν καὶ τὴν τῶν μαρτυρίων ὁδὸν Χριστιανοῖς αὖθις ἀνῆκας ἄν. Μᾶλλον δὲ καὶ πέπραχας ἅπαν τὸ ἐπὶ σοί· ἐν μιᾷ γὰρ τῶν ὑστάτων σοι ὑπο-

θέσεων, καὶ κτείνειν νομοθετεῖς τοῦ τοῖς νόμοις τούτοις ἀντιλέγειν βουλησομένους· οὐ τοῦτο μόνον ὁμοιωθεὶς τῷ τὴν προφητῶν καὶ νομοθετῶν ἁρπάσαντι τάξιν (1), παραχωρήσει Θεοῦ, ἀλλὰ κἀν τοῖς περὶ τῶν γάμων λόγοις, καὶ στρατειῶν, καὶ θυσιῶν, καὶ τροφῶν, καὶ ποτῶν, καὶ εὐχῶν, καὶ πολλῶν ἄλλων, καὶ τῷ σκοπῷ πρὸ πάντων τοῦ ἐγχειρήματος. Καίτοι δυσὶ τοῖς μεγίστοις κἀκεῖνός σου πάνυ πλεονεκτεῖ. Θεόν τε γὰρ ἕνα μόνον διδάσκει, οὔτε τοῖς ἄλλοις ἡμῶν δόγμασι πάνυ τοι μάχεται, καὶ τὴν ἀρχὴν εἶχε συμπράττουσαν τῷ τολμήματι, καὶ τὴν ἰσχὺν τοῦ χρῆσθαι τῷ ξίφει, καὶ τὴν δύναμιν τοῦ κατορθώσειν πρῶτον λαβών, οὕτως ἤλπισεν ἀνύσειν ὧν ἐπεθύμει· ὥστε σοῦ ταύτῃ καὶ φρονιμώτερος ἦν. Σὺ μὲν ἄρα θρήνων ἄξιος πᾶσι τοῖς εἰδόσι τε καὶ περιληπτόσιν, ἐν οἷς καὶ ἡμεῖς ἐσμεν, μαρτυροῦντος ἡμῖν τοῦ Θεοῦ, δι' ὃν σοι μόνον εὐλαβῶς προσεκρούσαμεν, ἄλλως ἐπαινοῦντές τε καὶ τιμῶντες. Τὸ δὲ σὸν βιβλίον ἀφανιστέον, μὴ καὶ ἄλλοις ἴσως τοῦ θρηνεῖσθαι πρόφασις γένηται, καὶ τῷ συγγεγραφότι διηνεκοῦς ἀδοξίας, χερσὶν εἰδότων ἐμπίπτον.

Ταῦτα πρὸς ἐκεῖνον, ὥσπερ δὴ παρόντα, εἰπών, καὶ τὸ βιβλίον αὖθις συμπτύξας, ἀνέπεμψα τῇ θαυμαστῇ βασιλίσσῃ, ἐπιστείλας αὐτῇ διδόναι πυρί. Ἡ δὲ αὖ πρὸς ἡμᾶς ἀναπέμψασα, ἡμῖν ἔφη μᾶλλον πολλαχόθεν προσήκειν τὴν εἰς τὰς τῶν ἀποστατῶν συγγραφὰς ποινὴν κατεργάζεσθαι. Ἐβουλόμεθα μὲν οὖν εὐθὺς ἕνια τοῦ βιβλίου μέρη φυλάξαι, ὅσα φυσικῇ τε καὶ λογικῇ καὶ ταῖς τοιαύταις ὕλαις ἀνήκει· ἀλλὰ καὶ δεύτερον τούτου χάριν ἐπιδραμόντες, οὐδεμίαν τῶν ὑποθέσεων εὕρομεν ἀπηλλαγμένην κακοῦ· οὐ μόνον τῷ πάντα πρὸς τὴν πολυθεΐαν ἐξεπίτηδες ἀναφέρειν, ἀλλ' ὅτι καὶ ψεῦδός τι τοῖς περὶ πάντων λόγοις ἐγκατεμέμικτο. Περὶ ψυχῆς γὰρ λέγων ἀθανασίας, τὰς εἰς τὸ σῶμα καὶ τὸν βίον ἐπανόδους αὖ τῶν ψυχῶν ἐν χρόνων ταχτοῖς περιόδοις, ὡς δύναται, κρατύνειν πειρᾶται, ἃς οἱ πολλοὶ μετεμψυχώσεις φασὶ, καὶ εἰς τὸν οὐράνιον τόπον οὐδέποτε ταύτας ἀνάγεσθαι ἀξιοῖ, καὶ χείρω ἄλλα προστίθησιν. Οἰκονομίας δὲ πέρι πραγματευόμενος, ἑνὶ ἀνδρὶ πλείους γυναῖκας ἀξιοῖ συνάπτεσθαί τε καὶ συνοικεῖν. Καὶ οὐδὲν ὅ τι οὐ φαυλότητος εἰς τὸν ἀνθρώπινον εἰσάγει βίον. Ὅπου τέ τινος τῶν ἡμετέρων ἐθῶν ἢ νόμων ἀντιπράττοντος αἴσθοιτο τοῖς αὐτοῦ, ὡς σοφιστῶν καὶ γοήτων κατηγορεῖ καὶ ἀφρόνων, τῶν τε θεμένων, τῶν τε προσεχόντων αὐτοῖς. Καὶ πάσας αὐτῷ τοῦ βιβλίου τὰς ὑποθέσεις πολλῆς κατὰ Χριστιανῶν πικρίας ἐνέπλησε, λοιδορῶν τὰ ἡμέτερα, οὐκ ἀντιλέγων, ὥσπερ τὰ οἰκεῖα τιθείς, οὐκ ἀποδεικνύων. Ὅθεν οὐδὲν τοῦ βιβλίου μέρος ὕστερον ἔδοξέ μοι καταλειπτέον εὐσεβῶν ὄψεσιν, ὠφέλειαν μὲν οὐδεμίαν, σκάνδαλον δὲ ταῖς αὐτῶν ψυχαῖς ἐνθεῖναι δυνάμενον. Τὸ δὲ καὶ χωρὶς τῶν ἀτόπων τούτων παρενθηκῶν μηδὲν ἀκοαῖς σοφαῖς πρέπον ἐνεῖναι ταῖς ὑποθέσεσιν, ἀλλὰ παχυτάτης φρενὸς τυγχάνειν ἅπαντα τόκους, ὅθεν μηδενός τινος ἀγαθοῦ στέρησιν ἐπενεγκεῖν ἂν ἀνθρώποις τὴν τοῦ βιβλίου φθοράν, τοῦτο φειδοῖ τῶν ἀνοήτων λέγειν οὐ χρή. Διὰ ταῦτα τοίνυν, καὶ ὅτι οὐ πατρόθεν τοιοῦτος ἦν, ἀλλ' ἀποστάτης, καὶ ὅτι πάνδεινος ἀγροικία τὸ ἡμέτερον νῦν ἔχει γένος, οὐκ ἀφανισμοῦ μόνου χάριν, ἀλλὰ ποινῆς εἵνεκα μάλιστα, δοθῆναι πυρὶ πεποιήκαμεν τὸ βιβλίον. Ἦν δ' ἅπαν χειρὶ γεγραμμένον ἐκείνου. Ἐπεὶ δὲ καὶ λίαν εἰκὸς ἄλλοθί που τὸ ἴσον ὑπάρχειν ὑπό του τῶν ἐκείνῳ φοιτησάντων ἢ ζώντος ἢ τελευτήσαντος ἐγγραφὲν, παρακελευόμεθα πᾶσιν ὡς ἀπὸ Θεοῦ, εἴποτε καὶ ὁπουδήποτε εὑρίσκοιτο ἢ ὅλον τὸ βιβλίον ἢ μέρος ἐγγεγραμμένον ἔν τινι τῶν Χριστιανῶν, πυρὶ μὲν φθείρειν αὐτὸ τὸν ἔχοντα· κρύπτοντα δὲ καὶ ἁλωκότα, μετὰ μίαν καὶ δευτέραν παραίνεσιν, εἰ μὴ παῤῥησίᾳ βούλοιτο καίειν, εἴργειν τὸν τοιοῦτον ἁπάσης τῶν Χριστιανῶν κοινωνίας. Ἐκείνῳ μὲν οὖν τῷ πέντε δακρύων ἐπαφήκαμεν ῥεύματα, καὶ πολλὰ κατηρασάμεθα τῆς ἡμέρας, ἐν ᾗ τὸ βιβλίον ἦλθεν ἡμῖν. Τί γὰρ ἡμῖν προσέδει νῦν τοιούτου θορύβου; Ὅσθ' ὑπὸ τῆς ἄγαν εὐγνωμοσύνης ἣν ὁ Θεὸς ἔδωκε, κἂν ἐδεήθημεν αὐτοῦ ταπεινῶς, εἰς ὃν ὁ πένης ἐξύβρισεν, εἰ οἷόν τε ἦν, ἀφεθῆναι τὰς ποινὰς τῆς βλασφημίας αὐτῷ. Σοὶ δὲ, εὐσεβὴς καὶ λογία ψυχὴ, καὶ ἡμῖν πλείστου ἀξία, χάριν εἰδότες, ὡς, δι' ὧν ἐπίστειλας, πρὸς τὸν ὑπὲρ τούτων λόγον κινήσαντι, καίτοι πολλαῖς νόσοις καὶ φροντίσι συνεχομένους, εὐχόμεθα καὶ παρὰ Θεοῦ εὐζωΐαν μὲν ἐνταῦθα, εὐδαιμονίαν δὲ μετὰ ταῦτα, πρὸς ἣν τὸν βίον συντείνεις πάντα σοφῶς. Καὶ σὺ δὲ εὖχου ἡμῖν ταχίστην ἀπαλλαγὴν τῶν τῆς ζωῆς ταύτης κακῶν, καὶ σὺν ἀρετῇ. Ἀμήν. Ἐῤῥωσο.

(1) Malus notes innuitur. ALEX.

MONITUM.

Sequentia opuscula : *Contra Acindyniastas*, *Expositio fidei De processione Spiritus sancti*, *De additione Symbolo a Latinis facta*, *Contra Simoniacam hæresim*, *Adversus jejunium sabbatinum*, edidit Dositheus in suo ΤΟΜΩ ΑΓΑΠΗΣ, ἐν Γιασίῳ 1698. Opusculum Contra Simoniam memorant Fabricius et Renaudotus, col. 290; librum de processione Spiritus sancti Renaudotus, col. 304; reliquorum nullam apud eos nec alias mentionem invenimus. Unde autem ea Dositheus habuerit, cum Lectore non communicavit.

ΓΕΝΝΑΔΙΟΥ

ΗΤΟΙ

ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΣΧΟΛΑΡΙΟΥ

ΠΡΟΣ ΤΙΝΑ ΤΩΝ ΦΙΛΩΝ

ΕΡΩΤΗΣΑΝΤΑ ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΜΑΚΑΡΙΟΥ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΓΡΑΠΤΟΥ ΡΗΣΕΩΣ

ΑΦ ΗΣ ΟΙ ΑΚΙΝΔΥΝΙΑΣΤΑΙ ΘΟΡΥΒΟΥΣΙΝ.

ΕΤΙ ΔΕ ΚΑΙ ΠΕΡΙ ΩΝ ΚΑΙ ΑΥΤΟΙ ΣΟΦΙΖΟΝΤΑΙ ΠΕΡΙ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ.

Χάρις πολλή σοι τῆς εἰς ἡμᾶς εὐνοίας, ἀριστε φίλων, ἣν πολλοῖς τεκμηρίοις ἀληθέσιν ἐκφαίνων, μάλιστα τῷ θαρρεῖν ἡμῖν περὶ τῶν μεγίστων δεικνύεις. Τοιαῦτα δ' εἰσὶ τὰ πρὸς τὴν ἱερὰν πίστιν ἀνήκοντα, περὶ ἃ τῇ συνεχεῖ μελέτῃ καὶ τῇ σπουδῇ, εἰ καὶ μὴ τῶν ἐπισταμένων, ἡδυνήθης ἀποδεῖξαι σαυτόν. Ἐπεὶ μηδὲ πολλοί εἰσι παρ' ἡμῖν ἐπιστήμονες, ὡς ἂν ἔγωγε φαίην, τῆς κοινῆς δυστυχίας καὶ τοῦθ' ἡμῶν σὺν τοῖς ἄλλοις ἀφελομένης, ἀλλὰ τῶν ἀρκούντως πεπαιδευμένων, εἰς ἔδοξας εἶναι, καὶ εἷ. Πολλοὶ δέ εἰσιν ἐν ἡμῖν οἱ ταύτην ἔχοντες ἐπιδεικνύναι τὴν ἕξιν, οἳ δὴ καὶ τὸν πρέποντα ζῆλον προσειληφότες πρὸς τὰς τῶν ἀντιθέτων προπετείας γενναίως ἐνίστανται· τὸ μὲν εὐστόχως κρίνειν περὶ ὧν ἐκεῖνοι καινοτομοῦσιν, ἐκ τοῦ πεπαιδεῦσθαι πάνυ καλῶς, καθὰ δήπου καὶ Ἀριστοτέλει δοκεῖ, τὸ δὲ μήτε συγκαθιέναι, καὶ πάνθ' ὑπὲρ τῆς πατρίου δόξης ὑφίστασθαι, ἐκ τῆς εἰλικρινοῦς πρὸς Θεὸν ἀγάπης ἐπιφερόμενοι· τὸ δὲ καὶ τοὺς ἀντιθέτους μηδὲν ὑγιὲς μήτε φωνεῖν, μήτε ποιεῖν, οὐ μόνον ἐξ ὧν αὐτοὶ κατορθοῦσι, πεπεισμένοι βεβαίως, ἀλλὰ καὶ οἷς ἐκεῖνοι διαμαρτάνουσιν. Ἴσασι γὰρ πάντας τοὺς ἐπὶ τῆς νέας θεολογίας ταύτης, ὑφ' ὧν μὲν πεισθῆναι λέγουσι λόγων, καὶ οὓς ἀποθέσθαι πρότερον ἐνυπάρχοντας, τούτων οὐδετέρων ἐπαΐοντας, οὐχ ὅπως κρίνειν ἑαυτοὺς δυναμένους, ἃ δὲ οἰκοθεν ἐφευρίσκειν αὐχοῦσιν, οὐδὲ ἀμείνω τῶν ποιητικῶν μύθων εὑρίσκοντας, ἵνα μὴ λέγω τὸ χεῖρον, οὓς ἐπὶ τῆς ταλασιεργίας συμπλάττουσι τὰ γραΐδια· ἃ δὲ κατὰ τῶν οἰκείων προγόνων καὶ τῆς ἐκείνων ἀπαυθαδίζονται πίστεως, πόῤῥω συγγνώμης ἐξαμαρτάνοντας· τῷ δὲ τὰ δόγματα, καὶ τὴν πίστιν ἀνθρωπίνης τιμῆς ποιεῖσθαι πάρεργον πάντας ὁμοῦ, τούς τε προαιρουμένους οὕτω, τούς τε συγχωροῦντας αὐτοῖς, πᾶσαν, ὡς κἂν αὐτοὶ φαῖεν, δυσσέβειαν παρελαύνοντας. Ταῦτ' ἴσασι καὶ βοῶσιν οἱ παρ' ἡμῖν πεπαιδευμένοι, καὶ καλοὶ τῶν ἀρίστων προγόνων ἡμῶν ἔκγονοι, καὶ τούτων χάριν ἀλγοῦσιν. Ἐπὶ τούτοις τε μνησικακούντων σφίσι καὶ ἀμυνομένων, τῶν τῆς ἑτέρας μοίρας προϊσταμένων ἀνέχονται. Ἴσασι γὰρ ὥσπερ τι γέρας τοῖς μετὰ τῆς ἀληθείας οὖσιν ἐξειλεγμένον εὐθὺς ἀπὸ Χριστοῦ τῆς ἀληθείας αὐτῆς τό γε ἐν τοιούτοις διωγμοῖς ἐξετάζεσθαι. Ὅπερ οὐκ ἂν ἦν, εἰ μὴ τὰ χείρω προῃρημένοις καὶ ἡ δύναμις τοῦ βλάπτειν προσῆν, καὶ διὰ τοῦτο τῇ πονηρίᾳ καὶ τῇ δυνάμει τῶν ἄλλων εἰς τὸ σφᾶς αὐτοὺς ἀποφῆναι μακαριστοὺς ἀποχρῶνται, ἀνδράσι τε καὶ Χριστιανοῖς προσῆκον ἀναλαμβάνοντας φρόνημα. Οἱ δὲ πρὸς βίαν ἐλπίζοντες τὰς τῶν ἀνθρώπων δόξας μεταποιεῖν ἀσεβεῖς εἰσιν ὄντως, ὃ μόνον σχεδὸν ὁ Θεὸς ἀφῆκεν ἐλεύθερον ἐν ἀνθρώποις, τοῦτ' ἐπικήρους ἀνάγκαις καὶ μορμολυκείοις τισὶ καταδουλοῦσθαι πειρώμενοι. Καὶ πρὸς τούτοις τὴν ἑαυτῶν ἐλέγχουσιν ἀστασίαν, ὅτι τῶν ἀνελευθέρως καὶ βιάζεσθαι δυναμένων εἰσί, καὶ τὴν ἐν τῇ ψυχῇ δόξαν ὑπὸ δέους ἢ τινος ἐλπίδος προΐεσθαι. Ἐγὼ δ' εἰ καὶ πόῤῥωθεν τῆς τῶν τοιούτων μελέτης ἄλλοις ἐξίστην, τὸ δοκεῖν τισι πραγμάτων ἐπιθυμεῖν ἐκτρεπόμενος, ἄλλως τε καὶ τῆς τοῦ λέγειν χρείας οὐκέτι παρούσης, καὶ πρὸς τούτῳ σύνοιδα ἐμαυτῷ τῶν πεπαι-

δευμένων ὑμῶν οὐδὲν ἔχοντι πλέον, ὃ δὴ καὶ τοὺς ἀντιθέτους οἶδα ψηφιζομένους περὶ ἐμοῦ, ὧν ἀμφοῖν ἕνεκα σιωπῇ παρῆλθον ἄν σου τὴν πεῦσιν. Πρὸς ἥν γε μηδετέραν τουτωνὶ τῶν προφάσεων ἰσχὺν ἔχειν ἐνόμισα, φίλος γὰρ εἶ σαφὴς ἐν τοῖς πρώτοις· ὅθεν οὔτε μέμψεσθαί φήσεις τοιοῦτος ὤν, εἴ τί σοι τῆς ὑποθέσεως καὶ τῶν ἐλπίδων ἔλαττον εἰπεῖν με συμβαίη, καὶ τὸ κίνδυνόν τινα ὑπελθεῖν ὡς ἄν τί σοι χαρισαίμην τῶν ἀναγκαίων, ὡς χρέος ἂν ἀπαιτήσειας. Οὐδὲ μιᾶς μοι τοίνυν ἀποφυγῆς, ἑκὼν ἄκων ὑφίσταμαί σοι τὸ ἔργον. Οἷς οὐκ ἀρίσκει ὅ τε λόγος καὶ τὰ ἐν αὐτῷ πάντα μέλει, εἰ μελήσει γε τούτοις καὶ τούτων ἕνεκα διώκειν ἡμᾶς, καὶ κακῶς τι ποιεῖν, ἀλλ' ἡμῖν μὲν καὶ ὧν πράττειν μέλλουσιν, οὐδαμῶς, τοῦ δὲ, τὸ δέον ἅπαν ποιεῖν, κἂν ἐπῇ τις κίνδυνος, μέλει. Δεῖν δὲ ἐν τῷ φωτὶ καταγγέλλειν, καὶ ἐπὶ τῶν δωμάτων ἅπερ ἠρέμα τε καὶ μυστικῶς ἐδιδάχθημεν, οὐδὲν δὲ δεδιότας ἀπὸ τῶν τὸ σῶμα λυμαινομένων, τῆς δὲ ψυχῆς οὐδεμίαν ἐχόντων δύναμιν ἅπτεσθαι, διδάσκει μὲν ὁ Δεσπότης ἡμῶν, ἐνάγει δὲ ὁ Παῦλος τῷ καθ' ἑαυτὸν ὑποδείγματι, ᾧ διεμαρτύρετο μὲν τὸ Πνεῦμα λέγον, ὅτι δεσμὰ καὶ θλίψεις αὐτὸν μένουσι κατὰ πόλιν, Πάντα δὲ ταῦτα κοῦφα ἐδόκει· Οὐδενὸς γὰρ, φησὶ, λόγον αὐτῶν ποιοῦμαι. Μηδενὶ γοῦν τῶν ἐχθρῶν φορτικὸν δοκείτω, τῷ ἡμετέρῳ Δεσπότῃ καὶ τῷ κορυφαίῳ τῶν ἀποστόλων, καὶ ἡμᾶς θέλειν τι πείθεσθαι, ἀλλ' ἐκείνων ὀλίγη φροντίς.

Δύο τοίνυν ἐζήτησας, ὧν θάτερον μὲν ἦν, τί πρὸς τοὺς ἐκκηρύκτους τούτους Ἀκινδυνείους, μᾶλλον δὲ Ἀκινδυνιστὰς, ἡμᾶς ἂν ἀποκρίνεσθαι δέοι, ἐπειδὰν ἡμῖν τὴν τοῦ μακαρίου Θεοδώρου τοῦ Γραπτοῦ ῥῆσιν προσφέρωσιν, ἐν ᾗ δοκεῖ τὸ διαφέρειν οἴεσθαι τὴν οὐσίαν καὶ τὴν ἐνέργειαν ἐπὶ τοῦ Θεοῦ εἰς τοὺς αἱρετικοὺς ἀποῤῥίπτειν, ὡς αὐτὸς δήπου ταυτὸν εἶναι οἰόμενος ταῦτα· θάτερον δὲ τοὺς αὐτοὺς τούτους ἔφησθα περὶ τοῦ παναγίου Πνεύματος διαπορεῖν, διατί Πατρὸς μὲν ἐστι καὶ Υἱοῦ τὸ αὐτὸ καὶ ἓν Πνεῦμα ἅγιον, οὕτω τῆς Γραφῆς διδασκούσης, ἡμεῖς δ' ἐκ μὲν τοῦ Πατρὸς ὑφίστασθαι ὁμολογοῦμεν αὐτὸ, ἐκ δὲ τοῦ Υἱοῦ τὴν αἰτίαν ἔχειν ἀρνούμεθα. Ἐκεῖ γὰρ εἴπερ ἓν ἐστι καὶ ταυτὸν ἐν ἀμφοῖν καὶ ὡσαύτως, δεῖν ἂν αὐτὸ καὶ ἐξ ἀμφοῖν προϊέναι εἶτουν ὑφίστασθαι. Ὧν περὶ τοῦ δευτέρου δι' ἐλαττόνων πρῶτον εἰπόντες, ἐπὶ θάτερον, ὃ δὴ καὶ προῦργου ποιεῖ, τὸ πλέον τρέψομεν τοῦ λόγου.

Ἀρκεῖ μὲν οὖν εἰς λύσιν τῆς ζητήσεως ταύτης εὐσεβούσῃ ψυχῇ, τὸ τὴν Γραφὴν ἐκ τοῦ Πατρὸς μὲν τὸ Πνεῦμα κηρύττειν, ἐκ δὲ τοῦ Υἱοῦ μηδαμῶς, ἀλλὰ μόνον Πνεῦμα Υἱοῦ, καὶ Πνεῦμα Χριστοῦ λέγειν αὐτὸ, οὐ τὸ Πνεῦμα διηκάζουσαν, οὐχ ἧττον μὲν ἐν τῷ Υἱῷ, μᾶλλον δὲ ἐν τῷ Πατρὶ τοῦτ' εἶναι διδάσκουσαν, ἀλλὰ τῷ μὲν ἐκ τοῦ Πατρὸς τὴν ἐκεῖθεν ὑπόστασιν φανεροῦσαν πρὸς τῇ κατ' οὐσίαν ἑνότητι, τῷ δὲ τοῦ Υἱοῦ λέγειν μόνον αὐτὸ, τὴν κατὰ φύσιν οἰκείωσιν μόνην κατασημαίνουσαν ἧστινος ἕνεκα τὸ Πνεῦμα τὸ ἅγιον, Πνεῦμά τε Θεοῦ λέγει, καὶ Πνεῦμα ἐκ τοῦ Θεοῦ, καὶ Πνεῦμα ἐκ τοῦ Πατρός· ἐκ τοῦ Υἱοῦ δὲ οὐδαμοῦ φησι, ἀλλ' ἢ μόνον Πνεῦμα Υἱοῦ· οὐ γὰρ δὴ μάτην οὕτω διέστελλε. Τῆς Γραφῆς τοίνυν οὕτω διαστελλούσης, τολμηρόν ἐστιν ἡμᾶς μηδὲν διαφέρειν οἴεσθαι τὸ Πνεῦμά τε Υἱοῦ εἰπεῖν, καὶ Πνεῦμα ἐκ τοῦ Υἱοῦ, ἀλλὰ δεῖ τῶν γραφικῶν λέξεων ἐχομένους ἐπ' σὐταῖς τὸν τῆς πίστεως τοῦτον δρόμον ἀνύειν, ἕως ἂν ἡμῖν τὸ τέλειον ἀποκαλυφθῇ. Οὐ γὰρ ἡμεῖς τοῦ γε Ἁγάθωνος πάππα εὐσεβέστεροι, ἢ τῆς γραφικῆς διανοίας ἐπιβολώτεροι, ὃς ἐν τῇ πρὸς βασιλέας Ἕλεγεν ἐπιστολῇ, τοῖς ἐπὶ τῆς ἕκτης συνόδου Πατράσι σύγχρονος ὤν, ἐν ἐξαίρετον διὰ παντὸς ἔχειν εὐχόμενος καὶ σπευδάζοντες, ἵνα μηδὲν παρὰ τὰ κανονικῶς ὡρισμένα μειωθῇ, μηδὲν ἀλλαγῇ, ἢ προστεθῇ, ἀλλὰ ταῦτα καὶ ῥήμασι καὶ νοήμασιν ἀπαράτρωτα φυλαχθῶσιν.

Ὁ δὲ μέγας Βασίλειος, « Εὐσεβοῦς ἐστι, φησὶ, διανοίας τὰ ἀποσιωπηθέντα ἐν ταῖς Γραφαῖς εὐλαβεῖσθαι καὶ ἐπιφημίζειν τῷ ἁγίῳ Πνεύματι. » Καὶ πάλιν ὁ αὐτὸς, « Οὐ γὰρ ἐκεῖνό γ' ἂν εἴποι, φησὶν, Εὐνόμιος δηλονότι, ὅτι ἔξεστιν αὐτῷ ἐν τοῖς περὶ τηλικούτων λόγοις παραγωγάς τινας καὶ παρασχηματισμοὺς τῶν ὀνομάτων ἐπινοεῖν. Εἰ γὰρ καὶ ἀργοῦ λόγου εὐθύνας ὑφέξομεν ἐν ἡμέρᾳ κρίσεως, ἦπού γε τὸ περὶ τηλικούτων καινοτομεῖν ἀνεύθυνον ἡμῖν ἀφεθήσεται, τάχα γὰρ τὸ μὲν ὡς πρέπον ἐπὶ Θεοῦ καὶ Πατρὸς λέγεσθαι παρὰ τοῦ θείου δεδιδάγμεθα λόγου, τοῦτο δὲ οὐχ ἁρμόζον τῷ Μονογενεῖ, δι' ὧν ἀπεσιώπησε τὸ Πνεῦμα τὸ ἅγιον ἐνεδείξατο. »

Ὁ δὲ μέγας Ἀθανάσιος πρὸς αὐτὸν, « Ὑμῖν παραινοῦμεν, φησὶ, ὅπερ καὶ ἑαυτοῖς παραινοῦμεν, τὴν παραδεδομένην πίστιν φυλάττειν, ἐκτρέπεσθαι δὲ τὰς βεβήλους καινοφωνίας. Ὁ μὲν γὰρ ζητῶν τὰ ὑπὲρ ἑαυτὸν, φησὶν, ἐπικίνδυνος, ὁ δὲ τοῖς παραδοθεῖσιν ἐμμένων ἀκίνδυνος. » Ἀρκοῦσιν οἱ τρεῖς οὗτοι μάρτυρες δεῖξαι, ὅτι καὶ μηδενὸς ἡμῖν διδασκάλου τὴν γραφικὴν ταύτην διάστιξιν ἀναπτύσσοντος, ἐχρῆν ἡμᾶς, ἃ μὲν ἡ Γραφὴ λέγει κηρύττειν, ἃ δὲ σεσιώπηκε, καὶ αὐτοὺς σιωπᾶν, καὶ οἷς ἐκείνη διώρισεν ἐφησυχάζειν· τουτέστι τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Πατρὸς μὲν καὶ ἐκ τοῦ Πατρὸς ὁμολογεῖν, ἐκ τοῦ Υἱοῦ δὲ μὴ λέγειν, ἀλλὰ μόνον τοῦ Υἱοῦ. Οὕτω γὰρ ἐκείνη διέστιξεν.

Ἀλλὰ νῦν, ὃ πλέον ἐστὶν, ὁ μέγας Βασίλειος οὗτος δὴ τῶν καλῶν μαρτύρων ἡμῖν ὁ μέσος, ἐν τῇ πρὸς τὸν ἀδελφὸν ἐπιστολῇ, τῇ διαιτίξει τῆς Γραφῆς ταύτης ἐφαπτόμενος φαίνεται, καθάπερ τις ἀγαθὸς καὶ εὐγνώμων, καὶ ὥσπερ τὴν τόλμαν ἐνίων καὶ προειδὼς ἐσομένην, καὶ πόῤῥωθεν ἀναιρῶν· φησὶ γὰρ οὕτωσί· « Καὶ ὁ τὸ Πνεῦμα μόνον εἰπὼν συμπεριέλαβε τῇ ὁμολογίᾳ καὶ τὸν οὗ ἐστι Πνεῦμα, τοῦ Χριστοῦ γὰρ, καὶ τὸν ἐξ οὗ ἔστιν, ἐκ τοῦ Θεοῦ γὰρ, καθά φησιν ὁ Ἀπόστολος. » Καὶ ὁ Χρυσόστομος, « Πνεῦμα Θεοῦ, καὶ Πνεῦμα, φησὶ, τὸ ἐκ τοῦ Θεοῦ. Καὶ ἵνα μήποτε ἀκούσαντες ἡμεῖς Πνεῦμα Θεοῦ, νομίσωμεν δι' οἰκειότητα λέγεσθαι Πνεῦμα Θεοῦ, εἰσάγει ἡ Γραφὴ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ προστίθησι τῷ Θεῷ τὸ ἐκ τοῦ Θεοῦ. Ἄλλο δὲ τὸ, Θεοῦ, καὶ ἄλλο τὸ, ἐκ τοῦ Θεοῦ. Τούτοις συμφώνως ὁ ἱερὸς Δαμασκηνὸς Ἰωάννης, « Ἐκ τοῦ Υἱοῦ δὲ τὸ Πνεῦμα οὐ λέγομεν, φησὶ, Πνεῦμα δὲ Υἱοῦ ὀνομάζομεν. »

Εἰ τοίνυν ἁπλῶς μὲν καὶ πανταχῆ τῶν λέξεων τῶν γραφικῶν ἔχεσθαι παραινοῦσιν ἡμῖν, τὰς δὲ βεβήλους παραιτεῖσθαι καινοφωνίας, καὶ αὐτοὶ οὕτω ποιεῖν ἰσχυρίζονται, οὕτω δὲ καὶ ποιοῦσιν οὐδὲ τῷ προκειμένῳ, καὶ πολλῷ δήπου σαφέστερον, δ' ἔθεντο νόμον τηροῦσι, καὶ διαφέρειν ἡμῖν τὸ, ἐκ τοῦ Θεοῦ, καὶ τὸ, Θεοῦ, διορίζονται, ἃ καὶ ἄμφω περὶ τοῦ Πνεύματος λέγονται, ὥστε, καὶ τὸ Πνεῦμα Υἱοῦ καὶ τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ διαφέρειν, ὧν θάτερον μὲν λέγεται, θάτερον δὲ οὐ λέγεται, διότι μηδὲ ἔστιν. « Εἰ γὰρ ἔπρεπεν αὐτῷ προσηγορία τοιαύτη, φησὶν ὁ Βασίλειος, οὐκ ἂν ἐσιωπήθη παρὰ τοῦ Πνεύματος· » τίς λοιπὸν εὐσεβεῖν βουλόμενος λογισμούς, τινας ἀνθρωπίνους κομιεῖ, ὥστε ἐνῶσαι καὶ συνάψαι κακῶς, ἅπερ ἡ θεία Γραφὴ διώρισεν ὀρθότατα δήπου, οἱ διδάσκαλοι τοῖς ταύτης ἑπόμενοι νόμοις οὕτω φανερῶς διορίζουσι, καὶ μέμψεται τοῖς μὴ προσέχειν αὐτῷ βουλομένοις; Ἢ τίς τὰς τοιαύτας κινῶν ἀπορίας, ὅπου ἡ τῆς Γραφῆς αὐθεντία συνίσταται τοῖς εὐσεβεῖν βουλομένοις, οὐ δόξει ταύτης καταφρονεῖν;

Πρὸς Θεοῦ καὶ πόθεν ἔχομεν ὅτι τὸ Πνεῦμα ἐκ τοῦ Πατρός ἐστι, καὶ τοῦ Πατρός; ἄρ' ἐκ τῶν ἀνθρωπίνων λογισμῶν; Πόθεν πεπιστεύκαμεν, ὅτι καὶ τοῦ Υἱοῦ ἐστι τοῦτο; πότερον φυσικοῖς πιστεύσαντες λόγοις; Οὐδαμῶς, ἀλλ' ἡ τοῦ Πνεύματος διδασκαλία, πιθανωτέρα πάντων οὖσα. ταῦθ' ἡμῖν ὁσημέραι κηρύττει τὰ δόγματα. Αὕτη τοίνυν οὐκ ἂν ἐφείσατο καὶ τούτου, εἴπερ ἦν ἀληθές. Ἐπεὶ δὲ διορίζει σαφῶς οὑτωσὶ, καὶ Υἱοῦ μὲν λέγει Πνεῦμα, ἐκ τοῦ Υἱοῦ δὲ οὐ λέγει, καὶ ἡμᾶς οὐ χρὴ περαιτέρω πολυπραγμονεῖν, μηδὲ τὸ ἀπὸ τοῦ λόγου σκοπουμένους συμβαίνον, οἰεσθαί τι πράττειν εὐσεβές τε καὶ δίκαιον. Εἰ γὰρ ἐνταῦθα τῇ τοῦ λόγου πιστεύσομεν ὁδηγίᾳ, διὰ τὸ μὴ καὶ ἐν τοῖς ἄλλοις ταύτῃ πιστεύσομεν, ὡς ἂν οὕτω καὶ περὶ τὴν πίστιν ἅπασαν κινδυνεύσομεν, ὃ πᾶσα παθεῖν ἀνάγκη τοὺς τῷ φυσικῷ λόγῳ πάνυ πιστεύοντας· ἤπου καὶ τὸ ἐκ τοῦ Πατρὸς εἶναι τὸ Πνεῦμα, καὶ τὸ τὸν Θεὸν Πατέρα καὶ Υἱὸν εἶναι καὶ Πνεῦμα, καὶ πάντα ταῦτα φροῦδα ἐξ ἡμῶν ἔσται καὶ διαπτύσεται τοῖς ἀνθρωπίνοις λογισμοῖς, καθάπερ αὔραις ὑποχωρήσαντα. Οὐδὲν γὰρ οἷς ἡ πίστις ἡμῖν προστίθησι καὶ τούτοις κοινόν. Ἡμεῖς τοίνυν ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα οὔτε πιστεύομεν οὔτε λέγομεν ὑφεστάναι· οὐδὲ γὰρ ἡ Γραφὴ τοῦτο ἐκδιδάσκει· τοῦ Υἱοῦ δὲ λέγομεν ὡς ὠκειωμένον κατὰ φύσιν αὐτῷ, ὅτι καὶ τῇ Γραφῇ καὶ τῷ Βασιλείῳ δοκεῖ, καὶ πρὸς τοὺς ἐναντίους ἀρκεῖν ἡγούμεθα τὴν ἐκ τῆς Γραφῆς καὶ τῶν εἰρημένων ἀπάντησιν.

Ἵνα δὲ μὴ δοκῶσί τι λέγειν σεμνὸν, δι' ὧν ἀποροῦσι, σκόπει τὴν ἀτοπίαν σφίσι τοῦ λόγου. Ἐπειδὴ, φασὶ, τὸ Πνεῦμα τὸ ἅγιον Πατρός ἐστι καὶ Υἱοῦ Πνεῦμα, καὶ ἓν ἐστι, καὶ ὡσαύτως ἐν ἀμφοῖν, ὅτι οὐσιωδῶς ὁηλονότι· διατί μὴ καὶ ὁ Υἱὸς αἰτία ἐστὶν αὐτοῦ ὥσπερ καὶ ὁ Πατήρ; Ἔοικασι γὰρ τοιαύτην τινὰ συμπλοκὴν ἀκολουθεῖν· Τὸ Πνεῦμα τὸ ἅγιον ἓν ἐστι καὶ ταυτὸν Πατρὸς καὶ Υἱοῦ, καὶ οὐσιωδῶς ἐστιν ἐν αὐτοῖς· οὐκοῦν ἅμφω τοῦτο ὑφιστῶσιν, ἢ ἄμφω τούτου εἰσὶν αἰτία. Τί γοῦν κωλύει καὶ ἐπὶ πολλῶν ἄλλων τοῦτ' ἀξιοῦν ἕπεσθαι; ἃ δὴ τὰ αὐτὰ προσεῖναι λέγεται καὶ ἀμφοῖν, οἷον ἡ θεότης μία καὶ ἡ αὐτή ἐστιν ἐν ἀμφοῖν καὶ ὡσαύτως· ἔσονται γοῦν ταύτης ὁ Πατήρ τε ἅμα καὶ ὁ Υἱὸς αἴτιοι, ὅτι ἡ αὐτὴ ἐστιν ἐν ἀμφοῖν, καὶ περὶ πάντων τῶν κοινῶν αὐτῆς ὁ αὐτὸς ἔσται λόγος.

Ἔστι δὲ περὶ οὐδενὸς αὐτῶν τοῦτ' ἀληθὲς δήπου· ἀλλὰ τοὐναντίον ἐστὶν ἀληθὲς, ὅτι τῶν αὐτῶν ὄντων ἐν ἀμφοῖν καὶ ἀπαραλλάκτως, ὅμως ὁ Πατὴρ τούτων ἁπάντων μόνος ἐστὶν αἴτιος τῷ Υἱῷ, ὁ δὲ Υἱὸς οὐδενὸς τούτων αἴτιος ἑαυτῷ· κατὰ ταῦτα τοίνυν οὐδὲ τοῦ ἰδίου Πνεύματός ἐστιν αἴτιος. Διὰ ταῦτ' ἄρα καὶ μόνη πηγὴ τῆς ὑπερουσίου θεότητος; ὁ Πατὴρ εἴρηται τῷ Διονυσίῳ, ὡς ἐξ ἐκείνης τῆς ὑποστάσεως τῶν ἄλλων θείων τε ὑποστάσεων ἀναβλυζουσῶν, καὶ τῶν αὐταῖς προσόντων ἁπάντων, αὐτῶν δὲ ἑκατέρας τῷ ἐξ αἰτίας εἶναι γνωριζομένης, καὶ τὰ αὐτὰ πάντα τῷ Πατρὶ, τῆς μὲν γεννητῶς ἐχούσης, τῆς δὲ ἄλλον τινὰ τρόπον, ἅπερ ἐκεῖνος ἀναιτίως ἔχει καὶ πηγαίως. Σκόπει δὲ καὶ τῇδε. Τὸ αὐτὸ Πνεῦμα Πατρός ἐστι καὶ Υἱοῦ καὶ ἓν ἐστιν ἐν ἀμφοῖν. Φασὶ δὲ αὐτοὶ τὸν Υἱὸν αἴτιον εἶναι αὐτοῦ. Οὐκοῦν τοῦ πατρικοῦ Πνεύματος αἰτιός ἐστιν ὁ Υἱὸς κατ' αὐτοὺς, εἴπερ ἐστὶν ἓν, ὡς πρότερον εἴρηται· καὶ οὐδὲν μᾶλλον τοῦ ἐν αὐτῷ ἢ τοῦ ἐν τῷ Πατρί. Ἀλλ' ὅπερ ἐστὶν αἴτιόν τινος ἐνυπάρχοντί τινι τῶν ἁπλῶν, καὶ αὐτοῦ ἐστιν αἴτιον, ᾧ τοῦτ' ἐνυπάρχει. Τοιοῦτον δέ ἐστιν ὁ Πατὴρ, ἁπλοῦς γάρ ἐστι, καὶ ἁπλῶς ἁπλοῦς. Οὐκοῦν ὁ Υἱὸς ταύτῃ γε ἔσται αἴτιος τοῦ Πατρὸς, τοῦ ἐν αὐτῷ Πνεύματος αἴτιος ὤν. Τοῦτο δὲ οὐ δεῖ δεδιέναι περὶ τοῦ Πατρός. Πιστεύειν μὲν οὖν πᾶσα ἀνάγκη ὅτι τοῦ Πνεύματος τοῦ ἐν τῷ Υἱῷ αἴτιος ὤν, καὶ αὐτοῦ τοῦ Υἱοῦ αἰτιός ἐστιν. Ὁρᾷς οὖ χρημνῶν ἐκβάλλει ἡ ἀκολουθία ἐκείνη τοὺς μὴ διευλαβουμένους αὐτήν; ὁρᾷς ὁπόσον ἐστὶν ἐπικίνδυνον ἀξιοῦν τὸ Πνεῦμα τὸ ἅγιον καὶ ἐκ τοῦ Υἱοῦ εἶναι πιστεύειν; διὰ τὸ λέγεσθαι αὐτὸ τοῦ Υἱοῦ εἶναι; Ταῦτα οὖν, ὡς ἔοικεν, εἰ τῆς Ἐκκλησίας; διδάσκαλοι εὐλαβούμενοι, τοῦ Υἱοῦ μὲν λέγουσιν εἶναι, ἐκ τοῦ Υἱοῦ δὲ οὐ λέγουσι, καὶ πρὸ αὐτῶν ἡ θεία Γραφὴ, καθὰ προεῖπομεν.

Ἄκουε δὲ καὶ περὶ τῆς τοῦ μακαρίου Θεοδώρου ῥήσεως ἑφεξῆς, περὶ ἧς δὴ μάλιστα καὶ προὔργου πυνθάνῃ. Αὐτὴν δὲ πρῶτον τὴν ῥῆσιν ἡμᾶς ἐκθέσθαι σοι χρή. Φησὶ τοίνυν ἐκεῖνος, « Οὐ προφητικῇ τινι προγνώσει καὶ χάριτι, ἄπαγε, τοιαῦτα ἔπραττεν ὁ Δεσπότης, καὶ τοῖς μαθηταῖς προὔλεγεν, ὥσπερ βλέπων τὰ ἔμπροσθεν, ὡς Θεὸς δὲ παρὼν ἅπασιν, οὐδὲ ἐνεργείᾳ ψιλῇ κατά τινας τῶν πάλαι λοιδορησάντων, κενῶσαι μὲν τοὺς οὐρανοὺς τῆς ἑαυτοῦ ὑποστάσεως κατὰ τοὺς καιροὺς τῆς θείας σαρκώσεως, εἶναί τε οὐσιωδῶς· ἐν ἡμῖν, ἐνεργείᾳ δὲ καὶ ἀξίᾳ μόνῃ πρὸς τὸν Θεὸν καὶ Πατέρα, ἐπεὶ ἕτερον οὐσίαν, καὶ ἕτερον ἐνέργειαν, ὥσπερ ἐπὶ τῶν σωματικῶς θεωρουμένων· οὕτω δὴ καὶ ἐπὶ τοῦ θείου λόγου ἐπέθεντο, ὅπερ τοῖς εὐσεβέσιν ἀπείρηται. Ἐπὶ γὰρ τῶν ἁπλῶν καὶ ἀσωμάτων ἐν οὐδενὶ διαφέρειν ἴσασιν. Οὐ γὰρ διοριστέον ταῦτ' ἀλλήλων, ἵνα μὴ σύνθετον τὸ ὑπὲρ πᾶσαν ἁπλότητα νοοῖτο. Οὔτε γὰρ ἡ θεία οὐσία ἀνενέργητος εἴη ἂν ποτε, οὔτε ἀνούσιος ἡ ἐνέργεια. « Ὁ Πατήρ μου γὰρ, φησὶ, ἕως ἄρτι ἐργάζε-

ται, κἀγὼ ἐργάζομαι. » Ἡ μὲν γὰρ τὸ ὑπερουσίως εἶναι αὐτὸν, καὶ ἀεὶ ὡσαύτως εἶναι, καὶ ἀπαρεγκλίτως ἐπὶ τῆς ἑαυτοῦ μονιμότητος καὶ ἱδρύσεως ἱστασθαι δηλοῖ· ἡ δὲ τὰς ἐν τοῖς οὖσι προνοητικὰς προόδους καὶ ἀῤῥήτους οἰκονομίας παρίστησι, καθ' ἃς ἀνεκφοιτήτως τῆς οἰκείας ἁπλότητος πρωτῶν, πρακτικεύεται τὴν τῶν ὅλων ἐργαζόμενος πρόνοιαν. Ἀλλ' εἰ καὶ μετὰ ἀνθρώπων κεχρημάτικεν ὡς ἀληθῶς ἄνθρωπος, τῶν πατρικῶν οὐκ ἀπελείπετο κόλπων· καὶ ὁ Πατὴρ ἦν ἐν αὐτῷ, καὶ αὐτὸς ἦν ἐν τῷ Πατρί. » Ἡ μὲν οὖν ῥῆσις τοιαύτη.

Πῶς δὲ δεῖ ταύτας γε καὶ τὰς λοιπὰς ἐξηγεῖσθαι ῥήσεις τῶν διδασκάλων, δεῖ γὰρ τοῦτο προτετάχθαι τῶν ἄλλων, ὁ μέγας ἡμῖν Ἀθανάσιος ἄριστά γε ἐν τῷ κατὰ Ἀρειανῶν πρώτῳ νομοθετεῖ. Φησὶ γὰρ, « Δεῖ δὲ ὡς ἐπὶ πάσης τῆς θείας Γραφῆς προσήκει ποιεῖν καὶ ἀναγκαῖόν ἐστιν, οὕτω κἀνταῦθα, καθ' ὃν εἶπεν ὁ Ἀπόστολος κυρὸν, καὶ τὸ πρόσωπον καὶ τὸ παράδειγμα, δι' ὅπερ ἔγραψε πιστῶς ἐκλαμβάνειν, ἵνα μὴ παρὰ ταῦτα, ἢ καὶ παρ' ἕτερόν τι ταῦτα ἀγνοῶν ὁ ἀναγινώσκων, ἔξω τῆς ἀληθινῆς διανοίας γένηται. Ὅταν μὲν γὰρ τῶν τοιούτων ἔχῃ τις τὴν γνῶσιν καλῶς, ὀρθὴν ἔχει καὶ ὑγιάζουσαν τὴν διάνοιαν τῆς πίστεως· ἐὰν δὲ παρ' ἕτερόν τις ἐκλαμβάνῃ τούτων, εὐθὺς εἰς αἵρεσιν ἐκπίπτει. » Καὶ Κύριλλος δὲ ὁμοίως ἐν *Θησαυροῖς*, « Δεῖ, φησὶ, τὸν εἰς ἔρευναν τῶν θείων ἐκβαίνοντα Γραφῶν τὸν καιρὸν ἐπιτηρεῖν καθ' ὃν λέγεται τὸ δηλούμενον, καὶ τὸ πρόσωπον παρ' οὗ, ἢ περὶ οὗ, ἢ δι' οὗ λέγεται. Οὕτω γὰρ ἂν ἀπλανὴς ἡ διάνοια φυλαχθείη τοῖ; ὀρθῶς ἐθέλουσι νοεῖν. » Τὰ αὐτὰ δὲ καὶ πάντες οἱ διδάσκαλοι κοινῶς ἀξιοῦσι. Τούτῳ τῷ κανόνι καὶ ἡ τοῦ Χριστοῦ Ἐκκλησία στοιχοῦσα, τὰς ἐνίων διδασκάλων ῥήσεις προσφυῶς τοῖς καιροῖς καὶ ταῖς ἄλλαις τότε περιστάσεσιν ἐκλαμβάνουσα, εἰ καὶ τῷ τῶν ῥημάτων ἤχῳ δοκοῦσα τοῖς πειρασταῖς τούτοις καὶ καινοτόμοις τινὰ συνηγορίαν παρέχεσθαι, τὸ δὲ τῆς ἀληθείας φρόνημα ἔκ τε τῶν κοινῶν τῆς πίστεως ὑποθέσεων, καὶ ἐκ τῆς κοινῆς τῶν διδασκάλων ἁπάντων καὶ συμφώνου γνώμης ἀθροίζουσα, διδάσκει φρονεῖν ἡμᾶς τὴν θείαν οὐσίαν καὶ τὰς ἐνεργείας αὐτῆς πραγματικῶς διακρίνεσθαι, τουτέστιν ἐκ τῆς τοῦ πράγματος φύσεως· οὐ κατ' ἐπίνοιαν μόνην, τοῖς δὲ κατ' ἐπίνοιαν μόνην αὐτὰ διακρίνουσιν, ὡς μητραλοίαις καὶ ἀμαθέσι πρὸς τοῦτο μήτε προσέχειν καὶ πολεμεῖν. Ταύτῃ δὲ τῇ δόξῃ καὶ διδασκαλίᾳ τῆς Ἱερᾶς ἡμῶν μητρὸς τῆς Ἐκκλησίας ἀκολουθῶν καὶ ὁ μακάριος ἐκεῖνος τῆς Ἐφεσίων πρόεδρος Μάρκος ἐν τῷ κατὰ τοῦ Καλέκα συγγράμματι, τὴν προτεθειμένην τοῦ μακαρίου Θεοδώρου ῥῆσιν ἐξηγεῖται πάνυ δικαίως τε καὶ σοφῶς, καὶ ὡ; ἂν αὐτὸς ὁ τὴν ἀρχὴν συνθεὶς· καὶ σχεδὸν οὐδεμιᾷ δεῖ προσθήκης, οἷς ὁ θαυμαστὸς ἐκεῖνος Πατὴρ διωρίσατο.

Οἱ μὲν δὴ περὶ Βαρλαὰμ καὶ Ἀκίνδυνον τὴν θείαν οὐσίαν τῶν ταύτης ἐνεργειῶν, καὶ τελειοτήτων λόγῳ, τουτέστιν ἐπινοίᾳ, μόνον διέκρινον, πραγματικῶς ἀδύνατον φάσκοντες εἶναι διακεκρίσθαι. Ἡγοῦντο γὰρ οὕτω πλείω τε πράγματα ἂν εἶναι ἐν τῷ Θεῷ, καὶ σύνθετον αὐτὸν εἶναι κινδυνεύειν, ὡς ἐν ἑαυτῷ πλείω πράγματα ἡνωμένα περιέχοντα· φεύγοντες οὖν τὸ σύνθετον νομίσαι τὸ Θεῖον, κατ' ἐπίνοιαν μόνην ταῦτ' ἐνόμισαν διακρίνεσθαι· ἡγνόουν γὰρ ἄρα, ὡς ἔοικε, τίς ἐστιν ὡς ἀληθῶς ἡ τῆς ἐπινοίας διάκρισις. Ὅτι ὄρων ἐστὶν ἐν τῇ ψυχῇ καὶ ὑπ' αὐτῆς πεποιημένων ἢ πεπλασμένων· καὶ ὅτι τὸ διακεκρίσθαι πραγματικῶς, τὸ μὲν ἔστι τὰ πράγματα εἶναι τὰ διακεκριμένα, ὡς ὑφεστῶτά τε καὶ ὅλα καὶ ἄτομα, τὸ δὲ, τὸ θάτερον μὲν εἶναι πρᾶγμα οὕτως, θάτερον δέ τι τοῦ πράγματος εἶναι, καὶ ἐν τῷ πράγματι, ἢ καὶ ἄμφω τι τοῦ πράγματος εἶναι· ὅθεν εἴπετο τὰ ἀδεᾶ σφᾶς δεδιέναι περὶ τῆς συνθέσεως δεδιότας· οὐ γάρ ἐστιν ἀληθὲς, ὅτι τὰ τῷ Θεῷ ἀποδιδόμενα πραγματικῶς ἀποδίδονται καὶ οὐ κατ' ἐπίνοιαν ἡμετέραν. Ἔστιν ἄρα σύνθεσις τούτων τε καὶ ἐκ τούτων ἐν τῷ Θεῷ. Ἠγνόουν γὰρ, ὡς ἔοικε, πρὸς τοῖς ἄλλοις καὶ τόδε, ὡς ὅθεν ἄπεστι τὰ πρὸς τὸ συντιθέναι ζητούμενα, ἀνάγκη καὶ τὴν σύνθεσιν ἐκεῖθεν ἀπεῖναι καὶ παρεῖναί γε ἔνθα γε πάρεισιν. Οἷον δεῖ μὲν τῶν συντιθέντων ἕκαστον εἶναι πεπερασμένον, ἀλλὰ τὴν θείαν οὐσίαν ἄπειρον εἶναι πάντες πιστεύομεν. Καὶ πάλιν χρὴ τούτων ἕκαστον δύνασθαι μέρος εἶναί τινος, ἀμερὲς δὲ τὸ Θεῖον καθάπαξ εἶναι, καὶ μέρος οὐδενὸς εἶναι δύνασθαι, καὶ ἡμέτερόν ἐστι φρόνημα. Καὶ πλείω δὲ ἄλλα ζητεῖν εἰώθασι πρὸς τὴν σύνθεσιν οἱ περὶ ταῦτα δεινοί. Ἀλλ' ἀρκεῖ καὶ ταῦτα χάριν ὑποδείγματος εἰρημένα, οἷς ἅπασιν ἔνεστι καὶ τὸ τῶν συντιθέντων ἕκαστον πρᾶγμα εἶναι προσήκειν. Ἐν δὲ τῷ Θεῷ ἥ τε οὐσία καὶ ἡ ἐνέργειά τι τοῦ πράγματός εἰσι κἀν τῷ πράγματι. Φημὶ δὲ ἐνέργειαν εἴτε τὴν ἔνδον, εἴτε τὴν ἔξω.

Πράγματα δέ εἰσι κυρίως ἐν τῷ Θεῷ αἱ τρεῖς τῆ; μακαρίας ἐκείνης ἑνάδος ὑπὲρ λόγον καὶ νοῦν πιστευόμεναι ὑποστάσεις. Ἃ μὲν οὖν φεύγοντες ἠρνοῦντο τὰ ἀληθῆ, ἐξῆν ἂν αὐτοῖς τούτων ἀπηλλάχθαι, καὶ μετὰ τῆς ἀληθείας ἐστῶσιν· οὔτε γὰρ διὰ τὰς τρεῖς ὑποστάσεις τὸ Θεῖον σύνθετον εἶναι ἀνάγκη, οὔτε διὰ τὰ ἐν αὐτῷ πραγματικῶς ὄντα καὶ θεωρούμενα, ἑφόσον ἑκατέρωθεν ἄπεισι, τὰ λοιπὰ τῶν πρὸς τὴν σύνθεσιν ζητουμένων· ὃ δὲ ἡμάρτανον τῇ τῆς ἐπινοίας ἀρκούμενοι διακρίσει, τοῦτο σφᾶς ἐκ πολλῆς οἰήσεως ἐλελήθει. Αὐτῶν γὰρ ἕνεκα καὶ τῆ; αὐτῶν σοφῆς ὑέσεως ἐκινδυνεύομεν ἂν τηνάλλως περὶ Θεοῦ τὰς πολλὰς ἐκείνας συντιθέναι προτάσεις· εἰ καὶ τῶν περὶ Θεοῦ λεγομένων ἑκάστῳ μηδὲν ἀποκρίνοιτο ἐν τῷ πράγματι, ἀλλ' ὅροι τινὲς εἶεν ταῦτα ὑπὸ τῆς ἡμετέρας ἐκτισμένοι ψυχῆς· ὁ δὲ Θεὸς οὐσία μόνον ἀνενέργητος εἴη, διὰ τὸ μήτε ἐνέργειαν εἶναι ἐκεῖ, ἣ ἐνέργειαν, ἡ οὐσία προσοῦσα καὶ πρὸ τῆς ἡμετέρας νοήσεως, μήτ' ἐκ τῆς ἡμετέρας ἐπινοίας δύνασθαι ταύτην δήπου προστίθεσθαι. Ἀλλὰ τοῦτο ψεῦδος περιφανῶς καὶ ἀδύνατον· τὸ γὰρ ἐντεῦθεν αἶσχος πρὸς τὴν Ἱερὰν Γραφὴν ἀνατρέχει, ἥτις ἡμῖν πρώτη τὰς προτάσεις ταύτας συντίθησιν· ὅτι ἀγαθός ἐστιν ὁ Θεὸς, φάσκουσα, καὶ ὅτι ἀληθὴς, καὶ ὅτι δίκαιος, καὶ δικαιοσύνας ἠγάπησε, καὶ πάντα δὴ τὰ τοιαῦτα, οὐ τῶν ἡμετέρων ἐπινοιῶν δήπου στοχαζομένη, καὶ ταύταις ὁδοποιοῦσα, ἀλλὰ πιστεύειν ἡμᾶς ἐκδιδάσκουσα, ὡς ἔστιν ἐν τῷ Θεῷ

ἡ δικαιοσύνη, εἴπερ καὶ ἄλλοθί που, καὶ ἡ ἀγαθότης καὶ ἡ ἀλήθεια καὶ τἆλλα ὡσαύτως. Ἐκινδύνευε δ' ἂν τόγε πρότερον τῇ ἱερᾷ συμβαίνειν Γραφῇ τῆς ἐκείνων κρατούσης θέσεως.

Ὅλως δὲ λόγου μὲν ἔστι κυρίως διάκρισις, ἥτις ὑποκειμένου καὶ κατηγορουμένου μόνον ἐστὶν ᾗ τοιούτων. Αὕτη γάρ ἐστιν ἐν τῇ ψυχῇ μόνον, καὶ οὐδαμῶς ἐν τῷ πράγματι, ὅτι κατηγορία δήπου καὶ ὑπόθεσις ψυχῆς ἐστιν ἔργον. Ὁ γὰρ Πέτρος οὐκ ἔστιν ἐν τῷ Πέτρῳ, ὡς πρᾶγμά τι ἐν πράγματι. Ἓν γάρ ἐστιν ἀριθμῷ ὁ Πέτρος καὶ ἀδιαίρετον, ἀλλ' οὖν τοιαύτην τινὰ πρόσασιν δυνάμεθα πλάττειν καὶ ἀληθῆ, ὅτι ὁ Πέτρος Πέτρος ἐστίν. Ἓν ᾗ τὸ μὲν ἔστιν ὑποκείμενον, τὸ δὲ αὐτοῦ κατηγορούμενον· ταύτῃ δὲ δήπως καὶ διακεκριμένα.

Σκόπει τοίνυν, εἰ καὶ ὁ Θεὸς οὕτως ἀληθής ἐστιν ἢ δίκαιος, ὡς ὁ Πέτρος Πέτρος ἐστὶ μαινόμενος· μήτ' ἂν ἀξιοίη τοῦτο, τοῖς μὲν γὰρ ὅροις ἐκείνοις ἐν οἷς ἡ τοῦ λόγου διάκρισις στρέφεται, γένοιτ' ἂν ποτε σχολὴ τῆς ἡμετέρας ψυχῆς περιαιρουμένης, ἢ τοὺς τοιούσδε ὅρους δύναται πλάττειν, ὥστε καὶ ταῖς ἐν αὐταῖς διακρίσεσιν, οὐσία δὲ Θεοῦ καὶ ἐνέργεια, καὶ ἡ ἐν τούτοις διαφορὰ καὶ περιαιρουμένης ἁπάσης ψυχῆς καὶ νοῦ παντὸς ἔσται. Οὐ γὰρ ἀνθίσταται τῇ ἐνεργείᾳ τῇ θείᾳ, εἴτε τῇ ἔνδον, εἴτε τῇ ἔξω, τὸ εἶναι ἢ τὸ ὑπάρχειν ἢ τὸ προάγεσθαι, κἂν πάντα νοῦν ἀναιρεθῆναι συμβαίη, ὃς ταῦτα τῆς θείας ἐνεργείας κατηγορεῖ· οὐδέ τί γε τῆς τοιαύτης ἕνεκα κατηγορίας ἐστὶ, τὸ τὴν θείαν ἀγαθότητα ἐν τῷ Θεῷ εἶναι, ἢ τὸ ἀπολελυμένως μὲν αὐτὴν ὑπάρχειν ἐκεῖ, γέννησιν δὲ καὶ προβολὴν ἀναφορικῶς καὶ πατρότητα καὶ υἱότητα. Ἀλλὰ ταῦτα καὶ μὴ νοούμενα, οὐδὲν ἧττον ἔστι καὶ ἔσται οὕτως ἐν τῇ τοῦ πράγματος φύσει. Πέτρος δὲ ὑποκείσεται αὐτὸς ἑαυτῷ, καὶ ἑαυτοῦ κατηγορηθήσεται, καὶ ταύτῃ διακριθήσεται, οὐδαμῇ οὐδαμῶς ἀπαλλαττόμενος τῆς ταῦτα πεφυκυίας πράττειν ψυχῆς.

Οὔτε τοίνυν τῇ θείᾳ Γραφῇ, οὔτε τῷ λόγῳ συμβαίνοντα ἠξίουν οἱ περὶ Βαρλαὰμ καὶ Ἀκίνδυνον, καὶ ἅμα τοῖς διδασκάλοις πᾶσι μαχόμενα, ὧν τὰς ῥήσεις εὑρήσεις ἐν τῷ τοῦ μακαρίου Παλαμᾶ συγγράμματι, ἐν ᾧ τρόπους τινὰς διακρίσεως τῆς οὐσίας τοῦ Θεοῦ καὶ τῆς ἐνεργείας αὐτοῦ προτιθεὶς τὰς τῶν διδασκάλων ῥήσεις τούτους βεβαιούσας ἐπάγει μάλιστα προσφυῶς. Νῦν δ' ἀπόχρη τὰ εἰρημένα τό τε τῶν Ἀκινδυνιανῶν παραστῆσαί σοι φρόνημα, καὶ ὡς εἶχεν ἄτοπον. Ἡ δὲ τοῦ Χριστοῦ Ἐκκλησία τὸν ἱερὸν θεολόγον Γρηγόριον τῶν ἑαυτῆς προστησαμένη δογμάτων, ὑπερασπίζειν ἐκείνῳ πολλαχῶς τούτων προσῆκον, τὸν μὲν τὸν Θεὸν ἀνθρωπίναις ἐπινοίαις σεμνύνεσθαι, ὥσπερ μηδεμιᾶς ἔργῳ σεμνότητος προσούσης αὐτῷ, πόῤῥω τῆς εὐσεβοῦς ὑπολήψεως ἔκρινεν εἶναι· εἶναι δέ τινα καὶ τάξιν καὶ διάκρισιν ἀληθῆ τε καὶ πραγματώδη τῆς θείας οὐσίας καὶ τῆς ἐνεργείας αὐτοῦ, ὡς καὶ αὐτοῖν ἀμφοῖν οὐσῶν ἀληθείᾳ καὶ πράγματι, κατὰ τὸν ἑκατέρου πρέποντα τρόπον περιφανῶς ἀνεκήρυξεν· οὐχ οὕτω λέγοντες εἶναι πρᾶγμα τὴν θείαν οὐσίαν, τήν τε θείαν ἐνέργειαν, ὡς ἑκάτερον ὑφεστώς τε καὶ ἀπομον, ὁ δὴ πολλοῖς ἐπῆλθεν ὑπονοεῖν, καὶ διὰ τοῦτο τὰς συνθέσεις ἐπῆγον, καὶ τὴν πολυθείαν, ἀλλά τι τοῦ πράγματος εἶναι καὶ ἐν τῷ πράγματι ταῦτα φρονοῦντες καὶ κηρύττοντες, καὶ ὅλως πραγματικά τινα, καὶ τῇ τοῦ πράγματος φύσει διακρινόμενα.

Ταύτην δὲ τὴν διάκρισιν τίς ἀγνοεῖ, πολὺ μὲν τῆς διακρίσεως ὑπερημένην ἐκείνης, ᾗ προσῆκον οἱ περὶ Βαρλαὰμ καὶ Ἀκίνδυνον, τουτέστιν, ἥτις ἐν ὅροις στρέφεται πεποιημένοις ὑπὸ τοῦ νοῦ, ἣν δὴ κυρίως ἴσμεν λόγου διάκρισιν, τῆς δὲ πραγματικῆς ἐκείνης αὖθις ἀδρανεστέραν, ᾗ τὰ θεῖα διακρίνεται πρόσωπα; Ταῦτα δὲ διακρίνειν οὐκ εἰδότες οἱ μητραλοῖαι, ὅτι μὴ δυναμένην τὴν θείαν ἐνέργειαν διακρίνεσθαι τῆς θείας οὐσίας, ὡς τὰς ὑποστάσεις ἀλλήλων ἐώρων, πάνυ καλῶς τοῦθ' ὁρῶντες εἰς τὴν τοῦ λόγου διάκρισιν εὐθὺς κατηνέχθησαν, ἐνὸς μὲν ἀπαλλαγέντες κρημνοῦ, ἄλλῳ δὲ ἐμπεπτωκότες, τὸν ἴσον ὄλεθρον φέροντι· οὐδ' ἐκεῖνο γοῦν ἐνοήσαντες τὸ τοῦ ἱεροῦ Βασιλείου ἐν τῇ πρὸς Εὐστάθιον ἐπιστολῇ· « Οὐκοῦν, φησὶν, ἐξ οὐσίας τινὸς, εἴτε ἀποπτικῆς, εἴτε ἐνεργητικῆς, ἔδειξεν ἡ προσηγορία, φέρει τῆς θεότητος δηλονότι· ἡ δὲ θεία φύσις ἐν πᾶσι τοῖς ἐπινοουμένοις ὀνόμασι, καθὸ ἔστι, μένει ἀσήμαντος, ὡς ὁ ἡμέτερος λόγος. Εὐεργέτην γὰρ καὶ κριτὴν, ἀγαθόν τε καὶ δίκαιον, καὶ ὅσα ἄλλα τοιαῦτα μαθόντες, ἐνεργειῶν διαφορὰς ἐδιδάχθημεν. Τοῦ δὲ ἐνεργοῦντος τὴν φύσιν οὐδὲν μᾶλλον διὰ τῆς τῶν ἐνεργειῶν κατανοήσεως ἐπιγνῶναι δυνάμεθα. Ὅταν γὰρ ἀποδιδῷ τις λόγον ἑκάστου τούτων τῶν ὀνομάτων, καὶ αὐτῆς τῆς φύσεως περὶ ἣν τὰ ὀνόματα, οὐ τὸν αὐτὸν ἀμφοτέρου ἀποδώσει λόγον. Ὧν δὲ ὁ λόγος ἕτερος, τούτων καὶ ἡ φύσις διάφορος. Οὐκοῦν ἄλλο μὲν ἔστιν οὐσία, ἧς οὔπω λόγος μηνυτὴς ἐξευρέθη, ἑτέρα δὲ ἡ τῶν περὶ αὐτὴν ὀνομάτων σημασία, ἐξ ἐνεργείας τινὸς ἢ ἀξίας ὀνομαζομένων. »

Ἰδοὺ σαφῶς ὁ διδάσκαλος αὐτοῖς ἐπιδείκνυσιν, εἴπερ ἐβούλοντο συνορᾶν, ὅπως ἡ οὐσία τοῦ Θεοῦ καὶ ἡ ἐνέργεια ἐκ τῆς τοῦ πράγματος φύσεως, καὶ ἔτι μᾶλλον εἰδικῶς ὡς εἰπεῖν διακρίνεται. « Ἄλλος μὲν γάρ ἐστι νοητῆς οὐσίας λόγος, φησὶν, ἄλλος δὲ ὁ τῆς ἐνεργείας. Ὧν δὲ ὁ λόγος ἕτερος, καὶ ἡ φύσις τούτων διάφορος. Ἡ φύσις ἄρα τῆς θείας οὐσίας καὶ τῆς θείας ἐνεργείας οὐχ ἡ αὐτή ἐστιν, » φύσιν λέγων τὴν φυσικῶς ἐνσημαινομένην τῷ λόγῳ, τὸ τί ἦν εἶναι λέγοντι, τοῦ ὁριστοῦ ἰδιότητα, δι' ἣν ἔστιν αὐτὸ, ἢ ἐνεργεῖ ἢ ἔχει, ὡς ἄρα δήπου καὶ πέφυκεν, ὃν οἶμαι τρόπον τὸ φύσει πρὸς τὸ θέσει καὶ κατ' ἐπίνοιαν. Οὕτως τε ὁ διδάσκαλος ἐν τοῖς πρὸς Εὐνόμιον, καὶ ἄλλοι τῶν διδασκάλων ἐν τοῖς ἰδίοις ἀντιδιαιροῦσι συγγράμμασιν. Ἀρκεῖ γὰρ οὕτω τοὔνομα τῆς φύσεως ἀναπτύξαι σοι πρός γε τὴν παροῦσαν χρείαν. Ἐμβαθῦναι δὲ αὐτῷ καὶ κατὰ τὰς ὑψηλοτέρας μεθόδους, λίαν ἐστὶ περίεργον. Εἰ τοίνυν, κατὰ τὸν μέγαν Βασίλειον, ἐκ τῆς τοῦ πράγματος φύσεως διακρίνεται ἥ τε οὐσία τοῦ Θεοῦ καὶ ἡ ἐνέργεια αὐτοῦ, καὶ τοῖς λόγοις τοῖς τὸ τί ἦν εἶναι δηλοῦσι· πῶς οὐ πρόδηλόν ἐστιν ἁμαρτάνειν τοὺς κατὰ

τὴν ἡμετέραν ἐπίνοιαν αὐτὰ διαχρίνοντας; ἀλλὰ μὴν καὶ τοῦ τῆς συνθέσεως δέους ἀπαλλάττοντας σφᾶς, αὐτόν γε τοῦτον τὸν διδάσκαλον, ἅλλον ἂν εἴπερ ἐβούλοντο, καὶ τὸν ἱερὸν Μάξιμον. Ὁ μὲν γὰρ, ἐν β' τῶν πρὸς Εὐνόμιον ἐγκαλοῦντα αὐτῷ τὴν σύνθεσιν, ὅτι μὴ αὐτὴν τὴν θείαν οὐσίαν, ἀλλὰ περὶ αὐτὴν ἐτίθει τὸ ἀγέννητον, « Οὐ γὰρ δὴ οἱ δεικτικοὶ τῆς ἰδιότητος αὐτοῦ τρόποι, φησὶ, τὸν τῆς ἁπλότητος τρόπον παραλυπήσουσι. » Μάξιμος δὲ ἐν ιγ' κεφ. τῆς πρὸς Πύρρον διαλέξεως, « Ὁρᾷς, φησὶν, ὅτι ἐκ τούτου πλανᾶσθε, ἐκ τοῦ πάντη ἀγνοῆσαι, ὅτι αἱ συνθέσεις τῶν ἐν ὑποστάσει ὄντων, καὶ οὐ τῶν ἐν ἑτέρῳ θεωρουμένων εἰσὶ, καὶ τοῦτο κοινὸν φρόνημα πάντων καὶ τῶν ἔξω φιλοσόφων, καὶ τῶν τῆς Ἐκκλησίας θεοσόφων μυσταγωγῶν, ἐν ὑποστάσει ὄντα καλῶν. Ἅπερ ἅμα ὅλα ὑπὸ τοῖς αὐτῶν ὀνόμασιν ἀναθρώσκουσιν, ὡς ἔχουσιν αἱ πρῶται οὐσίαι, καὶ τὰ μέρη τῶν οὐσιῶν τούτων, ἢ τὸ ὑποκείμενον καὶ τὸ κοινὸν συμβεβηκὸς καὶ τὰ τοιαῦτα. » Ὁ δὲ ἱερὸς θεολόγος Γρηγόριος οὐχ οὕτως ἐν ὑποστάσει τὴν ἀγαθότητα τοῦ Θεοῦ καὶ τὴν σοφίαν ἔλεγεν εἶναι χωρὶς, καὶ τὴν δικαιοσύνην καὶ τὴν ἀλήθειαν, ὡς ἔστιν εἰπεῖν τὸν Πέτρον καὶ τὸν Παῦλον, ἢ τὴν ψυχὴν καὶ τὸ σῶμα, ἢ τὴν χεῖρα καὶ τὴν κεφαλὴν, ἀλλ' ὡς τὸν νοῦν καὶ τὴν θέλησιν ἐν ἀνθρώπῳ, ἃ μήτε χωρίζεσθαι δύνανται, καὶ ὅμως θάτερον αὐτῶν οὐδ' ὁρισμός ἐστι θατέρου, οὐδ' ὁριαμοῦ μέρος, καὶ φυσικῶς ἐνυπάρχουσι τῷ ἀνθρώπῳ, ὥσπερ τινὲς αὐτοῦ τελειότητες, ὧν ἄνευ οὐδ' ἄνθρωπος εἴη, οὕτως ἔχοντα καὶ πραγματικῶς δήπου εἰσὶν αὐτῷ, τῷ γε ὀλοσχερεστέρῳ τῶν σημαινομένων τοῦ πράγματος. Ἡ μὲν δὴ τῶν δοξῶν ἀμφοτέρων διαφορὰ τοιαύτη εἰς ἐστιν.

Ἐῶ μὲν γὰρ τὰς ἄλλας διαφορὰς τῶν ὑθριστῶν ἐκείνων, ἐν αἷς ἦν, ὅτι καὶ τὸ περιαστράψαν τὸν ἡμέτερον Δεσπότην ἐν Θαβωρίῳ φῶς κτίσμα εἶναι ἐτίθεντο, ἢ ἐκ τοῦ ἡλιακοῦ προσειλημμένον φωτὸς, ἢ τότ' εὐθὺς τῆς χρείας ἕνεκα δημιουργηθὲν καὶ πάλιν ἀπογενόμενον. Ὧν θάτερον μὲν ἀνάξιον Χριστοῦ καὶ τῆς ἀληθινῆς ἐκείνου θαυματουργίας, θάτερον δὲ οὔτ' ἀναγκαῖον, καὶ ἅμα ἀδύνατον· τίς γὰρ ἀνάγκη δημιουργεῖν φῶς ἄθνεῖον, ἀλλ' οὐ τὸ οἰκεῖον ἀναλαμπτεῖν;

Τί δέ ἐστιν ἡ παρὰ τῆς Ἐκκλησίας κηρυττομένη ἀλήθεια; Ὅτι τὸ θαῦμα ἐκεῖνο θεότητος ἀποκάλυψις ἦν, τῇ χρείᾳ καὶ τῷ καιρῷ πρόσφορος τεθαυματουργημένη. Καὶ τὸ φῶς οὐ ξένον οὐδ' ἐπείσακτον ἦν, ἀλλ' οἰκεῖον, καὶ τῆς ἐν Χριστῷ προσωπικῶς συνημμένης θεότητος, ὃ δὴ τὸν μὲν ἔμπροσθεν χρόνον, καὶ μετὰ ταῦτα πάλιν ἐλάνθανεν, ὑπὸ τῇ στεγανότητι τῆς σαρκὸς, ὡς οὕτως εἰπεῖν, συνεσταλμένον· καίτοι καθάπαξ ἄπειρον, καὶ σωματικοῖς ὀφθαλμοῖς φυσικῶς ἀόρατον ὄν· τότε δὲ παραδόξως διὰ τοῦ δεσποτικοῦ διέδραμε σώματος καὶ διήστραψε, καὶ τὴν οἰκείαν ἐνδοθεν ἐξέπεμψεν αἴγλην, εἴτε μόνης τῆς ἁγίας σαρκὸς ἐκείνης βελτίωσίν τινα πεπονθυίας τοιούτῳ θαύματι πρέπουσαν, ὡς ἂν εἴ τις φαίη σιδήρεον σκεῦος μηχανῇ τινι γενέσθαι παραυτίκα ξιφανὲς, καὶ τὴν ἔνδον τοῦ πυρὸς αἴγλην ἐκπέμψαι τοῖς πρόσθεν ταύτην οὐ βλέπουσιν· ἠδύνατο δὲ δήπου τῇ ἑαυτοῦ σαρκὶ τὰ τοιαῦτα χαρίζεσθαι, ἐπεὶ καὶ αὐτὸς ἦν ὁ ταύτην ὕστερον μέλλων δοξάζειν, καὶ εἰς ἀπαθῆ καὶ κουφότητα μεταποιεῖν καὶ λεπτότητα· εἴτε καὶ τοῖς ἀποστόλοις ἐπισκευασθεισῶν πως αὐτίκα τῶν ὄψεων· οὔτε γὰρ ἀπεικὸς ἦν, καὶ τοῦτο συνειληλυθέναι τῇ χρείᾳ τοῦ θαύματος· καὶ ἅμα προσῆκον. Τίνες ταύτης ἡγεμόνες τῆς δόξης; Ὁ θεολόγος Γρηγόριος, ὁ μέγας Βασίλειος, ὁ Χρυσόστομος, ὁ Δαμασκηνὸς, καὶ ἕτεροι πολλοί.

Ἐπάνειμι πρὸς τὸ τοῦ Θεοδώρου τοῦ Γραπτοῦ ῥησείδιον. Πρῶτον ἔπεισί μοι θαυμάζειν αὐτῶν τὴν σκαιότητα· δραττόμενοι γὰρ τὰ τοῦ Θεοδώρου, οὐ περισκοποῦσι τὸν μέγαν Βασίλειον, ὃς καὶ ἐν τῷ πρὸς Ἀμφιλόχιον λόγῳ τοιάδε προστίθησιν· « Μὴ ἐρωτάτωσαν, εἰ τὴν οὐσίαν οἴδαμεν τοῦ Θεοῦ· ἀλλὰ πυνθανέτωσαν, εἰ φοβερὸν οἴδαμεν τὸν Θεὸν, ἢ δίκαιον, ἢ φιλάνθρωπον· ταῦτα ὁμολογοῦμεν εἰδέναι. Εἰ δὲ ἄλλο τι λέγουσι τὴν οὐσίαν, μὴ παραλογιζέσθωσαν ἡμᾶς διὰ τῆς ἁπλότητος· αὐτοὶ γὰρ ὡμολόγησαν, ἄλλο καὶ ἄλλο εἶναι τήν τε οὐσίαν καὶ τῶν ἀπηριθμημένων ἕκαστον, ἀλλ' αἱ μὲν ἐνέργειαι ποικίλαι· ἡ δὲ οὐσία ἁπλῆ· ἡμεῖς δὲ ἐκ τῶν ἐνεργειῶν γνωρίζειν λέγομεν τὸν Θεόν· τῇ δὲ οὐσίᾳ αὐτοῦ προσεγγίζειν οὐχ ὑπισχνούμεθα. Αἱ μὲν γὰρ ἐνέργειαι αὐτοῦ πρὸς ἡμᾶς καταβαίνουσιν· ἡ δὲ οὐσία αὐτοῦ μένει ἀπρόσιτος. » Ὁρᾷς τὸν μέγαν Βασίλειον πῶς ἐλέγχει τοὺς Ἀνομοίους;

Σκοπείσθω δὲ τανῦν τὸ τοῦ Γραπτοῦ λόγιον, ταῦ Μαξίμου μόνον ἡμῖν δεήσει τὴν μέθοδον ὑφηγουμένου τῆς ἐξηγήσεως. Φησὶ τοίνυν ἐκεῖνος ἐν τῇ εἰς τὴν λυχνίαν θεωρίᾳ· « Οὐ πάντοτε καὶ πόντα τὰ τὴν αὐτὴν ἐκφώνησιν ἔχοντα καθ' ἕνα καὶ τὸν αὐτὸν πάντως νοηθήσεται τρόπον, ἀλλ' ἕκαστον τῶν λεγομένων πρὸς τὴν ὑποκειμένην, δηλονότι τῷ τόπῳ τῆς ἁγίας Γραφῆς δύναμιν νοητέον, εἰ μέλλοιμεν ὀρθῶς τοῦ σκοποῦ τῶν λεγομένων καταστοχάζεσθαι. » Οὕτω δὲ δήπου καὶ τὰ τῶν διδασκάλων, ὡς καὶ τὰ τῆς ἁγίας Γραφῆς, ἐξηγεῖσθαι δεῖ ῥήματα καὶ μετὰ τῆς αὐτῆς ἑκάτερα δεξιότητος, εἰ καὶ μεῖζον τοῖς γραφικοῖς σέβας ἀποδοτέον ἐστίν. Λέγω τοίνυν κατὰ τὸν ἅγιον Μάξιμον τὸ μὲν ἅλλο καὶ ἄλλο εἰπεῖν· εἶναι τόδε καὶ τόδε· καὶ αὖθις ταυτὸν εἶναι τόδε τῷδε τὴν αὐτὴν ἐκφώνησιν ἔχει· οὔτε δὲ πᾶσαν ταυτότητα νοήσαιμεν ἐν τοῖς αὐτοῖς, οὔτε πᾶσαν διαφορὰν ἐπὶ τῶν ἑτέρων, ἀλλ' ἑκασταχοῦ τὴν οἰκείαν. Τρόποι δὲ διαφορῶν τε καὶ διακρίσεων ἐν τοῖς πράγμασιν οὐκ ὀλίγοι, ὧν ἔνιοι καὶ τοῖς θείοις ἀναλογικῶς ἐφαρμόζονται. Ὡσαύτως δὲ καὶ ταυτὸν τόδε τῷδε λέγεται πολυτρόπως. Εἰ μὲν οὖν αὐτὸ πρόθεσις ἦν ἡμῖν περὶ διακρίσεως ἁπάσης εἰπεῖν καὶ ἑνώσεως, δέοι γ' ἂν πάντα διελεῖν ἀκριβῶς· νῦν δ' οὔτε τοῦτο προτεθειμένου ἡμῖν, καὶ ἅμα τοῦ περὶ τούτων ἀκριβοῦς λόγου πολὺ τὸ τῆς παρούσης χρείας ὑπερβαίνοντος μέτρον, ἀρκοῦν ἡγούμεθα δεῖξαι τοὺς Ἀκινδυνιστὰς φαύλως ἐξηγουμένους τὸν ἅγιον. Οὐ γὰρ ὡς αὐτοὶ βούλονται ἁπλῶς ἐκεῖνος ἐκβάλλει τὸ τὴν οὐσίαν καὶ τὴν ἐνέργειαν τοῦ Θεοῦ ἄλλο εἶναι καὶ ἄλλο, ὡς ἄν τις τοὺς τρόπους πάντας τῆς ἑτερότητος

ἐξ αὐτῶν ἀναιρῶν, ὡς δὴ πάντη τε καὶ πάντως τῶν αὐτῶν ὄντων· ἴσως γὰρ οὐδ' αὐτοῖς ἂν οὕτω συνῆδεν, εἴγε καὶ αὐτοί τινα διάκρισιν τούτων τιθέασιν· ἔστω δὲ ἠτισοῦν, ἀλλ' ἀναιρεῖ μέν τινα τρόπον διαφορᾶς· οὕπω δὲ καὶ πάντα τρόπον ταυτότητος τίθησιν ἐπ' αὐτῶν, εἰ μὴ καὶ πᾶν τοὐναντίον.

Ἀλλὰ πρῶτον τίνα ἑτερότητα φαύλην ἡγεῖται καὶ ἀποδουκολεῖ σκοπητέον; Τίνα δὲ ἄλλην, εἰ μὴ ἣν αὐτὸς ὡς ἐκ τῶν αἱρετικῶν ποτε εἰσαγομένην προτίθησιν; Οὐ γὰρ ὥσπερ τις αὐτὸ τοῦτο προθέμενος πῶς μέν εἰσι ταυτὸν εἰπεῖν, πῶς δὲ οὐ ταυτόν, ἀλλὰ παρέργως εἰς τὸν περὶ τούτου λόγον εἰσέρχεται, καὶ αἱρετικοῖς τισιν ἐπιτιμᾷ, οἳ τὴν οὐσίαν καὶ τὴν ἐνέργειαν τοῦ θείου Λόγου διῄρουν, ὡς αὐτὸς αὐτόθι διαῤῥήδην ἐκτίθησι, τουτέστιν, ὅτι τὴν μὲν οὐσίαν τοῦ Λόγου ἔνδον τῆς ἀνθρωπίνης περιέγραφον φύσεως, τὴν τῷ Λόγῳ προσειλημμένην, παντα-χοῦ δὲ ἔφασκον αὐτὸν εἶναι κατ' ἐνέργειαν μόνην. Ἡγεῖται γὰρ τὴν κατ' ἐκείνων ἐπιτίμησιν, καὶ πρὸς οὓς ὁ ἀγὼν ἦν αὐτῷ διαθήσεσθαι, ὡς δὴ καὶ τῆς κακοδοξίας ἀμφοτέρων σχεδὸν τὸν αὐτὸν ἐχούσης θεμέλιον. Ἐκείνων τοίνυν οὐσιωδῶς οὕτω διακρινόντων τὴν θείαν οὐσίαν καὶ τὴν ἐνέργειαν (τὰ γὰρ ἀλλήλων χωριζόμενα οὐσιωδῶς διακρίνονται) ὁ μακάριος Θεόδωρος τὸ ἕτερον εἶναι τὴν οὐσίαν, καὶ ἕτερον τὴν ἐνέργειαν ἀπειρῆσθαι λέγει τοῖς εὐσεβέσιν, οὕτως ἕτερον δηλονότι ὡς ἐκείνοι διώριζον, τουτέστιν οὐσιωδῶς· ὥσπερ εἴ τινος προτιθέντος τὸν Πέτρον καὶ τὸν Παῦλον ἄλλο καὶ ἄλλο εἶναι τῷ εἴδει, αὐτὸς ἐνισταίμην ὅτι οὐκ ἔστιν ἄλλο καὶ ἄλλο, τουτέστιν οὕτως ὡς αὐτὸς ἀξιοῖ, καὶ οὐκ ἄν τις ἔχοι με διαβάλλειν παρὰ νοῦν ἔχουσι δικασταῖς, ὅτι ταῦτα λέγων οὐδὲ τῷ ἀριθμῷ διαφέρειν αὐτοὺς βούλομαι. Οὕτω τοίνυν καὶ ὁ διδάσκαλος οὗτος πιστεύει μὴ εἶναι ἄλλο καὶ ἄλλο τὴν οὐσίαν καὶ τὴν ἐνέργειαν τοῦ Θεοῦ, ὡς ἐκεῖνοι τοῦτ' ἐφυάρουν, ὧν τὴν δόξαν ἐκτίθεικεν οὐχ ἁπλῶς. Ἔφασκον δὲ ἐκεῖνοι διαφέρειν οὐσιωδῶς.

Ὅτι δὲ καὶ διὰ τοῦτο τὴν σύνθεσιν ἐκείνοις ἐπάγει καλῶς, δῆλόν ἐστι· τὰ γὰρ οὐσιωδῶς διαφέροντα ἃ καὶ ἄλλοις μὲν γινώσκονται τρόποις, καὶ αὐτῇ δὲ τῇ ὁδῷ τοῦ χωρισμοῦ, ἐπειδὰν ἅμα ᾖ, σύνθεσιν δήπου ποιοῦσιν, ὡς ψυχὴ ἀνθρώπου καὶ σῶμα· ὅτε μὲν ἀλλήλων χωρίζονται, οὐσιωδῶς διακρίνονται. Τὸ μὲν οὖν οὕτω τὴν οὐσίαν τοῦ Θεοῦ Λόγου καὶ τὴν ἐνέργειαν διῃρῆσθαι καλῶς ἀποδοκιμάζει; ἀδύνατον εἶναι λέγων ἀπηλλάχθαι τὸ Θεῖον συνθέσεως, οὕτω τῆς οὐσίας αὐτοῦ καὶ τῆς ἐνεργείας διορίζεσθαι δυναμένων, ὥστ' εἶναι ἡ τὴν οὐσίαν ἐνεργείας χωρίς, ἢ τὴν ἐνέργειαν τῆς οὐσίας διῳκισμένην. Ἐκεῖνοι δὲ οὐ τῇ οὐσίᾳ μόνον, ἀλλὰ καὶ τῇ ὑπάρξει καὶ τῷ εἶναι διώριζον. Οὐ μέντοι γε καὶ πάντη ταυτίζει ταῦτα ὡς μηδὲ τοῖς ὁρισμοῖς διαφέρειν, μηδὲ τῇ φύσει τοῦ πράγματος διακρίνεσθαι, ἀλλὰ μόνον ἐν ταῖς ἐπινοίαις ἡμῶν διχάζεσθαι. Οὔτε γὰρ ἀνάγκη τις τοῦτο συνάγειν· ἀλλ' εἰκὸς ἂν ἦν ταύτην μὲν τὴν ἑτερότητα ἢ διάκρισιν ἀναιρεῖν αὐτὸν, ἑτέραν δὲ ἴσως τιθέναι τινά· εἰ καὶ μὴ φανερῶς αὐτὴν προσετίθει, ἀλλ' ἠγάπα μόνον ἀναιρεῖν τὴν οὐκ οὖσαν. Καὶ ἅμα τὴν ἑαυτοῦ δείκνυσιν ἐναργῶς γνώμην· διαιρεῖ γὰρ αὐτὰ καὶ διακρίνει τοῖς λόγοις τοῖς τὸ τί ἦν εἶναι δηλοῦτι, καὶ ἴδιον ἑκατέρου λόγον αὐτῶν ἀποδίδωσιν. Ὧν δὲ ὁ λόγος ἕτερος, καὶ ἡ φύσις διάφορος, ταῦτ' ἐκ τῆς τοῦ πράγματος φύσεως, οὐκ ἐκ τῆς ἡμετέρας διενηνόχασι θέσεως, καὶ τοῦ νοεῖσθαι μόνον ὑφ' ἡμῶν πως διακεκριμένα. Οὕτως ὁ θεῖος οὗτος ἀνὴρ τῷ μεγάλῳ διδασκάλῳ συνάσεται ἕτερον εἶναι τὴν οὐσίαν, καὶ ἕτερον τὴν ἐνέργειαν περιφανῶς ἀποδεχομένῳ. Οὔτε γὰρ ἐκεῖνος διώριζε κατὰ τοὺς ἀρχαίους αἱρετικοὺς, οὓς ὁ Θεόδωρος ἐλέγχει πάνυ καλῶς, οὔτ' αὐτὸς ὁ Θεόδωρος ἐνοῦν ἐβούλετο, καθὼς οὗτοι συνάπτουσιν οἱ μητραλοῖαι, τουτέστι πᾶσι τρόποις ἐνοῦν, ὡς ἂν καὶ αὐτὸς ἕτερόν τινα τρόπον τὰ αὐτὰ τοῖς αἱρετικοῖς ἐκείνοις νοσοίη, ἢ ἐνέργειαν λέγων τὸν Θεὸν μόνον εἶναι ἀνούσιον, ἢ οὐσίαν ἐνεργείας χωρὶς, ὅπερ ἕπεται τῇ τοῦ λόγου διακρίσει προδήλως.

Ὅτι δὲ καὶ οὕτω τὸ μὴ ἄλλο καὶ ἄλλο τοῦ Θεοδώρου, καὶ τὸ ἄλλο καὶ ἄλλο τοῦ Βασιλείου συνέργονται, καὶ ὅτι οὐ πάντα καὶ πάντοτε τὰ τὴν αὐτὴν ἐκφώνησιν ἔχοντα, κατὰ τὸν αὐτὸν δεῖ νοεῖν τρόπον, ἀλλ' ἕκαστα κατὰ τὴν ὑποκειμένην τῷ λόγῳ τότε δύναμιν, ἃ πλεῖστον θράττει τοὺς ἐναντίους, μηδὲ ταῦτα θεωροῦντας καλῶς. Αὐτὸς γὰρ ἐν μὲν τοῖς ἐναγχος εἰρημένοις ἔλεγεν, ὡς ὅταν ἀποδιδῷ τις λόγον ἑκάστου τῶν τῷ Θεῷ προσόντων, καὶ τῆς φύσεως αὐτοῦ ᾗ ταῦτα πρόσεστιν, οὐ τὸν αὐτὸν ἀποδώσει λόγον. Ὥστε οὐ τὸν αὐτὸν ἔφη λόγον τῆς οὐσίας εἶναι καὶ τῆς ἐνεργείας ἐν τῷ Θεῷ. Ἀλλοθι δέ φησιν, ὡς ἐπὶ τῆς ἁπλῆς καὶ ἀσωμάτου φύσεως τὸν αὐτὸν τῇ οὐσίᾳ ἐπιδέχεται λόγον ἡ ἐνέργεια.

Εἰ μὲν οὖν ἡ τοῦ λόγου ταυτότης κατὰ τὸν αὐτὸν ἐν ἑκατέρᾳ τῇ ῥήσει νοηθήσεται τρόπον, ἡ ἑτέρα δήπου τῶν ῥήσεων ὡς ψευδομένη ἐκβληθήσεται. Ἀδύνατον γὰρ τὸν αὐτὸν εἶναι λόγον τῆς οὐσίας τοῦ Θεοῦ καὶ τῆς ἐνεργείας, καὶ μὴ εἶναι τὸν αὐτὸν ὡσαύτως νοουμένου τοῦ ταύτης λόγου, εἰ μὴ μᾶλλοι πάνθ' ὁμοῦ γίνεσθαι χρήματα. Ἀλλ' ἐπείπερ ἀδύνατόν ἐστιν ἀντιφάσκειν τὸν μέγαν διδάσκαλον, δεῖ νοεῖν ἑκάτερον κατὰ τὴν ὑποκειμένην ἑκατέρῳ τῷ λόγῳ χρείαν καὶ δύναμιν, ὡς ὁ Μάξιμος λέγει. Ἔνθα μὲν γὰρ ἀξιοῖ ἄλλον εἶναι λόγον τῆς οὐσίας τοῦ Θεοῦ, καὶ ἄλλον τῆς ἐνεργείας αὐτοῦ, τὸν ὁρισμὸν δηλονότι, ἢ τὴν φύσιν τοῦ πράγματος· ἔνθα δὲ τὸν αὐτόν φησιν ἐπιδέχεσθαι λόγον τῇ οὐσίᾳ τὴν ἐνέργειαν ἐπὶ Θεοῦ, τουτέστι τὸν τῆς ὑπάρξεως τρόπον, τὸν αὐτὸν ἀμφοῖν εἶναι παντὸς τοῦ τῇ οὐσίᾳ προσόντος ἀξιώματος, καὶ πρὸς τὴν ἐνέργειαν διαβαίνοντος· ὡς γάρ ἐστιν ἡ φύσις, οὕτω δὴ καὶ ἡ ἐνέργεια τοῦ Θεοῦ· τουτέστιν ἀπείρου τε καὶ ἀκτίστου, καὶ ἀϊδίου τῆς φύσεως οὔσης ἐκείνης, καὶ ἡ ἐνέργεια· οὕτως ἐστί· σύστοιχον γὰρ ἐκεῖ δεῖ τῇ φύσει τὴν ταύτης εἶναι ἐνέργειαν, οὐχ ὥσπερ ἐπὶ τῶν ἄλλων ἁπάντων πραγμάτων. Αὐτὸ μέντοι ἕκαστον οὐσία ἐστὶν, ἡ δὲ ἐνέργεια αὐτοῦ, κἂν οὐσιώδης ᾖ, ἐν τῷ τοῦ συμβεβηκότος ἔστηκε γένει. Τοῦτο δὲ δῆλον ἐντεῦθεν ἂν γένοιτο· ἡ οὐσία τοῦ Θεοῦ ἄπειρός ἐστιν εἰδικῶς· ἀλλ' ἡ τούτου ἐνέργεια εἰδικῶς μὲν οὐκ ἔστιν ἄπειρος, οὐ γὰρ

οἷόν τε πλείω εἶναι τὰ ἄπειρα· τῷ δὲ μίαν μετὰ A
τῆς οὐσίας ὕπαρξιν ἔχειν οὔτης ἀπείρου, ἄπειροί
εἰσιν, ὥσπερ ἡ θεία οὐσία καὶ ἡ θεία ἐνέργεια,
ἡ μὲν αὐτὰ τῷ ἀπείρῳ καὶ οὐκ ἀπείρῳ διενηνόχα-
τον, οὐ γάρ ἐστιν ἐκ τοῦ τῆς ἐνεργείας λόγου τῇ
ἀγαθότητι τοῦ Θεοῦ τὸ ἀπείρῳ εἶναι, ἀλλὰ διὰ
τὴν οὐσίαν. Τῇ δὲ οὐσίᾳ τοῦ Θεοῦ τοῦθ' ἁρμόττει
καθ' ἑαυτὴν καὶ δι' ἑαυτὴν, τῷ δὲ τὸν αὐτὸν τῆς
ὑπάρξεως τρόπον ἔχειν τῆς θείας τοῦτ' ἀναγκαζού-
σης ἀπλότητος, ἔν τε ἄπειράν εἰσιν ἄμφω, καὶ εἷς
Θεὸς τῆς εἰδικῆς διακρίσεως, οὔτε διαίρεσιν ἐκεῖ
πραγμάτων οὔτε σύνθεσιν δυναμένην ἐργάζεσθαι,
ἄτ' ἐφ' ἑνὸς ὑποκειμένου καὶ ἁπλουστάτου τῆς θείας
οὐσεως ἱδρυμένης. Οὐ τοίνυν ἐν τῷ λέγειν τὴν
ἐνέργειαν τοῦ Θεοῦ τὸν αὐτὸν ἐπιδέχεσθαι τῇ οὐσίᾳ
λόγον, τουτέστι πάντα τὰ τῆς ὑπερφυοῦς ἐκείνης B
οὐσίας σεμνὰ, καὶ πρὸς τὴν αὐτῆς ἐνέργειαν δια-
βαίνειν, ἠγνόησεν ὁ διδάσκαλος ἑαυτὸν εἰρηκότα που
ἄλλον μὲν εἶναι τὸν λόγον τῆς οὐσίας, ἕτερον δὲ
τὸν τῆς ἐνεργείας, οὗθ' ἡμᾶς ἐχομένους ἐκείνου τοῦ
λόγου, τοῦτον χρὴ παραιτεῖσθαι, ἢ πάνθ' ὁμοῦ
ποιεῖν χρήματα. Τίς γὰρ νοῦν ἔχων ἐρεῖ τὸ ἄπειρον
καὶ τὸ πεπερασμένον ἐπινοίᾳ διακεκρίσθαι; ἃ γε
μὴ πεποίηται ὑπὸ τῆς ψυχῆς, ἀλλ' ἔστι τε αὐτῆς
ἄνω, καὶ ᾗ αὐτὰ διακέκριται, καὶ ὃ μεῖζόν ἐστιν
ἀντιφατικῶς πως. Ὥστε οὐδὲ ἡ θεία οὐσία, καὶ ἡ
θεία ἐνέργεια, ᾗ οὐσία καὶ ᾗ ἐνέργεια, λόγῳ δια-
κριθήσεται, ὧν τῇ μὲν τὸ ἄπειρον, τῇ δὲ τὸ πεπε-
ρασμένον, ᾗ τοιαῖσδε προσήκουσιν· ἀλλ' εἴδει τε
δηλονότι, καὶ τῇ τοῦ πράγματος φύσει διακριθή-
σεται. Ἓν δέ τι ἄλλως ἔσονται, καὶ ἁπλούστατον
δηλαδὴ τῇ ὑπάρξει, εἰ καὶ μηδέν ἐστιν ἐν τοῖς οὖσι
τούτου παράδειγμα.

Ταῦτά σοι πρὸς τοὺς Ἀκινδυνείους τούτους καὶ
Λατινόφρονας, οἱ αὐτοὶ γὰρ ἄμφω νοσοῦσιν, ἁπλού-
στερόν τε καὶ δικαιότερον λεγέσθω. Εἰ δὲ χρή με
τἀληθῆ λέγειν, τῇ τε χρείᾳ, καὶ τῇ τῶν πολλῶν
ἕξει, τῶν γε ἐντευξομένων αὐταῖς σύμμετρον ἀπε-
τισάμην σοι τὴν τῶν λύσεων δύναμιν. Εἰ γὰρ καὶ
τῆς ὑποθέσεως ταύτης πολὺ φαυλότερόν ἐστι τὸ
καθ' ἡμᾶς, ἀλλ' ἐξῆν πως καὶ ὑπὲρ τοὺς παρόντας
λόγους ἀρθῆνσι· τοῦτο δ' οὐκ ἂν συνέφερεν ἄλλως·
καὶ ὁ ἐμὸς γὰρ Ἰησοῦς μικρὸν, φησὶν, ἀπὸ τῆς γῆς
ἐπαναγαγὼν τοὺς ὄχλους ἐδίδασκεν, ἔργῳ παραινῶν
ἡμῖν ἔνθα τῆς ὠφελείας ἡ χρεία καὶ τῆς ἁπλότητος D
μηδένα καιρὸν εἶναι τοῦ βάθους τε καὶ τῆς ἐπι-
δείξεως. Σὺ δὲ τῶν ἀνδρῶν τούτων μὴ τοσοῦτον
μίσει τὴν ἀπὸ τῆς ἀληθείας φυγὴν, ὅσον τὸ τῆς
προαιρέσεως εὐμετάπτωτον, καὶ τὴν αὐστηρίαν τῆς
συνειδήσεως. Ὅτι καθάπερ μεγάλων τινῶν κακῶν
δίκας εἰσπραττόμενοι τὴν Ἐκκλησίαν, καὶ τοὺς
προγόνους ἡμῶν, τὰ μέχρι καὶ νῦν ἐν ἡμῖν κρατή-
σαντα δόγματα μισοῦσι καὶ ἀποστρέφονται, τοῖς δ'
ὑπερορίοις πᾶσιν ἐνασμενίζουσι νεωτερίσμασιν, ὥστε
καὶ πάντ' ἂν εἶπερ ἐξῆν αὐτοῖς μετέπλασαν τὰ
ἡμέτερα, ὥσπερ ῥάδιον ἂν ὅρους μεταθεῖναι Πατέ-
ρων, καὶ ταῦτ' ἐν τοιούτοις καιροῖς, ἐν οἷς ἀρχοῦν
ἐστιν ἡμῖν πρὸς εὐσέβειαν τὰ ἐκείνων ἰσχνὴ καὶ
συνορᾷν καὶ διώκειν. Ὁ δ' αὐτοὶ πράττουσι, πᾶς
τις ἂν φαίη κρίνειν εἰδὼς, ἢ ἀδιαφορίας, ἢ μεγάλης
τυγχάνει μυήσεως. Καίτοι τῷ μὴ δύνασθαι ταῦτα
μεταποιεῖν, κρυούμενοι πρύμναν τὰ πάτρια προσ-
ποιοῦνται. Ἀλλ' οὐδένα τῶν νοῦν ἐχόντων λανθά-
νουσι προσποιούμενοι. Αὐτοὶ γάρ εἰσιν οἱ Νεστοριανοὺς ἡμᾶς εἰπόντες ἐν πανδήμῳ θεάτρῳ, διότι πι-
στεύομεν μὴ εἶναι τὸν Υἱὸν τοῦ Θεοῦ τοῦ παναγίου
Πνεύματος αἴτιον, δόγμα πάσαις ἀνάγκαις ἀληθινὸν,
καὶ τοῖς ἡμετέροις Πατράσι καὶ διδασκάλοις λόγοις
καὶ αἵμασι διεκδικηθὲν, ἀπὸ τῶν αὐτῷ ποτε μαχε- B
σαμένων ἀποστατῶν, οὓς καὶ ταῖς αἰωνίαις ποιναῖς
καθυπέβαλεν· καὶ οὗ δόγματος ἐναντίον Αρειανὸν εἶναι διὰ τὴν διττὴν ἀρχὴν, καὶ Εὐνομιανὸν διὰ
τὴν τοῦ Πνεύματος ὕφεσιν, καὶ Ἀπολλινάριον διὰ
τοὺς βαθμοὺς τῶν θείων προσώπων· καὶ ἦν αὐτοὶ
κακῶς πλάττουσιν ἀταξίαν μᾶλλον ἢ τάξιν, καὶ
ὑσγχυσιν, οὐ διάκρισιν, καὶ ἄλλοις πολλοῖς ἀτό-
ποις δοκεῖ περιπίπτειν.

Αὐτοὶ τοίνυν εἰσὶν οἱ Νεστοριανὴν τὴν ἑαυτῶν
μητέρα καλέσαντες, οἱ πολλοῖς εὐσεβέσι πολλῶν
ἀνθρωπίνων πειρασμῶν αἴτιοι γεγενημένοι, οἱ κατὰ
παντὸς ὀρθοδόξου συγγεγραφότες συγγράμματος,
καὶ τοὺς ἐν πάσῃ τῇ γῇ Χριστιανοὺς τὴν καινοτο-
μίαν ταύτην πειρώμενοι πείθειν. Πῶς οὖν λήσουσιν
C
ἐξαπατᾶν τοὺς ἁπλουστέρους βουλόμενοι ταῖς ἠναγ-
κασμέναις ταύταις καὶ καιρικαῖς προσποιήσεσιν;
Εἰ δὲ βούλονται πιστευθῆναι, ἀνασχέσθωσαν πράτ-
τειν, ἃ δοκεῖ τοῖς νόμοις τῆς Ἐκκλησίας. Μίσει
τοίνυν αὐτοὺς ἅπαντας ἕως ἂν ὦσι τοιοῦτοι, καὶ
τοῖς μὲν αὐτῶν ἡγεμόσι τοῖς ἐκκηρύκτοις ἐκείνοις,
ὧν αὐτοὶ τοῖς σοφίσμασιν ἠκολούθησαν ἐκ τοῦ μὴ
δύνασθαι κρίνειν, ὡς αἰτίοις κακοῦ τοσούτου γε-
γενημένοις. Ἐπαρῶ δικαίως ἐκεῖνα, ἃ καὶ ἡ μήτηρ
ἡμῶν ἡ τοῦ Χριστοῦ Ἐκκλησία ἀμφιετὲς ἐπαράται·
συνάδειν γὰρ ἡμᾶς δεῖ τῇ μητρὶ, εἰ μὴ βουλοίμεθα
τὴν πρὸς ἐκείνην σχέσιν ἀρνεῖσθαι· τοῖς δὲ νῦν τὰ
ἐκείνων ἐκθειάζουσιν ἀσεβήματα, ἕως ἔτι περίεισιν,
εὔχου γενέσθαι βελτίους, καὶ μετάμελόν τινα λα-
βεῖν, καὶ τοῦτον κανονικῶς ἐπιδείξασθαι. Ἃ δὲ ἡ D
ἡμετέρα μήτηρ ἡ καθολικὴ τῶν Χριστιανῶν Ἐκ-
κλησία καὶ πεφρόνηκε τὴν ἀρχὴν καὶ φρονεῖ, καὶ
μέχρι τῆς χθὲς γενομένης συναρπαγῆς ὁμοῦ πάντες
ἐφρόνουν οἱ τῆς Ἐκκλησίας ταύτης υἱοὶ, τούτων ἔχου
βεβαίως, μήτε Λατίνους, μήτε πάντας ἀνθρώπους,
μήτε τοὺς ἀγγέλους αὐτοὺς, εἰ δέοι κατὰ Παῦλον
εἰπεῖν, ἐξελεῖν τι δύνασθαι, βέλτιόν τε καὶ ἀληθέ-
στερον πεπεισμένος.

—

GEORGII SCHOLARII

EPISTOLA

AD JOANNEM COMNENUM IMPERATOREM TRAPEZUNTINUM

Libro de processione Spiritus sancti adversus Latinos præmissa.

—

Τῷ ὑψηλοτάτῳ βασιλεῖ Τραπεζοῦντος κυρίῳ Ἰωάννῃ τῷ μεγάλῳ Κομνήνῳ Γεώργιος ὁ Σχολάριος μετ' εὐλαβεστάτης εὐνοίας χαίρειν.

Celsissimo imperatori Trapezuntis domino Joanni Magno Comneno Georgius Scholarius cum religiosissima benevolentia gaudere.

(Ex cod. Vindob. theol. Gr. n. 273, apud Lambec. Comment. lib. V.)

—

Τὸ μὲν πρῶτον βιβλίον ἡμῖν ἐπὶ ταῖς μελέταις συντέθειται τῶν πρὸς τὸν ἐπίσκοπον ἐκεῖνον ἀγώνων, ᾧ πολλάκις ἐπ' αὐτοῦ βασιλέως καὶ τῆς συγκλήτου πάσης τῆς παρ' ἡμῖν, καὶ τῶν ὁμοδοξούντων ἐκείνῳ παρόντων πάντων σχεδὸν διειλέγμεθα· ὃς καίτοι σοφὸς ὢν οὐχ ἡμῶν, ἀλλὰ τῆς ἀληθείας ἥττων ἐφάνη. Ἤδη δὲ καὶ δεύτερον σοῦ χάριν συγγέγραπται, βασιλεῦ εὐσεβέστατε, ποθοῦντος δέξασθαι παρ' ἡμῖν τι τοιοῦτον. Πρὸς γὰρ τοῖς ἄλλοις καλοῖς, οἷς ἐκόσμησας τὴν βασιλικήν σου ψυχήν, καὶ δι' αὐτῆς τὴν ἐγχειρισμένην σοι θεόθεν ἀρχήν, λόγων τε ἐρᾷς, καὶ τούτων ὅσοι θειότεροι καὶ τοῖς πρὸς τούτους ἔχουσιν εὐμενῆς ἀεὶ καὶ ἵλεως φαίνῃ, ἅτε δὴ τῶν ἀνθρωπίνων ἐπιτηδευμάτων προελομένοις τὸ βέλτιστον. Ὑπερεξῃρήσθω δέ σου τῶν ἁπάντων πλεονεκτημάτων ἡ ἐν τῇ πίστει βεβαιότης, ἧς ἕνεκα τὴν ἡμετέραν οὐθένειαν, καὶ τῆς ἀξίας πλέον φιλεῖς καὶ τιμᾷς· ὅτι σοι δοκοῦμεν, τῇ συστάσει τῶν ὀρθῶν καὶ πατρίων δογμάτων καὶ αὐτοί τι λυσιτελεῖν. Σὺ μὲν οὖν, κράτιστε βασιλεῦ, περὶ τοῦ προτέρου βιβλίου μαθὼν ἐκεῖνο πεμφθῆναί σοι παρ' ἡμῶν ἀπῄτεις· ἡμεῖς δὲ ἐκεῖνο φιλοτιμότερόν πως ἐξειργασμένον εἰδότες καὶ πολλὰ τῶν τὴν ἐναντίαν ἰόντων ἡμῖν καθαπτόμενον, ὀλίγοις ἐκδεδώκαμεν καὶ τῶν ἐν τῇδε τῇ πόλει· ἄλλον γὰρ ἴσμεν ἔσεσθαι τὸν καιρὸν, ἐν ᾧ δεήσει φαίνεσθαι πᾶσι. Τῷ δὲ σῷ κράτει κελεύοντι πάνυ προθύμως ἐμέλλομεν πέμπειν· ἀλλ' ἐνθυμηθέντες, ὅτι τοῖς βασιλεῦσιν οἱ ἐπὶ τῶν ἄλλων τεχνῶν, οὐχ ἅπερ ἂν τοῖς τυχοῦσι παρασκευάσωνται, προσφέρουσι τεχνουργήματα, ἀλλ' ἐξεπίτηδες δημιουργοῦντες ἄλλα προσάγουσιν· ἡμῖν δὲ καὶ πόρρωθεν ἐμελετᾶτό τι καὶ δεύτερον σύνταγμα, πολλὰ περιέξον τῶν ἐν τῷ προτέρῳ παραλελειμμένων, προφάσει τῇ βασιλικῇ προτροπῇ δικαίᾳ χρησάμενοι τοῦτι τὸ δεύτερον αὐτοσχεδιάζομεν σύνταγμα, συντομώτερον ἐκείνου πολὺ καὶ σαφέστερον καὶ τοῖς τῶν διδασκάλων μᾶλλον ὡπλισμένον λογίοις, καὶ οἷον εἶναι προσῆκε δῶρον τῷ βασιλεῖ, πολλὰ μὲν ἔχοντι πράττειν, σαφεῖς δὲ καὶ συντόμους ἔχειν ἐθελοντὶ τὰς εἰδήσεις. Ὅθεν μὴ μέμφεσθαι βούλου, ὅτι σοι μὴ τὸ πολυστιχώτατον ἐκεῖνο πεπόμφαμεν· ἀλλὰ μᾶλλον εἰδὼς, σοῦ χάριν πόνον ὑποστάντας δεύτερον τουτονὶ καὶ τῷ τοῦ σου κράτους ὀνόματι τὸ βιβλίον κοσμῆσαι προῃρημένους, χρῶ δὲ τούτῳ μετὰ πολλῶν ἄλλων τῆς πρὸς τὸ θεῖόν σου κράτος εὐνοίας ἡμῶν, καὶ πίστεως ἀκριβεῖ τεκμηρίῳ· ἔστω δὲ μηδὲ τὸ βιβλίον τοῦτο πᾶσιν οἷς ἂν τύχῃ κοινὸν, ἀλλὰ κειμήλιον ἔστω σοι καὶ ἀπόθετον σοῦ μόνον ἐνώπιον ἀνοιγνύμενον, καὶ φαινόμενον, καὶ λαλοῦν, καὶ πάλιν κρυπτόμενον. Ἔνεστι γὰρ πολλὰ τῷ συντάγματι, ἃ δεῖ λανθάνειν τοὺς ἡμῖν διαφερομένους, εἴ ποτε πάλιν μεθ' ἡμῶν συναίρειν λόγον θελήσειαν· μὴ διδόναι δὲ τὴν δόξαν ἡμῶν ἑτέροις ἢ ἀλλοτρίοις τὰ ἡμῖν συμφέροντα, ἔχομεν παραγγελίαν, ὡς οἶσθα, καὶ τῷ πάντα μετὰ τοῦ καιροῦ πράττειν τὸ κατορθοῦν ἔνεστι. Νῦν δὲ οὐδὲ τοὺς ἐκ τῆς ἑτέρας γλώττης φυλάττεσθαι δεῖ μόνον, ἀλλὰ καὶ τῶν ἡμετέρων ὅσοι τῆς πατρίου δόξης καταπεφρονήκασιν, ἀμάθειαν μὲν καταγνόντες πολλὴν τῶν ἡμετέρων προγόνων, σοφισματίοις δέ τινων ἐξ ἀπειρίας ἁλωκότες, καὶ ταῦθ' ὡς δή τι σεμνὸν ἔχοντα περιβυμβοῦντες ἄνω καὶ κάτω, ἐπ' αἰσχύνῃ τῶν ἡμετέρων προγόνων, μᾶλλον δὲ ἑαυτῶν· οὐ γὰρ τὴν ἕνωσιν τῶν Ἐκκλησιῶν ἀσπαζόμενοι ταῦτα τολμῶσι θαυμαστὸν ἂν ἦν, εἰ μόνοις αὐτοῖς ὁ τῆς ἑνώσεως ἐνέσπαρτο πόθος· ἡμεῖς δὲ τῆς εἰρήνης ἐχθροὶ πάντες ἦμεν, οἱ μὴ σφισι πειθόμενοι· ἀλλὰ στήλην ἀνάγραπτον κατὰ τῆς ἡμετέρας Ἐκκλησίας ἱστασθαι βούλονται τὰς ἐν τῇ Φλωρεντίᾳ συνθήκας ἃς ἴσμεν πάντες ὅπως γεγόνασιν αὐτῶν ἐλεγχόντων τῶν αὐτὰς καταπραξαμένων, καὶ βούλονται τουτωνὶ τῶν συνθηκῶν μενουσῶν, καὶ πιστευομένων, ὅπερ ἡμῖν αὐτὰ προστρίβονται αἴσχος ἀδίκως καὶ ἀμαθῶς, Νεστοριανοὺς ἀποκαλοῦντες, ὅτι μὴ πιστεύομεν ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὴν ὕπαρ-

ξιν ἔχειν, τοῦτο κατὰ πάσης τῆς Ἐκκλησίας τῆ; θρεψαμένης ἡμᾶ; κρατεῖν τὸν ἑπειτα χρόνον· οὕτω δεινοί τινές εἰσι μητραλοῖαι καὶ πάντολμοι· διὰ τοῦτο καὶ ἡμεῖς αὐτοῖς οὐ προσέχομεν, ὡς τῆς ἑνώσεως ὑπερδικοῦσιν, ἀλλὰ μισοῦμεν, μᾶλλον δὲ ἐπαλγοῦμεν αὐτοῖς, ὡς κίνδυνον τηλικοῦτον ἐπανηρημένοις καὶ τὴν ἀλήθειαν αὐτὴν, καὶ τὴν δόξαν τῆς καθ' ἡμᾶ; Ἐκκλησίας βλοχινδύνως διασπαράττουσιν· αὐτοί γε ἡμεῖς τῇ τοῦ Χριστοῦ χάριτι τῆς ἀληθοῦς καὶ θεοφιλοῦς ἑνώσεως τῶν Χριστιανῶν ἐπιθυμηταὶ ὄντες καὶ σπουδασταὶ, εἴ ποτε τοιοῦτόν τι δυνηθείημεν. Τούτων τοίνυν τὴν ἀμάθειαν καὶ τὴν προπέτειαν φυλάττεσθαι δεῖ· οἱ γὰρ κατὰ τῶν διδασκάλων ἀφιέντες τὰ βέλη τῆς ἀγροικίας, τί οὐκ ἂν πέμψειαν καθ' ἡμῶν; τί δ' οὐκ ἂν ἀδικήσειαν τούς τε λόγους ἡμῶν καὶ ἡμᾶς τοὺς τούτων πατέρας; Ἐκείνης γὰρ εἰσι τῆς προαιρέσεως, ἧς καὶ οἱ κατὰ τῆς ἀληθείας συγγεγραφέναι τολμήσαντες. Οἶσθα γὰρ πολλοὺς καὶ κατὰ τῶν ἱερῶν Εὐαγγελίων ληρήσαντας· ἀλλ' ἕως μὲν ζῶμεν, γλώττῃ πρὸς πάντας ἀρκοῦμεν ἀπολογεῖσθαι· ἃ γὰρ ἐν ἀμφοτέροις τοῖς βιβλίοις κατέστρωται, ταῦτα καὶ τούτων πλείω καθ' ἡμέραν πρὸς τοὺς ἀντιδοξοῦντας διαλεγόμεθα· οἱ δὲ οὐκ ἔχοντες ἅπαντᾷν εὐλόγως, ἄλλον τινὰ τρόπον τὸ συμφέρειν αὐτοῖς δοκοῦν πράττουσι· τεθνηκότων δὲ ἡμῶν ποτε τὰ βιβλία ταῦτα λαλήσει. Εἰ δέ τις ἐρεῖ τι κατ' αὐτῶν, ἀληθῆ μὲν κατ' ἀληθῶν ἀδύνατόν ἐστιν ἐκεῖνον εἰπεῖν· τῶν δὲ σοφισμάτων τοῖς νοῦν ἔχουσι δώσει τὰς δίκας, πρὶν ἀποδοίη τῷ δικαίῳ κριτῇ πάντων. Ἔσονται γὰρ πολλοὶ τῇ τοῦ Χριστοῦ χάριτι, καθάπερ καὶ νῦν εἰσιν οἱ τὴν ἀλήθειαν μετὰ τοῦ κακοπαθεῖν ἀσπαζόμενοι, καὶ μὴ πρὸς τὰ σοφίσματα καὶ τὴν τῶν προσκαίρων πραγμάτων κεχηνότες ἀπάτην· παρὰ τούτοις οὖν ἡ κρίσις τῶν θ' ἡμετέρων λόγων κείσεται, καὶ ὧν ἕτεροι σοφιοῦνται. Ἐγὼ δὲ ἄλλου δικαστοῦ νόμοις, καὶ ψήφοις ἐκκείσομαι. Τούτων οὖν χάριν μηδενὶ τῶν ἐχθρῶν διδόσθω τὸ σύνταγμα, ἕως ἂν ἐν τοῖς ζῶσιν ἀκούῃ ὄντας ἡμᾶς, ἢ ἕως ἂν μάθῃ; αὐτὸ παρ' ἡμῶν ἐκόντων καὶ ἄλλοις τισὶν ἐκδοθῆναι.

ΕΚΘΕΣΙΣ

ΤΗΣ ΟΡΘΗΣ ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ

ΥΠΟΣΤΑΣΕΩΣ ΔΟΞΗΣ

ΚΑΙ ΤΟΥ ΑΡΧΑΙΟΥ ΚΑΙ ΩΜΟΛΟΓΗΜΕΝΟΥ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΦΡΟΝΗΜΑΤΟΣ

ΩΣ ΕΝ ΤΟΠΩ ΟΜΟΛΟΓΙΑΣ

ΠΡΟΛΟΓΟΣ.

Γεώργιος ὁ Σχολάριος τὸ εὐτελέστατον τοῦ Θεοῦ κτίσμα εἰς ἄϊδιον τῶν ἐντυγχανόντων πληροφορίαν· ἐπειδὴ χαλεπόν ἐστι τοῖς δυσὶ τεύξεσιν, ἃ περὶ τοῦ ἁγίου Πνεύματος, καὶ τῆς ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς κατ' οὐσίαν αὐτοῦ ἐκπορεύσεως φθάσας ἐκδεδώκειν, ἐντυγχάνειν πολλοὺς φεύγοντας δι' ἀπορίαν τῶν τοιούτων λόγων, ἢ ὀκνηρίαν, τὸ πλῆθος τῶν ἐν αὐτοῖς ἐξητασμένων χρησίμως, καὶ μάλιστα ἐν τῷ βευτέρῳ. Εἰκὸς δέ τι καὶ τινας αὐτοῖς ἐντυγχάνοντας, ἢ ἐξ ἀγνοίας, ἢ πάθους ἑτέρου τινὸς κινουμένους, πολλὰ τῶν ἐν αὐτοῖς εἰρημένων χρησίμως, εἰς ἃ δοκοῦν αὐτοῖς παρατρέπειν καὶ διαβάλλειν ὡς ἐναντιούμενά πη πρὸς ἑαυτὰ, ὃ καὶ κατὰ τῶν ἀρχαίων διδασκάλων ὑπὸ πολλῶν, καὶ τὸν πρόσθεν χρόνον ἐτολμήθη, καὶ νῦν. Ἐγὼ δὲ, οὐ πρὸς ἐμὲ φανερῶς τῆς διαβολῆς γινομένης, οὐκ ἂν ἔχοιμι διελέγχειν μὲν αὐτοὺς ψευδομένους, ἐμὲ δὲ ἐν πᾶσι τὰ αὐτὰ τῆς ἀληθείας μέλος ἀνακρουόμενον, καὶ μηδαμοῦ πρὸς ἐμαυτὸν διαφωνοῦντα δεικνύναι, τὴν ἔννοιαν συναθροίσας ὡς οἷόν τε εἰς ἓν σύμπασαν τῶν πολλῶν λόγων ἐκείνων, καὶ ἔτι τῶν διαλέξεων, τῶν πρὸς οὐστινασοῦν ποτε ἐγγράφως ἢ ἀγράφως μοι γενομένων, συντομώτατον τῆς ἐμῆς γνώμης καὶ δόξης ἀπόδειξιν, καὶ ὥσπερ τινὰ ὁμολογίαν τῆς πίστεως τῆς ἐμῆς, ἣν ἀκολούθως τοῖς τῶν Πατέρων ὅροις καὶ λόγοις εἴληφα, τῇ τοῦ Θεοῦ χάριτι πεφωτισμένος, καὶ καθέξω, καὶ τελευταίας ἕως ἀναπνοῆς πᾶσι τοῖς τε τὰ αὐτὰ φρονοῦσι καὶ τοῖς ἑτεροδόξοις ἐκτίθεμαι. Καὶ εἴτε γένοιτο σύνοδος, εἴτε μὴ γένοιτο, εἴτε ἐκ τῶν ὁμοδοξούντων μόνον ἡμῖν, οἷαν ζητοῦμεν γενέσθαι σκεψομένην περὶ τῶν ἀντιδοξούντων καὶ διορθωσομένην τὰ κατ' αὐτοὺς εἴγε βούλοιντο, καὶ τὰ τέκνα τῆς μητρὸς ἡμῶν τῆς Ἐκκλησίας οὕτω συναγαγεῖν, εἴτε καὶ ἐκ τῶν ἑτεροδόξων ὡς ἔνιοι βούλονται ἐπὶ τῇ τῆς ἀληθοῦς καὶ πατρίου δόξης καταστροφῇ, καὶ βεβαιώσει τῶν ἐν Φλωρεντίᾳ πρώην προπετῶς συγχεχωρημένων, εἴτε ἐξ ἑκατέρων καὶ ὁπωσοῦν· καὶ εἴτε παρέσομαι ζῶν, εἴτε καὶ τελευτήσαιμι, εἴτε ζῶν οὐ παρέσομαι· καὶ ὅ τι ἂν συμπεραν θείη, εἴτε τὸ πάτριον ἡμῶν φρόνημα, εἴτε καὶ ἄλλο τι, δίδωμι Θεῷ καὶ ἀγγέλοις, καὶ πᾶσιν ἁγίοις τὴν ὁμολογίαν τῆς ἐμῆς πίστεως οὕτως, προϋποτιθεμένου τοῦ ἐν Κωνσταντινουπόλει συμβόλου τῆς πίστεως, εἴτουν τοῦ ἐν Νικαίᾳ, καὶ τῶν περὶ αὐτοῦ ἐν τῇ τρίτῃ συνόδῳ διορισμῶν, περὶ τοῦ μὴ προσθεῖναι χρῆμα, μήτε ἀφελεῖν ἀπ' αὐτοῦ ἢ κατὰ διάνοιαν ἢ κατὰ λέξιν· οὓς δὴ διορισμοὺς καὶ αἱ λοιπαὶ οἰκουμενικαὶ σύνοδοι ἐπαναλαμβάνουσαι, καὶ ἔργῳ διετήρησαν· καὶ προϋποτιθεμένων τῶν συμπερασμά-

των των οἰκουμενικῶν συνόδων, οἷς πᾶσι συντίθεμαι ὡς θείαις ἀποφάσεσιν εὐλαβῶς· ἔτι τε τῶν ἐν Κωνσταντινουπόλει προῦποτεθειμένων τελευταίων συνόδων, τῆς τε κατὰ τοῦ Βέκκου μεγάλης καὶ καθολικῆς ἐκ πάντων τῶν ὀρθοδόξων συνόδου, καὶ ὧν ἐκείνη διέξεισι καὶ ἀποφαίνεται, καὶ τῆς κατὰ Βαρλαὰμ καὶ Ἀκινδύνου τῶν ἐκκηρύκτων, ὧν καὶ αὐτῶν τῶν συνόδων ταῖς ἀποφάσεσι τίθεμαι ὅλῃ ψυχῇ καὶ προθέσει· ἔτι προωμολογημένων πάντων, ἃ φρονεῖ ἡ καθολικὴ τῆς Κωνσταντινουπόλεως Ἐκκλησία, καὶ ἐφρόνει πρότερον ἡ σύμπασα ὁμοῦ περὶ τῶν τῆς Ἐκκλησίας ἱερῶν μυστηρίων, δι' ὧν ἡ ἐν Χριστῷ κεκρυμμένη τῶν ὀρθῶς πιστευόντων μετὰ ἀγάπης τελειοῦται ζωή, περὶ τῆς τοῦ ἁγίου Πνεύματος ὑποστάσεως περὶ οὗ διαμφισβητοῦμεν Λατίνοις πεντακοσίοις σχεδὸν ἔτεσι· οὕτω πιστεύω καὶ οὕτως ὁμολογῶ.

—

ΜΕΡΟΣ ΠΡΩΤΟΝ

Ἐν ᾧ λύονται τοῖς τῶν ἁγίων ῥητοῖς συμφώνως αἱ παρὰ τῶν ἑτεροδόξων θέσεις καὶ ῥητὰ, ἃ μάλιστα ἕλκουσι τὰ πλείω βία πρὸς συνηγορίαν ἑαυτῶν ἐκεῖνοι.

—

ΚΕΦΑΛ. Α'.

Ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς ἐκπορεύεται, οὐκ ἐκ τοῦ Υἱοῦ, ὥσπερ οὐδὲ ὁ Υἱὸς οὐκ ἐκ τοῦ Πνεύματος γεγέννηται, ἀλλ' ἐκ τοῦ Πατρὸς μόνον.

Ὅτι ὁ Θεὸς καὶ Πατὴρ, ὡς προάγει τὸν ἑαυτοῦ Λόγον εἰς ἰδίαν ὑπόστασιν, οὕτω καὶ τὸ πανάγιον ἑαυτοῦ Πνεῦμα προάγει εἰς ἰδίαν ὑπόστασιν, ἅπερ ὡς ἐξ αὐτοῦ προϊόντα ἄμφω φυσικῶς καὶ κατὰ τὸ προσεχὲς, ὁ μὲν Υἱὸς γεννητῶς, τὸ δὲ Πνεῦμα ἑτερόν τινα τρόπον, ἄῤῥητον ἡμῖν καὶ ἀκατανόητον. Τῷ δὲ ἐκπορεύεσθαι σημανθέντα ἡμῖν ὑπὸ τῆς ἀληθείας εἰς αὐτὸν τὸν Πατέρα ὡς εἰς ἕνα αἴτιον, ἐν τῇ αὐτῇ τῆς οὐσίας ἑνότητι ἀναφέρονται· οὐχ ὥσπερ ἐπὶ τῶν ἀνθρώπων ἔχει, ἐν οἷς οὐκ ἀπὸ τοῦ αὐτοῦ προσώπου κατὰ τὸ προσεχὲς ἔχουσι πάντες τὸ εἶναι, καὶ διὰ τοῦτο πληθύνονται, ὡς τὰ αἰτιατὰ, οὕτω δὴ καὶ τὰ αἴτια. Περὶ μὲν τοῦ θείου Λόγου νῦν οὐ σκοπὸς, ἀλλὰ περὶ τοῦ ἁγίου Πνεύματος. Ἐκπορεύεται τοίνυν οὕτως, εἴτουν ὑφίσταται, τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τῆς πατρικῆς ὑποστάσεως, ἥτις ἐστὶν ὡσανεὶ πρωτότυπον φῶς, ἐξ οὗ τὴν αἰτίαν τοῦ εἶναι καὶ τῆς ὑποστάσεως ἑκάτερον τῶν συναϊδίων καὶ ὁμοουσίων ἔχει φώτων, ὅ τε Υἱὸς τοῦ Θεοῦ δηλαδὴ καὶ τὸ Πνεῦμα τὸ ἅγιον διὰ τὴν τῆς ὑπερουσίου γονιμότητος ἐκφανσιν, ἥτις ἐστὶν ὑπόστασις ἀγεννήτως, καὶ ἀναιτίως ὑποστάτις ἐν αὐτῇ τῆς οὐσίας ἑνότητι, ὑπερφυῶς τε καὶ ὑπὲρ λόγον τοῦ ἑαυτῆς Λόγου τε καὶ τοῦ Πνεύματος, ὡς ῥίζα, καὶ ὡς πηγὴ, καὶ ὡς πηγαία θεογόνος θεότης, καὶ ὡς φώτων Πατὴρ, διότι μόνῳ αὐτῷ ταῦτα πρόσεστιν, οὔτε δὲ τῷ Υἱῷ, οὔτε τῷ Πνεύματι, καὶ οὕτως ἐκ τοῦ Πατρὸς μόνου προϊέναι τὸ Πνεῦμα πιστεύομεν κατ' αἰτίαν καὶ καθ' ὑπόστασιν, ἐκ τοῦ Πατρὸς μόνον λεγόντων ἐκπορεύεσθαι τοῦτο πάντων καὶ ὑφίστασθαι, ὡς αἰτίου καὶ ὡς πηγῆς καὶ μηδενὸς ἐκ τοῦ Υἱοῦ οὕτως· οὔκουν ἐξ ὧν ἴσμεν ἁγίων. Λέληθε δὲ ἡμᾶς τῶν τῇ Ἐκκλησίᾳ γνωρίμων οὐδεὶς, ὧν τὰς βίβλους ἔχομεν καὶ τῶν φωνῶν ἐπαΐομεν.

ΚΕΦΑΛ. Β'.

Ὅτι ἐκ τοῦ Υἱοῦ πρόεισι χρονικῶς ἤτοι δίδοται καὶ μετέχεται· μᾶλλον δὲ καὶ ἐκ τοῦ Υἱοῦ προϊέναι λέγεται, ὅτι χρονικῶς παρ' αὐτοῦ καὶ δι' αὐτοῦ δίδοται.

Λέγεται μὲν οὖν ποτε καὶ ἐκ τοῦ Υἱοῦ προϊέναι· ἀλλὰ κυρίως ἐκ τοῦ Πατρὸς προϊέναι πιστεύεται, ὅτι ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι λέγεται, τουτέστιν ἐξ αὐτοῦ ὑφίστασθαι καὶ τὸ εἶναι λαμβάνειν· ταύτῃ γὰρ τῇ λέξει ἀφωρισμένως τὴν τοῦ Πνεύματος ὕπαρξιν ἐτάχθη κατασημαίνεσθαι, κατὰ τὴν ἐν Εὐαγγελίοις παράδοσιν. Λέγεται δὲ καὶ ἐκ τοῦ Υἱοῦ προϊέναι, καὶ ἐξ ἀμφοῖν ἐκ Πατρὸς δι' Υἱοῦ, ὥσπερ καὶ πέμπεσθαι καὶ χορηγεῖσθαι, καὶ δίδοσθαι, καὶ πνεῖσθαι, καὶ ἐκχεῖσθαι, ἀλλ' εἰς ὑπόστασιν καὶ μόρφωσιν κτίσεως, οὐκ εἰς τὴν ἰδίαν ὑπόστασιν, ἄλλο τούτου, καὶ ἄλλο ἐκείνου βουλομένου τοῦ λόγου. Καὶ ἑαυτὸ γὰρ δίδωσιν ἐν τῇ δι' ἐκείνων τῶν ῥημάτων νοουμένῃ προόδῳ τε καὶ ἐκφάνσει τὸ Πνεῦμα τὸ ἅγιον, καὶ πνεῖ ἑαυτὸ καὶ πέμπει καὶ χορηγεῖ, ἐν δὲ τῇ ἀϊδίῳ προόδῳ οὐ πρόεισιν ἐξ ἑαυτοῦ, εἴ γε μηδὲ ὑφίστησιν ἑαυτό. Καὶ ἐν μὲν τῇ ἀϊδίῳ λαμβάνει, ἐν δὲ τῇ χρονικῇ δίδωσι· καὶ ἐκ ἐκείνῃ μὲν ἀπολελυμένως, ἐν ταύτῃ δὲ δι' αἰτίαν· καὶ ἐκεῖ μὲν εἰς ἑαυτὸ, ἐνταῦθα δὲ εἰς ἡμᾶς τε καὶ ἐν ἡμῖν. Οὐκοῦν διὰ ταῦτα τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς πρόεισιν ἀϊδίως, τουτέστιν ὑφίσταται· δι' ἀμφοῖν δὲ καὶ ἐξ ἀμφοῖν πρόεισι χρονικῶς, τουτέστι πρυχείται, καὶ χορηγεῖται, καὶ δίδοται, καὶ μετέχεται· οὐκ αὐτοῦ μόνου μετεχομένου, ἀλλὰ δι' αὐτοῦ τῇ πνευματικῇ χάριτι, σὺν αὐτῷ δηλαδὴ καὶ τοῦ Υἱοῦ καὶ τοῦ Πατρὸς μετεχομένων, ὡς ἐγχωρεῖ ἀνθρωπίνῃ φύσει, τουτέστιν εἰς τὴν ἐφικτὴν κοινωνίαν τῆς ὅλης θεότητος, τῇ κοινῇ αὐτῆς χάριτι τῇ ἀναληπτικῇ καὶ φωτιστικῇ ἡμῶν ἀναφερομένων.

ΚΕΦΑΛ. Γ'.

Ὅτι τὸ πεμπτέναι δι' Υἱοῦ λέγεσθαι οὐ τὸ ὑφίστασθαι δι' αὐτοῦ αἰτιατικῶς βούλεται.

Ἐκπορευόμενον τοίνυν, τουτέστιν ὑφιστάμενον,

ἐκ Πατρὸς, ὅμως πεφηνέναι λέγεται καὶ πέφηνε δι' Υἱοῦ, διχῶς ὑφ' ἡμῶν νοουμένου τοῦ πεφηνέναι, καὶ ὑπὸ τῶν εἰπόντων. Πρῶτον μὲν καὶ μάλιστα ὅτι γνωρίζεται δι' Υἱοῦ, τουτέστιν τοῦ Υἱοῦ γνωρισθέντος αὐτὸ γνωρίζεται· ἡ γὰρ ἰδιότης τοῦ θείου προσώπου, ἣν ἐμφαίνει τὸ ὄνομα αὐτοῦ, διακρίνει ἀπ' ἄλλου θείου προσώπου· καὶ διακρίνουσα φανερὸ τε αὐτὸ, καὶ τὸ οὗ διακρίνεται συμφανερὸ τῇ ἑαυτῆς ἐνεργείᾳ, ὥσπερ τινὶ φωτὶ πρὸς τὴν ἐξ ἀποκαλύψεως ἡμῖν ἐγγινομένην τῶν θείων ὑποστάσεων κατανόησιν, τὸ φυσικὸν τῆς ἡμῶν διανοίας σκότος ἐλλάμπουσά τε καὶ ὁδηγοῦσα. Καὶ διὰ τοῦτο ἡ τοῦ Υἱοῦ ὑπόστασις, ἐκ τῆς τοῦ προσεχῶς ὀνομάζεσθαι τῷ Πατρὶ ἰδιότητος ἐπιγνωσθεῖσα, ἐναργέστερον παρίστησιν ἡμῖν τὴν τοῦ Πνεύματος ἰδιότητα, ᾗ τοῦ μονογενοῦς Υἱοῦ διακέκριται· ὡς οἷόν τῆς τοῦ Υἱοῦ προεπινοίας τε καὶ προεκφορᾶς ἐν τῷ λόγῳ φανερώτερον ἡμῖν ἀποδιδούσης τὸν περὶ τοῦ Πνεύματος λόγον, κατ' αὐτὸ γοῦν τὸ γινώσκεσθαι ἡμῖν καὶ πιστεύεσθαι ἄλλον τινὰ τρόπον, καὶ οὐ γεννητῶς προϊέναι τοῦτο ἐκ τοῦ Πατρὸς ἀῤῥήτως καὶ ἀνενοήτως, καὶ οὕτω τοῦ τρόπου τῆς αὐτοῦ προόδου φυλαττομένου· ὡς τοίνυν διὰ ταῦτα τοῦ Πνεύματος ἡμῖν μετὰ τὸν Υἱὸν μᾶλλον γνωριζομένου τε καὶ καταλαμβανομένου, δι' οὗ πεφηνέναι τὸ Πνεῦμα καλῶς λέγεται. Ἄλλως δὲ σὺν τῷ Υἱῷ τε ἔστι καὶ σὺν αὐτῷ πρόεισιν ἐκ Πατρὸς, ὥσπερ ὁ Υἱὸς γεννᾶται ἐκ τοῦ Πατρὸς, οὕτως αὐτὸ ἐκ τοῦ Πατρὸς προβαλλόμενον.

ΚΕΦΑΛ. Δ'.

Ὅτι ἡ τοῦ Υἱοῦ μεσιτεία οὐκ ἀναγκάζει καὶ τὸν Υἱὸν ἀρχὴν καὶ προβολέα ἢ προβάλλοντα εἶναι πρὸς τὸ Πνεῦμα τὸ ἅγιον.

Ἡ δὲ τοῦ Υἱοῦ μεσιτεία, οὕτω γὰρ αὐτὸν ὁμολογοῦμεν ἐν τῷ θείῳ λουτρῷ, καὶ εἰς τὴν τοιαύτην τῶν θείων ὀνομάτων βεβαπτίσμεθα σύνταξιν, αὐτὸν μὲν μονογενῆ δείκνυσι, τὸ δὲ Πνεῦμα τῆς φυσικῆς πρὸς τὸν Πατέρα σχέσεως, τουτέστι τῆς ἀμέσου πρὸς τὴν αἰτίαν ἀναφορᾶς οὐκ ἀπείργει. Οὐ γὰρ εἴρηται, οὔτε δύναται λέγεσθαι ἐκ τοῦ Υἱοῦ προσεχῶς ὑφιστάναι τὸ Πνεῦμα, ὥσπερ οἱ αἱρετικοὶ νομίζοντες εἴργεσθαι, τρίτον ἰφλυάρουν εἶναι τῇ φύσει καὶ τῇ ἀξίᾳ, καὶ ἐκ τοῦ Υἱοῦ προῆχθαι καὶ δημιουργικῶς τὴ κατὰ μόνην τῶν ὀνομάτων τὴν σύνταξιν τρίτον παρ' ἡμῖν ἐκφερόμενον, καὶ κατὰ τὴν τῶν ὀνομάτων ἀκολουθίαν ἕνεκά γε τοῦ μὴ συγχεῖσθαι τὰς ἰδιότητας, τρίτον εἶναι, καὶ τῶν βαθμῶν τῆς φύσεως, ἢ τῆς ἀξίας πιστεύσαντες, ὥσπερ μέσῳ τινὶ τῷ Υἱῷ διειργόμενον, καὶ διὰ τοῦτο προσεχῶς ὂν ἐξ αὐτοῦ· ἢ κατ' ἐνίους, καὶ ἐξ αὐτοῦ μόνου, τῆς προακτικῆς ἢ ποιητικῆς δυνάμεως ᾗ ἂν προαχθείη τὸ Πνεῦμα εἰς τὸν Υἱὸν κενωθείσης ἁπάσης καὶ ἀναλωθείσης ἐκ τοῦ Πατρός. Οὕτω γὰρ ἰφλυάρουν παχέως τὴν τοῦ Υἱοῦ μεσιτείαν, καὶ τὴν τοῦ Πνεύματος τρίτην κατ' ὁμοσίαν, οὐχ ἧττον ἢ κακούργως νοήσαντες, ὡς ἐπὶ τῶν ἀπό τινος τρίτων κατατεταγμένων τῷ ἢ διαστήματι χρόνου, ἢ διαστήματι τόπου, ἢ διαδοχῇ τῆς γεννήσεως, ἢ δραστηριότητι δυνάμεως, ἢ ἀξιώματος μεγαλείῳ, ἢ τοιούτῳ τινὶ ἐν σφίσιν ἄλλο τι μεσιτεύειν. Οὐ γὰρ συνεῖδον ἃ συνιδεῖν ἐχρῆν τοὺς μέλλοντας διαφυλάττειν τὰ τῆς πίστεως ἀκίνητα δόγματα. Ὁ γὰρ Υἱὸς τοῦ Θεοῦ καὶ τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ, ὥσπερ ἀκτίς τις ἐξ ἡλίου δίδυμος, ἢ δίῤῥυτος ποταμὸς ἐκ μιᾶς πηγῆς, ἢ βλαστοὶ θεόφυτοι ἐκ ῥίζης μιᾶς, ἢ δύο ἄνθη καὶ εἴ τι συμβάλλοιτ' ἂν πρὸς τὸ δεῖξαι τὸ Πνεῦμα καὶ τὸν Υἱὸν συναίσχοντα καὶ τῇ ἀποβλέψει τῆς κοινῆς αἰτίας ἐξ ἧς συναίσχουσι τὰ δεύτερα, φέροντα ὡς αἰτιατὰ μόνον, οὐ κατ' ἄλλο τι τῶν πάντων οὐδὲν, οὕτως ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς προϊέναι νοοῦντας. Ἀλλ' οὔθ' ὑπουργεῖ ἡμῖν ἡ νόησις καὶ ὁ λόγος, μεταβατικῶς ἀμφότερα ἐνεργοῦντα σύναμα ἐκεῖνα νοεῖν τε καὶ λέγειν, οὐδὲ ἐν αὐτῷ τὸ νοεῖν καὶ λέγειν ὅτι σύναμα δυνάμεθα μὴ καὶ θάτερον θατέρου προνοεῖν τε καὶ προεκφέρειν, δυοῖν ὄντων κατὰ τὰς ὑποστάσεις· οὔτ' ἐγχωρεῖ τὸ Πνεῦμα προτετάχθαι τοῦ Υἱοῦ ἐν τῇ τῆς ἀριθμήσεως τῶν θείων προσώπων εἰρμῷ. Ἐνοεῖτο γὰρ ἂν εἶναι Πατὴρ, καὶ ὁ Υἱὸς οὐκ ἂν μονογενὴς ἐπιστεύετο, τουτέστιν ἐκ μόνου τε καὶ μόνος γεγεννημένος, καὶ ἡ οὕτω καινοτομηθεῖσα ἂν μεσιτεία τοῦ Πνεύματος εἰς μείζονα ἂν ἀπεπλάνησεν ἀτοπίαν, εἴγε ἡ ἀληθὴς τοῦ Θεοῦ μεσιτεία πρόσκομμα τοῖς μὴ καλῶς νοοῦσιν ἐγένετό τε, καὶ νῦν ἔτι τρόπον ἕτερον γίνεται. Κἀντεῦθέν ἐστι τὸ μήτε λέγεσθαι τὸν Υἱὸν τοῦ Πνεύματος, ὡς τὸ Πνεῦμα λέγεται τοῦ Υἱοῦ, μήτε τὸν Υἱὸν διὰ τοῦ Πνεύματος προϊέναι λέγεσθαι, οὔτε ἀδίως, καίτοι γε ἐν ἀλλήλοις εἰσίν· ὥστ' οὐκ ἂν ἐκώλυε καὶ δι' ἀλλήλων λέγειν ταῦτα, ἐφόσον υἱότητι μόνον αὐτοῦ διακρίνονται καὶ γεννήσει, αὐτοῦ γε ὄντος ἐκπορευτοῦ καὶ Πνεύματος, ἀλλ' οὗτοι γε τῷ αἰτίῳ καὶ θεογόνῳ, οὔτε χρονικῶς, καίτοι ἐπέμφθη ὁ Υἱὸς τοῦ Θεοῦ παρὰ τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος· ὥστε καὶ ἐκ Πατρὸς διὰ Πνεύματος εἶπεν ἄν τις αὐτὸν πεμφθῆναι οἰκείως. Ἀλλὰ διὰ τὰ εἰρημένα καὶ φυγῇ τῶν ἐντεῦθεν ἂν ἀκολουθησάντων ἀτόπων οὐ λέγεται, ἀλλὰ τῷ τὸν Υἱὸν προθεωρεῖσθαι καὶ προεκφέρεσθαί γε τοῦ Πνεύματος, αἵ τε ἰδιότητες καὶ πάνθ' ὁμοῦ σώζονται τὰ τῆς πίστεως ἀκίνητα δόγματα. Προθεωρεῖται γὰρ τοῦ Πνεύματος ὁ Υἱὸς οὐ τῇ ὁδῷ τοῦ λόγου τῆς φύσεως, ἀλλὰ τῇ ὁδῷ τοῦ τῆς αἰτίας λόγου, ὃς τὰς θείας ὑποστάσεις διέκρινεν ἐν τῇ αὐτῇ τῆς οὐσίας ἑνότητι.

Λέγω δὲ ὁδὸν τοῦ τῆς αἰτίας λόγου τό τε ἀναιτίως εἶναι καὶ τὸ αἰτιατῶς, καὶ τὸ ὡδί πως αἰτιατῶς, καὶ ὅσα τῆς τοῦ αἰτίου παρωνυμίας εἰσί. Ταῦτα γὰρ πάντα τοῦ λόγου τῆς φύσεως ἀποδιῄρηται. Οὔτε ὡς αἴτιος, ἀλλὰ μᾶλλον ὡς ὡδί πως αἰτιατὸς, ὡς Υἱὸς δηλαδὴ, διότι ἡ τοῦ Υἱοῦ προσηγορία καὶ τοῦ Πατρὸς οὐδὲν προσίεται μέσον διὰ τὰ εἰρημένα. Ὁ δὲ Πατὴρ τοῦ Υἱοῦ προεπινοεῖται τῷ τῆς αἰτίας λόγῳ ὡς αἴτιος, ὅτι ἐξ αὐτοῦ τὸ εἶναι ὁ Υἱὸς ἔχει. Ὅσαὐτως δὲ καὶ τοῦ Πνεύματος, τῷ αἴτιος αὐτοῦ εἶναι ὁ Πατὴρ ὡς προβάλλων προτεθεώρηται. Ἀλλ' ὅ γε Υἱὸς προεπινοεῖται τοῦ Πνεύματος τῷ τὸ Πνεῦμα οὐ γεννητῶς ὡς αὐτὸς ἐκ τοῦ Πατρὸς αἰτιατὸν εἶναι καὶ ὑφεστάναι, ἀλλ' ἕτερόν τινα τρόπον, ὃ σημαίνοιτ' ἂν τῷ μὴ μετὰ τὸν Πατέρα ὁμολογεῖσθαι εὐ-

θὺς παρ' ἡμῶν, καὶ ταύτῃ τὰς Εὐνομίου κατὰ τῆς ἐν A
τῇ Τριάδι ἑνότητος ἀντιθέσεις διακρινούμεθα. Ὃς
τὴν κατὰ τὸν τῆς αἰτίας λόγον καὶ τρόπον πιστευο-
μένην Τριάδα ἐν ἑνότητι φύσεως εἰς τὴν ἐν τῇ φύσει
διαφορὰν φέρων ἐτίθει, καὶ τὰς κατὰ τὸν τῆς αἰ-
τίας λόγον καὶ τρόπον προθεωρίας τε καὶ προαιρε-
μήσεις, διὰ τὸ τῶν ὑποστάσεων ἀσύγχυτον γινομέ-
νας εἰς ὑπερθέσεις καὶ ὑφέσεις ἀξιωμάτων καὶ φύ-
σεων ἀμαθῶς τε καὶ κακούργως ἐλάμβανε· καὶ
κλίμακα φύσεων συνίστη ὡς ἀξιωμάτων ἕτεροι· καὶ
ἄλλοι αὖ πρόδρομα μηχανᾶ τισι τὸ ἀπῤῥον ἐπιχρων-
νύντες τοῦ δόγματος.

Καὶ ἕτερον δέ τινα τρόπον πεφηνέναι τὸ Πνεῦμα
τὸ ἅγιον, δι' οὗ φαμεν καὶ νοοῦμεν τοὺς λέγοντας,
ὅτι δι' Υἱοῦ τοῖς ἀνθρώποις ἐφανερώθη, τὴν ἐνέρ-
γειαν αὐτοῦ καὶ τὴν χάριν τοῖς ἀποστόλοις πρότε- B
ρον μὲν διὰ τοῦ ἐμφυσήματος, εἶτα καὶ ἐν τῷ τῶν
πυρίνων γλωσσῶν εἴδει τελεώτερον καὶ πληρέστερον
δεδωκότος, καὶ πεπομφότος, συνεχέοντός τε καὶ
συνδιανέμοντος τὴν τοιαύτην χάριν τοῦ Θεοῦ καὶ
Πατρὸς, καὶ αὐτοῦ δὴ τοῦ Πνεύματος, καὶ τὴν τῆς
χάριτος ἔχυσιν, καὶ τὴν δι' αὐτῆς μέθεξιν τῆς
θεότητος τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύ-
ματος ἐνεργούντων κοινῇ, καὶ ὡς ἑνὸς Θεοῦ ἐνερ-
γοῦντος. Καὶ οὕτω γοῦν δι' Υἱοῦ πεφηνέναι λέγεται
καὶ ἐκλάμπειν, ὡς διὰ τοῦ Υἱοῦ φανερούμενον, καὶ
τῇ κτίσει μεταδιδόμενον.

ΚΕΦΑΛ. Ε'.

Ὅτι ἐν τῷ δι' Υἱοῦ ἐκ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι λέγεσθαι, εἰ καὶ σπανίως εἴρηται, ἀλλ' ἡ . της τῆς οὐσίας καὶ ἡ συνάφεια, οὐχ ἡ σχέσις τῆς αἰτίας τῇ διὰ προθέσει σημαίνονται, ὡς οἱ Λατῖνοι βούλονται, καὶ ἐκ τοῦ Υἱοῦ λέγοντες ἐκπορεύεσθαι, καὶ τἆλλα τὰ ἐν τῷ Φλωρεντιακῷ ὅρῳ. C

Ἀλλ' ἐπειδὴ καὶ ἐκ τοῦ Πατρὸς δι' Υἱοῦ ἐκπο-
ρεύεσθαι, εἰ καὶ σπανίως εἴρηται, οὕτω καὶ τοῦτο
νοεῖν εὐσεβῶς ἀναγκαζόμεθα διὰ τὴν πρὸς τοὺς εἰ-
πόντας εὐλάβειαν, εἰ καὶ μὴ ποιούμεθα τοῦτο κή-
ρυγμα, οὔτε γίνεσθαι δεῖ, ἀλλ' ὡς δόγμα μόνον
εὐσεβῶς νοεῖσθαι, οὕτω δεῖ καὶ ὑπὸ τῶν εἰπόντων
εἰρημένον. Καὶ ἐπειδὴ τὸ ἐκπορεύεσθαι, τὸ λαμ-
βάνειν, τὸ εἶναι, καὶ τὸ εἶναι καὶ τὸ προάγεσθαι εἰς
ἰδίαν ὑπόστασιν ἐτάχθησαν, ἀΐδιον μὲν ταύτῃ νοοῦ-
μεν ἐν τούτῳ τῷ λόγῳ, ἀλλ' οὐχ ὅτι καὶ ἐκ τοῦ
Υἱοῦ ὑφίσταται τὸ Πνεῦμα τὸ ἅγιον, ὥσπερ καὶ τὰ D
ὄντα λέγεται δι' Υἱοῦ γεγενῆσθαι, ὅτε μηδὲν δια-
φέρει, καὶ ἐκ τοῦ Υἱοῦ γεγενῆσθαι λέγειν αὐτά.
Εἰ γὰρ τοῦτ' ἀληθὲς ἦν, διὰ τοῦ Υἱοῦ ἐκπορεύ-
εσθαι, ἐλέγετ' ἂν ποτε ἁπλῶς οὕτωσὶν ὥσπερ καὶ
διὰ τοῦ Υἱοῦ γεγενῆσθαι τὰ ὄντα. Ἀλλ' οὔτ' ἔστιν
οὕτω διὰ τοῦ Υἱοῦ, οὔτε λέγεται, ἀλλ' ἀεὶ τοῦ πα-
τρικοῦ συνημμένου προσώπου τε καὶ ὀνόματος, ἐκ
τοῦ Πατρὸς δι' Υἱοῦ λέγεται ἐκπορεύεσθαι, εἰ καὶ
σπανίως· ἄλλως δὲ οὐδέποτε, ἵνα μὴ καὶ ἕν τι τῶν
ὅλων τὸ Πνεῦμα παρανοηθῇ τῶν δι' Υἱοῦ γεγονό-
των. Τούτων γὰρ μόνον ἀρχή ἐστιν ὁ Υἱὸς μία μετὰ
Πατρὸς καὶ Πνεύματος, καὶ πρώτη πρός γε αὐτὰ,
εἰ καὶ διὰ τὸ εἶναι ἐξαρχῆς αὐτὸς οὐ λέγεται πρώ-
τη, ἀλλ' οὐδὲ δευτέρα, οὔτε τὸ Πνεῦμα δεύτερον
αἴτιον ἢ τρίτον, μόνον δὲ ὁ Πατὴρ αἰτία λέγεται
πρώτη, τῷ καὶ τῆς θεότητος ἀρχὴν καὶ πηγὴν εἶναι
τῆς πάντων αἰτίας. Ὢ; γὰρ ἔστι μετὰ τοῦ Υἱοῦ καὶ
Πνεύματος πάντων αἰτία ὡς Θεὸς, οὕτως ἐστὶν
Υἱοῦ τε καὶ Πνεύματος μόνος αἴτιος τῇ πατρότητι,
εἴτουν τῇ γονιμότητι.

Λέγωμεν δὴ ἐν αὐτῷ, τῷ ἐκ Πατρὸς ὑφεστάναι
τὸ Πνεῦμα τὸ ἅγιον διὰ τοῦ Υἱοῦ προϊέναι· τοῦτο
δέ ἐστι τὸ ἐκ Πατρὸς δι' Υἱοῦ ἐκπορεύεσθαι διὰ
τὴν τῆς οὐσίας ἑνότητα ἄκραν, ὡς οὐκ ἐκτὸς ἂν τοῦ
Υἱοῦ, ἀλλ' ἐν αὐτῷ προϊὸν ἐκ τοῦ Πατρὸς, τουτ-
έστιν, ἐν αὐτῷ παρὰ Πατρὸς ὑπάρχον, καὶ ἐν αὐτῷ
διαμένον, καὶ ἐν Υἱῷ παρὰ Πατρὸς διῆκον, καὶ
διὰ τοῦ Υἱοῦ διιὸν, θεοπρεπῶς τοῦ τε διήκειν καὶ
διιέναι νοουμένου, ἐπεὶ μὴ ἄλλως ἔστιν ἐμφῆναι
τὴν ἄκραν κοινωνίαν τῆς φύσεως· καὶ ὡς ἄν τις
εἴποι διαπεφοιτηκὸς τῆς τοῦ Υἱοῦ ὑποστάσεως;
ἀσυγχύτως. Εἰ μὲν γὰρ αἴτιος ἦν τοῦ Πνεύματος
ὁ Υἱὸς τοῦ Θεοῦ, τοῦτ' ἂν ἐξήρκει δηλῶσαι τὴν
κοινωνίαν τῆς φύσεως, τὸ ἐξ αὐτοῦ δηλονότι φυ-
σικῶς ὑποστῆναι, καθάπερ ἄρα καὶ τὴν ἑνότητα
Πατρὸς καὶ Υἱοῦ, τὸ ἐξ αὐτοῦ τὸν Υἱὸν γεγεννῆσθαι
δείκνυσι, καὶ τοῦ Πνεύματος τὴν φυσικὴν πρὸς τὸν
Πατέρα ἑνότητα, τὸ παρ' αὐτοῦ τοῦτ' ἐκπορεύεσθαι.
Ἐπεὶ δὲ τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ οὐ λέγεται ἐκπο-
ρεύεσθαι δηλονότι καὶ ὑφεστάναι, ἄλλω γάρ, ὡς
εἴρηται, λέγεται προϊέναι, οὔτε γὰρ ἐκ τοῦ Υἱοῦ
ἐκπορεύεσθαι, οὔτε ἐκ τοῦ Υἱοῦ ὑφεστάναι, οὔτε
ἐκ τοῦ Υἱοῦ τὴν αἰτίαν τῆς ὑποστάσεως ἔχειν,
οὔτε προβολὴ; αὐτοῦ ὁ Υἱὸς εἶναι, οὔτ' ἀρχὴ αὐ-
τοῦ, οὔτε αἴτιος, οὔτε ἐκπόρευμα αὐτοῦ εἶναι τὸ
Πνεῦμα, οὔτε πρόβλημα αὐτοῦ, οὔτε τι τῶν τοιού-
των οὐδὲν, ἃ πάντα μεταξὺ τοῦ Πατρὸς καὶ τοῦ
Πνεύματος εἴωθε λέγεσθαι· ἐπεὶ τοίνυν οὐδὲν
τῶν τοιούτων οὔθ' ἡ Γραφὴ, οὔτε τῶν διδασκά-
λων εἴρηκέ τις τῶν ἀρχαιοτάτων, οἱ νεώτεροι τῶν
διδασκάλων ἐν τῷ δι' Υἱοῦ τὸ Πνεῦμα λέγειν ἐκπο-
ρευόμενον ἐκ Πατρὸς, τὸ συναφὲς τῆς οὐσίας καὶ
ἀπαράλλακτον παριστάνουσι, καὶ ἡμεῖς ταῖς αὐτῶν
ἑπόμενοι διανοίαις, οὕτω τὸ παρ' αὐτῶν εἰρημένον
λέγομεν καὶ νοοῦμεν. Νοοῦντες γὰρ ὡς τὸν Υἱὸν
ἐκ τοῦ Πατρὸς γεγεννημένον, οὕτω καὶ τὸ Πνεῦμα
ἐκπορευόμενον, ἅμα καὶ τῇ αὐτῇ τάξει πρὸς
τὴν αὐτῶν ἀρχὴν καὶ ἑκατέραν τῇ ἰδίᾳ αἰτίᾳ
ἐφηρμοσμένων οὕτως εἰπεῖν, ὁμως οὐ διηρτημένον
τοῦ Υἱοῦ τοῦτο νοοῦμεν κατὰ τὴν ὁμοιότητα τῶν
παραδειγμάτων ἐκείνων ἃ καὶ προείρηται, ἐν οἷς τὰ
προϊόντα τῇ ἀρχῇ ἥνωνται μᾶλλον ἢ ἑαυτοῖς. Ἀλλή-
λοις δὲ οὐχ ἥνωνται, εἰ μὴ ἐν τῇ ἀρχῇ· δύο γὰρ
κλάδοι οὐχ ἥνωνται ἀλλήλοις, εἰ μὴ ἐν τῷ στελέχει·
οὐδὲ δύο ἀκτῖνες, εἰ μὴ ἐν τῷ ἡλίῳ, καὶ ἐπὶ τῶν
ἄλλων ὡσαύτως. Ὡς ἂν τοίνυν μὴ ἀπηρτημένον
οὕτω τοῦ Υἱοῦ τὸ Πνεῦμα νοοῖτο, πρὸς μὲν τὸ ἐκ
Πατρὸς ἅμφω προελθεῖν συμφυῶς τε καὶ κατὰ τὸ
πρόσεχὲς τῶν παραδειγμάτων ἐκείνων ἀρκούντων,
τῷ δὲ καὶ τὰ προϊόντα ἀλλήλοις δι' ὅλων ἑαυτῶν
συμπεφυκέναι οὐκ ἐξαρκούντων ἐκ τοῦ Πατρὸς αὐτὸ
λέγοντες ἐκπορεύεσθαι, δι' Υἱοῦ προστεθείκασιν οἱ
εἰπόντες, καὶ ἡμεῖς οὕτω φρονοῦμεν, ὡ; ἐν αὐτῷ

δηλονότι τῷ Υἱῷ τὸ εἶναι λαμβάνον ἐκ τοῦ Πατρὸς, A
ὡ σὺν αὐτῷ μόνον, καὶ πρὸς τὴν ἰδίαν ὑπόστασιν
τῇ δυνάμει τῆς προαγούσης αἰτίας, τουτέστι τοῦ
παρ' οὗ ἔστιν, οὐ τοῦ ἐν ᾧ ἔστιν ὑπὲρ φύσεως ὁρι-
ζόμενον. Διόπερ οὐδὲ λαμβάνει τὸ Πνεῦμα παρὰ τοῦ
Υἱοῦ τὸ εἶναι, ταὐτὸν δ' εἰπεῖν διὰ τοῦ Υἱοῦ, οὐδὲ
προεπινοεῖται αὐτοῦ ὡς αἴτιος ὁ Υἱὸς μετὰ τοῦ Πα-
τρὸς, ὧν ἀμφοῖν ὁμοίως ὁ Πατὴρ ὡς ἀρχὴ προεπι-
νοεῖται. Οὔτε γὰρ εἶπέ τις τῶν μακαρίων, οὔτ'
ἀληθὲς εἶναι δύναται, εἴτε ὡς εἷς Θεὸς, προάγοιεν,
εἴτε ὡς ὑποστάσεις δύο, εἴτε δυνάμει μιᾷ, εἴτε καὶ
ὁπωσοῦν. Πανταχόθεν γὰρ ἡ μοναρχία κακῶς οὕτω
τιμᾶται, ἢ συναιρουμένη, ἢ περικοπτομένη θεότη-
τος, ἵνα παρκδήσω τὸ τοῦ μεγάλου Γρηγορίου
μικρόν. Εἰ γάρ τις ἦν ἡ μηχανὴ ταύτην σώζεσθαι,
καὶ πάντες δὴ τἀληθῆ πρός τε τὸν λόγον καὶ πρὸς
τοὺς τῆς Ἐκκλησίας λαοὺς, οἷς οὐ δεῖ τὰ ἀμφί-
κρημνα κυρύττεσθαι δόγματα, οὐκ ἂν ὥσπερ ἄλλου
τινὸς δεινοῦ καὶ τούτου τοῦ δόγματος οἱ μακάριοι
ἀπεπήδων, ἀλλὰ λαμβάνει μᾶλλον τὸ εἶναι καὶ
πάντα τὸ Πνεῦμα παρὰ τοῦ Πατρός. Διότι δὲ ἐν τῷ
ἐκ Πατρὸς τὸ εἶναι λαμβάνειν πρόεισι δι' Υἱοῦ, ὡς
τὸ αὐτὸ ἀριθμῷ μετὰ τοῦ εἶναι λαμβάνον, καὶ συμ-
πεφυκὸς καθάπαξ νοούμενον, πλὴν τῆς προσωπικῆς
διακρίσεως, καὶ οὐχ ὡς διὰ σκεύους ἢ τινα τρόπον
σωματικὸν, ἀλλὰ θεοπρεπῶς ὡς οἷόν τε τὸν ἡμέτερον
νοῦν, ἄθλον ἐκείνην τὴν δίοδον καὶ συνάφειαν φαν-
τασθῆναι, καὶ ἄνευ χρονικοῦ τινος διαστήματος, διὰ
τοῦτο λαμβάνειν λέγεται ἐκ τῶν τοῦ Υἱοῦ τὰ τοῦ
Υἱοῦ δηλονότι, ἀλλὰ παρὰ Πατρός· παρ' αὐτοῦ δὲ C
τοῦ Υἱοῦ οὐδὲν αἰτιατικῶς, ἀλλ' ἢ μόνον ἐκ τοῦ
Θεοῦ καὶ Πατρὸς, ὅθεν καὶ ὁ Υἱὸς λαμβάνει τὸ εἶναι
ὑπόστασις θεία, καὶ πάνθ' ὅσα ἔχει.

Καὶ ὡς ἔοικεν, ὃ φασιν οὐκ ὀλίγοι διδάσκαλοι
ἀξιωματικοὶ, τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς μὲν
ἐκπορεύεσθαι, μένειν δὲ ἐν τῷ Υἱῷ, ἢ διαμένειν, ἢ
ἀναπαύεσθαι, ἢ ἐμφιλοχωρεῖν, ἢ συμπαρομαρτεῖν,
τοῦθ' ἑτέροις καὶ τοῖς αὐτοῖς ἄλλοθι βούλεται, τὸ ἐκ
Πατρὸς δι' Υἱοῦ ἐκπορεύεσθαι, τῷ συνεπτυγμένῳ
καὶ ἐξηπλωμένῳ διαφέροντα μόνον· ὥσπερ καὶ τῆς
τοῦ Πνεύματος δόσεως, ἢ ἀποστολῆς, ποτὲ μὲν λέ-
γουσιν, ὅτι ἐκ Πατρὸς πρόεισι καὶ ἔρχεται δι' Υἱοῦ,
ποτὲ δέ φασιν, ὅτι ἐκ Πατρὸς δι' Υἱοῦ ἔρχεται ἢ χο-
ρηγεῖται, μᾶλλον δὲ συνεσπαρμένως τῷ λόγῳ χρώ- D
μενοι. Συνῆπται τοίνυν τὸ Πνεῦμα τὸ ἅγιον τῷ Υἱῷ
τῇ τῆς ὁμοουσιότητος λόγῳ, ἀλλ' οὐ τῷ τῆς αἰτίας.
Καὶ ταύτην τὴν συνάφειαν, καὶ τὴν ἀπαραλλαξίαν
ἐν ἀριθμοῦ ταυτότητι τῆς κατὰ φύσιν ἑνότητος
νοουμένης, τὸ *δι' αὐτοῦ* σημαίνουσιν ἔνιοι παρεντι-
θέντες, τῷ ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι, ὡς εἴρηται.
Συνῆπται δὲ τῷ Πατρὶ καὶ τῷ τῆς αἰτίας λόγῳ, διὸ
καὶ ἐκπορεύεσθαι ἐκ τοῦ Πατρὸς εἴρηται καὶ πι-
στεύεται.

ΚΕΦΑΛ. Γ'.

Ὅπως Πνεῦμα Υἱοῦ λέγεται καὶ ἠρτῆσθαι τοῦ Υἱοῦ ὡς ὁμοούσιον, οὐχ ὡς ἐκ τοῦ Υἱοῦ τὴν ὕπαρξιν ἔχον, ἀλλὰ τοῦ Πατρὸς καὶ κατ' ἄμφω. Αὐτὸς γάρ ἐστι μόνος γεννήτωρ Υἱοῦ, καὶ Πνεύματος προβολεύς.

Εἰ γὰρ καὶ ὡς ἠρτημένον τοῦ Υἱοῦ νοεῖται καὶ οὕτω προφέρεται, διὸ καὶ Υἱοῦ Πνεῦμα λέγεται, ἀλλ' ἑτερόν τινα τρόπον ἤρτηται τοῦ Υἱοῦ, καὶ ἕτε-
ρον τοῦ Πατρὸς, τοῦ μὲν Υἱοῦ, ὡς αὐτῷ γε συγκα-
ταλαμβανόμενον, καὶ δι' αὐτοῦ καὶ μετ' αὐτὸν γνω-
ριζόμενον, ὡς καὶ πρότερον εἴρηται, τοῦ δὲ Πατρὸς
ὡς τῆς πατρικῆς αἰτίας ἐξημμένον ἔχον τὸ εἶναι
ἠρτῆσθαι γὰρ λέγεται ὧν τε θάτερον διὰ θατέρου
γινώσκεται διά τινα σφίσιν ἐνυπάρχουσαν ὁμοιότητα,
καὶ ὧν θάτερον ἐκ θατέρου πρὸς τοῦτο ἐστίν. Ἀδελ-
φὸς μὲν γὰρ ἀδελφοῦ ὡς ἴσον ἴσῳ ἀλλήλων ἤρτηνται,
ὅτι δι' ἀλλήλων γινώσκονται, τοῦθ' ὃ τοῖς ἀναφορι-
κοῖς πρόσεστι· Πατὴρ δὲ καὶ Υἱὸς ἐν ἀνθρώποις
οὐ ταύτῃ μόνον ἀλλήλων ἤρτηνται, ἀλλ' ὅτι καὶ
θάτερον θατέρῳ τοῦ εἶναι αἴτιόν ἐστιν. Οἷς πᾶσι
συνᾴδει καὶ τὸ τὸν θεῖον Ἀπόστολον Πνεῦμα μὲν B
Θεοῦ τοῦτ' εἰπεῖν, καὶ ἐκ Θεοῦ, Υἱοῦ δὲ καὶ Πνεῦμα
καὶ Χριστοῦ μόνον τῷ καθηγεμόνι τῆς ἱερᾶς ἡμῶν
ἀληθείας ἑπόμενον, ἑαυτοῦ μὲν εἰρηκότι εἶναι τὸ
Πνεῦμα τῆς ἀληθείας, ἐκ δὲ τοῦ Πατρὸς ἐκπορεύ-
σθαι· καὶ μετὰ τὸν Παῦλον δὲ τοὺς ἀγομένους ἐκείνου
τῷ Πνεύματι οὕτω τὰς ἀναφορὰς διελέσθαι, Υἱοῦ
μὲν Πνεῦμα φαμένους αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον, ὡς
ᾠκειωμένον κατὰ φύσιν, ὡς ἴδιον, ὡς οὐκ ἀλλότριον
κατὰ τὸν τῆς οὐσίας λόγον, ὡς ὁμοούσιον Υἱῷ καὶ
ὁμόθεον, καὶ τὸ σύμπαν εἰπεῖν, διὰ τὴν φυσικὴν
συγγένειαν τῆς θεότητος· Πνεῦμα δὲ τοῦ Πατρὸς,
ὡς ἐκ τοῦ Πατρὸς ὑφιστάμενόν τε καὶ τὸ εἶναι λαμ-
βάνον φυσικῶς, ᾧ δὴ καὶ ἡ τῆς οὐσίας ἑνότης συν-
έπεται. Διὰ τὴν τῆς οὐσίας τοίνυν ἑνότητα, ἐκ Πα-
τρὸς τὸ ἅγιον Πνεῦμα ὁμολογοῦντες, τὸ δι' Υἱοῦ
παρεινείρομεν τοῖς οὕτω εἰποῦσί τε καὶ φρονήσασι
διδασκάλοις ἑπόμενοι κατά τε λέξιν καὶ νοῦν, οὐ
μέντοι γε ὡς ἐκ τοῦ Υἱοῦ τὴν ὕπαρξιν ἔχον· μόνος
γὰρ αἴτιος ὁ Πατήρ. Ὁ δὲ Υἱὸς οὐκ ἔστιν αἰτία
τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως, ἀλλ' ἔχει
πάντα τὰ τῆς πατρότητος πλὴν τῆς αἰτίας, τουτέστι
πλὴν τοῦ προάγειν θείαν ὑπόστασιν· ἀρχὴ γάρ
ἐστιν ἄλλως τῶν ὄντων ὡς αἴτιος καὶ δημιουργός.
Πῶς γὰρ ἂν ἔχοι τὴν αἰτίαν τῆς θεότητος, ὃς ὅλον
Υἱός ἐστι καὶ μόνον, καὶ γέννημα; Ὁ δὲ Πατὴρ
μόνον Πατήρ ἐστι, τουτέστι μόνος γεννήτωρ καὶ
προβολεύς· τούτῳ γὰρ ἁρμόζει μόνῳ ὅσα προσήκει
πηγῇ, αἰτίᾳ, γεννήτορι· διότι γνώρισμα τοῦτο τῆς
πατρικῆς ἐστιν ὑποστάσεως, ἡ τῶν συμφυῶν χαρ-
πῶν ἐν αὐτῷ προαγωγὴ διὰ τῆς ἐν αὐτῷ γονιμότη-
τος, οὐδενὸς τῶν νοῦν ἐχόντων παραττομένου. μή-
ποτε φαίνοιτο ἐν δέοντι κατὰ φύσιν τοῦ Πατρὸς ὁ
Υἱὸς, διὰ τὸ μὴ προσεῖναι τοῦτο τὸ γνώρισμα τῆς
τοῦ Πατρὸς ὑποστάσεως, καὶ τὴν ἰδιότητα μετὰ
πάντων δὴ τῶν θεοπρεπῶν.

Ἐξὴν ἂν καὶ παραδείγμασι πλείοσι παραστῆσαι
ὡς οἷόν τε τὸ ἐκ Πατρὸς δι' Υἱοῦ τὸ Πνεῦμα προϊέ-
ναι λέγεσθαι, πῶς ἂν νοοῖτο καὶ λέγοιτο· ἀλλ' ἀρκεῖ
τοῖς τῶν ἁγίων ὑποδείγμασι χρῆσθαι. Ὡς τοίνυν ἡ
Ἑλλαμψις τοῦ ἡλίου πρόεισι διὰ τῆς ἀκτῖνος, τουτ-
έστι σὺν αὐτῇ τε καὶ ἐν αὐτῇ, καὶ αὐτῆς δηλονότι
διαπεφοιτηκυῖα, διὸ δὴ καὶ εἰς ἡμᾶς συνδιήκει, καὶ
ὡς ἐκείνη συμπαρομαρτοῦσα δι' ἐκείνης ἡμῖν μετα-
δίδοται· ἢ ὡς ἐκ τοῦ ἡλίου τὸ φῶς διὰ τοῦ ἀπαυ-

γάσματος· οὕτω δὴ καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρός ἐστι δι' Υἱοῦ, καὶ ἔτι δι' Υἱοῦ ἐστιν ἐν Πατρί, τουτέστιν οὐ κεχωρισμένον τοῦ Υἱοῦ, οὐδ' αὐτὸς αὐτοῦ, ἀλλ' ἐν αὐτῷ γε οὐδὲν ἧττον ἢ σὺν αὐτῷ προῖὸν καὶ ὑφιστάμενον ἐκ Πατρός· ὅτι τὴν σύτὴν τῷ Υἱῷ φύσιν καὶ οὐσίαν ἐκ τοῦ Πατρὸς λαμβάνει τρόπον ἕτερον, καὶ οὕτως ἥνωταί τε αὐτῷ καὶ διακέκριται καθαρῶς τῆς κατὰ φύσιν ἑνότητος.

ΚΕΦΑΛ. Ζ'.

Ὀλίγα ἐκ πολλῶν εἰς δ, ἢ ἐξ ὧν τὸ Λατινικὸν ἔρχεται δόγμα, ἅπερ πάντα ἀπόβλητα.

Ταῦθ' οὕτω τοὺς εἰπόντας πειθούσης τιθέναι, οὐ γὰρ δὴ καὶ τοῦ ἐν τῷ Θεῷ καὶ Πατρὶ εἶναι τὸ Πνεῦμα τὸν Υἱὸν αἴτιον ἐροῦμεν διὰ τὸ εἰρῆσθαι, ἐν Πατρὶ δι' Υἱοῦ εἶναι αὐτό, ὡς τινες ἀμαθῶς τὴν πρόθεσιν ταύτην ἀντὶ τῆς ἐκ, καὶ τῆς αἰτίας μόνης βιάζονται πανταχοῦ, καθάπερ ἐν χρήμασιν οἱ πλουτοῦντες καὶ βίαιοι, κἀν τοῖς νόμοις οἱ σοφισταὶ πράττουσιν· οὕτω τοίνυν τὴν ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς ἀΐδιον πιστεύων τοῦ παναγίου Πνεύματος ἐκφανσιν, εἴτουν ὑπόστασιν, τὰ δ' ἄλλα τὴν ἑνότητα τῆς οὐσίας ἐν Υἱῷ καὶ Πνεύματι τάττων, εἴτε περὶ τῆς ἀϊδίου ὑπάρξεως, εἴτε περὶ τῆς πνευματικῆς νοοῖτο καὶ λέγοιτο χάριτος, ἀποβάλλομαι τὸ αἰτιατοαίτιον ἐν τῇ μακαρίᾳ Τριάδι, τὴν καινὴν ταύτην μίξιν ἐν ἑνὶ προσώπῳ· ἀπορρίπτω τὸ μίγιστον, καὶ τὸ μεῖζον, καὶ τὸ μέγα, ἐν τῇ Τριάδι, τὴν Ἀπολλιναρίειον κλίμακα· ἀποδοκιμάζω τὸ ἕνα ὑφεστῶτα Θεὸν εἶναι τὸν Πατέρα καὶ τὸν Υἱὸν, ἐξ οὗ τὸ Πνεῦμα προῆκται τὸ ἅγιον, καὶ τὴν ἐντεῦθεν ἑπομένην δυάδα ἐν τῇ θεότητι· οὐ στέργω τὸ ἐκ δύο προσώπων ὑφεστώτων, ᾗ τοιάδε εἰσὶ τὸ Πνεῦμα ὑφίστασθαι, καὶ πρὸς ἑκάτερον αὐτῶν ὡς αἰτίαν προάγουσαν ἀναφέρεσθαι, καὶ τὴν ἐντεῦθεν ἑπομένην δυαρχίαν· οὐ δέχομαι τὸ πρότερον νοεῖν τὸν Θεὸν, εἶτα θέλειν τὴν Πτολεμαίου καὶ Βαλεντίνου ἀδόκιμον συζυγίαν, τῷ προτετάχθαι κακῶς, καὶ ὑποτετάχθαι· οὐδὲ τὰς πρώτας καὶ δευτέρας ἐντελεχείας ἐν τῷ Θεῷ εἰς τὰ ἔνδον, καὶ σημεῖα ποικίλα νοήσεων, ἢ ὡς ἀνύπαρκτα καὶ ψόφους κενοὺς μηδὲν εἰσάγοντα δόγμα καὶ πρᾶγμα, ἢ εἴπερ ἔχοιεν συνεπομένην τῷ λόγῳ τὴν ἀλήθειαν καὶ τὴν ὕπαρξιν, οὐδὲν διαφέροντα τῶν ἐκτόπων ἐκείνων θέσεων, αἳ πόρρωθεν καλῶς ἐκ τῆς Ἐκκλησίας ἀπερράπισθησαν· ἀπαναίνομαι καὶ τὴν διάκρισιν τῶν ὑποστατικῶν εἰδῶν ἐν ταῖς θείαις ὑποστάσεσι, καὶ τῶν ὑποστάσεων αὐταῖς ἐπιθεωρουμένων ἢ ἑπομένων· οὐκ ἀρέσκομαι τῷ μὴ ἂν διαχριθῆναι τὸν Υἱὸν καὶ τὸ Πνεῦμα, εἰ μὴ θάτερον ἐκ θατέρου προῖοι· ἀποδοκιμάζω τὰς πρωτότητας, καὶ δευτερότητας, καὶ τριτότητας, καὶ ἀκρότητας, καὶ μεσότητας, τὰς συνιστώσας τὸν Υἱὸν τοῦ Θεοῦ τοῦ παναγίου Πνεύματος αἴτιον, καὶ τὰ τῶν ἀνευλαβῶς καὶ σκαιῶς αὐταῖς κεχρημένων· ἀνήκουστοι γὰρ αἱ τοιαῦται θέσεις καὶ ξέναι, καὶ πρὸς οὐδὲν ὑγιὲς φέρουσαι, ἀλλ' ἐπινοηθεῖσαι μόνον πρὸς κατασκευὴν δόγματος ἐκ προλήψεως ἐπαινουμένου τοῖς νῦν στέργουσι μᾶλλον ἢ κατὰ ἀκολουθίαν τοῦ ὑγιοῦς τῆς πίστεως λόγου· καὶ πείθουσαι μόνον τοὺς δι' ἁπλότητα, ἢ πονηρίαν, ἢ ἀπειρίαν αὐταῖς τιθεμένους, ἀντὶ τοῦ δεδοκιμασμένου καὶ παλαιοῦ καὶ πρώτου φρονήματος· μισῶ τὰς παρεξηγήσεις ἃς τινες τοῖς ῥητοῖς τῶν ἁγίων ἀποδιδόντες, ἅπερ ἐν τοῖς πρὸς τοὺς αἱρετικοὺς ἀγωνίσμασιν οἰκείως τῇ χρείᾳ τοῦ λόγου μεθοδεύοντες εἶπον, δόγμα ποιοῦνται ταύτας, καὶ πίστιν.

ΚΕΦΑΛ. Η'.

Ὅτι τὸ μὴ συνιδεῖν ἢ μὴ βούλεσθαι, ὅτι τὰ μὲν ἀγωνιστικῶς οἱ ἅγιοι λέγουσι καὶ οὐ βούλονται ταῦτα δόγματα εἶναι, τὰ δὲ διδασκαλικῶς, ἃ βούλονται δόγματα εἶναι, γέγονεν αἴτιον τοῖς ἀντιδόξοις διαβαλεῖν τοὺς ἁγίους καὶ ἀπεσχθῆναι.

Πείθομαι τῷ μεγάλῳ Βασιλείῳ, ἐν τῷ περὶ πίστεως λόγῳ, οὕτωσὶ περὶ ἑαυτοῦ καὶ ἀκολούθως τῶν ἄλλων ἁγίων διεξιόντι· « Ἕως μὲν οὖν, φησὶ, ἀγωνίζεσθαι πρὸς τὰς ἐπανισταμένας κατὰ καιρὸν αἱρέσεις ἐχρῆν, ἑπόμενος τοῖς προειληφόσιν ἀκόλουθον ἡγούμην, τῇ διαφορᾷ τῆς ἐπισπειρομένης ὑπὸ τοῦ διαβόλου ἀσεβείας ταῖς ἀντιθέτοις φωναῖς κωλύειν, ἢ καὶ ἀνατρέπειν ἃς ἐπαγομένας βλασφημίας, καὶ ἄλλοτε ἄλλαις, ὡς ἂν ἡ χρεία τῶν νοσούντων κατηνάγκασε, καὶ ταύταις πολλάκις ἀγράφοις μὲν, ὁμως δ' οὖν οὐκ ἀπεξενωμέναις τῆς κατὰ τὴν Γραφὴν εὐσεβοῦς διανοίας· ὥσπερ οὖν καὶ ὁ Ἀπόστολος πολλάκις πεποίηκεν Ἑλληνικοῖς ῥήμασι χρήσασθαι πρὸς τὸν ἴδιον σκοπὸν μὴ παραιτησάμενος· νῦν δὲ πρὸς τὸν κοινὸν ὑμῶν τε καὶ ἡμῶν σκοπὸν ἁρμόττον ἐλογισάμην ἐν ἁπλότητι τῆς ὑγιαινούσης πίστεως τὸ ἐπίταγμα, τῆς ὑμετέρας ἐν Χριστῷ ἀγάπης πληρῶσαι, καὶ εἰπεῖν ἃ ἐδιδάχθην παρὰ τῆς θεοπνεύστου Γραφῆς, φειδόμενος μὲν καὶ τῶν ὀνομάτων καὶ τῶν ῥημάτων ἐκείνων, ἃ λέξεσι μὲν αὐταῖς οὐκ ἐμφέρεται τῇ θείᾳ Γραφῇ, διάνοιάν γε μὴν αὐτὴν ἐκείνην τὴν ἐγκειμένην τῇ Γραφῇ διασώζει· ὅσα δὲ πρὸς τῷ ξένῳ τῆς λέξεως ἔτι καὶ τὸν νοῦν ξένον ἡμῖν ἐπεισάγει, καὶ ὃν οὐκ ἔνεστιν ὑπὸ τῶν ἁγίων κηρυττόμενον εὑρεῖν,] ταῦτα ὡς ξένα καὶ ἀλλότρια τῆς εὐσεβοῦς πίστεως παντάπασι παραιτούμενος. » Καὶ μετ' ὀλίγον· « Πᾶσαν μὲν οὖν ἀλλοτρίαν τῆς τοῦ Χριστοῦ διδασκαλίας φωνὴν καὶ ἔννοιαν οὕτως ἡμεῖς πάντες καὶ νῦν ἀποφεύγειν ἐγνώκαμεν, καὶ τοῦ σκοποῦ δὲ, ὡς προεῖπον, τοῦ νῦν ἡμῖν τε καὶ ὑμῖν προκειμένου κατὰ πολὺ διαφέροντος τῶν ὑποθέσεων ἐκείνων, ὑφ' ὧν ἄλλοτε ἄλλως ἐπὶ τὸ γράψαί τι ἢ εἰπεῖν προήχθημεν· διότι τότε μὲν αἱρέσεως ἔλεγχος καὶ ἀνατροπὴ τῆς τοῦ διαβόλου μεθοδείας ἐσπουδάζετο, νῦν δὲ τῆς ὑγιοῦς πίστεως ὁμολογία τε καὶ φανέρωσις ἁπλῆ πρόκειται, οὐκοῦν οὕτε τοῦ λόγου χαρακτὴρ ὁ αὐτὸς ἡμῖν τότε καὶ νῦν ἁρμόζει. Ὡς γὰρ οὐκ ἂν λάβοι μετὰ χεῖρας ἄνθρωπος σκεύη τὰ αὐτὰ πολεμῶν τε καὶ γεωργῶν· ἄλλα γὰρ σκεύη τῶν ἐν ἀδείᾳ τὰ πρὸς τὸ ζῆν ἑαυτοῖς ἐκπονούντων, καὶ ἄλλαι αἱ πανοπλίαι τῶν ἐν πολέμῳ παρατασσομένων· οὕτως οὐκ ἂν εἴποι τὰ αὐτὰ ὁ παρακαλῶν ἐν τῇ ὑγιαινούσῃ διδασκαλίᾳ, καὶ ὁ τοὺς ἀντιλέγοντας ἐλέγχων. Ἄλλο γὰρ εἶδος λόγου ἐλεγκτικοῦ, καὶ ἄλλο εἶδος λόγου παρακλητικοῦ, ἄλλη ἡ ἁπλότης τῶν ἐν εἰρήνῃ τὴν εὐσέβειαν ὁμολογούντων,

καὶ ἄλλοι οἱ ἱδρῶτες τῶν πρὸς τὰς ἀντιθέσεις τῆς ψευδωνύμου γνώσεως ἱσταμένων. Ὥστε τούτῳ ἂν τῷ τρόπῳ καὶ ἡμεῖς οἰκονομοῦντες τοὺς λόγους ἡμῶν ἐν κρίσει πανταχοῦ τοῖς πρὸς φυλακὴν ἡ οἰκοδομὴν τῆς πίστεως ἀκολούθως χρησαίμεθα, ποτὲ μὲν τοῖς ἐν μεθοδείᾳ τοῦ διαβόλου καταλύειν πειρωμένοις αὐτὴν ἀγωνιστικώτερον ἀνθιστάμενοι, ποτὲ δὲ τοῖς οἰκοδομεῖσθαι βουλομένοις ἐν αὐτῇ ἁπλοϊκώτερον καὶ οἰκειότερον αὐτὴν ἐξηγούμενοι, καὶ οὐδὲν ἄλλο ποιοῦντες ἢ ἐκεῖνο τὸ παρὰ τοῦ Ἀποστόλου εἰρημένον, εἰδέναι πῶς δεῖ ἡμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι.

Οἶδα τοίνυν καὶ τοῦτον αὐτὸν τὸν μέγαν Βασίλειον συγχωρήσαντα τῷ Εὐνομίῳ τὸ τρίτον εἶναι τῷ ἀξιώματι, ὡς ἂν καὶ οὕτω περιτρέψας τὸν δυσσεβῆ, ἐκ περιουσίας καταβάλῃ τὸ ψεῦδος. Οἶδα καὶ τὸν θεολόγον Γρηγόριον περὶ τοῦ μείζονος ἐν ταῖς πρὸς Ἀρειανοὺς διαλέξεσιν οὕτωσὶ λέγοντα· « Ἢ δῆλον ὅτι τὸ μεῖζόν ἐστι τῆς αἰτίας, τὸ δὲ ἴσον τῆς φύσεως; καὶ τοῦτο ὑπὸ πολλῆς εὐγνωμοσύνης συγχωροῦμεν ἡμεῖς, συγκαθιέντες ὀηλονότι τῷ λόγῳ, ἵνα σε καὶ οὕτω ἐλέγξωμεν. » Εἶτα ἐπάγει, « Ταῦτα μὲν πρὸς τοὺς τὸ μεῖζον κομπάζοντας. » Καὶ τὸν μέγαν Ἀθανάσιον εὕροι τις ἂν πολλαχοῦ τῇ χρείᾳ τῶν ἀγώνων συγκαθιέντα. Οἷς ἐντυγχάνοντες οἱ πρὸς ἡμᾶς διενενηγμένοι καὶ τὴν πάτριον ἀλήθειαν, καθάπερ αἱ μυῖαι ταῖς ἀσθενεστέραις σαρξὶ προσφύονται, καὶ μικρόν τι παρεξηγήσεως χρῶμα προστιθεικότες, εἶτα καὶ φυσικόν τινα λόγον ἐπιμορφώσαντες, ἐπὶ κενώσει τοῦ καθ' ἡμᾶς μυστηρίου βήπου, ζοντο τὸ πᾶν ἔχειν ἐντεῦθεν· καὶ πολλοὺς χειρωσάμενοι δι' ἀμάθειαν τῶν τοιούτων καὶ αἰχμαλώτων ἀπήγαγον, σοφιστῶν, οὐ θεολόγων ἔργον πεποιηκότες.

Ἀλλ' ὁ μέγας Διονύσιος, « Ἔστι, φησὶ, τῶν μὴ τὰ θεῖα φρονεῖν ἐθελόντων τὸ μὴ τῇ δυνάμει τοῦ σκοποῦ προσέχειν, ἀλλὰ ταῖς λέξεσι. » Καὶ ὁ μέγας Ἀθανάσιος ἐν τῷ κατὰ Ἀρειανῶν τρίτῳ, « Δεῖ δὲ, φησὶν, ὡς ἐπὶ πάσης τῆς θείας Γραφῆς προσήκει ποιεῖν, καὶ ἀναγκαῖόν ἐστιν, οὕτω καὶ ἐνταῦθα, καθ' ὃν εἶπεν ὁ Ἀπόστολος καιρὸν καὶ τὸ πρόσωπον, καὶ τόπον· διόπερ ἔγραψε πιστῶς ἐκλαμβάνειν, ἵνα μὴ παρὰ ταῦτα, ἢ καὶ παρ' ἕτερόν τι τούτων ἀγνοῶν ὁ ἀναγινώσκων, ἔξω τῆς ἀληθινῆς διανοίας γένηται. » Καὶ μετ' ὀλίγον· « Ὅταν μὲν οὖν τῶν τοιούτων ἔχῃ τις καλῶς τὴν γνῶσιν, ὀρθὴν ἔχει καὶ ὑγιαίνουσαν τῆς πίστεως τὴν διάνοιαν· ἐὰν δὲ παρ' ἕτερόν τι ἐκλαμβάνῃ τούτων, εὐθὺς εἰς αἵρεσιν ἐκπίπτει. Ταυτὰ δὲ τοῦτο καὶ Κύριλλος, καὶ Μάξιμος καὶ ὁ Χρυσόστομος συμβουλεύουσι.

ΚΕΦΑΛ. Θ'.

Ὅτι ἀνόητον, ἢ δυσσεβὲς, ἢ φιλόνεικον, καὶ κατὰ τῶν ἁγίων αὐτῶν, ἑνός τινος ἁγίου ἢ δυοῖν δόξαν ὅπως ποτὲ εἰρημένην αὐτῷ, προτιμᾶν Γραφῶν, συνόδων καὶ τῆς κοινῆς θεολογίας καὶ ὁμολογίας τῶν πολλῶν διδασκάλων.

Καίτοι γε καὶ σαφῶς εἰρημένον τι παρά του τῶν ἁγίων, εἰ μὴ καὶ ταῖς κοιναῖς ὑπολήψεσι συνάδοι, εἰ μὴ καὶ τοῦτο δυνάμεθα πρὸς τὸν ἀληθῆ κανόνα τῆς ἀληθείας ἑλκοντες δέχεσθαι μηχανῇ τινι, ἀφετέον τοῦτο μετὰ τῆς πρὸς τὸν εἰπόντα τιμῆς. Οὕτω γὰρ Αὐγουστῖνος ἐν τῇ πρὸς τὸν Φουρτουνᾶτον ἐπιστολῇ συμβουλεύει καλῶς. « Οὐδὲ τὰς ὠντινωνοῦν, φησὶ, διαλέξεις κἂν καθολικοί τινες ἄνδρες; ὥσι καὶ περιβόητοι, ὥσπερ τὰς κανονικὰς Γραφὰς ἔχειν ὀφείλομεν, ὡς μὴ ἐξεῖναι καὶ ἡμῖν, σωζομένης τῆς ὀφειλομένης αὐτοῖς τιμῆς, τι τῶν ἐν τοῖς αὐτῶν συγγράμμασιν ἀποδοκιμάζειν καὶ διαπτύειν, εἴ ποτέ τι φωράσαιμεν ὃ ἄλλως φρονοῦσιν, ἢ ἡ ἀλήθεια ἔχει τῇ τοῦ Θεοῦ βοηθείᾳ, ἢ παρ' ἄλλων, ἢ παρ' ἡμῶν νοηθεῖσα. » Ἐγὼ γοῦν τοιοῦτός εἰμι ἐν τοῖς περὶ τῶν ἁγίων συγγράμμασιν, οἵους εἶναι θέλω τοὺς τὰ ἡμέτερα μετιόντας.

Διὸ καὶ Θωμᾶς, ἐπεὶ τὸν Αὐγουστῖνον εὗρηκε λέγοντα τὴν ψυχὴν τοῦ ἀνθρώπου δημιουργηθῆναι μετὰ τῶν ἀγγέλων πρὸ τοῦ σώματος, μετὰ ταῦτα δὲ ἰδίᾳ βουλήσει ῥέψαι αὐτὴν πρὸς τὸ σῶμα πρὸς τὸ ὑπουργῆσαι τῇ βουλήσει, καίτοι καὶ περὶ πασῶν τῶν ψυχῶν δοκεῖ φρονεῖν ἐκ πολλῶν τεκμηρίων, ἀλλ' οὖν ὅ γε Θωμᾶς πρὸς τὸ βέλτιον μεταῤῥυθμίζειν πειρᾶται τὴν δόξαν. Οὕτω τοίνυν εὐρίσκων αὐτὸν περφρονηκότα, τοῖς ἄλλοις ἁγίοις τίθεται μᾶλλον, οἳ τὴν ἀληθῆ δόξαν ἐδόξαζον. Ὡσαύτως καὶ περὶ τῶν οὐρανίων σωμάτων Ἱερώνυμόν τε καὶ Αὐγουστῖνον οὐκ ὀρθῶς ὑπειληφότας εὑρὼν (ὁ Θωμᾶς), ἐμψυχα γὰρ αὐτὰ πεφρονήκεσαν, καὶ μᾶλλον ὅ γε Ἱερώνυμος, τῇ τοῦ Βασιλείου καὶ Δημασκηνοῦ τῶν ἡμετέρων δόξῃ τίθεται μᾶλλον, εἰδὼς καὶ τῆς καθολικῆς Ἐκκλησίας ταῦτα δόξαν εἶναι. Οὐ γὰρ ἐλάνθανεν αὐτὸν ὅτι παρὰ τῆς πέμπτης συνόδου καὶ ἡ προϋπαρξις τῶν ἀνθρωπίνων ψυχῶν, καὶ τὸ ἐμψυχα τὰ οὐράνια σώματα εἶναι, καὶ αἱ ἰδέαι, καὶ τὰ Ὠριγένους ἁπλῶς εἰπεῖν ψευδῆ δόγματα, μᾶλλον δὲ τῶν Μανιχαίων καὶ Πλάτωνός ἀναθέματι καθυπεβλήθησαν. Καὶ ὁ Νύσσης δὲ Γρηγόριος, Αὐγουστίνῳ τῷ μακαρίῳ συνάδων ἐν τῇ περὶ τῆς Ἑξαημέρου ἀπολογίᾳ, « Τὰ δὲ ἡμέτερα, φησὶ, ὡς ἐν γυμνασίᾳ τινὶ στοχαστικῶς ἐπιχειρούμενα τοῖς ἐντυγχάνουσι προκείσθω, μηδεμιᾶς μηδενὶ διὰ τοῦτο βλάβης προσγινομένης, εἴ τι παρὰ τὴν κοινὴν ὑπόληψιν ἐν τοῖς λεγομένοις εὑρίσκοιτο. Οὐ γὰρ δόγμα τὸν λόγον ποιούμεθα, ὥστε ἀφορμὴν δοῦναι τοῖς διαβάλλουσι· καὶ ὁμολογοῦμεν γυμνάζειν μόνον ἑαυτῶν τὴν διάνοιαν τοῖς προκειμένοις νοήμασιν, οὐ διδασκαλίαν ἐξηγητικὴν τοῖς ἑφεξῆς ἀποτίθεσθαι. » Διὰ ταύτην δὲ ἄρα τὴν εὐγνωμοσύνην Αὐγουστῖνός τε καὶ ὁ Νύσσης ταῖς τῶν μακαρίων τιμῶνται τιμαῖς, καίτοι δοξῶν αὐτῶν ἐνίων ἀποδοκιμαζομένων. Τοῦτο δ' οὐκ ἂν εἶχον τὸ γέρας, εἰ φιλονείκως τῆς ἰδίας γνώμης ἀντείχοντο.

Τούτῳ τοίνυν τῷ κανόνι καὶ ἡμεῖς στοιχοῦντες τῶν διδασκάλων, ἐξετάζοντες καὶ πρόσωπα, καὶ καιροὺς, καὶ χρείαν, τῶν τοῖς ἁγίοις εἰρημένων, καὶ τῆς ἀληθείας, σὺν Θεῷ δὲ εἰρήσθω, οὐ διαπίπτομεν· ὅθεν καὶ τὰς ῥήσεις ἐκείνας τῶν διδασκάλων, ἃς παρεξηγοῦνταί τινες σοφιστικῶς, ἢ ἀμαθῶς, εἰς τὸν τῆς ἀληθείας σκοπὸν ἡμεῖς, καὶ εἰς τὴν ὑποταγὴν τοῦ Χριστοῦ καλῶς καὶ ἀδιάστως ἠχμαλωτί-

σαμεν. Μᾶλλον δὲ καὶ τοῖς αὐτῶν αὐθις τῶν διδα- A
σκάλων λέξεσιν ἐναργῶς ἔξωθεν βεβαιοῦμεν τὴν
ἡμετέραν περὶ αὐτῶν, καὶ ὧν εἰρήκασι γνώμην,
ὧν οὐκ ἔστιν ἀξιολογιγωτέρους μάρτυρας εὑρεῖν ἐν
τοῖς ἑαυτῶν. Ἅμα δὲ καὶ τὰς ῥήσεις τῶν διδασκά-
λων, αἳ τοὐναντίον ταῖς τινων παρεξηγήσεσι κη-
ρύττουσιν ἐναργῶς συντεθείκαμεν, ὡς ἂν πανταχό-
θεν ἐν τῷ παρόντι τῆς πίστεως ἡμῶν, ὥσπερ ἐπί
λογικῷ τινι τῶν πολλῶν λόγων καὶ ἀγώνων λιβέλῳ
πάντα ἔχῃ καλῶς, τῶν τε ἀλλοτρίων φρονημάτων
ἐξωθουμένων καὶ τῶν οἰκείων προστιθεμένων ὡς
ἐν μιᾷ τινι σειρᾷ ἀποδείξεως τῆς διὰ τῶν ἁγίων
γεγενημένης πρὸς ἑκατέραν τὴν χρείαν. Καὶ σὺν
Θεῷ οὐδὲν ἡμέτερον εἴρηται, ἀλλὰ τῶν διδασκάλων B
εἰσὶ πάντα ῥήματά τε καὶ δόγματα.

ΚΕΦΑΛ. Γ'.

Ὅτι οἱ, μετὰ τὸ σχισθῆναι Λατίνους, Πατέρες ἡμῶν κατὰ τὰ προειρημένα ἐδόξασαν, καὶ ἐκείνων ταῦτα κρίσεις εἰσί.

Ἐπὶ τούτοις δ καὶ μεῖζόν ἐστι πρὸς πληροφο-
ρίαν τῆς ἐμῆς συνειδήσεως, οὐ τῇ ἐμαυτοῦ γνώμῃ
στοιχῶν, οὕτω τὰς τῶν ἀρχαίων διδασκάλων δέχο-
μαι ῥήσεις, ἀλλὰ πολλοῖς καὶ μεγάλοις πρὸ ἐμοῦ
διδασκάλοις ἐν τοσούτῳ χρόνῳ τοῦ σχίσματος, οἳ
τὰς τῶν διδασκάλων ῥήσεις οὕτω δεχόμενοι ἀπώμο-
τον ἠγοῦντο τὴν ἐν τῷ Συμβόλῳ προσθήκην. Καὶ
τοῦτο τοῖς ἑαυτῶν συγγράμμασιν ἔδειξαν, ἀσφαλι-
ζόμενοι τοὺς οἰκείους τῆς πίστεως ὥσπερ προειδό-
μενοι τὴν ἐσομένην ἰδιωτείαν, ἢ ἀδιαφορίαν περὶ τὴν C
πίστιν τῶν ἐσομένων ἀνθρώπων, ἐξ ὧν ἀρχοτέρων
προήχθησαν νῦν οἱ πολλοί, τὸ πάτριον ἡμῶν δόγμα ἢ
ἀγνοῆσαι ἢ καταφρονῆσαι δεινῶς. Ἰωσὴφ φημι τὸν
διδάσκαλον, τὸν Ῥόδου Νεῖλον, τὸ σκεῦος τῆς ἐκλο-
γῆς, τὸν σοφώτατον βασιλέα καὶ Χριστιανικώτατον
Μανουήλ, τὸν Μακάριον Νεῖλον τὸν Θεσσαλονίκης, τὸν
Κωνσταντινουπόλεως Νεῖλον, τὸν πατριάρχην Κάλ-
λιστον, τὸν πατριάρχην Φιλόθεον, τὸν Νικαίας Θεο-
φάνη, τὸν πατριάρχην Γρηγόριον, ἄνδρα οὐδὲν τῶν
ἀρχαιοτάτων ἐλάττω, τὴν ἐπ' αὐτοῦ σύνοδον ἱερὰν,
ὑπὲρ ἑβδομήκοντα λογάδι συγκεκροτημένην, διακτύ-
σασαν τανῦν ἐκ τῶν ἡμετέρων τισὶν ἀνυμνούμενα,
τὸν μακάριον Θεσσαλονίκης Γρηγόριον, τὸν Γερμα-
νὸν πατριάρχην, καὶ τὸν ἐπ' αὐτοῦ ἐψηφισμένον καὶ D
ὑπ' αὐτοῦ (σιωπῶ τὴν ἐκ τῶν ἐχθρῶν μαρτυρίαν,
τὸν Βαρλαὰμ), τὸν Νικαίας Εὐστράτιον. Παρίημι
τὸν Ῥωσίας Ἰωάννην, τὸν φερωνύμως Χρηστὸν,
Λέοντα τὸν Βουλγαρίας, Θεοφύλακτον τῆς αὐτῆς,
τὸν Μεθώνης Νικόλαον, Νικήταν τὸν οἰκουμενικὸν
ἐπωνομασμένον διδάσκαλον, τὸν ὕπατον τῶν φιλο-
σόφων Ἕλλην, ἄλλους ἀναριθμήτους, μέχρι καὶ ἐπὶ
τὸν σοφώτατον βασιλέα Λέοντα, καὶ τὸν μακάριον
Φώτιον ἐν πάσῃ τάξει καὶ σχήματι παντὶ κατατε-
ταμένους. Οἳ πάντες πολλοὶ καὶ γενναῖοι βιβλίοις
ἔτι νῦν σωζομένοις ἐλέγχουσι τοὺς τὸν Υἱὸν τοῦ
Θεοῦ ἀρχὴν ἢ αἴτιον τοῦ ἁγίου Πνεύματος ἀποφη-

ναμένους ἐν τῷ Συμβόλῳ τῆς πίστεως, καὶ πι- A
στεύοντας τὰ ἐν Φλωρεντίᾳ πρώην ὡρθοτημένα.

Καίτοι τῶν τοιούτων συγγραμμάτων τὰ μὲν, μετὰ
τὸ τὴν πόλιν ἁπαλλαγῆναι τῆς Ἰταλικῆς δουλείας
τὴν ἡμετέραν, τὰ πλείω γεγόνασιν· ἕνια δὲ τὰς Λα-
τίνων διαφυγόντα χεῖρας τὰ τῶν ἀρχαιοτέρων περι-
εσώθησαν. Πόσα δὲ εἰκός ἐστιν ἔργον γεγονέναι πυ-
ρὸς ὑπὸ Λατίνων, ὑπὲρ ἑξήκοντα ἔτη κατεχόντων
τότε τὴν πόλιν; οὐ γὰρ ἔμελλον αὐτὰ περιπτύσσεσθαι,
μετὰ πολλῆς αὐτοῖς ἐπιτιμῶντα δριμύτητος. Τοὺς δὲ
μὴ συγγραψαμένους, οὐκ ἐπελθὸν αὐτοῖς ὅπως ποτὲ
τοῖς τοιούτοις ἐμφιλοτιμηθῆναι σπουδάσμασι, τίς
ἂν ὁριθμήσειεν; Οὓς φημι τοὺς παλαιοτέρους μεγά-
λῳ γένει, καὶ μεγάλην τότε δύναμιν ἔχοντας, ἀλλὰ
τοὺς μικρῷ πρὸ ἡμῶν καὶ τοὺς ἐφ' ἡμῶν. Νικόλαον
τὸν Καβάσιλαν, ἄνδρα πνεύματι καὶ σοφίᾳ τοῖς ἀρ-
χαιοτάτοις ἐξισωθέντα, τὸν πατριάρχην Εὐθύμιον,
τὸν χαρτοφύλακα Βαλσαμῶν, πάσης σοφίας καθηγε-
μόνα γεγενημένον ἐν πρώτοις, Μελιτινιώτην τὸν τῶν
διδασκάλων διδάσκαλον, τὸν Θεσσαλονίκης Ἰσίδω-
ρον, ἢ καὶ Συμεὼν, ἄλλους μυρίους, ὧν οἱ νῦν ὄντες
ἡμεῖς σκύβαλα. Γελοῖοι οὖν ἐσόμεθα, εἴπερ ὁ Πλά-
των ἐν *Θεαιτήτῳ*, ἡμᾶς μὲν ἡγούμενοι λέγειν τι
φαύλους ὄντας, παμπαλαίους δὲ καὶ πανσόφους ἄν-
δρας ἀποδεδοκιμακότες. Ἀλλ' ἡμεῖς μέντοι γε εἰς
τοσοῦτον προσίοιμεν κίνδυνον. Εἰ δὲ Κυδώνην φαίη
τις, καὶ Καλέκαν, οὐδὲν θαυμαστὸν ἐν τῷ πνευ-
ματικῷ ληΐῳ τῆς Ἐκκλησίας, καὶ κνίδας βλαστῆσαι
καὶ ἀκάνθας, καὶ πονηρὰ ἄλλα σπέρματα. Τοιοῦτος
καὶ ὁ Βέκκος ἐβλάστησεν· ἀλλ' ὑπὲρ ἑβδομήκοντα
λογάδες τῆς Ἐκκλησίας, κατὰ λέξιν αὐτοῦ, τὰ δόγ-
ματα ἀκυροῦσιν, ὧν ἡ ψῆφος ἐλέγχει σωζομένη
τοὺς νῦν καὶ μετ' ἐκείνους ἀφηνιάζοντας, τοσοῦτον
ἐκείνοις ἐοικότας, ὅσον τοῖς ζῶσιν οἱ ἀνδριάντες, εἰ
μή τι δέοι καὶ χεῖρον εἰπεῖν, ἐπεὶ καὶ λελήθασιν
ἑαυτοὺς ὄντες τοιοῦτοι.

Ἀφέντες οὖν τοὺς στάχυς, ταῖς κνίδαις προσέξο-
μεν, ἀφέντες τὸν εὐανθῆ τοῦ Χριστοῦ λειμῶνα τοσού-
τοις ἔτεσιν ἄνθη διηνεκῆ προϊσχόμενον ἐκ διαδοχῆς,
θαυμάσιόν τι ὀδμῆς ἀποπνείοντα, δυσί τισιν, ἢ τρι-
σὶ, τοῖς ἀποκεκομμένοις τε καὶ κατατεπατημένοις
ἀρκεσθησόμεθα, καίτοι καὶ τὸν Κυδώνην καὶ τὸν
ἐκείνου φοιτητὴν τὸν Καλέκαν τὸ διωχθῆναι τῆς
Ἀκινδυνιανῆς αἱρέσεως, καὶ Βαρλααμίτιδος ἕνεκα,
τοῖς Λατίνοις ᾠκείωσε, καὶ τοῖς ἐκείνων περὶ τῆς
ἐκπορεύσεως δόγμασιν, οὐκ ἔχοντας ἀλλοθί που
καταφυγεῖν.

Εὕρισκον γὰρ καὶ Λατίνους τὴν αἵρεσιν ἐκεί-
νην ἐπεικῶς ἀσμενίζοντας, μᾶλλον δὲ καὶ Κυδώνης,
ἐκ τῶν τοῦ Θωμᾶ Λατίνων, σφοδρότερος ταύτης γέγονεν
ἐραστής, ὃν Ῥωμαῖοι ταῖς τῶν μακαρίων τιμαῖς ἐν
ἴσῳ τοῖς ἀρχαίοις διδασκάλοις τιμῶσι. Πρὸ δὲ τούτου
τὰ περὶ τῆς ἐκπορεύσεως τῶν Ῥωμαίων δόγματα
οὐδὲν ὑγιὲς ἐφασκον ἔχειν. Τὰ μὲν οὖν ἐκ τῶν
ἡμετέρων καθηγεμόνων τοσαύτην τὴν ἰσχὺν ἔχει.

ΜΕΡΟΣ ΔΕΥΤΕΡΟΝ

Ἐν ᾧ ἐκτέθειται ἃ λέγουσιν οἱ ἅγιοι δογματικῶς περὶ τῆς ἐκπορεύσεως καὶ ἰδίᾳ καὶ συνοδικῶς τῷ ἡμετέρῳ δεσπότῃ ἑπόμενοι, τῷ πρώτῳ διδασκάλῳ ἡμῶν, καὶ τῷ Παύλῳ μετ' αὐτόν.

—

ΚΕΦΑΛ. Α'.

Ὅτι οὗτοι οἱ ῥηθέντες ἅγιοι Πατέρες ἡμῶν τοῖς ἀρχαίοις ἁγίοις, καὶ ταῖς συνόδοις, καὶ ταῖς συνοδικαῖς γραφαῖς ἠκολούθησαν, αὐτῶν δὲ καὶ ἡμεῖς δήπου.

Ἀλλ' ἐπεί τοί γε καὶ ἡμῖν κριτικήν τινα δύναμιν δέδωκεν ὁ Θεὸς, καὶ ταύτην γυμνάζοντες ὅσον ἐγχωρεῖ, κατὰ τοὺς κειμένους μέντοι γε γενομένους, εὑρίσκομεν τοὺς ἡμετέρους μετὰ τὸ σχίσμα Λατίνων Πατέρας, μὴ μόνον τοῖς διδασκάλοις συμφώνους, ἀλλὰ καὶ ταῖς ἱεραῖς Γραφαῖς καὶ συνόδοις, καὶ οὐδὲν ἀπᾴδον ὑφηγουμένους ἡμῖν. Ὅθεν οὐχ ὑπὸ τῆς πρὸς τοὺς Πατέρας μόνον εὐλαβείας ἀγόμεθα, καὶ τὴν ἐκείνων σοφίαν προϊστάμεθα μόνον καὶ ἀρετὴν, ὡς ἄρα χρὴ τῶν ἰδιωτῶν τοὺς σωφρονεστέρους διατεθεῖσθαι, ὅτι μετὰ τὸ σχίσμα Λατίνων, τὸ δόγμα τοῦτο καλῶς κεκρίκασι, καὶ τὴν περὶ τῆς ἐκπορεύσεως τοῦ παναγίου Πνεύματος δόξαν ἐκ παντὸς ἐνοχλοῦντος ἀχύρου διακαθάραντες, καὶ ἡμῖν βρῶμα ἕτοιμον παραδεδωκότες αὐτάρκως, ἡγοῦνται πρὸς τὴν ἀλήθειαν, καὶ τὴν ἐν αὐτῇ σωτηρίαν τοῖς οἰκοθεν κρίνειν μὴ δυνάμενοι, ἀλλὰ καὶ τολμῶντές τι κρίνειν περὶ αὐτῶν, τῇ θεόθεν ἡμῖν ἐκπεμφθείσῃ δυνάμει, μικρᾷ μὲν ἄλλως, μείζονι δὲ τῆς ἄλλης ἡμῶν προαιρέσεως. Εὑρίσκομεν αὐτοὺς τῇ τοῦ Χριστοῦ χάριτι, τὴν ὄντως βασιλικὴν ὁδὸν τετριφότας, ἣν ὁ βασιλεὺς ἡμῶν καὶ Δεσπότης καὶ διδάσκαλος Ἰησοῦς, ὁ τῆς ἀληθείας ἔφορος καὶ οἱ ἐκείνου ὑποστράτηγοι καὶ ὑπασπισταὶ τῷ ἐκείνου Πνεύματι ἡγούμενοι ἐβάδισαν, καὶ οὕτω τὰς τῶν ἀρχαίων καὶ πρώτων διδασκάλων ῥήσεις ἐκδεξαμένους, ὡς ταῖς κανονικαῖς συμφέρει Γραφαῖς, καὶ τοῖς ἀποστόλοις καὶ ταῖς συνόδοις, καὶ τοῖς ἐν αὐταῖς διαπρέψασι διδασκάλοις τῆς πίστεως.

Αὐτίκα γὰρ ὁ μὲν τῆς ἀληθείας διδάσκαλος καὶ τῆς τοῦ Πνεύματος ἐκπορεύσεως πρῶτος, καὶ μόνος, καὶ ἄριστος, καὶ ἱκανώτατος ἑρμηνεὺς ἡμῖν γενόμενος Ἰησοῦς, τὸ Πνεῦμα τὸ ἅγιον παρὰ τοῦ Πατρὸς μὲν ἐκπορεύεσθαι εἶπε, πέμπεσθαι δὲ παρὰ τοῦ Πατρὸς δι' αὐτοῦ. Τοῦτο γάρ ἐστιν, *Ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρός*. Ἐλεύσεται γὰρ, φησὶν, ὁ Παράκλητος πεμπόμενος ἐξ ἐμοῦ παρὰ τοῦ Πατρὸς, τουτέστιν ἐκ Πατρὸς δι' ἐμοῦ· Πνεῦμα γὰρ τῆς ἀληθείας ἐστὶ, τουτέστιν ἐμοῦ, καὶ κοινὸν ἔργον τῆς Τριάδος ἀνύσει τῇ δι' αὐτοῦ γενησομένῃ περὶ ἐμοῦ μαρτυρίᾳ, πρὸς τὴν τῆς Τριάδος ἐπίγνωσιν ἀναγομένων τῶν πιστευόντων. Τοῦτο μέντοι γε τὸ Πνεῦμα παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ὅθεν καὶ ἐγὼ ἐξῆλθον. Ἐκ τοῦ Πατρὸς γὰρ ἐξῆλθον ἀϊδίως καὶ ἦκω ἐν χρόνῳ. Εἰ γὰρ ἐξ ἀμφοῖν πέμπεται εἰς τὴν κτίσιν, πέμπεται δὲ ὡς καὶ ἐρχόμενον οὐδὲν ἧττον αὐθεντικῶς, ἀλλ' εἰς τὴν ἰδίαν ὑπόστασιν ἐκ τοῦ Πατρὸς ἐκπορεύεται, ἄρα τῷ μὴ παρὰ μέλος; ἂν ᾄσαι τοὺς ἐκείνου μαθητὰς, γνησίους ἄχρι καὶ νῦν εἰς τὴν τοῦ Πνεύματος ἀΐδιον ἐκπόρευσιν, καὶ τὴν χρονικὴν ἀποστολὴν, ἄλλοις κανόσι καὶ ὅροις ἡμῖν ἐτόλμων παραδιδόναι; Διὰ τοῦτο οὖν οὐδ' ἐτόλμησαν, ἀλλὰ συνᾴδουσι πάντες τῷ κορυφαίῳ, ᾗδεσαν γὰρ, ὡς ἄλλο τι διαξιοῦντες τῆς ἀληθείας διαπεσοῦνται. Ὁ γὰρ Νύσσης Γρηγόριος ἐν τῷ πρὸς Εὐνόμιον, « Ὁ Κύριος ἡμῶν, φησὶν, Ἰησοῦς Χριστὸς ἐπὶ γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συναναστράφη, ἵνα μηκέτι οἱ ἄνθρωποι κατὰ τὰς ἑαυτῶν γνώμας περὶ τοῦ ὄντος δοξάζωσι, τὰς γινομένας αὐτοῖς ἀπὸ στοχασμῶν τινων ὑπονοίας δόγμα ποιούμενοι, ἀλλὰ πεισθέντες ὅτι ἀληθῶς Θεὸς ἐφανερώθη ἐν σαρκὶ, ἐκεῖνο μόνον τῆς εὐσεβείας ἀληθινὸν μυστήριον εἶναι πιστεύσωμεν, ὃ δι' αὐτοῦ ἡμῖν τοῦ Λόγου καὶ Θεοῦ παρεδόθη, τοῦ δι' ἑαυτοῦ τοῖς ἀποστόλοις λαλήσαντος. Καὶ σκόπει τὴν συμφωνίαν αὐτῶν, πᾶς τις νοῦν ἔχων καὶ εἰδὼς εὐσεβεῖν. Ὁ μακάριος ἀπόστολος Παῦλος τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Θεοῦ εἶναί φησι καὶ ἐκ τοῦ Θεοῦ, τοῦ Πατρὸς δηλονότι, ἀλλ' οὐδέποτε ἐκ τοῦ Υἱοῦ λέγει, τοῦ Υἱοῦ Πνεῦμα μόνον καὶ τοῦ Χριστοῦ· οὗ τὸν σκοπὸν ὁ ἱερὸς Χρυσόστομος καλῶς συνορῶν, « Τὸ μὲν λέγεσθαι τοῦ Θεοῦ, φησὶ, τὴν οἰκειότητα μόνην δηλοῖ, τὸ δὲ ἐκ τοῦ Θεοῦ καὶ τὴν αἰτίαν· οὐκοῦν ἄλλο τοῦ Θεοῦ, καὶ ἄλλο τὸ ἐκ τοῦ Θεοῦ. »

Ἐν ταῖς περιόδοις τοῦ ἁγίου Ἀνδρέου λέγεται, « Εἰρήνη ἡμῖν καὶ πᾶσι τοῖς πιστεύουσιν εἰς ἕνα Θεὸν Πατέρα, καὶ εἰς τὸν ἕνα Υἱὸν αὐτοῦ τὸν Κύριον Ἰησοῦν Χριστὸν, καὶ εἰς ἓν Πνεῦμα ἅγιον ἐκ Πατρὸς ἐκπορευόμενον καὶ μένον ἐν τῷ Υἱῷ. » Γρηγόριος ὁ Θαυματουργός· « Ἓν Πνεῦμα ἅγιον ἐκ Θεοῦ τὴν ὕπαρξιν ἔχον, καὶ δι' Υἱοῦ πεφηνὸς, δηλαδὴ τοῖς ἀνθρώποις. » Ἡ πρώτη σύνοδος· « Δέχου μίαν θεότητα τοῦ Πατρὸς τοῦ γεννήσαντος τὸν Υἱὸν ἀνεκφράστως, καὶ τοῦ Υἱοῦ τοῦ γεγεννημένου ἐξ αὐτοῦ, καὶ τοῦ ἁγίου Πνεύματος τοῦ ἐκπορευομένου ἐξ αὐτοῦ τοῦ Πατρὸς, ἰδίου δὲ ὄντος τοῦ Υἱοῦ, καθά φησιν ὁ Ἀπόστολος, Εἴ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. » Ὁ μέγας Ἀθανάσιος συμφώνως αὐτῇ ἐν τῇ πρὸς Σεραπίωνα ἐπιστολῇ περὶ τοῦ Πνεύματος· « Οὐκοῦν κακῶς φρονοῦντες περὶ τοῦ Πνεύματος τοῦ ἁγίου, οὐδὲ περὶ τοῦ Υἱοῦ καλῶς φρονοῦσιν· εἰ γὰρ ἐφρόνουν ὀρθῶς περὶ τοῦ Λόγου, ἐφρόνουν ἂν ὑγιῶς καὶ περὶ τοῦ Πνεύματος, ὃ παρὰ

τοῦ Πατρὸς ἐκπορεύεται, καὶ τοῦ Υἱοῦ ἴδιον ὄν, παρ' αὐτοῦ δίδοται τοῖς μαθηταῖς, καὶ πᾶσι τοῖς πιστεύουσιν εἰς αὐτόν. Αὕτη ἐστὶν ἡ ὑγιὴς περὶ τοῦ Πνεύματος δόξα, εἴπερ ἡ τοῦ Χριστοῦ ἐστιν ἀντικρυς αὕτη διδασκαλία. »

Ὁ αὐτὸς ἐν τῇ Ὀρθοδόξου καὶ Μοντανιστοῦ διαλέξει, « Ὥσπερ οὐδέν ἐστι, φησὶ, μέσον νοῦ καὶ λόγου καὶ πνοῆς, οὕτως οὐδὲ μέσον Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος. Νοῆσαι δὲ δεῖ τὸ Πνεῦμα τέλειον ἐν τελείᾳ ὑποστάσει παρὰ Πατρὸς ἐκπορευόμενον. » Ὁ αὐτὸς ἐν ἑτέρᾳ διαλέξει, « Πατρὸς δὲ καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος οὐδὲν προϋπάρχει, ἀλλ' ἐκ τοῦ Πατρὸς ὁ Υἱὸς γεννᾶται καὶ τὸ Πνεῦμα ἐκπορεύεται. » Καὶ πάλιν « Οὐ γὰρ ἄγγελον συνέταττε τῇ θεότητι, οὐδὲ κτίσμα συνῆπτεν αὐτῷ καὶ τῷ Πατρὶ, ἀλλὰ τὸ Πνεῦμα τὸ ἅγιον, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται καὶ ἐκ τοῦ αὐτοῦ λσμβάνει καὶ δίδοται. » Ὁ αὐτὸς ἐν τῷ λόγῳ, οὗ ἡ ἀρχὴ, Πιστεύομεν εἰς ἕνα Θεόν· « Τὸ δὲ ἅγιον Πνεῦμα, ἐκπόρευμα ὂν τοῦ Πατρὸς, ἀεί ἐστιν ἐν ταῖς χερσὶ τοῦ πέμποντος Πατρὸς καὶ τοῦ φέροντος Υἱοῦ. » Ὁ αὐτὸς ἐν μς' κεφ. τῶν περὶ τῆς κατὰ φύσιν ἰσότητος τῶν τριῶν θείων προσώπων· « Τί ἐστι Θεός ; Ἡ πάντων ἀρχὴ, κατὰ τὸν Ἀπόστολον λέγοντα, *Εἷς Θεὸς ὁ Πατὴρ ἐξ οὗ τὰ πάντα* · καὶ γὰρ ὁ Λόγος ἐξ αὐτοῦ γεννητῶς καὶ τὸ Πνεῦμα ἐξ αὐτοῦ ἐκπορευτῶς. Εἶτα πᾶσα ἡ κτίσις διὰ τοῦ Λόγου ἐν Πνεύματι συνέστη δημιουργικῶς. »

Ἡ δευτέρα σύνοδος κατὰ Μακεδονίου, λέγοντος εἶναι τὸ Πνεῦμα ἐκ μόνου τοῦ Υἱοῦ δημιουργικῶς, φησὶ, « Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον, τὸ ζωοποιὸν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον. » Τὸ αὐτὸ δὲ καὶ αἱ λοιπαὶ μέχρι τῆς ζ', οὐδὲν οὔτε περὶ τοῦ Πνεύματος προστιθεῖσαι. Ἱκανώτατα γὰρ ἀνεπτύχθη, ὅσον τε εἰς τὴν οὐσίαν τοῦ Πνεύματος, καὶ ὅσον εἰς τὴν τοῦ ὅθεν ἐστὶν αἰτίαν, καθὼς οὔτε περὶ τῶν ἐν ἑκάστῃ ἐζητημένων, ἀλλ' αἱ μετὰ τὴν τρίτην πᾶσαι τοῖς διορισμοῖς αὐτῆς τοῖς περὶ τοῦ μὴ δεῖν οὐδὲν προστιθέναι τῷ Συμβόλῳ ἐνέμειναν, καὶ ἔργῳ τετηρηκυῖαι, καὶ λόγοις ἑκάστη τοῦτ' αὐτὸ ὁμοίως τῇ τρίτῃ ἀποφηνάμεναι. Ἡ δὲ τρίτη καὶ ἐναργέστατα ἔδειξεν, ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι μόνου τὸ Πνεῦμα πεπιστευκυῖα, ὅτι τοῦ Συμβόλου τοῦ Νεστοριανοῦ ἀνεγνωσμένου, ἐν ᾧ λέγεται μὴ ἔχειν τὸ Πνεῦμα τὴν ὕπαρξιν δι' Υἱοῦ, ἀντεῖπεν οὐδὲν ταύτῃ τῇ δόξῃ περὶ τοῦ Πνεύματος· τοῖς δὲ περὶ τῆς οἰκονομίας ἐπαγομένοις ἐπαφεῖκε μόνοις τὸν ἔλεγχον.

Ὁ Γρηγόριος ὁ Θεολόγος ἐν αὐτῇ τῇ δευτέρᾳ συνόδῳ γεγονὼς τε καὶ παρὼν, « Τὸ δὲ ἐκπορευτὸν ποῦ θήσεις ; εἰπέ μοι, φησὶ, μέσον ἀναφανὲν τῆς σῆς διαιρέσεως, καὶ παρὰ κρεῖττονος ἢ κατὰ σὲ ὁμολόγου τοῦ Σωτῆρος ἡμῶν εἰσαγόμενον, εἰ μὴ τὴν φωνὴν ἐκείνην τῶν σῶν ἐξεῖλε; εὐαγγελίων διὰ τὴν τρίτην σου διαθήκην, *Τὸ Πνεῦμα τὸ ἅγιον ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται.* Ὅ καθόσον μὲν ἐκεῖθεν ἐκπορεύεται οὐ κτίσμα · καθόσον δὲ οὐ γεννητὸν, οὐχ Υἱός · καθόσον δὲ ἀγεννήτου καὶ γεννητοῦ μέσον, Θεός. » Ὁ αὐτὸς, « Διὰ τοῦτο ἐπὶ τῶν ἡμετέρων ὅρων ἱστάμενοι τὸ ἀγέννητον εἰσάγομεν, καὶ τὸ γεννητὸν, καὶ τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, ὡς πού φησιν αὐτὸς ὁ Θεὸς Λόγος. » Ὁ μέγας Βασίλειος ἐν τῇ πρὸς τὸν ἀδελφὸν ἐπιστολῇ · « Ἐπειδὴ τοίνυν τὸ Πνεῦμα τὸ ἅγιον, ἀφ' οὗ πᾶσα ἐπὶ τὴν κτίσιν ἡ τῶν ἀγαθῶν χορηγία πηγάζει, τοῦ Υἱοῦ μὲν ἤρτηται, ᾧ ὁδηγεῖται· συγκαταλαμβάνεται, τῆς δὲ τοῦ Πατρὸς αἰτίας ἐξημμένον ἔχει τὸ εἶναι, ὅθεν καὶ ἐκπορεύεται · τοῦτο γνωριστικὸν τῆς κατὰ τὴν ὑπόστασιν ἰδιότητος σημεῖον ἔχει, τὸ μετὰ τὸν Υἱὸν καὶ σὺν αὐτῷ γνωρίζεσθαι, καὶ ἐκ τοῦ Πατρὸς ὑφεστάναι. Ὁ δὲ Υἱὸς τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον Πνεῦμα δι' ἑαυτοῦ καὶ μεθ' ἑαυτοῦ γνωρίζων, μόνος μονογενῶς ἐκ τοῦ ἀγεννήτου φωτὸς ἐκλάμψας, οὐδεμίαν κατὰ τὸ ἰδιάζον τῶν γνωρισμάτων τὴν κοινωνίαν ἔχει πρὸς τὸν Πατέρα, ἢ πρὸς τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλὰ τοῖς εἰρημένοις σημείοις μόνοις γνωρίζεται. » Ὁ αὐτός · « Κυρίως ὁ Υἱὸς ἐκ τοῦ Θεοῦ ἐκπορεύεται, ἐκ τοῦ Θεοῦ, ἐπειδὴ ὁ Υἱὸς παρὰ τοῦ Πατρὸς ἐξῆλθε · καὶ τὸ Πνεῦμα ἐκ τοῦ Θεοῦ ἐκπορεύεται · ἀλλ' ὁ μὲν Υἱὸς ἐκ τοῦ Πατρὸς γεννητῶς, τὸ δὲ Πνεῦμα ἀῤῥήτως ἐκ τοῦ Θεοῦ.

Ὁ αὐτός · « Ὀφείλομεν πιστεύειν ὡς ἐβαπτίσθημεν · ἐβαπτίσθημεν δὲ εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Ἀλλ' ὁ μὲν Πατὴρ ἀγέννητος, ὁ δὲ Υἱὸς γεννητὸς, ὡς ἐξ ἡλίου φῶς, καὶ ἐκ τοῦ νοὸς ὁ λόγος · τὸ δὲ Πνεῦμα τὸ ἅγιον ἐκπόρευμα τοῦ Πατρός. Ἴδιον δὲ τοῦ Πατρὸς ἡ ἀγεννησία καὶ τὸ καλεῖσθαι Πατήρ · ἴδιον δὲ τοῦ Υἱοῦ τὸ καλεῖσθαι Υἱὸν, καὶ γεννᾶσθαι ἐκ τοῦ Πατρός · ἴδιον δὲ τοῦ Πνεύματος τὸ καλεῖσθαι Πνεῦμα ἅγιον, καὶ τὸ ἐκ Πατρὸς ἐκπορεύεσθαι. » Ὁ αὐτός · « Καὶ ὁ τὸ Πνεῦμα μόνον εἰπὼν συμπεριέλαβε τῇ ὁμολογίᾳ ταύτῃ, καὶ τὸν οὗ ἐστι τὸ Πνεῦμα, τοῦ Χριστοῦ γὰρ, καὶ τὸν ἐξ οὗ ἐστιν, ἐκ τοῦ Θεοῦ γὰρ, καθώς φησιν ὁ Ἀπόστολος, Πνεῦμα τὸ τῆς παρ' αὐτοῦ ἐκπορευόμενον ὑποστάσεως. » Καὶ αὖθις · « Δι' αὐτοῦ μὲν ἐκλάμπον, τὴν δὲ τῆς ὑποστάσεως αἰτίαν ἔχον ἐκ τοῦ πρωτοτύπου φωτός. » Καὶ αὖθις · « Ἐκ μὲν τοῦ Θεοῦ τῶν ὅλων καὶ αὐτὸ τὴν αἰτίαν ἔχον τοῦ εἶναι, ὅθεν καὶ τὸ μονογενές ἐστι φῶς, διὰ δὲ τοῦ ἀληθινοῦ φωτὸς ἐκλάμψαν. »

Ὁ Μάξιμος ἐν τῇ ἐξηγήσει τοῦ ἱεροῦ Διονυσίου · « Τοῦ οἰκείου ἀπαυγάσματος εἰς ὕπαρξιν ἐλθόντος, καὶ τοῦ παναγίου Πνεύματος προσκυνητῶς καὶ ὑπερφυῶς ἐκπορευομένου ἐκ τοῦ Πατρὸς, ὡς μυσταγωγεῖ ὁ Κύριος. » Ὁ αὐτὸς ἐν τοῖς αὐτοῖς · « Τουτέστι τοῦ μὲν Υἱοῦ τὸν ἐκ Πατρὸς ἀνέκφραστον ἀπαυγασμὸν, τοῦ δὲ ἁγίου Πνεύματος τὴν ἐκ Πατρὸς ἀνεννόητον ἐκπόρευσιν. » Ὁ αὐτὸς ἐν τῷ πρὸς Μακεδονιανὸν λόγῳ · « Ἀλλ' ὁ μὲν Υἱὸς ἐκ τῆς ὑποστάσεως τοῦ Πατρὸς γεγέννηται, διὰ τοῦτο μονογενὴς Υἱός · τὸ δὲ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς ἐκπορεύεται. » Ὁ αὐτὸς ἐν τῇ Ὀρθοδόξου καὶ Μανιχαίου διαλέξει · « Τὸ δὲ Πνεῦμα ἐκ τῆς ὑποστάσεως ἐκπορεύεται τοῦ Πατρός. » Ὁ Χρυσόστομος Ἰωάννης, « Ὥσπερ ὁ Υἱὸς ἐπήγαγεν ἑαυτῷ, *Ἐγὼ παρὰ τοῦ Πατρὸς ἐξῆλθον καὶ ἥκω*, τοῦτο καὶ τῷ ἁγίῳ Πνεύματι δίδωσιν, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται ·

ἃ γὰρ οὐ γέγραπται, οὐ δεῖ φρονεῖν. » Ὁ Κύριλλος A ἐν τῷ κατὰ Ἰουλιανοῦ · « Τὸ Πνεῦμα ἀῤῥήτως ἐκ τοῦ Πατρὸς ἐκπορεύεται · διὶ Υἱοῦ δὲ χορηγεῖται τῇ κτίσει. » Ὁ αὐτὸς ἐν ταῖς εἰς τὸν Λουκᾶν ἐξηγήσεσι · « Πλὴν ἐκεῖνό φαμεν, οὐ γυμνὸς καὶ καθ' ἑαυτὸν ὁ Λόγος ἐβαπτίζετο, καὶ Πνεύματος ἁγίου μέτοχος ἦν. Ἴσμεν γὰρ ὅτι καὶ Θεός ἐστι καὶ ἀσώματος, καὶ ἁγίων ἅγιος · ὁμολογοῦσι γὰρ ὅτι ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν. Ἐκπορεύεται μὲν γὰρ ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον, ἔστι δὲ καὶ ἴδιον τοῦ Υἱοῦ. Καὶ γοῦν εἴρηται πλειστάχοῦ Πνεῦμα Χριστοῦ τὸ ἐκ Θεοῦ καὶ Πατρὸς ἐκπορευόμενον Πνεῦμα, καὶ μαρτυρήσει λέγων ὁ Παῦλος, ποτὲ μέν· « *Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι, εἴπερ Πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν · εἰ δέ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ ·* » καὶ πάλιν · *Ὅτι δέ ἐστε υἱοὶ, ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν κράζον, Ἀββᾶ ὁ Πατήρ.* Οὐκοῦν ἐκπορεύεται μὲν, ὡς ἔφην, ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον, χορηγεῖ δὲ αὐτὸ τῇ κτίσει, καὶ δίδωσι τοῖς ἀξίοις, ὡς φύσει τε καὶ ἀληθῶς Υἱὸς, ὁ μονογενὴς αὐτοῦ Λόγος, καὶ τοῖς τοῦ Πατρὸς ἀξιώμασι διαπρέπων. »

Ὁ αὐτὸς ἐν τῇ ἐξηγήσει τοῦ, *Ὅταν ἔλθῃ* · « Φίλη τοιγαροῦν ἡμῖν ἡ ἀλήθεια, καὶ τὰ ἐκ τῆς ἀληθείας δόγματα, καὶ αὐτοῖς ἐκείνοις ἡμεῖς οὐχ ἑψόμεθα, τὴν δὲ τῶν ἁγίων Πατέρων ἰχνηλατοῦντες πίστιν, ἴδιον εἶναί φαμεν τοῦ Υἱοῦ τὸν Παράκλητον, τουτέστι τὸ Πνεῦμα τὸ ἅγιον, καὶ οὐκ ἐπεισκρινόμενον ἔξωθεν, οὐδ' ἐπίκτητον ἐν αὐτῷ, καθάπερ ἐστὶν ἐν τοῖς τῆς ἁγιότητος δεκτικοῖς, οἷς καὶ ἐκ μὴ ὄντων ἡ γένεσις, ἀλλ' ὁμοούσιον αὐτοῦ, καθάπερ ἀμέλει καὶ τοῦ Πατρός. Οὕτω γὰρ ἂν οὐκ εἰς πολύθεον ἡμῖν μυθολογίαν ἡ τῶν ἐκκλησιαστικῶν δογμάτων οἰκήσεται δύναμις, ἀλλ' εἰς ἕνα θεότητος λόγον ἡ ἁγία Τριὰς ἀνασφίγγεται. » Ἐν ταυτῷ τοιγαροῦν καὶ τῆς οὐσίας τὴν ἑνότητα παραδεικνὺς, ἑαυτοῦ τέ φημι καὶ τὴν τοῦ Θεοῦ καὶ Πατρὸς, Πνεῦμα τῆς ἀληθείας τὸν Παράκλητον εἶναι λέγων, παρὰ τοῦ Πατρὸς ἐκπορεύεσθαί φησιν, ἀπελέγχει τε σαφῶς καὶ ἀναμφιλέκτως θεομάχον ὁλοκλήρως τὸν Χριστομάχον. Ὁ γὰρ ὅλως ἐμπαροινεῖν ἐθελήσας τῷ Υἱῷ πεπλημμεληκὼς ἂν εἰκότως καὶ εἰς αὐτὸν νοοῖτο τὸν ἐξ οὗπέρ ἐστιν. Ὅταν τοίνυν ἔλθῃ ὁ Παράκλητος, τὸ Πνεῦμα τῆς ἀληθείας, τουτέστι τὸ ἐμὸν, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. » Ὁ αὐτὸς ἐν τῇ θ' λύσει μέμψεως τοῦ Θεοδωρήτου · « Ἐκπορεύεται μὲν γὰρ ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον κατὰ τὴν τοῦ Σωτῆρος φωνὴν, ἀλλ' οὐκ ἀλλότριόν ἐστι τοῦ Υἱοῦ · πάντα γὰρ ἔχει μετὰ τοῦ Πατρός. » Καὶ πάλιν ἐν τοῖς πρὸς Ἑρμείαν · « Προῆκται μὲν ἐξ ἰδίας αὐτοῦ φύσεως ὁ Πατὴρ, χορηγεῖ δὲ τοῖς ἀξίοις καὶ αὐτὸς ὁ Υἱός. » Ὁ αὐτὸς ἐν τῇ πρὸς Ἰωάννην τὸν Ἀντιοχείας ἐπιστολῇ · « Κατ' οὐδένα τρόπον σαλεύεσθαι πρός τινων ἀνεχόμεθα τὴν ὁρισθεῖσαν πίστιν, ἤτοι τὸ τῆς πίστεως Σύμβολον τὸ παρὰ τῶν ἁγίων Πατέρων ἡμῶν τῶν ἐν Νικαίᾳ συνελθόντων κατὰ καιρὸν, οὔτε μὴν ἐπιτρέπομεν ἑαυτοῖς ἢ ἑτέροις ἢ λέξιν ἀμεῖψαι. τῶν ἐγκειμένων ἐκεῖσε, ἢ μίαν γοῦν παραβῆναι συλλαβὴν, μεμνημένοι τοῦ λέγοντος, Μὴ μέταιρε ὅριa αἰώνια, ἃ ἔθεντο οἱ Πατέρες σου · οὐ γὰρ ἦσαν αὐτοὶ οἱ λαλοῦντες, ἀλλ' αὐτὸ τὸ Πνεῦμα τοῦ Θεοῦ καὶ Πατρὸς, ὃ ἐκπορεύεται μὲν ἐξ αὐτοῦ, ἔστι δὲ οὐκ ἀλλότριον τοῦ Υἱοῦ κατὰ τὸν τῆς οὐσίας λόγον. »

Οἱ δὲ τὰς ἄλλας τοῦ Κυριλλίου ῥήσεις παρεξηγούμενοι, καὶ πρὸς τὴν ἑαυτῶν βιαζόμενοι δόξαν, ἐν αἷς κατὰ τοῦ Νεστορίου μηχανῇ πάσῃ στρατεύεται, πάσχουσιν ὅ φησιν Ἀθανάσιος πάσχειν τοὺς μήτε πρόσωπα, μήτε καιροὺς, μήτε αἰτίας σκοπουμένους ταῖς τῶν Γραφῶν ἐξηγήσεσι. Οἷς ἐπιτιμῶν καὶ αὐτὸς Κύριλλος αὐτῇ λέξει φησίν · « Ὅταν δέ τινες τῶν τὰ ὀρθὰ διαστρέφειν εἰωθότων τὰς ἐμὰς παρατρέπωσι φωνὰς εἰς τὸ αὐτοῖς δοκοῦν, μὴ θαυμαζέτω τοῦτο ἡ σὴ ὁσιότης, εἰδυῖα ὅτι καὶ οἱ ἀπὸ πάσης αἱρέσεως ἐκ τῆς θεοπνεύστου Γραφῆς τὰς τῆς ἑαυτῶν πλάνης συλλέγουσιν ἀφορμὰς, τὰ διὰ τοῦ ἁγίου Πνεύματος ὀρθῶς εἰρημένα τοῖς ἑαυτῶν κακονοίαις παραφθείροντες, καὶ ταῖς ἰδίαις κεφαλαῖς τὴν ἄσβεστον ἀπαντλοῦντες φλόγα. » Ἐπὶ τούτοις ὁ μακάριος Δαμασκηνός · « Τοῦτο ἡμῖν, φησὶ, τὸ λατρευόμενον, Πατὴρ Υἱοῦ γεννήτωρ ἀγέννητος, οὐ γὰρ ἔκ τινος, Υἱὸς τοῦ Πατρὸς γέννημα ὡς ἐξ αὐτοῦ γεγεννημένος, Πνεῦμα ἅγιον τοῦ Θεοῦ καὶ Πατρὸς, ὡς ἐξ αὐτοῦ ἐκπορευόμενον. Ὅπερ καὶ τοῦ Υἱοῦ λέγεται, ὡς δι' αὐτοῦ φανερούμενον καὶ τῇ κτίσει μεταδιδόμενον, ἀλλ' οὐκ ἐξ αὐτοῦ ἔχον τὴν ὕπαρξιν. » Παρίημι τὰς ἄλλας αὐτοῦ ῥήσεις φανερωτάτας οὔσας. Ὁ μακάριος Κρήτης Ἀνδρίας · « Καὶ γὰρ οὐδὲ ἔστιν ἄλλως, ἢ ἐν τῷ Υἱῷ τὸν Πατέρα, ἢ ἐν τῷ Πατρὶ τὸν Υἱὸν ἐνοπτρίζεσθαι, ἢ ἐν τῷ Πνεύματι τῷ ἁγίῳ, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται μὲν, Υἱῷ δὲ κατ' οὐσίαν ἐμφιλοχωρεῖ καὶ ἀναπέπαυται ὡς ὁμοούσιον ἀμφοῖν καὶ ὁμόθρονον καὶ ὁμότιμον. »

Παρίημι τὰς τοῦ μακαρίου τοῦ Θεοδώρου τοῦ Γραπτοῦ, καὶ τοῦ ἁγίου τοῦ πατριάρχου ῥήσεις Νικηφόρου · ἀλλ' ἀντὶ τούτων ἁπάντων ἀρκέσει αὐτὴν παραλαβεῖν τὴν ζ' σύνοδον, ὥσπερ ἐπισφραγίζουσαν. Ἐκθεμένη γὰρ ἐν τῷ ἑαυτῆς ὅρῳ τὸ τῆς πίστεως Σύμβολον, τελευτῶσά φησιν · « Ἡμεῖς τῇ ἀρχαίᾳ θεσμοθεσίᾳ τῆς καθολικῆς Ἐκκλησίας ἑπακολουθοῦμεν · ἡμεῖς τοὺς θεσμοὺς τῶν Πατέρων φυλάττομεν · ἡμεῖς τοὺς προστιθέντας τι ἢ ἀφαιροῦντας ἐκ τῆς καθολικῆς Ἐκκλησίας ἀναθεματίζομεν · ταῦτα τοῦ ἡμετέρου Δεσπότου καὶ τῶν αὐτοῦ μαθητῶν καὶ τῶν οἰκουμενικῶν συνόδων, καὶ τῶν ἐν αὐταῖς διαπρεψάντων Πατέρων, ἐν οἷς τε εἰς τὸ κοινὸν ὡμολόγουν, καὶ ἐν οἷς ἰδίᾳ τὴν κοινὴν πίστιν παρεδίδουν τοῖς μαθηταῖς, ὡς ἐν ἱστορίας τρόπῳ διεξιόντων καὶ διδασκόντων ἡμᾶς. Καλῶς ἄρα καὶ οἱ μετὰ τὴν ἐν Συμβόλῳ γεγενημένην προσθήκην Πατέρες ἡμῶν διὰ πολλῆς ἐν τοσούτοις χρόνοις ἐπιστασίας, λόγοις τε καὶ συγγραφαῖς, καὶ αἵμασιν ἔδειξαν, αὐτὴν οὐκ ἀποδεχόμενοι, ἅτε μὴ πρὸς τὸν αὐτὸν τοῖς προειρημένοις φέρουσαν νοῦν.

Τὰς δὲ ῥήσεις ἃς οἱ τὴν προσθήκην διεκδικοῦντες παρεδιάζοντο, πρὸς τοῦτον εὐσεβῶς τὸν κοινὸν κα-

νόνα τῆς πίστεως εἴλκυσαν πάνυ ἐκούσας, οὐκ ἀντι- A
βαινούσας καὶ βίᾳ ἑλκομένας ὥσπερ ἐν ταῖς τῶν ὅλ-
λων παρεξηγήσεσι. Τούτοις καὶ ὁ μακάριος συνεφώ-
νησε Μάρκος, ὁ τῆς Ἐφεσίων ποιμὴν, ἔξαρχος τῆς
ἐν Φλωρεντίᾳ τῶν ἡμετέρων συνελεύσεως, καὶ μόνος
ἠγωνισμένος ὑπὲρ τῆς τῶν Πατέρων δόξης, καὶ μό-
νος ἐν τῇ καλῇ ἐνστάσει διαμεμενηκὼς, καὶ τοῖς
πεπτωκόσι τῆς ἐπαινετῆς μεταβολῆς γενόμενος αἴ-
τιος. Ταῦτα ἐφρόνουν οἱ ἐφ' ἡμῶν ἱεροὶ καὶ σοφοὶ
ἀνδρες· ὧν οὐκ οἶδ' ὅπως ἐν βραχεῖ χρόνῳ τῆς ἀπο-
δημίας ἐκείνης μελετωμένης πάντων ἁρπαγέντων
εἰς τὸν τῶν προειλημμένων μακαρίων χορόν.

Τί λοιπὸν ἦν, ἢ τὰ γεγενημένα συμβαίνειν; ἀρκεῖ
γὰρ οὕτως εἰπεῖν· οὕτως καὶ αὐτὸς φρονῶ τῇ τοῦ
Χριστοῦ χάριτι, τὴν μὲν μετὰ πάντων ἀνθρώπων
εἰρήνην ζητῶν καὶ εὐχόμενος, ἀλλὰ τὴν πάτριον B
ἀλήθειαν οὐ προϊέμενος, καὶ ἐν αὐτῇ ἐνοῦσθαι πᾶ-
σιν ἀνθρώποις, εἴ γε βούλοιντο, βουλόμενος. Ἄλλως
δὲ διαφυλάττων ἐμαυτὸν ἀπὸ τῶν μὴ τὰ αὐτὰ φρο-
νούντων, οὕτως εἰδὼς τοὺς τῆς Ἐκκλησίας νόμους
κελεύοντας, καὶ τὸ σύμπαν εἰπεῖν προϋποτιθεμένων
ἁπάντων ἐκείνων, ὡς ἐν ἀρχῇ τῆς παρούσης ὁμολο-
γίας, πιστεύω ψυχῇ, καὶ γλώττῃ ὁμολογῶ, τὸν Θεὸν
καὶ Πατέρα γεννᾷν ἐκ τῆς οὐσίας αὐτοῦ τὸν αὐτοῦ
Λόγον ἀῤῥήτως, καὶ προβάλλειν ἐκ τῆς αὐτῆς οὐσίας
αὐτοῦ τὸ Πνεῦμα τὸ ἅγιον ὑπεραῤῥήτως, συναΐδια
καὶ ὁμόδοξα καὶ ὁμόθεα πρόσωπα, διακεκριμμένα
μὲν ἀλλήλων ὑποστατικῶς, τῷ γεννᾶσθαι καὶ ἐκπο-
ρεύεσθαι, τουτέστι τῷ διαφόρῳ τρόπῳ τῆς ἐκ τοῦ
Πατρὸς ὑποστάσεως, ἐν ἀλλήλοις δὲ ὄντα κατὰ τὴν C
φύσιν, ὡς τὴν αὐτὴν ἀριθμῷ οὐσίαν λαμβάνοντα
ἐκ τοῦ Πατρὸς, καὶ ἅμα καὶ τῇ αὐτῇ πρὸς τὴν αἰτίαν
ἀναφορᾷ τε καὶ τάξει. Ὃ δὴ ἐν τῇ ἀριθμήσει τῶν
προσώπων τῇ διὰ προθέσει δηλῶ, λέγων πιστεύειν
εἰς Πατέρα καὶ Υἱὸν ἐξ αὐτοῦ, καὶ Πνεῦμα ἐκ Πα-
τρὸς δι' Υἱοῦ, εἴτε ὅτι μὴ γεννητῶς προθεωρουμέ-
νου τοῦ Λόγου καὶ προεκφωνουμένου, εἴτε ὅτι ἐν Υἱῷ
διὰ τὴν τῆς οὐσίας ἑνότητα. Μόνην δὲ τὴν ὑπόστασιν
τοῦ Πατρὸς ἀρχὴν καὶ αἰτίαν οἶδα Υἱοῦ τε καὶ Πνεύ-
ματος, καὶ ἑκατέρου χωρὶς, εἴ τις ἐπηρεάζει τῷ Λό-
γῳ καὶ ἀμφοτέρων ὁμοῦ καὶ μόνον αἰτίαν, τουτέστιν
ἀγέννητον καὶ ἀναίτιον· τὸν δὲ Υἱὸν τοῦ Θεοῦ καὶ
τὸ Πνεῦμα τὸ ἅγιον αἰτιατὰ μόνον ὡς ἐξαρχῆς τοῦ
Πατρός· οὐδαμῶς δὲ αἴτιον οὐδέτερον τούτων ἐν τῇ
θεότητι, ἢ ἀρχὴν καὶ θατέρῳ τὸ εἶναι διδὸν, ἀλλὰ D
μετὰ τοῦ Πατρὸς μίαν ἀρχὴν ὄντα τῶν ὅλων· πάντα
γὰρ ἐκ τοῦ Πατρὸς δι' Υἱοῦ ἐν Πνεύματι.

Αἴτιον δὲ τοῦ παναγίου Πνεύματος τὸν Υἱὸν τοῦ
Θεοῦ, ἢ ἀρχὴν, ἢ προβολέα, οὐ δύναμαι φρονεῖν,
οὔτε ὡς Θεὸν τὸ Πνεῦμα φοβούμενος, οὔτε ὡς Υἱὸν
τὴν μοναρχίαν αἰδούμενος, καὶ τὴν ἐν τῷ θεογόνῳ
καὶ καρποτόκῳ καὶ γονίμῳ πατρικὴν ἰδιότητα· οὔτε
τῇ ἑνότητι τῇ ζητουμένῃ ἔτι, καὶ ἀνηκούστῳ,
τῆς προβλητικῆς δυνάμεως πρὸς τὰ αὐτὰ ἐπαναχαμ-
πτούσης, καὶ τὸ αὐτὸ δέος ἐπισειούσης καὶ ἑκατέ-
ρωθεν· οὔτε τοῖς οὕτω φρονοῦσι κοινωνήσω ποτὲ,
ἀλλ' εἴ τις τὰ ἐν Φλωρεντίᾳ ὡροθετημένα περὶ τοῦ
καὶ τὸν Υἱὸν τοῦ Θεοῦ ἀρχὴν καὶ αἴτιον καὶ προβο-
λέα εἶναι τοῦ Πνεύματος, καὶ τὴν ὕπαρξιν καὶ ἐκ
τοῦ Υἱοῦ ἔχειν ὡς ἀρχῆς καὶ αἰτίου τὸ Πνεῦμα, ἀκυ-
ρῶν βεβαίως, ἀναμφιβόλως, ἀνυποκρίτως καὶ ἐγ-
γράφως, ὡς οὐδενὶ τῶν ἁγίων εἰρημένα, οὔτε ταῖς
οἰκουμενικαῖς συνόδοις, οὔτε ταῖς ἱεραῖς Γραφαῖς, καὶ
δὴ καὶ τὴν κακὴν τῆς *διὰ* προθέσεως παρεξήγησιν,
εἶτα ὁμολογήσειεν ἐμοὶ ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ-
πορεύεται ἐκ τοῦ Πατρὸς, ὡς ἀπαρχῆς καὶ αἰτίας
ὑφεστώσης αὐτὸ συμφυῶς· ἔνθα δέ ποτε λέγεται καὶ
ἐκ Πατρὸς δι' Υἱοῦ προϊέναι, νοεῖν τοῦτο διὰ τὸ συνα-
φὲς τῆς οὐσίας, καὶ τὴν ταύτης ἑνότητα, ὡς σὺν τῷ
Υἱῷ τε καὶ ἐν τῷ Υἱῷ τὸ εἶναι λαμβάνον, καὶ μίαν
οὐσίαν μετὰ τοῦ Υἱοῦ λαμβάνον, ἐκ τοῦ Πατρὸς ἅμα
ἐν διαφορότητι ὑποστάσεων, τούτῳ ἑνωθήσομαι ὅσον
ἐν τῷ περὶ τοῦ Πνεύματος ζητήματι· περὶ γὰρ τῶν
ἄλλων ἄλλος ἂν εἶεν λόγος.

Ὡς ἐν συνόψει τοίνυν τὴν ἡμετέραν γνώμην ἐκ- B
τίθεικα, μᾶλλον δὲ τὴν πάντων τῶν ἁγίων καὶ τῶν
Πατέρων ἡμῶν· διότι ἠσθόμην τινῶν ἀγνοεῖν λεγόν-
των τὸ πάτριον ἡμῶν δόγμα. Ὅπως ποτὲ γοῦν τοῦτο
σφίσι συμβαίνει τῷ ἔρωτι τῆς ἀληθείας, καὶ τῇ
ἀγάπῃ τῆς τῶν πλησίων ὠφελείας κεκινημένος, δεῖν
ᾠμην αὐτοὺς μὴ περιιδεῖν, ὡς ἂν μὴ λόγον ὠφλή-
σωμεν ὑπὲρ αὐτῶν. Καίτοι τοῖς σπουδαιοτέροις ἀρ-
κεῖ τὰ ἐν δυσὶ τεύχεσι ἐπεξειργασμένως ἐκτεθειμέ-
να, καὶ πρὸ αὐτῶν ἀρκοῦσι τὰ τῶν ἡμετέρων διδα-
σκάλων βιβλία πολλὰ καὶ γενναῖα, φανεροῦντα ἱκα-
νῶς τὸ δόγμα τὸ πάτριον. Ἀλλ' ἔδει καὶ τῶν μὴ
τοιούτων ποιήσασθαι πρόνοιαν, ὥστε διὰ πάντων τὸ
ἡμέτερον ἀνυσθῆναι καλῶς ἅπαν σὺν Θεῷ φάναι, ὡς
ἂν ἔχοιμι καὶ αὐτὸς εἰπεῖν, Τί ὤφειλον ποιῆσαι, καὶ
οὐ πεποίηκα τῇ δόξῃ τῆς ἀληθείας, καὶ τῇ τῶν Πα-
τέρων τιμῇ; τί ὤφειλον τοῖς ἐκείνων παισὶν ὑφηγή-
σασθαι, καὶ σκοπῷ τινι ἀνθρωπίνῳ ὑφεισάμην τῆς
ὁδηγίας, ὕστατος ἐν τοῖς ὑστάτοις χρόνοις ἐν τῇ τά-
ξει τῶν δυναμένων τι λέγειν περὶ πίστεως; ὑπὸ τῆς
τοῦ Θεοῦ προνοίας κατατεταγμένος; καὶ εἴη γε ἐπ'
ὠφελείᾳ αὐτοῦ τε ἐμοῦ καὶ τῶν συμφωνούντων.

Ἔσται δὲ ὅτι ἀδύνατόν ἐστι, τοὺς τὴν εὐαγγελικὴν
φωνὴν προτιμῶντας τῶν ἀνθρωπίνων σοφισμάτων
ἀνοδίας ἢ κινδύνου πειρασθῆναί τινος. Τοῦτο γοῦν
πεποιηκὼς τοῦ λοιποῦ σιωπῶ, ἐῶν τῷ Θεῷ ἐπιτρο
πεύειν τῶν τῆς ἀληθείας δογμάτων, καὶ τῆς Ἐκκλη-
σίας αὐτοῦ ὡς ἂν αὐτὸς ἄμεινον εἰδείη, πάντας
παρακαλῶν, καὶ πᾶσιν εὐχόμενος μὴ ἀμελῶς, ἢ κο- D
σμικῶς, ἢ ἀπίστως τὰ τοιαῦτα μεταχειρίζειν ἢ
σκοπεῖσθαι, μήτε τοῖς ὑφ' ἑνὸς τούτων τῶν παθῶν,
ἢ καὶ πάντων ἀγομένοις συντίθεσθαι.

Τολμήσει δὲ οὐδεὶς, Γραικὸς ὤν, κατὰ ταυτησὶ τῆς
ἡμετέρας ὁμολογίας εἰπεῖν τι, ἂν μὴ πατραλοίας ᾖ
καὶ μητραλοίας, καὶ τοῖς τὴν Ἐκκλησίαν καταξάνασι
τὴν μητέρα σοφισταῖς ἐξ ἡμῶν, ὡς μὴ ὤφειλεν
ἀνασχοῦσιν, ἀντὶ τῶν γνησίων ταύτης υἱῶν τῶν εὐ-
σεβῶς ὑπὲρ ταύτης στρατευσαμένων τιθέμενος, ἢ
ἁπλοῦς τις ἄλλως καὶ παιδαριώδεσι προσεσχηκὼς
φλυαρήμασιν ἀντὶ τοῦ μεμεστωμένου φρονήματος
τῶν ἱερῶν Πατέρων ἡμῶν. Περὶ δὲ τῶν μὴ ὄντων ἐκ
τῆς ἡμετέρας Ἐκκλησίας ποτὲ οὐδὲν λέγω. Οὔτε
γὰρ τοῖς ἐκείνων νόμοις ἡμεῖς, οὔτε ἐκεῖνοι τοῖς νό-
μοις ἡμῶν ὑπόκεινται, ἐξ ὅτου τὴν ἰδιορρυθμίαν

ἐξαπάσαντο. Αὕτη ἐστὶν ἡ τῆς ἐμῆς πίστεως ὁμολογία. Οὕτω πιστεύω τὴν ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς τοῦ παναγίου Πνεύματος ἐκπόρευσιν, εἴτουν ὑπόστασιν. Περὶ δὲ τῆς ἐκκλησιαστικῆς διορθώσεως ἄλλος ἂν εἴη λόγος. Διορθώσαι τὰ κατ' αὐτὴν ὁ Κύριος, ὡς αὐτὸς ἔχει θέλημα, καὶ εὐχόμεθα ἡμεῖς, εἰ καὶ μὴ δυνάμεθα, ὅτι αὐτῷ πρέπει δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΚΕΦΑΛ. Β'.

Τοῦ αὐτοῦ περὶ τῶν ῥητῶν τῶν δυτικῶν ἁγίων ἅπερ οἱ Λατῖνοι προφέρουσιν ἐκ τῶν παρὰ σφίσι βιβλίων ὡς λέγουσι τῶν Λατινοφρόνων, ἑρμηνευσάντων ὡς νῦν περιΐδεται ταῦτα, ἀπόκρισις σύντομος καὶ περιεκτική.

Ἐπειδὴ Λατῖνοι, καὶ οἱ τὰ αὐτὰ φρονοῦντες αὐτοῖς περὶ τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως, B ποριζονταί τινα ἀπὸ τῶν δυτικῶν ἁγίων, καὶ μάλιστα τοῦ Αὐγουστίνου, βοήθειαν, ὥς φασι, καὶ θεμέλιον τῆς κακῆς ἐν Φλωρεντίᾳ συμβάσεως τοῦτον ὑπεβάλοντο, τὴν τῶν διδασκάλων, ὡς ᾤοντο, συμφωνίαν, τῶν Ἀσιανῶν καὶ τῶν ἐκ τῆς Ἑσπέρας, ὡς ἐν τῷ Φλωρεντιακῷ ὅρῳ τῶν Λατίνων κεῖται· δεῖ καὶ περὶ τούτων ἡμᾶς βραχέσι ῥήμασι πληροφορῆσαι πάντας σαφῶς τὴν ἀληθῆ καὶ δικαίαν κρίσιν, ἐπεὶ πλατύτερον ἐν τοῖς δυσὶ βιβλίοις ἡμῶν περὶ αὐτῶν πεπραγμάτευται. Ὅσον μὲν οὖν πρὸς τὰς ἡμῶν ἰδίᾳ συνειδήσεις, οἵτινές ἐσμεν υἱοὶ γνήσιοι τῆς καθολικῆς Ἐκκλησίας, καὶ εἶναι βουλόμεθα, καὶ διάδοχοι ἀληθεῖς τῆς τῶν Πατέρων ἡμῶν εὐσεβείας, οὐδὲν ποιεῖ τὸ τῶν ῥητῶν ἐκείνων τῶν δυτικῶν, οὐδὲ φροντίζειν ἡμᾶς περὶ αὐτῶν χρὴ, ὅσον ἐν τῇ παρούσῃ ὑποθέσει. Πρῶτον μὲν ὅτι τὴν πίστιν ἡμεῖς οὐκ ἐκ τῶν ἁγίων ἐκείνων, ἀλλ' ἐκ τῶν ἀνατολικῶν ἔχομεν, ὧν τὰς βίβλους κεκτήμεθα, καὶ τῆς φωνῆς ἐπαΐομεν, καὶ ἀρχοῦν ἐστιν ἡμῖν συμφωνεῖν περὶ τῆς τοῦ Πνεύματος ἐκπορεύσεως, οἷς συμφωνοῦμεν καὶ ἐπόμεθα ἐν τῇ καθόλου πίστει· καὶ μάλιστα ὅτι οὗτοι οἱ τῆς Ἀσίας διδάσκαλοι ἀξιωματικώτεροί εἰσι, στρατευσάμενοι κατὰ τῶν αἱρέσεων καὶ ἐν ταῖς οἰκουμενικαῖς παραγεγενημένοι συνόδοις, ἄλλοτε ἄλλοι κατὰ καιροὺς καὶ τὴν πίστιν καὶ τὸ ταύτης Σύμβολον εἰς τὴν σύμπασαν τῶν Χριστιανῶν Ἐκκλησίαν ὥσπερ νομοθέται τινὲς παραπέμψαντες· δεύτερον ὅτι τοῦτο τὸ περὶ τῶν δυτικῶν ἁγίων ἀεὶ ἐλαλεῖτο ὑπὸ Λατίνων μετὰ τὴν ἐν τῷ Συμβόλῳ προσθήκην αὐτῶν εἰς αὐτῶν ἐξαιτίασιν, καὶ οὐδέποτε D τοὺς ἡμετέρους Πατέρας τοῦτο ἐτάραττεν, ἢ ἔπειθε βελτίω δόξαν ἔχειν περὶ τῆς Λατινικῆς καινοτομίας. Πάντες γὰρ οἱ ἡμέτεροι Πατέρες, ἐν τοῖς ἑαυτῶν συγγράμμασι κατὰ Λατίνων, ἀπολογίας τινὰς τιθέασι, καὶ περὶ τῶν ῥητῶν τῶν Δυτικῶν, ἃ Λατῖνοι προφέρουσιν, ὥστε ἀεὶ προεφέροντο ὑπ' ἐκείνων. Δεῖ γοῦν ἀρκεῖν ἡμῖν τὴν τῶν ἡμετέρων Πατέρων κρίσιν τοσούτων καὶ τηλικούτων ἐν πεντακοσίοις χρόνοις σχεδόν· ἦν δὲ κρίσιν αὐτῶν περὶ τῶν ῥητῶν ἐκείνων, εἰ μὴ ἔχομεν καὶ ἀπὸ τῶν συγγραμμάτων λαβεῖν αὐτῶν, ἀλλ' ἀπὸ τοῦ ἔργου, τουτέστι τῆς βεβαιότητος πρὸς τὴν καινοτομίαν ἐνστάσεως ἀρκούντως ἔχομεν, οἷς τὸ συνειδὸς οὐ διέφθειρεν. Ἀλλ' ἐπειδὴ ἐκ περιουσίας δεῖ ἔχειν τι ἀπολογεῖσθαι A πρὸς τοὺς προφέροντας ὥστε μέγα δικαίωμα τὸν Αὐγουστῖνον τὸν μακάριον, καὶ τὰ ἐκείνου ῥητὰ, καίτοι γε οἱ πλείους οὔτε Αὐγουστῖνον οἴδασιν, οὔτε τὰ ἐκείνου, ἀλλὰ φωνῆς οὕτω παρὰ Λατίνων δραξάμενοι, ὅτι καὶ οἱ δυτικοὶ ἅγιοι μαρτυροῦσιν αὐτοῖς, ἐπαχθεῖς ἡμῖν γίνονται διὰ κουφότητα ἢ ἀπιστίαν τῶν ἀληθῶν, ἕτοιμοι ὄντες παντὶ λόγῳ πιστεύειν, καὶ τῷ φαινομένῳ προστίθεσθαι. Εἰς τρία δὲ τὴν ὑπὲρ τῶν ῥητῶν ἐκείνων ἀπολογίαν μερίζομεν.

Τὸ πρῶτόν ἐστιν ὅτι οὐδὲν πιστὸν ἔχομεν περὶ τῆς τῶν ῥητῶν γνησιότητος, καὶ διὰ τοῦτο οὐκ ἔστι νοῦν ἐχόντων, ἀφέντας τὰ γνώριμα καὶ πιστὰ τοῖς ἀμφιβόλοις προσθέσθαι. Πολλὴν γὰρ ὑποψίαν ἔχει τὸ περὶ τῶν ῥητῶν ἐκείνων, καὶ βεβαιοῦσιν εἰς τὴν ὑπο- B ψίαν ταύτην ἡμᾶς οὐκ ὀλίγα. Πρῶτον μὲν ὅτι οὐχ εὕρηται· τοῦτο ἐν ταῖς κανονικαῖς γραφαῖς, καὶ διὰ τοῦτο οὐκ ἂν ἐκεῖνοι τοῦτ' εἶπον οἱ ἅγιοι, οὔτε συνάγεται ἐκ τῶν Γραφῶν ἀναγκαίως· ἤ γὰρ ἂν τις καὶ τῶν Ἀσιανῶν ἁγίων τοῦτο συνῆγε· δεύτερον ὅτι καὶ κρημνῶδες ὂν καὶ ἐπικίνδυνον, διὸ καὶ ἀποπηδῶσιν αὐτοῦ οἱ τῆς Ἀνατολῆς διδάσκαλοι πάντες, οὐκ ἂν ἐκεῖνοι λέγειν ἐθάρρησαν. Ὁ γὰρ Ἱερώνυμος φησιν ὅτι ἐν τῷ τῆς ὑποστάσεως ὀνόματι ὥσπερ ἐν μέλιτι δηλητήριον κέκρυπται· ἐνδέχεται γὰρ διὰ τοῦ ὀνόματος τούτου τοὺς ἁπλουστέρους ἀπατωμένους ὁμολογεῖν πλείους οὐσίας, ὥσπερ καὶ πλείους ὑποστάσεις, διότι ἡ ὑπόστασις ἀπὸ τοῦ ὑφεστάναι τοῖς συμβεβηκόσι νοεῖτο, οὗ χάριν καὶ τέθειται τὴν ἀρχὴν, τὴν οὐσίαν σημαίνει κυρίως. Πῶς C οὖν αὐτὸς Ἱερώνυμος, ἢ ὁ μετ' αὐτὸν Αὐγουστῖνος οἱ διδοικότες τὸ τῆς ὑποστάσεως ὄνομα, ἵνα μὴ πρόφασιν διαφορᾶς παράσχωνται τοῖς λαοῖς, ἔδωκαν ἂν αὐτοὶ μέλι πολλὰ ἔγκρυπτον, καὶ χαλεπὰ δηλητήρια; Τί γὰρ δεινὸν οὐχ ἕπεται τούτου τεθέντος, ἡ δυαρχία; Εἰ προσωπικῇ δυνάμει διῃρημένῃ προάγουσιν ὁ Υἱὸς καὶ ὁ Πατὴρ, τὸ Πνεῦμα τὸ ἅγιον, ἡ συναλοιφὴ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ. Εἰ προσωπικῇ δυνάμει μιᾷ προάγουσιν, ἡ ὕφεσις τοῦ Πνεύματος. Εἰ οὐσιώδει δυνάμει τοῦτο προάγουσιν ἀκοινωνήτως πρὸς τὸ Πνεῦμα, ἡ τετρὰς τῶν θείων ὑποστάσεων, καὶ εἰ βούλει γε, καὶ ἡ ἀπειρία. Εἰ οὐσιώδει δυνάμει τοῦτο προάγουσι κοινωνητῇ πρὸς τὸ Πνεῦμα ἢ τὸ πρώτην ἀρχὴν εἶναι τὸ Πνεῦμα ἐν τῇ θεότητι ἢ μᾶλλον μηδε- D μίαν εἶναι ὑπόστασιν κυρίως αἰτίαν, ἀντιστρεφούσης ἐν αὐταῖς τῆς θεογονίας, ἄλλα τοιαῦτα ἕπονται, ἃ οὐχ ἁρμόττει τῇ παρούσῃ τοῦ λόγου χρείᾳ ἐξιστορεῖν· ἐν δὲ τοῖς ῥηθεῖσι βιβλίοις ἐπεξείργασται. Τῷ δὲ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ μόνου τοῦ Πατρὸς ἐκπορεύεσθαι οὐδὲν ἄτοπον σύνεστι. Πᾶσα μὲν οὖν ἡ ἀλήθεια τῆς πίστεως βεβαιοῦται τούτῳ τῷ δόγματι. Εἰ γάρ καί τινες φλυαροῦσιν, ὅτι ἔποιτο ἂν ἐντεῦθεν μὴ εἶναι τὸν Υἱὸν ἀληθῆ Θεὸν, μὴ καὶ αὐτὸν τὸ Πνεῦμα προβάλλοντα, τούτους μὲν οὐδ' ἀποκρίσεως ἐχρῆν ἀξιοῦν. Ἀλλ' ἵνα μή τινας ἁπλουστέρους ταράττωσι ταῦτα λέγοντες, ὁ Κύριλλος παρίτω τούτου τοῦ δίους ἀπαλλάττων πάντας ἀνθρώπους. « Οὐκ ἂν τις εἴποι νοῦν ἔχων, φησὶν, ἀνόμοιον φαίνεσθαι τῷ Πατρὶ τὸν Υἱόν· ἐπεὶ μὴ καὶ αὐτὸς ἐγέννησεν, μηδὲ Υἱοῦ γέ-

γονε Πατὴρ, ἀλλὰ μᾶλλον διὰ τοῦτο θαυμαστήν τινα καὶ ἀκριβεστάτην ὄψεται τοῦ Πατρὸς ἐν τῷ Υἱῷ τὴν εἰκόνα. Ὥσπερ γὰρ ὁ Πατὴρ, ἄτρεπτός τε καὶ ἀναλλοίωτος ὢν, ἀεὶ μένει Πατὴρ, καὶ εἰς Υἱὸν οὐ μεταβάλλεται, οὕτως ὁ ἐξ αὐτοῦ Λόγος Υἱὸς προελθὼν, μένει τοῦθ' ὅπερ ἐστὶ, τοῦ Πατρὸς τὸ ἀναλλοίωτον, καὶ διὰ τοῦτο δεικνύων ἐν ἑαυτῷ, ὅμοιος ὢν καὶ κατὰ τοῦτο τῷ Πατρί.

Οὐκοῦν μωρία ἐστὶ τὸ λέγειν, Ἀνόμοιος ἂν εἴη ὁ Υἱὸς τῷ Πατρὶ μὴ αἴτιος ὢν καὶ αὐτὸς τοῦ Πνεύματος. Ὅμοιος μὲν οὖν ἐστι διὰ τοῦτο, μένων ἐν τῇ ἑαυτοῦ ἰδιότητι, καὶ μὴ ἁρπάζων τὴν πατρικὴν ἰδιότητα, ἥτις ἐστὶν ἡ ἀγεννησία, εἴτουν ἡ αἰτία τῶν ἐξ αὐτοῦ· εἰ δὲ μὴ, διὰ τί μὴ τρέμουσιν οὗτοι, μὴ καὶ τὸ Πνεῦμα ἀνόμοιον ᾖ, ὃ στεροῦσι τὸ γεννᾷν καὶ τὸ προβάλλειν, οὐ καλῶς στεροῦντες, εἴ γε καὶ τῷ Υἱῷ τὸ προβάλλειν μεταδιδόασιν; Εἰ γὰρ καὶ τὸ προβάλλειν ἀντικείμενόν ἐστι τῷ προβάλλεσθαι, οὕτω γὰρ ἀποκρίνονται σοφιζόμενοι, ὡς δειχθήσεται, ἀλλὰ τὸ γεννᾷν οὐκ ἔστιν ἀντικείμενον τῷ προβάλλεσθαι. Ὥσπερ οὖν κατ' αὐτοὺς ὁ Υἱός ἐστι καὶ προβολεὺς, διὰ τὸ μὴ ἀντικεῖσθαι τῷ γεννᾷν τὸ προβάλλειν· οὕτω καὶ τὸ Πνεῦμα τοὐλάχιστόν ἂν εἴη γεννήτωρ, διὰ τὸ μὴ ἀντικεῖσθαι τῷ προβάλλεσθαι τὸ γεννᾷν, οὐδὲν ἧττον ἢ ἐκεῖνα οὐκ ἀντίκειται κατ' αὐτοὺς ἐν Υἱῷ. Πῶς οὖν οὐ προδήλως τῷ Πνεύματι μάχονται, τὸν Υἱὸν δοκοῦντες σέβειν κακῶς, καὶ τὸν τῆς ἰσότητος λόγον ἐν τοῖς θείοις προσώποις λύουσιν;

Ἐπανερχόμενος τοίνυν λέγω ὅτι οὐκ ἂν Αὐγουστῖνος καὶ Ἱερώνυμος ἔδωκαν μέλι τοσαῦτα δηλητήρια κρύπτον. Πολλῷ μᾶλλον ἐχρῆν αὐτοὺς φοβηθῆναι εἰπεῖν, ὃ μηδεὶς εἶπε τῶν ἐν τῇ Ἀνατολῇ διδασκάλων οὓς ἐκεῖνοι εἶχον παράδειγμα, ἢ ὃ πάντες ἔλεγον τὴν ὑπόστασιν.

Τρίτον βεβαιοῖ ἡμῖν τὴν περὶ τῶν ῥητῶν ὑποψίαν, ὅτι Ἱερώνυμος καὶ Αὐγουστῖνος ὡμολόγουν τὴν τῆς καθολικῆς Ἐκκλησίας ὁμολογίαν, καὶ τὸ ἐν Κωνσταντινουπόλει ἐκήρυττον Σύμβολον, καὶ οὐκ ἂν ἦν εἰκὸς αὐτοὺς ἄλλα μὲν ὁμολογεῖν ἐν κοινῷ καὶ παῤῥησίᾳ, ἄλλα δὲ ἰδίᾳ συγγράφειν. Τέταρτον, ὅτι οἱ Λατῖνοι προσέθηκαν τῇ θεολογίᾳ τοῦ Χριστοῦ τοῦ Δεσπότου ἡμῶν καὶ τῶν οἰκουμενικῶν συνόδων τῇ πίστει μόνοι, τί θαυμαστὸν ἦν προσθεῖναι αὐτοὺς καὶ ἐν ταῖς τῶν διδασκάλων αὐτῶν βίβλοις, ὧν τὸ ὄξίωμα ἔλαττόν ἐστι τῶν οἰκουμενικῶν συνόδων; Πέμπτον, ὅτι ἐν τῇ Φερράᾳ, πρὶν ἀπελθεῖν εἰς τὴν Φλωρεντίαν, καὶ προδοῦναι τὴν ἀλήθειαν ἀγεννῶς συνηγμένων πάντων ἡμῶν ἐν μιᾷ ἀκροάσει, ἀνέγνω ὁ τῶν Λατίνων τότε ὑπεραπολογούμενος ἀρχιεπίσκοπος Ῥόδου ὁ φρὰ Ἀνδρέας ἐκ τῶν Πράξεων τῆς ζ' συνόδου ἐν βιβλίῳ Λατινικῶς γεγραμμένῳ, ὅτι τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς καὶ Υἱοῦ ἐκπορεύεται, καὶ ἡμεῖς πλατὺν ἐγελάσαμεν γέλωτα. Ἡ γὰρ τοῦ Ταρασίου ὁμολογία ταῖς Πράξεσιν ἐγκειμένη ἐκ Πατρὸς δι' Υἱοῦ λέγει ἐκπορεύεσθαι, οὐκ ἐκ Πατρὸς καὶ Υἱοῦ. Ὅθεν καὶ αἰδεσθέντες, κατέγνωσαν αὐτοὶ τοῦ ῥηθέντος ἐπισκόπου καὶ ἐξέβαλλον τοῦ ὑπὲρ αὐτῶν διαλέγεσθαι. Ἦν δὲ τὸ βιβλίον ἐκεῖνο οὕτω γεγραμμένον ὁμολογουμένως ὡς ὑπὸ τοῦ ἀρχιεπισκόπου ἐκείνου ἀνεγνώσθη διεφθαρμένως. Ἔκτον, ὅτι εἰ καὶ μὴ διεφθάρησαν πρότερον τὰ βιβλία, πρὸ τῆς ἐν τῷ Συμβόλῳ προσθήκης, ἀλλ' ὕστερον τοῦτο πεπονθέναι ταῦτα καὶ λίαν εἰκός ἐστι, καὶ εἴπερ τι ἄλλο καὶ τοῦτο εἰκός. Οἱ γὰρ μεταγράφοντες τὰς τῶν διδασκάλων βίβλους ἐν Λατίνοις, ἰδιῶται ὄντες οἱ πλείους, ἔνθα εὑρίσκουσί τι περὶ τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως, μεταγράφουσιν αὐτὸ κατὰ τὴν τῆς διδασκαλίας ὁμολογίαν, οὐ καθὼς εὑρίσκουσιν αὐτὸ κείμενον, οἰόμενοι αὐτὸ ἐσφάλθαι, κανόνι χρώμενοι τῷ ἐν ταῖς ἐκκλησίαις ᾀδομένῳ Συμβόλῳ, καὶ οὕτω πάντα τὰ βιβλία πρὸς τὸν τῆς προσθήκης μετεπλάσθησαν τύπον· καὶ ἄλλα πολλὰ τοιαῦτα τὴν περὶ τῶν ῥητῶν ἐκείνων ὑποψίαν ἡμῖν ἐνεργάζονται.

Δεύτερον τίθημι, ὅτι πάντα τὰ βιβλία τὰ παρ' ἐκείνοις οὐδεμίαν ἐδέξαντο μεταβολὴν, οὔτε ἐκ τινος κακουργίας, οὔτε ἐκ τῆς τῶν μεταγραφόντων ἰδιωτείας προβαλούσης τὴν τῆς ὁμολογίας αὐτῶν συνήθειαν. Λέγω ὅτι, εἰ καὶ Αὐγουστῖνος λέγει, ὅτι ἐκπορεύεται τὸ Πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ, οὐκ ἀνάγκη οὕτω καὶ τὴν καθόλου Ἐκκλησίαν μεταβαλοῦσαν διὰ τὸν Αὐγουστῖνον φρονεῖν. Ἐκείνη γὰρ Αὐγουστίνῳ τοὺς τῆς πίστεως τίθησι νόμους, καὶ ἑκάστῳ τῶν ἄλλων ἁγίων, καὶ οὐκ αὐτὴν ὑπ' αὐτοῦ χρὴ κανονίζεσθαι, οὐδὲ ἀνάγκη, διότι Αὐγουστῖνος εἶπεν οὕτως, καὶ οὕτως ἔχειν· τοῦτο γὰρ ταῖς κανονικαῖς μόνον Γραφαῖς, καὶ ταῖς οἰκουμενικαῖς συνόδοις τὸ γέρας πεφύλακται. Καὶ ἀπὸ μὲν τούτων οὐκ ἔξεστιν οὐδενὶ ἀναχωρεῖν ὀρθοδόξῳ, ἅγιον δέ τινα ἢ καὶ δύο εὐλαβῶς παραιτεῖσθαι, ἐν οἷς μὴ συμφωνεῖ τῇ κοινῇ δόξῃ, εἴτε ὑπὸ τῆς ἐν τῷ λέγειν κατὰ τῶν αἱρετικῶν ἀνάγκης, εἴτε ὅπως ποτὲ εἴη τοῦτο συμβὰν αὐτῷ, ἄνευ τῆς πρὸς τὴν Ἐκκλησίαν φιλονεικίας· εἰ γὰρ ἐφιλονείκησεν, οὐδ' ἂν εἴη ἅγιος. Καὶ τοῦτ' ἐστὶ τὸ διακρίνειν αἱρετικοὺς καὶ ὀρθοὺς διδασκάλους, οὐ τὸ τοὺς μὲν μηδὲν ἀπᾴδον δοξάσαι καὶ εἰπεῖν τούτους ἁγίους, τοὺς δ' ὑπαχθῆναι τῷ ψεύδει τούτους αἱρετικοὺς, ἀλλὰ τῷ φιλονεικῆσαι διῄρηνται. Ἀφιλονείκως δὲ πρὸς τὴν Ἐκκλησίαν πολλοὶ πολλὰ παρὰ τὴν κοινὴν ἐφρόνησαν δόξαν, οἷς ἡμεῖς οὐ τιθέμεθα· καὶ ὅμως αὐτοὺς ὡς ἁγίους ἀνυμνοῦμεν καὶ διδασκάλους, διότι μὴ πεφιλονεικήκασι πρὸς τὴν Ἐκκλησίαν. Ἔχοντες δὲ αὐτοὺς διὰ τοῦτο ἁγίους, ὅμως οὐκ ἀναγκαζόμεθα φρονεῖν ἐκεῖνα, ὡς αὐτὸς ἕκαστος εἶπε μᾶλλον ἢ ὡς οἱ πλείους τῶν ἁγίων, ἢ ὡς αἱ σύνοδοι, ἢ ὡς ὡριμωτέρα σκέψις τῶν ταῦτα ἐξεταζόντων πληροφορῦσιν ἡμᾶς. Οὕτως ὁ μέγας Γρηγόριος ὁ Θαυματουργὸς εἶπεν ἐν ἐκθέσει τῆς πίστεως, ὅτι ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἐπινοίᾳ μέν εἰσι δύο, ὑποστάσει δὲ ἕν. Καὶ ἐξαιτιᾶται αὐτὸν ὁ μέγας Βασίλειος ἐν τοῖς Ἀσκητικοῖς, ὅτι οὐ δογματικῶς εἶπε τοῦτο, ἀλλ' ἀγωνιστικῶς.

Ὁ αὐτὸς δὲ Βασίλειος καὶ περὶ Διονυσίου τοῦ Ἀλεξανδρείας καὶ μάρτυρός φησιν, ὅτι « Οὐ πάντα θαυμάζομεν τοῦ ἀνδρός· ἀλλ' ἔστιν ἃ καὶ παντελῶς διαγράφομεν· σχεδὸν γὰρ ταυτησὶ τῆς νῦν θρυλλουμένης ἀσεβείας, τῆς κατὰ τὸν Ἀνόμοιον λέγω, οὗτός ἐστιν, ὅσα γε ἡμεῖς ἴσμεν, ὁ πρῶτος ἀνθρώποις τὰ

σπέρματα παρασχών. Αἴτιον δὲ οἶμαι οὐ πονηρὰν γνώμην, ἀλλὰ τὸ σφόδρα βούλεσθαι ἀντιτείνειν τῷ Σαβελλίῳ. Καὶ αὖθις περὶ τοῦ ἁγίου Γρηγορίου τοῦ Θαυματουργοῦ φησιν ὁ αὐτὸς, ὅτι « Πολλὰς ἂν εὕροις ἐκεῖ φωνὰς, ἢ ὡς ἐν τοῖς τοῦ Γρηγορίου συγγράμμασι τοῖς νῦν αἱρετικοῖς μεγίστην παρεχομένας ἰσχὺν, ὡς τὸ κτίσμα καὶ τὸ ποίημα καὶ εἴ τι τοιοῦτον. » Καὶ Γρηγόριος ὁ Νύσσης τὴν ἀποκατάστασιν καὶ τὸ τέλος τῆς κολάσεως ἐναργῶς φρονεῖν φαίνεται, εἰ καὶ Μάξιμος ὁ ἱερὸς καλῶς ποιῶν, τὸ ἀπηχὲς τῆς ἐκείνου λέξεως μηχαναῖς τισι πρὸς τὸν εὐσεβῆ νοῦν μεταῤῥυθμίζειν πειρᾶται. Καὶ αὐτὸς Αὐγουστῖνος τὴν ψυχὴν τοῦ ἀνθρώπου τοῦ πρώτου Ἀδὰμ δηλονότι δημιουργηθῆναι δοξάζει πρὸ τοῦ σώματος, καὶ ἰδίᾳ βουλήσει ῥέψαι αὐτὴν πρὸς τὸ σῶμα ὥστε ὑπουργῆσαι τῇ γενέσει. Καὶ Ἱερώνυμος, μετ' αὐτοῦ, « Ἔμψυχα, φησὶ, τὰ οὐράνια σώματα. » Ταῦτα δὲ ὡς Ὠριγένους καὶ Μανιχαίων δόξα καὶ Πλάτωνος ἐκ τῆς Ἐκκλησίας ἀπεβουκολήθησαν ἐν τῇ πέμπτῃ συνόδῳ, ἡ δὴ σύνοδος μετὰ τοὺς ἁγίους τούτους πολὺ γέγονε. Διό καὶ Θωμᾶς ὁ τῶν Λατίνων διδάσκαλος ἔνθα ἂν εὕροι Αὐγουστῖνον τὸν μακάριον καὶ Ἱερώνυμον διαφωνοῦντας τῷ κοινῷ τῆς Ἐκκλησίας δόγματι, Βασίλειον καὶ Δαμασκηνὸν, καὶ Γρηγόριον τὸν μέγαν τοὺς ἡμετέρους προΐσταται, καὶ τούτοις μᾶλλον ἀκολουθεῖ, πάνυ καλῶς ποιῶν. Ὃν τοὐλάχιστον καὶ ἡμᾶς μιμεῖσθαι ἐχρῆν, εἰ μηδὲν ἕτερον ᾠδειμεν Λατῖνον ὄντα, ὡς μήτε ἐνὶ πρὸ πάντων τίθεσθαι, καὶ τοῖς τἆλλα ἀκριβεστέροις, καὶ ἐν τῷ περὶ τῆς ἐκπορεύσεως μᾶλλον τίθεσθαι.

Ὅτι δὲ ἐνδέχεταί τινα διδάσκαλον διαμαρτεῖν ἐν τινι τῆς ἀκριβείας ἄνευ αἱρέσεως, εἰ μὴ πεφιλονείκηκε, διακριβείσης αὐτοῦ τῆς δόξης ἐν τῷ κοινῷ, καὶ αὐτὸς Αὐγουστῖνος μάρτυς ὁ ἱερός· καὶ ὅτι αὐτὸς ἡμῖν συμβουλεύει, μὴ προσίεσθαί τι τῶν αὐτοῦ, ἐν ᾧ τοῖς πλείστοις ἢ τῷ κοινῷ κανόνι διαφωνῶν φαίνοιτο. Ἄνευ γὰρ τῶν πρὸς τὸν Φουρτουνᾶτον ἀπεσταλμένων αὐτῷ, ὧν μέρος τῇ ὁμολογίᾳ ἡμῶν ἐνετάξαμεν, πρὸς μὲν Ἱερώνυμον λέγων, « Μόναις ταῖς κανονικαῖς λεγομέναις τῶν Γραφῶν βίβλοις ταύτην ἀποδιδόναι μεμάθηκα τὴν τιμὴν, ὥστε μηδένα πλανηθῆναι τῶν ἐκείνοις συγγραψαμένων βεβαίως· πιστεύειν· τοὺς δ' ἄλλους οὕτως ἀναγινώσκω, ὥστε κἂν ὁποσῳοῦν ἀγιωσύνῃ καὶ διδασκαλίᾳ διήνεγκαν, μὴ διὰ τοῦτο ἀληθὲς νομίζειν, ὅτι οὕτως ἔγραψαν ἢ ἐνόησαν. » Καὶ αὖθις ὁ αὐτὸς ἐν τῇ πρὸς τὸν αὐτὸν Ἱερώνυμον ἐπιστολῇ· « Ἐγὼ μόνοις ἐκείνοις τῶν συγγραφέων, οἳ ἤδη κανονικοὶ προσαγορεύονται, μεμάθηκα τοῦτον τὸν φόβον καὶ ταύτην τὴν τιμὴν ἀπονέμειν, ὡς μηδένα τούτων τολμᾷν πιστεύειν ἐν τῷ γράφειν πλανηθῆναι. Καὶ εἴ τῳ δὲ προσκόψαιμι τῶν ἐν τοῖς αὐτῶν συγγράμμασι δοκούντων ἐναντίον εἶναι τῇ ἀληθείᾳ, οὐδὲν ἄλλο ὑπολαμβάνω, εἰ μὴ ἢ ψευδεπίγραφον εἶναι τὸ βιβλίον, ἢ μὴ παρηκολουθηκέναι τὸν ἑρμηνέα τοῖς εἰρημένοις, ἢ ἐμὲ ἥκιστα νοεῖν οὐκ ἀμφιβάλλω. Τοὺς δ' ἄλλους οὕτως ἀναγινώσκω, ὥστε, κἂν ὁσηδήποτε ἁγιωσύνῃ καὶ διδασκαλίᾳ λάμπωσιν, οὐ διὰ τοῦτο ἀληθὲς ὑπολήψομαι, ὅτι οὕτως ἐφρόνησαν αὐτοὶ, ἀλλ' ὅτι μοι τὸ τῇ ἀληθείᾳ μὴ ἀντιφθεγγόμενον ἀποδεῖξαι οὐκ ἠδυνήθησαν ἢ δι' ἄλλων συγγραφέων, ἢ διὰ κανονικῶν καὶ ἀποδεικτικῶν λόγων. » Καὶ αὖθις ὁ αὐτὸς ἐν τῇ πρὸς νικητὴν τῶν νικώντων ἐπιστολῇ· « Μὴ θέλε, ἀδελφὲ, κατὰ τῶν θείων μαρτυριῶν, οὕτω μὲν πολλῶν, οὕτω δὲ λαμπρῶν, οὕτω δὲ ἀναμφισβητήτων ἀγείρειν συκοφαντίας ἐκ τῶν συγγραμμάτων τῶν ἡμετέρων ἢ τῶν ἐπισκόπων, ὥσπερ Ἱλαρίου, ἢ Κυπριανοῦ καὶ Ἀγριππίνου πρὸ τῆς Δονάτου διαιρέσεως. Πρῶτον μὲν ὅτι τοῦτο τὸ γένος τῶν συγγραμμάτων διακέκριται τῆς σεβασμιότητος τῶν κανονικῶν Γραφῶν· οὐ γὰρ οὕτως· ἀναγινώσκονται, ὡς μαρτυρίας ἐξ αὐτῶν περιφέρεσθαι, καὶ μὴ ἐξεῖναι ἀπεναντίας φρονεῖν, ἔνθα ἄλλως ἴσως φρονοῦσιν, ἢ ἡ ἀλήθεια ἀπαιτεῖ· καὶ ὅτι δὲ Αὐγουστῖνος ὁ μακάριος πολλὰ λέγει μὴ διισχυριζόμενος, ἀλλ' ὥσπερ ἐν ἀμφιβόλῳ καταλείπων, ἢ διὰ τὸ προσεῖσθαι ἔτι καὶ τῷ φαινομένῳ εὐλόγῳ, μὴ μόνον τῇ παραδόσει τῆς πίστεως, ἢ διὰ τὸ μήπω ἐπιστῆσαι περὶ αὐτῶν τίποτε τῷ καινῷ τῆς Ἐκκλησίας δοκεῖ, ἅτε ὀψὲ ἡλικίας ἐκ τῆς τῶν Μανιχαίων, ταύτην δὲ εἰπεῖν, Πλατωνικῆς αἱρέσεως σχεδὸν, εἰς τὴν ἀληθῆ πίστιν ἐλθὼν, ὑπὸ Ἀμβροσίου κατηχηθεὶς, εἴπερ ἀληθῆ λέγουσι τῶν Λατίνων οἱ ταῦθ' ἱστοροῦντες ἡμῖν. Σαφὲς καὶ αὐτὸς ὁ Θωμᾶς ἐν τοῖς θεολογικοῖς αὐτοῦ βιβλίοις ποιεῖ πολλαχοῦ αὐτῇ λέξει λέγων· « Τοῦτο δὲ, τὸ ἀπηχὲς δηλονότι, οὗ φησιν Αὐγουστῖνος διισχυριζόμενος, ἀλλ' ὥσπερ ἐν ἀμφιβόλῳ καταλείπων. » Τεκμηριοῖ δὲ οὐχ ἧττον καὶ τὸ τῶν ἀναζητήσεων βιβλίον, ἐν ᾧ πολλὰ διορθοῦται τῶν πρότερον εἰρημένων καὶ συγγεγραμμένων αὐτῷ, ὅτε δήπου οὔπω ἀκριβοῦν πάντα οἷόν τε ἦν αὐτῷ, διὰ τὸ ὀψὲ τῆς πίστεως ἁψασθαι.

Ταῦτα δὲ οὐδενὶ τῶν ἡμετέρων διδασκάλων οὕτω ξυμβέβηκεν. Ἰσχυρίζονται δὲ διὰ τοῦτο οὗτοι ἐν οἷς λέγουσιν ἅπασιν ἕκαστος τό γε ἐπὶ τῇ αὐτῶν δόξῃ καὶ γνώμῃ, εἰδότες ὅτι καὶ τοῖς ἄλλοις οὕτω δοκεῖ, πλὴν εἴ πού τι τῆς αὐτῶν διανοίας μόνης προῆλθεν, οὐδενί πω εἰπεῖν περὶ αὐτοῦ ἐπλήθυν· τότε γὰρ καὶ παραιτοῦνται τοὺς ἀκροωμένους δικαίως, ὃ δὴ καὶ Αὐγουστῖνος ποιῶν δέδεικται.

Οὐκοῦν ἵνα συμπεράνω τὸ δεύτερον ταυτὶ κεφάλαιον, οὔτε ἀνάγκη, διότι Αὐγουστῖνος οὕτως ἐφρόνησε μόνος, ἢ καὶ ἄλλος τις σὺν αὐτῷ στοχασάμενος εὐλαβῶς ὡς ἄρα ἠδύνατο, διὰ τοῦτο πρὸ πάντων τῶν φανερωτάτων διδασκάλων τε καὶ ῥητῶν, καὶ, ὃ πλέον ἐστὶ, τῶν συνόδων καὶ τῶν Γραφῶν, αὐτόν τε καὶ τὴν αὐτοῦ διδασκαλίαν ποιήσασθαι, ὅπου ἡμῖν δοκεῖ ὁμολογεῖσθαι τὰ αὐτοῦ ἐκείνοις· εἴτε καλῶς δοκοῦν, εἴτε καὶ μὴ, δοκεῖ μέντοι γε οὕτως· οὔτε εἴ τις τοῦτο κρίνει περὶ Αὐγουστίνου οὕτως, ἀνευλαβές τι ἀφίησι κατ' αὐτοῦ, ἀπεὶ γε τοῦτο, ἀλλὰ μᾶλλον ὅπερ αὐτὸς βούλεταί γε καὶ συμβουλεύει, ὡς δέδεικται. Καὶ ὃ περὶ Γρηγορίου ἑκατέρου καὶ Διονυσίου ἀξιοῦμεν κατὰ τοῦ Αὐγουστίνου νόμους, καὶ αὐτὸς οὕτω κεχρῆσθαι τοῖς πρὸ αὐτοῦ φησι, καὶ οἴεται μὴ ἐξαμαρτάνειν. Ἐξαμαρτεῖν μὲν ἂν οὖν εἰς τὰ μείζω νομίζει, εἰ μὴ οὕτως ἐποίει.

Ὅθεν οὐδεὶς νοῦν ἔχων αἰτιάσαιτο ἂν ἡμᾶς εὐλαβῶς οὕτω τὸν ἱερὸν Αὐγουστῖνον ἐν τῷ προκειμένῳ ζητήματι ὑπερβαίνοντας, ἀντ' αὐτοῦ δὲ τοῖς πλείοσι δικαίοις καὶ μείζοσι τιθεμένους, αὐτῷ μέντοι γε καὶ οὕτω τὸ πρῶτον σέβας ἀποφυλάττοντας.

Τρίτον λέγω ὅτι δυνάμεθα καὶ τὰ ῥητὰ τῶν ἁγίων τῶν δυτικῶν ὡς γνήσια στέργειν, καὶ συμφώνους αὐτοὺς ἀποδεικνύναι τοῖς Ἀσιανοῖς θεολόγοις, ἐν οἷς περὶ τοῦ Πνεύματος λέγουσι· κεχρήμεθα δὲ πρὸς ἄμφω ταῦτα ὁδηγῷ τῷ μακαρίῳ Μαξίμῳ. Ἐν γὰρ τῇ πρὸς Μαρῖνον ἐπιστολῇ φαίνεται ὁ Μάξιμος καὶ προσμαρτυρῶν τοῖς Ῥωμαίοις Πατράσι τὸ καὶ ἐκ τοῦ Υἱοῦ, καὶ συμβιβάζων αὐτὸ καὶ συνάπτων ταῖς γνώμαις τῶν Ἀσιανῶν διδασκάλων. Καὶ εἰ μὲν δέχονται γνησίαν εἶναι τὴν ἐπιστολὴν οἱ Λατῖνοι, αὐτῆς αἱ λέξεις ἡμᾶς διαλλαττέτωσαν· εἰ δὲ νόθον αὐτὴν εἶναι λέγουσι, τὴν μόνην μαρτυρίαν τῆς γνησιότητος τῶν ῥητῶν, ἃ λέγουσι, συνεκβάλλουσιν· ὥστε καὶ ἡμῖν λοιπὸν εἶναι ἐν τῷ πρώτῳ τε καὶ δευτέρῳ κεφαλαίῳ τοῖς εἰρημένοις ἱστασθαι λέγουσιν, ὡς ἢ οὐκ εἶπεν Αὐγουστῖνος τὸ, *καὶ ἐκ τοῦ Υἱοῦ*, διὰ τὰ ἐν τῷ προτέρῳ μέρει εἰρημένα, ἢ εἰπὼν εὐλαβῶς παραιτητέος ἐστὶ διὰ τὰ δεύτερα. Ἀλλ' ἡμεῖς τοσοῦτον ἀπέχομεν περὶ τὰ τοιαῦτα φιλονεικῶ ἔχειν, ὥστε καίτοι τῆς ἐπιστολῆς οὐ πάνυ πρὸ ἡμῶν οὔσης, καὶ τῆς ἡμετέρας ἐνστάσεω; ἔρμαιον αὐτὴν ποιούμεθα, ὡς δυναμένην εὐσεβῶς συνάπτειν ἡμᾶς. Ἀμφιβάλλομεν γὰρ οὐδαμῶς μὴ οὐ γνησία ᾖ πολλοῖς τε ἄλλοις τεκμηρίοις ἐν ἀμφοῖν τοῖν βιβλίοιν ἐξητασμένοις, καὶ ἐνὶ τῷδε μεγίστῳ, ὅτι εἰ καὶ μὴ Μαξίμου ἐστὶν, ἐπιστολὴ τοιαύτη τοῦ Μαξίμου γ' ἂν ἦν, ἢ ἄλλου του τῶν ὁμοίων οὖσα τοιαύτη. Συμβαίνει γὰρ ταῖς τῶν διδασκάλων πάντων γνώμαις τῶν ἡμετέρων. Καὶ εἰ τοῖς ῥητοῖς τῶν Ῥωμαίων Πατέρων συγχωρεῖ πόρρω τῆς ἡμετέρας αὐτῶν εἰδήσεως, ἀλλ' ὅτι οἱ Ῥωμαῖοι Πατέρες τοιοῦθ' ἓν τι περὶ τοῦ Πνεύματος εἶπον συγχωρουμένου, συμφώνους αὐτοὺς ἀποδείκνυσι τοῖς ἀδελφοῖς· μηχανῇ ῥᾳδίᾳ τε ἅμα καὶ ἀληθεῖ, καὶ ἧς ἐπέκεινα οὐδὲν ἔστιν οὔτε φρονεῖν οὔτε λέγειν ὑγιὲς ὀντινοῦν.

Ἐπεὶ τοίνυν ἐντεῦθεν μάλιστα ἀληθὴς ἡμῖν ἡ ἐπιστολὴ δοκεῖ, ἐπεὶ καὶ ἄλλοις τρόποις ἀναντιῤῥήτοις, ἐν τῷ προτέρῳ καὶ δευτέρῳ τῶν ἡμετέρων βιβλίων ἐπεξειργασμένοις, περὶ αὐτοῦ μὲν οὐ πάνυ μαχόμεθα τοῖς ἀμφιβάλλουσι· καὶ ἄνευ δὲ τοῦ παρ' αὐτῆς βοηθήματος τὴν τῶν διδασκάλων συμφωνίαν ζητοῦμεν· καὶ ἄνευ τῆς ἐξ αὐτῆς μαρτυρίας περὶ τῶν ῥήσεων τῶν Ῥωμαίων Πατέρων πιστεύομεν αὐτὰς προφέρουσι τοῖς Λατίνοις, χαριζόμενοι ἡμεῖς αὐτοῖ; πλέον διαφερομένοις μάτην, καὶ ἐξὸν μὴ διαφέρεσθαι, εἴπερ ἠβούλοντο. Ἢ αὐτοὶ ἡμῖν χαρίζονται προσλαμβάνειν αὐτοὺς βουλομένοις τῇ διὰ τῆς ἐπιστολῆς μαρτυρίᾳ καὶ συμφωνίᾳ. Δεχόμενοι τοίνυν καὶ ἀμαρτύρως τὴν τῶν ῥητῶν ἐκείνων γνησιότητα, ὡς ἐν τῷ Λατινικῷ ἰδιώματι συμπεφρασμένα εἰσὶ διὰ τὴν τῆς εἰρήνης ἐπιθυμίαν, δεῖν ὅμως αὐτὰ ἀξιοῦμεν ὁμόλογα δεικνύναι τοῖς τῶν ἀνατολικῶν ἁγίων τρόπῳ δικαίῳ. Εἴη δ' ἂν οὕτως ἀεὶ τὰ ἀσαφέστερα ὅθεν ἔλκειν εἰς τὰ σαφέστερα, καὶ τὰ πορρώτερω τῶν ἀρχῶν διὰ τῶν ἐγγυτέρων ἢ ὁμοιοτέρων τοῖς πρώτοις κανονίζειν, εἰ μέλλοι τις μὴ σοφίζεσθαι.

Δῆλον δέ ἐστιν ὅτι τὰ τῶν ἡμετέρων διδασκάλων περὶ τῆς τοῦ Πνεύματος ἐκπορεύσεως ῥητὰ σαφέστερά εἰσι τῶν Λατινικῶν, ἐκ τριῶν αἰτιῶν προσούσης αὐτοῖς τῆς πλείονος σαφηνείας. Μιᾶς μὲν ὅτι ἡ τῶν Ἑλλήνων φωνὴ πολύ ἐστιν εὐρυχωροτέρα τῆς Λατίνων καὶ σαφεστέρα, ἄλλως τε καὶ ὅτι ὥσπερ πηγὴ ἐκείνης αὕτη ἐστί. Τοῦτο καὶ Αὐγουστῖνος ἐν τῷ περὶ Τριάδος ὁμολογεῖ, καὶ Ἀθανάσιος καὶ Γρηγόριος ὁ Θεολόγος λέγουσι, οἳ τὴν στενάτητα τῆς φωνῆς τῶν Δυτικῶν αἰτιῶνται τοῦ σχίσματος τοῦ γενομένου τότε ἐν τῷ περὶ ὑποστάσεως καὶ προσώπου ζητήματι, καὶ συντομίας; ἕνεκα παρελείφθησαν ἐνταῦθα αἱ ῥήσεις τῶν ἁγίων· πρόδηλοι δέ εἰσιν ἅπασι. Δευτέρας αἰτίας εἵνεκα σαφέστερον διελέχθησαν οἱ ἀπὸ τῆς Ἀσίας διδάσκαλοι, ὅτι αὐτῶν ἦν ὁ πρὸς τοὺς αἱρετικοὺς πόλεμος, καὶ ἐπῆν αὐτοῖς διωρισμένως καὶ σαφῶς διαλέγεσθαι φανερώσεώς τε τῆς ἀληθείας εἵνεκα, καὶ δεδιόσι τὰς ἐκ τῶν αἱρετικῶν λαβάς, ἐπιφυομένων τῷ ἀδιορίστῳ τῶν λέξεων. Τρίτης δὲ ὅτι καὶ τῶν Λατίνων ἴδιωμα ἐκράτησεν εἶναι ἐν τῷ διαλέγεσθαι, ὅτι ταῖς καθολικωτέραις καὶ γενικωτέραις κέχρηνται λέξεσι πρὸς τὸ σημαίνειν τὰ θεῖα περὶ τούτων οὖσης αὐτῶν τῆς διαλέξεως, ὥσπερ καὶ τῷ ὀνόματι τῆς ἀρχῆς κέχρηνται ἐπὶ τῶν θείων ἀντὶ τοῦ αἰτίου, ὡς κοινοτέρῳ, οἰόμενοι καὶ ἴσως καλῶς, ὅτι διὰ τῶν τοιούτων τὰ θεῖα μᾶλλον καὶ οἰκειότερον σημαίνονται, πρὸς δὲ τὴν τῶν ἀκουόντων ἀσφάλειαν, ἢ ἐπιστόμισιν τῶν ἀνθισταμένων τῇ ἀληθείᾳ ἐνδεεστέρως. Οἱ δὲ παρ' ἡμῖν γεγενημένοι διδάσκαλοι, εἴτε καὶ ἄμεινον κρίνοντες, οὕτως, εἴτε καὶ τῷ ἰδιώματι τῆς γλώττης παρηκολουθηκότες, τοῖς ἰδιωτέροις ὀνόμασι κέχρηνται, καὶ ὥσπερ περὶ τῶν ἄλλων οὕτω δὴ καὶ τῶν θείων τοῖς μάλιστα ἐφαρμόζουσι τῇ προθέσει ἑκάστῃ ὀνόμασι διελέχθησαν.

Ὅθεν τὰ τῶν Εὐρωπαίων δεῖ ἔλκεσθαι εἰς τὰ τῶν Ἀσιανῶν, καὶ διὰ τούτων τὰ ἐκείνων ἐξηγεῖσθαι, ὡς δὴ σαφεστέρων ἀναντιῤῥήτως. Ἐπεὶ δὲ καὶ ὁμοιότερά εἰσι τοῖς πρώτοις, καὶ ταῖς ἀρχαῖς, τουτέστι ταῖς κανονικαῖς Γραφαῖς, τὰ τῶν ἡμετέρων διδασκάλων, παρὰ ταῦτα δεῖ κρίνειν ἐκεῖνα, ὥσπερ κανόνι τινὶ τούτοις ἐκείνων χρωμένους. Ἐῶμεν δὲ ὅτι καὶ μείζονος ἀκριβείας δοκοῦσιν εἶναι οἱ ἐν τῇ Ἀσίᾳ θεολογήσαντες, οὐ πάνυ τοῖς ἔξω λόγοις θαῤῥήσαντες; ἐν τῇ περὶ τῶν θείων ἱστορίᾳ, οὐδὲ ἐφιέντες τῇ ἀνθρωπίνῃ σοφίᾳ πολύ, ᾗ Αὐγουστῖνος κατεχρήσατο δι' αἰτίας τὰς ἐν τῷ προτέρῳ τῶν βιβλίων ἡμῖν ἐπιδεδειγμένας, ἐπαινετὰς μὲν τότε, οὐχ ὥστε δὲ καὶ δόγμα ποιεῖσθαι τὰ δι' ἐκείνας εὐλόγως αὐτῷ πεφιλοτιμημένῳ, ἀφέντας τὸ μετ' εὐλαβείας προσέχειν τῷ τε κοινῷ κανόνι τῆς πίστεως, καὶ ὅσοι αὐτοῦ ἀπῳξ ἔχονται, ἅπερ οὐκ ἔξεστι πολυπραγμονεῖν, οὐκ ἐφιέντες τῇ ἀνθρωπίνῃ πολυπραγμοσύνῃ. Οὗτοι δ' εἰσὶν οἱ τῆς ἡμετέρας Ἐκκλησίας διδάσκαλοι. Καὶ ἵνα μή τῳ ψυχρὰ ταῦτα δοκοίη περὶ Αὐγουστίνου λεγόμενα, καίτοι γε μακαρίτης ἐστὶ καὶ

σοφὸς καὶ ἐπαινετὸς τῆς τοιαύτης φιλοτιμίας, ψεκτοὶ δ' ἂν εἶεν δικαίως, εἰ μὴ ὡς ἂν αὐτὸς βουληθείη τοῖς αὐτοῦ χρωμένοις, καὶ εἴ τις μὴ φρονεῖ καὶ λέγει τὸν Αὐγουστῖνον μακάριον καὶ ἅγιον εἶναι, ἀνάθεμα· ὅμως, ὡς εἴρηται, τὰς ἀπαιδεύτους ἢ κακούργους ἀκοὰς καὶ ψυχὰς φυλαττόμενοι αὐτῶν μάλιστα χάριν, ἡμῶν δὲ ἀπαιδευσία τινὸς οὐ καθάψεται, ἕως ἂν μετά τε τῆς ἀληθείας αὐτῆς καὶ τῶν ἁγίων τῶν ἐκατέρωθεν ὦμεν ὀρθῇ καὶ ἀκιβδήλῳ καὶ κεκανονισμένῃ, καὶ πολλὰς ἐχούσῃ τὰς συστάσεις, διαίτῃ καὶ διακρίσει τῶν ἐν αὐτοῖς διαφόρων δοκούντων. Διὰ ταῦτα τοίνυν οὐ τὰ τῶν Δυτικῶν πρὸς τὰ τῶν Ἀσιανῶν, ἀλλὰ μᾶλλον κοινῇ πάνθ' ὁμοῦ τὰ τῶν Ἑσπερίων καὶ Ἀσιανῶν διδασκάλων ῥητέον ὅτι δεῖ τῷ τῆς πίστεως ἐφαρμόζεσθαι κανόνι, καὶ οὕτω γε ποιητέον.

Οἱ ἀπὸ Ἀσίας τοίνυν διδάσκαλοι λέγουσιν ἐκ Πατρὸς ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον, καὶ οὐδεὶς εἶπεν ἐκ Πατρὸς καὶ Υἱοῦ ἐκπορεύεσθαι. Πάντες δὲ λέγουσιν ἐκ Πατρὸς δι' Υἱοῦ δίδοσθαι, καὶ πέμπεσθαι, καὶ χορηγεῖσθαι, καὶ τὰ τοιαῦτα, ἐν οἷς οὐκ αἰτία νοεῖται ἀπὸ τοῦ προσώπου πρὸς τὸ πρόσωπον, ἀλλὰ μᾶλλον ἐξ ἀμφοῖν αἰτία πρὸς τὸ ἕξω ἀποτέλεσμα. Καὶ διὰ τοῦτο οὐ μόνον ἐκ Πατρὸς δι' Υἱοῦ, ἀλλὰ καὶ ἐκ Πατρὸς καὶ Υἱοῦ λέγουσιν ἁπλῶς, μὴ προστιθέντες τὸ Πατρὸς πέμπεσθαι ἢ δίδοσθαι τὸ Πνεῦμα τὸ ἅγιον, ὥσπερ καὶ δι' Υἱοῦ λέγεσθαι γεγενῆσθαι τὰ ὄντα, ὅτε δὴ καὶ ἑαυτὸ διδόναι καὶ πέμπειν τὸ Πνεῦμα πιστεύεται. Ταῦτα δὲ καὶ τῷ κοινῷ κανόνι τῆς πίστεως ἀκριβῶς συμφωνεῖ, ὡς ἐν τῇ προεκτεθειμένῃ ὁμολογίᾳ καλῶς δέδεικται.

Τούτῳ τοίνυν τῷ κανόνι τῆς πίστεως ἑπόμενοι, ᾧ καὶ ὁ τύπος τῶν Ἀσιανῶν συμφωνεῖ καλῶς διδασκάλων, ἔνθα λέγεται ὑπὸ τῶν ἑσπερίων Πατέρων ὅτι τὸ Πνεῦμα πρόεισιν ἐκ Πατρὸς καὶ Υἱοῦ, βούλεται γὰρ αὐτοῖς τὸ *προκέδερε* ὅπερ ἡμῖν τὸ *πρόεισιν*, ἀναπτύσσωμεν τὴν τοιαύτην αὐτῶν πρότασιν οὕτως· Ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ *πρόεισιν*, ἀλλ' ἐκ μὲν τοῦ Πατρὸς ὑφιστάμενον, εἴτουν ἐκπορευόμενον, ἐκ δὲ τοῦ Υἱοῦ, ταυτὸν δὲ εἰπεῖν ἐξ ἀμφοῖν, ἤγουν ἐκ Πατρὸς δι' Υἱοῦ, χορηγούμενον, ἢ δεδόμενον, διότι φυσικῶς ἐστιν ἐν αὐτῷ, καὶ ὁμοούσιόν ἐστιν αὐτῷ· καὶ οὕτω συμφωνοῦσιν ἀμφότεραι τῶν ἁγίων αἱ μοῖραι ἐν τῷ κανόνι τῆς ἀληθείας καὶ ἄλλως οὐδαμῶς. Ἐν γὰρ τῷ καὶ τὸν Υἱὸν αἴτιον εἶναι ἢ ἀρχὴν τοῦ Πνεύματος οὐ συμφωνοῦσιν. Οἱ γὰρ Ἀνατολικοὶ πάντες ἀρνοῦνται τὸν Υἱὸν αἴτιον εἶναι, ἢ ἀρχήν, ἢ προβολέα τοῦ Πνεύματος, καὶ μόνῳ τῷ Πατρὶ τὰ τοιαῦτα ἅπαντα ἀφορίζουσιν. Εἰ δὲ τὰ τῶν ἑσπερίων Πατέρων ῥητὰ ἄλλως τινὲς ἑρμηνεύουσι, κακῶς ἑρμηνεύουσι· καλῶς δὲ γνήσιος ἑρμηνευόμενα τοῖς τῶν ἄλλων ἁγίων συνᾴδειν δύνανται κατὰ τὰ προειρημένα. Ἔτι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς μὲν ὑφέστηκεν, ὁμοούσιον δέ ἐστι τῷ Υἱῷ, καὶ οὕτως ὡς ἐν ἀλλήλοις εἶναι τὸν Υἱὸν καὶ τὸ Πνεῦμα, ὡς καὶ ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἐν ἀλλήλοις εἰσὶν ἡ τῆς πίστεως ὑπόθεσις λέγει. Τούτῳ τοίνυν τῷ κανόνι ἑπόμενοι οἱ ἅγιοι οἱ παρ' ἡμῖν, ἔστιν οὓς λέγουσιν ἐκ Πατρὸς δι' Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον, τουτέστιν ἅμα τῷ Υἱῷ καὶ σὺν τῷ Υἱῷ καὶ ἐν τῷ Υἱῷ, καὶ οὐ δίχα τοῦ Υἱοῦ, καὶ οὐκ ἐκτὸς τοῦ Υἱοῦ· ταῦτα γὰρ τῶν ἁγίων εἰσὶ πάντα φωναί, τὸ ἴσον δυνάμεναι πᾶσαι, καὶ ταῦτα πάντα ἡ *διὰ* πρόθεσις δύναται.

Ταῦτα δέ φασιν, οὐ καὶ τὸν Υἱὸν αἴτιον ἢ ἀρχὴν τοῦ Πνεύματος νοοῦντες, ἢ συναίτιον τῷ Πατρὶ, ταῦτα γὰρ καὶ περιφανῶς ἀπαρνοῦνται, ὡς ἄτοπα δήπου καὶ ψευδῆ καὶ ἀσύστατα καὶ ἀδύνατα, ἀλλὰ τὸ συναφὲς τῆς οὐσίας καὶ ἀπαράλλακτον παριστάνοντες. Εἰ τοίνυν καὶ κατὰ τήν τινων ἑρμηνείαν τὴν φαύλην ἑρμηνεύοιτο οὕτως τὰ τῶν ἑσπερίων Πατέρων ῥητὰ, ὅτι ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορεύεται τὸ Πνεῦμα τὸ ἅγιον, ὥστ' εἶναι τὸ μὲν ἐκ τοῦ Υἱοῦ ἀντὶ τοῦ δι' Υἱοῦ, τὸ δὲ δι' Υἱοῦ μὴ τὴν αἰτίαν καὶ τὴν δόσιν τοῦ εἶναι, ἀλλὰ τὴν συνάφειαν καὶ τὸ συμπεφυσιῶσθαι δηλοῦν, καὶ οὕτως οἱ ἀπὸ τῆς Ἑσπέρας τοῖς Ἀσιανοῖς συνάσονται διδάσκαλοι, καὶ πάντες ὁμοῦ τῷ κανόνι τῆς πίστεως. Ἄλλως δὲ εἴ τις οἷοιτο συμβιβάζειν αὐτοὺς, ἀμαθίαν τοῦ λόγου, τοῦ τε ἄλλου καὶ τοῦ θεολογικοῦ, ἢ πονηρίαν νοεῖ. Ἄλλως γὰρ αὐτοὺς ἀδύνατον καὶ ἀλλήλοις καὶ τῇ πίστει συνελθεῖν, κἂν πάντες ἄγγελοι φαῖεν, εἴγε οἷόν τε ἦν τοὺς ἀγγέλους εἰπεῖν ποτε τὰ μὴ ὄντα, καὶ αὐτῇ τῇ τοῦ Πνεύματος διδασκαλίᾳ μὴ συμφωνεῖν. Οὕτω δὲ καὶ οἱ ἡμέτεροι Πατέρες καὶ καθηγεμόνες αὐτοὺς συνεβίβαζον, πολὺ ἀξιώτεροι τῶν νῦν τολμώντων ἐκείνοις ἀντινομοθετεῖν, εἴ τις καὶ τοιοῦτός ἐστιν. Ἡ γὰρ ἐν Φλωρεντίᾳ συμβίβασις τῶν ἁγίων, ἡ διὰ τοῦ ἐκεῖ ὄρου γεγενημένη καὶ τῶν Λατίνων οὖσα ἀρχαῖον εὕρημα, ἐξότου προσέθεσαν τῷ Συμβόλῳ τῆς πίστεως, τοιαῦτα γὰρ δήπου λαβόντες ἐν νῷ τὴν προσθήκην ἐποίουν, ὑπογραφεῖσα δὲ ὑπὸ τῶν ἡμετέρων ἐγκαταλείψει τοῦ Θεοῦ, νὴ τὴν ἱερὰν ἀλήθειαν, Νεστοριανοὺς τοὺς ἡμετέρους προγόνους ἀποδείκνυσι πάντας, ὡς αὐτοὶ Λατῖνοι λέγουσι Νεστοριανὴν εἶναι τὴν τῶν προγόνων ἡμῶν ἔνστασίν τε καὶ δόξαν καὶ τοὺς Ἀσιανοὺς διδασκάλους, ὃ πλέον ἐστίν. Τὸ δὲ ἐπέκεινα τῶν κακῶν οὐ λέγω φειδόμενος. Ἡμεῖς τοίνυν εἰ καὶ φειδόμεθα λέγειν, ὁπόσα ἡμῖν ὑποβάλλει τὸ συνειδὸς περὶ τῆς διαφωνίας ἐκείνης τῶν διδασκάλων, οὕτω γὰρ χρὴ μᾶλλον λέγειν ἢ συμφωνίας, ἀλλ' ἁπλοῦν τι τοῦτο λέγομεν, ὅτι οὔτε συμφωνεῖν ἐκείνη ἐστὶν, οὔτ' ἄλλως δύνανται συμφωνεῖν, ἤ, ὡς ἡμῖν νῦν εἴρηται, καὶ πρὸ ἡμῶν τοῖς ἡμῶν πολὺ ἀμείνοσι, καὶ πρὸς τούτῳ καὶ θειοτέροις.

Εἰ δέ τις λέγοι ὅτι, Ἀλλὰ βίαιός ἐστιν αὕτη ἡ συμφωνία, οὗτος ψεύδεται. Πολὺ γὰρ ἂν εἴη βεβαιότερον διὰ τῶν σαφῶν τὰ ἀσαφέστερα ἐξηγεῖσθαι, καὶ κανονίζειν τὰ διὰ τῶν ἀκριβεστέρων τὰ ἧττον τῶν τοιούτων ὅπως ποτέ. Ἀκριβέστερον δὲ ἔχουσι δήπου τὰ ταῖς κανονικαῖς Γραφαῖς, καὶ ταῖς τῶν Χριστιανῶν συνόδοις συνᾴδοντα, οἷά εἰσι τὰ τῶν Ἀσιανῶν διδασκάλων, ἢ ἐκ τοῦ τῆς γλώττης ἰδιώματος ἢ πλείονι ἐπιστασίᾳ, ἢ ἄλλαις τισὶν αἰτίαις μὴ προσισταμέναις τῇ τῶν ἄλλων διδασκάλων εὐσεβείᾳ καὶ ἁγιότητι. Ἀλλὰ καὶ εἰ μηδεμία ἦν μηχανὴ, ἔλκεσθαι τὰ τῶν ἑσπερίων διδασκάλων

πρὸς τὴν κοινὴν ὁμολογίαν τῆς πίστεως, γραφαῖς καὶ συνόδοις καὶ διδασκάλοις τοσούτοις τοῖς ἡμετέροις ἐρειδομένην, ὡς ἡμεῖς καὶ οἱ Πατέρες ἡμῶν ἀξιοῦμεν, μᾶλλον ἂν εἰλόμεθα μετ' εὐλαβείας παραιτήσασθαι τοὺς ἑτέρους, καὶ ταῦτα ὑπερορίους τύπῳ τε καὶ γλώττῃ, ἢ πάντας ὁμοῦ καὶ ἀλλήλων καὶ τῆς ἱερᾶς Γραφῆς ἀπορρῆξαι. Προῄχθην γὰρ οὔπερ ἐφειδόμην εἰπεῖν, τοῦτο ὅ' ἂν ἦν τῶν ἀποκρίσεων ἔχεσθαι τῆς ἑτέρας.

Εἰ δέ τῳ τοῦτο δοκεῖ φορτικὸν, καίτοι πρότερον ἀπολελόγηται, ἀντειχόμεθα ἂν τῆς προτέρας τῶν ἀποκρίσεων, καὶ δηλονότι οὐδεὶς ἂν ἡμᾶς ἢ θράσους ἢ τόλμης ἐγράψατο, ἢ φιλονεικίας ταῖς κανονικαῖς ἐρειδομένους Γραφαῖς, καὶ ταῖς οἰκουμενικαῖς συνόδοις, καὶ τῶν διδασκάλων τοῖς γνωριμωτέροις, ὧν τὰς βίβλους ἔχομεν καὶ τῶν φωνῶν ἐπαΐομεν, καὶ οἷς χάριν ἔχομεν ὑπὲρ πάντας τῆς πίστεως, ὅτι τούτοις μόνοις κεχρήμεθα σχεδὸν ὁδηγοῖς. καὶ μηδὲν τούτοις πᾶσιν οὔτε προστιθέντας οὔτ' ἀφαιροῦντας, τὴν δὲ λοιπὴν πολυπραγμοσύνην ἐῶντας, ὅτι ἐλπίδι κέρδους ἀμφιβόλῳ πολὺν ἐγκρύπτει τὸν κίνδυνον. Οὐδεὶς ἂν οὖν οὕτως ἔχοντας ἐγράψατο. Εἰ δὲ διὰ τὸ τῆς ἐκκλησιαστικῆς εἰρήνης καλὸν καὶ περαιτέρω τούτου τολμῶμεν μετ' ἀσφαλείας, τολμηρὸν μὲν ποιοῦντες τὸ δέχεσθαι θεολογίαν ἢ μαρτυρίαν ἀμάρτυρον, καὶ ταῦτα τῆς μόνης μαρτυρίας αὐτῶν ἐκβαλλομένης ὑπὸ τῶν διαφερομένων, λέγω δὲ τῆς ἐπιστολῆς τοῦ Μαξίμου, ἀσφαλὲς δὲ ποιοῦντες τὸ δέχεσθαι τὰ τοιαῦτα ῥητὰ, κατὰ τὸν τύπον τῆς καθολικῆς πίστεως, καὶ ἔτι τὸν τύπον τῶν διδασκάλων τῶν παρ' ἡμῖν· εἰ τοίνυν διὰ τὸ τῆς ἐκκλησιαστικῆς εἰρήνης καλὸν, καὶ τὴν τοῦ Χριστοῦ δόξαν τῇ αὐξήσει τῆς ἐκκλησιαστικῆς εἰρήνης συναυξανομένην, καὶ μέχρι τούτου προῄχθημεν ἡμεῖς τε καὶ οἱ Πατέρες ἡμῶν ἐν τοῖς αὐτῶν συγγράμμασιν, οὗ περαιτέρω δυσσεβές; ἐστι προελθεῖν, τουτέστιν ἀπεναντίας τῆς ἡμῶν ἀγαθῆς συνειδήσεως, καὶ ὥσπερ μύσαντας τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς προεῖσθαι δόξαν ἀνήκουστον ὑπὸ συμφωνίᾳ δῆθεν τῶν ἁγίων ἀδίκῳ καὶ ἀδυνάτῳ, καὶ τὸ σύμπαν φάναι σεσοφισμένῃ, τὸ μὲν ἡμέτερον καὶ τῶν ἡμετέρων προγόνων ὁποῖόν ἐστί τε καὶ ἦν, ὁ Θεὸς ὁρᾷ, καὶ τῶν ἀνθρώπων οἱ δικαιότεροι.

Εἰσὶ δὲ δήπου καὶ ἐν Λατίνοις αὐτοῖς, πολλοὶ ταῖς ἔνδον συνειδήσεσιν ἡμᾶς δικαιώσονται, εἰ καὶ μὴ φανερῶς τολμήσωσι τοῦτο ποιεῖν, νόμους; μητρὸς αἰδούμενοι, οὖ, φεῦ! καὶ τῶν ἡμετέρων τινὲς οὐ ποιοῦντες λόγον, προσθήκη γενόμενοι συμφορᾷ; ἐν τοῖς χαλεπωτάτοις χρόνοις ἡμῖν καὶ δυστυχεστάτοις. Ἅμα δὲ δῆλον ἐξ ἀντιθέτου καὶ τὸ τῶν Λατίνων ἐστὶν, ὅτε τε ἠδικήκασι καὶ νῦν ἀδικοῦσιν ἡμᾶς καὶ τὴν τῆς Ἐκκλησίας εἰρήνην. Καὶ γὰρ προσίθηκαν μόνοι ἄνευ τῶν ἄλλων πατριαρχῶν, καὶ ἐν ἡμῖν οἱ τέσσαρες πατριάρχαι οὐκ ἀντιπροσέθηκαν, καὶ δυνάμενοι τοῦτο ποιεῖν καὶ δικαιότερον, ὅτι τε πλείους, καὶ ὅτι τἀληθὲς ἂν προσετίθουν, ἀλλ' ἕνεκα τῆς εἰρήνης καὶ τοῦ; τῶν Πατέρων διδιότες ὅρου; τοῦτο οὐκ ἔπραττον. Ἀνάγκης κατεπειγούσης λέγουσι προσεῖναι, καὶ νῦν ἀνάγκης οὔσης ἐκβαλεῖν οὐκ ἀφαιροῦσι. Ἁμαρτύρους προσφέρουσι μαρτυρία, καὶ καθ' ὧν πολλαὶ καὶ μεγάλαι δικαίως ὑποψίαι κρινοῖντ' ἂν, οὐ κατὰ τῶν ἁγίων, ἀπεῖη γε τοῦτο, ἀλλὰ κατὰ τῶν ῥητῶν, ἅπερ εἰς τοὺς ἁγίους ἀναγράφουσι, καὶ ἡμεῖς αὐτοῖς πιστεύομεν διὰ τὸ τῆς εἰρήνης καλόν. Διαβάλλουσι τὴν μόνην περὶ αὐτῶν μαρτυρίαν, τὴν ἐπιστολὴν τοῦ Μαξίμου, διὰ τὴν συνημμένην κατὰ τῆς αὐτῶν παρεξηγήσεως ἐπίστασίαν τοῦ διδασκάλου, καὶ ἡμεῖς ἀνεχόμεθα. Δέον δὲ μηδὲ φροντίσαι λοιπὸν αὐτῶν, καταφεύγομεν ἐπὶ τοὺς κοινοὺς κανόνας τῆς πίστεως, ἐξηγητὴν καθιζομεν τῶν ῥητῶν, εἰ ἀληθῶς εἰσι τῶν ἁγίων, τὸν ἡμέτερον Ἰησοῦν, τὸν μακάριον Παῦλον, καὶ διαλλακτὰς αὐτοὺς ποιούμεθα τῆς ἔριδος, καὶ πρὸς αὐτοῖς τὰς οἰκουμενικὰς συνόδους· καὶ οὐδόλως προσέχουσιν, ἀλλ' ἀξιοῦσι καὶ τὸν ἔσχατον ἡμᾶς αὐτοῖς ἀποδοῦναι κοδράντην. Καὶ ἐπειδὰν λύωσι τὸ ζήτημα τοῦτο μὴ φωναῖς Γραφῶν καὶ ἁγίων ἀναμφισβητήτοις, ἀλλ' ἰδίοις τῶν νεωτέρων εὑρήμασιν, ὑποκλίνειν ἀξιοῦσι τὰς κεφαλὰς, καὶ τοῖς μὴ ὑποκλίνουσιν ἄχθονται, ὥσπερ νόμῳ δουλευόντων, ἀλλ' οὐ γνώσει καὶ συνειδήσει, ἢ μὴ προσεχεστέραν ἐχόντων τὴν ἰδίαν μητέρα, οἷς μᾶλλον χρὴ δουλεύειν τοῖς νόμοις, καὶ οὓς ἔθετο περὶ τούτων μὴ ὑπερβαίνειν θρίγγους.

Ἀλλὰ γένοιτο, Θεὲ βασιλεῦ, καὶ τῇ Ῥωμαϊκῇ Ἐκκλησίᾳ ὁρμὴ πρὸς τὴν εἰρήνην τῆς Ἐκκλησίας δικαιοτέρα, ἵνα καὶ αὐτῇ τὴν προτέραν διδῶμεν εὐλάβειαν. Νῦν δὲ ὅσα ἐχρῆν περὶ τῶν ἑσπερίων διδασκάλων καὶ Πατέρων εἰπεῖν πρὸς τοὺς οἰκείους τῇ μητρὶ ἡμῶν τῇ ἀνατολικῇ Ἐκκλησίᾳ, καὶ τῇ δόξῃ αὐτῆς καὶ διδασκαλίᾳ, ὡς ἂν μὴ θορυβῶνται ἐπισειομένων αὐτοῖς τῶν τοιούτων ῥητῶν, ἐκ πλειόνων ὀλίγα εἴρηται σὺν Θεῷ, ᾧ ἡ δόξα καὶ αἶνος εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΚΕΦΑΛ. Γ'.

Ὅτι ἀδύνατόν ἐστι καὶ τὸν Υἱὸν προβολέα εἶναι τοῦ Πνεύματος, ἢ προβάλλοντα αὐτὸ μετὰ τοῦ Πατρὸς, ἤγουν ἀδύνατόν ἐστι καὶ ἐκ τοῦ Υἱοῦ αὐτὸ ἐκπορεύεσθαι· καὶ ὅτι ἀρνούμενοι τὸ ποιεῖν δύο ἀρχὰς, ἢ συναλείφειν τὰς ὑποστάσεις οἱ ἐκεῖνο δοξάζοντες, οὐδὲν ἧττόν εἰσιν ἀπρόσδεκτοι, εἰ καὶ τοῖς ἰδιώταις δοκοῦσί τι λέγειν.

Ὅτι δὲ κατὰ τὰς τῆς πίστεως ὑποθέσεις ἀδύνατόν ἐστι καὶ τὸν Υἱὸν τοῦ Θεοῦ προβολέα καὶ αἴτιον εἶναι τοῦ παναγίου Πνεύματος, πολλοῖς μὲν συλλογισμοῖς ἐν τῷ α' καὶ β' τῶν βιβλίων ἐδείχθη τῶν ἡμετέρων, εὐσυνόπτως δὲ δείκνυοιτ' ἂν ἐνὶ τῷδε μάλιστα λόγῳ. Εἰ καὶ ὁ Υἱὸς προβάλλει τὸ Πνεῦμα τὸ ἅγιον ὑποστατικῶς μετὰ τοῦ Πατρὸς, ὡς ἀρχὴ δηλονότι τούτου ἢ αἰτιος, ὡς ἐν τῷ τῆς Φλωρεντίας ὅρῳ δηλοῦται, ἢ καθό εἰσιν εἷς Θεὸς ὁ Πατὴρ καὶ ὁ Υἱὸς, προάγουσιν αὐτὸ, ἢ καθό εἰσιν ὑποστάσεις δύο, διότι ἐν Πατρὶ καὶ Υἱῷ ἥ τε τῆς οὐσίας ἑνότης, καὶ ἡ τῶν ὑποστάσεων διάκρισις, θεμέλιοί τινες τῶν αὐτοῖς ὑπαρχόντων πάντων, εἴτε κοινωνητῶς, εἴτε ἀκοινωνήτως εἰσὶ, καὶ παρὰ ταῦτα ἄμφω οὐδὲν ἕτερόν ἐστιν.

Ἀλλὰ καθὸ ἓν εἰσι τῇ οὐσίᾳ τὸ Πνεῦμα τὸ ἅγιον

οὐ προάγουσι δυοῖν ἕνεκα καὶ κατ' αὐτοὺς τοὺς Λατίνους· κατὰ μὲν τὸν Θωμᾶν ὅτι οὕτω δημιουργοῦσιν αἱ θεῖαι ὑποστάσεις τὴν κτίσιν καθό εἰσιν εἷς ὁηλονότι Θεὸς, διὸ καὶ εἷς Δημιουργός ἐστι τῆς κτίσεως· κατὰ δὲ τὸν Σκότον, διότι τὸ Πνεῦμα τὸ ἅγιον προῆγεν ἀν ἑαυτὸ, ἔστι γὰρ ἐν τῇ οὐσίᾳ μετὰ Πατρὸς καὶ Υἱοῦ. Καὶ ἐν ταύτῃ τῇ προτάσει τῇ ὅτι ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἓν εἰσι τῇ οὐσίᾳ, καὶ τὸ Πνεῦμα τὸ ἅγιον περιέχεται ἐν τῇ αὐτῇ τῆς οὐσίας ἑνότητι ὄν. Ἐπεὶ τοίνυν ἡ ἑαυτὸ προάξει τὸ Πνεῦμα, ἡ κτίσμα ἔσται, καὶ τῆς θείας ἔξω ἑνότητος, εἰ καθὸ ἓν εἰσι τῇ οὐσίᾳ προβάλλουσιν αὐτὸ ὁ Πατὴρ καὶ ὁ Υἱὸς, βλάσφημα δὲ ἐκεῖνα προδήλως· οὐκοῦν οὐδὲ προάγουσιν αὐτὸ οὕτως. Ἀλλ' οὐδὲ καθόσον εἰσὶν ὑποστάσεις δύο, προάγουσιν αὐτό. Καθάπερ γὰρ εἴ τί ἐστιν ἐν αὐτοῖς τῷ λόγῳ τῆς φύσεως ἓν ἐστι καὶ ἀδιάκριτον, οὕτω καὶ εἴ τι εἴη ἐν αὐτοῖς τῷ λόγῳ τῶν ὑποστάσεων, διττὸν ἔσται καὶ διακεκριμένον, καὶ οὕτως οὐκ ἂν εἶεν μία ἀρχὴ τοῦ Πνεύματος ὁ Πατὴρ καὶ ὁ Υἱός. Διὸ καὶ οἱ τῆς Ἐκκλησίας διδάσκαλοι ἐκ τῆς τοῦ Πατρὸς ὑποστάσεως αὐτό φασιν ἐκπορεύεσθαι, ἀποκλείοντες τὸν Υἱὸν, ἐκ δὲ τῆς τοῦ Υἱοῦ ὑποστάσεως οὐδεὶς εἶπε. Ἐπεὶ τοίνυν καὶ τὸ δύο ἀρχὰς εἶναι ἐν τῇ Θεότητι βλάσφημον, ἔπεται δὲ εἰ προάγουσι τὸ Πνεῦμα καθόσον εἰσὶ διακεκριμένοι, εἴτουν καθό εἰσι δύο ὑποστάσεις, οὐκοῦν οὐδὲ προάγουσιν αὐτὸ οὕτως. Οὐδενὸς δὲ ἄλλου τρόπου καταλειπομένου καταλείπεται ὡς ἀδύνατόν ἐστι καὶ ἐκ τοῦ Υἱοῦ ὑφίστασθαι τὸ Πνεῦμα ὥσπερ καὶ ἐκ τοῦ Πατρός.

Πρὸς δὴ τοῦτον τὸν λόγον οἱ χαριέστεροι ἀποκρίνονται, ὅτι προάγουσιν ὁ Πατὴρ καὶ ὁ Υἱὸς τὸ Πνεῦμα τὸ ἅγιον, οὔτε καθό εἰσιν ἓν τῇ οὐσίᾳ, οὔτε καθό εἰσι διακεκριμένα καθάπαξ, δεδίασι γὰρ τῇ τῶν ἀτόπων ἐκείνων ἐπαγωγῇ, ὡς ἔοικεν, ἀλλὰ καθὸ ἓν εἰσι τῇ προβλητικῇ δυνάμει. Ἀλλ' αὕτη ἡ ἀπόκρισις πρῶτον μὲν ἔστιν ἀναπόδεικτος· τὸ γὰρ μίαν εἶναι προβλητικὴν δύναμιν, ἢ ἐνέργειαν ἐν Πατρὶ καὶ Υἱῷ, οὐδαμοῦ εὕρηται τῶν Γραφῶν, ἢ τῶν ἁγίων· δεύτερόν ἐστὶ σοφιστική, λύειν γὰρ πειρᾶται αὐτῷ τῷ ζητουμένῳ, τοῦτο καὶ ἔστιν αὐτὸ τὸ ζητούμενον, εἰ τὴν αὐτὴν τῷ Πατρὶ προβλητικὴν δύναμιν καὶ ὁ Υἱὸς ἔχει· τρίτον ὅτι πρὸς τὰς αὐτὰς καὶ μείζους ἀπορίας ἐπανακάμπτει. Ζητοῦμεν γὰρ πόθεν ἔχει τὴν ἑνότητα αὕτη ἡ μία προβλητικὴ δύναμις, ἡ ἐν Πατρὶ καὶ Υἱῷ, πότερον ἐκ τῆς ἑνότητος τῆς προσωπικῆς, πᾶσα γὰρ δύναμις ἐν τοῖς θείοις, ἢ οὐσιώδης ἐστὶν, εἴτουν τῆς οὐσίας, ἢ ὑποστατική, εἴτουν τοῦ προσώπου. Εἰ μὲν δὴ ἐκ τῆς ἑνότητος τῆς οὐσίας ἀνίσχει καὶ ταύτῃ ἕπεται, ὥσπερ ἄρα καὶ ἡ τοῦ δημιουργεῖν δύναμις, ἡ καὶ ἑαυτὸ προάξει τὸ Πνεῦμα, ἐν τῇ αὐτῇ ἑνότητι τῆς πίστεως ὄν, καὶ διὰ τοῦτο τὴν αὐτὴν δύναμιν ἔχειν· ἢ εἰ μὴ ἑαυτὸ προάξει, κτίσμα ἔσται, καὶ οὐκ ἐν τῇ αὐτῇ τῆς οὐσίας ἑνότητι, δυνάμεως τοιαύτης ἐστερημένον. Εἰ δὲ προσωπικῇ ἑνότητι ἕπεται, προσωπικὴ οὖσα ὡς ἡ τοῦ γεννᾶν δύναμις ἐν πρόσωπον ὁ Πατὴρ ἔσται καὶ ὁ Υἱὸς, καὶ ὡς ἓν πρόσωπον τὸ Πνεῦμα προάξει. Μηχανῇ δὲ οὐδεμιᾷ ἓν πρόσωπον ὁ Πατὴρ καὶ ὁ Υἱὸς δύναται νοεῖσθαι ἢ λέγεσθαι, ὥστε ἑωλός ἐστιν ἡ ἀπόκρισις.

Ἄλλοι λέγουσιν ὅτι ὁ Πατὴρ καὶ ὁ Υἱὸς προάγουσι τὸ Πνεῦμα τὸ ἅγιον, οὔτε καθό εἰσιν εἷς καθάπαξ, οὔτε καθό εἰσι δύο καθάπαξ, ἀλλὰ καθό εἰσι δύο εἷς· ἡ γὰρ προβλητικὴ δύναμις ἁρμόττει αὐτοῖς καὶ καθό εἰσι δύο, καὶ καθό εἰσιν ἕν, φύσιν γὰρ σημαίνουσι μετὰ ἰδιότητος· καὶ ὡς μὲν σημαίνουσιν ἰδιότητα οὐδὲν ἀδύνατον ὑπάρχειν αὐτὴν ὑποκειμένοις δυσὶν, ἐφόσον μίαν ἔχουσι φύσιν· ὡς δὲ σημαίνουσι φύσιν, ἓν εἰσι τὰ τοιαύτην φύσιν ἔχοντα. Αὕτη δὲ ἡ ἀπόκρισις σχεδὸν ἡ αὐτὴ οὖσα τῇ προτέρᾳ, τερατώδης ἐστὶν, εἰς Ἀλέξανδρόν τινα ἀναφερομένη, καὶ κατ' οὐδὲν γὰρ τὸ αὐτό ἐστιν ὁ Πατὴρ καὶ Υἱὸς, δύο καὶ εἷς, ἢ, ὡς αὐτοὶ μᾶλλον λέγουσι, δύο εἷς. Ἡ πάντα ἂν μιγνύοιτο ἐκεῖ χρήματα Σαβελλίως, ὥστ' οὐδὲ κατὰ τὴν μίαν, ὡς αὐτοί φασι, προβλητικὴν δύναμιν. Ἔπειτα ἡ μία αὕτη δύναμις, αὐτοῖς φύσιν μετὰ ἰδιότητος σημαίνουσα, πῶς ἂν ὑπάρχοι δυσὶν ὑποκειμένοις μία γε οὖσα; δεῖ γὰρ μᾶλλον αὐτὴν διττὴν εἶναι ὡς τὰ ὑποκείμενα, εἴγε προσωπικὴ εἴη καὶ μὴ τῆς φύσεως ἰδιότης. Ἡ μία οὖσα καὶ προσωπικὴ, ἑνὸς ἂν ἦν προσώπου δήπου, ἀκινήτως ἐν αὐτῷ γε ὁριζομένη· οὕτω δὲ καὶ ἔστιν. Ἀκινήτους γὰρ δεῖ εἶναι τὰς τοιαύτας ἰδιότητας. Ἡ πῶς ἂν ἰδιότητες μείνειαν κινούμεναι καὶ μεταπίπτουσαι, κατὰ τὸν θεολόγον Γρηγόριον; Διττῆς δὲ τῆς δυνάμεως οὔσης κατὰ τὸν ἀριθμὸν τῶν ὑποκειμένων, οἷς τὴν δύναμιν αὐτοὶ διδόασι, καὶ δύο ἀρχαὶ τοῦ Πνεύματος ἔσονται τὰ διττῇ δυνάμει προάγοντα. Ὡς γὰρ ἀδύνατον ἐν δυσὶ προσώποις θείοις εἶναί τινα δύναμιν μίαν, ἐὰν μὴ ᾖ οὐσιώδης καὶ φυσική, οὕτω καὶ δύο δυνάμεις εἶναι εἰ μὴ ἀντικειμένας, ἢ διαφόρους εἴδει, ὧν οὐδέτερον προσήκει τῇ, ὡς αὐτοί φασι, μιᾷ δυνάμει ἐν Πατρὶ καὶ Υἱῷ· πῶς γὰρ πλείους ἡ μία ἔσται; Εἰ δὲ ἀνάγκη τοιαύτας εἶναι δύο γε οὔσας, πῶς ἂν εἶεν κατ' αὐτοὺς ἔν τι οἷς αὗται ὑπάρχουσιν; Ἀρχὴ δὲ ἑκατέρα, ὡς αὐτοί φασι διὰ τὴν τοῦ προβάλλειν δύναμιν, ἣν οὐχ οἷόν τε εἶναι μίαν ἐν ἀμφοῖν, ὥστε καὶ αὐτὰ μίαν ἀρχὴν εἶναι ἀδύνατον, ἐν τῷ προβάλλειν, εἴγε προβάλλουσιν ἄμφω.

Ἐπεὶ δὲ ἀνάγκη μίαν ἀρχὴν εἶναι, εἴγε προβάλλουσιν, ἀδύνατόν ἐστι λοιπὸν ἄμφω προβάλλειν. Λέγοντές τε μηδὲν ἄτοπον εἶναι μίαν ἰδιότητα ἐν δυσὶν ὑποκειμένοις ὑπάρχειν, μίαν ἔχουσι φύσιν καὶ ἀριθμῷ μίαν, εἰ μὲν τῷ λόγῳ τούτῳ καὶ τὰς φυσικὰς ἰδιότητας περιλαμβάνουσι, τουτέστι τὰς θεοπρεπεῖς καὶ κοινὰς, ἀληθὲς λέγουσιν, ἀλλ' οὐ συμπεραίνουσιν. Ἡ γὰρ προβλητικὴ δύναμις, μηδὲ τῷ Πνεύματι προσοῦσα, οὐκ ἔστι τοιαύτη. Εἰ δὲ προσωπικὴν ἰδιότητα ἐν τῷ λόγῳ νοοῦσι, νομοθετοῦσιν εἰκαίως. Οὐδεμίαν γὰρ δείξουσι προσωπικὴν ἰδιότητα ἐν δυσὶν ὑποκειμένοις μίαν εἶναι τῷ ἀριθμῷ, εἰ μὴ τὴν ζητουμένην φαῖεν αὐτὴν, τὴν προβλητικὴν γελοίως. Οὔτε τὴν τοῦ πέμπειν τὸ Πνεῦμα δύναμιν ἐροῦσι, κοινὴ γάρ ἐστιν, ὅτι τὸ Πνεῦμα καὶ ἑαυτὸ πέμπειν λέγεται, καὶ ἑαυτὸ διδόναι. Οὐ γὰρ αἰτία τοῦ πέμποντος πρὸς τὸ πεμπόμενον νοεῖται πρόσωπον ἐξ ἀνάγκης, ἀλλὰ μᾶλλον ἐξ ἀμφοτέρων. Μᾶλλον δὲ

ὅλης τῆς θεότητος αἰτία πρός τι ἐξωτερικὸν ἀποτέλεσμα, καὶ Λύγουστίνός φησι, καὶ Θωμᾶς μετ' αὐτόν. Ἀλλ' οὐδ' ἐξοῦσι τὴν προβλητικὴν δύναμιν κοινὴν Πατρὶ καὶ Υἱῷ τιθέναι, ἕως ἂν μὴ κοινὴ ᾖ τῷ Πνεύματι, Διονυσίου, Βασιλείου καὶ πάντων ἁγίων ἀξιούντων τὰ κοινὰ Πατρὶ καὶ Υἱῷ κοινὰ καὶ τῷ Πνεύματι εἶναι· θεοπρεπῆ γάρ εἰσι τὰ τοιαῦτα, καὶ τῆς θείας φύσεως ἰδιώματα, καὶ διὰ τοῦτο καὶ τὸ Πνεῦμα μετέχειν αὐτῶν ἀνάγκη. Ἢ οὐδ' ἂν εἴη δυσὶ κοινὰ, ἀλλ' ἐν ἑνὶ προσώπῳ ἂν ὁρίζοιτο μόνον, διὰ τὸ πᾶν ὃ μὴ προσκαλεῖται τὴν θείαν φύσιν, ἢ τὰς τρεῖς ὑποστάσεις διεῖληφεν ἑνὶ προσήκειν μόνῳ προσώπῳ, καὶ μὴ ὑπερβαίνειν, μηδὲ εἰς ἕτερον μεταβαίνειν, εἰ μὴ μέλοι καὶ δυὰς εἶναι τὸ παρ' ἡμῶν λατρευόμενον. Τὸ δὲ λέγειν ὡς καὶ τὸ ἀγέννητον καὶ τὸ αἰτιατὸν δυσὶ προσώποις ἑκάτερον προσὸν, οὐ δυάδα τὴν ὑπερφυᾶ ἐκείνην Ἑνάδα καὶ Τριάδα ποιεῖ πρὸς τὸν λόγον οὐδέν· οὐ γὰρ ἔοικεν ἐκεῖνα τῷ προβάλλειν· τὸ μὲν γὰρ αἰτιατὸν κατηγόρημά ἐστι μόνον, ᾗ κοινόν ἐστιν, ᾗ δὲ ἔργῳ ἐστὶν ἐν Υἱῷ καὶ Πνεύματι, γεννητόν ἐστι καὶ ἐκπορευτὸν, δύο ὄντα καὶ εἴδει διαφέροντα· τὸ δὲ προβάλλειν πρᾶγμα ἓν ἐν Πατρὶ καὶ Υἱῷ Λατῖνοι λέγουσι, καὶ μίαν ἐνέργειαν εἴδει τε καὶ ἀριθμῷ. Πολλῷ δὲ πλείων διαφορὰ ἐναντίου τε καὶ ἐκπορευτοῦ, εἷς κοινόν τι, ἀλλ' οὐχ ὡς συνωνύμοις ἐπιτίθεται ὄνομα ὑπό τινων τὸ ἀγέννητον· ὡς εἴ τις λίθον τε καὶ ἵππον ἄλογον ὀνομάζῃ, τὸ μὲν ὅτι μετέχει τῆς ἀντικειμένης λόγῳ διαφορᾶς, τὸ δ' ὅτι καὶ τοῦ γένους πάντη κεχώρισται, καὶ ὡς ἄν τις εἴποι, τὸ μὲν στερητικῶς, θάτερον δὲ ἀποφατικῶς· οὐκοῦν προσωπικὴ μὲν οὖσα μία ἑνὶ προσώπῳ προσέσται τῷ πατρικῷ, τῆς φύσεως δὲ οὖσα μία ἰδιότης, μιᾷ τῇ θείᾳ φύσει προσέσται. Ἀλλὰ τὸ δεύτερον ἀδύνατον τοῦ Πνεύματος ἕνεκα· τὸ πρῶτον ἄρα ἀληθές.

Ἦν δέ τινες ἐπενόησαν τῶν προσωπικῶν διάκρισιν, καὶ αὕτη σοφιστική ἐστι, τὸ ζητούμενον τιθεῖσα ὡς ἀρχὴν, καὶ ἄτοπος καθ' αὑτὴν, καὶ πολλῶν ἀτόπων ἀρχὴ, ὡς ἐν ἄλλοις ἐλήλεγκται· τουτέστιν ὅτι τῶν προσωπικῶν τὰ μὲν ὑποστατικὰ, τὰ δὲ ὑποστάντι τῷ προσώπῳ ἑπόμενα, ὡς ἀνθρώπῳ δηλονότι, τὸ μὲν λογικὸν, τὸ δὲ γελαστικόν. Καὶ μὴν οὐδὲ ἐπειδὰν λέγωσιν, ὡς προσῆν ἂν τῷ Πνεύματι τὸ προβάλλειν, εἰ μὴ ἐναντίον ἦν τῷ αὐτοῦ λόγῳ, λύουσι μᾶλλον τὴν ἀπορίαν καὶ φεύγουσι· τὸ γὰρ μὴ προσεῖναι τῷ Πνεύματι τῷ προβάλλειν καὶ τὸ τούτου αἴτιον λέγουσιν. Ὅπως δὲ τούτου οὕτως ἐχόντος, ἐνέσται καὶ τῷ Υἱῷ τὸ προβάλλειν μετὰ Πατρὸς οὐ λέγουσι· τουτέστι τὴν μὲν ἀκολουθίαν οὐκ ἐλέγχουσι, πῶς γάρ; τοῖς τῶν ἁγίων λόγοις ἐρειδομένην, οἳ φασιν, εἴ τι κοινόν ἐστι Πατρὶ καὶ Υἱῷ, τοῦτο καὶ τῷ Πνεύματι κοινὸν εἶναι· ὅτι δὲ ἄτοπόν ἐστι τὸ καὶ τῷ Πνεύματι τοῦτο προσεῖναι, καὶ ὅτου χάριν, ὥσπερ ἡμῖν συναγωνιζόμενοι λέγουσιν, οὐκ εἰδότες ὅτι, ὥσπερ τῷ Πνεύματι μὴ πρόσεστι διὰ τὸ συμβαίνειν μηδαμῶς τῷ λόγῳ τοῦ Πνεύματος, καίτοι γε προσῆν ἂν ἄνευ τούτου, οὕτως οὐδὲ τῷ Υἱῷ πρόσεστι διὰ τὸ ἀνάγκην εἶναι προσεῖναι ἂν καὶ τῷ Πνεύματι, εἰ τῷ Υἱῷ προσείη, τοῦτο δὲ ἀδύνατον εἶναι, καίτοι προσῆν ἂν τῷ Υἱῷ, εἰ μὴ τοῦτο ἐκώλυε. Καὶ, ὡς ἔοικε, διὰ τὸ μὴ καὶ τὸ Πνεῦμα προβολέα εἶναι ὡς ἀδύνατον, συγχωροῦσι τὸν Υἱὸν προβολέα εἶναι, εὖ ἐκεῖνο ἀκολουθεῖ ἐναντίως πολὺ τοῖς τῶν λόγων νόμοις. Δέον μᾶλλον ὅτι τεθέντος τὴν Υἱὸν προβολέα εἶναι, δεῖ καὶ τὸ Πνεῦμα τοιοῦτον εἶναι, ὅπερ ἀδύνατον, κἀκεῖνο ἀδύνατον ὑπολαμβάνειν ᾧ τοῦθ' ἕπεται.

Τὴν δ' ἀκολουθίαν οὐ μόνον ὁ τῆς πίστεως λόγος βεβαιοῖ, καὶ οἱ διδάσκαλοι τοῦτον τηροῦντες, ἀλλὰ καὶ αὐτοὶ Λατῖνοι συμμαρτυροῦσιν, ἤ τι ἄλλο, ἢ ἐνδιδόντων ἐστὶ τῇ ἀκολουθίᾳ τὸ λέγειν, ὅτι προσῆν ἂν καὶ τῷ Πνεύματι τὸ προβάλλειν, εἰ μὴ ἐκώλυεν ἡ τοῦ Πνεύματος ἰδιότης. Ἀλλ' ἡμῖν οὐδὲν διαφέρει, εἴτε διὰ ταύτην τὴν αἰτίαν, εἴτε δι' ἑτέραν κεκώλυται καὶ ἀδυνάτως ἔχει ἕως ἂν τοιοῦτόν γε ᾖ, πρὸς τὸ κἀκεῖνο δεῖξαι ἀδύνατον ᾧ τοῦθ' ἕπεται. Εἰ δὲ λέγοιεν Λατῖνοι ὅτι πλὴν τοῦ προβάλλειν ἐνόουν οἱ ἅγιοι, ψευδὴς ἡ ὑπόνοια, τοὐναντίον γὰρ, μόνην πηγὴν τὸν Πατέρα καὶ μόνον αἴτιον λέγουσι, καὶ πάντα τὰ Πατρὸς ἔχειν τὸν Υἱὸν πλὴν τῆς αἰτίας, καὶ πολλὰ τοιαῦτα δι' ὧν δεικνύουσιν οὐ βουλόμενοι κοινὸν εἶναι Πατρὶ καὶ Υἱῷ τὸ προβάλλειν. Οὐκ ἐβούλοντο δὲ, ὅτι ᾔδεσαν ὡς ἀνάγκη τοῦτο καὶ τῷ Πνεύματι οὕτω δοθῆναι ἂν παρ' αὐτῶν, διὰ τὸ πᾶσαν ἐνέργειαν ἐν τοῖς θείοις μὴ ὁριζομένην ἐν προσώπῳ ἑνὶ, ἀλλ' ὑπερβαίνουσαν πρὸς ὅλην τὴν θείαν φύσιν ἐκτείνεσθαι, καὶ ταῖς τρισὶν ὑποστάσεσιν εἶναι κοινόν. Καὶ αὖθις εἰ φαῖεν ὅτι τὸ Πνεῦμα Πατρὸς εἶναι, καὶ Πνεῦμα Υἱοῦ εἶναι, κοινόν ἐστι δήπου Πατρὶ καὶ Υἱῷ, ἀλλ' οὐ καὶ τῷ Πνεύματι, οὐ γάρ ἐστιν ἑαυτοῦ τὸ Πνεῦμα, καὶ τοῦτο μάτην ἐροῦσιν. Εἰ μὲν γὰρ ἐκεῖνον λέγουσιν οὕτως, ὡς ἐξ ἀμφοῖν τοῦ Πνεύματος προβαλλομένου, τό τε ζητούμενον αὖθις λαμβάνουσι, καὶ τοὺς ἐκεῖνο εἰπόντας παρεξηγοῦνται· εἰ δὲ Πνεῦμα Υἱοῦ λέγεται τῇ Γραφῇ, ὡς ταυτὸν κατὰ φύσιν τῷ Υἱῷ καὶ ὁμοούσιον, οὕτω γὰρ πάντες οἱ ἱεροὶ ἐξηγοῦνται, τοῦ Πατρὸς δέ φασιν, ὡς ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον· οὐκ ἔτ' ἂν καὶ τῷ Πνεύματι εἴη κοινὸν, εἴ γε καὶ ἐν ἐκείνοις ἐστὶ διάφορον, ὅτι τοῦ Πατρὸς μὲν εἴρηται εἶναι ὡς ἐξ αὐτοῦ, τοῦ Υἱοῦ δὲ ὡς ὡκειωμένον κατὰ φύσιν αὐτῷ.

Εἰ δέ τις καὶ τὸ Πατρὸς εἶναι λέγεσθαι τὴν κατὰ φύσιν ἑνότητα δηλοῦν βούλοιτο τῆς αἰτίας τῷ ἐκ Πατρὸς σημαινομένης, συγχωροῦμεν ὅτι κοινόν ἐστι Πατρὶ καὶ Υἱῷ τὸ λέγεσθαι αὐτῶν εἶναι τὸ Πνεῦμα· οὕτω δὲ καὶ ἑαυτοῦ εἶναι τὸ Πνεῦμα δώσομεν πάντως· ὡς γὰρ ἐκείνοις ταυτόν ἐστι κατὰ φύσιν, οὕτω καὶ ἑαυτῷ ταυτόν ἐστι κατὰ φύσιν καὶ καθ' ὑπόστασιν, ἔν τε ὂν κἂν τῷ ἐσχάτῳ τῆς ἀμεταβλησίας. Ἐπεὶ τοίνυν ἅπερ ἀποκρίνονται πρὸς τὸν λόγον Λατῖνοι, ἀποφυγαί εἰσιν ἀτεχνῶς τῆς ἀληθείας ἑκούσιοι, διὰ τὸ δουλεύειν καὶ θέλειν, ᾗ προελήφθησαν δόξῃ, καὶ οὐδὲν ὑγιὲς ἢ σαφὲς ἔχοντα, εὐλόγως ἄρα καὶ διὰ τῶν φανερωτάτων τῆς πίστεως ἀρχῶν· ἅμα δὲ καὶ συντομωτάτῃ. ἐδῶ δέδεικται ἀδύνατον εἶναι καὶ ἄτοπον τὸ καὶ τὸν Υἱὸν αἴτιον εἶναι ἢ προβολέα τοῦ ἁγίου Πνεύματος μετὰ τοῦ Πατρὸς, τοσούτων ἐκ διαιρέσεως ἀκολουθούντων ἀτόπων, καὶ ἀδυ-

νάτων αὐτῷ, καίτοι καὶ πλείω τῶν εἰρημένων ἀκολουθεῖ τῷ δόγματι ἄτοπα, καὶ οὐδενὶ σχεδὸν ἄλλῳ τοσαῦτα, ὡς ἄλλοις τε πολλοῖς πρὸ ἡμῶν, καὶ ἡμῖν ἐν δυσὶ βιβλίοις δέδεικται τοῖς προειρημένοις.

Ἀλλ' ἡμῖν ἀρκοῦν ἔδοξε καὶ εἰς τοσαῦτα τὴν θέσιν ἀπενεγκεῖν, ὧν ἐνὶ τὸ τοὐλάχιστον τὴν Λατινικὴν θέσιν ἐνισχομένην ἀποτρέπεσθαι χρή. Ἐνέχοιτο δ' ἂν ἐνὶ τούτων διὰ τὸ ἀναγκαῖον τοὐδὲ τοῦ λόγου, καὶ τὴν ἀσθένειαν τῶν πρὸς αὐτὸν, ὡς εἴρηται, ὑποκρίσεων· σοφίσμασι γὰρ πειρῶνται λύειν αὐτόν. Καλῶς ἄρα θέσιν τοιαύτην ἀρνούμεθα καὶ τῶν τιθέντων οὐδενὶ ἐθέλομεν κοινωνεῖν, νόμοις ἐκκλησιαστικοῖς ἑπόμενοι, οἳ τῶν ἕτερα φρονούντων περὶ τοῦ Θείου διεστάναι κελεύουσι.

Χαλεπὸν δὲ τὸ ψεῦδος, καὶ δεῖ αὐτὸ φυλάττεσθαι φρονεῖν, καὶ τοῖς φρονοῦσι συναναμίγνυσθαι, οὐ μόνον ὅταν ἄντικρυς καὶ κατὰ προηγούμενον λόγον τῇ ἀληθείᾳ τῆς πίστεως μάχηται, ὡς ὅταν τις λέγῃ μὴ εἶναι τὸν Θεὸν ἕνα, ἢ μὴ σαρκωθῆναι τὸν τοῦ Θεοῦ Λόγον, ἀλλὰ καὶ οὗ τεθέντος ἕπεταί τι ἐναντίον τῇ πίστει. Ἕπεσθαι δὲ καὶ τῇ περὶ τῆς ἐκπορεύσεως τοῦ Πνεύματος δόξῃ Λατίνων ἔν τι τῶν ἐναντίων τῇ πίστει, οἱ ἡμέτεροι πρόγονοι καὶ διδάσκαλοι καὶ ἰδίᾳ δεικνύουσι, καὶ συνοδικῶς ἀποφαίνονται, καὶ ἔργῳ βεβαιοῦσι τοὺς λόγους, οὐ φιλονείκως, ἀλλ' ἐκ συνειδήσεως ἀγαθῆς ἀπερρωγότες Λατίνων, διὰ τὴν δόξαν ταύτην αὐτῶν πεντακοσίοις σχεδὸν ἔτεσι, καὶ αὐτῷ Ἱερωνύμῳ συμβούλῳ κεχρημένοι τοῦ φεύγειν ἀπὸ ταύτης τῆς δόξης, τοιαύτης γε οὔσης· ὡς ἀληθῶς. Φησὶ γὰρ ἐκεῖνος· « Εἰ καὶ ἀποδίδομέν τι τῷ Πατρὶ ἀξιώματος τῷ τῆς ἀρχῆς λόγῳ, οὐδὲν μέντοι πρὸς ὑποταγὴν ἢ ἐλάττωσιν κατά τινα τρόπον ἀφορῶντες ἀποδίδομεν τῷ Υἱῷ, ἢ τῷ ἁγίῳ Πνεύματι, διὰ τὸ φυλάττεσθαι τὰς τῶν αἱρέσεων ἀφορμάς. » Ὃν τρόπον φησὶ καὶ Ἱλάριος ἐν τῷ η' Περὶ Τριάδος, « Τῷ τῆς δεήσεως ἀξιώματι μείζων ἐστὶν ὁ Πατὴρ, ἀλλ' οὐκ ἐλάττων ὁ Υἱὸς, ᾧ δίδοται ἓν καὶ ταυτὸν εἶναι. »

Ἐκέχρηντο δὲ ἄρα καὶ τοῖς οἰκειοτέροις ἅπασι διδασκάλοις, τοῖς Ἀσιανοῖς λέγω, ὁδηγοῖς τοῦ τί ἂν δέοι φρονεῖν καὶ ποιεῖν. Ἐκεῖνοι γὰρ πάντες οὐκ ἐτίθουν τὴν Λατινικὴν ταύτην πρόφασιν οὐδαμοῦ, καὶ ἀπεπήδων ὡς χρημνοῦ τινος φανεροῦ, καὶ τἀναντία ταύτῃ μᾶλλον ἐθεολόγησαν ἐναργῶς, δι' ὧν ἁπάντων ἔδειξαν αὐτὴν φαύλην ἡγούμενοι. Τοσούτοις οὖν καὶ ἡμεῖς κεχρημένοι συμβούλοις ὡς αἱρέσεων ἀφορμὴν τὴν δόξαν φυλαττόμεθα ταύτην, οὔτε βουλόμεθα τοῖς λαοῖς μέλι διδόναι, ᾧ πολλὰ ἐγκέκρυπται δηλητήρια, κατ' αὐτὸν αὖθις φάναι τὸν Ἱερώνυμον.

Εἰ δὲ ἀναθέματι ὑποβάλλουσι τὰς αἱρέσεις ἐκείνας πάσας, οὐχ ἱκανοποιοῦσιν ἡμῖν· ἔθος γὰρ ἐστιν ἀεὶ τῶν καινοτομούντων οὕτω ποιεῖν, καὶ ἔθος ἐστὶ τῶν τῆς ἀληθείας ἀντιποιουμένων αὐτοῖς μὴ προσέχειν οὕτω ποιοῦσιν. Ἐν γὰρ ταῖς εἰς ἄτοπον ἀπαγωγαῖς οἱ πρὸς τὴν ἀλήθειαν διαφερόμενοι, ἐπεὶ μὴ ἠδύναντο λύειν τὴν ἀκολουθίαν, τῇ ἀρνήσει τοῦ ἀτόπου ἐπειρῶντο αἰτίας τε αὐτοὺς ἀπαλλάττειν, καὶ τὸ ἡγούμενον βεβαιοῦν. Ἐδόκουν δὲ τοῖς ὀρθὰ φρονοῦσιν ἀνεκτότεροι μὲν διὰ τὴν ἄρνησιν τοῦ ἀτόπου, οὐ μὴν προσδεκτοί, εἰ μὴ τὸ ἡγούμενον ἀρνήσαιντο, ᾧ ἕπεται τὸ ἄτοπον ἐκεῖνο ἐξ ὑγιαινούσης ἀκολουθίας. Παραδείγματος χάριν οἱ περὶ τὸν Πύρρον, ἓν θέλημα καὶ μίαν ἐνέργειαν τιθέντες ἐν τῷ Χριστῷ, ἐπεὶ ἐνεκαλοῦντο τὸ ὑπὸ τῶν ὀρθοδόξων, τὸ νοῒ μίαν φύσιν τιθέναι, ἂν οὕτως ἐν τῷ ἡμετέρῳ δεσπότῃ ἐκ τοιαύτης ἀκολουθίας, ὅτι τῇ ἑνότητι τῆς ἐνεργείας, καὶ ἡ ἑνότης ἂν ἀκολουθήσειε τῆς φύσεως, διὰ τὸ κατὰ τὸν ἀριθμὸν τῶν φύσεων καὶ τὸν ἀριθμὸν εἶναι τῶν κατὰ φύσιν ἐνεργειῶν. Ἐν τῷ παρόντι δὲ οὐ διαγωνιζόμεθα τιθέναι ταῦτα ἠκριβωμένως, ἀλλ' ὡς ἐν τύπῳ μόνον χάριν· ἐκεῖνοι τοίνυν μὴ δυνάμενοι λύειν τὴν ἀκολουθίαν, πρὸς τὴν ἄρνησιν τοῦ ἀτόπου κατέφευγον. Καίτοι ᾤοντο λύειν, καὶ πολλὰ λέγοντες, ἀλλ' ὡς σοφιζόμενοι ἀπεπέμποντο. Προεῖχε δὲ τῇ τοιαύτῃ ἀρνήσει τῶν ὀρθὰ φρονούντων οὐδείς, ἀλλ' ἀπῄτουν ἐξ αὐτῶν μᾶλλον τὴν ἄρνησιν τῆς μιᾶς ἐνεργείας, ἣ τιθεμένη, εἰ καὶ αὐτοῖς ὁμολογούμενον ἄτοπον ἡ ἑνότης τῆς φύσεως ἐν Χριστῷ εἶπετο. Καὶ οὔτε τὸ ἀρνεῖσθαι τὸ ἑπόμενον ἔξω αὐτοὺς αἰτίας ἐτίθη, οὔτε τὸ ὑπό τινος εὐλαβείας πρὸς τὴν δόξαν ἐκείνην κεκινῆσθαι δοκεῖν· ἐβούλοντο γὰρ ἐντεῦθεν τὴν ἀνθρωπίνην θέλησιν καὶ ἐνέργειαν ἐν Χριστῷ δεικνύναι ὑποτεταγμένην τῇ θείᾳ τάξει, οὕτως ἀπαρατρέπτῳ, ὥστε καὶ ἓν αὐτὰς γίγνεσθαι. Ἠγνόουν δὲ, καὶ οὐδὲ διδασκόμενοι μαθεῖν ἤθελον, ὅτι τὸ ἁπλῶς ἓν καὶ τὸ τῇ τάξει ἓν διενήνοχε. Καὶ τὸ μὲν δεύτερον μόνον εὐσέβουν ἂν λέγοντες, τὸ δὲ καὶ ἁπλῶς ἓν τιθέντες, ἢ τιθέναι δοκοῦντες, καὶ τὴν ἑνότητα τῆς φύσεως συνεισάγουσι. Καὶ οἱ τὴν μίαν φύσιν τιθέντες ἐν τῷ Χριστῷ οὔτε πάθος ἔλεγον προσάπτειν τῇ θεότητι τοῦ Χριστοῦ, οὔτε κατὰ φαντασίαν αὐτὸν πεπονθέναι, ἢ ψιλὸν ἄνθρωπον γεγονέναι, ἐφ' ἃ ἤκουον ὑπὸ τῶν εὐσεβούντων φέρειν τὴν θέσιν αὐτῶν, ἀλλὰ ταῦτα καὶ ἀναθέματι καθυπέβαλλον. Καὶ τὸ κινητικὸν δὲ αὐτῶν ἀληθῶς εἶχέ τινα φαντασίαν, οὐ γὰρ ἠρνοῦντο τὴν ἀληθῆ συνδρομὴν τῶν δύο φύσεων ἐν Χριστῷ, ἢ μετὰ τὴν ἕνωσιν συγχεχύσθαι πάντας, καὶ εἰς μίαν ἀναχεχρᾶσθαι φύσιν, ἐπίστευον οὐτωσὶ φανερῶς· ἀλλὰ φύσιν καλοῦντες τὴν οὐσίαν καὶ τὸ εἶδος, οὐκ ἠνείχοντο δύο τιθέναι φύσεις ἐν Χριστῷ. Ἦσαν γὰρ ἀδύνατον ἐν δυσὶν εἶδεσι, καὶ ταῦθ' οὕτως καὶ ὅλῳ καὶ παντὶ διαχεκριμένοις, μίαν εἶναι ὑπόστασιν τὴν τοῦ Χριστοῦ ἐν θεότητι δηλονότι καὶ ἀνθρωπότητι· τοὐναντίον γὰρ μᾶλλον ἦσαν ἀληθέστερον εἶναι, ἂν πλείους ὑποστάσεις τῆς αὐτῆς φύσεως τῆς κατὰ τὸ εἶδος μετέχωσιν. Ἐπεὶ δὲ ὁ Θεάνθρωπος μόνος ἦν, καὶ οὐδεὶς αὐτῷ τῆς Θεανθρωπότητος ἐκοινώνει, οὔτε οἷόν τέ ἐστιν ἐν τῷ παντὶ αἰῶνι κοινωνῆσαί τινα συνδραμεῖν· ἔλεγον ἐπ' αὐτοῦ τήν τε φύσιν καὶ τὴν ὑπόστασιν, καὶ αὐτὸν εἶναι τὸν Θεάνθρωπον, καὶ τὴν αὐτοῦ Θεανθρωπότητα· ὥσπερ λόγου χάριν ἥλιον καὶ ἡλιότητα, ἑνὸς ὄντος ἡλίου, ὡς δὲ καὶ ἐπὶ τῶν ἄλλων μοναδικῶν. Εἶναι δὲ τὴν μὲν Θεανθρωπότητα φύσιν, ὑπόστασιν δὲ τὸν Θεάνθρωπον, καὶ οὕτω δύο φύσεις ἐν Χριστῷ, τὴν Θεότητα καὶ τὴν ἀνθρω-

πότητα εἰς μίαν φύσιν συνελθεῖν τὴν θεανθρωπότητα, ὥσπερ ψυχὴν καὶ σῶμα ἄνθρωπον εἰς ἀνθρωπότητα.

Ἀλλ' οἱ μετὰ τῆς ἀληθείας ἱστάμενοι, καὶ ταύτης ἐπίτροποι γεγονότες ἐκ Θεοῦ τοῖς Χριστιανικοῖς λαοῖς, οὔτε τῇ ἀρνήσει τῶν ἀτόπων ἐκείνων προσεῖχον, ἀλλὰ μᾶλλον ἀπῄτουν τὴν ἄρνησιν τῆς μιᾶς φύσεως, ἣ τιθεμένη καὶ τὰ ἐκείνοις ὁμολογούμενα ἄτοπα ἕπεται, οὔτε εἴ τι καὶ εὐπρεποῦς πρόσεστι τῷ τούτων κινητικῷ, τοῦτ' ἐσκόπουν, καίτοι καὶ τοῦτο πολλῆς γέμει πλάνης, εἴ τις ἐξετάσει καλῶς, ἀληθείας τινὸς ἐπικεχρωσμένης χροιᾷ. Ἀλλ' εἰ καὶ παντάπασιν ὀρθὸν ἦν, μέλι τοῦτο ἐνόμιζον εἶναι πολλὰ ἐγκρύπτον ὡς ἀληθῶς δηλητήρια, καὶ ἀρχὴν πολλῶν καὶ μεγάλων αἱρέσεων, καὶ διὰ τοῦτο οὐκ ἐβούλοντο συγχωροῦντες αὐτῷ, τὰς αἱρέσεις ἐκείνας ἀνανεοῦν, ἃς ἐκριζῶσαι πολλῶν ἱδρώτων τῇ Ἐκκλησίᾳ ἐδέησεν. Ἠγνόουν δὲ ἄρα οἱ περὶ τὸν Εὐτυχῆ, οὔτε διδασκόμενοι μαθεῖν ἤθελον, ὅτι φύσεις εἰς μίαν φύσιν συνελθεῖν, ἀτελεῖς καὶ μὴ ἐχούσας εἶδος πεπληρωμένον, ἐγχωρεῖ, ὥσπερ εἰς μίαν φύσιν τὸ ἀνθρώπινον εἶδος, δηλονότι ψυχὴ καὶ σῶμα, συνέρχεται ἀνθρώπου, ὧν οὐδέτερον εἶδος ἔχει πεπληρωμένον, ὡς οὐδὲ φύσις καὶ οὐσία ἂν εἴη κυρίως, ἀλλ' ἢ μόνον ὡς ἀρχαὶ φύσεως, καὶ μέρη τοιαῦτα εἴδους καὶ ὕλης ἔχοντα λόγον, τελείας δὲ φύσεις εἰς μίαν συνελθεῖν, ὥσπερ ἡ θεία καὶ ἡ ἀνθρωπίνη ἐστὶν, ἀμήχανόν ἐστι μὴ τῆς ἑτέρας, ἢ καὶ ἑκατέρας φθειρομένης δήπου, καὶ τὸ ἀρνεῖσθαι ταῦτα ἐκείνους· ἠρνοῦντο δέ. Οὐκ ἔπεισε τοὺς εὐσεβεῖς προσήκασθαι τὴν τῶν ἀτόπων τούτων ἀρχήν, ἀλλ' αὐτὴν μᾶλλον ἀπῄτουν ἀρνεῖσθαι, τουτέστιν ἀρνεῖσθαι μὲν φύσιν μίαν ἐν τῷ ἡμετέρῳ γεγονέναι Δεσπότῃ μετὰ τὴν τῶν δύο φύσεων ἕνωσιν, ὁμολογεῖν δὲ, ὅτι καὶ συνῆλθον ἐν τῷ Χριστῷ δύο φύσεις ὡς ἀληθῶς, καὶ δύο μετὰ τὴν ἕνωσιν ἔμειναν, ἅτε εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συνεληλυθυῖαι ἀτρέπτως καὶ ἀμιγῶς.

Ταυτὸ δὲ πᾶσι συμβέβηκε τοῖς ὀπωσοῦν πρὸς τὴν ἀλήθειαν καὶ τὴν κοινὴν πίστιν διενηνεγμένοις ἐν πλείονί τε καὶ μείζονι ἀποστάσει ὁμοίως, καὶ πᾶσιν ἐκείνοις οἱ τῶν ἀρχαίων δογμάτων ἐχόμενοι, τὸν ἴσον τοῖς εἰρημένοις τρόποις ἐχρήσαντο. Οὐδ' ἡμᾶς τοίνυν οἱ καὶ τὸν Υἱὸν τοῦ Πνεύματος αἴτιον λέγοντες μετὰ τοῦ Πατρὸς δύνανται πείθειν, ἢ τὴν δόξαν προσήκασθαι, ἢ ἐφ' ὅσον διαφερόμεθα κοινωνεῖν αὐτοῖς, κἂν μυριάκις τὰ ἄτοπα ἐκκηρύττωσιν, ἐφ' ἃ οἰόμεθα τὸ δόγμα φέρειν αὐτῶν· οὔτε τοὺς Πατέρας ἡμῶν ἔπειθον, ἐξ αὐτῶν τῶν τῆς προσθήκης καιρῶν οὕτως ἐξαιτιώμενοι σφᾶς αὐτοὺς, καὶ τὴν κοινωνίαν παρ' αὐτῶν ἀπαιτοῦντες· οὔτε τὸ μάλιστα κινητικὸν αὐτῶν, ἡ τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα κατὰ φύσιν ἀκραιφνὴς ὁμοιότης, ἡ ὁμοουσιότης πιστευομένη, καὶ παρ' ἀμφοῖν ὁμολογουμένη τῇ τοῦ Χριστοῦ χάριτι δύναται πείθειν ἡμᾶς τὴν καινοτομίαν ταύτην προσήκασθαι, ὡς ἀναγκαίως συνημμένην αὐτῇ. Ὁμοούσιον μὲν γὰρ πιστεύομεν εἶναι τὸν Υἱὸν τῷ Πατρὶ, ἀλλὰ τοῦ πατρικοῦ ἀξιώματος διείργειν αὐτὸν διδασκόμεθα παρ' αὐτοῦ τε καὶ τῶν αὐτοῦ· τοῦτο δέ ἐστιν, ὡς αὐτοί φασι, μετ' αὐτοῦ ἡ ἀρχὴ καὶ τὸ αἴτιον τῶν ἐξ αὐτοῦ τοῦ Πατρὸς φυσικῶς προϊόντων θείων προσώπων, τοῦ Λόγου τε καὶ τοῦ Πνεύματος.

Καὶ ἡμεῖς μὲν ἐν τῷ Συμβόλῳ λέγοντες ἐκ Πατρὸς ἐκπορεύεσθαι τὸ Πνεῦμα μόνον, καὶ οὐδὲν προστιθέντες ἐν αὐτῷ, καὶ τὸν Υἱὸν τοῦ Θεοῦ ὁμοούσιον εἶναι τῷ Πατρὶ, καὶ τὸ Πνεῦμα Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον εἶναι καὶ συνδοξαζόμενον συνομολογοῦμεν· ὥστ' οὐκ ἂν ἡμᾶς δύναιτο περιγράφειν οὐδείς· οἱ δὲ καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα προβάλλεσθαι προστιθέντες οὐ συνομολογοῦσιν ἐν ταυτῷ καὶ τὴν τῶν ἀτόπων ἐκείνων πάντων φυγὴν, ὡς ἂν ἀκινδυνοτάτου ποιοῦντο τὸ κήρυγμα τοῖς συντρεφομένοις αὐτῷ, τῶν συνέπεσθαι δοκούντων ἐλαυνομένων, εἰ καὶ ἐδόκουν μόνον οὐκ ὄντα τοιαῦτα. Νῦν δὲ καὶ παντὸς μᾶλλον ἀκολουθεῖ πολλὰ μὲν τῇ δόξῃ, τοῖς δ' αὐτῇ τιθεμένοις ἕν τι ἐκ πάντων τοὐλάχιστον ὅπερ προσήκει τῷ θεμελίῳ τῆς δόξης, ὃν ἐκ πάντων ἂν ἕλοιντο· ἀγνοοῦσι δὲ καὶ οὔτε διδασκόμενοι μαθεῖν ἀνεχόμενοι, ὡς τὸ εἶναί τι ἔκ τινος, καὶ τὸ εἶναί τινος, οὐκ ἐξ ἀνάγκης συνέρχονται, ἀλλ' ἔστιν οὗ χωρίζονται· οἷον συνέρχονται μὲν, ἐπειδὰν ἀναφέρωμεν τὸ Πνεῦμα πρὸς τὸν Πατέρα, οὐχ ὡς ταυτὸ δύνασθαι, Ἄλλο γὰρ, φησὶν ὁ Χρυσόστομος, τὸ Θεοῦ, καὶ ἄλλο τὸ ἐκ τοῦ Θεοῦ, περὶ τοῦ Πνεύματος τὸν λόγον ποιούμενος, ἀλλ' ὡς συναληθεύειν· χωρίζονται δὲ ἐπειδὰν ἀναφέρωμεν τὸ Πνεῦμα πρὸς τὸν Υἱὸν, ὅθεν καὶ οἱ τῆς β' συνόδου Πατέρες τῆς ἀπαρτισάσης τὸ Σύμβολον, διὸ καὶ ἀλλοιπαὶ' σύνοδοι ἐφησύχασαν ὡς ἀνενδεῶς ἔχοντες, ὁμοούσιον μὲν τιθέασι τῷ Πατρὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα ἀμφοῖν προσκυνεῖσθαι καὶ συνδοξάζεσθαι, ἐκ δὲ τοῦ Υἱοῦ οὐ λέγουσιν ἐκπορεύεσθαι, ἀλλ' ἐκ τοῦ Πατρὸς λέγουσι μόνον. Καὶ ὁ τοῦ Θεοῦ Λόγος αὐτὸς, καὶ ὁ μακάριος αὐτοῦ μαθητὴς Ἰωάννης, Πνεῦμα μὲν ἀληθείας ἀποκαλεῖ, εἴτουν αὐτοῦ τοῦ Λόγου, ἐκπορεύεσθαι μὲν ἐξ αὐτοῦ διωρίσατο τοῦ Πατρός. Καὶ Παῦλος· τὸ Χριστοῦ στόμα, ἐκ τοῦ Θεοῦ μὲν εἶναι λέγων τὸ Πνεῦμα καὶ τοῦ Θεοῦ, τῷ μὲν τὴν αἰτίαν σημαίνων, τῷ δὲ τὴν φυσικὴν συγγένειαν τῆς θεότητος, ἐκ τοῦ Υἱοῦ δὲ οὐδαμῶς λέγων, ἀλλ' ἢ μόνον Πνεῦμα Υἱοῦ καὶ Πνεῦμα Χριστοῦ, καὶ ὅλως τὸ εἶναι τὸ ὁμοούσιον ἑτέρῳ τινὶ οὐκ ἐξ ἀνάγκης καὶ αἴτιον θάτερον θατέρου εἶναι εἰσάγει, διὸ καὶ τῇ μὲν ἑνότητι τῆς οὐσίας ἐν Πατρὶ καὶ Υἱῷ καὶ Πνεύματι οὐ λυμαίνεται, τὸ μὴ καὶ ἐκ τοῦ Υἱοῦ ὑφεστάναι τὸ Πνεῦμα, ἢ προελθεῖν αἰτιατῶς ἐγχωροῦν, ὁμοούσιόν τε εἶναι αὐτῷ, ὡς τὴν αὐτῷ ὁριθμῷ λαμβάνον οὐσίαν ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, ἣν ὁ Υἱὸς ἐκεῖθεν λαμβάνει γεννώμενος, τῷ τοι καὶ Υἱοῦ Πνεῦμα λέγεται εἶναι, καὶ μὴ εἶναι αὐτοῦ πρόβλημα ἢ ἐκπόρευμα· τὸ δὲ καὶ ἐκ τοῦ Υἱοῦ ὑφεστάναι ἂν πολλαῖς ἀληθείαις λυμαίνεται, ὡς νῦν τε εἴρηται καὶ ἐν ἄλλοις διὰ πλειόνων τε καὶ ἐναργέστερον ἀποδέδεικται, ὧν χρὴ ἀναιρουμένων διὰ τοῦτο μὴ περιορᾶν ἡμᾶς.

Ἐφρόντιζον δ' ἂν καὶ Λατῖνοι, εἰ μὴ τῇ προλήψει ἐδούλευον ἀντὶ τῆς ἀκριβείας καὶ τῆς δικαίας τε

καὶ προχειροτάτης εἰρήνης τῶν Ἐκκλησιῶν τοῦ Χριστοῦ. Ἀλλ' ἡμεῖς τόν τε Υἱὸν ὁμοούσιον τῷ Πατρὶ, καὶ τὸ Πνεῦμα ὁμοούσιον τῷ Υἱῷ πιστεύοντες εἶναι, καὶ Πνεῦμα Υἱοῦ τὸ τοῦ Πατρὸς εἶναι Πνεῦμα πιστεύοντες, καὶ ὡσαύτως τό γε εἰς τὴν τῆς φύσεως ἦκον ἑνότητα, τῶν τῇ πατρικῇ μέντοι γε ὑποστάσει προσηκόντων διαφερόντως, εἴτουν προσωπικῶς ἁρμοττόντων, ἐπίσης τό τε Πνεῦμα καὶ τὸν Υἱὸν εὐσεβῶς ἀποκλείομεν, τῷ ἀκοινωνήτῳ τῶν ἰδιαζόντων ἑνθεωρουμένων ἑκάστῳ, καὶ τὴν ἀληθινὴν Τριάδα δεικνύντες, καὶ τὴν ἀκραιφνεστάτην αὐτῶν ἑνότητα ὑπερσέβοντες, ὡς διὰ ταύτην οὖσαν τοιαύτην οὐκ ἂν τῆς Τριάδος σωληνομένης, εἰ μὴ τὸ τῶν ἰδιωμάτων ἀμιγὲς παρὸν διακρίνοι.

Ταῦτα δέ εἰσιν ἐπὶ τοῦ Πατρὸς, τόν τε Λόγον γεννᾷν, καὶ τὸ Πνεῦμα προβάλλειν, καὶ ὡς εἰπεῖν συνελόντες, ἡ ἀρχὴ, ἡ τὸ πηγαῖον, ἡ τὸ αἴτιον, ἡ τὸ καρποφόρον, ἡ τὸ γόνιμον· ταῦτα γάρ εἰσι τὸ αὐτὸ δυνάμενα πάντα ἓν γε τῶν προκειμένῳ, καὶ ὡς ταυτὸ ζυναμένοις, οἱ διδάσκαλοι κέχρηνται μόνῳ τῷ Πατρὶ ταῦτα διαῤῥήδην διδόντες, καὶ οὔτε τὸν Υἱὸν προβολέα, οὔτε τὸ Πνεῦμα πιστεύομεν ἐγχωρεῖν τυγχάνειν γεννήτορα, ἕως ἂν ὁ Πατὴρ μόνος Πατὴρ ᾖ, τουτέστι γεννήτωρ καὶ προβολεύς. Κοινωνεῖ γὰρ ὁ Πατὴρ τῷ ἰδίῳ Υἱῷ τῶν ἰδίων ἀγαθῶν, οὐ τῆς ἐν αὐτοῖς αὐτοῦ ἰδιότητος, ἣν ἔχει, τῷ τούτων εἶναι πάντων ἀρχὴ καὶ πηγὴ τοῖς ἐξ αὐτοῦ προεληλυθόσι συμφυῶς καὶ συναϊδίως, ὡς δὲ καὶ τῷ Πνεύματι. Οὔτε τοίνυν καὶ τοῦ Πνεύματος κοινωνεῖ τῷ Υἱῷ, καὶ ὡς ἔστιν ἐν τῷ Πατρὶ συμφυῶς καὶ ὑπερηνωμένως τὸ Πνεῦμα τὸ ἅγιον, καίτοι γε ἐξ αὐτοῦ προϊέναι ἀῤῥήτως, καὶ διακρίνεσθαι πιστευόμενον· οὕτω καὶ ὁ Υἱὸς λαμβάνει τοῦτο γεννώμενος ἐκ Πατρὸς τῇ φύσει συνὸν, ἅτε τὴν αὐτὴν ἀριθμῷ φύσιν ἔχον, ἀλλ' οὐ λαμβάνει παρὰ τοῦ Πατρὸς τὸ προβάλλειν τὸ Πνεῦμα, καὶ ἐφιστάνειν· τοῦτο γὰρ λαμβάνειν ἂν ἦν τὴν πατρικὴν ἰδιότητα· οὔτε λαμβάνει προβεβλημένον. Ἅμα γὰρ πάντα ἐκεῖ καὶ συναϊδίως ἐστὶ, καὶ τὸ λαμβάνειν τὸν Υἱὸν ὁτιοῦν ἐκ τοῦ Πατρὸς, τὸ γεννώμενον ἔχειν, ἢ ἔχοντα γεγενῆσθαι, οἱ διδάσκαλοι καλῶς φρονοῦντες ἐνόησαν. Καὶ τὸ τὸν Πατέρα ἔχειν τοῦ τὸν Υἱὸν ἔχειν οὐδαμῶς ἐστι πρότερον· οὐδὲ γὰρ ἡ τοῦ προτέρου τάξις ἐν τοῖς συναϊδίοις τε καὶ συμφυέσιν ἐστὶν, ἀλλ' ἢ μόνον ἡ τῆς αἰτίας, καὶ διὰ τὴν αἰτίαν τάξις ἐστί· τουτέστιν ἢ τὸ προαγαγεῖν τε καὶ προεληλυθέναι, ἢ τὸ διαφόρως προεληλυθέναι· ὧν θάτερον μὲν τῷ Πατρὶ πρὸς τὰ ἐξ αὐτοῦ, θάτερον δὲ τοῖς ἐκ τοῦ Πατρὸς ἁρμόττει πρὸς ἄλληλα.

Ὥσπερ οὖν ἔχει τὸ εἶναι παρὰ τοῦ Πατρὸς ὁ Υἱὸς καὶ σὺν αὐτῷ πάντα, ἀλλ' οὐκ ἔστι τούτων αἴτιος ἑαυτῷ οὐδ' ὅλως, τούτῳ γὰρ μόνῳ διακρίνεται τοῦ Πατρὸς, ἐπὶ τῷ ἔχειν πάντα καὶ ὡσαύτως τῷ Πατρὶ πῶς ἂν διακρίνοιτο; οὕτω καὶ τὸ Πνεῦμα ἔχειν ἐκ τοῦ Πατρὸς ἀπαραλλάκτως ὡς ὁ Πατὴρ, συμπεφυκός τε καὶ συνδιῆκον αὐτῷ παρὰ τοῦ Πατρὸς, οὐδὲν ἧττον οὐκ ἔστι τοῦ Πνεύματος αἴτιος, οὔθ' ἑαυτοῦ, οὔθ' ὅλως. Εἰ δὲ αἴτιος ἦν ὅλως τοῦ Πνεύματος, τί γοῦν ἐκώλυε ταύτῃ καὶ τοῦ Πατρὸς αἴτιον αὐτὸν εἶναι, τοῦ ἐν Πατρὶ Πνεύματος αἴτιον ὄντα; οὔτε γὰρ οἷόν τε λέγειν αὐτοὺς, ὅτι τῶν ἐν Πατρί τινος αἴτιος ὢν, οὐκ ἔσται καὶ αὐτοῦ τοῦ Πατρὸς αἴτιος, εἰργούσης αὐτοὺς τῆς ἁπλῶς ἁπλότητος τοῦ Πατρός· οὔτε δύνανται λέγειν, μὴ ταυτὸν εἶναι καθάπαξ τὸ ἐν Πατρὶ καὶ Υἱῷ Πνεῦμα ἅγιον· οὔτε πιστεύουσι δήπου μὴ ἐνοειδῶς καὶ ἅμφω προβάλλειν τὸ Πνεῦμα, οἵ γε καὶ διὰ τοῦτο διισχυρίζονται, μίαν ἄμφω τοῦ Πνεύματος ἀρχὴν εἶναι. Οὐκοῦν ἀνάγκη καὶ τοῦ Πατρὸς αἴτιον εἶναι τὸν Υἱὸν τοῦ ἐν Πατρὶ Πνεύματος αἴτιον ὄντα, ὡς εἴρηται. Τοῦτο δὲ οὐ χρὴ περί γε τοῦ Πατρὸς πρὸς τὸν Υἱὸν δεδιέναι. Φρονεῖν μὲν οὖν οὕτωσὶ καὶ πᾶσα ἀνάγκη, ὅτι τοῦ Πνεύματος τοῦ ἐν τῷ Υἱῷ αἴτιος ὢν καὶ αὐτοῦ τοῦ Υἱοῦ αἴτιός ἐστιν, ὡς εἰ καὶ μὴ δι' οὐδὲν ἕτερον, δι' αὐτό γε τοῦτο, οὐκ ἐχρῆν οἴεσθαι τὸν Υἱὸν τοῦ Θεοῦ τοῦ Πνεύματος αἴτιον, ἵνα μὴ τὰ τῆς θεογονίας ἀντιστρέφεσθαι κινδυνεύσῃ. Τὸ δὲ ὅλως ἀξιοῦν συμπροάγειν τῷ Πατρὶ τὸν Υἱὸν, τὸ φυσικῶς αὐτὸ καὶ συναϊδίως ἐκ Πατρὸς συμπροϊὸν Πνεῦμα ἅγιον, τίνα ἕξει εὐπρέπειαν; Ὥσπερ γὰρ ἐν πᾶσιν, ἐν οἷς ἐστι τὸ κατὰ χρόνον πρότερον, τῇ τῆς αἰτίας τάξει συνὸν, ἀδύνατόν ἐστι τοῦτο καὶ ἀνακόλουθον· οὕτως οὐδὲν ἧττον καὶ ἐν οἷς ἡ κατὰ τὴν αἰτίαν τάξις ἐστὶν ἄνευ τῆς χρονικῆς προηγήσεως, ἀνατροπὴ γένοιτ' ἂν τῆς τοιαύτης τάξεως τοῖς ὀρθῶς λογίζεσθαι δυναμένοις τὸ τὸ αἰτιατὸν τῇ ἑαυτοῦ αἰτίᾳ συνυφιστάνειν τὸ συναιτιατὸν καὶ τοῦ συναιτιατοῦ τῷ αἰτίῳ τῷ κοινῷ συναίτιον γίνεσθαι, συμπροϊόντος τε ἀϊδίως, καὶ πρὸς τὴν κοινὴν αἰτίαν προσεχῶς τεταγμένου, τό γε εἰς τὴν ἐκείνης δύναμιν ἦκον τοὐλάχιστον· τοῦτο γὰρ καὶ Λατῖνοι διδόασι. Τοσούτων τοίνυν ἐπομένων τῇ θέσει Λατίνων, δεῖ γὰρ δι' ἐλαττόνων, ὡς ἐξ ἀρχῆς προὐθέμεθα, συμπεραίνειν, ἢ πάντα ταῦτα δεῖ ἐκκηρύττειν αὐτοὺς ἐν τῷ Συμβόλῳ οὗ καὶ τὴν καινοτομίαν πεποίηνται. Καίτοι λήσει τι καὶ τῶν ἀτόπων σιωπηθὲν, ἴσως παρά τε ἡμῶν καὶ αὐτῶν δυνάμενον πλείονι ἂν ἐπιστασίᾳ εὑρίσκεσθαι· τῷ γὰρ ψεύδει πλείω τὰ ἄτοπα ἕπεται, ἢ καὶ τὴν πηγὴν αὐτῶν ἐκ μέσου ποιεῖν. Καίτοι καὶ τὸ πρότερον οὐκ ἀρκεῖ, εἰ καὶ οἷόν τ' ἦν γίνεσθαι, τῶν τε εἰρημένων καὶ πολλῶν ἄλλων ἕνεκα· οὐκοῦν δέοι γ' ἂν τὸ δεύτερον πράττειν.

Τὸ δὲ τὴν Σαβέλλειον συναλοιφὴν ἐκκηρύττειν καὶ τὸ διττὸν τῆς ἀρχῆς καὶ τὰ τοιαῦτα καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα προβάλλεσθαι κηρύττοντας καὶ τὸν Υἱὸν ἀρχὴν εἶναι κατ' αὐτοὺς τοῦ Πνεύματος, αἴτιον δὲ, ὡς ἂν Γραικοὶ φαῖεν, αὐτοί φασι, καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ὑπαρκτικὸν εἶναι ἢ τὸ ὑφεστὼς εἶναι ἔχειν, εἰ καὶ ταῦτα ἐπαγγέλλονται ἐξιδεῖν, σοφιστικῶς καὶ πεπραχρουόμενοι τοὺς ἐνοῦσθαι προθυμουμένους αὐτοῖς ἀλόγως τε καὶ ἀνυλαβῶς, ὥσπερ δὴ καὶ τοὺς τἀναντία τούτων λέγοντας διδασκάλους οἷς ἡμεῖς ἐρειδόμεθα παρεξηγοῦνται σοφιστικῶς, πρᾶγμα πᾶσι τοῖς ὁμοίως πεπονθόσι συνειδισμένον· τοῦτο τοίνυν οὐδένα τῶν νεῶν ἐχόντων καὶ εἰδότων καὶ ἐκκλησιαστικοῖς ἐντεθραμμένων δογμασί τε καὶ πράγμασιν ἐπισπάσεται βελτίω δόξαν περὶ αὐτῶν ἔχειν, ἢ ἦν οἱ Πατέρες ἡμῶν περὶ αὐτῶν δι-

καίως ἐσχήκασι, καὶ φειδοῖ σιγάσθω. Τὰ δὲ βιβλία ἀνηρύττει· ἡμεῖς δὲ χάριν ἔχομεν τῷ φωτίσαντι ἡμᾶς ἁγίῳ Πνεύματι περὶ τῆς ἐκ τοῦ Πατρὸς ἐκπορεύσεως, ᾧ δόξα καὶ τῷ ὁμοουσίῳ Υἱῷ καὶ τῷ Πατρὶ, τῇ μακαρίᾳ Τριάδι ἐν ἑνότητι φύσεως ἄκρᾳ νῦν τε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ
ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΣΧΟΛΑΡΙΟΥ

ΚΑΤΑ ΤΗΣ ΠΡΟΣΘΗΚΗΣ
ΗΝ ΕΝ ΤΩ ΣΥΜΒΟΛΩ ΤΗΣ ΠΙΣΤΕΩΣ ΠΡΟΣΕΘΗΚΑΝ ΟΙ ΛΑΤΙΝΟΙ.

Ὅθεν μὲν καὶ ὅπως ἐπὶ τὴν ἐν τῷ συμβόλῳ προσθήκην οἱ Λατῖνοι κεκίνηνται, ἄλλης ἂν γένοιτο χρείας ἐξετάζειν τε καὶ σκοπεῖν· προσέθεσαν δὲ ὅπως ποτὲ δόγμα τῷ συμβόλῳ τῆς πίστεως οὐ μικρὸν, οὐδὲ μικρᾶς ἐρεύνης δεόμενον. Οὐ γὰρ μικρὸν, εἴτε προάγει ὁ τοῦ Θεοῦ Λόγος ἑτέραν θείαν ὑπόστασιν, ὡς αὐτὸς ἐκ τοῦ Θεοῦ προάγεται ὑπόστασις καὶ θεία, εἴτε καὶ μή· καὶ διὰ τοῦτο τῆς τῶν Λατίνων ἀπέσχετο κοινωνίας ἡ τῆς Ἀσίας σύμπασα καθοσίωσις· οὐκ εὐθὺς μὲν, οὐδὲ καθάπαξ, ἀλλ' ἐπὶ πολλαῖς ἐπιστολαῖς, καὶ πρεσβείαις, ἐπὶ πολλοῖς ἔτεσι διορθώσασθαι πειραθέντες, ἀπέκαμόν τε καὶ τῆς ἰατρείας ἀπέγνωσαν. Καίτοι καὶ ἄλλων ἕνεκα ἐνεκάλουν ἐκεῖνοις πρότερον οἱ Πατέρες ἡμῶν, οἷόν ἐστι καὶ τὸ τῶν ἀζύμων καινοτόμημα. Ἀλλ' ὥσπερ κορωνὶς, καὶ δι' ἣν οὐκ ἔτι ἦσαν ἀνεκτοὶ τῶν καινοτομιῶν, ἡ ἐν τῷ συμβόλῳ γενομένη προσθήκη τὴν διάστασιν δικαιότερον ἐπηνάγκασε.

Τρία δὲ ταῦτα δεινὰ τοῖς ἐν Ἀσίᾳ πατριάρχαις ἐδόκει περὶ Λατίνων, εὐθὺς τὴν προσθήκην πεποιημένων· ὅτι τε προσετίθουν τῷ συμβόλῳ τῆς πίστεως πρᾶγμα τέσσαρσιν οἰκουμενικαῖς συνόδοις μετὰ τὴν τρίτην πεφυλαγμένον, καὶ τοὺς ἐκείνης διορισμούς· καὶ ὅτι μόνοι τοῦτο ἐτόλμων· καὶ ὅτι δόξαν προσετίθουν ἥκιστα γνώριμον. Μέχρι τοίνυν τούτου τὸ πταῖσμα τῶν Λατίνων ἐστί. Καὶ τὸν λόγον τοῦ σχίσματος οἱ καινοτομοῦντες, ἄνευ τοῦ μείζονος μέρους τῆς Ἐκκλησίας, οὐχ οἱ μὴ βουλόμενοι συγκαινοτομεῖν καὶ συγκινδυνεύειν ὀφείλουσιν. Ὅτι δὲ καὶ αὐτοὶ Λατῖνοι τότε συνῄδεσαν ἑαυτοῖς ἠδικηκόσι, τεκμήριον ἐναργὲς, ὅτι πατριαρχῶν εἰδώλα τεσσάρων εὐθὺς κεχειροτονήκεσαν, ἄλλων τοὺς ἀληθεῖς θρόνους ἐχόντων, ἀνθοῦντας δυνάμει καὶ πλήθει τῆς τε σοφίας καὶ τῶν ἄλλων πάντων καλῶν. Εἰ μὲν γὰρ ἐδύνατο μόνος ὁ Ῥώμης καινοτομεῖν, τί; ἦν τῶν πατριαρχικῶν εἰδώλων ἡ χρεία; Καὶ εἰ μόνος ὁ Ῥώμης οἰκουμενικὴν συγκροτεῖν δύναται σύνοδον, καὶ τὰ περὶ τὴν πίστιν ὁρίζειν, τί ταύτης ἔδει τῆς πλάσεως; Εἰ δ' ἀπογόνους τῆς τῶν ἀληθῶν πατριαρχῶν συνεργείας καὶ κοινωνίας πατριάρχας δημιουργεῖ, ὡς οὐκ ἂν ἄλλως οἰκουμενικὴν ἔξειν δύναμιν, οὐκοῦν καὶ τὴν προσθήκην φαύλως ἐποίει, οἰκουμενικῶς ταύτην ποιούμενος. Εἰ γὰρ τοὺς πατριάρχας πρότερον πλάσας εἶτα προστίθει, σχῆμα γοῦν οἰκουμενικὸν εἶχεν ἂν ἡ προσθήκη· νῦν δὲ μετὰ τὴν προσθήκην καὶ τὴν διαίρεσιν τοὺς πατριάρχας χειροτονῶν, εἰ μὴ μάτην τοῦτο ποιεῖ, τῆς προσθήκης ὡς ἀδίκως γενομένης καταψηφίζεται. Καὶ αὐτὸ δὲ τὸ πατριάρχας χειροτονεῖν ὅσον ἐστὶν εἰς φιλονεικίας ἀπόδειξιν πᾶς νοῦν ἔχων σκοπείτω· ποῦ γὰρ ἐξῆν τῷ Ῥώμης ἀρχιερεῖ πατριάρχας χειροτονεῖν; Οὐδαμοῦ δήπου, οὐδ' ἐκ τοῦ μὴ συμφωνεῖν αὐτῷ τοὺς λοιποὺς πατριάρχας, εἴτε δικαίως εἴτε καὶ φαύλως εὔλογον ἂν εἴη πράττειν αὐτὸν ὅπερ οὐκ ἔξεστι. Μᾶλλον γὰρ ἂν ἦν οἰκουμενικὸς πατριάρχης, εἴπερ συνέβαινε τοὺς ἄλλους πάντας κακοδοξεῖν, ὡς αὐτός φησι, μόνος τοὺς ὀρθοδόξους ποιμαίνων, καὶ μόνος πατριάρχης ὢν ἐν αὐτοῖς, ἢ συναριθμίους ἔχων τοὺς πεπλασμένους· ἕτερον γάρ τινα τρόπον ἁμαρτήσεται καὶ τῆς ἀληθείας διαπεσεῖται ὁ τὰ μὴ ὄντα πλάττειν βούλομενος.

Ἀντίρροπον δὲ τῆς τοῦ πάππα φιλονεικίας ἡ ῥᾳθυμία οἱ τῆς ἀνατολῆς πατριάρχαι, καὶ βασιλεὺς ἑκάστοτε σὺν αὐτοῖς, τὴν ἀλήθειαν καὶ τὴν μεγαλοψυχίαν ἐπεδείξαντο κἀν τούτῳ τῷ μέρει. Δυνάμενοι γὰρ ἀναπλάττειν πολλῷ ῥᾷον καὶ δικαιότερον ἢ ἐκεῖνος τοὺς τέσσαρας, οὔτε τοῦτο ἐποίουν, οὔτε σύνοδον συνεκρότουν ἄνευ ἐκείνου, δι' ἧς ἂν ἔμελλον ψηφίζεσθαι τἀναντία πάνυ τοῦτο δυνάμενοι· ἀλλὰ μᾶλλον συνόδῳ κοινῇ τὴν προσθήκην ἐζήτουν ἐξετασθῆναι, σχολῆς αὐτῇ διδομένης πρότερον, ὡς εἰκὸς ἦν καὶ δίκαιον. Οἱ δὲ, μέχρι μὲν ἦδεσαν τὴν καθολικὴν Ἐκκλησίαν καὶ σοφίᾳ καὶ τοῖς ἄλλοις πᾶσιν ἰσχύουσαν, οὐκ ἐθάῤῥουν τὴν κρίσιν· ἐπεὶ δὲ εἶδον ἡμᾶς πάντα ἀποβεβληκότας σχεδὸν, ἑαυτοὺς δὲ ηὐξημένους τοῖς ἅπασι, καὶ τὸν οὐρανὸν οἰομένους τῇ χειρὶ κρατήσειν, ἐπειδὰν βουληθῶσι, τότε δὲ προσωπεῖον δικαστηρίου καὶ λόγων οἰκουμενικῶς ἐπεθύμησαν ἐπικυροῦν τὴν προσθήκην, ὡς ἂν παύσαιντο καὶ ταῖς ἑαυτῶν συνειδήσεσι πικρῶς ἐλεγχόμενοι. Οὔτε γὰρ ἀφελεῖν ἐβούλοντο τὴν προσθήκην, εἴ γε ξυνηθείημεν φαυλίζειν αὐτὴν, οὔτ' ἐνόμισάν ποτε δυνήσεσθαι τῆς ἡμετέρας δόξης ὑπεραγωνιεῖσθαι γενναίως ἡμᾶς, ἀλλὰ τὸ αἶσχος ἀφελεῖν ἐβούλοντο μόνον τῆς καινοτομίας ἐκείνης ὑπὸ πάντων σφίσι προφερομένης· καὶ διὰ τοῦτ' ἤθελον καὶ ταῖς ἡμετέραις ἐνδόσεσι καὶ

συνθήκας τὸν νεωτερισμὸν βεβαιοῦντες, καὶ σφίσιν αὐτοῖς καὶ τοῖς ἄλλοις, μένειν ἀνέγκλητοι τοῦ λοιποῦ.

Οὕτω δὴ τὴν ἐν Λουγδούνῳ πεποιήκασι σύνοδον. Καὶ λοιπὸν ἦν τοὺς ἡμετέρους πρέσβεις ἐκεῖ παραγενομένους παράπαν ἐνδοῦναι τὸ δίκαιον· ἐξηπατηκότος γὰρ τοῦ βασιλέως τὴν Ἐκκλησίαν, ὡς οἰκονομικὴν ποιησομένου δι' ἐκείνων τὴν ἕνωσιν, Μιχαὴλ ἡ τῶν μετὰ ταῦτα βασιλέων τῶν Παλαιολόγων ἀρχή, πρέσβεις δὲ ἑλομένου, τὸ βάθος αὐτοῦ τῆς γνώμης ἐπισταμένους, οἱ Λατινισμὸν προφανῆ καὶ συγχώρησιν τῶν δοκούντων πάντων Λατίνοις ἀντὶ τῆς βουλευθείσης οἰκονομίας ἐπανήκοντες ἤνεγκαν, ὁμοῦ τε κεχαρισμένοι τῷ πεμψάτι, καὶ ταῖς ἐκεῖθεν ἐνισχυμένοι τιμαῖς τε καὶ δωρεαῖς. Ὁ δὲ βασιλεὺς, δεῖ γὰρ καὶ τοῦτο προσθεῖναι, τὴν τῶν Λατίνων ἀποτρεπόμενος ἄμυναν, ᾤετο γὰρ αὐτοὺς μνησικακήσειν ἡρπασμένης ἀπ' αὐτῶν τότε τῆς πόλεως προὐοσίᾳ τῆς ἀληθείας, ἠβουλήθη τὴν ἀρχὴν ἀσφαλίσασθαι τὴν ἑαυτοῦ καὶ τῶν παίδων· διὸ καὶ ζήλῳ θειοτέρῳ ἐνωθείσης τῆς Ἐκκλησίας μετὰ τὴν αὐτοῦ τελευτὴν, ἡ ἐν Λουγδούνῳ πρᾶξις ὑπὸ μεγάλης καὶ λαμπρᾶς συνόδου καλῶς ἀνατέτραπται, ἧς ἡ ψῆφος μένουσα ἂν ἐλέγχοι τοὺς μηδὲ μετ' ἐκείνην σωφρονεῖν βουλομένους, καὶ τὰ πάτρια πάλιν ἀνεκτρύττετο δόγματα, ἕως ἡμᾶς μὲν αὖθις ἡ χρεία τῆς βοηθείας, καὶ τὸ τῶν ἐχθρῶν ὑποκείμενον ξίφος, ἵνα μὴ λέγωμεν ἡ τῆς θείας χειρὸς ἐγκατάλειψις, τὸν δὲ Εὐγένιον ἡ τῆς εἰς τὸν θρόνον ἐπανόδου πάλιν ἐλπὶς, καὶ τοῦ λύσειν τὴν κατ' αὐτοῦ συνεστῶσαν ἐν Βασιλείᾳ τῇ πόλει, καὶ πάντα μηχανωμένην κατ' αὐτοῦ σύνοδον, πρὸς τὴν Ἰταλικὴν συνήλασαν σύνοδον.

Τὰ μὲν οὖν κατὰ τὴν σύνοδον ἐκείνην, ὅπως τε ἤρξατο, καὶ διὰ τίνων μέσων, καὶ ὅπη κατήντησε, σαφῆ ταῖς ἀγαθαῖς εἰσι συνειδήσεσι, καὶ τοῖς ἐλέγχειν ἕκαστα βουλομένοις ὡς ἀληθῶς οὐ λόγων μακρῶν, ἀλλὰ βιβλίων δεῖ πολυστίχων· κεφαλαίῳ δὲ τοῖσδε τὴν πρὸς Θεοῦ ἡμῶν ἀπολογίαν ἐρείδομεν ὑπέρ τε τοῦ μὴ βούλεσθαι νῦν ἑνοῦσθαι Λατίνοι. Ἴσμεν αἰτίους τοῦ σχίσματος ἐκείνους τὴν ἀρχὴν γενομένους, οὐ τοὺς ἡμετέρους προγόνους, καὶ διὰ τοῦτο τοῖς ἠδικημένοις καὶ παρανομηθεῖσιν, οὐ τοῖς ἠδικηκόσι προσκεῖσθαι βουλόμεθα. Ἴσμεν καὶ νῦν Λατίνους αἰτίους ὄντας τοῦ σχίσματος. Διατί γὰρ οὐκ ἀφαιροῦσι προσθήκην ὅπως ποτὲ γενομένην ἵνα τὴν Ἐκκλησίαν δυνηθῶσι συνάψαι; Καὶ εἴπερ ἠδύνατο προστιθέναι μόνος ὁ πάππας, διατί μὴ μετὰ πάντων ἀφαιρεῖσθαι δυνήσεται; καὶ εἰ τὴν προσθήκην ἐποίησεν, ἀνάγκης κατεπειγούσης, ὡς λέγουσι, διατί μὴ νῦν ἀφαιρεῖ τὸ προστεθειμένον, ἐκείνης μὲν πεπαυμένης τῆς ἀνάγκης, ἑτέρας δὲ ἐπαναγκαζούσης καὶ μείζονος;

Ὅτι δὲ καὶ καταψεύδονται τῆς ἀνάγκης ἣν λέγουσιν, ἄλλης ἂν εἴη χρείας δεικνύναι· κατὰ γὰρ τῶν ὀρθοδόξων αὐτὴν προσετίθουν, τῶν ἀντιλεγόντων μὲν αὐτοῖς τοῖς καινοτομοῦσι, συμφωνούντων δὲ ἡμῶν τοῖς τὰ κοινὰ τιμῶσι καὶ στέργουσιν οὓς φασι Νεστοριανοὺς γεγονέναι, οἱ δὲ, Ἀρειανοὺς, ἡμῶν τε κἀκείνων καταψευδόμενοι. Ποῦ γὰρ Ἀρειανῶν τοῦτο, ἢ Νεστοριανῶν, εἰ μή τις καὶ τὸ πῦρ ψυχρὸν εἰπὼν εἶναι μέλλοι πιστεύεσθαι; Καθ' ἡμῶν γοῦν καὶ τῶν ὁμοφρόνων ἡμῖν τότε, ἐν σφίσι τὴν προσθήκην πεποιημένοι τὴν καθ' ἡμῶν ἀναισχυντίαν, ἀνάγκην τινὰ κατεπείξασαν αὐτοὺς αἰτιῶνται, καὶ δοκοῦσί τι λέγειν τοῖς ἄφροσιν. Ἀλλὰ τοῦτο μὲν, ὡς εἴρηται, πραγματείας ἂν εἴη μείζονος, σκοπεῖν ἀκριβῶς καὶ δεικνύναι· εἰ δὲ τὰ γένη Λατίνων ὁ πάππας αἰδεῖται καὶ σκανδαλίζειν οὐ βούλεται, μὴ καὶ φαῖεν ὡς ἄρα κακῶς οἱ μετὰ τῆς προσθήκης ἀποτεθνηκότες ἐπίστευον, καὶ ταύτῃ τῆς ἀπωλείας εἰσί· διατί μὴ καὶ μᾶλλον ἡμεῖς φοβησόμεθα τὸν Θεὸν, καὶ τοὺς ἡμῶν προγόνους αἰδεσθησόμεθα, ἀλλὰ τοσαύτην τοῖς ἀνευθύνοις προστριψόμεθα μέμψιν, ὥστε δοκεῖν ἐκείνους ἀπολωλέναι τοσούτους ἕτεσιν ἀληθῆ μεμαχημένους προσθήκην, καὶ ἀποτεθνηκότας ἐν αἱρέσει χαλεπωτάτῃ περὶ τὸ τοῦ Πνεύματος ἄρθρον; Καὶ εἰ τὴν καινοτομίαν ἐκείνην ὁ μακρὸς συνέστησε χρόνος, διατί μὴ πολλῷ μᾶλλον ἡμῖν τὸ μῆκος τοῦ χρόνου τὴν ἐπαινετὴν ἕνστασιν μέλλει κυροῦν πρὸς Θεοῦ;

Εἰ δὲ καὶ ἀληθές ἐστιν ὃ φασιν ὡς ἀνάπτυξίς ἐστιν, οὐ προσθήκη τὸ, ἐκ τοῦ Υἱοῦ, οὐδ' ἀφαίρεσιν ἐκ τοῦ συμβόλου ποιήσονται δήπου, ἀλλὰ καὶ τῆς λέξεως ἐκείνης ἀφῃρημένης, μενεῖ πάλιν ἀρτιμελὲς, καὶ οὐδαμῶς ἠδικημένον τὸ σύμβολον ἢ ἐξαπατᾷν ἡμᾶς βούλονται λέγοντες· ἀνάπτυξιν ἐκεῖνο τυγχάνειν καὶ μὴ προσθήκην. Εἰ δὲ μηδὲ ἀνάπτυξιν ἰσχύουσιν ἀφαιρεῖν ἕνεκα τῆς εἰρήνης, ὡς αὐτοὶ φαῖεν, πῶς αὐτοὶ τολμήσομεν προσθήκην ἐν τῇ πίστει ποιεῖν, ὡς αὐτοὶ φαμεν καὶ πεπείσμεθα τὸ ἐκείνων εἶναι προσθήκην; Εἰ δέ τις οἴοιτο τὸν συνοδικὸν ἐκεῖνον ὅρον μένοντα καὶ πιστευόμενον παρ' ἡμῖν, δεήσει δὲ δήπου πιστεύεσθαι, ἕως ἂν μηδὲν ἀναιρουῦν ἐκεῖνον συντεθῇ παρ' ἡμῖν, καὶ ἡμῶν ἐπὶ τοιαύτας συνθήκας ἡνωμένων Λατίνοις, ἄλλο τι ζυνασθαι, ἢ τὴν ἐν τῷ συμβόλῳ προσθήκην ὁμολογεῖν ἡμᾶς καὶ σιγῶντας, καὶ εἴ τις οἴοιτο τοὺς κοινωνοῦντας ὁπωσοῦν τοῖς προστεθεικόσιν ἐκ τοῦ μὴ κοινωνεῖν τοῦ ἐγκλήματος, καθάπαξ ἁπλοῦς ἐστι. Καὶ εἴ τις τὴν τῶν ὀνομάτων ἐν τοῖς θείοις ἀναφορὰν μὴ τελείαν ἕνωσιν λέγοι καὶ κοινωνίαν, ἢ τῆς τῶν δογμάτων συμφωνίας ἀπόδειξιν, πλὴν εἰ μή τι προσκαίρως ἐπ' ὠφελείᾳ τῆς ἀληθείας οἰκονομοῖτο, καὶ προὐποκειμένης τῆς τῶν ὀρθῶν δογμάτων ἀνακρούσεως, ὡς Εὐλογίῳ καὶ Κυρίλλῳ δοκεῖ, οὗτος ἔοικεν ἄλλης θρησκείας νόμοις προσέχειν, ἢ Χριστιανισμὸν εἰσάγειν καινότερον.

Εἰ δὲ λέγουσι καὶ τὴν ἡμετέραν πίστιν ἐπαινεῖν οἱ Λατῖνοι, ὅ τῶν ἡμετέρων παρασύρει τοὺς πλείστους ἀκούοντας, ἡμετέραν πίστιν φασὶ τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, ὅπερ ἐν τῷ συμβόλῳ τῆς πίστεως καθ' ἑκάστην ὁμολογοῦμεν, σαφὲς οὖν ἐστιν, ὅτι τοῦτο καὶ πάνυ πιστεύουσι καὶ τοσοῦτον ὅτι καὶ τὸ, ἐκ τοῦ Υἱοῦ, προστιθέασιν. Ἀλλ' ἡμεῖς ἀναπτύσσοντες, ὡς αὐτοί φασιν ἀναπτύσσειν, λέγομεν καὶ πιστεύομεν καὶ οὐκ ἐκ τοῦ Υἱοῦ, ὡς αὐτοὶ φασι καὶ ἐκ τοῦ Υἱοῦ, τοσοῦτον διαφέροντες, ὅτι αὐτοὶ μὲν ἀναπτύσσουσιν ἐν τῷ συμβόλῳ, καί φασιν,

ἡμεῖς; δὲ ἔξω τοῦ συμβόλου τοῦτο ποιοῦμεν, οὐδ' αὐτοὶ τοῦτο ποιοῦντες ἀφ' ἑαυτῶν, ἀλλὰ τοὺς διδασκάλους καὶ πάντας αὐτοὺς ἀληθινοὺς, οὕτως ἀξιοῦντας εὑρίσκοντες. Καὶ διότι ταῖς παρ' ἡμῖν ἀναπτύξεσιν ἐπεβάλοντο φανερῶς, διὰ τοῦτο τὴν ἀνάπτυξιν αὐτῶν οὔτ' ἐπῃνέσαμεν οὔτ' ἐπαινοῦμεν. Νῦν οὖν ὑποτιθέντες οἱ Λατῖνοι, ὅτι τὴν τῶν ἡμετέρων διδασκάλων ἀνάπτυξιν ἀκυροῦμεν, ᾗ τοσούτοις ἐπιστεύομεν ἔτεσι, τιθέμεθα δὲ τῇ αὐτῶν ἀναπτύξει, οὕτω φασὶν ἐπαινεῖν τὴν ἡμετέραν πίστιν, ἣ πιστεύειν ὥσπερ ἡμεῖς. Τούτου δὲ τὸ ἐναντίον μᾶλλόν ἐστι καὶ δοκεῖ τοῖς ἔχουσι νοῦν, ὅτι πιστεύσομεν ἐκεῖνοι ὁμοίως τὴν ἡμετέραν δόξαν ἀπολελοιπότες καθάπαξ, οὐ τὸ ἐκ Πατρὸς ἐκπορεύεσθαι, τοῦτο γὰρ κοινόν ἐστιν ἀμφοῖν, ἀλλὰ τὸ οὐκ ἐκ τοῦ Υἱοῦ· περὶ τοῦτο γὰρ διιστάμεθα. Ἢ ἰδοὺ λέγομεν αὐτοῖς ὅπως νοοῦμεν τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, καὶ ὅπως ἐνόουν οἱ ἡμέτεροι πρόγονοι καὶ διδάσκαλοι, ὡς οὐκ ἐκ τοῦ Υἱοῦ δηλονότι· περὶ τοῦτο γὰρ ἦν ἡμῖν καὶ Λατίνοις ἡ σύμπασα μάχη.

Εἰ τοίνυν φαῖεν καὶ αὐτοὶ οὕτω πιστεύειν, σήμερον αὐτοῖς ἐνούμεθα· ἀλλ' οὐκ ἂν οὕτω φαῖεν· οὐκοῦν εἰ λέγουσι πιστεύειν ὁμοίως ἡμῖν περὶ τοῦ Πνεύματος, σοφίζονται τοὺς ἁπλουστέρους καὶ παρασύρουσιν. Εἰ δὲ δεινὸν δοκεῖ αὐτοῖς τὸ καὶ ἡμᾶς ἀναπτύσσειν, καίτοι μετ' εὐσεβείας τοῦτο ποιούντων, καὶ τῆς κοινῆς ὁμολογίας οὐδαμῶς ἁπτομένων, ἐχόντων δὲ παράδειγμα τοὺς πρώτους τετολμηκότας; αὐτό, καὶ ὡς ἀληθῶς ὑπ' ἀνάγκης ἀναπτυσσόντων, αὐτοί τε παύεσθωσαν ἀναπτύσσειν, καὶ ἡμεῖς σχολὴν ταῖς ἀναπτύξεσι δώσομεν ἕνεκα τοῦ τῆς ἀγάπης κοινοῦ. Καὶ τὸ μὲν πότερον αἰτιός ἐστιν ὁ Υἱὸς τοῦ Πνεύματος ἢ μή, ἢ ζητεῖσθω παρὰ τῶν βουλομένων ἐνδόξως, ἢ σιγάσθω παρὰ πάντων ὁμοίως. Ἡ δ' Ἐκκλησία κοινὴ τὸν Υἱὸν αὐτὸν τοῦ Θεοῦ διαλλακτὴν ποιείσθω ταύτης τῆς ἔριδος, οὐκ ἔχουσά τι τῶν ἐκείνου φωνῶν, ἢ ἀσφαλέστερον ἢ ἱερώτερον. Μᾶλλον δὲ τῆς Ἐκκλησίας τοῦτο καλῶς πεποιηκυίας ἐν τῇ δευτέρᾳ συνόδῳ καὶ ἡμῶν αὐτῇ πειθομένων, καὶ τὴν Ἐκκλησίαν τῆς Ῥώμης οὕτω πράττειν ἐχρῆν, καὶ οὕτω γε πράξει, βουλομένη πράττειν τὰ δέοντα.

Πανταχόθεν οὖν αἰτίους τῆς μάχης ταύτης τοὺς Λατίνους ὁρῶντες νῦν τε καὶ πρότερον, μεθ' ἡμῶν δὲ καὶ τῶν ἡμετέρων Πατέρων εἰδότες πάντα τὰ δίκαια, πολλαῖς ἐλπίσι σύνεσμεν τοῦ μηδένα λόγον ἀφλήσειν ἐπὶ τοῦ μέλλοντος βήματος ὑπὲρ τοῦ μὴ βούλεσθαι τοῖς αἰτίοις τοῦ δεινοῦ κοινωνεῖν. Εἶτα κανόνας ἔχομεν ἐκ τῶν ἁγίων καὶ τύπους, πῶς δεῖ προσέχειν τῇ πίστει οὓς οὐκ ἔστιν ὅσιον ὑπερβαίνειν. Κατ' ἐκείνους γοῦν τοὺς κανόνας ἐπικίνδυνον ἡμῖν δοκεῖ καὶ πλάνης μεστὸν, ἀφέντας τὴν εὐαγγελικὴν διδασκαλίαν, ἐν ᾗ λέγεται τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι, Πνεῦμα δὲ τῆς ἀληθείας καὶ παρ' αὐτοῦ πέμπεσθαι, καὶ τὴν ἀποστολικὴν ὁμοίως διδασκαλίαν ἐν ᾗ λέγεται τὸ Πνεῦμα τοῦ Θεοῦ μὲν εἶναι καὶ ἐκ τοῦ Θεοῦ, τοῦ δὲ Υἱοῦ εἶναι μόνον λέγεται, οὐκ ἐκ τοῦ Υἱοῦ, τὰς τῶν Πατέρων ἐξηγήσεις, ὃς ἐπίτηδες καὶ ἀπεξεσμένως τοῖς γραφικοῖς χωρίοις τούτοις ἀπέδωκαν τὴν τῆς α' συνόδου διδασκαλίαν, ἐν ᾗ προδήλως σχεδὸν ἐκ τοῦ Πατρὸς μόνου τὴν ὕπαρξιν ἔχειν τὸ Πνεῦμα τὸ ἅγιον καταφαίνεται, τὴν ἀνάπτυξιν τῆς β' συνόδου, ὅτε τὸ περὶ τοῦ Πνεύματος ἐζήτηται προὔργου καὶ ἱκανώτατα διωρίσθη, ὅσον τε εἰς τὴν οὐσίαν ἥκει τοῦ Πνεύματος, καὶ ὅσον εἰς τὴν τοῦ ὅθεν ἐστὶν αἰτίαν, τὰς τῶν ἄλλων συνόδων ἐπικυρώσεις τῆς ἀληθείας, τῶν ἡμετέρων διδασκάλων πάντων τὰς ἐναργεῖς ἀποφάσεις, καὶ πρὸς τούτοις λόγους ἱκανοὺς καὶ γενναίους; ἐκ τῶν ἀρχῶν λαμβανομένους τῆς πίστεως· οὐ δίκαιον τοίνυν ταῦτα πάντα ἀφένιας, δόξαν προσήκασθαι, μήτε ἐκ τῶν κανονικῶν γραφῶν, μήτε ἐκ τῶν τοῦ χρόνου πρεσβείων τὴν ἰσχὺν ἔχουσαν, μήτε ἐκ τῶν παρ' ἡμῖν διδασκάλων ὧν τὰς βίβλους ἔχομεν, καὶ τῶν φωνῶν ἐπαίομεν, μήτε λόγοις μαρτυρουμένην, εἰ μὴ σοφιστικοῖς, καὶ οὐκ ἐκ τῶν κοινῶν ἀρχῶν ὡρμημένοις, ἀλλ' ἐκ τινων οὓς οὐκ ἴσμεν, πόθεν εἰσίν.

Ἀλλά φασιν ὅτι τοῦτ' Αὐγουστῖνος ὁ μακάριος λέγει. Ἀλλ' ἡμεῖς εἰς τὴν Ἐκκλησίαν πιστεύομεν, ἣν αἱ κανονικαὶ γραφαὶ συνιστῶσι καὶ αἱ κοιναὶ τῶν πιστῶν σύνοδοι τὴν Ἐκκλησίαν Χριστοῦ παριστάνουσαι, οὐκ εἰς Αὐγουστῖνον, οὐκ εἰς Δαμασκηνόν, οὐδ' αὐτῷ τῷ Δαμασκηνῷ προσέσχομεν ἂν ἐν τούτῳ τῷ μέρει, εἰ μὴ τῆς κοινῆς εἴχετο δόξης, ὥσπερ ἐν τοῖς ἄλλοις ἅπασιν ἔχεται.

Ἀλλ' οὐδ' εὔθυνεῖ δίκαιος ὢν ἡμᾶς ὁ Θεὸς, τὴν κοινὴν καὶ ὡμολογημένην οὐ βουλομένους πίστιν ἀφεῖναι καὶ γνώμῃ τινὸς προστεθεῖσθαι τῶν διδασκάλων χωρὶς, εἰ καὶ διὰ τοῦτο κολασθησόμεθα δήπου, ὅτι μὴ προσέχομεν Γρηγορίῳ τῷ Νύσσης, τέλος κολάσεως δογματίζοντι, ἀξιωματικῷ ὄντι, καὶ ταῦτα καὶ ὑπὸ συνόδων μαρτυρουμένῳ· καὶ δίκας αὖθις ὑφέξομεν, ὅτι μὴ παραιτούμεθα μὲν τὰς συνόδους καὶ τὰς Γραφὰς, προσέχομεν δὲ Διονυσίῳ τῷ Ἀλεξανδρείας καὶ μάρτυρι, καὶ Γρηγορίῳ τῷ Νεοκαισαρείας τῷ μεγάλῳ θαυματουργῷ καὶ διδασκάλῳ τῆς πίστεως, οἵτινες ἠχοῦσιν ἐν τοῖς ἰδίοις λόγοις αἱρετικά τινα δόγματα ὑπὸ τῆς τῶν λόγων ἀνάγκης, καθὼς αὐτοὺς ὁ μέγας ἐξαιτιᾶται Βασίλειος.

Καὶ Αὐγουστῖνος δὲ αὐτὸς ἡμῖν ὁ μακάριος τὸν τοιοῦτον παραδίδωσι κανόνα σαφῶς, καὶ οὕτω κεχρῆσθαι παραγγέλλει τοῖς αὐτοῦ καὶ τῶν ἄλλων ἑκάστου διδασκάλων συγγράμμασιν. Οὐδ' αὐτῷ γοῦν φανείημεν Αὐγουστίνῳ βαρεῖς ἐπὶ τοῦ χοροῦ τῶν ἁγίων ἐν ἐκείνῳ τῷ βίῳ, εἴπερ ὃν ἡμῖν δέδωκε κανόνα τηροῦμεν, καὶ ταῦθ' ἕκαστα δείξομεν οὕτως ἔχοντα μὴ μόνον τοῖς ἐξ ἡμῶν ἀμφιβόλοις, ἀλλὰ καὶ Λατίνοις αὐτοῖς καὶ πᾶσιν ἀνθρώποις, καίτοι καὶ τὸν Αὐγουστῖνον αὐτὸν συνῳδὸν τοῖς ἡμετέροις διδασκάλοις εἶναι πεπείσμεθα. Ἃ δὲ τῶν ἐκείνου ῥητῶν ἐκγράφοντες οἱ Λατῖνοι δεικνύουσιν, αὐτοὶ καὶ ἐκγράφουσιν, ὥς φασι, καὶ ἑρμηνεύουσιν ὡς σφίσι συμφέρει, καὶ ἐξηγοῦνται καθὼς αὐτοὶ βούλονται. Τίς οὖν ἡμῖν ἔσται πρὸς τὸν Θεὸν ἀπολογία, τὰ μὲν κοινὰ καὶ συνήθη παραιτουμένοις, ὅτι δὲ Λατῖνος ἡμῖν ὁ δεῖνα προσφέρει τοῦ μακαρίου ῥῆσιν

Λύγουστίνου τῷ προσφέροντι πιστεύειν ἀνεξετάστως; ἐθέλουσιν αὐτοῦ τε τοῦ Λατίνου τὴν βίβλον ἔχοντος, οὐχ ἡμῶν, αὐτοῦ ταύτην ἐξηγουμένου καὶ τὴν ἐξήγησιν δοκιμάζοντος, καὶ τῶν πραγμάτων οὐ συνηγορούντων ἁπάντων, ἐναντιουμένων μὲν οὖν, σκοπείτω τὸν λόγον πᾶς ὁ δικάζειν ὀρθῶς βουλόμενος.

Ἐπὶ τοίνυν τοιούτων θεμελίων τὴν πρὸς Λατίνους ἕνωσιν εἴπερ ἰδρύειν ἐβουλόμεθα πάντες, τίς ἂν ἡμᾶς ἐξείλετο λόγος τοῦ μὴ μητραλοίας εἶναι δοκεῖν καὶ φαύλους ἐπιτρόπους τοῖς μεθ' ἡμᾶς, καὶ τοῖς ἡμῖν νῦν προσέχουσι, τῆς ἡμῖν παραδεδομένης πίστεως γίνεσθαι; ὅπου γε καὶ θνητοῦ τινος ἐπιτροπεύσαντος πράγματος οὕτω κακῶς, ἐμέλομεν ἂν τοί; περὶ τούτων νόμοις, καὶ ταῖς τῶν νοῦν ἐχόντων ἀνθρώπων ψήφοις; ἀλίσκεσθαι. Ἔπειτα, εἰ μὲν νῦν πρῶτον ἦρχετο τὰ τοιαῦτα ζητεῖσθαι, καλῶς ἂν εἶχεν ἡμᾶς σκοπεῖσθαι τοῖς ἀρχαίοις; διδασκάλοις τί περὶ τούτων δοκεῖ· νῦν δὲ πενταχοσίοις σχεδὸν ἔτεσι τοῦ σχίσματος ὄντος, οἱ τοσούτων χρόνων Πατέρες ἡμῶν καὶ διδάσκαλοι ταυτὶ καλῶς ἐξητάκασιν, ὧν τὰς ψήφους τά τε ἔργα μαρτυρεῖ, καὶ τὰ αἵματα ἃ πολλοὶ πρὸς τὴν Λατινικὴν ἀπομαχόμενοι κεχύκασι δόξαν, καὶ βίβλοι καὶ συγγράμματα καὶ διδασκαλίαι παριστῶσι μυρίαι. Οὐ δεῖ τοίνυν ἡμᾶς ἐξηγητὰς τῶν ἀρχαίων γίνεσθαι διδασκάλων, ἀλλὰ μᾶλλον ἀγαθοὺς εἶναι μαθητὰς καὶ εὐγνώμονας τῶν ἡμετέρων Πατέρων, οἳ τοῖς τῶν ἀρχαιοτέρων καλῶς ἐπέστησαν δόγμασιν. Εἰ γὰρ ἡμῶν τῶν νῦν ὄντων ἴση καθάπαξ ἦν ἡ τε σοφία καὶ ἀρετὴ ταῖς τῶν ἡμετέρων Πατέρων..... χρόνῳ, τολμηρὸν ἂν ἦν καὶ οὕτως ἄλλως ἐξηγεῖσθαι τὰς Γραφάς, καὶ τοὺς ἀρχαιοτέρους Πατέρας, λέγω δὴ τοὺς πρὸ τοῦ σχίσματος, ἢ ὡς οἱ μετὰ τὸ σχίσμα Πατέρες ἡμῶν ἐξηγοῦνται, οὐκ αὐτῶν αἰτίων ὄντων τοῦ σχίσματος· ἡ γὰρ τοῦ χρόνου προσθήκη, πολλοὺς ἐκφαίνουσα διδασκάλους, καὶ μεῖζω τὴν ἀρετὴν αὐτῶν καὶ τὴν σοφίαν ἐδείκνυεν ἄν, ὅσῳ τῶν ἑκατὸν τυχὸν οἱ δεκάκις τοσοῦτοι μείζονός εἰσιν ἀξιώματος, ἅμα καὶ τοῦ χρόνου δύναμίν τινα τῶν ἀρίστων εὑρετικὴν ἔχοντος. Εἰ γὰρ τοὺς αὐτοὺς πολλάκις περὶ τῶν αὐτῶν βουλευσαμένους ὁρῶμεν ἄμεινον ἐξευρίσκειν τὸ δέον τῶν ἅπαξ βουλευσαμένων, πόσῳ μᾶλλον καὶ ὡς ἔστιν ἐν πλείονι χρόνῳ τὴν εὕρεσιν ἐπεκτείνεσθαι; Νῦν δὲ πολλῶν μὲν γενεῶν παραδραμουσῶν μετὰ τὸ σχισθῆναι Λατίνους μέχρι καὶ νῦν, ἐν ἑκάστῃ δὲ μυρίων γενομένων ἐναρέτων τε καὶ σοφῶν ἐν γένει μεγάλῳ τῷ ἡμετέρῳ, καὶ πολλὴν τότε δύναμιν ἔχοντι, καὶ σπουδὴν περὶ τὰ καλὰ, ἡμεῖς οἱ νῦν ὄντες καὶ περὶ τούτων τολμῶντες, οἳ καὶ ἀναγκαζόμενοι κρίνειν, οὐδὲ πολλοστὸν ἐσμεν μέρος δυνάμει καὶ πλήθει τῶν ἐν ἐσχάτῃ ταύτῃ τῇ προσεχεῖ γενεᾷ, οὓς εἴδομεν καὶ οἷς ὡμιλήσαμεν. Πῶς οὖν οὐ τῆς ἐσχάτης ὑπερηφανείας ἂν εἴη καὶ μωρίας εὑρέσει καὶ κρίσει, τοσούτου διαμάχεσθαι χρόνου τοὺς μηδένας ἡμᾶς ἢ πειρᾶσθαί τι κρίνειν ὑπεναντίον οἷς ἐντεθράμμεθα, κεχριμένοις ὑπὸ τοσούτων ἐν τοσούτῳ χρόνῳ Πατέρων;

Εἰ δὲ καὶ ἐβουλόμεθα φαύλην οὕτω περὶ πάντων εἴδησιν ἔχοντες τοῖς ὑπὲρ ἡμᾶς ἐγχειρεῖν, πῶς οὐκ ἂν ἔδει τοὺς νῦν ἔχοντας, καὶ γνησίους τῆς μητρὸς ἡμῶν τῆς Ἐκκλησίας υἱοὺς λήρους ἡμᾶς ἡγεῖσθαι καὶ μητραλοίας; Πῶς δὲ καὶ οὐ κατακρινοῦσιν ἡμᾶς αἱ σύμπασαι γενεαὶ κατὰ τὴν μέλλουσαν κρίσιν, ἐπὶ τῆς πλάνης αὐταὶ μένουσαι, τοὺς ἀπὸ τῆς ἀληθείας σαλευομένους, ὡς ἔνιοι βούλονται καὶ καταναγκάζουσιν; Ἡμεῖς δὲ οὐδὲ τῇ κεχωρισμένῃ τῶν ἡμετέρων ἑκάστου Πατέρων ἐπερείδομεν κρίσει, ἀλλὰ καὶ ἣν ὁμοῦ πολλάκις συνελθόντες πεποίηνται. Παρίεμεν τὴν ὀγδόην οἰκουμενικὴν σύνοδον τὴν ἐπὶ Φωτίου ἥτις τὴν ζ' ἐκύρωσε κατὰ τὴν τῶν οἰκουμενικῶν συνόδων συνήθειαν, καὶ αὐτὸν τὸν μακάριον ἀνεστήλωσε Φώτιον, καὶ πάσης προσθήκης ἢ κατὰ διάνοιαν ἢ κατὰ λέξιν κατεψηφίσατο, καὶ τοὺς τότε ποτὲ τολμήσοντας ἐν τῷ συμβόλῳ ποιεῖν, κατεδίκασε πρέσβεων τῶν τοῦ πάππα παρόντων, ἧς δὴ συνόδου καὶ κανόνες ἐν τοῖς τῶν ἱερῶν κανόνων τεύχεσι κεῖνταί τινες, ὑπὸ τῆς Ἐκκλησίας πάσης τῶν ὀρθοδόξων στεργόμενοι. Παρίεμεν τὰ ἐπὶ τῶν Κομνηνῶν λαληθέντα καὶ πεπραγμένα, τὰ ἐπὶ Λάσκαρι καὶ Γερμανοῦ Λατίνων ποτὲ τὴν πόλιν ταύτην ἐχόντων. Ἀλλ' ἐπὶ Ἀνδρονίκου τοῦ τῶν Παλαιολόγων δευτέρου σύνοδος οἰκουμενικὴ συστᾶσα κατὰ τῆς καινοτομίας ἣν ὁ Πατὴρ ἐπενόησε, καὶ πολλοὶ ἐσπούδασεν ἰδρύσασθαι τρόποι, ἀλλ' οὐκ ἴσχυσε, τοῦ Θεοῦ πολλοῖς σημείοις καὶ ἔργοις τὴν ἀλήθειαν φανερώσαντος· ἡ σύνοδος τοίνυν ἐκείνη, ἀριθμῷ Πατέρων ἱκανῷ συγκεκροτημένη, ποίαν οὐ καὶ λιθίνην ψυχὴν κινήσει ἀποσχέσθαι τῆς ἀρτίως τινῶν γεγενημένης ἑνώσεως; τίνα λογισμὸν εὐσεβῆ καὶ Πατέρων εἰδότα σώζειν θεσμοὺς προσέχειν ἀφήσει τοί; ἐν Φλωρεντίᾳ συντεθειμένοις;

Εἰ δὲ μερικὴν ἐκείνην φήσει τις εἶναι τὴν σύνοδον, εἰ μὲν ἐκ Λατίνων οὗτός ἐστι, πτερὸς τοῖς ἰδίοις ἀλώσεται· πῶς γὰρ οἰκουμενικὰς ἡγοῦνται καὶ καλοῦσι Λατῖνοι τὰς μετὰ τὸ σχίσμα γενομένας σφίσι συνόδους, τὰς ἐν Τολλέτῳ καὶ Λουγδούνῳ καὶ ἄλλαις πόλεσι, κρείττους οὔσας σχεδὸν ἀριθμοῦ; καίτοι τῶν τεσσάρων πατριαρχῶν οὐ παρόντων, οὐδὲ συνεπιψηφιζομένων τῷ πάππα, φαίη γ' ἄν, ὡς ἀπεσχισμένων ἡμῶν, τὸ λειπόμενον μέρος τῆς Ἐκκλησίας οἰκουμενικὸν ἦν καὶ καθολικόν; ἡ γὰρ ἔλλειψις τῶν σχισματικῶν οὐχ ὑφαίρεσιν ποιεῖται τοῦ οἰκουμενικοῦ· καλῶς γε οὐκοῦν καὶ μὴν σχισματικῶν ὄντων τῶν ἐλλειπόντων δηλαδὴ τῶν Λατίνων, ἡ οἰκουμενικὴ προσηγορία πρόσεστιν διὰ τὴν αὐτὴν ταύτην αἰτίαν. Δικαιότερον ἡμῖν οὕτω ταῦτα κρίνειν προσήκει τῶν ἐξαρχῆς εἰρημένων ἕνεκα. Εἰ δ' ὁ πάππας τὰ τῶν πατριαρχῶν ἔχων εἴδωλα, τὴν οἰκουμενικὴν ἁρπάζει προσηγορίαν, διατί μὴ τὰς συνόδους ἡμῶν οἰκουμενικὰς νομιοῦμεν καὶ ὀνομάσομεν αἷς ἡ τῶν πατριαρχῶν προσῆν ἐν πᾶσιν ἀλήθεια; Εἰ δ' ἐκ τῶν ἡμετέρων ἐστὶν ὁ ταῦτα φάσκων, καὶ πολλῷ χεῖρον τῶν Λατίνων ἁλίσκεται, ἅπερ ἐκεῖνοι διδόασιν ἑαυτοῖ,, τούτων ἀποστερῶν αὐτὸς τὴν μητέρα· καίτοι καθόλου μὲν ἀξιοῦσιν οἱ Λατῖνοι καλῶς, ἑαυτοῖς δὲ οὐ καλῶς ἐφαρμόττουσι τὸ λεγόμενον. Τὸ γὰρ τοὺς ὀρθὰ φρονοῦντας περὶ ἁπάντων τούτους εἶναι μόνους Ἐκκλη-

σίαν Χριστοῦ, κἂν ὁποσοιοῦν ὦσιν οἱ τούτων ἀπερ- A
ῥωγότες, τοῦτ' ἀληθὲς μὲν λέγουσιν, αὐτοῖς δὲ οὐ
προσῆκον, ἀλλὰ μᾶλλον ἡμῖν. Οὔτε γὰρ ἀπερρώγει-
μεν, ἀλλ' αὐτοί ποτε χεῖρον ἐφρόνουν καὶ ὠμολόγουν,
ἢ νῦν πεφρονήκασιν ὕστερον, μετὰ τὸν τῆς προσθή-
κης καιρόν.

Ἀλλ' ἔνιοι τῶν ἡμετέρων οὕτω δεινῶς ἀναισχυν-
τοῦσι κατὰ τῆς μητρὸς αὐτῶν, καὶ μεμήνασιν, ὥστε
Λατίνους τῶν ἄλλων εἵνεκα ὑπερσέβοντες, ἔνθα τι
καὶ ὠφελοῖντ' ἄν, τῷ κατ' ἐκείνους παραδείγματι
τοῦτο παρατρέχουσιν ὡς μικρὸν, ἐν τούτῳ σχεδὸν
τῆς συμπάσης κρίσεως οὔσης καὶ πολλοῖς ἄλλοις
τρόποις ἀληθεστάτοις, οἰκουμενικὴν ἐκείνην τὴν
σύνοδον γεγονέναι πιστεύομεν τὴν κατὰ τοῦ Βέκκου
γεγενημένην. Τὴν δ' ἐν Φλωρεντίᾳ ταυτηνὶ τὴν
ὑστέραν, οὐδ' ἐξῆν ἡμῖν πράττειν ὑπὸ τῆς συνόδου κω- B
λυομένης ἐκείνης καὶ τῶν πραγμάτων φανερῶς
πειθόντων ἡσυχάζειν ἡμᾶς, καὶ τοῦ Θεοῦ σημεῖα
πολλὰ καταπέμποντος, ὥστε νοῦν ἡμᾶς λαβεῖν
καὶ τῆς μελλούσης αἰσχύνης καὶ βλάβης ἑαυτοὺς ἀ-
παλλάττειν· ὧν δὴ σημείων φανερῶν ὄντων, οὐ
πεισόμεθα μνήμην ἐν τῷ παρόντι. Ἡμεῖς δὲ πρὸς
πάντα δὴ λογισμὸν ὑγιᾶ καὶ σημεῖον ἅπαν ἀπὸ
Θεοῦ, καὶ πᾶσαν προφυλακὴν ἐκ τῶν Πατέρων ἡμῖν
προγεγενημένην, ἀνεπίστροφοι γεγονότες, ὥσπερ
ἀμβλυώττοντες, ἢ κωφεύοντες πρὸς πᾶν ὀτιοῦν τὴν
σύνοδον ἐκείνην συνεστησάμεθα· τὸ μὲν σωματικὸν
τῶν οἰκουμενικῶν συνόδων ἔχουσαν ἶσχνος, εἰ καὶ
μηδὲ τοῦτ' ἀκριβῶς, ἄλλης συνόδου τότε συνεστη-
κυίας, ὑπεύθυνον ἀγούσης τὸν πάππαν, καὶ ἦν ὡς C
βεβαιοτέραν ἐλόμενοι παντὶ δικαίῳ καὶ λόγῳ τὰς
περὶ τοῦ συνιέναι συμβάσεις μετ' αὐτῆς ἐπεποιή-
μεθα πρότερον, τὸ δὲ πνευματικὸν οὐκ ἔχουσαν οὐ-
δαμῶς. Παρίεμεν τάλλα· οὐ γὰρ πρόθεσις ἡμῖν ἐν
τῷδε τῷ λόγῳ τῶν προσώπων κατηγορεῖν. Ἀλλ' οὐκ
ἦν ὑπεσχημένον ἐκ τῶν βασιλικῶν πρέσβεων, ὅτι
μετὰ τὸ Γραικοὺς ἐκεῖ παραγενέσθαι κατὰ τὰ συν-
τεθειμένα ἐντὸς δύο μηνῶν ἡ ἕνωσις ἐξάπαντος γε-
νήσεται. Καὶ τούτου τοῦ κεφαλαίου προϋποτεθειμένου
ἐν τῷ δεκρέτῳ, τὰ ἄλλα προσηρμόττετο πάντα. Τίς
νοῦν ἔχων οὐ συνορᾷ ταῦτά τί γε ἐβούλετο; Οὐδ' οὕ-
τως ἦσαν ἁπλοῖ Λατῖνοι, ὥστε τὰ χρήματα ἀναλοῦν
μάτην αὐτῶν, μὴ βεβαίας οὔσης αὐτοῖς τῆς τοῦ
πάπα ὑπὲρ ἑαυτῶν πράξειν ἐλπίδος. Ἀλλ' ἐπὶ τὸ τε-
λευταῖον ἐρχόμεθα· τὰ γὰρ μεταξὺ παρίεμεν, ἁπάν-
των εἰδότων τὰς μηχανὰς ἐκείνας, τὰς ὑπὸ σκότον
μετοχειρίσεις καὶ πραγματείας, τοὺς δόλους, τὰς
περιόδους, τὰς ἐκτοπίσεις. Ἀλλὰ ψῆφον συνέθεντο,
καὶ δογματίζουσιν, ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ Πνεύ-
ματός ἐστιν αἴτιος τοῦ Υἱοῦ, ὅτι ἀρχή, ὅτι τὸ
Πνεῦμα τὴν ὕπαρξιν ἐκ τοῦ Υἱοῦ ἔχει, ὅτι θεμιτῶς
καὶ εὐλόγως ἡ προσθήκη αὕτη τῷ συμβόλῳ προσε-
τέθη τῆς πίστεως.

Ποῦ τούτων δειχθέντων, οὐκ ἐν τῇ Φεραρίᾳ περὶ
τῆς προσθήκης, τοὐναντίον ἅπαν ἐδείχθη; Οὐ πολλὰ
πρεσκάλουν οἱ Λατῖνοι, τοὺς περὶ τοῦ μὴ δεῖν πρόσ-
θεσιν διορισμοὺς μὴ εἰς ὑπήκοον ἀναγινώσκεσθαι
πάντων καὶ τὰς ἐπὶ τούτων ποινάς; Ἡμᾶς δὲ τί ἔδει
τότε ποιεῖν; οὐ ῥηγνύναι χιτῶνας; οὐ βοᾶν; οὐ διαμαρτύρεσθαι; οὐκ ἐν ταῖς τριόδοις καὶ ταῖς ἀγοραῖς ταῖς ἐκεῖ ἀναγινώσκειν ἐκεῖνα, εἴπερ ἐμέλλομεν δι' ἐκείνων ἄγχειν τοὺς ἄνδρας, καὶ καταισχύνειν ὡς παραβεβηκότας, καὶ οὕτω νικᾶν, καὶ τὸ πλῆθος ἅπαν Λατίνων ἔχειν συμμάχους; Ἀλλ' ἐχαρισάμεθα αὐτοῖς τὸ μηδὲν ἐκείνων εἰς μέσον προθεῖναι, καὶ ἀποκλεισθέντος τοῦ πλήθους, ὀλίγοις αὐτοῖς τοῖς τῶν δεινῶν αἰτίοις ὑπ' ὀδόντα μάτην ἀνεγινώσκετο. Ὢ; ἂν εἴ τις τοῖς πολεμίοις χαρίσαιτο ζητοῦσι τὸ βίψαντα τὴν τῶν ὅπλων ἰσχὺν γυμνὸν αὐτοῖς δοῦναι τὸ σῶμα πρὸς τὰς βολάς, οὕτω καὶ ἡμεῖς τοῖς Λατίνων ἐπισκόποις ἕτοιμον ἐδόθημεν βρῶμα, τοὺς τῶν συνόδων ἀφορισμοὺς, ἐκείνων δεηθέντων, σιγήσαντες. Ἀλλ' οὐδ' οὕτω τὴν νικῶσαν ἔσχον ἐκεῖνοι, τοὐναντίον μὲν οὖν ὁ τῆς μακαρίας μνήμης Ἐφέσου γεναίως ἠγώνισται καὶ καλῶς, καὶ τὰ παρ' ἐκείνων πάντα σοφιστικῶς ἐπιχεχρωσμένα ἠλέγχοντο. Καὶ τοῦτο πάντες οὕτως ἐφρόνουν οἱ τῆς συνόδου.

Πῶς τοίνυν εὐλόγως καὶ θεμιτῶς γενέσθαι τὴν προσθήκην ψηφίζονται; Μᾶλλον δὲ οὐχ οὕτως ἂν ἐψηφίσαντο αὐτοὶ καὶ προστεθεικότες, καὶ νῦν ὄντες κύριοι ψήφου· συνθεμένων γὰρ ἐκείνων τὴν ψῆφον ὡς ἂν σφίσιν ἤρεσκεν, οἱ ἡμέτεροι πρόμαχοι πρὸς τὰς ὑπογραφὰς ἐκαλοῦντο, μηχαναῖς ἀῤῥήτοις πειθόμενοι. Τὸν δὲ Υἱὸν τοῦ Θεοῦ ποῦ τις εὑρίσκοι τοῦ Πνεύματος αἴτιον καὶ ἀρχὴν ὄντα, καὶ τἆλλα ὅσα ἐκεῖ προστίθενται; ποῦ τῆς Γραφῆς ἢ τῶν διδασκάλων εὕρηται κείμενα; Οὐ γὰρ οἰκοθεν ἐχρῆν τὰ τοιαῦτα ὁρθετεῖν, μᾶλλον δὲ κατὰ τοὺς Γραικοὺς φασιν, αἰτίαν τὸν Υἱὸν τοῦ Θεοῦ τοῦ Πνεύματος εἶναι. Εἰ μὲν οὖν τοὺς τῶν Γραικῶν διδασκάλους βούλονται λέγειν, δεικνύτωσαν αὐτοῖς, καὶ ἕξουσιν εὐθὺς πειθομένους ἡμᾶς· εἰ δέ τινες τῶν νῦν ὄντων Γραικῶν, εἴτ' ἐν τῇ συνόδῳ παρόντες, εἴτε καὶ μετὰ ταῦτα, παρ' ἑαυτῶν ταυτὶ δογματίζουσιν, ἀνάξιον οἰκουμενικῆς συνόδου τῆς θεολογίας ταύτης τὸ βάθρον.

Ποῦ δὲ καὶ φαίνεται γενομένη περὶ τούτων ἐξέτασις ἐν τῇ συνόδῳ τῆς Φλωρεντίας; μᾶλλον δὲ τὸ τοῦ πάππα δεκρέτον. Αὐτὸς γάρ ἐστι νομοθετῶν, οὐχ ἡ σύνοδος, ὃς καὶ πρότερον μόνος τὴν προσθήκην ἐποίει. Ποῦ συμφωνεῖ ταῖς Πράξεσι τῆς συνόδου; Πῶς ἐκ τῶν ἀγωνισμάτων ἐκείνων ἀθροίζεται, εἴτε τῶν ἐν Φεραρίᾳ πρότερον, εἴτε τῶν ὕστερον ἐν Φλω- D
ρεντίᾳ γεγενημένων, εἰ μὴ καὶ τὰ ἀπομνημονεύματα ἐκεῖνα μεταποιήσαντες πρὸς τὸ σφίσι δοκοῦν, οἴονται διαφευξεῖσθαι τὸς μέμψεις; Τὴν δὲ ψῆφον αὐτὴν πότε συνελθόντες συνοδικῶς ἐψηφίσαντο; Ἀλλ' ἐν γωνίᾳ μᾶλλον συσκευασάμενοι ἕκαστον χωρὶς ἔπειθον ὑπογράφειν, ὡς εἴρηται, τρόποις οἷς λέγειν οὐκ εὐπρεπὲς, ὑπουργούντων τῶν ἡμετέρων τῷ δράματι. Εἰ γὰρ ταληθῆ λέγειν, ἐν ἡμῖν αὐτοῖς τὸ δεινὸν ἅπαν ἐπράττετο, τοῖς δὲ Λατίνοις ἤρκεσεν ἡ τῶν πραγμάτων ἀνάγκη καὶ τὸ συγχεχύσθαι τοὺς ἡμετέρους προμάχους· καὶ τοὺς μὲν Ἅδου κυνῆν ὑπελθεῖν, οὐκ ἀπορίᾳ λόγων μᾶλλον ἢ δέει τοῦ δοκεῖν αὐτοὺς αἰτίους εἶναι τοῦ σχίσματος τῶν πλείστων παραδεδομένων, τοὺς δὲ πάντα προεῖσθαι Λατίνους εὐθὺς, μηδὲν προειδομένους τῶν ἐσομένων, ἀλλ' ἐλπίσαντα,

ὅτι κἂν ἄλλο τι μετὰ Λατίνων τῇ καθόλου πίστει προσθεῖεν, ἀβασανίστως ἅπαντες δέξονται. Αἱ γὰρ τῶν ἀμοιβῶν ἐλπίδες οὐκ ἠφίεσαν περιαθρῆσαι πανταχόθεν τὸ δέον, δι' ἃ καὶ καλῶς ποιοῦντες, ἀνάξιον οἰκουμενικῆς συνόδου τῇ ψήφῳ περιέθεσαν σχῆμα. Ποία γὰρ ψῆφος οἰκουμενικὴ οὕτω τε ἄρχεται, καὶ οὕτω τελευτᾷ; Ποία τῶν οἰκουμενικῶν ἀποφάσεων οὐ τὸ σύμβολον τῆς πίστεως προεκτίθησιν, οὐ τὴν πρὸ ἐκείνης σύνοδον βεβαιοῖ; Αὕτη δὲ ἡ νῦν σκοπουμένη ποίαν ἐπεκύρωσε τῶν συνόδων, τὴν ἑβδόμην; Καὶ νῦν οὐχ ὁμοίως ἐκείνῃ ψηφίζεται, τοὐναντίον μὲν οὖν ἅπαν. Ἀλλ' ἐῶ μὲν τοῦτο τέως, οὐκ ἐκείνην ἐπικυροῖ, ἀλλὰ τὴν τῷ ὄντι ὀγδόην, τὴν ἐπὶ Φωτίου, τὴν οἰκουμενικήν; Καὶ μὴν ἐκείνῃ τἀναντία νενομοθέτηκεν. Ἀλλ' ἐῶ μὲν καὶ τοῦτο τέως, οὐκ ἐκείνην ἐπικυροῖ, τὴν ἐν Λουγδούνῳ τοίνυν βεβαιοῖ τὴν Λατινικήν; ἦν ἡ κατὰ τοῦ Βέκκου μεγάλη καὶ ἀληθὴς ἠκύρωσε σύνοδος, ἣν οἰκουμενικὴν ὁ εὐσεβὴς ἔδειξε λογισμὸς, καὶ πολὺ σαφέστερον δεικνύναι δυνήσεται τῆς χρείας καλούσης. Αὐτῆς γοῦν τῆς συνόδου τὴν ψῆφον, εἴ τις ἀναγνοίη καλῶς, εἴσεται πολύν τι τὸ σχῆμα λαβόντες ἐντεῦθεν ἐξῆσαν οἱ μέλλοντες τὰς περὶ πίστεως κρίνειν, καὶ ὅτου νῦν μεταδιδόασι σχήματος, τοῖς αἱρουμένοις σφίσι προσέχειν· ἀλλ' ἐῶμεν καὶ τοῦτο. Τίς ὅρος συνοδικὸς ἔχει τὸν δεῖνα πάππαν ἢ πατριάρχην πίστιν ὁρίζοντα, καθάπερ οὗτος, ἀλλ' οὐ τὴν σύνοδον πᾶσαν; Σκοπείτω δέ τις ὅσον ἐστὶ τὸ διάφορον τῆς ἐν Φλωρεντίᾳ συνόδου, καὶ τῆς κατὰ τοῦ Βέκκου γεγενημένης ἐν Κωνσταντινουπόλει. Ἐκείνη τῶν οἰκουμενικῶν συνόδων τῇ πίστει παντάπασι συμφωνεῖ, τῶν τε ἄλλων, καὶ τῆς ἡ'. Αὕτη πάσαις διαφωνεῖ, καὶ σὺν ταῖς ἄλλαις κἀκείνῃ. Ἐκείνῃ παρῆν μὲν καὶ ὁ πάππας Ἀλεξανδρείας, οἱ δ' ἄλλοι πατριάρχαι καὶ συνῆνουν, καὶ τὴν ψῆφον ὡς εὐσεβῶς καὶ ἐνθέσμως γεγονυῖαν ἠσπάζοντο. Ταύτῃ δὲ παρῆσαν μὲν τῶν πατριαρχῶν τοποτηρηταί, ἀλλὰ γράμμασιν ἐκείνων καὶ ὅρκοις ἐδέσντο ἢ μὴ ἐπὶ τοῖς ἀρχαίοις μόνοις τὴν ἕνωσιν συγχωρεῖν, ἀντεχομένων δὲ τῆς προσθήκης Λατίνων, μηδὲν συγχωροῦντας ἐπανιέναι. Καὶ τούτων τὸ δοκοῦν ἑαυτοῖς, οὐ τὸ τοῖς πεπομφόσιν ἀρέσκον διαπεπραγμένοι, οἱ πατριάρχαι μένουσι μὲν ἐπὶ τῆς προτέρας γνώμης ἐκείνης, τοῖς δὲ καλοῖς αὐτῶν ἐπιτρόποις καὶ τοῦ πατρίου δόγματος ἀμοιβὰς ἀπέδοσαν τὰς ἀξίας, καὶ μέχρι νῦν ἀποδιδόντες οὐ παύονται.

Ἐκείνης τῆς ἐν Κωνσταντινουπόλει συνόδου ταῖς ψήφοις πάντες ἐνέμειναν, οἵ τε τὴν ψῆφον ἐξενηνοχότες αὐτοὶ, καὶ πάντες οἱ μετὰ ταῦτα· τῆς δὲ ἐν Φλωρεντίᾳ συνόδου τὴν ψῆφον οἱ πεποιηκότες ἠκύρωσαν· πλὴν γὰρ τριῶν ἢ τεσσάρων, τῶν μέχρι καὶ νῦν ἰσχυρογνωμονούντων ἢ δοκούντων ὅπως ποτὲ πάντες μετέγνωσαν, καὶ πρὸς τὴν πάτριον εὐθὺς ἐπανελήλυθεσαν δόξαν· μᾶλλον δὲ ταῖς γνώμαις καὶ ταῖς ψυχαῖς οὐδέποτε ταύτης ἀπέστησαν, ἀλλ' ἐνέδοσαν τῷ καιρῷ παθόντες οὐκ ἔξω συγγνώμης καθάπαξ, οἷς καὶ χάριν ὀφείλομεν. Εἰ γὰρ αἰδούμενοι τὸ δόξαι μεταβεβλῆσθαι μέχρι τέλους ἐν σφίσιν, ἔκρυπτόν τε καὶ ἀνεξέλεγκτον εἶων τὴν ἀκούσιον ἀπὸ τῆς ἀληθείας φυγὴν, καὶ ἣν κατὰ τῆς πατρίου δόξης ἐμπαθῶς ἐξήνεγκαν ψῆφον, κἂν ἐδόκει τὰ τῆς συνάξεως ἐκείνης κατὰ νόμους προβῆναι, καὶ πλὴν τῶν εἰδότων αὐτὴν, καὶ τῶν συνειδότων ἂν ἡ τῶν γεγενημένων φύσις ἐλάνθανε. Καὶ εἰ μὲν, τιμώμενοι καὶ πλοῦτον πορίζοντες ἑαυτοῖς, ἠθέτουν τὰ πεπραγμένα, εἶχεν ἂν ὑποψίαν οὐκ ὀλίγην τὰ τῆς μεταβολῆς· νῦν δὲ ἀτιμαζόμενοι καὶ κακῶς πάσχοντες, φεύγουσιν ἀπὸ τῶν κακῶν αὐτοῖς συγκεχωρημένων, τοῦτο μᾶλλον αἱρούμενοι, ἢ τῇ τῆς ἀληθείας σιγῇ καὶ σφᾶς αὐτοὺς ζημιοῦν, καὶ τοὺς ἄλλους προσδιαφθείρειν. Ἴσως οὐδὲ τῇ τῶν ἀνδρῶν ἀρετῇ τὸ σύμπαν πρέπει λογίζεσθαι. Τοὐναντίον μὲν οὖν, τὸ μὲν σύμπαν τῆς ἀγαθῆς τοῦ Θεοῦ προνοίας ἐστὶν, οὐκ ἀξιοῦντος ἡμᾶς ἀπερρωγέναι τῆς ἀληθείας καὶ τοῦ χοροῦ τῶν Πατέρων, καὶ διὰ τοῦτο τοὺς ἄνδρας ἐπὶ ταῦτα κινήσαντος. Ἔγει μέντοι τινὰ καὶ τὸ τῶν ἀνδρῶν τούτων ἔπαινον διὰ τὴν ἐπὶ τὰ βελτίω ῥοπὴν τῆς θελήσεως. Εἰ δέ τις αὐτοὺς ὡς οὐκ εἰδότας φησὶν ἀφίστασθαι τῆς ἑνώσεως, οὐκοῦν ὡς ὑπ' οὐδὲν εἰδότων πεπραγμένας ταῖς συνθήκαις ἐκείναις οὐ χρὴ προσέχειν οὐδένα, καὶ τοὺς προσέχοντας ἀνάγκη πᾶσα πλανᾶσθαι, τῇ τῶν μηδὲν εἰδότων ψήφῳ στοιχοῦντας. Αὐτοὶ γὰρ ἦσαν οἱ πάντα πεπραχότες ἐκεῖνα, ἢ τίνες ἄλλοι τὸν Υἱὸν τοῦ Θεοῦ ψηφίζονται τοῦ Πνεύματος αἴτιον ἐν ταῖς ψήφοις ἐκείναις; Οὐ γὰρ σύνοδον ἐροῦμεν τοὺς Λατίνους ἄνευ τούτων τῶν ἡμετέρων· ἐκεῖνοι γὰρ πρὸ τῆς ἐν Φλωρεντίᾳ συνόδου τὴν προσθήκην ἐπῄνουν τὴν ἑαυτῶν, καὶ τοὺς ῥέγοντας μυρίοις ἔβαλλον σκώμμασιν.

Ἀλλ' οὐδὲ τοὺς τρεῖς ἐκείνους ἢ τέτταρας τοὺς πάντων αἰτίους καὶ νῦν ταῖς ψήφοις ἐμμένοντας μετὰ Λατίνων ὁμοῦ σύνοδον ὁριστέον. Οὗτοι γὰρ καὶ παρὰ τὴν τῶν πατριαρχῶν γνώμην πάντα ἐποίουν, ὧν ἦσαν ἐπίτροποι. Καὶ νόμος οὐδεὶς ἐπιτρέπει προσέχειν αὐτοῖς ἐν τούτῳ τῷ μέρει, εἰ καὶ τὰ ἄλλα γενναῖοί τινες εἰσι καὶ πολλῆς αἰδοῦς ἄξιοι, ἀλλὰ περὶ τούτων μὲν ἀρκείτω σιγᾷν. Οἱ πολλοὶ δὲ καὶ ὀγδόην τὴν σύνοδον ἐκείνην ἀποκαλοῦσι. Πρώτην μὲν οὖν ἐχρῆν προσαγορεύειν δικαίως· ἄλλη γὰρ ἀρχὴ συνόδων ἐστὶ τῶν ἴσως ἐπὶ κακῷ χείρονι γενησομένων, καὶ τῆς σειρᾶς ἐκείνης ἀπῤῥήκται. Καὶ ὡς ἔοικε, διότι μὴ πάνυ τῆς οἰκουμενικῆς αὐτῇ προσήκει προσηγορία, οὐδ' ἐξεῦρον καλῶς, ὅπως δεῖ τούτην ἀριθμεῖν καὶ καλεῖν. Πῶς γὰρ ὀγδόη ἡ μετὰ τὴν ὀγδόην; πῶς δὲ ἐννάτη ἡ τῇ ὀγδόῃ πολέμιος; Ἐννάτην μὲν οὖν οὔτ' ἐκάλεσαν, οὔτ' εὔλογως ἐστὶν, ὀγδόην δὲ καλοῦσι μὲν, ἀλλ' οὐκ ἔστι τοσαύτη. Ἀλλὰ καὶ τοῦτ' ἐς τοσοῦτον.

Ἀνάγκην δὲ οὐδεμίαν ὁρῶμεν, ἃ τινες πεπράχασι ψαύλως, καὶ μετάμελος ἐπὶ τούτοις ἔσχεν αὐτοὺς, ἡμᾶς αὐτὰ στέργειν, κἀκείνους μὲν μετανοεῖν ἐπ' ἐκείνοις φρονίμως, ἡμᾶς δὲ μηδὲ ταῖς ἐκείνων μεταμελείαις διδάσκεσθαι, δόξαν ἔχειν τὴν ἀληθῆ περὶ ὧν πεποιήκασι, καὶ οἷς αὐτοὶ κήρυκές εἰσιν οἱ πεποιηκότες. Οὐδὲ γὰρ ἐν ἀνθρωπίνοις πράγμασι καὶ προσκαίροις οὕτω τὸ συμφέρον ἔδει θηρᾶσθαι, σχολῇ γε ἐν τοῖς θείοις· δόξομεν εὐσεβεῖν τοιούτῳ λογισμῷ χρώμενοι. Ἀλλ' οὐδ' οἱ τὸ δεινὸν ἐξεργασάμενοι ὅσοι

περίεσμεν, ἀνάγκην ἔχομεν δουλεύειν μέχρι παντὸς A οἷς σύνισμεν ἡμῖν αὐτοῖς ἐξημαρτηκόσι, καὶ εἴ τις ἡμᾶς ἐπαναγκάζει τοῦτο ποιεῖν, πολέμιος τῆς ἡμῶν σωτηρίας καὶ τῆς ἑαυτοῦ δήπου κριθήσεται. Ὅσοι μὲν οὖν τὸ δεινὸν ἐκεῖνο πεποιηκότες ἐσμὲν, ἐκκείμεθα ταῖς ψήφοις τῆς Ἐκκλησίας, καὶ λαβοῦσα κατάστασιν δικαζέτω, καὶ μηδὲ τῆς ἐκ τῶν κανόνων κειμένης ἡμᾶς ἀξιούτω φιλανθρωπίας. Ἀρκέσει γὰρ, πρὸς εὐτυχίαν ἡμῖν καὶ τὴν ἐλπίδα τῆς ἐκ Θεοῦ συγγνώμης ἐπὶ τῷ πταίσματι, ἡ τῆς Ἐκκλησίας ἐλευθερία, ἣν ἡμεῖς συνεχέαμεν. Οἱ δὲ μὴ μετασχόντες τῶν ἔργων ἐκείνοις αὐτοὶ γοῦν τῆς πατρίου δόξης ἀμεταστάτως ἐχόμεθα, τῷ παραδείγματι τῶν ἄλλων σωφρονισθέντες. Οὐ γὰρ διότι πολλαὶ σύνοδοι ψῆφον ἤνεγκαν οὐκ ὀρθὴν περὶ τῶν ἐν αὐταῖς ζητη- B θέντων, ἀνάγκη τις ἦν τοὺς ψηφισαμένους ἀεὶ πλανᾶσθαι καὶ μηδέποτε πρὸς τὴν ἀλήθειαν ἐπανέρχεσθαι, ἢ τούτων ἐπανιόντων, τοὺς ἄλλους δυσμεναίνειν αὐτοῖς, ὅτι μὴ πτῶμα βούλονται κεῖσθαι μέχρι παντὸς, καὶ ἑαυτοῖς καὶ τοῖς ἄλλοις ὀλέθριον ἐκεῖνοί τε πρὸς τὴν ἀλήθειαν ἐπανῄεσαν χαίροντες, καὶ τοῖς ἄλλοις χαίρειν ἐπὶ τῇ τῶν πεπλανημένων ἐποίει μεταβολῇ, καὶ ὠφελεῖσθαι τὰ μέγιστα. Καὶ ὡς δὴ τούτου πολλάκις συμβάντος τε καὶ δυναμένου συμβαίνειν, καὶ νόμους ἡ Ἐκκλησία περὶ τῶν τοιούτων τι πεισομένων ἔθετο καὶ τετήρηκεν ἐπὶ τῆς χρείας αὐτούς. Καὶ τούτων πλήρεις αἵ θ' ἱστορίαι, καὶ τῶν διδασκάλων οἱ λόγοι, καὶ πρό γε πάντων ὁ μέγας Γρηγόριος, τὸν μέγαν Ἀθανάσιον ἐπαινῶν πολλὰ τοιαῦτα διέξεισιν.

Ἡ μὲν οὖν σύνοδος οὐδὲν ἡμῖν ἀνάγκης ἐπάγει πρὸς τὸ μετὰ Λατίνων ἡνῶσθαι. Οὕτω τῶν κατ' ἐκείνην προβάντων, ἀεὶ ὄνομα μόνον σχεδόν ἐστι τοῖς ἁπλουστέροις μόνον φόβον ἐμβάλλον, ἐπειδὰν ἐπισείηται, οὐδένα δὲ τῶν ἐρρωμένων ἐχόντων τὸν λογισμὸν δυνάμενον καταπλήττειν. Ἢ πίσαι συνελεύσεις πόσων ἀνθρώπων πεῖσαι δυνήσονται τοὺς ἔχοντας νοῦν, ὅτι τὸ πῦρ οὐκ ἔστι θερμόν; Πόσαι δὲ πιστῶν σύνοδοι τοὺς καλῶς προσέχειν εἰδότας πεῖσαι δυνήσονται, ἢ ὅτι ὁ Πατὴρ καταβέβηκεν ἐπὶ τὸν Υἱὸν τοῦ Θεοῦ, τοῦ Πνεύματος καταβάντος ἐπ' αὐτὸν ὡς περιστερᾶς· ἢ ὅτι τὸ τοῖς ἀποστόλοις ἀφειμένον ἁμάρτημα εἶχεν ὑποστατικῶς αὐτῷ συνημμένην τὴν φύσιν τοῦ Πνεύματος· ἢ ὅτι ψυχὰς τοῖς μαθηταῖς ἐνῆκε διπλᾶς, πόρρωθεν εἰθισμένου τοῦτο δρᾶν τοῦ θείου φυσήματος· ἤ τι τοιοῦτον; Καίτοι καὶ λόγους εἰκὸς ἐστιν εὑρεθῆναι περὶ τούτων γενναίους, καὶ πεισθῆναί τινας ὑπ' αὐτῶν. Ἀλλὰ τῶν νοῦν ἐχόντων οὐδεὶς τὴν εὐαγγελικὴν διδασκαλίαν ἀφεὶς, ὑπερφυᾶ τινα διδάσκουσαν δόγματα, καὶ τὰς τοῦ Χριστοῦ παραιτησάμενος λέξεις, καὶ τὸν οἰκεῖον ταύταις σκοπὸν, ἐπ' ἄλλα τινὰ τὴν ἁπλοτέραν τῶν ἀνθρωπίνων ἐκτοπιεῖ λογισμῶν, ἀκολουθίαις τισὶν εὐλόγοις δοκούσαις πειθόμενος. Ἂν δὲ ταῖς συνόδοις ἐκείναις μηδ' ἐκ τῶν ἄλλων πραγμάτων ἐμφαίνηται τὸ πιστὸν ἱκανῶς, τίς αὐταῖς προσέξει θορύβου; Τοιοῦτον δὲ καὶ τὸ τῆς συνόδου ταύτης ἑκατέρωθεν ἦν· οἰκοθέν τε γὰρ νενομοθέτηκε, καὶ τοῖς ἄλλοις πᾶσι συγκίχυται φανερῶς.

Εἰ δέ τις ἀξιοῖ Λατίνους μόνους σοφωτέρους ἡμῶν εἶναι, καὶ διὰ τοῦτ' ἀξιοπιστοτέρους, εἰ καὶ φαίνοιντο μόνοι τὰ περὶ τοῦ Πνεύματος ἐψηφισμένοι τε καὶ ταῖς ψήφοις ἐμμένοντες, τοῦτ' ἄλλος μὲν ἔστι λόγος· δεῖ δὲ καὶ τοῦτον ἀσθενῆ δείκνυσθαι μετὰ τῆς ἀληθείας. Εἰ μὲν τοίνυν νῦν πρῶτον τοῦτ' ἐκινεῖτο τὸ ζήτημα, ἐνεθυμήθημεν ἂν ἴσως, ὡς ἔνιοι λέγουσιν, ὅτι Λατίνους σοφωτέρους ὄντας ἡμῶν εἰκὸς ἐστι καὶ τὴν ἀλήθειαν ἄμεινον ἡμῶν συνορᾶν περὶ τῶν ἀμφισβητουμένων ἑκάστου, καὶ διὰ τοῦτο δεῖν ὡς διδασκάλοις αὐτοῖς, ἅττ' ἂν ὑπαγορεύσειαν πείθεσθαι· νῦν δὲ τοὐναντίον ἐστὶν, ὅτι τὴν μὲν προσθήκην ὀλίγα εἰδότες ἐποίουν, ταῖς δὲ τοῦ λόγου μηχαναῖς ὕστερον αὐτὴν ἐκδικοῦσι, πολὺ μετὰ τὴν προσθήκην τοσαῦτα ἐπὶ λόγοις ἀνθήσαντες, οἱ δὲ Πατέρες ἡμῶν, ἀνθοῦντες ἐπὶ σοφίᾳ τότε καὶ ταῖς ἄλλαις δυνάμεσιν, ἀντέλεγον αὐτοῖς προστιθεῖσι, τά τε ἄλλα καὶ τὸ προστεθειμένον οὐκ ὀρθῶς ἔχειν κρίνοντες. Χάρις ἂν οὖν εἴη τοὺς μὲν νῦν ὄντας Λατίνους σοφίᾳ τῇ ἑαυτῶν καινοτομίας ὑπερδικεῖν πατρικῆς, ἡμᾶς δὲ ἐν τοσαύτῃ λόγων πενίᾳ καὶ ἀσθενείᾳ τὴν τῶν Πατέρων ἡμῶν σοφωτάτων ὄντων ἔνστασιν ἀναιρεῖν μετὰ λόγων γεναίων γεγενημένων.

Καίτοι καὶ νεωστὶ κινηθέντος ἂν τοῦ ζητήματος, οὐ τοσοῦτον ἔδει διὰ τὴν ἀμάθειαν θαρρεῖν, ὅσον δι' αὐτὴν ταύτην εὐλαβεῖσθαί τε καὶ φυλάττεσθαι τὴν ἐξαπάτην. Ἀλλ' ἔδει γ' ἂν ἐπὶ ἀσφαλοῦς ἱσταμένης τῆς κοινῆς ἡμῖν καὶ Λατίνοις ποτὲ πίστεως, τὸν ἐκ C τῆς παραφορᾶς ταύτης καὶ τοῦ σχίσματος κίνδυνον, καὶ τὴν ἐκ τῆς καινοτομίας ἀμφιβολίαν, εἰς τοὺς αἰτίους ἀπορρίπτειν ἐθέλειν, καὶ μὴ βούλεσθαι κοινωνεῖν δόξης, ἣν οὐκ ἔτι κρίνειν δυνάμεθα τῆς περὶ ταῦτα δεινότητος ἡμᾶ; ἀπολελοιπυίας. Ὁδηγίας δὲ τοσαύτης ἡμῖν ἐκ τῶν Πατέρων προϋπαρχούσης, τίνα συγγνώμην ἔξομεν, τῇ ἑαυτῶν ὀλιγομαθίᾳ κρίσιν οὕτω μεγάλου πράγματος ἐπιτρέψαντες ὥστ' ἄλλο τι κρίνειν περὶ αὐτοῦ, ἢ τοῖς ἡμετέροις προγόνοις καὶ διδασκάλοις πᾶσιν ἐδόκει;

Εἰ δὲ τοῖς νῦν σοφωτέροις ἡμῶν ἐν παντὶ πεισόμεθα πράγματι, τὴν πρὸς τοὺς οἰκειοτέρους ἅμα καὶ σοφωτέρους ἀναφορὰν ἀπορρίψαντες· ὅρα καὶ πρὸς τὴν Ἀρμενίων μετατίθεσθαι δόξαν, εἰ δὲ βούλει, καὶ τὴν Περσῶν· ὑπὲρ ἑβδομήκοντα γὰρ διδα- D σκάλους, ὡς ἀκριβῶς ἴσμεν, ἡ τῶν Ἀρμενίων Ἐκκλησία πλουτεῖ, τὴν Ἀριστοτελικὴν φιλοσοφίαν οὕτως ἠσκηκότας καλῶς, ὡς μηδενὸς ἐνδεῖν οὐδένα αὐτῶν, τῶν ἐν Λατίνοις πάνυ τὰ τοιαῦτα εἰδότων. Ἐν δὲ Πέρσαις καὶ πλείους τούτων εἰσὶν, οἱ περὶ τὴν φυσικὴν καὶ μαθηματικὴν ἠσχολημένοι σοφίαν ὑπὸ ταῖς λογικαῖς μεθόδοις πάνυ καλῶς. Δεήσει γοῦν πρὸς ἐκείνους σοφωτέρους ὄντας ἡμῶν μετατίθεσθαι, εἰ συμβαίη ποτέ τισιν ἐκείνων ἡμᾶς διαλεγομένους ἐνδιδόναι ταῖς τῶν λόγων πλεκτάναις. Ὃ πᾶσα παθεῖν ἀνάγκη, τούτου συμβάντος, καὶ οὐκ ἂν τις φαίη τοῦτο νοῦν ἔχων καὶ πιστεύειν εἰδώς.

Ὥσπερ οὖν πρὸς ἐκείνας τὰς εὐσεβείας, τῇ τῶν Πατέρων ἀρχούμενοι κρίσει, οὓς σοφωτάτους γεγε-

νῆσθαι νομίζομεν, καὶ πρὸς τούτοις θεοφιλεῖς, γενναίως ἱστάμεθα, τί μὴ καὶ πρὸς ἅλλην πᾶσαν διαφορὰν μείζω τε καὶ ἐλάττω τὸν αὐτὸν στησόμεθα τρόπον, περὶ ἧς ἴσμεν τοσούτοις ἔτεσι τοὺς ἡμετέρους Πατέρας καὶ διδασκάλους, μετὰ πολλῆς ἐρεύνης τὰ ὄντα δοξάσαντας, καὶ γνώμην περὶ Λατίνων εἰληφότας, ἣν ποτε ἔσχον καὶ τοῖς ὑπομνήμασιν ἡμῖν καταλεῖψαι ταύτην σπουδάσαντας, ὅπως ἂν συμφωνῶμεν αὐτοῖς, καὶ μηδὲν παρὰ μέλος τῆς αὐτῶν πίστεως ᾄδωμεν; Ἀλλ' οὐδὲ χάριν ἔχειν ὀφείλομεν μᾶλλον τοῖς τοὺς περιβόλους τούτους ἱδρυσαμένοις ἡμῖν, ὑφ' ὧν φυλαττόμεθα, ἢ τοῖς τοὺς θριγγοὺς πηξαμένοις τῆς εὐσεβείας καὶ προσθεῖσι ποινὰς ὑπερβαίνειν βουλησομένοις· ἐκεῖνοί τε γὰρ ὑπὲρ τῆς τῶν ὀψιγόνων ἐλευθερίας πάντα ἐποίουν· καὶ οὗτοι πολλὴν τὴν πλάνην καὶ τὴν ἐξαπάτην ἐν τοῖς τῶν ἀνθρώπων λόγοις οὖσαν ὁρῶντες, ἀπαθεῖς ἡμᾶς ἐσπούδασαν ἐξ αὐτῶν διασώσασθαι. Ὥσπερ οὖν ἀνοητότατοι πάντων ἂν ἦμεν, τὰ τὴν ἀσφάλειαν ἡμῖν καὶ τὴν ἐλευθερίαν διδόντα τείχη ταυτὶ καθαιροῦντες, οὕτω καὶ πολλῷ μᾶλλον τὰ πνευματικὰ τείχη ταυτὶ προδιδόντες, ὅσῳ καὶ περὶ μειζόνων ὁ κίνδυνος ἔσται, τὸ τέλος εἴτουν ἡ μεταβολὴ τοῦδε τοῦ κόσμου ἐγγύς, ὡς ἐκ τῶν πραγμάτων ἔστιν ὁρᾶν. Εἰ δὲ καὶ μὴ τοῦ σύμπαντος κόσμου, τὸ γοῦν ἡμέτερον γένος· καὶ ἡ πατρὶς αὕτη ἐν ταῖς ἐσχάταις ἀναπνοαῖς σχεδόν ἐστιν, ἂν μὴ τὸ Θεῖον χεῖρα ὑπερέχῃ. Οὐ βουλόμεθα τοίνυν ῥᾳθύμους ἐν τῷ τέλει φανῆναι, καὶ τῶν προγόνων δειλότεροι. Γενναιοτέρους μὲν οὖν εἶναι καὶ φαίνεσθαι δεῖ, ὃ κἂν ἐκεῖνοι περὶ ἡμῶν εὔξαιντο τηλικούτων ἡμῖν ἐστώτων παραδειγμάτων, καὶ τὴν πίστιν ὁμοίως διαφυλάττειν ἐν πολλῷ μείζοσι δυσχερείαις. Καὶ εἴ τις δυοῖν προκειμένοιν κακῶν δεῖν ἐλέσθαι τὸ ἔλαττον λέγοι, οὕτω τῆς τῶν πραγμάτων δυσκολίας πειθούσης, καὶ τῷ δέει τῆς ἀπιστίας μικρόν τι παρεκκλῖναι τῆς ὀρθῆς ἀξιοῖ πίστεως, ὁ μὲν ἀδιαφόρως ἔχει πρὸς πάντα προδήλως, τῶν γὰρ τοιούτων ἡ τοῦ αὐτὸ κρίσις ἐστίν· ἡμεῖς δὲ ἴσμεν, ὅτι καὶ μικρόν τι τῆς ὀρθῆς ἐκκλίνοντα πίστεως, ἅπας νόμος αἱρετικὸν εἶναι βούλεται, ὡς τοῖς περὶ ταῦτα πεπειραμένοις ἐστὶ σαφές· καὶ ὅτι τῆς μὲν ἀληθείας οὔσης μιᾶς ἔν τε τῇ περὶ τὸ Θεῖον δόξῃ καὶ πᾶσι πράγμασι, τὰς περὶ ἕκαστον πλάνας ἀναριθμήτους εἶναι συμβέβηκε, βαθμῷ τινι καὶ τάξει τῆς ἀληθείας ἀπῳκισμένας. Δεῖ δὲ μετὰ τῆς ἀληθείας εἰς τὴν αἰώνιον εἰσιέναι ζωὴν· ἀκάθαρτος γάρ, φησίν, οὐ μὴ διέλθῃ δι' αὐτῆς, εἴτε κατὰ νοῦν, εἴτε κατὰ θέλησιν τὸ αἶσχος ἔχοι καὶ τὴν ἀκαθαρσίαν. Εἰ δὲ μέλλοι τῆς αἰωνίου τυγχάνειν ζωῆς ὁ μικρόν τι τῆς ὀρθῆς δόξης ἐκκλίνων, καὶ ὁ μετ' ἐκεῖνον εὐθὺς τῷ αὐτῷ λόγῳ τεύξεται, τῆς ἴσης ἀποστάσεως οὔσης πρὸς τὸν μετὰ ῥόπου ταύτης ἐξωσμένον, καὶ ὁ μετ' ἐκεῖνον ὁμοίως· καὶ οὕτω τεύξονται τῆς αἰωνίου ζωῆς οἱ τὴν ὁποσηνοῦν πλανώμενοι πλάνην, πάντες· ὁμοίως κατά τε μέγεθος καὶ σμικρότητα. Εἰ δὲ τοῦτο ἀδύνατον, οὐκοῦν καὶ τὸν μικρόν τι τῆς ἀληθείας ἐκ προαιρέσεως ἀποκλίναντα σώζεσθαι τῶν ἀμηχάνων ἐστίν. Ἡμᾶς οὖν ἐν τῷ ἀσφαλεστάτῳ τῆς πίστεως ἱδρυμένους οὐ δεῖ τηλικοῦτον ἐκόντας ἀναδέχεσθαι κίνδυνον, εἰ καὶ μικρόν τι μέλλοιμεν παρατρέπεσθαι.

Εἰ δέ τις ἡμῶν πυνθάνοιτο, καθάπερ εἰώθασι πολλοὶ τοῦτο ποιεῖν, εἰ τοὺς Λατίνους αἱρετικοὺς ἡγούμεθα, φαμὲν, Οὐκ ἔστιν ἡμέτερον ἐν τοσαύτῃ πενίᾳ καὶ ἀσθενείᾳ πραγμάτων προσηγορίας ἐπιτιθέναι τοιαύτας· Ἐκκλησίᾳ τοσοῦτον ἰσχούσῃ κράτος, καὶ μηδὲ τοῖς ἡμῶν ὑπείκειν ἀξιούσῃ νόμοις, ὥσπερ οὐδ' ἡμεῖς νῦν τοῖς αὐτῆς· ἀλλ' ἀρκοῦν ἐστιν ἡμῖν τῶν πατρίων ἔχεσθαι διδαγμάτων καὶ νόμων, πρὸς οὐδένα δὲ τῶν ἄλλων διαπληκτίζεσθαι. Ἐκεῖνοι δ' ὁποῖοί ποτέ εἰσιν, οἷδέ τε ὁ Θεὸς καὶ ἡ μέλλουσα ἀποκαλύψει ἡμέρα, καὶ εἴπερ ἐνδέχοιτο αὐτοὺς μετὰ τῆς ἀληθείας ἑστάναι τῇ πίστει προστεθεικότας· ἀλλ' οὐδὲ τὸ ἡμέτερον ἄξιον ἔσται ψόγου παρὰ Θεῷ δικαστῇ τοσούτοις πειθομένων δικαίοις. Εἰ δὲ τὴν ἐκείνων δόξαν τῆς ἀληθείας ἀφεστάναι συμβαίη, ὥσπερ οὖν ἡμῖν ὑποπτεύεται, πόσον τοῖς κοινωνοῦσιν ἔχειν τὸν κίνδυνον ἡ τῆς ἀληθεστέρας καὶ κοινῆς καὶ πατρίου δόξης ἀπόθεσις, ἄνευ λόγου καὶ ταῦτα γεγενημένη; Τίς γὰρ λόγος ὑπὸ τῶν νῦν Λατίνων ἐξευρημένος; Ἐπεισέ τινας τῶν ἡμετέρων σφίσι προσθέσθαι; Ἀλλὰ τὰ παλαιὰ ἐκεῖνα καὶ ὑπὸ Λατίνων ἀεὶ περιᾳδόμενα καὶ αὐτοὶ φέρουσιν εἰς μέσον καὶ ὑπ' αὐτῶν πεπεῖσθαί φασι. Ταῦτα δὲ ὑπὸ τῶν ἡμετέρων καλῶς ἐξελήλεκται Πατέρων καὶ διδασκάλων. Πρῶτον μὲν οὖν, ὅπερ εἴρηται, καὶ τὸ μικρόν τι τῆς ἀληθείας ἀποπεπτωκέναι ἐκόντας ἐν ἴσῳ τοῦ καὶ πρὸς τὴν μεγίστην δυσσέβειαν ἐκκυλισθῆναι νομίζομεν· εἴπερ δ' ἀμφοτέρων ὁμοίως, ἀνάγκη τῆς ἀληθινῆς ἐκπίπτειν ζωῆς. Ἔπειτα τῆς μὲν ὅλης πίστεως ὁ Θεὸς προνοήσεται· οὐ γὰρ ἡμέτερόν ἐστιν αὐτῆς προνοεῖν, ἑκάστῳ δὲ ἡμῶν τῆς ἑαυτοῦ σωτηρίας ἐπιμελητέον ἐστίν.

Εἰ δὲ καὶ μέλλοιμεν τὴν πίστιν ἔργοις ὅπως ἂν περισωθείη τοῖς ἄλλοις ἐπιμελεῖσθαι, δεικνύτω τις ἡμῖν ὁ βουλόμενος καὶ ξίφη, καὶ χρημνοὺς, καὶ πᾶν ὅτιοῦν, καὶ τὴν προθυμίαν ἡμῶν οὕτως ὄψεται, εἰ μόνον ὀψόμεθα φανερῶς, ὅτι τοῖς σωματικοῖς κινδύνοις ἡμῶν ἡ πόλις αὕτη τῆς τῶν ἐχθρῶν δουλείας ἀπαλλαγήσεται. Ἢ τί βουλευομένων τῶν ἐπιτροπευόντων ταύτης τῆς πόλεως ὑπὲρ σωτηρίας αὐτῆς ὠκνήσαμέν ποτε, ἀλλ' οὐχὶ καὶ πλέον πάντων σχεδὸν εἰς τὴν χρείαν ἕτοιμοι παριστάμεθα; Τὸ δὲ προδιδόναι τι τῆς πίστεως ἀξιοῦν ἐκόντας, ὡς ἂν ἡ πόλις αὕτη, καὶ δι' αὐτῆς ἡ καθόλου σώζοιτο πίστις, ὁ βουλόμενος ἐπαινείτω. Μᾶλλον δὲ εὐχόμεθα καὶ τοὺς νῦν ἐπαινοῦντας τοῦτο, μεταβαλομένους τὴν ὀρθὴν λαβεῖν γνώμην. Εἰ δὲ καὶ οὗτοι τοῖς αὐτοῖς ἐπιμείνειαν, ἀλλ' οὐχ ἡμεῖς γε τῇ γνώμῃ ταύτῃ ποτὲ θησόμεθα, οὐδὲ βουλησόμεθα τὴν οἰκουμένην, εἰ οἷόν τε εἴη σύμπασαν εὖ ποιεῖν, αὐτοὶ τῷ Θεῷ καὶ τῇ ἀληθείᾳ προσκρούοντες θανασίμως, καὶ τὴν αἰώνιον κόλασιν ταῖς ψυχαῖς ἡμῶν προξενοῦντες. Εἶτα καὶ τὴν πόλιν ἡμῶν σύμπασαν ὁρῶμεν κοινωνοῦσαν ἡμῖν τῆς γνώμης ταύτης, πλὴν ὀλίγων τῆς ἀναιδείας μεστῶν. Φασὶ γὰρ πάντα ἂν ὑποστῆναι μᾶλλον, ἢ τὴν πάτριον ἀρνήσασθαι δόξαν, καὶ τὸ τῶν πολεμίων δέος οὐδὲν

αὐτοῖς πρὸς τὴν πίστιν εἶναι δοκεῖ. Εἰ γὰρ καὶ μηδὲν τῶν ἄλλων ἡδύναντο συνορᾶν, ἃ δεῖ τοὺς νοῦν ἔχοντας καὶ ὑγιῶς πιστεύειν εἰδότας, τοῦτο γοῦν οὐκ ἄν ποτε βουληθεῖεν, χείρους ἁπάντων ἀνθρώπων ἐν τούτῳ τῷ μέρει φαίνεσθαι. Ποῖον γὰρ ἔθνος ἐβουλεύσατό ποτε, σύμπαν ὁμοῦ τὴν πίστιν καὶ τὴν θρησκείαν ἀμεῖψαι τὴν ἑαυτοῦ, μόνον ἵνα τοῖς ἔξωθεν εὑρῇ; καταγνόντες μὲν οὖν τῆς ἰδίας πίστεως πρὸς τὴν ἀληθῆ μετετέθησαν, μετὰ κινδύνου καὶ σφαγῶν τοῦθ' αἱρούμενοι, καὶ πάντα προϊέμενοι ῥᾳδίως ὑπὲρ τοῦ τῆς ἀληθείας τυχεῖν. Μᾶλλον δὲ, εἰ δεῖ τἀληθῆ λέγειν, τίς ἐν ὀτῳοῦν γένει, τοιοῦτον προβαλλόμενος πρόβλημα, οὐ πυρὸς ἂν γένοιτο καὶ λίθων ἔργον εὐθύς; Ὥστε καὶ ἡμεῖς πάνυ δίδιμεν, μὴ τουτὶ πολλῶν ἡμῖν συμφορῶν αἴτιον ἐκ Θεοῦ κατασταίη· καὶ ἦν ἂν ἐπήγαγον δίκην, οἵτινες ἦσαν οἱ σωφρονοῦντες ἐν τοῖς δυναμένοις ταῦτα εὐθύνειν, ταύτην ἐπενέγκῃ χαλεπῆναν τὸ Θεῖον. Ἀλλὰ τὸ πάνυ βρσχεῖ; εἶναι τοὺς ταῦτα παῤῥησιαζομένους, τὸ δὲ πλεῖστον τῆς πόλεως σωφρονεῖν καὶ τῆς πίστεως εὐλαβῶς λίαν ἀντέχεσθαι, καὶ πάντα ἑτοίμως ἔχειν ὑπὲρ αὐτῆς προδιδόναι, τοῦθ' ἡμῖν τὰς ἀγαθὰς αὖ ἐλπίδας παρέχεται. Εἶτ' οὐδὲ συνορῶμεν, τίς ἂν γένοιτο ἡμῖν ἐκ Λατίνων διαρκὴς καὶ ἀεὶ παροῦσα βοήθεια, εἴ γε καὶ ἐμέλλομεν πάντων ἐθνῶν περὶ ταῦτα φαίνεσθαι χείρους, τῶν προσκαίρων τὴν πίστιν διαμειβόμενοι. Ἡ δεικνύτω τις ἡμῖν προφανῶς οὕτωσὶ, μὴ σκιὰς καὶ ὀνείρους λεγέτω. Τὸ μὲν γὰρ πεισθῆναι κακῶς ἴσως ἂν ποτε καὶ συνέβαινεν ἡμῖν ἐγκαταλείποντος τοῦ Θεοῦ· τὸ δὲ περὶ τῆς ἐκεῖθεν ἐλπιζομένης βοηθεῖ θαῤῥεῖν, ἃ καὶ οἱ ταῦτα λέγοντες πιστεύουσιν ἢ προσποιοῦνται πιστεύειν, ἵνα τοὺς ἄλλους ἐξαπατῶσιν, ἀμήχανον ἂν ἦν ἡμῖν τοῖς τἀκείνων πάντ' εἰδόσι καλῶς καὶ τὴν βοήθειαν λογιζομένοις, ὁπόση τις ἂν γένοιτο ἱκανὴ διαπαντὸς τοῦ διηνεκῶς ἡμᾶς πιέζοντος δέους. Ὅθεν εἴ καὶ μηδὲν ἄλλο τοῦτ' ἐχρῆν δεδιέναι, μὴ καὶ τὸ δεινὸν ὑποσταίη τις, καὶ τοῦ καλοῦ διαμάρτοι, εἰ καὶ καλὸν εἶναι μέλλοι τὸ δυσσεβῶς ποριζόμενον, ὃ πᾶσι συμβαίνειν εἰκὸς τοῖς μὴ μετὰ Θεοῦ τὰ τοῦ Θεοῦ πράττουσιν.

Ὁρᾶτε δὲ καὶ τὰς βοηθείας, ἃς ἡμῖν ὁ πάππας παρέσχετο μετὰ τὸ κλίναι γόνυ τοὺς ἡμετέρους ἐπισκόπους ἐκεῖ, εἰ καὶ μὴ παρ' ἑαυτοῦ, ἔκ γε τῶν ἡμῖν ποτε προσηκόντων, ἅπερ ἐπαναστρέφειν αὐτὸν ἐχρῆν εὐθὺς λυθέντος τοῦ σχίσματος, ὡς εἶχεν ἐλπίζειν, καὶ εἰ μὴ τοὺς ἄλλους ἔπεισεν ἀποδιδόναι τὰς νήσους ἡμῖν, καὶ τὰς πόλεις τὰς ἐν Ἑλλάδι, καὶ αὐτὸς τὰς ἐκκλησιαστικὰς εἰσόδους ἀπέτισε τοὺς παρ' αὐτοῦ πεμπομένους ἐξελάσας ποιμένας. Καίτοι σαφές ἐστιν, ὡς εἰ μηδὲν ἕτερον ἐποίει τοῦτο γοῦν πράττων, ἠδύνατ' ἂν τὰ μέγιστα βοηθεῖν τὰς προσόδους τῶν ἐκκλησιῶν συμπάσας ἀποδιδοὺς τῆς ἐν Κερκύρᾳ, τῆς ἐν Σικελίᾳ, τῆς ἐν Κρήτῃ, τῶν ἄλλων νήσων, ἃς ἐξ ἡμῶν ἔσχεν ἁρπάσας, καθάπερ ἄλλοι τὴν τῶν νήσων ἀρχήν. Ἀλλ' οὔτε οὐδὲν τούτων ἐποίησε δήπου, καὶ τοῦ τὴν πόλιν τῶν Πατρέων ἀναλῆφθῆναι πάλιν ἡμῖν σφόδρα ἐμνησικάκει. Καὶ τὸν θυμὸν αὐτοῦ θεραπεύοντες, ἴσως τι καὶ ἐχαρίζοντο τῶν οὐ πρεπόντων οἱ τῆς πόλεως ἄρχοντες, ἕως τῇ

A τῶν βαρβάρων χειρὶ τὴν πόλιν ἐκείνην ὁ Θεὸς παραδοὺς, τῷ μὲν ἤμβλυνε τὴν ὀργὴν, τοῖς δὲ κακῶς θεραπεύουσι νοῦν, ὡς οἶμαι, ἐνέθηκεν, ὡς μᾶλλον ἂν εἴη φοβητέον τὸν Θεὸν καὶ θεραπευτέον ἢ τὰς τῶν ἀνθρώπων ἀπειλὰς, εἰ παρὰ πᾶν γίνοιντο δίκαιον. Ἕωλος οὖν ἐστι καὶ ὁ τῆς ἐκ Λατίνων ἐλπιζομένης βοηθείας ἡμῖν λογισμός. Ἀλλ' εἰ μέλλοιμεν ἀπηλλάχθαι δουλείας, φυλακτέον τὴν πίστιν ἣν παρειλήφαμεν, καὶ τοῖς ἄλλοις ἔργοις ἐξιλεωτέον τὸ Θεῖον· συμβούλοις πλείοσι καλλίοσι χρηστέον περὶ τῶν ὅλων, μετ' ἰσότητος καὶ δικαιοσύνης καὶ λόγου παντὸς· τὰ κοινὰ διοικεῖν ἀρκτέον, καὶ ἀπολαυστέον ἐν τούτων ἑκάστοις, ὅσα δεῖ καὶ δίκαιόν ἐστι, καὶ πρὸς τὰς κοινὰς χρείας ἐπίσης χορηγητέον, καὶ τῶν δυναμένων σώζειν ἡμᾶς ἐπιμελητέον, ἐπαγρυπνοῦντας

B τῇ τούτων εὑρέσει τε καὶ ποιήσει. Πρὸ δὲ πάντων συνέδριον ποιητέον, ᾧ μελήσει μετὰ Θεοῦ περὶ ἁπάντων καλῶς. Τούτων δὲ προῦποτεθειμένων, καὶ τὴν πρὸς Λατίνους εἰρήνην πραγματευτέον, καὶ εἴπερ οἷόν τε εἴη, καὶ τὴν μετὰ πάντων ἀνθρώπων τε καὶ ἐθνῶν, οὐχ ἡμᾶς συνεξαδικοῦντας, ἢ συμπαρανομοῦντας καὶ ὅλως πρὸς τὰ χείρω μεθισταμένους, ἀλλὰ πρὸς τὰ παρ' ἡμῖν εὐσεβῆ τε καὶ δίκαια καὶ τοὺς ἄλλους ἕλκοντας, εἴγε βούλοιντο πείθεσθαι, καὶ μὴ βουλομένους, εἰς τὴν δίκην ἐκείνην παραπεμπτέον. Αὐτοὶ δὲ πρὸς ἡμᾶς αὐτοὺς δικαίως συνθώμεθα καὶ καλῶς, τοῖς τῶν Πατέρων συνδεόμενοι νόμοις, καὶ μὴ ποιῶμεν ἀλλήλους, ὅπερ οἱ Λατῖνοί ποτε πεποιήκασι. Καὶ ζητούντων ἡμῶν καταθεμέ-

C νους τὴν προσθήκην, εἶτα δικάζεσθαι οὐκ ἐβούλοντό ποτε συγχωρεῖν ἔως τῆς ἡμῶν ἀσθενείας δραξάμενοι, καθάπερ ὑποχειρίους τοῖς ἑαυτῶν πεποίηνται νόμοις. Ἀλλ' ἐν γεγονότες σῶμα, καὶ ὑπὸ μιᾷ κεφαλῇ τῷ Χριστῷ, ὃν μέχρι καὶ χθὲς πάντες ὁμοίως ἐσέβομεν, καὶ τῶν οὐ καλῶς γενομένων ἀναντιῤῥήτως, εἰ μή τις φιλονεικεῖν ἐθέλοι πρὸς τὰ φαινόμενα, τούτων ἀποστάντες πάντες ὁμοῦ, καὶ τοιαύτην δόντες πληροφορίαν ἀλλήλοις ὡς δεῖ ταύτην δίδοσθαι φανερῶς, οὐ συνεσκιασμένως, ἀληθῶς, οὐχ ὑποκριτικῶς, οὕτω γὰρ οἱ τῆς Ἐκκλησίας βούλονται νόμοι, τότε δὴ καὶ περὶ τῶν πρὸς Λατίνους ἡμῖν δικαίων σκεψόμεθα· καὶ πάντες ὁμοῦ τὴν πρὸς ἐκείνους ἀπολογίαν ὑποστησόμεθα, καθάπερ ἁρμόττει

D Χριστιανοῖς ὑπὸ μητέρα μίαν τελοῦσι. Καὶ πάντα ἡμῖν οὕτως ἀπαντήσει παρὰ Θεοῦ τὰ καλὰ, καὶ ἐν ἑαυτοῖς καὶ πρὸς τοῖς ἔξω· ἀρκεῖ γὰρ τοσοῦτον εἰπεῖν. Ἀλλ' ἐπειδὴν ἑκάστου τοὺς λόγους τις ἡμᾶς ἀπαντοίη, καὶ πῶς ἂν ἕκαστα διατεθείη καλῶς σὺν Θεῷ, καὶ ἡμεῖς ἕτοιμοι διδόναι καὶ ἰδίᾳ καὶ παῤῥησίᾳ, καὶ πεῖσαι μετὰ Θεοῦ πάντας τοὺς ὀρθῶς τε καὶ κατὰ Θεὸν εἰδότας περὶ πάντων τούτων λογιζεσθαι.

Ταῦτα πολλάκις ἀνηνέγκαμεν καὶ τῷ βασιλεῖ, κἀκεῖνος, ἴσμεν καλῶς, τί περὶ τῶν ἐν Φλωρεντίᾳ ὑπ' αὐτοῦ γεγονότων ἐφρόνει, καὶ πῶς ταῖς ἡμετέραις ἠσμένιζεν ἀποκρίσεσι, καὶ ὅπως οὔτ' ἐπηνάγκαζε, καὶ ἐβούλετο τὸ πάτριον ἡμᾶς διαφυλάττειν δόγμα καλῶς, καὶ ἐπῄνει τοὺς τοῦτο πράττοντας, ἐρίσει τε τοὺς ἄλλως διακειμένους. Ἡμεῖς τούτων μάρτυρες

πάντες, ἐκ τῆς ἐκείνου φωνῆς καὶ γλώττης ἕκαστος πάντα εἰδότες. Ἀλλὰ περὶ τῆς ἀρχῆς δεδιὼς ἀδές τι δέος, καὶ τοῦ μὴ δόξαι Λατίνοις ἀηδὴς λελυμένων τῶν κακῶν ὑποσχέσεων τὴν τῆς ψυχῆς ἀσφάλειαν φεῦ! προέμενος, οὐκ ἠνείχετο φανερὰν τὴν ἰατρείαν τῆς ψυχῆς ἐξεργάσασθαι, καὶ σῶσαι πολλοὺς, τοὺς ὑπὸ τῇ προσποιήσει τοῦ βασιλέως τέως ἀπολλυμένους. Χάρις οὖν ἐκείνῳ καὶ οὕτω πολλὴ, ὅτι τὸν τῆς συνειδήσεως ἔλεγχον οὐ περιεῖδεν, ὡς οἱ πολλοὶ τῶν ἀρχόντων πράττουσιν, ἀλλὰ τοῦτον πρὸ πάσης ἀνάγκης πεποιημένος, εἰ καὶ μὴ φανερῶς οὕτωσι, καθάπερ ἄρα ἐχρῆν, καὶ ὡς οἱ τῆς Ἐκκλησίας νόμοι κελεύουσιν, ἀλλὰ τρόποις ἄλλοις ἐδείκνυ τὸν ἐπὶ τοῖς πεπραγμένοις ἀχθόμενον, καὶ μηδὲν αὐτοῖς συνεγνωκότα χρηστὸν, παρίεμεν καὶ ἄλλα τῆς ἐκείνου μεταμελείας τεκμήρια. Ἀλλὰ βουλόμενος τὸ πτῶμα ἐκεῖνο μετρίως γοῦν ἐξιάσασθαι καὶ αὐτοῦ καὶ τῶν ἄλλων, οἳ τοῖς ἐν Φλωρεντίᾳ συντεθειμένοις ἑαυτοὺς ὑπέγραψαν, δέδωκεν ἡμῖν ἄδειαν, ἐν τῷ τοῦ Ξυλαλᾶ λεγομένῳ παλατίῳ πολλάκις συνελθεῖν, καὶ δοῦναι ἀπόκρισιν περὶ τῆς ἐνστάσεως παρόντος τοῦ λεγάτου καὶ μεγάλην ἀνάγκην ἐπάγοντος ὑπὲρ τῆς ἑνώσεως. Καὶ ἡμῶν ὡρίμως καὶ ἐσκεμμένως τὴν ἀπόκρισιν δεδωκότων αὐτῷ, προσέταξεν ὑπογραφῆναι τὸν τόμον ἐκεῖνον, ἢ τὸν τῆς πίστεως λίβελλον, ὃν καὶ ὑπογεγραμμένον λαβὼν, ἀντεῖπε μὲν οὐδὲν οὐδ' ἠνώχλησε φανερῶς, ἐνί δέ τινι τῶν πιστοτάτων ἐξεῖπεν, ὡς ἄρα Ἠσθόμην ἐμαυτοῦ μέγα τι τῆς συνειδήσεως ἀπορρίψαντος ἄχθος. Ἀντὶ γὰρ τῶν κακῶν ἐκείνων ὑπογραφῶν ἀνθυπογράψαι τῷ τῆς ἀληθείας ἐποίησα δόγματι τοὺς ἱεροὺς τούτους ἄνδρας, καὶ εἰ μηδενὶ βελτίονι καὶ ἰσχυροτέρῳ τρόπῳ δυνηθείην τὴν πληγὴν ἐκείνην ἀκέσασθαι τῆς ψυχῆς, οὕτος γοῦν ὁ τρόπος τῷ καιρῷ πρόσφορος ὤν, ἱκανὸς, οἶμαι, δόξει τῇ θείᾳ φιλανθρωπίᾳ. Πάντα μὲν εἶπεν ἐκεῖνος, μηδὲν δὲ πλέον ὠφελῆσαι τὴν Ἐκκλησίαν βουληθεὶς, ἐν αὐτῇ τῇ προσποιήσει τοῦ Λατινισμοῦ τὴν ἀρχὴν ὁμοῦ καὶ τὴν ζωὴν ἀπεβάλλετο. Καὶ τῶν μὲν τῆς Ἐκκλησίας τιμῶν ἐστερήθη δικαίως, ἧς οὐ προὔργου πεφρόντικεν· εἰ δ' ἔσται τι πλέον αὐτῷ παρὰ τῆς θείας φιλανθρωπίας διὰ τὴν πρὸς ἡμᾶς ἡμερότητα, καὶ τὰς ἔνδον μεταμελείας, ὑπὲρ τῶν κακῶς αὐτῷ καινοτομηθέντων, Θεὸς ἂν εἰδείη. Οὕτως οὖν καὶ ἡμῖν ἔκτοτε μέχρι καὶ νῦν ὁ τόμος ἐκεῖνος εἰς ἀνατροπὴν τῶν ὡροτεθημένων ἀρκεῖ, σύμφωνος ὢν τῇ ψήφῳ τῆς ἱερᾶς ἐκείνης καὶ καθολικῆς συνόδου, τῆς μετὰ τοῦ Βέκκου συνηθροισμένης καὶ καθελούσης αὐτὸν κανονικῶς, ἕως ἂν καὶ ἄλλο τι δοίη Θεὸς εἰς πάνδημόν τινα τῆς ἀληθείας φανέρωσιν. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ ΓΕΝΝΑΔΙΟΥ
ΤΟΥ ΣΧΟΛΑΡΙΟΥ
ΚΑΤΑ ΤΗΣ ΣΙΜΩΝΙΑΚΗΣ ΑΙΡΕΣΕΩΣ Η ΑΠΙΣΤΙΑΣ.

Τὰς ἐκ τῶν ἀθέων τούτων βαρβάρων ἐπελθούσας ἡμῖν συμφορὰς, καὶ ἃς περὶ τοῦ μέλλοντος δέδιμεν, πανταχόθεν ἡμῖν τῆς τοῦ δυνήσεσθαι φέρειν ἐλπίδος ἐκλελοιπυίας, ἄλλοι ἐπ' ἄλλην αἰτίαν ἀναφέρειν πειρῶνται. Οἱ δὲ καὶ πάσης ἐρεύνης τοιαύτης ἰσχυροτέρας εἶναι νομίζοντες, οὐ σκοποῦνται μὲν τὰς αἰτίας, οὐδὲ γὰρ ἠγοῦνται ῥᾳδίως ἂν εὑρεῖν δύνασθαι, τὰ δὲ τῶν ἀπεγνωκότων ἀλγοῦσιν, οὐδὲ ἀλεωρήν τινα λοιπὸν ἐλπίζουσι τῶν δεινῶν, οὐδ' ἐκ τοῦ Θεοῦ, πλὴν ὅσον ἐπιβοῶνται μάτην τὸ θεῖον, ἔδει γάρ τι μὲν ἐξαμαρτάνουσιν ὀργίζεσθαι, τί δ' αὖ ποιοῦσιν εὐμενὲς ἂν φανείη, καὶ τὰ τοιαῦτα πρῶτον εὑρόντας, εἶτ' ἐκεῖθεν τὴν ἐπικουρίαν αἰτεῖν. Ἀλλὰ νῦν οὐδὲ σφᾶς αὐτοὺς λελήθασιν ἐπὶ τὸν Θεὸν εἰκῇ τρέχοντες. Ἐγὼ δὲ πρὸς ἐμαυτὸν πολλάκις περὶ τούτων σκεψάμενος, οὐ γὰρ οἷός τε, ὅτι ἦν ἐν τοσαύταις τῶν δεινῶν ὑπερβολαῖς, ἠρεμεῖν ἀκοῇ, καὶ μνήμῃ, καὶ ὄψει, καὶ προσδοκίαις συλλεγομέναις, οὔτε τῆς μόνης τούτων αἰτίας οἶμαι διαμαρτάνειν, οὔτ' ἀδύνατον τὴν ἐπανόρθωσιν ἡγημαι.

Δι' ὃ μὲν οὖν ἔγωγε τοῖς ἰσχάτοις Χριστιανοὺς περιπεσεῖν νενόμικα συμφοραῖς, τὸ τῆς Σιμωνίας ἐστὶ δυσσέβημα. Τὰ μὲν γὰρ ἄλλα τῶν ἡμετέρων ἁμαρτημάτων, τὰ μὲν εἰς τὸν πλησίον τὸ βλάβος ἐκτείνοντα, δι' ἃ δ' εἰς τὴν φύσιν παρανομοῦντα ἑπομένως τὸν Θεὸν ἐκπολεμοῦσιν ἡμῖν, τὸν δικαίως τῶν ἀδελφῶν ἡμῖν ἐπιτροπεύοντα καὶ τὴν φύσιν, ὡς κοινῷ πατρὶ καὶ καθηγεμόνι πάντων προσήκει. Ὁ δὲ κἀν τούτοις πλέον ἐστὶν εἰς παροξυσμὸν, ὅτι καὶ νόμων ἡμῖν ἐξ αὐτοῦ τεθειμένων ἐφ' ἑκάστῃ τῶν χειρόνων, τῶν βελτιόνων ἐνεργειῶν, τῶν μὲν σὺν πολλοῖς τοῖς προτρεπτικοῖς τὴν εὐδαιμονίαν ὑπισχνουμένων, ἣ τὸ τέλος ἡμῶν ἐστι, τῶν δ' ἀποτρεπτικῶν τε καὶ τὰ ἔσχατα ἐπανατεινομένων τοῖς οὐκ ἀξιοῦσι προσέχειν, εἰ τῶν ἀϊδίων τε καὶ καθόλου καλῶν τὰ φθαρτὰ καὶ πρόσκαιρα ταῦτα διαμειβόμεθα. Κατὰ λόγον ἄρα συμβαίνει καὶ τοῦ νομοθέτου δοκεῖν ἡμᾶς κατολιγωρεῖν, οὗ τῷ πόθῳ τε καὶ τῷ δέει σωφρονεστέρως ἐχρῆν περὶ τὰς αἱρέσεις γίγνεσθαι τῶν ἰδίων. Τὸ δὲ τῆς Σιμωνιακῆς ἄγος ὁμέσως ἡμᾶς ἐκπολεμεῖ τῷ Θεῷ. Εἰς ὃ γὰρ ἐμέλλομεν εὐσεβοῦντες, εἶτα περὶ τῆς ἐπὶ τοῖς ἁμαρτανομένοις δίκης συγ-

γνώμης, εἴπερ οὐχ οἷόν τέ ἐστιν ἐν μηδενὶ ἁμαρτάνειν ὄντας ἀνθρώπους, τούτῳ δυσσεβῶς διακηρυττόμεθα, οὐ νόμων ἐλευθερίαν πατοῦντες, τὰ γὰρ τὰ νόμων ὕστερα δήπου, ἀλλὰ δυσσεβεῖς λογισμοὺς περὶ τοῦ θείου λαμβάνοντες, καὶ πληροῦντες μὲν ἔργῳ μετ' ἀναιδείας αὐτοὶ, πείθοντες δὲ καὶ τοὺς συνόντας συνεξαμαρτάνειν, καὶ τὰ χείριστα κακῶν εἰς τὴν τῶν Χριστιανῶν θρησκείαν εἰσάγοντες.

Καὶ κτείνοντος μέν τινος ἀδίκως, ἢ ἀσελγαίνοντος, ἢ συκοφαντοῦντος, ἢ διαρπάζοντος, οὐ τὸ σύμπαν τῆς πολιτείας σῶμα νοσεῖ, καίτοι καὶ ταῦτα δεῖ τιμωρεῖσθαι τοὺς ἐφεστῶτας, κἂν μὴ φροντίζωσιν, ἐπ' αὐτοὺς ἡ δίκη τοῦ Θεοῦ πολλάκις ἠνέχθη· τὸ δὲ τῆς Σιμωνίας ἀσέβημα πάνδεινός ἐστιν ὄλεθρος, καὶ συμφορὰ κοινοτάτη, καθάπερ τῶν νοσημάτων ὅπόσα τοῖς καιριωτέροις ἐνσκήψαντα τὸ πᾶν σῶμα συνδιαφθείρει. Τῆς γὰρ Χριστιανικῆς πολιτείας τὰ θεοφιλέστατα φθεῖρον διὰ τῶν λοιπῶν ὁδῷ βαδίζον εἰσδύνει, καὶ πάντα ἐφεξῆς ἀφίστησι τοῦ Θεοῦ. Καὶ οὐδὲν οὕτως ἐπιδήμιον νόσημα τὰς πόλεις τῶν νοσημάτων κενοῖ ὡς ἡ χαλεπὴ νόσος αὕτη τὰς τῶν ἐαλωκότων ψυχὰς τῶν πνευματικῶν χαρισμάτων. Προαίρεσις γάρ ἐστι καὶ πρᾶξις μετ' αὐθαδείας ἀνθιστημένη τῷ Θείῳ, καὶ διὰ τοῦτο συγγνώμης ἐν οὐδετέρῳ τῶν βίων τυγχάνουσα ὁμοίως οἷς ἡ φθορὰ τῆς πίστεως ἔνεστι. Διόπερ οὐχ ὡς ἁμαρτάνουσιν, ἀλλ' ὡς ἀσεβέσι τὸ Θεῖον εἰκότως κέχρηται τοῖς τολμῶσι, καὶ κατὰ τὰς ἐπιθυμίας αὐτῶν ἐπάγει τὰς δίκας, καὶ παραδίδωσιν ἀπίστοις καὶ μιαροῖς μετὰ τῶν σωμάτων καὶ τὰς ψυχὰς λυμαίνουσι τῶν δουλευόντων. *Παρώργισάν με*, φησὶν, *ἐν τοῖς εἰδώλοις αὐτῶν, κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ' οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς.*

Ἀλλ' ὅτι μὲν μέγιστόν ἐστι τῶν ἁμαρτημάτων ἡ Σιμωνία καὶ ἀτεχνῶς ἀσέβημα πάνδεινον, καὶ ὡς δι' ἓν τι τοῦτο πάντα ἐπῆλθε τοῖς Χριστιανοῖς τὰ δεινὰ καὶ τὰ τῆς Ἐκκλησίας ἡμῶν καὶ τὰ τῆς βασιλείας εἰς ἐσχάτην ἦλθε στενότητα πρώταις αὐταῖς ἐμφάντος τοῦ πάθους ἃς κακῶς πράττειν διὰ τοῦτο δεῖσαν ἔδει τὸ σύμπαν ἔθνος, ἄλλως τε καὶ τῇ κοινωνίᾳ τοῦ μίσους τοῦδε δυστπραγεῖν, αὐτὸ τὸ πάθος πείθει πάντας Ἰστορηθὲν, ὡς μηκέτ' ἂν δεῖν ἡμᾶς τὴν ὑπερβολὴν αὐτοῦ τῆς πονηρίας λόγοις ἄλλοις δεικνύναι, καὶ ταῖς πρὸς τὰ λοιπὰ τῶν παθῶν παραθέσεσιν, ἀλλ' ἐξαρκεῖν αὐτοῦ τὴν φύσιν ἐπιδειχθεῖσαν τῶν ἐπομένων ἁπάντων τοῖς καὶ ὁπωσοῦν συνορῶσι διδάσκαλον γίγνεσθαι· νῦν δὲ ἐπὶ τοῖς πλείοσιν ἀγνοεῖται τὸ δυσσέβημα τοῦτο διὰ τὸ μὴ βούλεσθαι δήπου τὰ τοιαῦτα εἰδέναι.

Σιμωνία τοίνυν αἵρεσις περὶ τὸ πρῶτον τῆς πίστεώς ἐστιν ἄρθρον, ἐν τῷ θυσιαστηρίῳ καὶ βαθμοὺς ἱεροὺς, καὶ εἰσόδους τὰς ἐκ τῶν ἀνθρωπίνων εἰς τὸ Θεῖον λειτουργιῶν, καὶ Πνεύματος χάριν ὠνεῖσθαι ἢ ἀποδίδοσθαι συνισταμένη. Αἱρετικὸς μὲν ἔστιν ἅπας ὁ περί τι τῶν τῆς πίστεως ἄρθρων ἢ κατ' εὐθείαν ἢ πλαγίως πλανώμενος· ὁ δὲ Σιμωνιακὸς περὶ τὴν ἑνότητα τοῦ Θεοῦ καὶ τῆς πίστεως πονηρός ἐστιν· οὐκοῦν αἱρετικὸς προδήλως ἐστί. Καὶ φρονεῖ μὲν οὐκ ἐναντία τῇ ἑνότητι τοῦ Θεοῦ καὶ τῆς πίστεως, πράττει δὲ ταῦτα τοῖς οὕτω φρονοῦσιν ἅπας, ἀνυλαβῆ πρὸς τὸν ἕνα Θεὸν καὶ γνώμην καὶ πρᾶξιν ἐπιδεικνύμενος· διὸ περὶ τὴν θρησκείαν μᾶλλον ἢ τὴν δόξαν ἐστὶν ἁμαρτητικός. Τῆς μὲν γὰρ θρησκείας ἐστὶν ἀπονέμειν τῷ Θεῷ τὴν ὀφειλομένην εὐλάβειαν, ὡς ἑνὶ καὶ μόνῳ πάντων αἰτίῳ· *Εἰ γὰρ ἐγὼ*, φησὶ, *Πατὴρ, ποῦ ἐστιν ἡ τιμή μου;* Καὶ τοῦτο λόγος· ἐστὶ τῆς ὀρθῆς πίστεως, τὸ σέβειν εὐλαβῶς τε καὶ ὀρθοδόξως τὸν ἕνα Θεόν. *Εἷς Θεὸς, μία πίστις*, ὁ Παῦλός φησι. Ὁ δ' εἰς ὠνήν τε καὶ πρᾶσιν τὸ τῶν πνευματικῶν πραγμάτων ἀξίωμα καθαιρῶν ἀνευλαβής ἐστι περὶ τὸν Θεὸν, τοῦτο δ' ἐστὶ τὸ Σιμωνίαν νοσῆσαι. Εἰ δὲ ἐν θρησκείᾳ μὲν ἔστιν ἐνέργεια πίστεως, περὶ δὲ ταύτην πονηρὸς ὁ τοιοῦτος· τί λοιπὸν ἢ περὶ τὴν πίστιν ἐξαμαρτάνειν τόν γε τοιοῦτον καὶ τοῖς τῶν αἱρετικῶν καὶ δυσσεβούντων ὅροις ἐγκλείεσθαι; Τοῦτο μὲν οὖν καὶ τοῖς ἑξῆς ἐκδηλότερον ἔσται.

Ὕλη δέ γε τῆς τοιαύτης κακοπιστίας τὰ πνευματικά τε καὶ ἱερὰ γίγνεται πάντα, ὧν τὴν ἐλευθερίαν ἀναιδῶς προδιδόασιν οἱ χρημάτων ὧνια ποιοῦντες τὰ πάσης ὠνῆς τε καὶ πράσεως ὑπερκειμένην ἔχοντα φύσιν· τὰ μὲν γὰρ ἐκ τῆς γῆς ἐστι· σοφία δὲ καὶ ψυχὴ καὶ εἴ τι πνευματικὸν ἀγαθὸν καὶ δώρημα τέλειον, ἄνωθεν κάτεισ.ν. Οὔτε δεσπόζει τῶν πνευματικῶν οὐδεὶς ἐν ἀνθρώποις, ὥστ' ἂν δεηθῆναι αὐτῶν χρημάτων διαθέσθαι καθάπερ ὧν ἐσμεν κύριοι. Ταῦτα πιπράσκουσιν οὐδεὶς ἡμῖν ἐγκαλεῖ, ἀλλ' οἰκονόμοι μόνον εἰσὶν οἱ τῶν πνευματικῶν προεστῶτες· οὕτω γάρ φησιν ὁ Παῦλος, « Ἡμᾶς λογιζέσθω ἄνθρωπος ὡς διακόνους Χριστοῦ καὶ οἰκονόμους μυστηρίων Θεοῦ. » Διακονία; δὲ καὶ δεσποτεία; οὐκ ὀλίγον τὸ μέσον. Οὔτε τῇ τῶν πνευματικῶν χαρίτων ἀρχῇ συνάδει τὸ χρημάτων αὐτὰς ἀντικαταλλάττεσθαι. Διόπερ Αὐγουστῖνος· χάριν τὴν μὴ προῖκα διδομένην οὐδ' εἶναι χάριν φησί. Καὶ ὁ Δεσπότης ἡμῶν, *Δωρεὰν*, φησὶν, *ἐλάβετε, δωρεὰν δότε.* Ὡς τῷ προῖκα λαβεῖν τὸ καὶ προῖκα δοῦναι συμβαίνεται. Ἀλλ' οἱ τῶν ἱερῶν τε καὶ πνευματικῶν ἀγαθῶν τὴν πρᾶσιν τολμῶντες, καὶ ἀτίμητον ὕλην καὶ ἧς οὐδένα τῶν ἀνθρώπων ἔστι σὺν εὐσεβείᾳ δεσπόσαι, γηΐνοις τιμήμασι παραβάλλοντες καὶ τῇ σφῶν αὐτῶν ὑποβάλλοντες ἐξουσίᾳ, τί γε ἄλλο ἢ τὴν Ἰούδα νοσοῦσι δυσσέβειαν, εἰ μὴ καὶ χεῖρον ἄν τις φαίη μαίνεσθαι τούτους, ὅτι καὶ μετὰ πολλοὺς τοὺς περὶ τούτων τεθέντας νόμους, καὶ μετὰ τὴν οὕτω φανερὰν τῆς ἀληθείας ἀπόδειξιν, καὶ ἐν καιροῖς τὴν ἀκρίβειαν ἁπαρραιτήτως εἰσπραττομένοις; Οὐ μόνον δὲ τὸν Ἰούδα ἐξισοῦται ὁ τοιοῦτος, ἀλλὰ τὴν τοῦ Σίμωνος Μάγου προαίρεσιν, ἧς καιρός ἐστι τὸ θεοστυγὲς τοῦτο πάθος, καὶ παρ' οἷς τὴν ἀρχὴν καὶ τὴν ἐπωνυμίαν οἱ τῷ πάθει τῷδε δουλεύοντες ἔχουσιν, ἐραστὴς ἀγαθοῦ πράγματος, ἀλλ' ἐκ διαστρόφου γνώμης γεγενημένος. Οὐ γὰρ ἀρετῇ καὶ πίστει ἥλπισεν, ἀλλ' ἐκ τούτων ἔρημος ὤν, ἠβουλήθη οὐρανίων χάριν διὰ γηΐνων ὠνήσασθαι μετάλλων. Ἦσαν δ' ἂν καὶ οἱ μαθηταὶ τοῦ Χριστοῦ τῆς Σίμωνος γνώμης εἴγε συνεχώρουν αὐτῷ ταῦτα. Ἀλλ' οὐ τοῦτο· ἐκ γὰρ ἀγάπης θείας τὰς θείας ἐκείνας ἐγγεγενημένας δυνάμεις ἐώρων.

Διὸ καὶ εἶπεν ὁ κορυφαῖος, *Τὸ ἀργύριόν σου σὺν σοὶ εἰς ἀπώλειαν.* Ὅτι καὶ πρῶτον μὲν ἐνταῦθα τοῦ Σίμωνος τὴν πονηρίαν ἐν αὐτῇ τῇ ῥίζῃ κατέκρινε τὸ ἀργύριον, κακῶς συναπόλλυνται τοῖς ὑπὲρ τῶν ἱερῶν διδομένοις χρήμασιν αἱ τῶν διδόντων ψυχαί· ἀντάξια γὰρ τῶν ἀπολλυμένων λαμβάνουσιν προσκαίρους τιμάς τε καὶ ὠφελείας, καὶ ὅσα τῷ βίῳ τῷδε συγκαταλύονται· ἡ δὲ τῆς πρὸς Θεὸν ἀνευλαβείας ὀφειλομένη σφίσι ποινὴ τῷ κλήρῳ τῶν ἀπολλυμένων ταῦτα συντάττει. Οὗτοι δ' εἰσὶν οἱ τὰς ἐν ᾅδου δίκας ὑπέχοντες, οὐ τῆς οὐσίας ἀπαλλαγὴν, ἀλλὰ τοῦ εὖ εἶναι καὶ τῆς ἀληθινῆς ὑφιστάμενοι ζωῆς ἔκπτωσιν.

Ἐπεὶ δὲ ἀπὸ τῶν διδόντων εἰς τοὺς λαμβάνοντας μεθίσταται ὁ ῥύπος τῆς πονηρίας, εἰκότως καὶ οἱ λαμβάνοντες συναπόλλυνται, καὶ τοῖς αἰωνίοις δεσμοῖς δεσμοῦνται μετὰ τὴν τιμὴν, ὃ δὴ ψυχῶν ἐστιν ὄλεθρος, καθάπερ ἐκεῖνοι συναπολλύουσι τοῖς χρήμασι τὰς ψυχὰς, οὔτε τὴν ζητουμένην χάριν κερδαίνοντες, τῷ δυσσεβῶς ἐλπίσαι ταύτην λαβεῖν ἄν, καὶ εἴ τις ἐνῆν αὐτοῖς πρότερον ἀποβάλλοντες· « Ἡ γὰρ ἀγάπη, φησὶν, οὐ χαίρει τῇ ἀνομίᾳ, » καὶ πρὸς τούτοις τοῖς κάτω κολαστηρίοις καὶ τῇ βίβλῳ τῶν ἀπολλυμένων οἰκτρῶς ἐγγραφόμενοι. Ὃ δὲ μεῖζόν ἐστιν ὅτι μὴ τὸ δοῦναί τε καὶ λαβεῖν, ἀλλὰ τὸ βουληθῆναι μόνον, καὶ πρὸς τὴν ὠνὴν ἢ τὴν πρᾶσιν ἐξορμηθῆναι ἀπηρτισμένον τὸν τῆς Σιμωνίας δέχεται λόγον. Ὃ δὴ πᾶσι τοῖς τῆς καρδίας πρόσεστιν ἁμαρτήμασιν, ἃ τῷ συλληφθῆναι μόνον τὴν ὑπόστασιν ἔχει, ὡς καὶ τοῖς τοῦ λόγου καὶ τοῖς τοῦ ἔργου ὑπουργίαν ἀπαρτίζει τὸ εἶδος. Ἰδοὺ γὰρ ὁ Σίμων τῇ τῆς δυσσεβοῦς ἐμπορίας ἐλπίζει τὸ πᾶν τῆς πονηρίας ἐξειργάσθαι, καὶ θανασίμως ἥμαρτεν· τοῦτο γάρ ἐστι τὸ συναπολωλέναι τὸν τοιοῦτον χρήμασιν. Εἰ μὲν γὰρ οἷόν τε ἦν κτᾶσθαι τὴν χάριν διδόντα χρυσίον, οὐ τὸ βουληθῆναι μόνον ἀπέχρησεν ἂν εἰς τὸ μορφῶσαι τὴν πονηρίαν, ἀλλ' ἔδει καὶ τὸν λαβόντα μὲν τὴν τιμὴν ἀντιδιδόντα δὲ τὴν χάριν προσεῖναι· ἐπειδὴ ἀδύνατον αὐτὴν παραγίνεσθαί τε διὰ χρημάτων, οὔτε τὸν Θεὸν διδόναι τι δυναμένου μὴ προῖκα, διὰ τὸ δεῖσθαι μηδενὸς εἰς οὐδὲν ὅπερ ἂν ἡσθείη λαμβάνων, ἢ τῷ τῆς ἁμαρτίας τὴν ἀγνοτάτην χάριν πιστεύοντος, οὔτε τὰ θεόθεν εἰληφότα ταύτην ἀνθρώπου δυναμένου ταύτην ᾧ ἐνδιδόναι τῶν ὠνεῖσθαι βουλομένων τινί· οὐδὲ γὰρ αὐτῷ παραμένει λοιπὸν, ἀλλὰ μετὰ τὸ συγκαταδεῖναι πρὸς τὴν πρᾶσιν αὐτὸν ἔρημον οἴχεται λελοιπυῖα. Ὅθεν οὐκ ἂν ἔχοι τῶν μηδ' αὐτῷ προσούσης μεταδιδόναι χάριτος. Ἆρα καὶ τὸ βουληθῆναι μόνον ἁμάρτημα. Οὐ γὰρ ἐκτήσω, φησὶ, τὴν δωρεὰν, ἀλλ' ὅτι ἐνόμισας, εἶτα τὸ ἀργύριον μετὰ τῆς γνώμης ἐπαρᾶται.

Μιαίνεται δὲ ὁμοίως ὁ συνδραμών. Οὐκοῦν καλῶς ἐποίουν οἱ Χριστοῦ μαθηταὶ, μετὰ τῆς γνώμης καὶ τὸ ἀργύριον βδελυττόμενοι. Εἰ γὰρ καὶ μὴ ἐκοινώνουν μηδὲ τὴν χάριν ἐλάμβανεν ἐκεῖνος, ἀλλ' ἐδόκουν ἂν αὐτῷ κοινωνεῖν τοῦ δόγματος, καὶ τῆς κατὰ τοῦ Πνεύματος βλασφημίας, εἰ τὰ χρήματα ἐδέξαντο. Τὰ γὰρ προῖκα προσειλημμένα οὐ τοῖς ὀργάνοις τῆς.... καὶ τὴν τῆς γνώμης ἐλευθερίαν μικροπρεπῶς ἐξυβρίζειν, καὶ τὴν τοῦ Σίμωνος ἀπώλειαν πρόφασιν ἰδίας εὐκληρίας ποιεῖσθαι ὥσπερ τοῖς τῶν πλησίων ὀλέθροις ἀσμενίζοντας, ἢ ἐμπαιγμόν τινα τῇ καθαρότητι τοῦ κηρύγματος ἀναμιγνύναι, καὶ σοφίζεσθαι τὰς ἐξ ἀνθρώπων ὠφελείας καὶ τιμὰς διδόναι προσποιουμένους, ἅπερ ᾔδεσαν τοιουτοτρόπως οὐ δυνάμενα δεδόσθαι· ἢ νομίζειν ἐκ τοιούτων καὶ οὕτω δυσσεβῶς συλλεγομένων χρημάτων, ἄμεινόν τι πράξειν ἐξαναλίσκοντας, ἀλλ' οὐχὶ μᾶλλον ἀσεβήσειν μὲν εἰς Θεὸν, ὀφὲ δὲ, καὶ εἰς Θεὸν ἐγκαταλειφθήσεσθαι. Διὰ ταῦτ' ἄρα καὶ ὡς ἀπὸ χρημνοῦ τινος ἀνεχώρησαν.

Εἶτα δεικνύναι θέλων ὁ Πέτρος, ὡς οὐκ ἀρκεῖ τὸ ζητῆσαι μόνον, « ἀλλὰ μετὰ εὐσεβείας, φησὶν, οὐκ ἔστι μερὶς, » προφητικῶς ὡς εἰπεῖν αἰσθανόμενος, τῶν ἀπορρήτων δυσσεβημάτων. Διὸ καὶ οὐκ ἠμέλουν ἐκεῖνοί τε καὶ οἱ διάδοχοι τούτων κατὰ τῆς αἱρέσεως ταύτης ἀνδρικώτερον ἵστασθαι. Ἤδεσαν γὰρ τὸν τῆς ἀληθείας ἐχθρὸν πολλοὺς ἐγεροῦντα τῷ βίῳ Σίμωνας, οἳ ταραχῆς τὰ Χριστιανῶν ἐμπλήσουσι πράγματα. *Εἴ τις*, φησὶν, *ἐπίσκοπος διὰ χρημάτων τῆς ἀξίας ταύτης ἐγκρατὴς γένοιτο ἢ πρεσβύτερος ἢ διάκονος, καθαιρείσθω, αὐτὸς καὶ ὁ χειροτονήσας, καὶ ἐκκοπτέσθω, καὶ τῆς κοινωνίας παντάπασιν, ὡς ὁ Σίμων ὁ Μάγος ὑπ' ἐμοῦ Πέτρου.* Καὶ αὖθις, *Εἴ τις ἐπίσκοπος, κοσμικοῖς ἄρχουσι χρησάμενος, δι' αὐτῶν ἐγκρατὴς Ἐκκλησίας γένοιτο, καθαιρείσθω καὶ ἀφοριζέσθω, καὶ οἱ κοινωνοῦντες αὐτῷ πάντες.* Ἃ δὲ ταῖς συνόδοις ὁμοῦ ὥρισται πάσαις τοῖς τῶν ἀποστόλων ἰθυνομέναις κανόσι χαλεπὸν ἀριθμεῖν. Ἔνιοι δὲ τούτων καὶ ἀναθέμασι προδήλως καθυποβάλλουσι. « Μηδεὶς, φησὶ, χειροτονῶν ἐπὶ χρήμασι σοφιζέσθω τὸ πρᾶγμα διὰ τοῦ μὴ προλαμβάνειν ἢ ἅμα λαμβάνειν, ἀλλὰ μετὰ ταῦτα λαμβάνειν. Λαμβάνειν γάρ ἐστι τὸ ὅτε δήποτε λαβεῖν· τοῦτο δὲ φιλαργυρία, ἡ δὲ εἰδωλολατρεία. Μήτε οὖν τοῦ Χριστοῦ τὰ εἰδώλα προτιμάσθω, μήτε τὸν Ἰούδα μιμήσεσθε, προδιδόντες ἐπὶ λήμμα τὸν ἅπαξ ὑπὲρ ἡμῶν σταυρωθέντα. Ἐπεὶ καὶ τὰ χωρία καὶ αἱ χεῖρες τῶν τοὺς καρποὺς τούτους δεχομένων ἀκέλδαμά, τουτέστιν αἵματος τιμὴ, προσαγορευθήσεται. » Ὁ δὲ τῆς ζ' συνόδου ἐξάρχων Ταράσιος τῷ Ῥώμης ἀποστέλλων Ἀδριανῷ, τοὺς ἐπὶ χρήμασι τὴν ἀρχιερωσύνην διδόντας δυσσεβεστέρους Μακεδονίου καὶ τῶν περὶ αὐτὸν Πνευματομάχων ἀποκαλεῖ, καὶ εἰς ταυτὸν Ἰούδᾳ τίθησι τῷ προδότῃ.

Ἐγὼ δὲ μάλιστα τῆς εἰς τὸ Πνεῦμα τὸ ἅγιον βλασφημίας εἶδος τὴν Σιμωνίαν λόγοις σοφῶν ἐπόμενος τίθεμαι, διὰ τοῦτο μήτε ἐν τῷ νῦν αἰῶνι μήτε ἐν τῷ μέλλοντι συγχωρουμένων. Οὐ γὰρ οἱ τῷ τῶν δαιμονίων ἄρχοντι τὰ τοῦ Πνεύματος ἀνατιθέντες ἔργα μόνῃ τῇ κατὰ τοῦ Πνεύματος ἠνείχοντο βλασφημίᾳ· οὐδ' οἱ τῆς ἐξ Αἰγύπτου φυγῆς τῷ εἰδώλῳ τὴν χάριν ἐπιγράψαντες ἀντὶ τοῦ Θεοῦ, οὓς ἐνταῦθα μὲν ἐκόλασεν ἱκανῶς ὁ Θεὸς τρισχιλίων κατ' ἐκείνην τὴν ἡμέραν ἐμπεσόντων· εἰς δὲ τὸ μέλλον αὐτοῖς τὴν ἀκριβεστέραν δίκην ἠπείληκεν· *Ἐγὼ δὲ ἐν ἡμέρᾳ, φησὶν, ἐκδικήσεως ἐπισκέψομαι τὴν ἁμαρτίαν*

αὐτῶν ταύτην. Ἀλλὰ τούτων οὐδὲν ἧττον βλάσφημοι καὶ πονηροὶ περὶ τὸ θεῖον φαίνονται Πνεῦμα οἱ χρημάτων αὐτὸ νομίζοντες εἶναι. Ὥστε καὶ τῷ μέτρῳ τῶν ἀργυρίων τὸ μέτρον τῆς δωρεᾶς ἐπακολουθεῖ. Ὅθεν κἀνταῦθα κἀκεῖ τὰς ἐσχάτας τίνουσι δίκας.

Ὅτι δὲ χαλεπόν ἐστιν ἰατρευθῆναι τόδε τὸ πάθος ὥστε καὶ συγγνώμης τυχεῖν, ἐναργές ἐστι τῷ βουλομένῳ σκοπεῖν· ἐναποθνήσκουσι γὰρ, καὶ οὗ' οἱ τὰ χρήματα λαβόντες ἀναδιδόασιν, οὔθ' οἱ δεξιωκότες παραιτούμενοι, ἀλλ' ἀνίεροι καὶ τῇ βαρύτητι τῶν κανόνων ὑπὸ κανόνα δίκην τοὺς προσιόντας σφίσιν ἐξαπατῶντες ἐπὶ τὸν αὐτὸν κρημνὸν ἕλκουσιν. Οἱ δὲ ἱεροσυλοῦσι τὰ κακῶς μὲν συνηγμένα, δυσσεβῶς· δὲ ἐξαναλωθέντα, δυσσεβέστερον αὖθις καὶ χεῖρον ἐπισυνάγοντες ἐπὶ ταῖς συμφοραῖς ἀΐδιοις ἑαυτῶν τε καὶ συναιτίων τοῦδε τοῦ μίσους. Ἆρ' οὖν ἔμελεν ὑπερορᾷν ἡμῶν ὁ Θεὸς, ἕως τοὺς κατὰ τὸν θεῖον νόμον ἀναισχυντοῦντας, καὶ τῆς τοῦ Πνεύματος ἀναιδῶς ἐπιφυομένους; τὰ τῶν ἱερῶν κανόνων ἕτερα ξίφη· τὸ δὲ λοιπὸν ἅπαν ἐσωφρόνει τε καὶ Θεοῦ καὶ τῶν θείων νόμων ὑπέρδικον ἦν· καὶ πῶς ἂν εἶχε λόγον; οὐκοῦν οὐδὲ περιεώρα. Ἀλλ' ἦρχον μὲν τοῦ πλείστου τῆς οἰκουμένης οἱ παρ' ἡμῖν ἄρχοντες· τὰ δὲ τῆς Ἐκκλησίας ἦνθει πάνυ σεμνῶς. Εἰ δὲ οὐχ οὕτως, ἆρ' οὖν οὐκ ἐχρῆν τὸν Θεὸν τῶν ἰδίων νόμων ὑπέρδικον γίγνεσθαι· ἀρκοῦσι γὰρ εἰς ὀδύνην καὶ ἄλγος καὶ δάκρυον τοῖς τῶν δεινοτέρων συναισθανομένοις; αἱ παρὰ τῆς ἄνω δίκης αἰκίαι, ἢ τὰς ἀνομίας ἡμῶν ἐν ῥάβδῳ καὶ μάστιξιν ἐπισκέψεται· ἔσθεν καὶ ὡς προεῖπεν, οὕτω καὶ πεπλήρωκεν ἔργῳ, οὕτω καθικομένας ἡμῶν ἐν τάχει καὶ, ὅ φασι, μέχρις ὀστῶν τε καὶ μυελῶν, ὡς εἶναι παράδειγμα δυστυχίας εἰς τὸν βίον τὸ γένος ἡμῶν μετὰ τῶν ἐν αὐτῇ τιμίων ἁπάντων καὶ δακρύων τοῖς πορρωθεν ἐρῶσιν ὑπόθεσιν.

ΤΟΥ ΑΥΤΟΥ ΓΕΝΝΑΔΙΟΥ
ΤΟΥ ΣΧΟΛΑΡΙΟΥ
ΚΑΤΑ ΤΗΣ ΤΩΝ ΛΑΤΙΝΩΝ ΕΝ ΣΑΒΒΑΤΩ ΝΗΣΤΕΙΑΣ.

Καὶ περὶ τοῦ

ΟΤΙ ΟΥ ΔΕΙ ΕΝ Μ' ΤΕΛΕΙΑΝ ΓΕΝΕΣΘΑΙ ΜΥΣΤΑΓΩΓΙΑΝ,

Ὡς ἐκ τῶν θείων κανόνων ἡ ἀπόδειξις πέφυκεν.

ΕΤΙ ΔΕ ΚΑΙ ΠΕΡΙ ΓΑΜΩΝ ΙΕΡΕΩΝ.

—

Ἡ πρὸς τὸν πλησίον ἀγάπη, καθά φησιν ὁ Ἀπόστολος, μακροθυμεῖν ἡμᾶς ἐκπαιδεύει· ἐπεὶ καὶ ἀπεργαζομένη τοὺς ταύτην ἀσπαζομένους χρηστοὺς, οὐ λογίζεσθαί τι κακὸν, ἀλλὰ τῇ δικαιοσύνῃ καὶ ἀληθείᾳ μετὰ τῶν αὐτοῖς ὁμοφρόνων συγχαίροντας δείκνυσι. Τοιγαροῦν οὐ χρὴ τινα φυσιοῦσθαι, καὶ κατὰ τῶν θείων Γραφῶν παροτρύνεσθαι, ἀλλὰ τὰ ὀρθῶς καὶ δικαίως παρά τε τῶν ἀποστόλων καὶ θείων δογματισθέντα Πατέρων κρατεῖν ἀπαρασαλεύτως ὀφείλει. Πολλὰ μὲν θεαρέστως ἡ τῶν Γραικῶν Ἐκκλησία κρατοῦσα, ὡς ἤδη καὶ εἴρηται, ἃ καὶ ἐν ταῖς ἱεραῖς ὑμῶν βίβλοις γέγραπται, ὦ ἄνδρες Λατῖνοι, κἂν καὶ ἀτάκτως φέγωνται παρά τινων τῶν ἐξ ὑμῶν διαβαλλόμενα ὡς ἀπόκρυφα, καὶ ἐν ταῖς Ῥωμαϊκαῖς ὑμῶν βίβλοις, ἃς ἀπὸ Ῥώμης ὁ ῥηθεὶς καρδηνάλις ἐν Κωνσταντινουπόλει κομίζων ἦν, αὐτὸς πολλάκις ἐγκύπτων εὗρον σὺν ἄλλοις ἐκεῖσε τοὺς τῶν θείων ἀποστόλων καὶ Πατέρων κανόνας, οὓσπερ ὑμεῖς ἐν τοῖς νεωστὶ γενομένοις δεκρέτοις ἀποκρύφους σημειοῦσθε, ὡς καὶ ταῦτα ἔγνωμεν· ἀπηγόρευον δὲ μὴ νηστεύειν τοῖς Σάββασιν, εἰ μὴ τῷ ἑνὶ καὶ μόνῳ, μήτε μὴν προσφέρειν τῇ ἁγίᾳ Τεσσαρακοστῇ θεῖον ἄρτον, ἀλλ' ἢ ἐν Σαββάτῳ καὶ Κυριακῇ. Καὶ πρῶτον, ὅτι οὐ χρὴ νηστεύειν τὸ Σάββατον. Κανὼν ἀποστολικός. « Εἴ τις κληρικὸς, ἢ λαϊκὸς εὑρεθῇ, τὴν Κυριακὴν ἡμέραν, ἢ τὸ Σάββατον νηστεύων, πλὴν τοῦ ἑνὸς Σαββάτου, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω, εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω. »

Ὅτι δὲ τῶν ἀποστόλων οἱ πε' οὗτοι κανόνες εἰσὶν, ἔξεστι τοῦτο μαθεῖν ἀπό τε τῶν θείων Πατέρων, καὶ ἀπὸ τῶν οἰκουμενικῶν ἁγίων συνόδων, ὡς τούτοις ἁρμοδίως στοιχούντων, ὧν καὶ τὰ δόγματα περὶ τούτων διαλαμβάνοντα, ἰδοὺ καὶ γράφομεν. Καὶ πρῶτον ὁ θεῖος Βασίλειος, ἔν τινι τῶν αὐτοῦ λόγων, οὗ ἡ ἀρχὴ, « Παρακαλεῖτε, φησὶν, ἱερεῖς, » φανερὸν δείκνυσιν ὅτι οὐ νηστευτέον τοῖς Σάββασι, καί φησιν, « Ἤδη οὖν σαυτὸν ἄξιον παρασκεύασον τῆς σεμνοτάτης νηστείας, μὴ τῇ σημερινῇ μέθῃ τὴν αὐρινὴν διαφθείρῃς ἐγκράτειαν. Κακὸς ὁ λογισμὸς, πονηρὰ ἡ ἐπιθυμία. Ἐπειδὴ πέντε ἡμερῶν νηστεία ἡμῖν προκεκήρυκται, σήμερον ἑαυτοὺς τῇ μέθῃ καταβαπτίσωμεν. Οὐδεὶς γυναῖκα σεμνὴν νόμοις γαμικοῖς ἐπάγεσθαι μέλλων, παλλακίδας καὶ ἑταίρας προλαβὼν εἰσοικίζει· οὐ γὰρ ἀνέχεται ἡ νόμιμος τὴν μετὰ τῶν ἐφθαρμένων συνοίκησιν. » Καὶ ὁ θεῖος Χρυσόστομος ἐν τῇ ια' ὁμιλίᾳ τῆς Ἑξαημέρου

αὐτοῦ οὕτω φησίν· « Τοὺς τὸν δρόμον τῆς νηστείας δεξαμένους καθάπερ σταθμοὺς, καὶ καταγώγια καὶ ἀκτὰς, καὶ αἰγιαλοὺς καὶ λιμένας, τὰς δύο ταύτας τῆς ἑβδομάδος, ὡς Σάββατον καὶ Κυριακὴν βραχύ τι διαναπαύεσθαι κεχάρισται ὁ Δεσπότης, ἵνα καὶ τὸ σῶμα μικρὸν ἀνέντες ἀπὸ τῶν πόνων τῆς νηστείας, καὶ τὴν ψυχὴν παραμυθησάμενοι, πάλιν παρελθουσῶν τῶν δύο τούτων ἡμερῶν, τῆς αὐτῆς ὁδοῦ μετὰ προθυμίας ἅπτωνται οἱ τὴν καλὴν ταύτην καὶ ἐπωφελῆ ὁδοιπορίαν ποιούμενοι. » Καὶ Παυλῖνος ὁ θεῖος· « Ἵνα καὶ ἐκ τῶν μεγάλων καὶ ὑμετέρων ἀνδρῶν ταῦτα παραστήσωμεν, ἄκουσον ἐν τῷ τοῦ μεγάλου Ἀμβροσίου λόγῳ, ὃν αὐτὸς συνετάξατο, τί φησιν. Ἦν ὁ σεβασμιώτατος ἐπίσκοπος Ἀμβρόσιος πάσης ἐγκρατείας πλήρης, ἠγρύπνει τε πολλὰ, καὶ ἐπόνει τῇ τε καθημερινῇ νηστείᾳ τὸ σῶμα ἐκτετηκὼς εἰ μὴ τῷ Σαββάτῳ καὶ τῇ Κυριακῇ, καὶ ὅτε περιφανῶν μαρτύρων ἦν γενέθλιον. Ἀλλὰ καί τις ἄλλος μείζων, νηστείᾳ καὶ ἐγκρατείᾳ καὶ πάσῃ ἀρετῇ κεκοσμημένος, τῶν νῦν ἢ τῶν τότε τοῦ θείου τούτου ἀνδρός;

Ἡ δὲ σύνοδος ἡ ἐν τῷ Τρούλλῳ τοῦ βασιλικοῦ παλατίου, καὶ μάλιστα αἰτιωμένη τοὺς τοῦτο κατὰ τῶν θείων κανόνων ποιοῦντας ἐν ᾧ κεφαλαίῳ, « Ἐπειδὴ μεμαθήκαμεν, φησὶ, τοὺς ἐν τῇ Ῥωμαίων πόλει ἐν ταῖς ἀγιωτάταις τῆς Τεσσαρακοστῆς νηστείαις τοῖς ταύτης Σάββασι νηστεύειν παρὰ τὴν δοθεῖσαν ἐκκλησιαστικὴν ἀκολουθίαν, ἔδοξε τῇ ἁγίᾳ συνόδῳ, ὥστε κρατεῖν καὶ ἐπὶ τῆ τῶν Ῥωμαίων Ἐκκλησίᾳ ἀπαρασάλευτον τὸν κανόνα τὸν λέγοντα, Εἴ τις κληρικὸς εὑρεθῇ τὴν ἁγίαν Κυριακὴν νηστεύων, ἢ τὸ Σάββατον πλὴν τοῦ ἑνός. Οὗτος ἀποστολικὸς ὁ βεβαιωθεὶς παρὰ τῆς συνόδου.

Ἀλλ', ὦ Λατῖνοι, γίνεσθε ὑμεῖς κριταὶ, καὶ εἴπατε τίσι πειθῆναι δίκαιον, τοῖς θείοις καὶ ἱεροῖς ἐκείνοις ἀνδράσιν, ἢ ἑτέροις τισίν; Οἶδα ὅτι φήσουσιν, ὅτι πάντα τὸν καιρὸν ἡ νηστεία καλόν. Σύμφημι, ἀλλὰ τὸ καλὸν, ὅταν μὴ καλῶς γίνηται, οὐκ ἔστι καλόν. Ἴσως προστάττει τῇ Ῥωμαίων Ἐκκλησίᾳ ἡ σύνοδος αὕτη· Πείθεσθε τὸν κανόνα τοῦτον, καὶ κρατεῖτε αὐτὸν ἀπαρασάλευτον. Μακάριοι τοίνυν οἱ κρατοῦντες τὰ ἐκείνων δόγματα, ἀνάξιοι δὲ πάλιν οἱ παραβαίνοντες. Ἀλλὰ τοῦτο, φασὶ, οὐ κυρίως παράβασις, πρόσθεσις γὰρ καλοῦ. Ὁ γὰρ μὴ ἐσθίων, φησὶν ὁ ἀπόστολος, Κυρίῳ οὐκ ἐσθίει καὶ εὐχαριστεῖ τῷ Θεῷ. Ναὶ πάντως. Ἀλλὰ καὶ ὁ μὴ ἐσθίων, ἔφη, Κυρίῳ οὐκ ἐσθίει, καὶ εὐχαριστεῖ τῷ Θεῷ. Ὥστε λοιπὸν ἐγὼ ἐσθίων Κυρίῳ ἐσθίω καὶ εὐχαριστῶ τῷ Θεῷ, φυλάττων καὶ τῶν θείων ἀποστόλων καὶ Πατέρων τὰ δόγματα. Σὺ δ', ὦ Λατῖνε, νηστεύων μηκέτι καλῶς, τῷ ἐπιτιμίῳ τῶν κανόνων ὑπάκεισαι. Εἰ δὲ ἐρεῖτε, Καὶ ὑμεῖς, οἱ Γραικοὶ, διατὶ τὸ Σάββατον ὅπερ μέγα φατὲ νηστεύετε; λέγομεν αὐτίκα, ὅτι ἐν τῷ α' βιβλίῳ τῶν ἀποστολικῶν Διατάξεων, τῶν ὑπὸ Κλήμεντος πάπα Ῥώμης γραφεισῶν, ἐν ᾧ *περὶ μαρτύρων* ἐπιγέγραπται, ταῦτά φασιν οἱ ἀπόστολοι· *Τετράδα καὶ παρασκευὴν προσέταξεν ἡμῖν νηστεύειν ὁ Κύριος, τὴν μὲν διὰ τὴν πρόδοσιν, τὴν δὲ διὰ τὴν σταύρωσιν καὶ τὸ πάθος.*

A *Αὐτὸ δὲ νηστεῦσαι τὸ Σάββατον παρέδωκεν, οὐχ ὅτι δεῖ τὸ Σάββατον νηστεύειν, κατάπαυσις δημιουργίας ὑπάρχον, ἀλλ' ὅτι ἐκεῖνο μόνον χρὴ νηστεύειν, τοῦ Δημιουργοῦ ἔτι ὑπὸ γῆν ὄντος.* Ὅτι δὲ ὁ προδηλωθεὶς κανὼν τῶν ἀποστόλων ἐστὶν, δῆλον ἔκ τε τῆς ς' συνόδου, καὶ ἀπὸ τῶν ὑμετέρων ἐστὶ τοῦτο δεικτικῶν. Τίνες δὲ οὗτοι; Ἱερώνυμος ὁ σοφὸς ὑμῶν, καὶ ὁ θεῖος Αὐγουστῖνος, οἵτινες οὐ Σαββάτον νηστεῦσαι προεῖχοντο, ἀλλὰ Τετράδα καὶ Παρασκευὴν, κατὰ τὴν τῶν ἀποστόλων παράδοσιν. Καὶ τοῦ μὲν θείου Ἱερωνύμου λέγει· « Τετράδα οὖν καὶ Παρασκευὴν χωρὶς μεγάλης ἀνάγκης οὐκ ὀφείλει λυθῆναι νηστείαν· ὅτι τῇ δ' ὁ Ἰούδας τῇ τοῦ Κυρίου προδοσίᾳ συνέθετο, καὶ τῇ Παρασκευῇ ἐσταυρώθη ὁ Κύριος· » ὁ δὲ Αὐγουστῖνος, « Παρα-
B δεδομένον κρατοῦμεν, φησὶν, ἀπὸ τῶν Πατέρων, ἵνα τὴν Τετάρτην καὶ τὴν Παρασκευὴν ἀπὸ βρώσεως κρεῶν ἀπεχώμεθα. Διότι ἐν τῇ Τετάρτῃ ἡμέρᾳ ὁ Ἰούδας τὸν Κύριον πέπρακε, καὶ τῇ αὐτῇ ἡμέρᾳ παρ' Ἰουδαίοις τὴν τιμὴν ἔλαβε. Τῇ δὲ Παρασκευῇ οἱ Ἰουδαῖοι ἐν τῷ σταυρῷ τὸν Κύριον ἔθεντο. » Ἀλλὰ καὶ μακάριος Βενέδικτος ἐν τοῖς τῆς μοναχικῆς καταστάσεως κανόσιν αὐτοῦ, καὶ μάλιστα ἐν μα' κανόνι ῥητῶς λέγει· « Τετάρτην καὶ Παρασκευὴν νηστεύσουσιν ἕως ἐννάτης· τὰς δὲ λοιπὰς ἡμέρας ἐν ὥρα ς' ἀριστάτωσαν οἱ ἀδελφοί. » Ὁρᾷς ὅτι ὁμοφωνοῦσιν οὗτοι τοῖς τῶν ἀποστόλων κανόσιν, καὶ οὐδὲν Σάββατον πλὴν τὰς δύο φασὶν ἡμέρας νηστεῦσαι παρελάβομεν. Τίς λοιπὸν ὁ τοῦτο ὑπὲρ τοὺς ἀποστόλους, ὑπὲρ τοὺς κοινοὺς Πατέρας φανεὶς, ἵνα
C νηστεύσητε τὸ Σάββατον ἐδογμάτισεν; Ἀλλὰ περὶ τούτου ἀρκεῖ τοσαῦτα.

Περὶ τοῦ μὴ δεῖν ἐν τῇ Τεσσαρακοστῇ λειτουργεῖν καθημέραν.

Ποῦ παρελάβετε τελείαν θυσίαν ἐν ταῖς ἁγίαις τῶν νηστειῶν ἡμέραις καθ' ἑκάστην ποιεῖν, πλὴν Σαββάτῳ καὶ Κυριακῇ; *Λατῖνος.* Μὴ οὐκ ἔστι καλόν; καὶ μάλιστα ἐν τῇ ἁγίᾳ Τεσσαρακοστῇ, ὅτε καὶ μᾶλλον κατανενυγμένοι ἐσμέν; *Γραικός.* Οὐ πάντως καλὸν τὸ καλόν. Τί γὰρ τιμιώτερον τοῦ παναγίου σώματος τοῦ Χριστοῦ; Ἀλλὰ τὸ καθεκάστην εὐχαριστίας κοινωνίαν λαβεῖν, φησὶν ὁ ὑμῶν Αὐγουστῖνος, οὔτε ἐπαινῶ, οὔτε ψέγω. Οὐκ ἐπαινῶ γὰρ τὸν ἁπλῶς καὶ παρὰ κανόνα τὰ θεῖα τελοῦντα. Αἱ γὰρ τῆς ἁγίας
D Τεσσαρακοστῆς ἡμέραι πένθους καὶ κατανύξεώς εἰσι καὶ νεκρώσεως τῶν σωμάτων ἡμῶν, ἵνα σύμφυτοι γενόμενοι τῷ ὁμοιώματι τοῦ θανάτου τοῦ Χριστοῦ, καὶ τῆς ἀναστάσεως ἐσόμεθα, οὐ χαρᾶς δὲ ἀναστασίμου τῆς ἐν τῇ θείᾳ λειτουργίᾳ τελείως τελουμένης. Πλὴν εἰ καὶ βούλεσθε εὐχαριστίας καθεκάστην μετέχειν, ἔξεστιν ὑμῖν χρῆσθαι προηγιασμένῃ ἐν ταῖς τῆς Τεσσαρακονθημέρου, ὥσπερ τῇ ἁγίᾳ καὶ μεγάλῃ ποιεῖτε Παρασκευῇ, καὶ μὴ κατὰ τῶν συνόδων ποιεῖν, αἵτινες τοῦτο κωλύουσιν. Οἱ γὰρ τῆς ἐν Λαοδικείᾳ συνόδου Πατέρες ἐν κεφαλαίῳ να', ὅτι οὐ δεῖ ἐν τῇ Τεσσαρακοστῇ μαρτύρων γενέθλιον ἐπιτελεῖν, ἀλλὰ τῶν ἁγίων μαρτύρων μνείαν ποιεῖν ἐν τοῖς Σάββασι καὶ ταῖς Κυριακαῖς· καὶ πάλιν ὅτι οὐ δεῖ ἐν τῇ μ' ἄρτον προσφέρειν, εἰ μὴ ἐν Σαββάτῳ

καὶ Κυριακῇ μόνον. Ἀλλὰ καὶ ἐν τῇ συνόδῳ τῇ οἰκουμενικῇ ἐν νεφαλαίῳ νγ' ἐν πάσαις ταῖς τῆς ἁγίας Τεσσαρακοστῆς τῶν νηστειῶν ἡμέραις παρεκτὸς Σαββάτου καὶ Κυριακῆς, καὶ τῆς ἁγίας τοῦ Εὐαγγελισμοῦ ἡμέρας, γινέσθω ἡ τῶν προηγιασμένων ἱερὰ λειτουργία.

Οὕτω τοίνυν καὶ παραλαβόντες ἡμεῖς, Σάββατον λειτουργοῦμεν καὶ Κυριακὴν κατὰ τὴν γ' ὥραν τῆς ἡμέρας, ὅτε εἰς τοὺς θείους ἀποστόλους κατῆλθε τὸ Πνεῦμα τὸ ἅγιον· διὸ καὶ προσκομίζοντες ἐν αὐταῖς, ἁγιάζομεν τὰ δῶρα, ἐξ ὧν ἀρκούντως ἔχομεν τῇ ἑβδομάδι ὅλῃ· καὶ ἐν τῷ Θεῷ συμπεράναντες πᾶσαν ὑμνολογίαν ἐν τῷ πληρώματι τοῦ λυχνικοῦ, εἰπόντες· τὰ; τετυπωμένας τοῦ μεγάλου Βασιλείου εὐχὰς, ὑφοῦμεν τὰ Ἅγια λέγοντες· *Τὰ προηγιασμένα ἅγια τοῖς ἁγίοις*· καὶ οὕτω τελεῖται ἡ τάξις τῶν θείων ἱεροτελετῶν, φυλαττομένων καὶ τῶν ἀποστολικῶν διατάξεων, καὶ τῶν ἱερῶν κανόνων τῶν ἁγίων συνόδων, μηδὲν ἀπῷδον τῇ Ἐκκλησίᾳ προσφέροντες.

Περὶ τοῦ γάμου τῶν ἱερέων.

Πλὴν οὐδὲν θαυμαστὸν, εἰ μετατίθεσθε ἀπὸ τῶν τῆς Ἐκκλησίας ὀρθῶν δογμάτων, καὶ πειρᾶσθε ἐπιθεῖναι ζυγὸν ἐπί τε τὸν τράχηλον τοῦ καλοῦ ταύτης πληρώματος, τὸν τῆς παραβάσεως, ὃν οὔτε οἱ Πατέρες ὑμῶν καὶ ἡμῶν, οἷς ὁ καρδιογνώστης Θεὸς ἐμαρτύρησεν αὐτοῖς δοὺς αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, βαστάσαι οὐκ ἰσχυσαν· οἷόν ἐστι τὸ ὑστερῆσαι τοὺς τοῦ ἱερατικοῦ καταλόγου, τοῦ τιμίου γάμου, καὶ τῆς ἀμιάντου κοίτης, ὃν καὶ ὁ μακάριος Παῦλος, καὶ πάντες οἱ θεῖοι ἀπόστολοι ἐνομοθέτησαν, οἱ δὲ θεῖοι Πατέρες ἐν ταῖς συνόδοις ἐκύρωσαν. Ἐξ ὧν καὶ οἷς τὰ μὲν προσεθήκατε, τὰ δὲ ἀφαιρεῖτε, μὴ δεδιότες τὸ ἐπιτίμιον ἐκείνων.

Οὐκ οἴδαμεν δὲ πόθεν τοῦτο ποιεῖν ἀνέχεσθε. Τοῦ μὲν γὰρ γάμου κωλύοντος τοὺς ἱερεῖς ἐπεισάκτοις συνεῖναι, τοῦ τρίτου κανόνος τῆς ἐν Νικαίᾳ συνόδου τοῦτο κωλύοντος, « ἐπείσακτον, λέγοντος, μηδεὶς ἐχέτω, εἰ μὴ εἴη μήτηρ ἢ ἀδελφὴ· καὶ τῶν προσώπων, ὧν πᾶσα ὑποψία ἀποδιδράσκεται· » καὶ ταῦτα μὲν εἰσδέχεσθε παρανόμως γινόμενα, τὰ δὲ δίκαια; νομοθετηθέντα βδελυκτία παρ' ὑμῶν λογίζεται. Τίνα δὲ ταῦτα ἀκούσατε.

Ἐπίσκοπος, φασὶν οἱ θεῖοι ἀπόστολοι ἐν τῷ ε' κανόνι αὐτῶν, *ἢ πρεσβύτερος ἢ διάκονος τὴν ἑαυτοῦ γυναῖκα μὴ ἐκβαλλέτω προφάσει εὐλαβείας· ἐὰν δὲ ἐκβάλλοι, ἀφοριζέσθω· ἐπιμένων δὲ καθαιρείσθω.* Ὁποία δὲ ὀφείλει εἶναι ἡ τῶν ἱερωμένων σύζυγος, ἐν ιη' κανόνι πάλιν οἱ αὐτοὶ διατάσσονται λέγοντες, *Ὁ χήραν λαβὼν, ἢ ἐκβεβλημένην, ἢ ἑταῖραν, ἢ οἰκέτιν, ἢ τῶν ἐπὶ σκηνῆς, οὐ δύναται εἶναι ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ.* Οὐρβανὸς δὲ ὁ τῆς Ῥώμης ἐπίσκοπος, Βίβωνι τῷ Τουλλίας ἐπισκόπῳ γράφων οὕτω φησὶν, « Διγάμους καὶ χηρῶν ἄνδρας ἀπὸ τῶν ἱερῶν βαθμῶν κατὰ τὴν κοινὴν τῆς Ἐκκλησίας συνήθειαν τῇ ἐξουσίᾳ τοῦ ἡμετέρου ὀφφικίου ἀφορίζομεν. » Ἀλλὰ καὶ ὁ θεῖος Ἀπόστολος, Τιμοθέῳ γράφων οὕτω φησὶν· *Εἴ τις ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ. Δεῖ οὖν τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, μιᾶς γυναικὸς ἄνδρα.* Καὶ πάλιν· *Διάκονοι ἔστωσαν μιᾶς γυναικὸς ἄνδρες, τέκνων καλῶς προϊστάμενοι καὶ τῶν ἰδίων οἴκων.* Τίτῳ δὲ πάλιν, *Τούτου χάριν, φησὶ, κατέλιπόν σε ἐν Κρήτῃ; ἵνα τὰ λείποντα ἐπιδιορθώσῃς, καὶ κατὰ πόλεις καταστήσῃς πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην, εἴ τίς ἐστιν ἀνέγκλητος, μιᾶς γυναικὸς ἀνὴρ, τέκνα ἔχων πιστά.*

Ἀλλ' ἴσως ἐρεῖτε, ὅτι τὴν Ἐκκλησίαν λέγουσιν οἱ ἀπόστολοι. Οὐκ ἔστι δὲ οὕτως· εἰ δὲ μή γε, οὐκ ἂν εἶπον, *Εἴ τις ἐκβάλλῃ τὴν ἑαυτοῦ γυναῖκα προφάσει εὐλαβείας*, τουτέστι τὴν σύνευνον. Κατὰ δὲ τὴν ἕκτην σύνοδον, τί ἐρεῖτε, λεγούσης, « Οὕτως ἐν τῇ Ῥωμαίων Ἐκκλησίᾳ ἐν τάξει κανόνος παραδιδόσθαι διέγνωμεν, τοὺς μέλλοντας διακόνους ἢ πρεσβυτέρους τῆς Ἐκκλησίας ἀξιοῦσθαι χειροτονίας, καθομολογεῖν ὡς οὐκ ἔτι ταῖς ἑαυτῶν συνάπτονται γυναιξίν; Ἡμεῖς τῷ ἀρχαίῳ ἀκολουθοῦντες κανόνι τῆς ἀποστολικῆς ἀκριβείας καὶ τάξεως, τὰ τῶν ἱερατικῶν ἀνδρῶν κατὰ νόμους συνοικέσια, καὶ ἀπὸ τοῦ νῦν ἐῤῥῶσθαι βουλόμεθα, μηδαμῶς αὐτῶν τὴν πρὸς τὰς γαμετὰς συνάφειαν διαλύοντες, ἢ ἀποστερεῖν αὐτοὺς τῆς πρὸς ἀλλήλους κατὰ καιρὸν τὸν προσήκοντα ὁμιλίας. » Καὶ μετ' ὀλίγα· « Εἴ τις οὖν τολμήσῃ παρὰ τοὺς ἀποστολικοὺς κανόνας κινούμενος, τινὰ τῶν ἱερωμένων πρεσβυτέρων φαμὲν, ἢ διακόνων, ἀποστερεῖν τὴν πρὸς τὴν νόμιμον γυναῖκα συνάφειαν καὶ κοινωνίαν, καθαιρείσθω. Ὡσαύτως καὶ εἴ τις πρεσβύτερος ἢ διάκονος τὴν ἑαυτοῦ γυναῖκα προφάσει εὐλαβείας ἐκβάλλῃ ἀφοριζέσθω, ἐπιμένων δὲ καθαιρείσθω. » Τί δὲ πρὸς ταῦτά φατε; Πῶς τὰ τῶν Πατέρων ὅρια μεταθεῖναι τολμᾶτε; μηδὲν τὸν τοῦ ἐπιτιμίου κίνδυνον ὑφορώμενοι. Ἀλλὰ καὶ ἡ ἐν Γάγγραις σύνοδος, « Εἴ τις διακρίνει, φησὶ, παρὰ πρεσβυτέρου γεγαμηκότος, ὡς μὴ χρῆναι λειτουργήσαντος αὐτοῦ, μεταλαμβάνειν προσφορᾶς, ἀνάθεμα ἔστω. » Ὁ δὲ ἅγιος Αὐγουστῖνος αὐθις, « Προστάττομεν, φησὶ, μηδέ τις ἀθέσμους χειροτονίας ποιήσῃ, μὴ δίγαμον, ἢ τὸν μὴ παρθένον μνηστευθέντα, ἢ ἀγράμματον. »

Οὐκ οἴδατε δὲ καὶ τοῦτο, ὅτι πολλοὶ τῶν διαπρεψάντων ἐν τῷ θρόνῳ τῆς Ῥώμης ἐκ γάμων ἱερέων τὴν γένεσιν ἔσχον; Φῆλιξ γὰρ ὁ ὁσιώτατος πάππας, τῇ γενέσει Ῥωμαῖος ὑπάρχων, ἐκ πατρὸς Φήλικος ἱερέως ἦν. Ἀγαπητὸς δὲ τῇ γενέσει Ῥωμαῖος, ἐκ πατρὸς Γορδιανοῦ πρεσβυτέρου τὴν πηγὴν ἔσχε. Γελάσιος αὖθις τῇ γενέσει Ἀφρικανὸς, ἐκ πατρὸς Βαλερίου ἐπισκόπου ἐγεννήθη. Ὡς πλεῖστοι μάλιστα ἕτεροι εὑρηνται, οἵτινες ἐξ ἱερέως γεννηθέντες, τῷ ἀποστολικῷ θρόνῳ διέπρεψαν. Προσδέψατε τοίνυν ἃ δεῖ, Λατῖνοι, καὶ τοῦ δικαίου ἀντέχεσθε. Τὰ ἀρχαῖα δὲ ἔθη κρατείτω, ὡς αἱ σύνοδοι διωρίσαντο δογματίσασαι. Βλέπετε μήπως τὸ τοῦ Παύλου ῥητὸν, ὃ πρὸς Τιμόθεον γράφει, ἐν ὑμῖν πληρωθῇ· μάλιστα δὲ τοῦ Πνεύματος τοῦ ἁγίου οὕτως λέγοντος, ὅτι *Ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασι πλάνης*

καὶ διδασκαλίαις δαιμόνων ἐν ὑποκρίσει ψευδολόγων κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν κωλυόντων γαμεῖν, καὶ τὰ λοιπά. Ἐπιμείνωμεν τοίνυν τοῖς λόγοις τῆς πίστεως, καὶ τῇ καλῇ διδασκαλίᾳ τῶν ἀποστόλων, ἣν παρηκολουθήκαμεν ἐξ ἀρχῆς, καὶ ἡμεῖς καὶ οἱ ἐν ταῖς συνόδοις Πατέρες ἡμῶν. Πιστὸς γὰρ ὁ λόγος ἐκείνων καὶ πάσης ἀποδοχῆς ἄξιος. Εἰς τοῦτο γὰρ καὶ κοπιᾷν ὀφείλομεν, καὶ τὰ ἐκείνων ἐκτελεῖν δόγματα, μηδὲν τῶν παρ' ἐκείνων δογματισθέντων ἀφαιροῦντες· θέσπισμα γὰρ τοῦτο τξζ' Πατέρων, τῶν ἐν Νικαίᾳ συναχθέντων τὸ δεύτερον, ἧς καὶ Ἀδριανὸς ὁ Ῥώμης ἡγεῖτο διὰ Πέτρου πρεσβυτέρου καὶ ἡγουμένου τοῦ ἁγίου Σάββα, ἐν ᾗ καὶ ἐν τῷ πρώτῳ αὐτῶν κανόνι οὕτω φασί· « Τοὺς θείους μὲν κανόνας ἀσπασίως ἐνστερνιζόμεθα τῶν τε ἁγίων ἀποστόλων καὶ τῶν ἓξ οἰκουμενικῶν συνόδων, καὶ τῶν τοπικῶν, πρὸς δὲ καὶ τῶν ἁγίων Πατέρων ἡμῶν ὡς ἐξ ἑνὸς καὶ τοῦ αὐτοῦ ἁγίου Πνεύματος ἐμπνευσθέντων· καὶ οὓς ἀνεθεμάτισαν, ἀναθεματίζομεν. » Καὶ μετ' ὀλίγα· « Μηδέν τι προστιθέντες, ἢ ἀφαιροῦντες παρὰ τῶν ἁγίων ἀποστόλων, καὶ τῶν θεοφόρων Πατέρων ἐκτεθέντων καὶ ὁρισθέντων. »

Ποίῳ δὲ κλοιῷ ὑπόκειται ἀφορισμοῦ ὁ προστιθέναι πειρώμενος, ἢ ἀφαιρεῖν τῶν παρ' ἐκείνων ἐκτεθέντων, αὐτοὶ ὑμεῖς εἴπατε, καὶ γίνεσθε πάντων τούτων κριταί, τὰ κρείττονα καὶ σωτηρίας ἐχόμενα ἀσπασάμενοι. Εἰ δ' οὐ βούλοισθε κρῖναι ταῦτα, ὁ ἐπὶ πάντων Θεὸς διὰ Παύλου μάλιστα λέγει· *Ἔσται γὰρ καιρὸς ὅτε τῆς ὑγιαινούσης πί-* στεως *καὶ διδασκαλίας οὐκ ἀνέξονται, ἀλλὰ κατὰ τὰς ἰδίας ἐπιθυμίας ἐπισωρεύσουσιν ἑαυτοῖς διδασκάλους, κνηθόμενοι τὴν ἀκοήν· καὶ ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκοὴν ἀποστρέψουσιν.* Ἀλλὰ μὴ ἡμῖν γένοιτο ἑτέρᾳ διδασκαλίᾳ ἐγκύψαι, ἀλλ' ἢ τῇ τῶν ὀρθοδόξων ἁγίων Πατέρων ἐν Χριστῷ Ἰησοῦ.

Περὶ γενείων.

Ἐκ τῆς πρώτης βίβλου τῶν ἀποστολικῶν Διατάξεων, κεφαλαίου γ' ἀπαγορεύοντος, « Οὐ χρὴ, φησὶ, τοὺς πιστοὺς γενείου τρίχας διαφθείρειν, καὶ τὴν μορφὴν τοῦ ἀνθρώπου παρὰ φύσιν ἐξαλλάσσειν. Οὐκ ἀπομαδαρώσει γὰρ, φησὶν ὁ νόμος, τοὺς πώγωνας ὑμῶν· τοῦτο γὰρ γυναιξὶν εὐπρεπές. Ὁ κτίσας ἐποίησε Θεὸς, ἀνδράσι τε ἀνάρμοστον ἐδικαίωσε. » Σὺ δὲ ταῦτα ποιῶν δι' ἀρέσκειαν, ἐναντιούμενος τῷ νόμῳ, βδελυκτὸς γενήσῃ παρὰ Θεῷ τῷ κτίσαντί σε κατ' εἰκόνα ἑαυτοῦ. Ἐὰν οὖν θέλῃς Θεῷ ἀρέσκειν, ἀπόσχου πάντων ὧν αὐτὸς μισεῖ. Εἰ δὲ λέγεις ὅτι ἡ Ἐκκλησία τῆς Ῥώμης τοῦτο παρέλαβεν, ἐπειδὴ ὅπερ οἱ ἀσεβεῖς εἰς ὕβριν τοῦ ἀποστόλου Πέτρου ἐποίουν, τὸν ἐκείνου τιλλοντες πώγωνα, τοῦτο ἡμεῖς; εἰς τιμὴν ἐκείνου πράττομεν, οἵπερ καὶ τὸ κείρεσθαι κυκλικῶς τὴν τῶν ἱερέων κεφαλήν. Ἀλλὰ τοῦτο τὸν ἀκάνθινον στέφανον παρελάβομεν πάντως, καὶ ὅτι τὸ μὴ τρέφειν τρίχας τοὺς ἄῤῥενας παράγγελμα ἔκ τε παλαιᾶς καὶ νέας ἐστὶ Γραφῆς, ὥσπερ τοὺς ξυρᾶσθαι τὸν πώγωνα. Τίς δὲ ὁ οὕτως κατὰ τῆς ἀποστόλου παραδόσεως δογματίσας, εἰ καὶ ἄνευ συνόδου, οἴδαμεν, τὸ διατί οὐ λέγομεν.

ΣΧΟΛΑΡΙΟΥ

ΤΟΥ ΥΣΤΕΡΟΝ

ΓΕΝΝΑΔΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΜΑΡΚΟΝ

ΕΦΕΣΟΥ ΜΗΤΡΟΠΟΛΙΤΗΝ (*).

Librum suum mittit quem pro Aristotele scripserat (a).

Πέμπω σοι (1) τὸ βιβλίον ὅ μοι νῦν ὑπὲρ Ἀριστοτέλους συγγέγραπται. Καὶ τὴν μὲν τοῦ συννοά- φειν αἰτίαν ἀκούσῃ λέγοντος τοῦ βιβλίου· ἧς ἐξέστι μὲν τοῖς βουλομένοις κατηγορεῖν· ἐμὲ δὲ καὶ πάνυ

(*) Ex codice manuscripto bibliothecæ Parisiensis, nº 1289, fol. 12.

(a) Hujus libri partem priorem edidit Minoides Minas Parisiis anno 1858, partem alteram, quam penes se habebat, mox luce etiam donaturus ; at eo interim morte prævento spes de hac editione concepta evanuit. Omnia ab eo collecta anecdota monumenta ejus hæredes apud bibliothecæ imperialis administratores egerunt ut pretio redimerentur. Res hucusque nondum peracta videtur ; nam Minoidæ codices, sub sigillo asservati, cum publico non communicantur. Cum igitur partem priorem libri Gennadiani, sine spe alterius mox potiundi, typis tradere non sit rationi consentaneum, ab utraque parte edenda, nunc quidem, supersedere cogimur. Ea tantum fragmenta exhibemus quæ in responsione sua Pletho ipse sibi refutanda proponit, quam responsionem vide infra in *Plethone*. EDIT.

ταύτης ἕδει φροντίζειν. Οὔτε δὴ σοφίας ἐπίδειξις ἦν· οὐ γὰρ ἐρῶ ταύτης οὐδένα καιρὸν, εἰ μὴ μέλλοι τις παίζειν μετὰ παιδαρίων καὶ παρ' ἀκροαταῖς οὐδὲν αὐτῶν διαφέρουσιν, σοῦ τὰ σαυτοῦ μόνον καὶ τὰ τοῦ Θεοῦ πράττοντος, καὶ τῶν ἡμετέρων παιγνίων πάλαι κατεγνωκότος. Οὔτε τὸν σοφὸν ἐκεῖνον ἐβουλήθην κολούειν· ἐμοὶ γὰρ οὐδεὶς ποτε τῶν ἀγαθῶν ἐγγέγονε φθόνος· ἀλλὰ μέμφομαι μὲν ἐμαυτῷ, ἐπειδὰν αἰσθάνωμαι πολλαχῆ τοῦ πρέποντος ἁμαρτάνων· ἀλγῶ δὲ λίαν ὑπὲρ τῆς τῶν ὁμοίων ἀδελτηρίας· οἷς δ' ἂν ἀρετήν τινα συνειδῶ, χαίρω, Θεὸς οἶδεν, ὡς αὐτὸς ἂν καὶ ταύτῃ οἰκοδομούμενος. Οὐδὲ τῷ Γεμιστῷ τοίνυν ἠνώχλησ' ἄν ποτε, μὴ τοῦ συνειδότος ἔνδοθεν ἐρεθίζοντος. Οἶσθα δ' ὅπως περί γε τὰ τοιαῦτα χρὴ διακεῖσθαι, εἰ μὴ τὴν Ἀναξαγόρου μέλλοιμεν ὑφίστασθαι σύγχυσιν. Καίτοι τινὲς αὐτὸν μὲν εὐσεβεῖν φασιν ἐν τῇ περὶ τοῦ Θεοῦ δόξῃ, καὶ μήτε διδάσκειν μήτε συγγράφειν νομοθεσίαν τινὰ καινοτέραν, ἐν ᾗ τὰ ἡμέτερα διασύρεται, ἀλλ' ἡμᾶς ὑπὸ βασκανίας αὐτῷ τοιαύτην φήμην ἐγείρειν· οὓς ὁ χρόνος ἐλέγξει λίαν ἀπατωμένους. Ἄλλως δὲ χρήσιμος ὁ ἀνὴρ, καὶ τῇ μὲν εὐγενεστάτῃ τῷ γένει ἡμῶν φωνῇ οὐδενὸς ἂν ἡττηθείη, ἧς καὶ Κικέρωνα καὶ πολλοὺς ἄλλους ἐκ τῆς ὑπερορίας ἴσμεν Ἀθήνῃσιν ἐπιμεληθέντας· καίτοι, τῆς ἐγχωρίου Μούσης ἐμπεπλησμένοι, πάνυ τι καλὸν ἄδειν ἠπίσταντο. Πολλὰ δὲ τῆς ἄλλης σοφίας ἔχει συνειλοχώς. Ἠθῶν δὲ ἕνεκα κἂν γένοιτο τοῖς νεωτέροις παράδειγμα, οἷς ἀρετῆς τι μέλει γνησίως. Οἶσθα τὸν ἄνδρα πλέον ἐμοῦ. Διὰ ταῦτα τοίνυν ἀπεσχόμην ἂν αὐτοῦ καὶ ὧν κατ' Ἀριστοτέλους συγγέγραφεν. Ἄλλως τε οὐδὲ σφόδρα ἐπαινετόν ἐστι τοὺς ἑκάστου χυλοὺς ἐλέγχειν· ἀλλὰ δεῖ μᾶλλον ἀποδεικνύειν τὰ ἀληθῆ· καὶ τοῖς ἐπιδείκνυσθαι βουλομένοις ἡ φιλοσοφία μυρίας ὕλας προβάλλεται, ἐν αἷς ἔστιν εὐδοκιμεῖν μετὰ τοῦ μηδενὶ προσκρούειν τῶν φίλων. Ἐγὼ δὲ ἑκών ποτε λυπεῖν οὐδένα προῄρημαι. Εἰ δὲ διαλεκτικῆς μεθόδου ἥκιστα πάντων αὐτῷ μέτεστιν, ὃ δὴ καὶ τῆς πλάνης αἴτιον αὐτῷ καὶ πολλοῖς ἄλλοις ἐγένετο, ἀλλὰ τούτων ἐκ πολλοῦ χρόνου σπάνις ἐν ταῖς τῇδε διατριβαῖς γενομένη καὶ ἄγνοια, οὐκ αὐτοῦ μᾶλλον ἢ κοινόν ἐστι τοῦ γένους ὀρρώστημα. Διὸ καὶ πρὸς τὴν θήραν τῆς ἀληθείας ἄνευ τοῦ μόνου πρὸς αὐτὴν ὀργάνου χωροῦντες, ἀγνοίας μεστοὶ καὶ πλάνης εἰκότως ἀναχωροῦσιν. Ἀλλ' ἔλαθον ἐμαυτὸν, πρὸς ὃν οὐ χρή, παραιτούμενος. Τίς γάρ σου βέλτιον τὴν ἐμὴν οἶδε προαίρεσιν; Οἶμαι δὲ τοὺς ἐμοὺς γονέας, οἳ μοι πάντες συνῆδεσαν, διδαχθῆναι ἂν αὐτὴν ποτε παρὰ σοῦ. Ὡς γὰρ ἐκεῖνοι τῇ φύσει, οὕτως αὐτά μοι λόγων τε καὶ ἠθῶν τὰ σπέρματα κατεβάλου. Κἀκεῖνοι μὲν ἅπαξ, σὺ δὲ πολὺν ἡμᾶς ἐργάσῃ τὸν χρόνον· ὥστ' ἐπιγινώσκοις ἂν τὰ σαυτοῦ, τὰς ἐν ἡμῖν εἰκόνας τούτων γινώσκων. Διὰ τοῦτ' ἄρα παραιτεῖσθαι δεῖ μᾶλλον, ὅ τι παραιτεῖσθαι προσέχρην. Τούτου δὴ τοῦ βιβλίου πολλοὶ μὲν ἥσθοντο τῶν παρ' ἡμῖν γινομένων· ἡ δὲ φήμη καὶ πρὸς τοὺς πόρρω φίλους ἐξέδραμεν, οἳ τοῖς ἡμετέροις ἀεὶ χαίρουσι λόγοις, ἐνταῦθα δὴ βελτίους ἢ πρόσθεν ἡμᾶς εὑρήσειν ἐλπίζουσιν, ὡς οὐκ ἀγεννοῦς ὑποθέσεως ἀρξαμένους· καὶ διὰ τοῦτο πέμπεσθαι σφίσιν ἀπαιτοῦσιν ἐγκείμενοι. Ἐγὼ δὲ δεῖν ἡγησάμην τῷ κανόνι τῆς σῆς τέχνης πρότερον προσαχθὲν, οὕτω τοῖς ἄλλοις ἅπασι φαίνεσθαι. Εἰ γὰρ καὶ πολλοί τινες ἦσαν ἡμῖν ὁμοίως σοι τὰ τοιαῦτα δυνάμενοι, σοὶ πρὸ πάντων προσάγειν ἐχρῆν, εὐνοίας τε εἵνεκα καὶ ἧς εἶπον συγγενείας τῶν λόγων, ἐπιμελησομένῳ τούτου πάνυ καλῶς· νῦν γὰρ καὶ τέχνης εἵνεκα τῶν παρ' ἡμῖν ἁπάντων προέχεις. Τί ἂν οὖν γένοιτο τοιαύτης τιμιώτερον στάθμης, ἣν οὔτ' ἀγνοεῖν οὔτε κρύπτειν ἐνδέχεται τὰς ἐν τοῖς λόγοις ἀνωμαλίας; Ἐπελθὼν τοίνυν ἅπαν τοῦτο καλῶς, τὰ μὴ δοκοῦντά σοι καλῶς εἰρῆσθαι διάγραφε καὶ δίδου πυρί. Περὶ μὲν δυοῖν φίλων οὐδ' ἂν αὐτὸς ἀξιώσαιμι. Καίτοι τῶν Ἀριστοτέλει προσκειμένων εἶναί σε πάνυ καλῶς οἶδα, τῶν τοῦ Πλάτωνος ὁπόσον χρὴ μόνον θαυμάζοντα. Ἀλλ' εἰ δεῖ τοῖς φίλοις πέμπειν, ἢ διδόναι πυρί. Ἐκεῖνοι δ', ὡς ἂν ἑκάστῳ δόξῃ, οὕτω τὴν περὶ ἀληθείας τῶν λόγων ψῆφον φερόντων· ἐμοὶ γὰρ ἀντὶ πάντων ἡ σὴ ψῆφος ἀρκέσει.

ΤΟΥ ΑΥΤΟΥ

ΕΚ ΤΩΝ ΥΠΕΡ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΑΝΤΙΛΗΨΕΩΝ.

Ἐπειδὴ τὸ βιβλίον τῶν κατ' Ἀριστοτέλους βλασφημιῶν καὶ εἰς ἡμᾶς ὀψὲ περιῆλθεν... Ἔνιοι δὲ καὶ εὐγνωμονέστερον ἀμφοῖν διακούσαντες, συνῆψαν ἄμφω τὼ φιλοσόφω ταῖς γνώμαις, καὶ τὴν ἐς Πλάτωνα διαφορὰν Ἀριστοτέλει περὶ τὸ τῆς λέξεως φαινόμενον συμβῆναι μόνον φασί... Τοὺς δὲ νῦν Πλάτωνος ἠττωμένους ἐν Ἰταλίᾳ, οἷς φησι χαριζόμενος τὴν τοιαύτην πραγματείαν λαβεῖν ἐπὶ νοῦν, ἴσμεν τίνες εἰσί· καὶ ἑώρων πολλοὶ τῷ ἀνδρὶ συγγινομένους αὐτοὺς ἐκεῖ, οἷς τοσοῦτον μέτεστι φιλοσοφίας ὅσον αὐτῷ Πλήθωνι ὀρχηστικῆς..... Ὅσοι δὲ ἐν ἑσπέρᾳ τῶν φιλοσοφίας δογμάτων γνησίως ἐπεμελήθησαν, οὐχ ὁμοίως τὰ τοιαῦτα κρίνουσι· κρείττους δὲ ἀριθμῷ σχεδόν εἰσιν οἵ γε τοιοῦτοι, ὧν αὐτὸς οὐκ ὀλίγοις ἐνέτυχον..... Ὥστε εἰ μὴ δι' Ἀριστοτέλη οὐκ ἂν φυσικῆς φιλοσοφίας τὸ τῶν ἀνθρώπων μετεῖχε γένος..... Ἐν τῷ ἐπιχειρήματι τούτῳ τινὰς, τοὺς Χριστιανοὺς ἡμᾶς, αἰνιττόμενος [ὁ Πλήθων], ἐκ Μωσέως τὴν δόξαν ταύτην προειληφότας, σύμφωνόν που τῇ Χριστιανῶν πίστει καὶ αὐτὴν ἀποφαί-

νεται Ἀριστοτέλη..... Ὡς τοὺς ἐνθουσιασμοὺς καὶ τὰς ἀποκαλύψεις διαβάλλειν, καὶ πλάνην ἀποκαλεῖν λέγεται· τὴν δ' ἀλήθειαν ὑπὸ τοῦ ἀνθρωπίνου λόγου εὑρίσκεσθαι μόνου διὰ φιλοσοφίας, ἢν τινι ἑτέρῳ ἑαυτοῦ συγγράμματι ἀποδεικνύναι, κ. τ. λ.

GENNADII
ET LUCÆ NOTARÆ
EPISTOLÆ AMŒBÆÆ.

(Ex Boissonadii Anecdotis, t. V. — Confer Renaudotum supra, col. 235.)

—

Α'. *Ὁ λαμπρότατος μεσάζων καὶ γαμβρὸς τοῦ βασιλέως, ὡς ἐκ προσώπου τοῦ υἱοῦ αὐτοῦ κυροῦ Νικολάου τοῦ Νοταρᾶ, πρὸς κύρην Θεόδωρον τὸν Καρυστηνόν, ὄντα ἐν Ἰταλίᾳ μετὰ τοῦ βασιλέως, πράττοντος τότε τὰ συνοδικά* (1).

Ἵπποι παρ' ἡμῖν, ὅτι χρήσιμοι, συχνοί. Τούτων, ὡς καὶ πρὸς θήραν δοκίμοις, τρισὶ μὲ χρῆσθαι παρὰ τοῦ πατρὸς χάριν ἔλαβον· ἐξ ὧν εἷς, ὃν αὐτὸς προσήνεγκας, λίαν ἀγαθὸς ἐν δυσβάτοις χωρίοις καὶ δυσηλάτοις καὶ ὀρεινοῖς καὶ βαθέσι καὶ τελματώδεσι, καὶ τοῖς τοιούτοις, ἐν οἷς τοὺς κυνηγέτας συμβαίνει μάλιστα γίνεσθαι. Πλὴν ἔχει τι καὶ ἐπίψογον, ὅτι

(1) Lucas Notaras, cujus et Gennadii nonnullas epistolas e codice regio 1760 profero, sub imperatoribus Joanne et Constantino Palæologis μεσάζων seu rerum publicarum summus fuit administrator. Vocatur et γαμβρὸς τοῦ βασιλέως. Sed, cum Joanni et Constantino nulli ex uxoribus fuerint liberi, alterutrius notham filiam duxisse putandum est. Forsan etiam γαμβρὸς capiendum pro ἀνεψιῷ, affini; et fuit Lucas Notaras imperatoris affinis, si quidem Constantinus uxorem duxerat, teste Phranza, Chron. II, c. 18, τὴν κυρίαν Αἰκατερίναν θυγατέρα τοῦ τῆς εἰρημένης νήσου (Lesbi scilicet) αὐθέντου, κυρίου Νοταρᾶ Παλαιολόγου τοῦ Γατελιούζη (leg. Κατελιούζη). Estque hic sensus in Byzantinis scriptoribus valde obvius, ut et in vetustioribus. Γαμβρὸς, affinis, jam titulus erat honorificus, ut συγγενὴς, quod eodem usurpatum modo, et eorum etiam junctum magnatum nomini quibus cum ipso rege nulla erat sanguinis necessitudo, ex inscriptionibus et libris eruditissime illustrat Letron. Disquis. Ægyptiacis p. 321. (*a*) — Ceterum valde mirarer primam ac secundam epistolarum interfectorum, miseram sortem narrat Joannes Moschus, in Epitaphio de illis habito:

Cum vero carnifex, jam præsens, præceptum tyranni barbari exsequi vellet, manuque gestaret ensem, promptusque esset ad eumdem simul et filios interimendum, gaudebat, gestiebatque præ lætitia, quod, pro caduca ista ac menstrua, æternam vitam ac stabilem esset victurus. Ut vero, unum ex illis, uti par erat, animo commoveri, et corpore perhorrescere, vidit, ad carnificem conversus, « O generosissimam illam animam! o constantem nimis cogitationem, et infinitarum laudum atque admirationum dignam! » — « Contine te paululum, » inquit. Ad trementem autem motuque mentis aliquo exalbescentem filium: « Ubinam est, aiebat, charissime, patris reverentia? ubi amor, atque benevolentia? ubi tot promissa, quæ mihi sæpius feceras, si opus fuisset, te vitam pro me prompte positurum? ubi charitas? Quonam in loco ponis eorum testimonium, qui hæc audierunt? Anne homines tantum ea vidisse putas, Deum vero ignorare, nec a te promissa, quæ mihi sæpe pollicitus es, exposcere, tremendi ejusdem adventus die? Ubi patria, fili, ubi generis splendor, ubi Græcorum imperium, ubi morum concinnitas et gravitas, et libertas? Annon vides omnia excidisse? Animo itaque virili præsentique ut sis, para; et cogitationem constantem ac generosam, et tibi debitam, assumens, mortem contemnito. Prope est universorum Dominus, donis optimis remunerabitur, si, quæ mihi promiseras,

(*a*) Lucæ Notaræ et filiorum ejus, jussu Mahometis II

Ὡς δὲ ὁ δήμιος ἤδη παρὼν τὸ πρόσταγμα τοῦ τυράννου βαρβάρου ἐζήτει ποιεῖν, τότε ξίφος ἔφερε τῇ χειρὶ, καὶ ἀνελεῖν ἕτοιμος ἦν αὐτὸν ἅμα καὶ τοὺς παῖδας, ἐχαιρέ τε, καὶ ἠγαλλιάσατο, ἀντὶ τούτου τοῦ ἐπικήρου βίου, τὸν ἄϊδιον ἐκεῖνον μέλλων βιοῦν. Ὡς δὲ ἕνα τούτων ἑώρα πρὸς τὸν θάνατον ἀποδειλιῶντα, καὶ δέει, ὥσπερ εἰκὸς κατεχόμενον, πρὸς μὲν τὸν δήμιον, « Ὦ γενναιοτάτης ἐκείνης ψυχῆς! ὦ φρονήματος σταθηροτάτου, καὶ μυρίων ἐπαίνων, καὶ θαυμάτων ἀξίου! Ἐπίσχες, ἔφη, μικρόν. » Πρὸς δὲ τὸν ὀκνοῦντα καὶ δεδιότα υἱὸν, « Ποῦ σου, ἔλεγεν, ὦ φίλτατε, ἡ πρὸς τὸν πατέρα αἰδώς; ποῦ ἡ στοργὴ καὶ διάθεσις; Ποῦ αἱ πολλαὶ ὑποσχέσεις, ἃς ὑπέσχου πολλάκις ὑπὲρ ἐμοῦ προθύμως ἀποθανεῖν; ποῦ τὸ φίλτρον; ποῦ τίθης τὸ μαρτύριον τῶν ἀκουσάντων σου ταῦτα; Ἢ τοὺς ἀνθρώπους μόνον ὑπολαμβάνεις ἐκεῖνα ἀκηκοέναι, Θεὸν δὲ μὴ εἰδέναι, μηδὲ παρὰ σοῦ τὴν ὑπόσχεσιν, ἣν μοι πολλάκις ὑπέσχου ζητεῖν ἐν τῇ τῆς φρικτῆς αὐτοῦ παρουσίας ἡμέρᾳ; Ποῦ πατρὶς, τέκνον; ποῦ περιφάνεια γένους; πού βασιλεία Ῥωμαίων; ποῦ ἠθῶν εὐκοσμία, καὶ σεμνότης, καὶ εὐταξία; Οὐχ ὁρᾷς ὡς ἀπόλωλε πάντα; Φρόνημα τοίνυν εὐσταθὲς καὶ γενναῖον, καὶ σοι προσῆκον ἀναλαβὼν, φάνηθι θανάτου καταφρονῶν. Ἐγγὺς ὁ κοινὸς Δεσπότης. Ἀμείψεταί σε ὡραίαις ἀγαθαῖς τὰς πρὸς ἐμέ σου τὸν πατέρα ὑποσχέσεις ἀποπληροῦντα. » Τοιαῦτα εἰπὼν, καὶ τὸ τοῦ νέου φρόνημα νεανικὸν καὶ ἀπτόητον καταστήσας, « Τούτους,

λειπόσαρκός ἐστι τὴν ὀσφῦν, καὶ διὰ τοῦτο οὐ βεβαία ἐπ' αὐτῷ ἡ ἐφεστρίς. Ἐμοὶ δ' ὅμως, νέῳ καὶ βραχεῖ τὸ σῶμα καὶ οὐκ ἐμβριθεῖ, χρήσιμος, ὅτι σύμμετρος, καὶ αὐτός. Ἑτερπόμην δὲ καὶ τῇ περὶ αὐτοῦ φήμῃ, ὅτι αὐτὸν πάντας ὑπερνικᾷν τῇ ταχύτητι ἔχουσιν. Ἀλλὰ τὸ ψεῦδος πολλάκις, ὡς ἀληθὲς διαφημισθὲν, περὶ τὴν τῶν ἀκουόντων δόξαν ἐπικρατεῖ, εἶθ' ὕστερον ψεῦδος ἐλέγχεται. Διὸ καὶ αὐτὸς κεναῖς ἐλπίσι τρεφόμενος ἦν, ὅτι οὐκ ἦν ἀληθὲς τὸ ᾀδόμενον. Ἐπεὶ γὰρ ἐν Ἱπποδρόμῳ, θελήματι τοὐμοῦ πατρὸς, ἤχθησαν ἵπποι ἀμιλλητήριοι, ὅ τε τὴν τρίχα βεβαμμένος τῇ φύσει, ὑπόξανθος, οἷα παρὰ τῶν μοναζουσῶν εἴθισται τὰ ἔρια χλωρισῖς ἀκροδρύων ἐλύτροις βάπτεσθαι (κἀκ τούτου ὁ δημώδης λόγος ὀνομάζειν εἰωθε τὸν ἵππον (1) καρυόξαφον), καὶ σὺν αὐτῷ νεώνητοι τρεῖς, καὶ ὁ ἐμὸς, καὶ θέειν αὐτοὺς ἐγένετο, τοῦτον δὴ τὸν ἐμὸν, ᾧ καὶ ἐφηδόμην, οὐ μόνον ὁ ῥηθεὶς καθ' ὑπερβολὴν παρέδραμεν, ἀλλὰ καὶ οἱ νεώνητοι κατόπιν ἀφέντες ὁπλὰς αὐτῷ καὶ ἱππούρεις παρεῖχον ὁρᾷν. Τί οὖν ἐπὶ τούτῳ με οἴει παθεῖν; ἀθυμίᾳ ἔμπλεως γέγονα· οἶμαι δὲ καὶ σὲ μαθόντα πείσεσθαι ταυτό· οὐ γὰρ τοιοῦτον τὸν ἵππον ἐνόμιζες. Διὰ τοῦτο τὸν πατέρα ἠτούμην, ἵν' ἐκ τῶν τριῶν τῶν εἰρημένων ἵππων ἕνα μοι τέως ἀποχαρίσηται. Ὁ δ' οὐκ ἐπένευσε, τῷ μὴ γεγυμνασμένους αὐτοὺς εἶναι πρὸς τὰ ὑλώδη καὶ δύσβατα, καὶ πρὸς τὸ ἀναθεῖν ἀνάντη καὶ καταθεῖν κατάντη, καὶ τειχίον ὑπεραρρίσαι καὶ τάφρον ὑπερπηδῆσαι, καὶ χαράδραν διάλλεσθαι, καὶ ἀπ' ὄχθων καθάλλεσθαι, καὶ ὅσα συμβαίνει περὶ τὰ κυνηγέσια. Λείπεται οὖν ἐπανελθεῖν σε τὸν ἄριστον ἐν πολλοῖς καὶ μάλιστα τοῖς κυνηγεσίοις. Ἐλθὲ τοίγυν καὶ μὴ μέλλε, ὡς ἂν ἐκ τῶν εἰρημένων πωλοδαμνήσῃς μέν τινα, εἶτά μοι τοῦτον καὶ μεσιτεύσῃς τὸν πατέρα χαρίσασθαι, τοὺς δ' ἡλικιώτας ἐμοὶ καὶ συνήθεις ὁμολογεῖν ἀπεργάσῃ κρείττω πολλῷ τῶν παρ' ἐκείνοις καὶ ὠκύτερον ἵππον κεκτῆσθαί με.

A

B

C

B'. *Ὁ αὐτὸς πάλιν πρὸς τὸν αὐτὸν ὡς ἐκ προσώπου τοῦ υἱοῦ αὐτοῦ, κατὰ τὸν αὐτὸν καιρόν.*

Ἥφαιστος ἐξάπινα πῦρ ἐνέβαλε τοῖς δρεσιν, ὃ νεμηθὲν ἐν νάπαις τε καὶ δρυμοῖς ἅπασαν ἐτέφρωσε λόχμην, καὶ ψιλὸν εἰργάσατο τὸν χῶρον, ἔνθα τὰ θηρία τὰς καταδύσεις εἶχον· καὶ τὰ πρότερον δυσθήρατα νῦν εὐθήρατα τοῖς κυνηγέταις ἐγένοντο. Ἡμῖν δὲ δυσχερὲς ξυμβαίνει τὸ συχνῶς εἰς θήραν ἐξιέναι, διὰ τὴν τοῦ φύσαντος ἐπὶ τἀναγκαῖα σχολὴν καὶ τὸ παλαίειν ἐν τοσαύταις δυσχερείαις ὑπέρ τε τῶν ἰδίων καὶ τῶν κοινῶν, ὡς μηδὲ τὴν τοῦ ἀρίστου ὥραν ἄνετον ἔχειν αὐτόν. Λείπεται οὖν λιπαρεῖν ἡμᾶς τὸ Θεῖον, ὅπως εὐδοκήσῃ ταχὺ ἐπανελθεῖν τὸν αὐτοκράτορα ἐρρωμένον καὶ καθὼς ἐστιν αὐτῷ βουλητὸν, ἐπειδὴ, πρὸς τοῖς ἄλλοις πλεονεκτήμασι τοῖς αὐτῷ δεδωρημένοις παρὰ Θεοῦ, πρόσεστι καὶ τὸ πρὸς θήραν γυμνάζειν τοὺς νέους, τῷ ἐξιέναι πρὸς τοῦτο συχνῶς, ὅπερ οὐ τὸ ἡδὺ καὶ χάριεν μόνον ἔχει, ἀλλὰ καὶ πρὸς πᾶσαν σχεδὸν τὴν τοῦ πολέμου παιδείαν καὶ τῶν στρατιωτικῶν ἐμπειρίαν πέφυκεν εἰσαγωγικόν. Διό μοι δοκεῖ καὶ πλέον σπουδάζειν ἐν τούτοις τὸν αὐτοκράτορα. Γένοιτο οὖν ἐπανελθεῖν αὐτὸν ταχέως, καὶ σὲ μετ' αὐτοῦ τὸν καλὸν καὶ ποθούμενον, καὶ πρῶτον μὲν ἐν φίλοις, πρῶτον δὲ ἐν κυνηγέταις, ἵνα δὴ καὶ ἡμᾶς διδάξῃς, ὡς καὶ ὁ πατὴρ, ὅσα ἂν δοίη ὁ καιρὸς, περί τε συῶν θήραν καὶ ἄρκτων, καὶ νεβρῶν καὶ ἐλάφων, καὶ λαγωῶν, καὶ τῶν ἄλλων κνωδάλων, ὥστε ἐντεῦθεν γίνεσθαι ἡμῖν τὰ θηρία εὐχερῶς θηρώμενα· πρὸς δὲ, ὡ, ἂν εἴπῃς ἡμῖν περὶ συὸς μάλιστα, πῶς βαθύνει τῷ ῥύγχει τὴν γῆν, καὶ θήγει μὲν τοὺς ὀδόντας, κείρει δὲ τὰ λήϊα, ἐκσπᾷ δὲ τὰ δένδρα, φρίττει δὲ τὴν λοφιὰν, λεχρίοις δὲ παραβλέπει τοῖς ὄμμασι, καὶ πυρῶδες ὑποβλέπει,

D

lam, quarum argumentum est levissimum, non valuisse Nicolaum proprio marte componere, ni meminissem e Lucæ filiis duos (nam plures duobus habuisse ostenderem, si his esset nunc locus) fuisse, judice ipso Constantino in Phranzæ Chronico III, 2, p. 51, σκαιοτάτους καὶ ἀσυνέτους. Theodorus Carystenus, ad quem scripta est epistola utraque, impense fuit a Phranza laudatus III, 3, p. 56 : Θεοδώρῳ τῷ ἐκ Καρίστου (leg. Καρύστου. In Burignyi Hist. Const. t. III, p. 114, vocatur *Theodore de Carisse*), ἀνδρὶ πολεμιστῇ (imo πολεμιστῇ) καὶ δραστηρίῳ, καὶ τοξότῃ ἠσκημένῳ ὑπὲρ ἀνθρώπου . . . ἐδόθη. . . Erat tunc temporis Theodorus in Joannis Palæologi comitatu, qui Italiam ad concilium profectus erat, ut Græcam et Latinam Ecclesias conciliaret, et obscurissimum de processione S. S. ænigma solveret.— Κύρις vel κῦρις dicebant pro κύριος : cf. p. 25, n. 2. Ephræmius Chron. 2866 : Ὦ Κυρὶ Θεόδωρος, ὦ στρατηλάτα. Malim scribi divisim, κῦρι Θεόδωρος.

(1) Hunc locum recitavit Cangius Gloss. in Καρυόξαφον, non sine mendis.

φησὶ τῷ δημίῳ, πρότερον ἀνελὼν, ὕστερον ἐμὲ δράσεις ταῦτά. » Ὦ θείας καὶ μεγαλοπρεποῦς ἐκείνης ψυχῆς! ὦ γενναιότητος! ὦ φιλοτεκνίας! ὦ πατρικῆς διαθέσεως! Συνεφέλκετο καὶ τοὺς παῖδας ἀποθανεῖν, ἢ ζῶντας καταλιπεῖν· καὶ ἀντὶ τῆς εὐσεβείας ἄλλο τε βουλεύσασθαι δεδιὼς, ὡς ἔοικε, μή πως φανῇ κἀν τῷ τέλει τοῦ βίου τῆς ἐκείνων κηδεμονίας ῥᾳγῳρών. Ὡς οὖν ἐκείνους πρῶτον ἀνεῖλεν ὁρῶντος ὁ δήμιος, « Δόξα σοι, χαίρων εἶπε, Χριστὲ Βασιλεῦ, » καὶ τὰς χεῖρας ἀνατείνας μετὰ δακρύων, « Δέξαι μου, ἔλεγε, τὴν ψυχὴν, καὶ δώρησαί μοι τὸ μέγα σου ἔλεος, καὶ δεῖξόν με κληρονόμον τῶν σῶν ἀγαθῶν, καὶ μέτοχον ἐκείνης τῆς μακαρίας ζωῆς. » Εἶτα τῷ δημίῳ νεύσας, τὸ μακάριον τέλος ἐδέξατο.

complebis. » Hæc dicens, et animum juvenis constantem atque imperterritum efficiens : « His, ait carnifici, prius trucidatis, postea in me quoque similia patra. » O divinum ac magnificum illum animum! o magnanimitatem! o liberorum amorem! o paternam dispositionem! Malebat filios videre mortuos, quam vivos relinquere, ne quid illi contra pietatem aggrederentur; timens, ut apparet, ne de eorum cura etiam in fine vitæ aliquid remitteret. Igitur primum, eo vidente, a carnifice liberis obtruncatis : « Gloria tibi, Domine Christe Rex, » præ gaudio gestiens dixit; et extensis manibus, non absque lacrymis : « Accipe meam, dicebat, animam, et concede mihi magnam tuam misericordiam, et tuorum bonorum hæredem fac, et beatæ illius vitæ participem. » Tum carnifici innuens, beatum finem assecutus est.

καὶ τοῖς ὀδοῦσιν ἀντιπαταγεῖ, καὶ ὡς πῦρ ἐκ τῶν ὀφθαλμῶν ἀφίησι, καὶ ὡς ἀφρὸς αὐτῷ περιζεῖ, καὶ ὡς τραχὺς ἐστι πρὸς ὀργὴν, ἀκάθεκτος τὸν θυμὸν, δύσμαχος, δυσάλωτος, δυσκαταγώνιστος, προωθῶν, προσρηγνύμενος, ἐμπίπτων, ἀνατρέπων. κόπτων τοῖς ὀδοῦσιν, ἀναρρηγνὺς, ῥύμῃ ἐπιὼν, ῥόθιος συμπροχωρῶν, καὶ ὡς τὴν ὁρμὴν καὶ δυσκίνητος (1), καὶ ὡς τὰς ἄρκυς διακόψειεν ἄν, καὶ τὰς στάλικας ἀνατρέψειε, καὶ τὰ δένδρα πρόῤῥιζα ἐκτρίψειεν, ἔτι πῶς ἐστιν ὑπέρθυμος, δυσόργιστος, ἔμπυρος, ὑπέρασθμος, ἐν δὲ πλαγίοις τοῖς ὀδοῦσι τῶν κυνῶν τὸ τρίχωμα ἐπιφλέγων, ὥστε, εἰ καὶ ἀποθανόντι τῷ χαυλιόδοντι προσενέγκοι τις τρίχας, πῶς ὡς ἀπὸ πυρὸς αἱ τρίχες συνέρχονται (2)· οὕτω πολὺ τὸ φλογῶδες πρόσεστιν ἐκ τοῦ θυμοῦ τῷ θηρίῳ· ὁ δὲ κυνηγέτης οἷος σὺ, πῶς ἐμβοᾷ τοῖς κυσὶν, ἐγκελεύει, ἐνσημαίνεται, ἐποτρύνει, προσκαλεῖται, προτρέπει, παρορμᾷ, πῶς τε συνθέων γίνεται, μεταδιώκων, συμπονῶν, συμπροθυμούμενος, συνδιερευνώμενος. Ταῦτα γὰρ καλῶς ἐπίστασθαί σε πέπεισμαι ἐν Πελοποννήσῳ διατρίψαντα χρόνον συχνὸν μετὰ τῶν Ἰλλυρικῶν, οἳ πρὸς διέγερσιν καὶ γυμνασίαν κυνῶν εἰσιν ἐπιτήδειοι. Ἔξεις δὲ κἀμὲ συνεπόμενον καὶ συμπράττοντα, οὐ μόνον ἥδη πρὸς τὰ τοῦ συὸς, ἀλλὰ καὶ πρὸς τὰ τῶν ἄλλων θηρίων. Σπούδασον τοίνυν, ἵν' ἔχῃς καὶ τὸν τεκόντα χάριν εἰδότα σοι, ὡς τὸν ἀμαθῆ υἱὸν τὰ τῆς θήρας διδάξαντα, κἀμὲ διὰ παντὸς τοῦ βίου τὴν διδασκάλῳ προσήκουσαν αἰδῶ καὶ τιμὴν ἀπονέμοντα.

Γ'. *Τῷ λαμπροτάτῳ μεσάζοντι καὶ γαμβρῷ τοῦ βασιλέως τῶν Δουκῶν* (3), *ὁ Σχολάριος.*

Σὲ καὶ τῇ πόλει ταύτῃ πάγκοινον ἀγαθὸν ἐν ἁπάσῃ χρείᾳ καὶ χρόνῳ παντὶ, καὶ ἰδίως ἑκάστοις πατέρα καὶ κηδεμόνα, καὶ φίλον πραότητος γέμοντα, δέδωκεν ὁ Θεὸς, ἅμα μὲν αὐτοὺς ὠφελῶν, ὥσπερ ἄλλοτε πολλάκις ἐπ' ἀγαθῇ τῶν Ῥωμαίων τύχῃ τοιαύτας φύσεις ἀνέστησεν, ὧν οὐδὲν ἧττον ἡ σὴ, ἅμα δὲ καὶ σὲ τῆς ὄντως χρυσῆς προαιρέσεως, ἣν προῄδει πόῤῥωθεν, ἀμειβόμενος, καὶ βουλόμενός σοι μεγάλα καὶ τῇ σῇ γνώμῃ προσήκοντα παρασκευάσαι τὰ ἄθλα. Γράψαιτο δ' ἂν οὐδείς με τοιαῦτα λέγοντα κολακείας. Σὲ γὰρ μόνον ἐπαινῶν τις τὴν μέμψιν ταύτην οὐ δέδιε· κἀγὼ μόνου τούτου τῶν ἀνθρωπίνων ἐλαττωμάτων καυχησαίμην ἂν παντάπασιν ἀπηλλάχθαι, ὥστε καὶ, τῷ μὴ δύνασθαι χρῆσθαι ταύτῃ τῇ τέχνῃ, ἐνίοις τῶν ὠφελεῖν δυναμένων τίνος οὐκ ἀηδέστερος ἔδοξα.

Ἡ μὲν οὖν πόλις χρυσοῦς σοι τοὺς στεφάνους ὀφείλει, δηλονότι πολλὰς καὶ μεγάλας τὰς ἀμοιβάς· εἰ δὲ μήτ' ἀποδίδωσιν, οὔτ' ἀποδώσει, τοῖς καιροῖς τοῦτο καὶ τοῖς ἐν αὐτῇ κρατήσασιν ἔθεσι λογιστέον. Ἔστω δέ σοι καὶ ἀντὶ στεφάνων αὐτὴ σωζομένη καὶ μετὰ τῶν ἐχθρῶν εἰρηνεύουσα, καὶ ὅσον ἔξεστιν εὐθηνουμένη· ταῦτα γὰρ πάντα δῶρα Θεοῦ, καὶ τῆς σῆς μετὰ τὸν ἄριστον βασιλέα σπουδῆς καὶ φροντίδος. Τῶν δὲ παρὰ πάντων ἐπαίνων καὶ τῶν εὐχῶν, καὶ τοῦ παρὰ τοῖς πάντων ἥδεσθαι στόμασι, τίς τ' ἂν σοι βελτίων ἀρετῆς τε καὶ πρὸς πάντας κηδεμονίας γένοιτο μαρτυρία; μᾶλλον δὲ, τούτων τί γένοιτ' ἂν εὐτυχέστερον; Ζῆθι τοίνυν, καὶ κόσμος ἴσθι κοινὸς, καὶ χαῖρε πολλῶν ἀγαθῶν τετυχηκὼς ἄνωθεν· εἴ τί σοι καὶ λυπηρὸν, οἷα δὴ τἀνθρώπινα, ἀπαντᾷ, δοκιμήν τινα τῆς Προνοίας καὶ τοῦτο, καὶ μικρόν τι καὶ ἀσθενὲς τῆς ὅλης εὐτυχίας κώλυμα, κρίνων, καὶ τῷ τἀγαθὰ δεδωκότι καὶ τῆς τῶν χειρόνων ἀπαλλαγῆς ἐλπίζων μελήσειν.

Τὸ δ' ἐμὸν πῶς ἂν εἴποιμι; κἂν γὰρ πάσας τὰς ἀνθρωπικὰς ἀπαριθμήσωμαι σχέσεις, πασῶν εὑρήσω μείζω τὴν πρὸς ἐμὲ σοῦ καὶ θερμοτέραν· ὅθεν σιγάσθω μὲν ὁ πατὴρ, ἀφείσθω δὲ ἡ μήτηρ, οἱ συγγενεῖς, πάντα δὴ τὰ τοιαῦτα· λεγέσθω δὲ τὸ μάλιστα πρέπον, ὅτι, τῆς ὑψηλοτάτης Προνοίας εἰκόνα καὶ τύπον, ὡς ἐγχωρεῖ, πρὸς ἐμὲ βουλόμενος σώζειν, τί μὲν οὐ λέγεις, τί δ' οὐ πράττεις ὑπὲρ ἐμοῦ, τί δ' ἀναδύῃ δοῦναι δυνάμενος; Τούτων δ', εἰς μὲν εὐνοίας λόγον, καὶ αὐτὸς ἂν εἴποιμι παρὰ σοῦ τυγχάνειν δίκαιος εἶναι· τῆς δ' ἄλλης ἀξίας οὕνεκα, καὶ αἰσχύνομαι σαφῶς ἐμαυτὸν, οὕτω σφόδρα τιμώμενος. Καὶ τῆς εἰς ἡμᾶς οὖν εὐμενείας, ἡμῶν μὴ δυναμένων ἀμείβεσθαι, πλὴν εὐχαῖς τε καὶ χαρίτων ὁμολογίαις, καὶ τῷ τὴν ψυχὴν ἂν ὑπὲρ σοῦ προΐσθαι μεθ' ἡδονῆς, ἀξίους ἄνωθεν τοὺς μισθοὺς, τοὺς μὲν ἕξεις ἐν τῷ παρόντι, οἱ δέ σοι μετὰ ταῦτα τηροῦνται. Ὅθεν ταῖς τιμαῖς καὶ ταῖς χάρισι βουλόμενος προστιθέναι, μὴ τὴν ἡμῶν λογίζου φαυλότητα, μηδ' ὑπὸ ταύτης εἴργεσθαι συγχωρήσῃς, ἀλλ' εἰδὼς ὡς ἔχει τὸν ἀμειψόμενον, χρῶ τῇ σαυτοῦ φύσει, μᾶλλον δὲ νίκα σαυτὸν πρός τε τοὺς ἄλλους καὶ πρὸς ἐμέ.

Ἥκει σοι καὶ ὁ Ἵππος καὶ πολλαὶ σὺν αὐτῷ χαρίτων ὁμολογίαι· οὐδὲ γὰρ χρῄζω τούτου λοιπὸν, πράττειν τε οὐδὲν ἔχων, καὶ τὸ σῶμα διαναπαύειν σφόδρα πεπονηκὸς ὑπὸ τῆς νόσου βουλόμενος. Ἴσως, ἐπειδὴν ὁ βασιλεὺς ἐπανήκῃ, καὶ δέῃ με προσαγορεύειν ἐκεῖνον (δίκαιον γὰρ), ἅπαξ, ἂν ὁ Θεὸς θέλῃ, τούτου δεήσομαι, ὅτε καὶ πείσεις τὸν πάντ' ἄριστον βασιλέα ἅπερ ἂν αὐτὸς πρότερος ὑφ' ἡμῶν εὐλόγως πεισθείης. Οἶμαι δὲ μηδ' ἐκεῖνον ἀναβαλεῖσθαι τὴν δωρεὰν, νῦν ὀψὲ σαφῆ τῆς ἐμῆς πρὸς αὐτὸν εὐνοίας πεῖραν λαβόντα καὶ ἄλλως· ἡμῖν συνειδότα τοῦτο μὲν δίκαια, τοῦτο δὲ προχειρότατα ἀξιοῦσιν.

Ἀλλὰ ταῦτα μὲν ὕστερον· νῦν δὲ ἡμᾶς ἴσθι πάνυ καλῶν τῆς ἡσυχίας προοιμίων αἰσθανομένους, καὶ πολλὰ τῇ τοῦ τόπου μεταβολῇ χαίροντας, ἐλπίζοντας δὲ καὶ τὴν τοῦ σχήματος, μᾶλλον δὲ τὴν τοῦ τρόπου, Θεοῦ διδόντος, ἡμῖν ἔτι πλέον ἀρέσειν. Ὑφ' ἑνὸς μόνου, τῆς τοῦ σώματος ἐνοχλούμεθα δυσκρασίας, ἧς οὐκ ἔστι μηχανὴ θαύματος ἄνευ ἀπαλλαγῆναι.

Ὑγίαινε καὶ χαῖρε πανοικὶ, ἀνδρῶν ἄριστε καὶ λαμπρότατε.

(1) Videtur excidisse aliquid.
(2) Cf. Xenoph. Ven. x, 17.
(3) Codex, τῶν δο ῆ, quod legi τῶν δουκῶν, Hasio duce.

Δ'. *Ὁ λαμπρότατος μεσάζων καὶ γαμβρὸς τοῦ βασιλέως τῷ Σχολαρίῳ πρὸς ταῦτα.*

Εὐπορία τοῦ λέγειν καὶ γράφειν συνετῶς καὶ κοσμίως τῆς ἀγαθῆς σοφίας ἐστὶν αἴτιον· ἣν αὐτὸς ἐς ἄκρον ἐξησκημένος ἄμεινον τῶν ἄλλων ὑπερτερεῖς, καὶ τὰ καθ' ἡμᾶς μικρὰ καὶ οὐδαμινὰ ὄντα, ὡς μεγάλα φράζεις δυνάμενος. Νοοῦμεν δὲ ἑαυτοὺς ἡμεῖς ἐλάττους; εἶναι τῶν γραφομένων κατὰ πολύ. Συνάγεται τοίνυν, τὸν ἔπαινον τῆς ἐπιστολῆς τοῦ πεπομφότος; εἶναι μᾶλλον ἢ πρὸς ὃν ἔσταλται· στήλη γάρ σοί ἐστι τὰ παρόντα γράμματα. Χάριν οὖν καὶ ἡμεῖς σοι ὁμολογοῦντες, ἔτι καὶ χαίρομεν, αἴτιοι γενόμενοι τοῦ ταῦτα γράψαι, καὶ δεῖξαι οἷα οἱ εὐγνώμονες φίλοι ἐπὶ μικροῖς πράγμασι μεγάλας τὰς δωρεὰς εὐφημίζοντες, ἐπείπερ οὐκ ἴσμεν ἄξιόν τι τῆς φιλίας καὶ τῆς ἀγάπης τῆς σῆς διαπράξασθαι.

Ἐπεὶ δὲ, πρὸς ὃν προεθου σκοπὸν, οὐδ' ἄλλο τῶν παρ' ἡμῶν τιμίων ἄξιον τῇ σῇ θεοφιλεῖ γνώμῃ φανήσεται, ἀναμένομεν τὴν ἀπὸ σοῦ ἀναλογοῦσαν τῷ καιρῷ αἴτησιν. Αἴτησον τοίνυν, ὅταν θέλῃς, καὶ περὶ ὧν βούλει, ἔφεσιν ἐχόντων πληροῦν ὅσα ἡμῖν δυνατὰ, ὅσα καὶ φιλτὰ τῷ υἱῷ.

Χαίρω δὲ καὶ χαίροντά σε ἀκούων δεχόμενον τὴν μεταβολὴν, καὶ τῷ ἔργῳ μετὰ πολλοῦ τοῦ ζήλου ἐπιτερπόμενον, εἰ καὶ λύπη μοί ἐστι τοῦ διὰ μικροτέρου τοῦ χρόνου τῆς ᾠδῆς ἡμῖν ὁμιλίας ἀπολιμπάνεσθαι. Θεὸς δὲ, ὁ πάντων τῶν ἀγαθῶν χορηγὸς καὶ δοτὴρ, τὸ ἔργον συντελέσειεν ὡς αὐτῷ βουλητὸν, καὶ σὲ στηρίξειε τῷ θελήματι αὐτοῦ, τοῦ ζήλου, καθώς σοι νῦν ἐστι, φυλαττόμενον.

Ἔρρωσο, υἱὲ περιπόθητε καὶ παμφίλτατε.

Ε'. *Τῷ αὐτῷ μεσάζοντι καὶ γαμβρῷ τοῦ βασιλέως πρὸς ταῦτα ὁ Σχολάριος.*

Τί τοῦτο πέπονθας, θαυμασιώτατ' ἀνδρῶν; ἀπαναινόμενος γὰρ τοὺς ἐπαίνους, καὶ λέγων ἡμᾶς ἐκ τῆς φύσεως; ὁμοῦ καὶ τῆς τέχνης τῆς ἐν ἡμῖν, οὐκ ἐκ τῶν σῶν πλεονεκτημάτων, τούτους ποριζομένους, χαρίζεσθαί σου τὰ μὴ προσήκοντα, καὶ τἄλλα συνείρων ὅσα σοφίας μὲν ἀληθινῆς, καὶ ἣν Ἡσίοδος μετὰ πάντων σοφῶν προτιμᾷ, συνέσεως δὲ καὶ μεγαλοψυχίας καὶ φιλίας σαφοῦς τυγχάνοι γνωρίσματα, λέληθας τὸ τοῦ Σωκράτους παθὼν, καὶ δείξας σαυτὸν ἐκεῖνον εἶναι τῷ ὄντι, ὃν ἡμεῖς ἐν τοῖς γράμμασι προὐστησάμεθα, μᾶλλον δὲ, οὗ τῶν καλῶν μετρίως ἅψασθαι βουληθέντες, πολὺ τοῦ πρέποντος ἀπελείφθημεν. Σωκράτους ἄρα σύ γε μαθητὴς καὶ ἑταῖρος καὶ οὕτω καλῶς ἔργοις τὰς ἐκείνου πληρῶν συμβουλὰς, ὥστ' εἴ τινα τῶν ὡμιληκότων Ἀθήνῃσιν ἕνα γοῦν ἀποφῆναι τοιοῦτον ἠδύνατο, οὐκ ἄν, τὰ συμφέροντα λέγων, ἀπέθνηκεν. Ἐκεῖνός τε τοίνυν σοφὸς Ἀπόλλωνος κρίσει, καίτοι τοῦτο καθάπαξ ἀρνούμενος· καὶ σὺ κοινὸς ἁπάντων πατὴρ καὶ κίων τῆς πόλεως ἀστραβὴς, ὃ φησιν

A Ὅμηρος, καὶ παντὸς ἀγαθοῦ γέμων ψῆφοις θεοῦ καὶ πάντων ἀνθρώπων· σοὶ δ' ἀρνουμένῳ προσέξει τῶν ἁπάντων οὐδεὶς, οὐδ' ἐκ τῶν πραγμάτων μαρτυρίαν ἀφεὶς, τῇ σῇ μετριοφροσύνῃ προσθήσεται, εἰ μὴ καὶ ταύτην μόνην ἀρκοῦσαν τῆς σῆς ἀρετῆς ἀπόδειξιν ἕξει.

Ἥσθην δὲ (πῶς οἶει;) τοῖς γράμμασι· καὶ, πολλάκις ἐπιὼν αὐτὰ, τὴν τοῦ πεπομφότος φύσιν τε καὶ γνώμην ἐθαύμασα, τὴν μὲν μηδὲ τῆς ἀπὸ τῶν λόγων δόξης ἀμοιρεῖν καθάπαξ ἀνασχομένην, τὴν δὲ εὐθὺς ὑπακούσασαν· οὕτω πρὸς πᾶν ἀγαθὸν κηροῦ μαλακωτέραν ἔσχες αὐτήν· ὥστ' εἰ περὶ πάντων τῶν προσόντων σοι καλῶν ἐποιούμην τότε τὸν λόγον, ἤλγουν ἂν περὶ σοφίας καὶ τέχνης ῥητο-
B ρικῆς οὐδὲν εἰρηκώς· νῦν δ', ἐκὼν ἄκων τὰ πλεῖστα παραλιπὼν, οὐδὲν ἡγοῦμαι δεινὸν εἰ καὶ ταῦτα σεσίγηται.

Εἰ δὲ σολοικισμοὺς καὶ τοιαῦτά τινα πταίσματα λέγεις, ἀλλ' οὔτ' ἐγὼ τούτων ἐξεταστὴς ἀκριβὴς ἐν ταῖς τῶν φίλων ἐπιστολαῖς εἰμι, κἂν ὦσι τῶν λίαν ἐπ' ἀσφαλείᾳ σεμνυνομένων· μήτ' αὐτὸς πολὺν ποιοῦ λόγον, μηδὲ νόμιζε μεγάλου τινὸς ἐστερῆσθαι, τῆς περὶ ταῦτ' ἐμπειρίας, χαῖρε δὲ μᾶλλον ταυτησὶ τῆς τερθρείας ἀπηλλαγμένος. Ὀλίγους γὰρ εἶδον ἐγὼ μὴ σφόδρα ἂν τούτοις ἁλισκομένους, καὶ τῶν ταυτὶ καλῶς ἠσκημένων τοὺς πλείους ἐν ταῖς πτέρναις, ἢ οὐκ οἶδ' ὅπου, τὸν ἐγκέφαλον ἔχοντας.

Σοὶ δ' ἀρκείτω τὸ λέγειν πάντα μετὰ καιροῦ, καὶ τὸ πείθειν πάντας τὰ δίκαια, καὶ τοῖς λόγοις οἰκο-
C νομεῖν, ἵν' οὕτως εἴπω, τοῖς τε προσώποις καὶ ταῖς ὑποθέσεσιν ἁρμοζόντως, καὶ ἐπιχειρῆσαι μὲν ὅθεν δεῖ, ἐξεργάσασθαι δὲ καὶ συμπεραίνειν καλῶς τε καὶ χαριέντως, καὶ διελεῖν ἀκριβῶς, καὶ ἀποδοῦναι πάντα σὺν τάξει, ἃ τῆς ῥητορικῆς ἐστι τὸ μέγιστον μέρος, καὶ οἷς πᾶσι κοσμούμενον τοῖς τῶν ῥητόρων χοροῖς ἐγγράψομέν σε καὶ μὴ βουλόμενον. Τούτοις καὶ ἡ Θεμιστοκλέους ἑταιρεία (1) καὶ σὴ προσίξε, καὶ τούτοις ἦγε τὰ πράγματα. Τὰ δὲ λοιπὰ σοφιστῶν εἰσι καὶ γραμματικῶν, τῶν περὶ τὰς τῶν
D δυνατῶν στρεφομένων, ὥς τις εἴρηκε (2), πύλας, καὶ οἱ, περὶ μιᾶς προσῳδίας ἀλλήλοις ἀμφισβητοῦντες, οὕτως ὅλον τὸν βίον αὐτῶν λανθάνουσιν ἐκτοξεύοντες, οὐδὲν πλέον οὔτε πράττοντες οὔτ' εἰδότες· οὗ χάριν καὶ τὸν εἰλικρινῆ γραμματικὸν ὄνον εἰλικρινῆ τιμῶσα δῆθεν ἡ τῶν Λατίνων ἀποφαίνεται παροιμία (3).

Λέγε τοίνυν οὕτω καλῶς· καὶ πέμπε τοῖς φίλοις ἐπιστολὰς, ὅσοι, νοῦν ἔχοντες, τὸ βάθος τῆς διανοίας καὶ τὴν τάξιν τῶν νοημάτων καὶ τὸ φυσικὸν θαυμάσουσι κάλλος, οὐ τὴν ἔξωθεν ὥραν καὶ γραφὰς στοιχείων περιεργάσονται· ἐπεὶ κἂν τούτοις οὕτως εὐδοκιμεῖς, ὥστ' εἶπεν ἄν τις, ἰδὼν πρὸς τὰ γράμματα, ἐκ μουσείων εὐθύς σε καὶ τῆς περὶ ταῦτα μελέτης ἀναστάντα, πταίειν μέν που, τοί, δὲ πλεί-

(1) Vide Plutarchum Them. 2, in primis ubi de Phrearrio Themistoclis magistro narratur.

(2) Conf. Simonidis dictum apud Aristot. Rhet. II, 16.

(3) Proverbium latinum non memini me tale legisse. Quos vocat Latinos esse puto recentes Italos.

στοις χρῆσθαι καλῶς. Σὲ δ' οὔτε τὴν ἀρχὴν τὰ παιδευτήρια πολὺν ἐδέξατο χρόνον, οὔτ' εἰκὸς, εὐθὺς πραγμάτων ἀψάμενον, καὶ ἐκεῖ μελέτας ἐν τοσούτῳ χρόνῳ κατέχειν.

Ἐγὼ δέ σοι καὶ τῶν γραμμάτων ἐκείνων χάριν εἰδὼς οὐδέποτε παύσομαι, οὕτω μοι πολλὰς ἀφορμὰς τοῦ χαίρειν παρασχομένων· ὧν ἁπάντων μέγιστον ἦν ὅτι καὶ πᾶσι τοῖς μέρεσι τῆς ἐμῆς ἐπιστολῆς ἐπεξῆλθεν, ὃ μόλις ἂν αὐτὸς συνηθείην, ὁ τὰ τοιαῦτα τέχνην πεποιημένος.

Ποῦ δ' ἂν θείην τὴν διὰ πάντων λάμπουσαν εὔνοιαν, καὶ τὸ τῆς ψυχῆς εὐγενὲς σαφῶς οὕτως φαινόμενον ἐν τοῖς γράμμασιν; Εἰ δ' ἐπιτάττεις ἡμῖν ὑπὲρ ὧν ἂν δεώμεθα θαῤῥούντως μηνύειν, μέγα μέντοι καὶ τοῦτο καὶ σύνηθες δίδως ἡμῖν, παρέλκον δὲ ἄλλως. Σὺ γὰρ ἤδη καὶ τὰς ἡμῶν μαντευόμενος χρείας φθάνεις τὴν αἴτησιν. Καὶ τὸν Ἰατρὸν γὰρ ἡμῖν ἔπεμψας, πρίν τι παρ' ἡμῶν εἰδέναι σαφῶς, ὃς καὶ λίαν ἡμῖν ἔδοξεν ἐξαρκεῖν, ὥστε μηκέτι πράγματ' ἔχειν ἄλλων φροντίζοντας.

Σώζοιτο τοίνυν εἰς αἰῶνας, Χριστὲ βασιλεῦ, ἡ πᾶν ἀγαθὸν βρύουσα, πᾶσι δὲ πληροῦσα τὰς ἀγαθὰς ἐπιθυμίας, οἰκία· καί γε τῷ ταύτης πατρὶ καὶ δεσπότῃ παῖδες ὅμοιοι μὲν τὴν ἀρετὴν, τὴν δὲ τύχην βελτίους, καὶ τὴν τῶν κοινῶν πραγμάτων φροντίδα καὶ τὴν ἑκάστου διαδεχέσθωσαν πρόνοιαν, ἐπειδὴν αὐτὸν, εἰς εὔδαιμον γῆρας καὶ λιπαρὸν ἀφιγμένον, εἰς τὸν ἀμείνω βίον μετάγῃς.

Γ'. *Ὁ μεσάζων τῷ Σχολαρίῳ.*

Οἱ τῶν μυρεψῶν ἐπιστήμονες, ἐκ διαφόρων ἀρωμάτων συμβολὴν συντιθέντες ἁρμόδιον, εὔοσμον εὕραντο τῷ βίῳ τὸ θυμίαμα, ὅπερ ὡς κάλλιστόν τε θυμιᾶν καὶ τῷ Κυρίῳ προσάγειν ἐθέλομεν ἄνθρωποι, καὶ τούτῳ μᾶλλον χρῆσθαι, ὡς τῶν ἄλλων ἀμείνονι. Τοῦτο καθ' ἑαυτὸ τυγχάνον εὔοδμον φύσει τοῖς ὀσφραινομένοις ἐγγύτερον, ὅταν πυρὸς ἅψηται, οὐκ ἔτι κατέχει παρ' ἑαυτῷ τὴν εὐωδίαν, ἀλλὰ καὶ τοῖς πόῤῥωθεν μεταδίδωσι. Τοιοῦτον δή τι καὶ ἐν ἡμῖν γίνεται, Ὅπερ καὶ τὸ πῦρ ἐν ἐκείνῳ, τοῦθ' ἡμῖν ἀντὶ τοῦ πυρὸς συμβαίνει τὰ γράμματα. Ὅταν ἐρεθίζωμέν σου τὴν μελίῤῥυτον γλῶτταν, ἀπολαύουσι πάντες τῆς εὐοσμίας τοῦ λόγου, αἰσθητῶς τε ἅμα καὶ νοητῶς ὠφελούμενοι, καὶ πλέον ἢ ἐκεῖνοι τοῦ εὐώδους τῶν ἀρωμάτων ἐκείνου καπνοῦ.

Δεδοίκαμεν δὲ ἄρα δυσὶν θάτερον, ἢ μὴ ἐν ὄχλου (1) γενόμενοί σε βαρύνοιμεν, ἢ τὴν ἰδέαν τῶν παρ' ἡμῖν γραφομένων, μὴ οὐκ ἀξία παντάπασιν ᾖ. Καὶ οὐδ' αὐτὸς γράψει ἴσως κατὰ τὴν προσοῦσάν σοι σοφίαν (ἀνάλογον κἀντεῦθεν μὴ δείκνυσθαι τὴν προσοῦσαν τοῦ λόγου σοι δύναμιν· ἀξίως γὰρ ἀντεπίσταλκας), εἰ ἦν γράφων καὶ ἀντεπιστέλλων, καὶ νῦν ἐν τῷδε τῷ βίῳ οἷος πρὸς τὸν μέγαν Βασίλειον, καὶ ὁ θύραθεν σοφιστὴς Λιβάνιος (2).

Ἐπεὶ δὲ τὰ παρά σου πεμφθέντα μοι γράμματα μείζω τῆς ἡμετέρας ἦσαν δυνάμεως, καὶ κρείττω ἢ τοῦ κατ' ἀξίαν παρ' ἡμῶν ἐπαίνου τυχεῖν, τοῖς ἀμείνοσι τῶν παρ' ἡμῖν σοφῶν ἐπεδείξαμεν, ἵν' εἰκότως αὐτοὶ τὸν ποθούμενόν μοι θαυμάσωσι τῆς τε συνθέσεως τῶν νοημάτων καὶ τοῦ κάλλους τῶν λόγων. Τί γὰρ ἂν αὐτὸς εἴποιμι περὶ ἧς μοι καὶ νῦν ἐπέσταλκας ἀρίστης ἐπιστολῆς; Ἐπαινέσουσι δὲ μᾶλλον ἀντὶ τοῦ ἑνὸς οἱ πολλοί, εἰ καὶ αὐτοὺς σχεδὸν οἶδα τούτους τὸ πρὸς ἀξίαν ἀποστερήσοντας.

Ζ'. *Ἑτέρα ἐν ταυτῷ.*

Νέῳ μοι ἔτι ὄντι καὶ ἐς διδασκάλους φοιτῶντι ἥκουσται παρ' αὐτῶν πέντε χρῆσθαι γλώτταις τοὺς Ἕλληνας. Ἡ δὲ τῶν πραγμάτων ἀνωμαλία, καὶ τὸ ἄλλοτε ἄλλους ἀμείβειν τόπους, οὐκ ἀφῆκαν μαθεῖν με ταύτας καὶ ὁπωσοῦν σχεδὸν, μίαν δὲ μόνην τὴν κοινὴν, ἣν τοῦ λόγου τῇ χρήσει πρὸς τὰς ἐννοίας ἅπαντες χρώμεθα. Ταύτῃ καὶ πρὸς τὸ γράφειν χρῆσθαί μοι γέγονεν· οὐδὲ γὰρ ἀττικίζειν καὶ ἰωνίζειν μεμάθηκα. Ταὐτόν τι γοῦν ὁρῶ κἀπ' ἐμοὶ γινόμενον, οἷον ταῖς παρ' ἡμῖν γυναιξὶ πολλάκις ἐξ ἀνάγκης ἐγγίνεται. Ἀποροῦσαι γὰρ ἐνίοτε μετάξης καὶ τοῦ Αἰγυπτίου λίνου (3), ἐρίῳ τῷ τυχόντι χρῶνται, καὶ τῷ κοινῷ λίνῳ τουτωῖ, ὅπερ ἡ πιότης τῆς καθ' ἡμᾶς λαχούσης γῆς δίδωσιν. Εἰ γὰρ ἐξ ἄλλου τινός ποθεν ἐδανειζόμεθα, ἴσως ἦν ἂν τὸ ὕφασμα λεπτὸν καὶ Αἰγύπτιον.

Η'.

Ὁ σοφιστὴς Λουκιανὸς, τοῦ λόγου θέλων δεῖξαι τὴν δύναμιν, ἐξέδοτο καὶ μυίας ἐγκώμιον (4). Τοῦτο καὶ ἐπὶ σοὶ ἴδοι τις ἂν, ἐπαινοῦντι τὸ παρ' ἡμῶν πρὸ μικροῦ σοι σταλὲν βραχύ τι γραμμάτιον. Πρὸς γὰρ τοὺς γράφειν εἰδότας παραβαλλόμενον, μυῖαι καὶ κώνωπες ἀντικρὺς ἐσμεν πρὸς ἐλέφαντας. Παυσόμεθα τοίνυν τοῦ λοιποῦ, ἵνα μή σοι κόπους παρέχωμεν, μὴ καὶ παρ' ἡμῖν γένηται ὅπερ ὁ Ἀσὰν (5) ἐκεῖνος παρὰ τῶν ἐπαινούντων αὐτὸν, ἐξ ἀμαθίας, ἢ ἀνοίας μᾶλλον, ὑπενόει πλανώμενος, μὴ εἰδὼς τῶν ῥητόρων ἢ τῶν φιλοσόφων τὴν κεκρυμμένην ταῖς ἐπιστολαῖς ἔννοιαν· ἐκεῖνοι γὰρ ἑαυτοὺς μᾶλλον ἢ τὸν γράφοντα οἷς ἐπῄνουν ἐπεδείκνυον· αὐτὸς δὲ, νομίζων εἶναι τοιοῦτος, τοῖς φιλοσόφοις ἑαυτὸν ἐγκατεμίγνυεν. Ἀρκούμεθα τοιγαροῦν ἐφ' ὅσον σοι τοῖς πρότερόις γεγόναμεν αἴτιοι γράμμασιν, ἐν οἷς σαφῶς ἐπεδείξω οἷος εἶ πρὸς τοὺς φίλους καὶ οἷα τὰ ἐκ τῆς ἑνούσης σοι σοφίας αὐγάσματα, διὰ θαύματος ἔχοντες ἀεὶ τὴν σὴν μεγαλόνοιαν.

Θ'. *Καὶ αὖθις πρὸς τὸν αὐτὸν ἐν ταὐτῷ καὶ ἐπὶ ταῖς τρισὶν ἔτι.*

Ἥκει μὲν ἔναγχος ἡ ἐπιστολὴ χαρίεσσά τε ἅμα καὶ θαυμαστή. Δημοσθένους ἂν ἔφη τις εἶναι ταύτην ἢ Πλάτωνος· οἱ δὲ μεμυημένοι (6) τὰ σὰ τοῦ καλοῦ κἀγαθοῦ Σχολαρίου φήσουσιν εἶναι, τοῦ κατα-

(1) Reponendum esse videtur δι' ὄχλου, vel ἐν ὄχλῳ, vel ἔνοχλοι.
(2) Cujus et Basilii mutuæ epistolæ supersunt.
(3) Linum Ægyptium est gossypium.
(4) Quod opusculum superest adhuc.

(5) Ex multis, quorum est servata memoria, Asanibus, quis nunc significetur ego non habeo dicere.
(6) Cod. οἰδέα μεμυημένοι. Fors. οἱ δὲ ἀκριβῶς μεμ., οἱ δὲ εὖ μ.

τεπωκότος μὲν τὸ τοῦ Ἑρμοῦ νέκταρ, δεξαμένου δὲ καθάπαξ τὴν τῶν Μουσῶν χάριν. Ἀντεπιστέλλειν τοίνυν ἀξίως σοι παραπλησίου τινὸς ἔδει τῶν κατὰ σέ· ἀλλ' οὐκ ἔστιν οὐδείς. Οὐκοῦν, κατὰ δύναμιν ἡμετέραν, ἡμεῖς αὐτοὶ τὸ τῆς ἀμοιβῆς χρέος ἐκτίνυμεν, καί σοι τρεῖς ἀντὶ μιᾶς ἀντεπιστέλλοντες, εἴ γε δὴ καὶ ἐπιστολὰς αὐτὰς προσειπεῖν δίκαιον· ἐνδεικνύμεναι μὲν πάντως τὸ τῆς ἡμετέρας ἐνδέον ζυνάμεως ἀφοσιούμεναι δ' ὅμως τὸν περὶ σὲ πόθον. Καὶ ἔστιν ἰδεῖν ἐνταῦθα τοῦτο συμβαῖνόν μοι, ὅπερ καὶ ἐπὶ τρυτάνης ἴδοι τις ἄν. Ἂν γάρ τις, προκαταλαβὼν τὴν ἑτέραν τῆς πλάστιγγος ἐπὶ σταθμῷ, εἰσάξῃ τι ἐν αὐτῇ τῶν βαρυτέρων ἅμα καὶ τιμιωτέρων (χρυσὸς δ' ἂν εἴη ταῦτα πάντως· ὁ καθαρώτατος, καὶ λίθων καὶ μαργάρων οἱ δισυγέστεροι), τί ποτ' ἂν ἄλλο τῶν καθ' ἡμᾶς θείη τις ἐν τῇ ἑτέρᾳ, ἀντίσταθμον τοῦ βάρους δηλονότι καὶ τοῦ τιμήματος, ἐκ τῶν σῶν μαργαροειδῶν καὶ χρυσέων λόγων προκατειλημμένης τῆς πλάστιγγος; Ἴσμεν τοιγαροῦν καὶ αὐτοὶ ὡς, εἰ καὶ πολλάκις τρὶς ἀποστείλαιμεν, κατ' οὐδέν τι τὴν πλάστιγγα καθελκύσαιμεν. Πρόσθες τοίνυν, εἰ βούλει, καὶ τὴν παροῦσαν· εἰ γὰρ καὶ πρὸς τὸ βάρος οὐδὲν ἀνῦσει, ἀλλά γε ὄγκον τινὰ ζήπου καὶ ἥδε προσθήσει.

Γ'. *Σχολάριος τῷ μεσάζοντι πρὸς ταῦτα.*

Ἁγιέ μοι αὐθέντα, παντοίως ἡμᾶς κατεγλύκανας. Καὶ τοῖς μὲν γράμμασι παρεμυθήσω τὸν πόθον, ὃν ἡ τῆς σῆς ὄψεως καὶ ὁμιλίας μνήμη, τῇ ψυχῇ συνεχῶς συνιζάνουσα, αὔξει μὲν καθ' ἑκάστην ἡμέραν, θεραπεύει δέ πως, τυχοῦσα συμβόλων γοῦν τινων αὐτῆς, καὶ ταῦτα τοιούτων· τοῖς δὲ γλυκάσμασιν (οὐ γὰρ φροντίζω (1) νῦν τῶν Ἑλλήνων) καὶ πολλὰς ἡμᾶς ἡμέρας παραμυθήσῃ, ὀλίγα μὲν ἔχοντας, εἰ δὲ καὶ δυνάμεθα ἔχειν, τῇ λιτότητι μᾶλλον χαίρειν ἐθιζομένους· φίλου δέ, μᾶλλον δὲ εὐεργέτου, πέμψαντος, ἀνάγκη τὸν ἐστι χρῆσθαι. Κρέασι δὲ εἰ θρέψεις ἡμᾶς, καὶ ταῦτα τοῖς ἀπὸ θήρας, ἡδέως μὲν φαγούμεθα, ἀηδῶς δὲ ἀπαλλάξομεν· πάντα γὰρ τὰ τοιαῦτα, πλὴν περδίκων τῶν εὐχύμων τε καὶ εὐκατεργάστων, ἐνοχλεῖ τῇ τοῦ στομάχου δυσκρασίᾳ τε καὶ χαυνότητι.

Μὴ φρόντιζε τοίνυν περὶ κρεῶν· ἀλλὰ φίλει μόνον καθάπερ φιλεῖς, καὶ εὔχου παντάπασιν ἡμᾶς πραγμάτων ἀπηλλαγμένους (ἔτι γὰρ ὑπὸ λογισμῶν ἐνοχλούμεθα, πολλὰ τῶν οἴκοι καὶ τῶν ἰδίων ἔχοντες ἀδιόρθωτα), καὶ τὴν ποθουμένην ὀκραιφνῶς εὑρόντας σχολὴν, οὕτω καὶ Θεῷ καὶ φίλοις ἀρέσκειν. Εἰ δὲ καὶ παραμυθεῖσθαι βούλει, τοιαῦται δέ τισι δωρεαὶ ἁπλαῖ οὑτωσὶν, ὁπόταν ἐγγένηται, καὶ λιτοτέραις παραμυθοῦ. Ὑφ' ὧν δὲ λογισμῶν φαμεν ἐνοχλεῖσθαι εἶεν καλῶς, ἡμῶν σοι φανερούντων αὐτοὺς, ὁπόταν ᾖ καὶ τούτου καιρὸς, καὶ ὅταν Θεοῦ καὶ τῆς σῆς ἐνεργείας ἐπὶ τῇ τούτων ἀπαλλαγῇ δεησώμεθα.

Αἱ δὲ χρυσαῖ ὄντως ἐπιστολαὶ μένουσαι παρ' ἡμῖν ἄλλην μετὰ σχολῆς ἀποτέξουσιν, οὐκ ἔτι κατὰ τὰς πρώτας, ἀλλὰ μείζω τε καὶ βελτίω. Μὴ γὰρ ἔλπιζε νικήσειν ἡμᾶς τῷ πλήθει τῶν ἐπιστολῶν· ἀλλ', ὥσπερ αὐτὸς ἐμηχανήσω τὸ πλῆθος, τρεῖς πέμψας ἀντὶ μιᾶς, οὕτως ἐγὼ τὸ μέγεθος ἀντεπινοήσω, οὐ παῦσαι βουλόμενος, ἀλλὰ μεγίστην καρπούμενος ἡδονὴν ἐκ τῶν τοιούτων ἀγώνων, ἐπεὶ τὴν κατὰ πρόσωπον ὁμιλίαν, ἣν ἁπάντων προετίμων, οὐκ ἔχω.

Ὑγίαινε καὶ εὐτύχει πανοικὶ, ἀρχόντων ἄριστε.

ΙΑ'. *Ὁ αὐτὸς μεσάζων καὶ γαμβρὸς τοῦ βασιλέως, ὁ μέγας δοὺξ, τῷ ὁσιωτάτῳ ἐν μοναχοῖς, σοφωτάτῳ, λογιωτάτῳ, ἁγίῳ διδασκάλῳ, κυρῷ Γερραδίῳ, τῷ ποτε Σχολαρίῳ.*

Ἤθελον γράψαι σοι καὶ προτοῦ (περὶ τῶν κοινῶν γάρ μοι ἡ σπουδὴ), ἵνα συμβούλῳ σοι χρήσωμαι, ὅπως καὶ αὐτὸς δώσῃς τὴν ἀπὸ τοῦ λόγου βοήθειαν· καταβαλοίμην γὰρ χρήματα, καὶ τῶν διακοσίων χρυσίνων ἐπέκεινα. Νύττει δέ μου τὴν καρδίαν ἡ ἐπιστολιμαία σου γραφὴ, λυπούμενόν σε ὁρῶντος, εἰ καὶ οὐ δι' αὐτὸν σὲ, ἀλλὰ διὰ τὸ κοινόν. Τοῦτο γὰρ καὶ ἐμὲ λυπεῖ, τὸ κακῶς πάσχειν τὴν πατρίδα διὰ τὸ κακῶς κυβερνᾶσθαι· ὅμως δ' ἀνέχου. Τὸν γὰρ ἄριστον κυβερνήτην αἱ μεγάλαι τρικυμίαι στεφανοῦσιν, ὅταν ἄνω γίνηται τῶν κυμάτων. Εἰς ταῦτα δὲ κἀγὼ εἰ βαΐσω τῆς ὀδύνης, καὶ δυνατά μοι καὶ εἰκότα συνεργήσω, καί σε παρακαλέσω παραθέσθαι μὲν τὴν λύπην, ἰδεῖν δὲ πρὸς τὸ σκάφος κλυδωνιζόμενον (2). Τὰ πλείω δὲ λέξομεν, ὅταν ἐπιδημήσωμεν δι' εὐχῶν σου αὐτόθι. Ἐγὼ δὲ ὃν εἶχον σκοπὸν, πάλιν ἔχομαι τούτου. Φάσκοντος γὰρ τοῦ σοφοῦ (3), « Φίλῳ μηδὲν ἄγνωστον, » διὰ τοῦτο καὶ τὰ νῦν καὶ κρείττονα διὰ βουλῆς τῆς σῆς ἐθέλω κυροῦσθαι. Τῷ κρατοῦντι γὰρ μόνῳ ἐχρησάμην εἰς ταῦτα, ὡς δι' ἐκείνου κινηθεὶς εἰς ταύτην τὴν ὕλην, καὶ νῦν τῇ σῇ ἀγιότητι. Τάδε εἰσὶ τὰ πρὸς τοὺς ἄρχοντας; τῶν Τούρκων γραφέντα μοι γράμματα· εἰ δέ τι καὶ βαθύτερον ἔχουσιν, ἐν τῷ ἐνὶ εὑρήσεις ἀμυδρῶς πως (4)· τὰ πλείω δὲ εἰλέχθησαν ἐκ στόματος τῷ κομίζοντι, ἅτινα καὶ ἀναγγελοῦμεν τῇ σῇ αἰδεσιμότητι, ἐπειδὴν ὁ Θεὸς θέλῃ. Κομίζει δὲ ταῦτα ὁ καλὸς Θεόδωρος (5). Καὶ εἴ τι πλέον καλὸν καὶ ὠφέλιμον φανῇ προστεθῆναι εἰς ταῦτα, τῷ κομίζοντί σοι ἀνάθες. Μὴ σκόπει δὲ βαρβαρότητας· οἶδα γὰρ ὅτι οὐδ' ὁπόσα μέρη τοῦ λόγου μεμάθηκα.

Μετάνοιαν (6), καὶ εὔχου ἡμῖν.

(1) « Græcos nunc non curo »; excusans, opinor, nominis γλυκάσματα usum, quo purior et vetus sermo vix utebatur.

(2) Metaphora usitatissima σκάφος de re publica dicitur, quam ne verbulo quidem tetigissem, ni ea usus fuisset Ephræmius Chronicorum loco corrupto, v. 3432 : Ὢ; ἄγριοι γὰρ καχίαι πεπνευκότες ἄνδρες στρατηγοὶ βασιλειῶν τις τότε Ὁλκάδα κράτους κατέδυσαν εἰς βάθος. Pro καχίαι, quod latine versum est « belluæ », rescribendum omnino καικίαι, *cæciæ* scilicet venti; et pro βασιλειῶν τις, βατιλειῶντες, quod legisse videtur interpres latine reddens, « duces cupidi tyrannidis. »

(3) Callimachus scilicet, cujus vide Fragm. 422.

(4) Ista sunt adeo brevia et scripta ἀμυδρῶς πως, ut crediderim nonnihil perisse.

(5) Theodorus forsan Carystenus, cui inscripta est epistola pag. 117.

(6) Subaudiendum βάλλω, ποιῶ, aliud, et vertendum, « salutationem ac reverentiam impertior.

IB'. *Τῷ μεγαλοπρεπεστάτῳ ἀξιεπαινετωτάτῳ μοναδικῷ τοῦ γένους ἐρείσματι, τῷ μεγάλῳ δουκὶ, εὐτυχῶς τῷ κυρίῳ μου, ὁ ἐλάχιστος Γεννάδιος ψυχῆς σωτηρίαν σὺν εὐζωΐᾳ παντοίᾳ.*

Τί πρῶτον, τί δ' ὕστατον, τί δὲ μεταξὺ τῶν ἐν τοῖς γράμμασι τῆς σῆς ἐνδοξότητος καλῶν καταλέξαιμι (1); ὥστε τοῖς μὲν ὑπ' εὐνοίας εἰρημένοις ἀποδοῦναι τὴν χάριν, τὸ δ' ἐξ ὑπογυίου τοιαῦθ' ὑπαγορευθῆναί σοι θαυμάσαι πρεπόντως, ὑπὲρ ὧν δὲ κάλλιστα συμβουλεύεις, τούτοις εἰ μὴ πειισθείημεν, αἰτῆσαι συγγνώμην, ὡς οὐκ αὐθαδείᾳ μᾶλλον ἢ λογισμοῖς βιαίοις ἀγόμενοι. Ὁπότε δὲ καὶ ἀναπέμπειν θᾶττον ἐχρῆν τὰς καλλίστας ἐκείνας ὑποθέσεις τῶν ἐν τῇ πρεσβείᾳ γραμμάτων, οὐδὲ πειρᾶσθαι εἶόν τ' ἦν ἡμῖν τοῦ ἀγῶνος. Οὐκοῦν ἐκεῖνα μὲν εἰσαῦθις ἡμῖν ὁμνηθήσεται· καὶ μένουσα παρ' ἡμῖν ἡ καλλίστη καὶ τιμιωτάτη γραφὴ σὺν τόκῳ τὴν ἀντιγραφὴν καθ' ἑκάστην εἰσπράξεται, καὶ οὐκ ἐάσει λοιπὸν ἠρεμεῖν, ἕως ἀπολύσαιμέν σοι τὸ χρέος. Τὰ δὲ πρὸς τοὺς ἄρχοντας γεγραμμένα ἐκείνους, οὓς ἡ κακὴ τῶν Ἑλλήνων τύχη φοβεροὺς ἡμῖν οὕτω καὶ χρειώδεις ἐποίησεν, ὑπερήσθην ἰδών, καὶ τήν τε φύσιν ἐθαύμασα τοῦ φιλτάτου μοι τήν τε προαίρεσιν, καὶ θαύματος ἐνόμισα κρεῖττω. Προσθεῖναι δ' αὐτοῖς μόλις ἄν τις ἴσχυσεν ἐκ θειοτέρας ἥκων σχολῆς καὶ τῆς μετὰ τοῦ κρείττονος ὁμιλίας· τὸ δ' ἡμέτερον, εἰλικρινῶς ἀνθρώπινον ὂν καὶ τῆς κοσμικῆς ταύτης διατριβῆς μέχρι καὶ χθὲς σχεδὸν, τοσοῦτον ἀπέχει τῇ σῇ συνέσει καὶ πείρᾳ παραβληθῆναι, ὅσον ἡμεῖς δοκοῦμεν εἶναι δεινότεροι τῶν μηδαμῶς ἐν τούτοις συνειθισμένων· ὥστε καὶ τὸ Θεοκρίτου (2) μεταβαλόντες ἂν εἴποιμεν, καὶ πάνυ δικαίως. Ὁ μὲν γὰρ τὴν ἀφυΐαν ὀνειδίζων τοῦ ποιητοῦ πυθομένου ποῖα ἂν εἴη τὰ καλῶς εἰρημένα, « Ἃ παρέλιπες, » ἔφη· ἡμεῖς δὲ ἐκεῖνα παραλελεῖφθαί φαμεν, ἅπερ οὐκ ἂν ἐδέησε λέγεσθαι.

Ἀλλὰ πέμπε θαρρούντως, ἀνδρῶν φρονιμώτατε, ὑφ' ἡγεμόνι Θεῷ, ὃς σου τὴν διάνοιαν καὶ τὴν γνώμην ἐπὶ τὰ τῷ γένει συνοίσοντα καθ' ἡμέραν κινεῖ, τούτου χάριν σε τῇ χρείᾳ παρασκευάσας πανταχόθεν προσήκοντα, ὡς ἕνα σε καὶ μόνον ἀρκεῖν, διανοούμενον μὲν ἃ μηδὲ διδασκομένοις ἄλλοις πράττειν ἔξεστι, πράττοντα δὲ ἃ καὶ λογίσασθαι μόνον δυσχερές ἐστι τοῖς ἐπὶ τῷ διορᾶν τι φρονοῦσι, πονοῦντα δὲ ὁπόσα καὶ τῶν ἐν ὑπουργίαις τεταγμένων ἂν τις ἀνήσειεν, ἐν δὲ ταῖς τῶν χρημάτων στενότησιν ἀντὶ κοινοῦ πρυτανείου τῇ πόλει τοὺς οἴκοι θησαυροὺς (3) ἀνιέντα, ἃ δὲ τῇ πόλει φέρει φιλοτιμίαν, ᾗδόμενα πανταχοῦ μεγαλοψυχίας ἔργα, οὐκ ἐν τοῖς οὖσι νῦν μόνον, ἀλλὰ καὶ τῶν μνημονευομένων κάλλιστα πράττοντα. Ἡμᾶς δὲ τῶν πραττομένων εἰ συνίστορας ἔχοις ἐν τοῖς καιρίοις, ὡς ἔχησθα, τοῦτο μὲν δήπου φιλανθρωπίας ἔσται τῆς σῆς· λήψῃ δὲ ἐξ ἡμῶν οὐδὲν, πλὴν ἐπαίνου καὶ θαύματος. Ἡσθησόμεθα δὲ καὶ ταῖς ὑπὲρ τοῦ κοινοῦ σου σπουδαῖς, σέ τε τοιαῦθ' ὑπὲρ αὐτοῦ δύνασθαι, καὶ τοῦτο τοιούτων ἀπολαύειν ἐκ σοῦ καλῶν, ἐν ἴσῳ τῆς ἡμῶν εὐχόμενοι σωτηρίας. Ταραττέτω δέ σε τὰ παρὰ τοῦ φθόνου βέλη μηδόλως· πληγαὶ γάρ εἰσι νηπίων, οὐκ ἀμαυροῦν, ἀλλὰ λαμπρύνειν μᾶλλον, δυνάμενα· μόνος γὰρ σύ γε τοῦ φθονεῖν κρείττων. Καὶ κακοηθείας μᾶλλον ἢ φθόνου σημεῖον ἐκφαίνουσι καθ' ἑαυτῶν οἱ τολμῶντές τι τῶν σῶν ἔργων μέμφεσθαι. Οὐ γὰρ ἔχει τις ἀμιλλᾶσθαί σοι περὶ τῶν ὑπαρχόντων σοι καλῶν οὐδενὸς, οὔθ' ἁρπάζεις τὴν ὑπὲρ τῶν κεινῶν πραγματείαν, ἀλλὰ μᾶλλον ἠρεμεῖν σε βουληθέντα πολλάκις, ὥσπερ ψυχῆς τινος ἔρημα λελειμμένα, πρὸς ἑαυτὰ μετὰ βοῆς ἐβιάσαντο. Καὶ σύ γε πείθῃ τοῖς πράγμασι, καὶ ἡμῖν πᾶσιν ὑπὲρ τῆς αὐτῶν σωτηρίας σε δυσωποῦσι, καὶ πρὸ τούτων ἑπῃ Θεῷ (4) κελεύοντι· ὅθεν ἐλπίζεις ἥξειν σοι τοὺς μισθοὺς τῆς εἰς τὸ γένος κηδεμονίας· ἃ γὰρ δοκεῖς ἐκ τοῦ γένους εἰς ἀμοιβὴν ἔχειν τῆς ἀρετῆς, καὶ ταῦτα σοῦ μᾶλλον πρὸς αὐτὸ τυγχάνουσι χάριτες.

Ζῆθι τοίνυν, ἡμέτερε κόσμε καὶ κοινὸν ἄγαλμα, καὶ ἡμᾶς εὔχου σὺν ἰδιοπραγμοσύνῃ τὸν λοιπὸν ἀνύσαντας βίον, ἣν μετὰ τὰς ἀκάρπους τύρβας ἐκείνας εἰλόμεθα σὺν Θεῷ, οὐ τί τοὺς ἄλλους ὠφελήσαντες μηδὲ θέλοντας αὐτοὶ βλασφημησόμεθα, ἀλλὰ τί βελτίους αὐτοὶ τὰ πρὸς Θεὸν ἐσόμεθα σκοπουμένους ἀεὶ, μόλις τοῦτο δυνησομένους, τῆς κατὰ Χριστὸν πτωχείας, αὐτοῦ χεῖρα διδόντος, ἀπόνασθαι.

Μετάνοιαν (5), ἐκλαμπρότατε.

IΓ'. *Τῷ αὐτῷ μεγάλῳ δουκὶ ὁ αὐτός.*

Ἦν μὲν ἐπηγγειλάμην σοι πέμψειν ἐπιστολὴν, καὶ μὴ ἀπαιτοῦντι πεμφθήσεται (καὶ ἠσθήσῃ πάνυ λαβὼν), τὸ θεῖον ὕλην πεποιημένη, οὗ μάλιστα καὶ περὶ οὗ τὸν πλεῖστον ποιουμένῳ σοι λόγον πολλὴ μὲν ἐπὶ τῆς γῆς εὐφημία, πλείων δὲ ἐν τοῖς οὐρανοῖς μισθὸς, συναθροίζεται. Ἀλλὰ νῦν ταῖς καλλίσταις ἐπιστολαῖς ἠρέθισας ἡμᾶς ἀντιγράφειν, οὐκ ἀνασχομένους σιωπῇ παρελθεῖν τὴν ἐν ἐκείναις διαπρέπουσαν χάριν καὶ σύνεσιν. Ὁ μὲν γὰρ Ἡσίοδος (6) σοφὸν φησιν εἶναι τὸν πολλὰ εἰδότα φυᾷ· σὺ δέ γε τῇ μὲν φύσει νικᾷς τοὺς καὶ τέχνῃ μετὰ ταύτης σεμνυνομένους, ταύτην δὲ τῇ παιδεύσει λαμπροτέ-

---

Locutio est ex stylo ecclesiastico ac liturgico desumpta. Eadem formula sequens clauditur epistola. Symeon quidam in Crusii Turcogræc. p. 220 : ἀπονέμω μέν σοι. . . τὴν ὀφειλομένην μετάνοιαν. Et p. 221 : ἡ κυρᾶ Μακαρία ἡ Μπουζίκενα σοῦ ποιεῖ μετάνοιαν.

(1) Meminerat Odyss. I, 14 : Τί πρῶτόν τοι ἔπειτα, τί δ' ὑστάτιον καταλέξω ;

(2) Agi puto de Theocrito Chio, cujus nota est dicacitas. Dicti fontem non memini.

(3) Ditissimus fuit Notaras. Urbe capta, immensos auri, argenti, lapidum pretiosissimorum thesauros sultano frustra obtulit, quibus scilicet suam ac suorum vitam libertatemque redimeret. Illum tyrannus et filios vita simul ac thesauris privavit. Res narratur a Phranza, Chron. III, c. 9.—

(4) Respectu ad antiquum Pythagoræ dictum Ἕπου Θεῷ.

(5) Vide p. 149, n. 3.

(6) Non Hesiodus, sed Pindarus, Ol. II, 154 : Σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ.

ραν ἀπέφηνας, ὥστε καὶ λέγων ἀεὶ περὶ τῶν ἐκάστοτε συμπιπτόντων, κἂν ποτε δέησειε γράφων, ἐν μὲν λογίων χοροῖς ὑπ' ὀλίγων ἂν παρευδοκιμηθείης, οἱ πολὺ πλεῖον ἠττηθεῖεν ἂν ἐν τῇ τῶν νοημάτων δεινότητι, ἢ ὅσον δοκοῦσιν ἐν τῷ τῆς φράσεως ἀκριβεστέρῳ προέχειν. Εἰ δὲ ῥητορείας ἀληθινῆς, ἢ τὰς πολιτείας συνίστησιν, ἅμιλλα προῦκειτο, κἂν ἀπῆλθόν σου κατόπιν πάντες εὐθὺς, ὅσοις γε τοῦ χρήματος μέτεστιν.

Ἐγὼ δὲ οὐδὲν τοῦτο θαυμάζω, καίτοι τοσοῦτον ὄν, ἀλλ', ὅτι τοσαῦτα πράττειν ἔχων, ἐπεὶ καὶ τῷ μέρει τῶν λόγων ἐβουλήθης νεῖμαι σαυτὸν, οὔτ' ἐν ταῖς πράξεσιν ἀργότερος ὤφθης διὰ τοὺς λόγους, οὔτε πρὸς τοὺς λόγους ἐκ τοῦ πλείστα πράττειν ἀμβλύτερος, ὥστ' ἀφυεστέρους ἡμᾶς τοὺς παρὰ πάντα τὸν βίον λόγοις ἐνησχολημένους ἐλέγχεις. Οὐ γὰρ τῷ πλέον εἰδέναι φιλοτιμησόμεθα μᾶλλον, ἢ τὸ τοὺς ἀπὸ τῶν πραγμάτων ὑμᾶς ἐγγὺς ἡμῶν γίνεσθαι καὶ πάνυ νομιοῦμεν ἧττον ἡμῶν· δι' ὃ κἂν δεινῶς ἐβασκήναμεν, εἴ γε ἀπὸ τῆς ἴσης ἐκρινόμεθα τύχης.

Νῦν δὲ τὴν ὑμῶν ἀρετὴν εὐδαιμονίαν οἰκείαν κρίνομεν εἶναι, ὥστε καὶ σοφωτέρους ἡμῶν γενέσθαι καθάπαξ ηὐξάμεθ' ἄν, εἰ οἷόν τε ἦν. Εἴτε γὰρ δέοι τοὺς περὶ λόγους ἔχοντας ἐλπίζειν τι παρ' ὑμῶν ἀγαθὸν, πότε μᾶλλον αὐτοῖς χαριεῖσθε, ἢ τοῦ καλλίστου τῶν ἐπιτηδευμάτων ἐκ τῶν ἴσων αὐτοῖς συμμετέχοντες, ἔστι δ' οὗ καὶ νικῶντες· εἴτε μέλλοιμεν ὑπὸ λόγου κυβερνώμενοι σώζεσθαι, τοὺς ἐπὶ τῶν πραγμάτων ὑμᾶ, εὐξαίμεθ' ἂν ὑπερβάλλειν σοφίᾳ τοὺς ἀρχομένους, ὡς ἂν καὶ σώζειν μᾶλλον εἰδείητε. Εἰ δὲ σὺ μόνος ἐκ τῶν ἐφεστώτων τοῖς πράγμασι λόγων γεγονὼς θιασώτης, σὺν λόγῳ μὲν τὸ σκάφος ἰθύνεις ἡμῶν καὶ ταῦτ' ἐν τοσούτῳ χειμῶνι, εἰ δέ τι καὶ ἡμεῖς ἔχομεν ὠφελεῖν (ἐπιγινώσκεις καλῶς), τῶν ἄλλων, ὅ φασιν, οὐδ' ἴκταρ βαλλόντων, ἆρα νεμησητέον ἂν εἴη σοι τῆς περὶ λόγους φιλοτιμίας; ἢ κοινὴν εὐδαιμονίαν τόδε τίθεσθαι χρὴ, καὶ κόσμον μὲν τῆς πατρίδος, ἐπειδάν τις ἀλλοθέν ποθεν ἥκων, θαυμάσας σου τὴν παίδευσιν, ἀπαλλάττηται, ὠφέλειαν δὲ πρὸς τὸ κοινῷ καὶ ἡμῶν, ὅσοι παρὰ βαρβάροις ἂν ὠφθημεν ζῆν, εἰ μὴ σὺ θεόθεν πεμφθεὶς διδόναι λόγον καὶ λαμβάνειν ἠδύνασο, καὶ ὁπόσον τι τῶν ἀπαιδεύτων διαφέρουσιν εἰδέναι καλῶς πόλει μελλούσῃ σώζεσθαι ἄνδρες ἀπὸ βιβλίων ἀνηγμένοι καὶ λόγων μετὰ φρονήσεως;

Ἐγὼ δὲ τοὺς μὲν τῶν ἀνθρώπων οἶδα τὴν ἔμφυτον πονηρίαν δυνάμει λόγων αὐξήσαντας, τοὺς δ' ὑπὸ πολλῆς ἀλογίας οὐδὲν ἀμείνοσι τῶν ἐκ ναυαγίας κακοῖς τοὺς σφίσι συνόντας περιβαλόντας, τοὺς δὲ τὴν φυσικὴν ἀμορφίαν τοῖς ἐκ τῶν λόγων κάλλεσιν ἐπιχρώσαντας. Ἀλλὰ σύ γε, ἀνδρῶν ἄριστε, μετ' ὀλίγων, τὴν μὲν φύσιν, καὶ πρὶν τοῖς βιβλίοις σεαυτὸν ἐπιδοῦναι, τελεώτατος ἦσθα, νεώτερος μὲν ὤν, καὶ βουλεύεσθαι, καὶ στρατηγεῖν, καὶ πρεσβεύειν, οὐδενὸς τῶν ἐγγεγηρακότων τοῖς πράγμασι καὶ ταῖς ἐκείνοις (1) δεύτερος δόξας. περὶ ἃ δὲ τοὺς ἐπὶ τὰ μείζω γυμναζομένους ποιεῖσθαι χρὴ, ἐν τούτοις ἅπαντας ὑπερβὰς ἀπ' ἐλάττονος τῆς ἀσκήσεως, ὁπόσοι γε ταυτὶ συνεπόνουν· χρόνῳ δὲ συναυξομένων σοι τῶν καλῶν, οὐ κατὰ πλῆθος (εὐθὺς γὰρ πάντα σου τῇ φύσει συνῆν), ἀλλὰ μεγέθει μόνον καὶ κάλλει, καὶ ζῶντας τοὺς ἐφ' ἡμῶν ἀρίστους μεθ' ὑπερβολῆς ἀποκρύψας· ἐκείνων δὲ οἰχομένων, οὐ μετὰ πλειόνων, ἀλλὰ μόνος σχεδὸν ἐμπρέπων τῇ κυβερνήσει τῆς πόλεως, ὥστε δοκεῖν μὲν ταὐτά σοί τε καὶ τῷ καλλίστῳ νῦν βασιλεῖ καὶ πρὸ αὐτοῦ τἀδελφῷ (2), δοκεῖν δὲ τοῖς ἄλλοις οὐδὲν ὃ μὴ πρώτοις ὑμῖν δόξειεν, ἀλλ', ὥσπερ νόμοις ἑπομένους, συναγορεύειν καὶ ὑπουργεῖν, οὐκ ἔχοντας ἄμεινον ὧν ἂν ὑμεῖς ἐξεύροιτον ἐπινοεῖν, οὔτε τὴν ἀρχὴν πειρωμένους· ἅπαξ γὰρ συνεγνώκεσαν ἑαυτοῖς δυοῖν ἥττωμένοις, εἰ καὶ δοκοῦσιν ἄλλων προέχειν, εἶσι δ' ὧν ὡς εἰκός ἐστι καὶ προέχουσιν. Οὐ λέγω δὲ τοῖς ἄλλοις μεμφόμενος· τουτὶ γὰρ οὐδὲ σὸς ἂν ἦν ἔπαινος δήπου· ἀλλά σε πάνυ καλῶν πλεῖστον ἀποφαίνω βελτίω.

Ἐπεὶ δέ γε καὶ τὸν ἐκ τῶν λόγων κόσμον ἐζήτεις (οὗτος γὰρ ἐνέδει τῷ μεγέθει τῆς φύσεως), ἐν βραχεῖ χρόνῳ συνελέξω τὰ κάλλιστα, βιβλίοις ἐγκύψας, ἢ προσέχων, ἀναγινωσκόντων ἑτέρων, οὓς ἡ τῆς σῆς ἀρετῆς αἰδὼς, ἐνίους δή καὶ ἡ χρεία, καθ' ἡμέραν εἰς τὴν σὴν οἰκίαν συνῆγε. Καὶ νῦν, ἂν δέῃ τὸ συμφέρον ζητεῖν, συντάξει τε καὶ δεινότητι τοὺς περὶ αὐτοῦ ποιῇ λόγους, ὥσπερ ἂν τις ἥκων ἐκ τῶν Ἀθήνησί ποτε γυμνασμάτων· κἂν ἄλλη τις ὕλη λόγων προκέηται, πᾶς τις ἀκούσας εὐθὺς τὰ κράτιστα τῶν ἀρχαιοτέρων εἰς τὴν σὴν ἂν φαίη συνερρυηκέναι ψυχήν. Τίς γὰρ γνώμη σοφῶν τινος, τί δὲ μνήμης ἄξιον ἔργον τῶν ὁπουδήποτε γῆς ἀρξάντων καλῶς, οὗ συνεπίκοσμεῖ σοι τὸν λόγον, ἁρμόττως μνημονευόμενα; Καὶ πειρῶνται μὲν καὶ ἄλλοι τοῦ χρήματος, ἀλλ' ἔοικασι τοῖς ἐκ ξύλου καὶ λίνου συμπλέκειν καλώδιον βουλομένοις· οὕτως ἁρμόζει τῆς χρείας ἅπερ ἀπομνημονεύοντες λέγουσιν· σοῦ δέ ποτε τοιοῦτό τι λέγοντος, πᾶς ἂν τις φαίη μηδὲ τὴν ἀρχὴν πρὸς ἄλλην τοῦτο χρείαν εἰρῆσθαι, μήτ' ἄλλο τοῖς λόγοις δεῖν ἐπενηνέχθαι παράδειγμα.

Δογμάτων δὲ περὶ τῶν ἱερῶν οὔπω σε βούλομαι καθαρῶς ἐπαινεῖν· δέος γάρ ἐστι μὴ, τὴν ψῆφον ταύτῃ ἁρπάσας, ἐπηχθὴς ἡμῖν ποτε γένοιο, τὸ πολλάκις εἰρημένον ἐκεῖνο φέρων εἰς μέσον, τὸ τὸν Πάπαν (3) ἐν ἡμῖν ἀνακηρύττεσθαι δεῖν, ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας (4), ἐπειδάν τι πρὸς Θεὸν εὐσεβῶμεν, εἶναι δὲ καὶ οὕτως ὀρθοδόξους ἡμᾶς, καίτοι τἀναντία περιφανῶς τῷ Πάπᾳ πιστεύοντας, οὔτε δυναμένους ἄλλως πιστεύειν· ταῦτα

(1) Sic codex, loco corrupto. An τοῖς κοινοῖς ?
(2) Constantino Palæologo, tunc imperatori, et, ante illum, fratri Joanni Palæologo.
(3) De unione Ecclesiarum et primatu Papæ validæ tunc agitabantur Byzantii inter aulicos homines et ecclesiasticos controversiæ.
(4) Paulus II ad Tim. II, 15 : Σπούδασον σεαυτὸν δόκιμον παραστῆσαι τῷ Θεῷ... ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας.

δὲ καὶ τὸν Γαβριὴλ ἐξ οὐρανῶν νουθετοῦντα (1) παρεδράμομεν εὐλαβῶς, ὡς εἰκῇ τῇ πιθανότητι χρώμενον· εἰ γὰρ δύναιντο ταυτὶ συνεστάναι, αἴνιγμα τοῦτ' ἂν εἴη καὶ πέρα παντὸς αἰνίγματος.

Οὐ τοίνυν βουλόμεθα, πειρωμένου σου καὶ αὖθις περὶ τούτων πείθειν ἡμᾶς (2), μαλακώτερον ἀντιβαίνειν, ὡς ἐνεσχημένοι τῇ ψήφῳ, ἣν ἄν σοι νῦν περὶ τὰ δόγματα δοίημεν. Εἰ δὲ μὴ τουτὶ τὸ δέος ὑπῆν, κἂν παρεδώκαμέν σοι τῶν ἡμετέρων ἡγεμόνων τοὺς πλείους πάντα πεισθησομένους, ἅπερ ἂν βούλοιο· μὴ δυνάμενοι γὰρ ἀντιλέγειν, ἅμα δὲ καὶ περί τινας ἀντὶ τῶν πραγμάτων ἐπτοημένοι σκιὰς, ἅπαντα συγχωρήσουσιν. Ὅτῳ οὖ δὴ καὶ, ἐμοῦ ποτε συνόντος, ἐφιλοτιμήσω πολλάκις πεῖσαι μὲν τοὺς πένητας πρότερον ἅπερ οὐδὲ σαυτὸν ἐπιπείκεις, εἶτα πρὸς τοὐναντίον αὖθις μεταστῆσαι σφίσι τὰς γνώμας· ἐβούλου γὰρ οὐδ' αὐτὸς τὸ ψεῦδος τότε κρατεῖν, ἀλλὰ τὴν τῶν ἀνθρώπων ἕξιν ἐξήλεγχες. Κἀγὼ μὲν τὴν ἀρχὴν ἐτεταράγμην δεινῶς καὶ ἀντέλεγον· ἐπεὶ δὲ διατριβὴν ἠθόμην εἶναι τὸ πρᾶγμα, ἀχθόμενος ἠκροώμην ἅμα καὶ χαίρων. Οὐ δὴ δέδια μή ποτε προαχθείης ἑκὼν ἐξαπατῆσαι τοὺς ἄνδρας, ἀλλὰ μή ποτε μᾶλλον αὐτός τι παρενεχθῇς, εἰδὼς μὲν ὁπόσον ἐκεῖνα διαφέρει καλῶς, ἀνάγκην δέ τινα νομίσας ἰσχυροτέραν τῆς ἀληθείας, ὅπερ οἱ πολλοὶ πάσχουσι, καὶ κρίνας αἱρετώτερον εἶναι τὴν αὐτίκα ῥᾳστώνην τῶν ἀποκειμένων τοῖς ὀρθῶς δοξάζουσι καὶ πράττουσιν ἄθλων, καί τινα τῶν ἀνθρωπίνων φόβων ἐλπίσας ἀπαλλαγὴν ἡμῖν καταπράξασθαι, τοῦ Θεοῦ παροξυνομένου, καὶ διὰ τοῦτο πείθειν ἐθελήσῃς τοὺς ἄλλους, ἅπερ ἂν ὑπὲρ σαυτοῦ γε πρῶτον πεισθείης, δυοῖν ἀναγκῶν ἐνδεδωκὼς μὲν τῇ μείζονι, κακῶς ποιῶν, μὴ καλῶς δὲ κρίνας τὴν μείζω.

Ὁπόταν τοίνυν, ἐκεῖνα πάντα ἀφεὶς, τὴν τῶν πατρίων ἡμῖν ἐλευθερίαν συγκαταπράξῃ, Λατίνους δὲ ἐάσῃς ἀντιλέγειν ἡμῖν, καὶ πείθειν, εἰ δυνηθεῖεν, μετὰ τῆς ἀληθείας, ὅπερ οὐκ ἂν ποτε δύναιντο, ἕως ἂν περὶ τῶν οὐκ ὄντων μήτ' εἶναι δυναμένων βούλωνται πείθειν, τότε δὴ καὶ περὶ τούτων οἶσομέν σοι τὴν ἁρμόττουσαν ψῆφον, ὅσα δ' εἰς τὴν ἄλλην τῶν λόγων ἧκει δεινότητα, θαῤῥούντως καὶ πλείω τις τῶν εἰρημένων περὶ τούτων εἰπὼν, οὐκ ἂν τῆς ἀληθείας ἁμάρτοι.

Ἐρῶ δ' ἐφεξῆς καὶ τίνα τοῖς ἀπὸ τῶν λόγων ἄνθεσι λαμπρότερος; ὤφθης. Ἐλευθεριότης τοίνυν ἐστὶν, ἣν ἐπίσημόν τις εἰπὼν ὑπὲρ πάντας τοὺς πώποτε τοιούτους φανέντας σὸν γεγονέναι, ἐκείνους μὲν οὐκ ἂν ἀδικοίη, σοὶ δὲ τὸ κάλλιστον ἀναφέροιτο τῶν ἐπισήμων καὶ ὅσον ἐστὶν ἄντικρυς, ὅτι τῶν μὲν ᾀδομένων ἕκαστος ἑνί τῳ τοὺς ἄλλους ὑπερβαλὼν ἔτυχεν ἐντεῦθεν ὀνόματος, σὺ δ', ἐν ἑκάστῳ παρενεγκὼν ἕκαστον τῶν τῆς ὁμοίας μετασχόντων σοι τύχης, οὐκ ἂν ἔχοις ὅτῳ τῶν ὑπαρχόντων μᾶλλον γνωρίζοιο· καὶ διὰ τοῦτο τὸ πᾶσι μεθ' ὑπερβολῆς κεκοσμῆσθαι, σὸν ἐκράτησεν ἐπίσημον εἶναι.

Φρόνησιν μὲν γὰρ πρότερον εἰρηκῶς, παρίημι νῦν· οὐ γὰρ οἷόν τ' ἂν ἦν ἐκεῖνα, μὴ μετὰ φρονήσεως ἄκρας καὶ διὰ ταύτην, εἰς τὴν σὴν ψυχὴν συνδραμεῖν. Οὔτε περὶ σωφροσύνης φημὶ, ἧς σε πάντες ἴσασι καὶ τῶν ταύτην ὑπεσχημένων τε καὶ τηρούντων πολὺ πλέον ἔχειν, ἔν τε ταῖς ἡδοναῖς καὶ ταῖς λύπαις ἀκριβῶς τῷ τοῦ λόγου κανόνι μάλιστα χρώμενον. Ἀλλὰ τὴν γενναιότητα, τὴν μεγαλοψυχίαν, τὴν δικαιοσύνην, τὴν πρόνοιαν, τὴν πρὸς τοὺς φίλους εὐαρμοστίαν, τὴν πρὸς τοὺς ξένους φιλανθρωπίαν, τὸν οἶκτον, ἐν σοί τις ταῦτα πάντα, βουληθεὶς ἐναργῶς ἰδεῖν, ὄψεται. Ἀρτιμελὴ γὰρ καὶ ἀπηκριβωμένην τὴν ἰδίαν ἅπαντα φέρει, ὥσπερ εἴ πρὸς ἕν τι μόνον αὐτῶν τὸν σὸν συνέτεινες βίον· ὃ τοῖς πλείστοις, οἶμαι, συμβαίνει, οἷς ἕν τι μόλις τῶν καλῶν ἠσκηκόσιν ἀγαπητὸν ἐστιν, εἰ καὶ δευτέρου τινὸς ἀμυδρὸν ἐμφαίνοιεν εἴδωλον. Τὴν δ' ὑπὲρ τῆς κοινῆς ἁπάντων σωτηρίας σπουδὴν, οὐκ ἄνευ κινδύνων σοι πολλῶν δεδειγμένην (τῶν γὰρ ἀναλωμάτων ἧττων σοι λόγος), οὔτε τῶν ἡμετέρων καιρῶν ἐστιν ἐνεγκεῖν, οὔτε τῶν παρόντων λόγων ὑμνῆσαι· ἀλλὰ ξένην τινὰ φορὰν ὁ καθ' ἡμᾶς ἤνεγκε χρόνος, ὁμοίως τοὺς ἔν τε τοῖς ἔργοις μιμεῖσθαι πειρασομένους, τοῖς τε λόγοις ἐξυμνῆσαι βουλησομένους, ἀμηχάνοις ἐπιχειρεῖν ἐξελέγχουσαν.

Ἀλλὰ ταῦτα μὲν παρέργως ἀπηρίθμηται νῦν, καίτοι προὔργου καθ' ἡμέραν ἡμῖν καὶ πᾶσιν ᾠδόμενα· ὑπὲρ οὗ δὲ νῦν ἐνιστησάμεθα γράφειν, ἡ τῶν ἐπιστολῶν ἐκείνων ἐστὶν ὑπόθεσις. Τροφῶν μὲν δὴ μηδετέρας ἡμῖν φρόντιζε πέμπειν· εἰ γὰρ, ὡς ἔφησθα, ταῖς ἐνεργείαις τοῦ νοῦ τὸ παρὰ τῶν τροφῶν προσίσταται βάρος, ἑκάτεραι τὴν ἴσην ἡμῖν ἐνεργάσονται βλάβην, αἱ μὲν ἐκ τῆς ποιότητος αὐτῶν ἐνοχλοῦσαι, αἱ δὲ τῇ προσότητι λυμαινόμεναι· οὐ γὰρ ῥᾴδιον ἐγκρατῶς αὐτῶν ἅπτεσθαι, τοῦ δοκεῖν εὐκατεργάστους εἶναι, πρὸς τῷ κατὰ τὴν γεῦσιν ἡδεῖ, ποιοῦντος, αὐτῶν καὶ ταῦτα δαψιλῶς πεμπομένων, μόλις κεκορεσμένους ἀπανίστασθαι τῆς τραπέζης. Μᾶλλον δὲ φροντίζεις μὲν οὐδαμῶς, ἀλλ' εὐπόριστά σοι θεόθεν γῆ τε καὶ θάλασσα πέμπουσιν, ἀνθ' ὧν ὑπὲρ αὐτῶν ἀγρυπνεῖς ἐλαχίστην ταύτην χάριν ἀποτινῦσαι. Ἡμεῖς δὲ τούτων ἡμῖν ἀνηκόντων ὀλιγωροῦμεν, ὅπως ἀπολαυσόμεθά σου τῶν δώρων φροντίζοντες· προσήκει δ' ἡμῖν ἀντὶ τούτων

(1) Forsan de Eugenio Papa hæc sunt intelligenda, cui sæculare nomen Gabrieli fuit. Atque respectus fit ad verba Pauli ad Gal. I, 8 : Ἐὰν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν· . . . . . .

(2) Est hic aliquid difficultatis. Qui nunc Papæ ambitionem apud Gennadium defendisse videtur, fuit tamen unioni ac Papæ omnino adversarius, si Ducæ fides est habenda, qui, Histor. pag. 148, Lucam Notaram tradit cum Gennadio operam consociasse, et dixisse quoque summa cum petulantia, conducere magis ἐν μέσῃ τῇ πόλει εἰδέναι φακιόλιον βασιλεῦον Τούρκων, ἢ καλύπτραν Λατινικήν. Quæ est humanæ mentis natura, potuit Notaras Papæ favisse primum, dein adversatus esse Papæ. Ac sæpe homines politici aliud agunt, sentiunt aliud. Sequentia subindicant pristinis opinionibus Notaram valedixisse.

λιτὴ καὶ σχέδιος τράπεζα, καὶ τῶν ἐν ἀγροῖς ὀσημέραι διαιτωμένων οὐδέν τι πλουσιωτέρα. Καίτοι πονοῦσι μὲν ἐκεῖνοι πολλὰ, δι' ἃ κἂν ἀδρῶς τρέφοιντο· ἡμῖν δὲ πάντα μεμαγμένη μάζα, φασὶ, καὶ τὸν ἀργὸν βίον ἀνύομεν, δι' ὃν οὐδὲ καθάπαξ ἐσθίειν ὁ τοῦ Παύλου νόμος ἐᾷ (1).

Τοιαῦτα μὲν οὖν μὴ θέλε πέμπειν ἡμῖν· ἀλλ' ἐπειδάν του δεηθῶμεν τῶν ἀναγκαίων, αὐτοὶ πρὸς τὴν σὴν οἰκίαν καταφευξόμεθα, ἢ καὶ ἡμῖν πολλάκις ἐν ταῖς χρείαις ἐπήρκεσεν, καθάπερ ὀσημέραι πλείστοις ἀνέφγεν ἐλέου βωμός. Εἰ δ' ὁπόσον ἡμᾶς φιλεῖς καὶ τιμᾷς ἐντεῦθεν βούλει σοι δείκνυσθαι τοῖς πολλοῖς, ἔχουσιν ἐκ πολλῶν, εἰ βούλοιντο, καὶ ταῦτα γνωρίζειν· τῶν γὰρ ἀτεχνῶς μειζόνων οὐδενὸς ἀμελεῖς. Καίτοι καὶ ταῦτα, τῆς σῆς ἀρετῆς ἀπόδειξιν ἔχοντα, γίνεσθαι συγχωροῦμεν· ἄλλως δὲ, τῶν ἀνθρωπίνων τιμῶν ἅπαξ ἀπερρωγότες, τούτων χωρὶς τὸν ἡμέτερον ἀνύειν θέλομεν βίον. Ἐπαίνοις τε οὓς ἡμᾶς ἐπαινεῖς, ὅσον μὲν εἰς ἀκοῆς ἦκει χάριν, ἡδόμεθα, ἀχθόμεθα δὲ, τῶν λόγων τοῖς πράγμασιν ἐφαρμοζομένων· ἢ γὰρ ὑπ' εὐνοίας ἡμῖν τοσαῦτα χαρίζῃ, ἡμεῖς δὲ ἔρημοι παντὸς ἀγαθοῦ καὶ μάταιον ἄχθος τῇδε τῇ γῇ· καὶ τί ἂν τούτου λυπηρότερον εἴη; ἢ, τοιούτων ὄντων ὑπερορῶντες, ὑμᾶς αὐτοὺς ἀδικεῖτε· ὅθεν εὐλόγως ἂν ὑμῖν συναχθοίμεθα. Ἐφροντίσατε δ' ἂν οἰκείως ἡμῶν, οὐκ ἰχθῦς πέμποντες, οὐ ταρίχη, οὐδὲ δημοσίαις σιτήσεσι τρίφοντες, οὐδὲ ἀρχήν τινα νέμοντες, θορύβων οὐδὲν πλέον ἔχουσαν, ἀλλ' ἐφ' ἅπερ γεγένημεθα καὶ ἐληλύθαμεν, φασὶ, κεχρημένοι· ταῦτα δ' ἔστιν, ἐλέγξαι τοὺς ἁμαρτάνοντας, λῦσαι τὴν ἀπιστίαν ἢ ταῖς τῶν ἀνθρώπων ψυχαῖς δεινῶς ἐνεδάκχευσεν, ἀπὸ τοῦ ζοφώδους καὶ σκοτεινοῦ πρὸς τὸν ὡς ἀληθῶς ἀνθρώπινον καὶ χριστιανικὸν βίον μεταστῆσαι λόγῳ τοὺς ἕπεσθαι δυναμένους, δεῖξαι τοῖς ἐπιτρόποις πᾶσιν, εἴτε τῶν πραγμάτων, εἴτε τῆς πίστεως, ἃ πράττοντες ἐπιτροπεύσουσιν ἄμεινον, καὶ ὅπως τὴν τε καλλίστην τοῦ μεγάλου βασιλέως ψυχὴν σώσουσιν ἀληθείας λόγοις, οὐκ αἰσχρᾷ κολακείᾳ διαφθεροῦσι, καὶ σοὶ, τῷ καλλίστῳ τῶν ὀργάνων αὐτοῦ, οὐ ζητοῦντες ἀκόλους καὶ στρεπτοὺς, προσδραμοῦνται (2), καθάπερ ἡμεῖς ποτε τοῖς γονεῦσιν, ἀλλὰ μετὰ πατρικῆς παῤῥησίας μᾶλλον ἐροῦσί τι πρὸς ὀργὴν, καὶ δήξουσιν ἐν τῷ βάθει (οὐ γὰρ πάντα γε ὑμεῖς ἀναμάρτητοι, τὸ δὲ μικρὸν ὑμῶν ἀῤῥώστημα τοῖς ὅλοις πράγμασιν ὅλεθρος γίνεται)· ἐξυπνίσαι τὴν πόλιν σύμπασαν δεινὸν ὑπνώττουσαν, καὶ τὸ δεινὸν ἐπιὸν (3) οὐκ αἰσθανομένην, οὗ τὴν ἀπαλλαγὴν καὶ σώμασι καὶ χρήμασι καὶ πᾶσι τρόποις ἐξωνησάμενοι ἄν, ὡς οἱ πανταχοῦ σωφρονοῦντες (4)· τοῖς μὲν ἐντρυφῶσιν, ὡς ἀπόνως σφίσι σωθησομένοις, σκιαῖς δέ τισι καὶ μύθοις ὑπερορίοις (5) τὴν σωτηρίαν πιστεύουσιν, ὧν τὸ μάλιστα προῦργου, ἢ μετὰ τὴν προδοσίαν τῆς ἀληθείας ἐκ τῶν Παπικῶν χρημάτων ἐλπίς ἐστιν, ἢ τὸ δοκοῦντας ἔτι Λατίνοις συνῆφθαι ἀνεπιχειρήτους τοῖς ἐχθροῖς διαγίνεσθαι, καὶ τοιαῦταί τινες μικροψυχίαι καὶ δυσπιστίαι, τῆς οὐρανίου συμμαχίας ἐλαυνομένης ἀμφοτέραις χερσὶν, ἧς ἄνευ οὐδὲ μετὰ πλείστων τῶν ὑπαρχόντων ἂν δυναίμεθα σώζεσθαι, πρὸς ἦθος ἀληθοῦς πολιτείας πάντα μεταβαλεῖν συμβουλεύοντα, πείθοντα, καταναγκάζοντα· ὡς νῦν γε τῶν ἐν ταῖς σκηναῖς οὐδὲν διενηνόχαμεν πόλεων, εἰ μὴ καὶ χεῖρον ἐκείνων ἔχομεν, τῷ μηδὲ κίνδυνόν τινα προεῖναι ταῖς πεπλασμέναις. Εἰ γάρ τις τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς ἐπὶ πάντα διατείνοι τὰ τῆς πόλεως πράγματα, οὐ μᾶλλον ἀσθενῆ δι' ὀλιγότητα (6), ἢ διὰ ῥᾳθυμίαν τε καὶ σύγχυσιν ἀδύνατα σώζεσθαι, καὶ πρὸς τούτοις, οὐδ' εἰ σώζοιτο μέχρι πολλοῦ, σεμνὸν οὐδὲν ἔχοντα, ἀλλ', ὥσπερ ἐν σκότει βαθεῖ, ὡς ἔτυχεν ἐπιόντα ἀλλήλοις καὶ εἰκῇ συμπλεκόμενα, καὶ τῆς ποτε ἄνθης οὐδὲ λείψανον ὄντα, οὐδὲ δυνάμενα τέρπειν ψυχὴν εἰδυῖαν, καὶ δυναμένην ἀρετῇ καὶ κάλλει ψυχῶν τέρπεσθαι καὶ πολιτείας, ἴχνος τι σωζούσης τῶν φθομένων ἢ ὅσαι νῦν εἰσιν ἐπαινούμεναι.

Ἐπὶ ταῦτ' ἐβουλόμην ὑμᾶς ἐμοὶ κεχρῆσθαι (τὰ γὰρ ἄλλα παρίημι), καὶ τὸ νοσοῦν συνορῶντι, καὶ λόγοις ὑφηγησομένῳ καὶ ἔργοις συμπραξομένῳ· ἴσως γάρ τι μετὰ τοιαύτην σπουδὴν ἐγένετ' ἂν τοῖς πράγμασιν ἄμεινον. Ἀλλ' ὁ μὲν ἐν τῷ προτέρῳ σχήματι (7) χρόνος ἀργοτάτους εἶχεν ἡμᾶς, εἰ καὶ ποτέ τι λαθόντες ἢ βιασάμενοι τὸ κοινὸν ὠφελοῦμεν, οὔτε συνορῶντος σχεδόν τινος, οὔτε χαριζομένου· νῦν δὲ, καὶ τῷ σχήματι (8) κωλυθέντων, ἴσως οὐδὲ βουληθέντες χρῆσθαι δυνήσεσθε. Πρὸς ἄλλοις γὰρ ἡμᾶς εἶναι χρὴ, ἄλλοις πράγμασι καὶ ἄλλῳ δεσπότῃ δεδουλωμένους, ἐπεὶ καὶ τῆς μονῆς, ὡς οἶσθα, τὴν ἐπιμέλειαν ἐστέρξαμεν μὲν τὴν ἀρχὴν, λογισμοῖς θειοτέροις κεκινημένοι, ἀλλὰ νῦν, τῶν δεδωκότων ἐκείνην καὶ δεηθέντων πάνυ λαβεῖν οὐ πάνυ τοι (9) τοῖς ἡμετέροις συμφωνούντων σκοποῖς, οὐράνιον τοῦτ' δεξάμενοι σύνθημα περὶ τοῦ δεῖν μᾶλλον ἰδιοπραγμονεῖν, καὶ τὴν ψυχὴν καθαίρειν, καὶ ἀνάγειν πειρᾶσθαι τοῖς ἀπλανέσιν ἐκ Θεοῦ φωτισμοῖς καὶ ταῖς ὁδηγίαις τῶν ἀρχαιοτέρων ἐκείνων, καὶ τὴν μικρὰν ἐκείνην παῤῥησίαν ἀμέμπτως ἐφύγομεν.

Κἂν μὲν ὅτι τάχιστα τοῦ Θεοῦ τε καὶ τῆς πίστεως περιυβρισμένων λόγον ποιήσησθε, καὶ τὴν τῆς ἡμε-

(1) Paulus scilicet II ad Thessalon. III, 10 : Εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω. Hieronymus, Vita Hilarionis : « Fiscellas junco texens, æmulabatur Ægyptiorum monachorum disciplinam, et Apostoli sententiam dicentis : *Qui autem non operatur, non manducet.* »

(2) Codex, προσδραμοῦντας. Est ζητοῦντες ἀκόλους imitatio Homerici versus, Αἰτίζων ἀκόλους. . . . Et potuit στρεπτοὺς, quod est placentæ genus quoddam, a Demosthene sumere De cor. § 79.

(3) Turci urbem undique premebant.

(4) Sic codex.

(5) Sunt μῦθοι ὑπερόριοι Latinæ Ecclesiæ dogmata ; vel falsæ spes de Italorum auxiliis, quæ Papa Græcis, unione facta, pollicebatur.

(6) Hic aut vicino loco deesse videtur, εὕροι ἄν, aut simile aliquid.

(7) In priore vitæ statu, cum negotiis publicis interesset, munere fungens aulico κριτοῦ τῆς βασιλικῆς κρίσεως.

(8) Habitu scilicet monastico, quem nuper induerat.

(9) Gennadius, homo Græce doctissimus, scripsit, puto, πάνυ τι, cum id sit in usu, non π. τοι.

τέρας ἐκκλησίας λύσητε σύγχυσιν, εἴδωλον γοῦν τι τῆς προτέρας εὐταξίας ἐκείνης καταγαγόντες ἡμῖν, σπουδῇ τινι καὶ χρόνῳ κατὰ μικρὸν ἀκριβωθησόμενον ἴσως, γωνία τις καὶ ἡμᾶς συνέχουσα κρύψει, Θεῷ καὶ λόγοις ἐν μέσῃ τῇ πατρίδι προσέχοντας, κόσμου δὲ ἐπεισάκτου φροντίζοντας οὐδενός· ὁ γὰρ θεόθεν ἡμῖν, ὡς εὐδόκησε, δεδομένος καὶ βασιλείας αὐτῆς ἐστι τιμιώτερος, εἴ γε δεῖ Σολομῶντι πείθεσθαι (1) ψηφιζομένῳ περὶ ἀμφοτέρων οὕτω καλῶς, τῷ σοφῷ τε ἅμα καὶ βασιλεῖ. Εἰ δὲ μέλλοιμεν περαιτέρω τὸν Θεὸν παροργίζειν, ἀλλ' ἐμέ γε ὁ ἱερὸς οὐκ εἰς μακρὰν Ἄθως (2) δέξεται. Εἰσὶ δ' ἕτεροι παρ' ἡμῖν, οἳ, συνεργαζόμενοι τὴν τῶν θείων ὀλιγωρίαν,' τί χαριζόμενοι, καὶ τῶν ἐκεῖθεν σὺν ὑμῖν ἀπολαύσονται δήπου. Ταῦτα καὶ τῷ καλλίστῳ ὃς ἤδη προείρηκα βασιλεῖ. Ὁ δὲ Θεὸς ἡμῖν καὶ φυσητῆρα δοίη καὶ κάμινον, τοῦτ' ἔστιν, ἀντιλαβέσθαι τῶν αὐτοῦ τε τοῦ Θεοῦ καὶ πάντων τῶν πραγμάτων ποιήσειεν αὐτόν τε τὸν μέγιστον βασιλέα καὶ σὲ μετ' ἐκεῖνον, ἵνα μὴ μάτην ἡμεῖς ἀργυροκοπῶμεν (3), καὶ ἔτι μαίνεσθαι δόξωμεν, ἢ, ὃ χεῖρον, συκοφαντώμεθα ἐπὶ βεβαίαις τῆς ἐξ οὐρανῶν φιλανθρωπίας ἐλπίσιν, τῶν μὴ δυναμένων ἀντιβλέπειν πρὸς τοὺς ἐλέγχους ἢ διορθοῦσθαι ἐπὶ τὸ συκοφαντεῖν τρεπομένων.

(1) Respectu forsan ad Prov. III, 13-15.
(2) Montis Atho proprium est epithetum ἱερὸς, adeo ut τὸ Ἅγιον ὄρος omnino vocetur.
(3) Jerem. VI, 29 : ἐξέλιπε φυσητὴρ ἀπὸ πυρὸς, ἐξέλιπε μόλιβος· εἰς κενὸν ἀργυροκόπος ἀργυροκοπεῖ.

GENNADII SCHOLARII

PATRIARCHÆ CONSTANTINOPOLITANI

EXPOSITIO LITTERARUM QUÆ IN SEPULCRO CONSTANTINI MAGNI INSCRIPTÆ ERANT.

(Apud Anselmum Bandurium in *Imperio Orientali*, tom. I, p. 184.)

De reliquiis Constantini Magni.

Cum imperium regeret Constantius Constantini Magni filius, reliquias patris sui imperatorio cum

Περὶ τοῦ λειψάνου τοῦ Μεγάλου Κωνσταντίνου (1).

Ὅταν ἐβασίλευσεν ὁ υἱὸς τοῦ Μεγάλου Κωνσταντίνου ὁ Κωνστάντιος, ἀνεκόμισε τὸ λείψανον τοῦ

(1) Hæc Matthæus Cigala, Cyprius, cujus *Nova variarum historiarum Synopsis* Græce tantum edita fuit Venetiis apud Antonium Julianum 1637, in 4°, et in fine ejusdem habetur Gennadii Scholarii, patriarchæ Constantinopolitani, Expositio vaticinii supradicti. Quod quidem vaticinium cum expositione Gennadiana habetur etiam editum in fine Chronici Dorothei Monembasiæ metropolitæ, Venetiis apud Joannem Petrum Pinellum eodem anno. Verum in utraque editione ubi legitur μετὰ τῶν προκτόρων, scribendum esse puto προκτητόρων, quo etiam modo in versione expressimus. Προκτήτωρ quippe Græcis recentioribus *primus possessor* dicitur. Leges Cypriorum mss. Ἐὰν ὁ προκτήτωρ οὐκ ἠδύνατο κωλύσαι τὴν τοῦ ὕδατος πρόοδον, οὐδὲ νῦν ἀγοραστὴν δύναται κωλύειν, etc. Nonnulli ex amicis loco προκτόρων scribendum putant πρακτόρων, hoc est *exactorum*. Quid vero intelligat Gennadius Scholarius per illa verba præcedentia τὸ δὲ ξανθὸν γένος, facile ex aliis scriptoribus docemur. Sic Leo imperator oraculo de restitutione Constantinopoleos, quod primum edidit Leunclavius in fine Constantini Manassis Annalium, et deinde Lambecius post Oracula ejusdem Leonis in calce Codini *De originibus CP.*

Ἀλλά σε πυρίστατον καὶ ξανθὸν γένος
Πᾶσαν τεφρώσει καὶ τὸ σὸν λύσει κράτος.
Sed te perustam ab igne, te flavum genus,
Totam incinerabit, et regnum evertet tuum.

Ubi Lambecius hæc adnotat : « Antiquus, inquit ille, interpres oraculorum Leonis hæc ita vertit : *Sed te ignis summus, flavum genus.* Videtur ergo, subjungit idem Lambecius, in codice ejus pro πυρίστατον scriptum fuisse πῦρ ὕστατον. Illi vero, quos hic Leo igneum et flavum genus hominum appellat, videntur esse Latini, qui duce Balduino comite Flandrensium anno Christi 1203 [1204 scribendum], fugato Alexio Angelo Comneno, Constantinopolim ceperunt, et integros quinquaginta annos occuparunt. Idem similiter Ξανθοὶ vocantur in antiqua Græca Oraculorum Leonis Paraphrasi, φέρων τε τὸν πόλεμον καὶ τῶν Ξανθῶν τὰς μηχανάς. » Hucusque Lambecius prædicto loco. Et quidem non absre ; Ξανθοὶ siquidem dicuntur Græcis *Franci* sive *Alemanni*. Sic Pachymeres lib. I, cap. 18, τὸ Ξανθὸν καὶ ἀριμάνιον γένος, *Flava et bellicosa gens*. Danielis Visiones ex cod. Reg. 1845, καὶ κρατήσει ἐπὶ τὴν Ἑπτάλοφον τὸ Ξανθὸν γένος, ἐξ ἁπάντε, etc. Leonis Sapientis Ænigmata mss. cum explicatione lingua Græca vulgari in cod. Colbertino 5104 : Βασιλεὺς τῆς Ἀλαμανίας ἔρχεται εἰς τὴν Νέαν Ῥώμην, σκηνεῖ ἐν τῷ ἀμπέλι εἰς τὸν Ῥουφιάνας. τὸ λέγουν εἰς βοήθειαν τοῦ γένους τοῦ Ξανθοῦ γένους τῆς Ῥώμης. Et infra, ὅταν τὸ Ξανθὸν τὸ γένος λειλάτησε τὸν κόσμον. Vide Mauricii *Strategic.* lib. III, cap. 5 ; lib. IV, cap. 1 ; lib. II, cap. 4. Ξανθοὶ vero dicuntur Græcis Franci, Alemanni ac alii septentrionales populi ob capillorum colorem. Priscus Rhetor in Legat. pag. 40 scribit se Romæ regis Francorum filium vidisse, legationem obeuntem, μήπω Ἰούλου ἀρχομένου, Ξανθὸν τὴν κόσ-

πατρὸς αὐτοῦ ἀπὸ τὴν Νικομήδειαν μετὰ πάσης βασιλικῆς τιμῆς εἰς τὴν Κωνσταντινούπολιν, καὶ ἔθαψαν αὐτὸ μετὰ δόξης, καὶ παῤῥησίας, καὶ βασιλικῆς τιμῆς, ἐν τῷ ναῷ τῶν Ἁγίων Ἀποστόλων. Καὶ ἄνωθεν εἰς τὸ σκέπασμα τοῦ τάφου αὐτοῦ τοῦ εὐσεβεστάτου καὶ πρώτου βασιλέως τῶν Χριστιανῶν, εὑρέθησάν τινες σοφώτατοι ἄνδρες ἡγιασμένοι, καὶ προορατικοὶ τῷ καιρῷ ἐκείνῳ, καὶ ἔγραψαν ταῦτα τὰ κάτωθεν γράμματα εἰς τὸ σκέπασμα τοῦ τάφου, τὸ ὁποῖον ἦτον πορφυρόν· καὶ ταῦτα τὰ γράμματα δὲν ἦτον κατὰ λεπτῶς ἡ ἐξήγησις ὅλη τὸ τί δηλοῦν, ἀμμὴ ἔγραψαν μόνον τὰ στοιχεῖα τῶν πρώτων γραμμάτων, τὰ ὁποῖα γράμματα ἐδιαλάμβανον περὶ τῆς βασιλείας τῶν Τουρκῶν, καὶ περὶ τοῦ τέλους αὐτῆς. Λέγονται δὲ χρησμοί. Τὰ ὁποῖα ἐξήγησεν ὁ σοφώτατος πατριάρχης κὺρ Γεννάδιος, ὁ ὁποῖος ἦτον εἰς τὸν καιρὸν τῆς βασιλείας τοῦ κὺρ Ἰωάννου τοῦ Παλαιολόγου, ὁποῦ ἔκαμε τὴν ὀγδόην σύνοδον εἰς τὴν Φιορέντζαν, καὶ ὅταν τὰ ἐξήγησεν ἦτον κοσμικὸς, καὶ κριτὴς τῆς βασιλικῆς κρίσεως, τὰ ὁποῖα γράφομεν κάτωθεν ὡσὰν γραμμένα εἰς τὸν τάφον τὰ βασιλέως.

A honore Nicomedia Constantinopolim transtulit, atque in templo Sanctorum Apostolorum summa cum magnificentia imperatorioque honore sepelivit; et in operculo tumuli Porphyretici ejusdem piissimi ac primi Christianorum imperatoris quidam viri sapientissimi ac sancti, qui tunc temporis vivebant et futura prospiciebant, litteras quæ infra habentur, exararunt. Quæ litteræ quid significarent non minutatim exprimebant: sed prima solum vocum singularum elementa exhibebant. Eæ vero enuntiabant Turcarum imperium et finem ejus, vocanturque Oracula. Illa sapientissimus patriarcha Dominus Gennadius sub imperio Domini Joannis Palæologi, qui octavam synodum Florentiæ celebravit, exposuit; sæcularis ipse tum temporis erat, et imperatoriæ aulæ judex. Litteræ eo modo infra repræsentantur, quo erant conscriptæ in imperatorio sepulcro.

μην τοῖς αὐτοῦ περικεχυμένην διὰ μέγεθος ὤμοις. Et iidem sane populi *Flavi* dicuntur scriptoribus Latinis. Claudianus in Rufinum lib. II. de Gallis:

Inde truces flavo comitantur vertice Galli.

Idem Claudianus *De bello Getico*, de Sicambris:

Agmina quinetiam flavis objecta Sicambris.

Flavos Britones appellat auctor libri *De Disciplina Scholarium* cap. 2. Sanctus quoque Hieronymus ep. 7, ad Lætam, *Getarum rutilum et flavum* dixit. Cæterum quod attinet ad hujus epitaphii seu vaticinii veritatem, nemo est eruditus qui illud ceu commentum recentiorum Græculorum non respiciat: qualecunque tamen illud vaticinium sit, in variis nihilominus bibliothecis reperitur ms. una cum expositione Gennadii Scholarii patriarchæ Constantinopolitani, licet non semper sub eodem titulo; nam in bibliotheca Cæs. lib. v habetur cum hoc titulo: Χρησμοὶ Σολομῶντος καὶ ἑτέρων σοφῶν. Ταῦτα τὰ γράμματα εὑρέθησαν ἐν λίθῳ μαρμαρενίῳ τοῦ τάφου τοῦ Μεγάλου Κωνσταντίνου· ἐξηγήθη δὲ ταῦτα ὁ μέγας πατριάρχης Σχολάριος. Ipsum autem vaticinium cum Gennadiana interpretatione interlineari in nonnullis diversum apparet a nostro, ut ex hujusce initio, quod ibidem refert Lambecius, manifestum deprehenditur.

Τ ΠΤ Τ ΙΔ Η Β Α Τ ΙΜΑ Ο ΚΛ ΜΑΜ ΜΑ
τῇ πρώτῃ τῆς Ἰνδίκτου ἡ βασιλεία τοῦ Ἰσμαὴλ, ὁ καλούμενος Μωάμεθ, μέλλη
ΔΑΝΤΠΣ ΓΝ Τ ΠΛΟΑΓ Τ ΠΤΑΦ ΚΤΣ
διανατροπήσειν γένος τῶν Παλαιολόγων τὴν Ἑπτάλοφον κρατήσει, etc.

Meminit quoque hujus vaticinii et expositionis Gennadianæ Leo Allatius in *Diatriba de Georgiis*, pag. 404, qui docet hoc idem vaticinium reperiri in bibliotheca Vaticana, Scoriali regia VII, ζ', 1; Bavarica cod. 193, et in bibliotheca Antonii Augustini cod. 140. In uno ex dictis codicibus cum hoc titulo legi illud vaticinium scribit idem Allatius citato loco: Χρησμὸς ὅσπερ εὑρέθη εἰς τὴν Κωνσταντινούπολιν εἰς μίαν κολώναν μαρμαριτικὴν διὰ ψηφίων γεγραμμένος, ὃν ἐξεκαθάρισεν. Ἄλλοι δὲ λέγουν ὅτι ταῦτα τὰ γράμματα εὑρέθησαν σημειωμένα ἐν μαρμάρῳ τοῦ τάφου τοῦ Μεγάλου Κωνσταντίνου, καὶ ἐξήγησε ταῦτα ὁ ἐν ἁγίοις πατριάρχης Σχολάριος. Hoc est: *Oraculum Byzantii reperium in columna marmorea musivo descriptum, quod explanavit. Alii dicunt prædictas litteras incisas fuisse in marmore sepulcrali Magni Constantini, easque exposuisse sanctum patriarcham Scholarium.* Deinde subjungit idem Allatius: « Vaticinium hoc ipse primo Variorum antiquorum tomo, in Antiquitatum Constantinopolitanarum auctario a me præcitato cum aliis ejusdem Leonis, Methodii Patarensis, Theophili Romani, Danielis monachi, et aliorum vaticiniis connexui. » Verum hoc Allatii opus cui titulus *Varia Antiqua* nondum editum fuit, imo nec in catalogo Allatiano librorum ineditorum reperitur; idcirco puto virum illum de re litteraria optime meritum, antequam hoc opus absolvisset, morte præventum.

ΤΑ ΓΡΑΜΜΑΤΑ
ΟΠΟΥ ΗΣΑΝ ΓΡΑΜΜΕΝΑ ΕΙΣ ΤΟΝ ΤΑΦΟΝ ΤΟΥ ΜΕΓΑΛΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥ, ΚΑΙ Η ΕΞΗΓΗΣΙΣ ΑΥΤΩΝ.

—

LITTERÆ
QUÆ DESCRIPTÆ ERANT IN SEPULCRO MAGNI CONSTANTINI, EARUMQUE EXPLICATIO.

—

Τ ΠΤ Τ ΙΔΤ Π ΒΣΑ Τ ΙΜΑ Ο ΚΑΜΝ ΜΑΘ ΜΑ
τῇ πρώτῃ τῆς Ἰνδίκτου ἡ βασιλεία τοῦ Ἰσμαὴλ, ὁ καλούμενος Μωάμεθ μέλλη
Δ Ν ΤΡΠΩΣ ΓΝ Τ ΠΑΟΛΓ Τ ΕΠΤΑΦ ΚΡΤΣ ΕΣΘ
διὰ νὰ τροπώσῃ γένος τῶν Παλαιολόγων, τὴν Ἑπτάλοφον κρατήσει, ἔσωθεν
ΒΣΑΣ ΕΘΝ Π Α ΚΤΞ Κ Τ ΝΣ ΕΡΜΣ ΜΧΡ Τ ΕΞΝ
βασιλεύσῃ· ἔθνη πάμπολλα κατάρξῃ, καὶ τὰς νήσους ἐρημώσῃ, μέχρι τοῦ Εὐξίνου
ΠΤ ΙΣΤΓΤΝ ΠΘΣ Τ ΟΓΔ Τ ΙΔΚΤ ΠΛΠΝΣ ΚΤΞ Τ
Πόντου. Ἱστρογείτωνας πορθήσῃ. τῇ ὀγδόῃ τῆς Ἰνδίκτου Πελοπόννησον κατάρξῃ. τῇ
ΕΝΤ Τ ΙΔΚΤ Ε Τ ΒΡ Τ ΜΡ ΜΔ Δ Ν ΣΤΣ Τ ΔΚΤ Τ
ἐννάτῃ τῆς Ἰνδίκτου εἰς τὰ βόρεια τὰ μέρη μέλλῃ διὰ νὰ στρατεύσῃ. τῇ δεκάτῃ τῆς
ΙΔΚΤ Τ ΔΜΤ ΤΠΣ ΠΛ ΕΠΣΤΨ ΕΤ ΧΝ Τ ΔΜΤ
Ἰνδίκτου, τοὺς Δαλμάτας τροπώσῃ· πάλιν ἐπιστρέψει ἔτι χρόνον τοῖς Δαλμάταις
ΠΑΜ ΕΓΡ ΜΓ ΜΡΚ Τ ΣΤΒΝ Κ Τ ΠΘ Κ Τ ΦΑ ΣΝΔ
πόλεμον ἐγείρῃ μέγα, μερικόντε συντριβῆναι. καὶ τὰ πλήθη, καὶ τὰ φύλλα συνοδῆ
Τ ΕΠΡ Δ ΘΔΣ Κ ΞΡ Τ ΠΛΜ ΣΝΨ Κ Τ ΙΜΑ
τῶν Ἑσπερίων διὰ θαλάσσης καὶ ξηρᾶς τὸν πόλεμον συνάψουν, καὶ τὸν Ἰσμαὴλ
ΤΠΣ Τ ΑΠΓΝ ΑΤ ΒΣΑΣ ΕΛΤ ΜΚΡ ΟΛΓ Τ Δ ΞΘ
τροπώσουν. τὸ ἀπόγωνον αὐτοῦ βασιλεύσῃ, Ἐλαττον μικρὸν ὀλίγον. τὸ δὲ ξανθὸν
ΓΝ ΑΜ ΜΤ Τ ΠΚΤΡ ΟΑ ΠΜΑ ΤΠΣ Τ ΕΠΤΑΦ
γένος ἅμα μετὰ τῶν προκτόρων ὅλον Ἰσμαὴλ τροπώσουν, τὴν Ἑπτάλοφον
ΕΠΡ ΜΤ Τ ΠΝΜ ΤΤ ΠΑΜ ΕΓΡ ΕΦΑ ΠΓΡΩΜΝ ΜΧ
ἐπάρουν μετὰ τῶν προνομίων. τότε πόλεμον ἐγείρουν ἔμφυλον ἠγριωμένον μέχρι
Τ ΠΠΤΑ ΩΡ Κ ΦΝ ΒΣ ΤΤ ΣΤ ΣΤ ΜΤ ΦΒ ΣΠΣΤ
τῆς πεμπταίας ὥρας, καὶ φωνὴ βοήσει τρίτον, στῆτε στῆτε μετὰ φόβου. σπεύσατε
ΠΑ ΣΠΔ Ε Τ ΔΞ Τ ΜΡ ΑΔ ΕΡΤ ΓΝ ΘΜΣΤ Κ
πολλὰ, σπουδαίως εἰς τὰ δεξιὰ τὰ μέρη ἄνδρα εὕρητε γενναῖον, θαυμαστὸν, καὶ
ΡΜΛΟ ΤΤ ΕΣΤ ΔΣΠΤ ΦΑ Γ ΕΜ ΥΠΧ Κ ΑΤ ΠΡΑ
ῥωμαλαῖον. τοῦτον ἔξητε δεσπότην· φίλος γὰρ ἐμὸς ὑπάρχει· καὶ αὐτὸν παραλα-
ΒΤ ΘΑΜ ΕΜ ΠΑΡΤ.
βόντες θέλημα ἐμὸν πληρεῖται.

Indictione prima regnum Ismaelis, qui vocabitur Moameth, Palæologorum genus subvertet. Urbem septem collium obtinebit ; in ea regnabit ; multis gentibus imperabit ; insulas devastabit usque ad Euxinum Pontum ; Danubii accolas depopulabitur. Octava Indictione P. loponnesum sibi subjiciet. Nona Indictione ad Septentrionales partes bellum inferet. Decima Indictione Dalmatas profligabit. Rursum alio tempore contra Dalmatas magnum bellum excitabit, eosque partim atteret. Tunc multitudo gentium Occidentalium congregata, mari terraque bellum Ismaeli inferet, ipsumque superabit. Posteri ejus modico et tantillo tempore regnabunt. Flavum vero genus una cum primis possessoribus totum Ismaelem expugnabunt ; urbem septem collium cum ditione capient. Tum civile bellum concitabunt, quod ad quintam usque horam grassabitur : voxque ter clamabit : State, state cum timore. Festinate diligenter ad dexteram partem, virum invenietis generosum, mirabilem, et fortitudine eximia. Hunc Dominum habebitis : amicus quippe meus est. Hunc accipientes voluntatem meam facietis.

λαβυρίνθῳ τινὶ τῇ συμφορᾷ κατεχόμενος, ἀναπνεῦσαι δὲ μηδόλως δυνάμενος. Ἐπέρχεται γάρ μου τῇ μνήμῃ τὸ πάθος, καί μου τὸν νοῦν κατακλύζει τοῖς κύμασι, καθάπερ εἰ δεινῷ χειμῶνι καὶ τρικυμίᾳ περιπεπτωκὼς ἔτυχον. Ὅμηρος μὲν οὖν τὴν ἔριν ἐκ μικροῦ πρῶτον ἀπερχομένην ποιεῖ, κατ' ὀλίγον δὲ προχωροῦσαν, εἰς οὐρανὸν ἐστηρίχθαι καὶ ἐπὶ χθονὶ βαίνουσαν εἶναι· κἀμοὶ δ' αὐτῷ παραπλήσιόν τι συνέβη παθεῖν. Φλογὸς δίκην τὸ πάθος ἐπσύξει μου τῇ ψυχῇ, οὐ πρότερόν τε ἂν σταίη, πρὶν ἂν εἰς οὐρανὸν βαίη. Τοιαῦτα μὲν οὖν αὐτὸς πέπονθα, τοιαύτῃ κατέχομαί γε τῇ συμφορᾷ. Οἶμαι δὲ καὶ ὑμῶν περιγενέσθαι τὸ δεινὸν παντὸς οὐτινοσοῦν. Τίνα τοιγαροῦν, τίνα φωνὴν διωλύγιον οἷσω ἐξισωμένην τῷ πάθει; Ὦ συμφορᾶς ἀνηκέστου, ὦ ζημίας οὐ φορητῆς, πᾶσαν νικώσης παραμυθίας ὑπερβολήν. Φεῦ τῆς κοινῆς ὀρφανίας, ἢ τὸ ἀνθρώπινον κατείληφε γένος. Οἴχεται νῦν τὸ κοινὸν φιλοτίμημα, τὸ πολυτίμητον καὶ πολύζηλον τῆς φύσεως ἄγαλμα, ἡ μεγίστη καὶ θαυμασία τοῦ γένους φιλοτιμία. Οὐκέτι λοιπὸν περιώνυμος Σπάρτη, οὐκέτι Λακεδαίμων εὐδαίμων, οὐκέτι Πελοπόννησος ζηλουμένη. Ὦ φρικτῆς ἐκείνης ἡμέρας, ἢ τοσοῦτον ἐπεῖδε δεινόν. Ποῦ νῦν τὸ τῆς ὄντως σοφίας ἄπειρον πέλαγος; Ποῦ κάλλος, καὶ μέγεθος, καὶ ἡ ὑπὲρ ἄνθρωπον τῶν λόγων ἰσχὺς καὶ λαμπρότης; Σεσύληται νῦν ὁ κοινὸς θησαυρός. Ἐσθέσται λόγων δύναμις. Οἴχεται, φεῦ! ἐξ ἡμῶν τὸ πάντων τῶν καλῶν κάλλιστον, ἡ λαμπρὰ τοῦ γένους εὐδαιμονία, ὁ τῆς ὑψηλῆς σοφίας καθηγεμών, ὁ τῶν λόγων πατήρ, ἡ τῶν ἀρετῶν κορωνίς, τὸ κοινὸν ἁπάντων ἐντρύφημά τε καὶ καύχημα, ὁ τῶν ἀπορρήτων καὶ θείων μυσταγωγός. Τῷ γὰρ ὄντι θείας οὗτος ἐπὶ γῆς ἔλαχε μοίρας τῷ πάντα εἰδέναι· κἂν τις καὶ τῆς προσηγορίας ἐκείνης αὐτὸν ἀξιώσειεν, οὐκ ἂν, οἶμαι, τοῦ προσήκοντος ἀποπέσειεν. Ὅσα τε γὰρ ἐκεῖθεν παρῆλθε θεῖά τε καὶ ἀνθρώπινα, καὶ ὅσα εἰς βουλὴν καὶ ὅσα εἰς πρᾶξιν ἥκει, ὅσα τε ἐν στρατιωτικοῖς καὶ ὅσα ἐν πολιτικοῖς, φυσικοῖς τε καὶ πρακτικοῖς, οὐδὲν οὗτος ἠγνόει· πάντα δὲ ᾔδει, πάντα διηρευνήσατο, καὶ τοὺς ἁπάντων λόγους ἠπίστατο· καὶ οὐδὲν οὕτως ἀπόῤῥητον, ὡς μὴ σαφὲς παραχρῆμα τῷδε γενέσθαι, εἰς νοῦν τινος ὅλως ἐλθόν. Τούτου τὴν σοφίαν Ἕλληνες ὁμοῦ τε καὶ βάρβαροι διὰ θαύματος ἦγον, οὐ καθένα τε καὶ δύο καὶ πλείους, ἀλλ' ἡλικία πᾶσα καὶ πόλις καὶ γένος καὶ φύσις· τούτων δὲ μάλιστα οἱ πρὸς ἑσπέραν οἰκοῦντες, καὶ τῆς τοῦ ἀνδρὸς σοφίαν ἱκανῶς πειραθέντες. Συλλόγου τε γὰρ ἐκεῖσε θαυμαστοῦ γεγονότος ἀνδρῶν σοφῶν τε καὶ ἑλλογίμων, μεγίστου τε ἀγῶνος λόγων προκειμένου ἐπὶ ζητήσει τάχα τῶν τῆς Ἐκκλησίας δογμάτων, τί τις ἂν εἴποι, ὅπως τὸν ἄνδρα ἠγάσαντο τῆς τε σοφίας καὶ ἀρετῆς καὶ ἧς εἶχεν ἐν λόγοις δυνάμεως; Ὃς ἡλίου λαμπρότερον ἐν σφίσι διέλαμψε· κοινὸν δ' οἱ μὲν διδάσκαλον, κοινὸν τῶν ἀνδρῶν εὐεργέτην, κοινὸν τῆς φύσεως φιλοτίμημα, τοῦτον ἠξίουν· Πλάτωνα δ' οἱ δὲ καὶ Σωκράτην ὠνόμαζον. Οὐδὲ γὰρ ἐλείπετό τι, ὡς πάντες ἂν φαῖεν, τῆς ἐκείνων σοφίας. Τοῖν μὲν γὰρ ἀνδροῖν τούτοιν ἀμφοῖν θάτερος τῷ ὑπερβάλλοντι θατέρου λέλειπται· ὁ δὲ πρὸς τῷ πᾶσαν σοφίαν θείαν τε καὶ ἀνθρωπίνην ἐξητακὼς εἶναι, καὶ γράφων πόλλ' ἅττα ἐξήδετο, καὶ θαυμαστός τις ἦν ἐπ' ἄμφω. Ὃς παιδιάν τέ τινα τὴν Ἀριστοτέλους φιλοσοφίαν ἀπέλεγξε, τὴν πρὶν ὑπ' ἐνίων ὡς θείαν τινὰ ὑμνουμένην. Ἀλλὰ δὴ καὶ οἱ κρείττους τῶν γε νῦν ὄντων ὑφ' ἥλιον σοφῶν, παρ' οὐδενὸς ἄλλου ἢ τοῦδε αὐτοῦ τυγχάνουσιν ὄντες. Τῶν γοῦν κατὰ τὴν οἰκουμένην φανέντων, ἐξότου γεγόνασιν ἄνθρωποι, ὁ θαυμάσιος οὗτος προΐστατο· ὧν τῶν μὲν σοφίαν δή τινα ὑψηλὴν κεκτημένων, πολιτείαν δὲ ἄλλην τινὰ ἴσως ἐνίων ἐνδεικνυμένων, καὶ τῶν μὲν ἄλλο τι, τῶν δὲ ἄλλο τῶν ἐν λόγοις πεπαιδευμένων, τῷ δὲ ἄρα οὐ μόνον σύμφωνος ἦν ἡ σοφία τοῖς ἔργοις, ἀλλὰ καὶ διὰ πάντων ἦκε τῶν ὅσα εἰς λόγους, ὅσα τε εἰς θεωρίαν, καὶ ὅσα εἰς πρᾶξιν, ὅσα τε νῷ μόνῳ ληπτὰ, καὶ ὅσα ἐν ἁρμονίᾳ καὶ σχήμασι καὶ ἀριθμοῖς καὶ τῇ τῶν οὐρανίων περιόδῳ γνωρίζεται. Οὐκοῦν ἐλείπετο οὐδενὸς, ὅσα πρὸς ἀκριβῆ τῶν ὄντων κατάληψιν ἦν. Ἆρ' οὖν ταῦτά γε μόνα τοῦ ἀνδρὸς ἔχοιμεν ἂν θαυμάσαι; Πολλῶν μέντ' ἂν καὶ μεγάλων ἀποστεροῖμεν αὐτόν. Καὶ μὴν σωφροσύνην οὕτως ἐξήσκησεν, ὡς μηδενί τῳ τῶν ἄλλων ῥᾳδίως τῶν πρωτείων παραχωρῆσαι. Τῶν δὲ εἰς εὐψυχίαν φερόντων τίνος ἐλείπετο; Ὃς οὐδὲ ἥττηταί ποτε παρ' οὐδενὸς τῶν ἐν τῷ βίῳ, οὐ δόξης ἡράσθη κενῆς, οὐ πλοῦτον ἐζήλωσεν, οὐκ ἄλλο τι τῶν τοιούτων ἀπέβλεπεν, ἀλλ' ὡς οὐδὲν τὰ πάντα ἐνόμιζε. Καὶ μὴν καὶ δικαιοσύνη τοιαύτη τις ἦν τῷ ἀνδρὶ, ὡς λῆρον εἶναι Μίνω ἐκεῖνον καὶ Ῥαδάμανθυν τούτῳ παραβαλλομένους. Οὔκουν ἠθέσθη γοῦν οὐδεὶς πώποτέ τι τῶν ἐκείνῳ δοκούντων, ἀλλ' ὡς θεία ψῆφος τὸ τούτῳ δόξαν ἦν. Στέργοντες δ' οὖν ἄμφω καὶ προσκυνοῦντες ὅ τε ἡττηθεὶς καὶ ὁ νικήσας ἀπῆσαν, καί τοι μὴ οὕτω πεφυκότος τοῖς ἄλλοις συμβαίνειν· καὶ τοῦτ' εἰκότως, οἶμαι. Μόνος γὰρ οὗτος ἡ κομιδῇ σὺν ὀλίγοις ἀκραιφνῆ τῇ τῶν νόμων εἶχε κατάληψιν, ἐξηκριβωσέ τε, εἴπερ τις, α τοὺς ἀριστα. Ἐπεὶ καὶ εἴ γέ ποτε ἀπολέσθαι τούτους συνέβη, ἀκριβέστερον ἂν οὗτος ἐξέθετο Σόλωνός παντὸς καὶ Λυκούργου. Τοιοῦτος μὲν οὖν καὶ δικαιοσύνης κανὼν ἦν· καὶ οὐ λόγων ταῦτα μᾶλλον χάρις ἢ πραγμάτων ἀλήθεια. Ἀλλὰ μὴν καὶ φρόνησιν, τὴν πρώτην καὶ τελεωτάτην τῶν ἀρετῶν, τίς ὡς οὗτος ἐξήσκησεν; Ὃς γε καὶ τὰ μήπω γεγονότα εἰκάσαι καὶ μηνῦσαι τοῖς πᾶσιν ἄριστος ἦν, Κάλχαντος οὐδὲν διαφέρων, ὃς ᾔδει τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα. Γνῶναι δὲ ἄρα καὶ ἐλέσθαι τὰ δέοντα, καὶ ὅπως ἂν ἕκαστον ἀποβαίη, τίς προαισθέσθαι ὀξύτερος; Ἀλλὰ μὴν εἰ οἷόν τε ἦν πᾶσαν τὴν ὑφ' ὅτου γεγόνασιν ἄνθρωποι σοφίαν, εἰ καὶ παράδοξον ἴσως δόξω τῳ λέγειν, τῷ γε τῆς ἐκείνου σοφίας ἀγνῶτι, ὅμως δ' οὖν εἰ οἷόν τε ἦν ταύτην συλλαβεῖν τε καὶ εἰς ἓν ἀθροῖσαι, ὅση τε θεία καὶ ὅση εἰς ἀνθρώπους ἥκει, ὅση τε νῷ γνωρίζεται, καὶ μαθήσει προσγίνεται, καὶ ἐπινοίᾳ φαντάζεται, ὄντων, ἐσομένων, παρεληλυθότων, καὶ ὅσα εἰς λόγους καὶ ὅσα εἰς πρᾶξιν ἥκει, πάντα τε ᾔδει καὶ τοὺς ἁπάν-

των εἶχε λόγους παρ' ἑαυτῷ. Καίτοι τίς ἂν γένοιτο σοφία ταύτης ὑψηλοτέρα, ἤγουν φρόνησις τοῖς πᾶσι τελεωτέρα; Ὅσα τε εἰς εὐχῆς ἂν εἴη λόγον, πάντα τούτῳ προσῆν. Ἡρακλέους γενναιότερος ἦν, Αἰακὸν καὶ Βελλεροφόντην εἰς τὸ σῶφρον ὑπερηκόντισεν, Νέστορός τε σοφώτερος, Παλαμήδου δ' εὐμηχανώτερος ὁμοῦ καὶ σοφώτερος. Εὐβουλίαν ὑπὲρ πάντας ἐκέκτητο, ἀλήθειαν εἴπερ τις, θεοσέβειαν δ' ὡς οὐδείς. Ἄλλους ἐν ἄλλοις καὶ πάντας ἐπὶ πᾶσιν ἐνίκησε. Τὸ μὲν οὖν τοιαῦτ' ἄττα κτήσασθαι δυνηθῆναι, εὐδαιμον μὲν, οὐ ῥᾴδιον δέ· κρεῖττον γὰρ ὄντως ἢ κατ' εὐχήν. Τὸ δὲ φανῆναι μὲν τὸν ἔχοντα, εἶτ' αἰφνης οὕτω πως ἐκ μέσων τοῦτον ἀποπτῆναι, Ἡράκλεις, ὡς πικρόν τε καὶ πᾶσαν παραμυθίαν ὑπερνικῶν. Τίς τοίνυν, τίς Τελχὶν ἐφθόνησεν ἡμῖν τοῦ τοιούτου καλοῦ; Τίς τῆς τοιαύτης τοῦ γένους ζημίας καὶ κακοδαιμονίας ὁ μάλιστα αἰτιώτατος; Ὑπὲρ λόγον τὸ πάθος. Ὑπὲρ παραμυθίαν ἡ συμφορά. Φιλοσοφεῖν μὲν ἡμᾶς, ὦ παρόντες, ἐχρῆν καὶ τὸ πάθος γενναίως ἐνεγκεῖν βιάσασθαι, καὶ πάντας μὲν, μάλιστα δὲ τοὺς τῆς ὑψηλῆς τοῦ ἀνδρὸς σοφίας ἀντεχομένους, οἳ καὶ τὸ εἰς λόγους ὀσημέραι τούτῳ γενέσθαι εὐδαιμονίαν σφίσιν ἐτίθεντο, προὐργιαίτερον τοῦτο τῶν ἄλλων οἰόμενοι, ἄνδρες φιλομαθεῖς τε καὶ φύσεως δεξιᾶς καὶ γνώμης γενναίας, καὶ τῆς μεγάλης τοῦ ἀνδρὸς σοφίας ἐρασταί. Ἀλλ' ὑπὲρ φιλοσοφίαν τὸ πάθος. Μόνης τῆς θείας ἐκείνου γνώμης καὶ γενναίας ψυχῆς καὶ τοῦτο τεκμήριον γένοιτο (1), ὅς ἴσα καὶ ἀπαθεῖ κάμνων ἰᾴκει, ἄλλου δὲ οὐδενός. Νῦν δ' οἶμαι, καὶ τῶν ἀναισθήτων ἡ φύσις συμπάσχει, αἴσθησίν τινα τοῦ πάθους λαμβάνουσα, καὶ τὴν κοινὴν τῶν ἀνθρώπων κακοδαιμονίαν ἀποκλαιομένη. Ὦ οἷον ἡμῖν ὑποστῆναι συνέβη δεινόν. Ὁποία θρήνων ὑπόθεσις πρόκειται, ἐπιλησομένη μηδέποτε. Ὁποῖον ὀρᾶν ἀνεχόμεθα θέαμα τοῖς πᾶσι φρικτὸν, ὦ γῆ καὶ ἥλιε καὶ λογικαὶ φροντίδες. Ὄναρ μὲν ἄν τις ἴδοι, τάχ' ἂν ἐξέστη τοῦ νοῦ, καὶ οἰωνὸν ἀπαίσιον πάντως ὠήθη. Ὑπαρ δ' ἡμεῖς νῦν ὁρῶντες, πῶς γενναίως φέρειν ὑπομενοῦμεν; Ὦ οἷον ἡμῖν ἠνεγκας, χρόνε, πρᾶγμα ἄπιστον καὶ μετὰ τὴν πεῖραν. Ὦ τραύματος ἀνηκέστου. Ὦ συμφορᾶς ἀνυποίστου (2). Καίτοι ἔγωγε ᾠμην, εἰ οἷόν τε ἦν ἐν ἀνθρώποις ἀθανασίαν φανῆναι, οὐκ ἂν ἄλλῳ τῳ μᾶλλον ἢ τῷδε ἐγγενέσθαι. Ταῦτ' ἐπεπείσμην ἔγωγε τῇ ἀκριβεῖ προσοχῇ τῆς ἐκείνου διαίτης, τεκμαιρόμενος τόδε τῷ μηδέποτ', ἐξ ὅτου τοιαύτην εἵλετο δίαιταν, ἁλῶναί τι τῶν αὐτοῦ. Εἰ δὲ μὴ, ἀλλὰ κἂν γοῦν ἐπὶ μακροβιότητος ἐπιπλεῖστον ἐλάσαι, καὶ ὅτι ἐγγύτατα Τιθωνοῦ τε καὶ Ἀργανθωνίου βιῶσαι ἢ τοῦ παρ' ἡμῖν Μαθουσάλα. Ἐλάνθανον δὲ ἄρα ἠπατημένος κατ' ἄμφω. Καὶ τὸ μὲν τοῖς ἄλλοις οὕτως ἐπέναι σε, ὦ θάνατος, δεινὸν ὄν, οὐ δεινὸν ἴσως. Νυνὶ δὲ τί παθὼν τὸ κοινὸν ἡμῖν ἀφεῖλου καλὸν, ἀφορμήν τε θρήνων ἡμῖν ἐξεῦρες πάσας παρελθοῦσαν τὰς; προτοῦ; τὴν τοῦ γένους εὐδαιμονίαν, τοῖς εὖ φρονοῦσι τὴν θυμηδίαν, τὸ τῆς φύσεως ἄγαλμα, τοῦ ἀνθρωπίνου γένους τὴν εὐκοσμίαν, τὸν ἀνθρώπινον νοῦν, τὴν σοφίαν τὴν ὑψηλὴν, τὸν ὀφθαλμὸν τοῦδε τοῦ παντὸς, τὸν θειότατον καὶ μέγαν διδάσκαλον. Κεκλείσθω, φεῦ, μουσεῖα· οἰχέσθων λόγοι· σιγάτωσαν βίβλοι, μᾶλλον δὲ διαγραφέσθωσαν. Κεῖται γὰρ σιγῶν ὁ θειότατος καὶ μέγας διδάσκαλος. Εἰθ' ἡμεῖς ζῇν ὅλως καὶ πνεῖν καὶ τὸν ἥλιον ὁρᾶν ἀνεξόμεθα, ὀρφανίας ἔχοντες τοιαύτης αὐτὸν μάρτυρα. Ὑπὲρ ἧς πάντα προθύμως ἂν προὔμεθα, καὶ τῶν ἀναγκαιοτάτων δὴ μελῶν στέρησιν ἕκαστος ἂν ἠνέγκαμεν, ὡς ἂν ἕνα τοῦτον πριάμενοι εἰς κοινὸν ἀπαθανατίσωμεν κόσμον τῇ πατρίδι, τῷ γένει, τῇ φύσει. Ὦ πατρὶς ἐμὴ κακοδαίμων, ἡ τἄλλα μὲν δυστυχὴς, ὡς πάντων ἄμοιρος οὖσα τῶν χρηστῶν, ἑνὶ δὲ τούτῳ μόνῳ ζηλουμένη τε πᾶσι καὶ ἁδομένη, ὃ νῦν ἀπεβάλου καὶ τόδε. Τὸ δὲ δὴ χαλεπώτερον καὶ ὅπερ ἦκιστ' ἀνεκτὸν, ἐπὶ τίνι μᾶλλον ἐκαυχησάμεθ', ἄνθρωποί τε ὄντες καὶ λόγῳ τιμώμενοι; Πλοῦτόν τινες ἀπεβάλοντο; Ἀλλὰ σφαλερόν γε τὸ κτῆμα· ἄστατον γὰρ καὶ δοῦλον τῇ τύχῃ, κακίας τε μᾶλλον αἴτιον, καὶ τοῖς φαύλοις τῶν ἀνθρώπων περιγινόμενον, ἐπικίνδυνόν τε ἐφάνη τοῖς ἔχουσι νοῦν, καὶ σοφίας διόμενον, ἧς ἐξ ἀνθρώπων ἀπογενομένης καὶ πλοῦτος ἄχρεῖος καὶ τἄλλα, καθάπερ ναῦς ἀκυβέρνητος οὖσα. Ἰσχὺν ἕτεροι; Καὶ κρῶτον μὲν εἴγε τις ἀκριβῶς ἐξετάσαι βουληθείη, οὐδὲν τοῦτο μέγα. Εἰ γὰρ διὰ ῥώμην τοὺς ἀνθρώπους τιμήσομεν, λήσομεν σφᾶς αὐτοὺς πολλῷ τῶν ἀλόγων φαυλοτέρους ἀπεργασάμενοι, ἃ πολλῷ τῇ ῥώμῃ τῶν ἀνθρώπων προίσχουσιν. Ἔπειθ' ὅτι, εἰ καὶ τοῦτο δώσομεν ἴσως βιασθέντες, ἀλλ' ἑνὸς μὲν ἴσως ῥώμῃ τις ἢ καὶ πλούτῳ προέξει· δυοῖν δὲ οὐδαμῶς, ὅπου γε οὐδ' Ἡρακλῆς· εἰ δὲ δυοῖν, οὐ δήπου καὶ τεττάρων· εἰ δὲ τούτων ἴσως, οὐ δήπου καὶ δέκα, καὶ ἔτι πόλεως ὅλης, καὶ πρὸς τούτοις ἔθνους, καὶ πολλῷ γε μᾶλλον πάντων· σοφώτερος δέ τις οὐχ ἑνός τινος καὶ δύο καὶ δέκα μόνον, καὶ πόλεως, καὶ ἔθνους, ἀλλὰ καὶ τῶν ἐπὶ γῆς πάντων, δυνατὸν εἶναι. Ὁποῖος δὴ καὶ ὁ νῦν ἡμῖν ἐπὶ πένθει προκείμενος· μόνος γὰρ οὗτος ἔργα λόγου κρείττω παρέσχετο, ὡς προλαβὼν μὲν αὐτὸς τοῖς ἔργοις, ἐγὼ δὲ τοῖς λόγοις δεδήλωκα. Οὕτως οὐδ' οἱ ῥώμην ἀποβάλλοντες μέγα τι λοιπὸν ἀποβάλλειν δοκοῦσιν, ἐπεὶ καὶ νόσῳ ῥᾷστα θηρᾶται, γήρᾳ τε χαυνοῦται· σοφία δὲ μόνη τῶν πάντων ἀνάλωτον. Εἰ δὲ καὶ περιγενοίμεθα ἔσθ' ὅτε τῶν ἀλκιμωτάτων θηρίων, οὐ τῇ ῥώμῃ, σοφίᾳ δὲ μᾶλλον περιγινόμεθα. Ἄλλοι βασιλέα λοιπὸν ἀπεβάλοντο; Ἀλλ' οὐδὲ τοῦτο δεινόν· φαῦλοι γὰρ ὡς ἐπὶ τὸ πλεῖστον οἱ πλείους αὐτῶν, καὶ δι' εὐχῆς τὸ ὑπῆκεον πολλάκις σφᾶς ἀποβαλεῖν ἔχουσι, καὶ πολλῶν πολλάκις τοῖς ὑπηκόοις δεινῶν αἰτιώτατοι, πολλάκις τε ὄν ἔχουσιν ἀπεβαλόντες, ἔχουσιν ὃν ἂν προσκτήσαιντο. Δόξα μὴν σεμνὸν, ἀλλὰ πάντως ἀβέβαιον, καὶ ᾧ γε παριδεῖν ταύτην ἐγένετο, δόξα. Κάλλος δὲ περιμάχητον μὲν, ἀλλὰ πάντως ὀλιγοχρόνιον. Καὶ ὑγεία τίμιον μὲν, ἀλλ' εὐμετάστατον. Εἰ γοῦν ταῦτα τοιαῦτα, χαλεπῶς δ' οὖν ὅρως;

(1) Supplendum videtur ἄν.

(2) Sic, passivo sensu, minus Græce.

ἄνθρωποι τὸ τούτων ἐστερῆσθαί τινος φέρουσι, τί ἂν ἡμεῖς γενώμεθα, ἢ τί πεισόμεθα, ἢ τίνα παραμυθίαν μηχανησόμεθα τὸ κοινὸν ἀποβαλόντες καλὸν, τὸν ἄσυλον θησαυρὸν, τὴν ἀκένωτον τῆς σοφίας πηγὴν, τὴν καλλονὴν τῶν χαρίτων, τῶν ἀρετῶν τὴν ἑστίαν, τοῦ γένους τὴν εὔκλειαν; Ποῦ λόγοι, καὶ χάριτες, καὶ ἀρετὴ, καὶ σοφία; Οἴχεται, φεῦ, τὸ ἀξιοθέατον τοῖς ἀνθρώποις θέαμα, οὗ γε ἐπὶ τῇ θέᾳ πάντες ἐξέθεον· νυνὶ δὲ πάλιν ἐκπλαγήσονται τῷ τῆς ζημίας οὐκ ἀνεκτῷ, ὥσπερ εἰ πρὸς Γοργόνα πάλαι κατὰ τὸν μῦθον ἔτυχον ἀτενίσαι· οἶμαι δὲ, καὶ ἀπολιθωθήσονται τῷ μεγέθει τοῦ πάθους κατὰ τὴν πάλαι Νιόβην· ἢ καὶ ἀποδενδρωθήσονται κατὰ τὰς Ἡλιάδας, τὰ οἰκεῖα θρηνούσας κεκοπραγήματα· εἰ δὲ μὴ, ἀλλὰ κἂν γοῦν ἀλλοιωθήσονται τὴν πτηνῶν ἀμειψάμενοι φύσιν, καὶ δὴ παύσονται λοιπὸν ἐμφιλοχωροῦντες τῇ Σπάρτῃ. Τοῖς ἐν Ἅιδου κολαζομένοις ἀνεκτότερον οὐδέν τι πεπόνθαμεν. Τοῖς τὴν ὄψιν ἀποβαλοῦσιν οὐδέν τι διαφέρομεν. Ὥσπερ γὰρ εἴ τις τοῦ καθεστηκότος κόσμου τὸν ἥλιον ἐξέλοιτο, δυσχερὴς τε καὶ χαλεπὸς καὶ πολλῆς κατηφείας μεστὸς ὁ λειπόμενος ἂν τῶν ἀνθρώπων γένοιτο βίος, ἕκαστός τε ἂν ἑαυτῷ ἀβίωτον εἶναι ἡγήσαιτο, οὕτω νῦν ἡμῖν τὴν ὑψηλὴν τοῦ ἀνδρὸς σοφίαν ζημιωθεῖσιν ἐν σκότῳ καὶ ἀμαθίᾳ καὶ τῇ τῶν καλῶν ἀγνοίᾳ καταλειφθῆναι ἐγένετο, δυσκλεής τε πάντως ὁ λοιπὸς ἡμῖν ἔσσεται βίος, τὸν κοινὸν κόσμον ἀποβαλοῦσι καὶ τὸν τῶν διδασκάλων διδάσκαλον, ᾧ γε ἔργον νύκτωρ καὶ μεθ' ἡμέραν τὰς εὐεργεσίας τοῖς πᾶσιν ἀφθόνως προχέειν ἐγένετο, πλὴν γ' εἰς ἐμέ. Ἀλλὰ σὺ μὲν, ὦ γενναῖε (ὡς παρόντι γάρ σοι διαλέξομαι, καὶ συγγνώμῃ τῆς τόλμης, οὐδὲ γὰρ αὐθαδίᾳ μᾶλλον ἢ ἀθυμίᾳ τὸ τοιόνδε μοι τετόλμηται, καὶ τῇ σῇ γε ἴσως φιλανθρωπίᾳ τεθαρρηκότι, ἐπεὶ καὶ πάντα καρτερικώτατα φέρειν εἰώθεις), σὺ μὲν οὖν οὐκ ἔστιν ἐφ' ὅτῳ ἂν γέγονας ὅτῳοῦν πώποτε χαλεπὸς, πλήν τισιν ἴσως οἷς ἦν εἰς ἐμὲ καρτερίαν ἐνεδείξω καὶ μεγαλοψυχίαν· οὕτω γὰρ ἂν ἔγωγε τοῦτ' ὀνομάσαιμι. Ὅς πάντας μὲν εἰς ἱκεσίαν σὴν προυβαλόμην, καὶ οὐκ ἔστιν οὐδεὶς ὃν γε παρῆκα καὶ μὴ ἐπὶ τούτῳ γε ἐχρησάμην, τῆς τοῦ ἀνθρωπος εἶναί τε καὶ καλεῖσθαι προσηγορίας ἄξιος ὤν, ὅπως καὶ αὐτὸς τῆς ἐνούσης σοι σοφίας ἀπολαῦσαι ἀξιωθείην· οὔκουν ἡγεμόνας τοῦ γένους, οὐ τοὺς ἀξιώματι προὔχοντας, οὐκ ἄλλον οὐδένα δι' οὗ ἂν ἐπιτεύξεσθαι προσεδόκων· οὐδὲν δ' ὅμως ἀπωνάμην εἰς τέλος τῶν πολλῶν ἐκείνων καὶ ἀπείρων δεήσεων. Καίτοι γε σὺ προθυμότατα μὲν πάντας ἐδέχου, οὐδένα δὲ πώποτε ἀπεπέμπου. Τούτου χάριν εὐδυσχέραινον ἴσως ἔνιοι, φιλοῦντες μὲν τὸ καλὸν, φιλοῦντες δὲ ἐμέ. Ἐγωγέ τοι αὐτὸς, εἰρήσεται γὰρ ταληθὲς, μᾶλλον ἐθαύμαζόν σου τὴν καρτερίαν καὶ τὸ πρὸς πάντας οὕτως ἀνθίστασθαι γενναιότατα, ἢπερ ἐχαλέπαινόν σου τὴν ἀπαγόρευσιν. Εἰ καὶ αὐτὸς ἴσως ἐσίγας, γῆρας δὴ μόνον προβαλλόμενος, καίτοιγε ἐν ἄλλοις ἰσχυρότατά γε ἀντέχων. Ἀλλ' ἐμὲ μὲν οὐδεὶς λόγος ἢ χρόνος οὐδέποτε πείσει βασκαίνοντά σε τοῦτο ποιῆσαι (ἀγαθῷ γὰρ οὐδεὶς περὶ οὐδενὸς ἐγγίνεται φθόνος οὐδέποτε), ἀλλ' ἴσως μὲν τῷ γήρᾳ, ἴσως δὲ καί τινων βασκάνων ὑποβολῇ. Ὅμως δ' ἔγωγε ἐπιτεύξεσθαί με σὲ τῆς ἐλπίδος ὠνειροπόλουν, καὶ μὴ παντάπασί με τῆς προσδοκίας ἀποπεσεῖν. Νυνὶ δὲ πάντη καὶ παντελῶς τῶν ἐλπίδων ἐξέπεσον. Διασπαρησόμεθά τε οἱ λόγων ἐρασταὶ ἐπὶ τὴν τῆς οἰκουμένης ἐσχατιάν (1)· ἡ σὴ γὰρ ἐλπὶς μέχρι τοῦδε παρακατέσχεν ἡμᾶς. Καὶ πολλῶν ἴσως πειρασόμεθα δεινῶν, λόγους διώκοντες, ὧν καὶ αὐτὸς πολλὰ ἐμνήσθην πρὸς σὲ, ἵνα μὴ ταῦθ' ὑποσταίην. Καὶ πολλοὶ μὲν ἡμᾶς ἐρήσονται περί σου, ἀκούσονται δ', οἶμαι, φωνὴν ἀπευκταιοτάτην. Ἀλλὰ τί ταῦτα, καὶ μέχρι τίνος; Ἔδει μὲν ὡς ἀληθῶς, ὦ γενναῖε, τοὺς τὴν σὴν σοφίαν ὑμνῆσαι προελομένους μεγάλην τινὰ τὴν ἐν λόγοις ἔχειν ἰσχὺν, καὶ τῶν εἰς λόγους ἡκόντων (2)... Πλάτωνα καὶ Σωκράτην· μόλις γὰρ ἄν τις οὕτω τῆς ἀξίας ἐφίκοιτο· μᾶλλον δὲ τῆς μὲν ἀξίας οὐδεὶς ἂν οὐδέποτε ἐφικέσθαι ἰσχύσειεν, ἐγγυτέρω γε μὴν· ἡμεῖς δὲ μόνην προθυμίαν ἐνεδειξάμεθα. Ἀλλ' ἐγὼ μὲν, ὦ παρόντες, ἠττηθεὶς σφόδρα τῷ πάθει, ἀρκοῦντα ἐμαυτῷ τὸν θρῆνον ἐνεστησάμην· ἄλλοις δὲ ἴσως παραμυθίας μελήσει, εἴ γε ἐνδέχεται. Σὺ δὲ, ὦ θεσπέσιε, εἴ γέ τις ἡμῖν ἐπιφοιτᾷ τῶν αὐτόθι, μὴ παύσαιο μηδ' αὐτὸς φοιτῶν τε καὶ διαλεγόμενος, ἀλλὰ καὶ δι' ὀνείρων ἡμῖν φαινόμενος λάλει, διδασκάλων θειότατε καὶ σοφώτατε.

(1) Prope verum id eventu fuit, de Hermonymo certe in Gallia sedem quaesituro.

(2) Post ἡκόντων videtur in codice linea saltem una excidisse, nisi quid tale fuit : καὶ τῶν εἰς λόγους μάλιστα ἡκόντων, Πλάτωνος καὶ Σωκράτους.

ΓΡΗΓΟΡΙΟΥ ΜΟΝΑΧΟΥ

ΜΟΝΩΔΙΑ

ΤΩ ΣΟΦΩ ΔΙΔΑΣΚΑΛΩ ΓΕΩΡΓΙΩ ΤΩ ΓΕΜΙΣΤΩ,

Θεῦ (1)! τί ἂν ἄξιος, ὦ παρόντες, ἐκτραγῳδήσειε τὴν νῦν ἡμῖν ἐπενεχθεῖσαν ἀνύποιστον συμφοράν; οὐ βαρβάρων ἐπιδραμόντων ποθὲν καὶ τὴν Ῥωμαίαν λῃσαμένων καὶ δορυαλώτους ὅτι πλεί-

(1) Ex cod. Monac. 495 edidit Alexander in Appendice ad Plethonem *De legibus*. Notæ sunt viri docti.

στους ἀπαγαγόντων, οὐδέ τισιν ἐπισεισθέντων τειχῶν, ἢ τινος ἄλλου συμβάντος τῶν ἀνηκέστων, ἀλλ' ἀνδρὸς πάντων μὲν θειοτάτου, πάντων δὲ σοφωτάτου, πᾶσι δὲ κεκοσμημένου καλοῖς, ἐξ ἀνθρώπων, εἶμοι, τήμερον οἰχομένου, καὶ πένθος οἷον ἡμῖν καταλείποντος ἀφόρητον. Ὢ δεινοῦ πάθους, πάντα μὲν θρῆνον νικῶντος, πᾶσαν δ' ἀφανίζοντος συμφοράν, πᾶσαν δ' ἀπαναινομένου παραμυθίαν. Ὢ συμφορᾶς ἀνηκέστου καὶ μετὰ τὴν πεῖραν ἀπιστουμένης. Ὢ τῆς ἡμῶν δυσπραγίας, μᾶλλον δὲ κοινῆς τοῦ γένους παντὸς τῶν ἀνθρώπων. Φεῦ τῆς παρὰ πᾶσαν ἐλπίδα κακοδαιμονίας ἡμῶν. Τί ποτε ἄρα τοσοῦτον ἡμεῖς προσεκερούκαμεν; Τίς δὲ καὶ τοσοῦτον ἡμῖν ἐβάσκηνε δαίμων, ὥστ' ὑποστῆναι δικαίως τοιαύτην καὶ τοσαύτην ζημίαν; Ὢ νόσου δεινῆς ἐκείνης καὶ χαλεπῆς, ἣ τοσοῦτον ἴσχυσε καθ' ἡμῶν, πάσης μὲν κρείττονος ἀναφανείσης ἐπιμελείας, πᾶσαν δὲ θεραπείαν ἐξελεγξάσης. Ποῦ ποτε ἄρ' ἦσαν βασκάνων ἰατρῶν τότε παῖδες;.... αν τοσοῦτον ὅσον πάλαι γύναιόν φασιν Ἀττικόν; Ὢ οἷον ἡμῖν ὑπῆρξε θεάσασθαι· οἷόν συνέπεσε πειραθῆναι. Πῶς ἤνεγκεν ὄψις ἰδεῖν τὸ δεινὸν ἐκεῖνο καὶ φρικτὸν θέαμα, καὶ πάσης ἐπίκεινα συμφορᾶς; Πῶς οὐ τῆς εἰωθυίας βάσεως παρετράπησαν πόδες, καὶ πρὸς γῆν τὸ σῶμα τουτὶ κατέῤῥαξαν; Πῶς ὄψις οὐκ ἠλλοιώθη τῇ τοῦ μεγίστου λαμπτῆρος δύσει; Πῶς οὐκ ἐξέστη οἷον ὤχετο ἀπιοῦσα, τοῦ ἐνεργείᾳ καταλείψαντος αὐτὴν νοῦ; Οἴχεται, φεῦ! ὦ παρόντες, ὁ τῶν ἀπορῥήτων πολυπράγμων καὶ θείων, ὁ τῶν ὑψηλῶν οὐρανίων δογμάτων μυσταγωγός, ὁ πολυχωρότατος καὶ θειότατος νοῦς, ὁ τῆς ὑψηλῆς φιλοσοφίας θεῖος καθηγεμών, ὁ πᾶσαν μὲν θείαν σοφίαν σὺν ἐπιστήμῃ, πᾶσαν δὲ ἀνθρωπίνην ἐξητακὼς, καὶ δι' εὐφυΐαν καὶ μνήμην καὶ μεγαλόνοιαν ὑπὲρ φύσιν ταύτην συνειλοχὼς, καὶ ὑπὸ φιλανθρωπίας καὶ εὐσπλαγχνίας τοῦ ποτίμου καὶ θείου νάματος δαψιλῶς τοῖς ἐθέλουσι μεταδιδοὺς ὁσημέραι. Οὐδὲ γὰρ οὐδ' ὁτιῳοῦν τῆς ὠφελείας ὤφθη τῶν πάντων βασκῆναι, ὅπερ ὁρῶμεν ὁσημέραι πάσχοντας ἄλλους. Ἔδυ, φεῦ! ὁ διαφανώτατος καὶ λαμπρότατος τῆς οἰκουμένης ἀστὴρ, ὁ πρότερον μὲν τῷ οἰκείῳ κάλλει κοσμῶν τὴν ὑφ' ἥλιον πᾶσαν, νῦν δ' ἀκοσμίαν πᾶσαν καὶ σκότος βαθὺ τῇ δύσει καταχεάμενος. Οὗ τὴν ἐπιστήμην καὶ σοφίαν καὶ ἀρετὴν οὐ μόνον Ἑλλήνων οἱ πειραθέντες, ἀλλά γε καὶ Ῥωμαίων αὐτῶν εἰ χρείττους ὑπερηγάσθησαν· οἵ γε καὶ τοσοῦτον ἐθαύμασαν τὰς ἀναντιῤῥήτους ἀποδείξεις ἐκείνου, μᾶλλον δὲ τοσοῦτον ἐδέησαν δύνασθαι ἀντιβαίνειν, καίτοι καὶ πολλὰ πειραθέντες, ὥστε τὸν φίλον τῦφον αὐτῶν καὶ τὴν σύντροφον τότε γοῦν κομψείαν διωσάμενοι πᾶσαν, προκαλινδούμενοι τοῖς σεπτοῖς ἐκείνου ποσὶ, σφᾶς αὐτοὺς πρὸς ἐκεῖνον διαῤῥήδην μηδὲν εἰδότας ὁμολογοῦντες, ἠξίουν τι πυνθάνεσθαι παρ' αὐτοῦ ὧν οὐκ ἤδεσαν πρώην· οὐδ' ὑπὸ φιλανθρωπίας οὐκ ἀπηξίου καὶ τῆς ὠφελείας σφίσι μεταδιδόναι.

Νῦν δ', οἶμοι, σιγῶσα κεῖται ἡ σάλπιγξ ἡ Ἑλλὰς, ἡ καλλικέλαδος χελιδὼν, ἡ τῶν χαρίτων ἑστία, ἡ φιλοτιμία τῆς φύσεως, ἡ θεσπεσία φύσις καὶ λαμπροτάτη, ὁ τῶν δυστυχεστάτων Ἑλλήνων διαφανότατος καὶ λαμπρότατος κόσμος, μᾶλλον δὲ τοῦ τῶν ἀνθρώπων γένους κοινῇ, ἡ θαυμασία τοῦ Θεοῦ πρὸς ἀνθρώπους εὐεργεσία, ὁ τῶν ἱερῶν ψυχῶν φωτισμὸς, ὁ πᾶσαν μὲν γῶσιν, πᾶσαν δὲ σοφίαν, πᾶσαν δὲ ἐπιστήμην ὑπερφυῶς διελθὼν, καὶ διὰ τοῦτο κανὼν καὶ τύπος καὶ στάθμη πᾶσιν ἀναδειχθεὶς τῶν καλῶν καὶ τιμίων ἁπάντων, μᾶλλον δὲ (καί μοι μηδεὶς τῶν παρόντων νεμεσήσῃ τοῦ λόγου, μηδὲν προὐργιαίτερον πανταχοῦ ποιουμένῳ τῆς ἱερᾶς ἀληθείας, ἐπεὶ μὴ οὐχ ὅσιον ᾖ ὁτιοῦν τῶν πάντων ἐκείνης ὑπερτιθέναι) ὅσην ὑπ' ἀγαθότητος ἡ τοῦ Θεοῦ σοφία πεποίηκεν ἢ παρήγαγε κτίσιν, νοητήν τε καὶ αἰσθητὴν, ταύτην ὁ μέγας οὗτος ἐξητακὼς πᾶσαν μετὰ Θεοῦ καὶ ἀναλαβὼν, ἐπιστήμην θείαν καὶ ἀνθρωπίνην μόνος συνείληφε, καὶ πάνθ' ὅσα πάντες ᾔδεσαν ἐν τῷ μέρει συνειλοχὼς ὑπὲρ πάντας, ἔργον τι θεῖον καὶ τελεώτατον καὶ τῆς ἀπείρου τοῦ Θεοῦ σοφίας ἄξιον ἑαυτὸν ἀποδείξας. Ὅταν γὰρ ὁ Θεὸς εὐγνώμονος ψυχῆς καὶ βίου θεοειδοῦς ἐπιλάθηται, καὶ τῶν ὑπὲρ φύσιν χαρίτων θησαυρὸν καὶ ταμεῖον ἑαυτὸν ἀποδείκνυσι. Παῦλος μὲν οὖν, ὁ θεῖος μυσταγωγὸς, καὶ τῶν ἀπορῥήτων τὴν γνῶσιν ἀξιωθείς, τῇ τῶν κτισμάτων φησὶ θεωρίᾳ καὶ κάλλονῇ πρὸς τὴν τοῦ νοητοῦ Θεοῦ θεωρίαν ἤτοι κατάληψιν τὸν ἀνθρώπινον, ὅσον ἔξεστι, προβιβάζεσθαι νοῦν, μονονουχὶ ταὐτὰ τῷ θειοτάτῳ Δαβὶδ φθεγγόμενος· οὐρανὸν γάρ φησι κἀκεῖνος δόξαν διηγούμενον τοῦ Θεοῦ. Ἀλλ' αὕτη μὲν ἡ θεωρία καὶ κατανόησις ἐναριθμήτων δήπου τινῶν, καὶ μάλιστα τῶν τὰς αἰσθήσεις παραλλαξάντων, ἤτοι τὴν περὶ αἰσθητὰ πλάνην, ἐστὶ, καὶ τῆς θαυμαστῆς κατὰ νοῦν ἐνεργείας ἀξιωθέντων. Ὁ δὲ θεσπέσιος οὗτος καὶ μέγας καθηγεμὼν, οὐ μόνον τῷ οἰκείῳ κάλλει καὶ κόσμῳ τῆς ἀρετῆς πάντας ἐνῆγε πρὸς δόξαν τοῦ ὑπερουρανίου Θεοῦ, ἐφ' ᾧ καὶ Πλάτων ὁ μέγας φησὶ τῇ κεφαλῇ τοὺς ὀφθαλμοὺς ἀναφθῆναι, ἀλλὰ καὶ διὰ τὴν τοῦ ἡμετέρου νοῦ συγγένειαν πρὸς τὰ νοητὰ πολλῷ ῥᾷον ἐκείνων καὶ βέλτιον τοὺς πειρουμένους πρὸς νοητὸν παρέπεμπε κάλλος, οἷονεὶ χεῖρα ὀρέγων αὐτοῖς πανταχοῦ, ὡς οὐ κενὸν ἐκείνων παρεπομένων καὶ τῆς οἰκείας (1)..... ὃ δὴ τέλος ἐστὶ τῆς ἀνθρωπίνης ζωῆς, καὶ πρὸς ἣν πᾶσα ἔφεσις τείνει, καὶ ἧς ὁ νοῦς ἐπιλαβόμενος ὁ ἀνθρώπινος, τῆς μακρᾶς πλάνης ἀπαλλαγεὶς, παύεται πολυπραγμονῶν περαιτέρω. Οὕτω δὲ πάντων καλῶν καὶ τιμίων θησαυρὸν ἑαυτὸν ἀποδεδειχὼς καὶ θεοείκελον οἷον κοσμιότητος καὶ θειότητος (2)..... προσειπεῖν, ἤγουν ἐγγὺς ἐλθεῖν τῆς ἀξίας. Καὶ ταῦθ' οὕτω συγκεχυμένος ὡς ὁ ἐμὸς ἥδη (3), καὶ οἷον ἀπολιθωθεὶς τῇ τοῦ δεινοῦ χαλεπότητι, καί τινος δήπου καὶ αὐτὸς παραμυθίας δεόμενος, ὅπου γε πάντας, εἰ οἷόν τ' ἦν, εἰς ταὐτὸν συνελθεῖν καὶ κοινῇ

(1) Lacuna in codice non apparet. Subest tamen, in qua latere suspicamur vocem εὐδαιμονίας. Eaque sententia, de felicitate hominibus usque, tanquam præcipuo fine, proposita, sæpe recurrit apud Plethonem *de Legibus*, pag. 16, etc.

(2) Lacunam quivis suboloratur.

(3) Suppl. νοῦς, quod in lacuna fortasse delituit.

συγκροτῆσαι τὴν εὐφημίαν, οὐδ' οὕτως ἂν τοῦ παντὸς ἐφικέσθαι λογίζομαι. Ὅμηρος μὲν οὖν τὸ τῶν Ἀχαιῶν πλῆθος ἐπὶ τὸ μεῖζον κοσμῶν, ᾗ φιλεῖ ποιεῖν τὸ τῶν ποιητῶν φῦλον, μόνος ἂν τὰς Μούσας ἐξαριθμῆσαί φησιν, ἅτε μηδὲ δέκα δυνηθέντων γλωσσῶν πρὸς τοσοῦτον ἔργον ἀρκέσαι, ἴσως ἀριθμοῦ μηδὲν ξυνιέντων, ὥσπερ Ἕλληνες εἶχον πρὶν σφίσι ξυγγενέσθαι τὸν αὐτομαθῆ Παλαμήδην, οἵ γε μηδὲν ἐπαΐοντες τοῦ ἀριθμοῦ πέρι, οὐδ' ὅσους εἶχον ᾔδεσαν πόδας, ἐπεὶ καὶ μόνη μία (1) εἰδυῖα πρὸς πολλοὺς τοσούτους στρατοὺς ἂν ἤρκεσε. Τοῦ δὲ μεγάλου τούτου πρὸς εὐφημίαν οὐ Μοῦσαι καί τινες φλυαρίαι, ἀλλὰ τίς ἂν νοῦς ἤρκεσε χωριστός; Νῦν δ' ἴδει Πλάτωνος δήπου ἢ Θουκυδίδου ἢ Ξενοφῶντος καὶ τῶν κατ' ἐκείνους σοφῶν τὸν ἑαυτῶν ἀξίως ὑπωσοῦν ἐραστὴν ἐπαινέσαι, μᾶλλον δὲ καθηγεμόνα, εἰ μή τῳ δυσχερὴς ὁ λόγος ἐστί, καὶ διδάσκαλον. Οὐδὲ γὰρ ἂν, εἰ συνέβαινεν ἀλλήλους ἰδεῖν (γνώμης γὰρ οὕτως ἔχων τυγχάνω), τῷ μεγάλῳ τῶν πρωτείων ἠμφισβήτησαν πέρι, ἀλλὰ κἀκεῖνοι τὸν οἰκεῖον ἐπιγνόντες καθηγεμόνα, ὡς εἰκὸς ἂν αὐτῷ παρεῖχον τὸ συγκεχωρηκὸς πανταχοῦ. Ἐπεὶ κἀκείνους, εἰ μὴ τοί; ὅμμασι, τῇ γοῦν καταλελειμμένῃ περὶ αὐτῶν ἱστορίᾳ ἴσμεν ὁποῖοί τινες ἐγένοντο. Ἐγὼ δὲ τὴν μὲν πᾶσαν σοφίαν κατ' ἐκείνους τὸν μέγαν, μᾶλλον δ' ὑπὲρ ἐκείνους ἄντικρυς ἰσχυρίζομαι γεγονέναι· τὴν δ' ἀρετὴν οὐχ ὅπως ὁμοίους ἐκείνῳ γενέσθαι, ἀλλ' οὐδ' ἐγγὺς ἐλθεῖν· ἀτεχνῶς παῖδες γὰρ ἂν φανεῖεν παραβαλλόμενοι πρὸς τὴν ἐκείνου θειότητα. Ἐκείνους τοίνυν ἐάσας χαίρειν, ὡς ἂν μὴ τούτοις παραβάλλων καθυβρίσω τὸν ἄνδρα, Βασιλείῳ καὶ Χρυσοστόμῳ, εἰ δὲ βούλει καὶ Γρηγορίῳ, τοῖς ἱεροῖς ἡμῶν καὶ θείοις Πατράσι, καὶ τοῖς κατ' ἐκείνους τὴν ἀρετὴν (θαῤῥῶ γὰρ λέγων ταυτί), παρεικάσας τὸν μέγαν, οὐκ ἂν διαμάρτοιμι τοῦ προσήκοντος. Ἐπεὶ κἀκείνοις ἂν εἰ συνέβαινε προστυχέσι τῷ μεγάλῳ γενέσθαι (καί μοι μηδεὶς ταυτὶ λέγοντι νεμεσήσειε), οἰκεῖον ἂν ᾠήθησαν καὶ μέγιστον κόσμον τῆς συμμορίας σφίσι συγκαταλεχθῆναι κἀκεῖνον, νᾶν ἀπώναντο ὑπ' αὐτοῦ, ὅσα γε εἰς σοφίαν καὶ γνῶσιν καὶ ἐπιστήμην. Οὐδὲ γὰρ οὐδ' ἴσον ἐστὶν ἀποῤῥαγέντας τοῦ κόσμου καὶ ζῶντας ὑπὸ Θεῷ σπουδαίους ἀναφανῆναι, καὶ ἐν θορύβοις τινὶ καὶ πόλεσιν αὐλιζόμενον τὴν τελεωτάτην ἐπιδεδειχέναι φιλοσοφίαν. Οὔκουν οὐκ ἀπελείφθη τῆς ἀρετῆς ἐκείνων καὶ κοσμιότητος, οὐδ' ἡμβλύνθη τῇ ὕλῃ, ἢ τὸν ἀνθρώπινον βίον δίκην μολιβδίδου πέφυκε κατασπᾶν· ἀλλά τοι νοητοὶς ἦν ἐν σώματι, τῷ χαλεπῷ φορτίῳ καὶ σήματι (2), καὶ τῇ ἐκείνων ἐνευπαθῶν θεωρίᾳ τὸν τῆδε πάντα διετέλεσε χρόνον, τῇ τοῦ συνδήσαντος αἰδοῖ τὰ πολλὰ παρέχων καὶ τούτῳ (ὦ τῆς κοινῆς ζημίας, ὦ ζωῆς τῆς ὑπερφυοῦς ἐκείνης), οὔκουν τὰ τέρποντά γε καὶ ἥδοντα, ἀλλὰ τὰ συνέχοντα μόνον, ὡς ἂν εὐπειθῶς καὶ εὐηνίως τῷ λόγῳ ἑπόμενον μὴ δι' ὄχλου αὐτῷ γένοιτο πρὸς φιλοσοφίαν. Κἀντεῦθεν αὐτὸ καθάπαξ ὑποτάξας τῷ λόγῳ, καὶ τὴν τῶν αἰσθητηρίων, εἴπερ τις ἄλλος, ἀρχὴν εἰληφὼς, ὃς δὴ μέγιστος ἀγώνων ἐστὶ, καὶ οὗ χωρὶς σχεδὸν ἀμήχανον ὁπωσοῦν τῷ νοητῷ Θεῷ συναφθῆναι, θεῖόν τι τέμενος ὤφθη καὶ τῆς τοῦ Θεοῦ σοφίας ἐπάξιον. Μᾶλλον δὲ, ὥσπερ ἐν τῇ κατὰ νοῦν ἐνεργείᾳ παράμιλλος ὤφθη, οὕτω δήπου κἀν τῇ διαίτῃ μικροῦ τῆς αὐταρκείας ἠμελλήθη γε τοῖς ἀγγέλοις. Καὶ γὰρ οὕτος ἀγγέλων ἤσθι' ἄρτον, ὄντινα δὴ τὸν ἄρτον τοῦτον ὑποληπτέον, οἶμαι δὲ τὴν τῶν νοητῶν θεωρίαν καὶ τὴν τῶν Θεοῦ κτισμάτων κατάληψιν. Σωφροσύνης μὲν οὖν τοσοῦτον ἐμέλησε τῷ μεγάλῳ, ὥστε κἂν τῷ Βελλεροφῶντι, εἰ δὲ βούλει, τῷ Ἰωσὴφ ταύτης ἠμφισβήτησε πέρι· τοῖς γε μὴν ἄλλοις ἅπασιν ἀτεχνῶς πολλῷ κἀκείνων ὑπερεῖχε παραβαλλόμενος. Τίς γὰρ τοσοῦτον τῶν τ' ἄλλων ἡδονῶν ἦρξε καὶ τῶν βιαιοτάτων μᾶλλον ἐκείνου; Τίς δ' οὕτως ἀπάσης ὑπερεῖδε σωματικῆς θεραπείας, οὕτω γένους ἔχων καὶ ταῦτα καὶ σχήματος καὶ λαμπρότητος, ὥστε γοῦν τῶν πολλῶν διαφέρειν, ὡς ὁ γενναῖος ἐκεῖνος καὶ μέγας; Τίς δὲ τοσοῦτον ὑπερεῖδε τιμῆς καὶ δόξης κενῆς, καὶ παντὸς ὤφθη λήμματος κρείττων, καίτοι καὶ πολλὰ διδόντων ἑνίων, καὶ λαβεῖν αὐτοῦ δεομένων πολλάκις; ὡς ἡ θεία ἐκείνη καὶ μεγαλοπρεπεστάτη ψυχή; Ἦν εἴ τις εἴποι τύπον ἁπάντων τῶν νοητῶν, μᾶλλον δ' ἀκριβεστάτην εἰκόνα, οὐκ ἂν ἁμάρτοι τῆς ἀληθείας. Οἱονεὶ γὰρ οὗτος εἰκὼν ἐφάνη νοητοῦ τε καὶ αἰσθητοῦ διακόσμου. Πλάτων μὲν οὖν φησι τὸν Θεὸν ἐπ' ὠφελείᾳ τῇ τῶν [σοφῶν] παράδειγμα πάντων καλῶν ἑαυτὸν προὐθηκέναι. Οὗτος δ' εἰκὼν ἐκείνου, ὅσα γε ἐν ἀνθρώποις, μόνος ἀτεχνῶς ἀνεφάνη. Ἆρ' οὖν σωφροσύνης μὲν οὕτως ἐμέλησε τῷ μεγάλῳ, ἀνδρείας δ' ἐνέδει τἀνδρί; Ἡ δικαιοσύνης μὲν ἀντείχετο, φρονήσεως δ' οὐτινοσοῦν ἧττον ἔχων ἐτύγχανε; Πολλοῦ γε καὶ δεῖ. Ἀλλ' ἀνδρείας μὲν τοσοῦτον περιῆν τῷ μεγάλῳ, ὥστ' οὐ μόνον πράως εἶχε πρός γε τὰς παρ' ἐνίων γιγνομένας δυσκολίας καὶ δυσχερείας, σπανιώτατα συμβαινούσας καὶ ταύτας, ἄλλων καὶ τούτων ὑπαρχόντων αὐτῷ, οὐκ αὐτὸς ὅλως ἄρχων διαφορᾶς. (οὐδὲ γὰρ οὐδ' ἐστὶ τούτων συνδιαιτώμενον ἀνθρώποις τινὰ παντελῶς ἀπηλλάχθαι), ἀλλὰ καὶ πρὸς τὰ; ἐπ' ὠφελείᾳ παρὰ τοῦ θείου καὶ τὸ ὅλον τοῦτο διατάττοντος πεμπομένας ἐνίοτε συμφορὰς παντὸς μᾶλλον ἐμψύχως εἶχεν, ὅπου γε καὶ κάμνων ὁ μέγας καὶ τὰ λοίσθια πνέων, οὐκ αὐτὸς ἐδόκει κάμνων, ἀλλ' ἄλλῳ τῳ τοῖς πᾶσιν ἐῴκει, εἴ τῳ τοῦτο τεκμήριον ἐναργὲς; ἀνδρείας καὶ εὐψυχίας εἶναι δοκεῖ· ἢ δὴ καὶ συναπῆλθε λαμπρῶς, λιπὼν ἡμᾶς ἐν ὀρφανίᾳ τοιαύτῃ καὶ θλίψει· φεῦ τῆς ἡμῶν κακοδαιμονίας. Ἀλλ' ἀνδρείας μὲν οὕτως ἐμέλησε τῷ μεγάλῳ, δικαιοσύνης δὲ οὐκ ἀντείχετο, ἧγουν ὁπωσοῦν ὀλιγωρήσας ἐφάνη; Ὑπερ οὐ ῥᾴδιον ἐν ἀνθρώποις εὑρεῖν· σχεδὸν γὰρ πάντας βουληθείς ἂν τις ἴδοι οὐ λόγον ἥδη ποιουμένους τοῦ ἴσου, ἀλλ' ἀτεχνῶς ἐφιεμένους τοῦ πλείονος παραπολαύειν ἁπανταχοῦ, ὡς δὴ τοῦτ' ἐνὸν ἡμῖν κατὰ φύσιν, τοῦ δ' ἴσου διά τε τὴν τῶν πολλῶν δόξαν

(1) Suppl. γλῶσσα.
(2) Alludit ad proverbium σῶμα σῆμα, *corpus sepulcrum*.

καὶ τὴν ἐπηρτημένην ἀνάγκην πᾶσι τοῦ νόμου, ἐξ ἀνάγκης ἀντέχεσθαι. Ἀλλ' ἐνταῦθα καὶ μάλιστα λῆρος ἡμῖν φανεῖεν Αἰακὸς καὶ Ῥαδάμανθυς, εἰ δὲ βούλει, καὶ Μίνως αὐτὸς, οἱ δικασταὶ τῶν τῇδε βεβιωμένων, τῇ τοῦ ἀνδρὸς ὑπερφυεῖ δικαιοσύνῃ παραβαλλόμενοι. Τὸν μὲν οὖν Λυσιμάχου παῖδά φασιν Ἀριστείδην τῇ τῶν φόρων ἀρίστῃ διανομῇ μέγιστον ἐπὶ δικαιοσύνῃ παρὰ πᾶσι τοῖς Ἕλλησιν ἀναδήσασθαι κλέος. Οὗτος δ' οὐχ ἅπαξ, ὥσπερ ἐκεῖνος, ἀλλὰ πᾶσι διὰ βίου νέμων τὰ δίκαια, πολλῷ κἀκεῖνον ὑπερῆρε τοῖς πᾶσιν. Ὅς γε καὶ προστάτης ἀναφανεὶς ἐπὶ χρόνον συχνὸν τῶν πατρῴων καὶ κοινῶν νόμων, ἐπὶ τῇ ὠφελείᾳ τῶν ἄλλων πολλάκις ὠλιγώρει καὶ τῶν οἰκείων, Πλάτωνι κἂν τούτῳ πειθόμενος· ὃς οὐχ ὅπως τοὺς βελτίστους τῶν ἀρχόντων οὐτινοσοῦν ἐκ τῆς ἀρχῆς ἀπόνασθαι ἀξιοῖ, ἀλλ' ἤδη καὶ ζημίαν αὐτοῖς ἐπικεῖσθαί φησι, παριοῦσιν ἐπὶ τὸ ἄρχειν, ζημίαν ἄντικρυς φάσκων, τό τε μὴ ἀξιοῦντας ἄρχειν (1), καὶ τὸ τῆς ὠφελείας ἀντέχεσθαι βούλεσθαι μάλιστα τοῦ κοινοῦ, μὴ πάνυ τι κήδεσθαι τῶν οἰκείων. Τίς οὖν ἐκείνου μᾶλλον ὁσιώτερος ἐπὶ τοῖς; πρὸς τὸ θεῖον ἰφάνη; Τίς δὲ διαιτητὴς ἀμείνων ἢ βελτίων ἐν τοῖς κοινοῖς, ἤγουν πρὸς τὰ ἰδιωτικὰ χρηστότερος; Ὅς ὑπὸ φιλανθρωπίας οὐδ' ἐφ̓κει διαιτητῇ, προστάτης ὢν καὶ ταῦτα τοῦ τῶν Ἑλλήνων μεγίστου δικαστηρίου; ἀλλὰ κοινῷ προστάτῃ καὶ κηδεμόνι, ἐπικούρῳ τε καὶ πατρὶ, χεῖρα βοηθείας ἀδικουμένοις ὀρέγοντι, χήραις ἐπαρκοῦντι πολλάκις, ἐνδεέσιν ἐπικαιροῦντι (2), πᾶσιν ἐξῆς ἐκ τῶν ἐνόντων ἀμύνοντι, δεσποτικὴν κἂν τούτῳ πληρῶν ἐντολήν, ἣ κελεύει τοὺς ἀνθρώπους οἰκτίρμονας γίγνεσθαι, ὡς ἂν ὁπωσοῦν ὁμοιοῦντο ὃν καλοῦσι σφίσι πατέρα. Ἀλλὰ τούτων μὲν οὕτως ἀντείχετο (ὦ συμφορᾶς ἀνυποίστου, ὦ ζημίας ἐσχάτης), φρονήσεως δ' ἧττον μετεῖχεν οὐτινοσοῦν; Ἀλλ' ἐνταῦθα καὶ μάλιστα πάντας ὑπερῆρε παραπολὺ, οὐ μόνον ἐπὶ τοῖς οὖσιν ἀεὶ καὶ θείοις, ὃ δὴ φρονήσεως μόριον μέγιστον ὂν τυγχάνει, ἀλλὰ κἀν τοῖς φύσει καταγιγνομένοις, ἀνθρωπείοις καὶ ἡμετέροις αὐτοῖς, οὐχ ὅπως ἥττητό του πάντων, ἀλλὰ κἀνταῦθα φύσει χρησάμενος θείᾳ, ἐξῆς πάντας ὑπερηκόντισε. Τίς γὰρ ἐκείνου βέλτιον τοῖς ἀπορρήτοις ἐπέβαλεν ἢ τῇ τούτων ἐνεδάτευσε θεωρίᾳ; Ὅς τοὺς τῶν ὄντων λόγους ἐξητακὼς καὶ τυχὼν τῆς ἐφέσεως μεγαλονοίᾳ καὶ ὕψει φύσεως, τῶν πρὶν ἠπορημένων τὴν γνῶσιν, φιλανθρωπίᾳ χρησάμενος, ἐγνώρισε τοῖς ἀνθρώποις, τῆς δ' ἁπάσης σοφίας τοσοῦτον μετέσχεν, ὡς γενέσθαι μᾶλλον τοῖς ἄλλοις παράδειγμα, καὶ οἷον εἰπεῖν, πάντων αὐτεπιστήμην, ὡς μᾶλλον νοῦν δοκεῖν χωριστὸν ἢ ψυχὴν ὀχήματι τῷ σώματι κεχρημένην. Τίς δέ ποτε τῶν ἁπάντων γέγονε χαριέστερος περί τε φύσιν καὶ ἱστορίαν παντοίαν καὶ πολιτικὴν ἐπιστήμην ἐκείνου; Τῆς μὲν οὖν Σολομῶντός φασι σοφίας ἄνθρωπον ἐρασθεῖσάν τινα, ἐξ ὑπερορίας ἀπαντῆσαί ποθεν, ἣν τῆς ἐλπίδος μὴ ψευσαμένην ἐκτόπως ἀγάσασθαι τῆς σοφίας τὸν Σολομῶντα. Τουτονὶ δὲ τὸν μέγαν οὐ γυναῖκες ἰδεῖν ἠπάντησαν, ἀλλ' ἄνδρες πολλάκις ἐπίτηδες δεινοὶ καὶ σοφοὶ, ἐξ αὐτῶν καὶ ταῦτα τῶν τῆς οἰκουμένης περάτων· οἳ καὶ τὸν ἄνδρα πάνυ θαυμάσαντες τῆς σοφίας, ἔτι μᾶλλον ἡμῖν ἐγνώρισαν, οὐδέ γε πρώην εἰ καὶ τοῖς πολλοῖς παντάπασιν ἀγνοούμενον. Τὸν μὲν οὖν αὐτομαθῆ Παλαμήδην καὶ γεγυμνασμένον σοφίαν ἐπὶ Τροίαν φασὶν ἐλάσαντα, πρῶτον ὥρας τε καὶ μηνῶν ἀριθμόν τε καὶ πεττοὺς τοῖς Ἀχαιοῖς χαριζόμενον ἐξευρεῖν. Ὁ δ' οὐχὶ πεττοὺς ἐξεῦρε καὶ ὥρας, τυχόν τι πρᾶγμα καὶ φαῦλον, ἀλλὰ σοφίαν τὴν μὲν ἐξεῦρε, τὴν δ' ἀνεπλήρωσεν ἐλλιπῶς εὑρημένην· καὶ τοῖς αἱρουμένοις ὁδὸν ῥᾴστην ἔτεμεν ἐπιστήμης, τὴν δὲ καὶ φαύλην οὖσαν ἐνίους μὲν λανθάνουσαν ἀληθέστατα καὶ σοφώτατα ἐξελέγξας, πλάνης ὅτι πλείστης τὸ τῶν ἀνθρώπων γένος ἀπήλλαξε. Μαρτυροῦσι τοῖς εἰρημένοις τὰ σοφώτατα καὶ λαμπρότατα τῆς μακαρίας ἐκείνης καὶ θείας ψυχῆς συγγράμματα, οἷς ἂν τις θαῤῥῶν ἐπηται πανταχοῦ, τῆς ἱερᾶς ἀληθείας οὐκ ἂν ἁμάρτοι. Οἰονεὶ γὰρ τύπος φιλοσοφίας εἰσὶ καὶ δογμάτων ἀκριβείας τοῖς μετιοῦσιν. Ἀλλ' ὢ τῆς κοινῆς δυστυχίας, μᾶλλον δὲ ἰδίας ἐμῆς, ὢ πικρᾶς ὀρφανίας, ὢ βασκάνου τύχης καὶ πονηρᾶς· ὃν ἐτύγχανον ἔχων μόνην ψυχαγωγίαν, μόνην ἐν ἀλλοδαπῇ διατρίβων παραμυθίαν, ὀφθαλμὸν νοητὸν, φῶς τῆς ἐμῆς ἀθλίας ψυχῆς, καθηγεμόνα θειότατον, μᾶλλον δὲ προστάτην καὶ κηδεμόνα, ἐφ' ᾧ καὶ μόνῳ τὰς τῆς ἐμῆς ἐσάλευον ὠφελείας ἐλπίδας, οὗ ταῖς χρυσαῖς πτέρυξι τῆς σοφίας ὡς νεοττὸς ἐπετάμην, καὶ τοῖς ἀδαμαντίνοις λόγοις ἐκείνου, μᾶλλον δ' οὐρανίοις καθοπλιζόμενος, τοῖς τῶν ἄλλων σοφιστῶν λόγοις μηδέποτε περιτραπήσεσθαι πεποιθώς, τοὐμὸν ἴγκαλλώπισμα, τὴν εὐδαιμονίαν, τὸ κλέος, τοῦτον, φεῦ, ἀφῄρημαι παρ' ἐλπίδα. Τίς ἂν μοι δοίη πηγὰς δακρύων καὶ τόνον πίνθει προσήκοντα, ὡς ἂν τὴν ἐμὴν ἀπολοφύρωμαι δυστυχίαν; Ἀλλὰ γὰρ ῥᾴδιον, ὦ παρόντες, οὐτωσὶ παντάπασιν ἐμαυτὸν τοῖς ὀδυρμοῖς καὶ θρήνοις ἐκδοὺς, δέον ὂν εὐπαραμυθήτως ἔχειν κἀν τῇ ἐκείνου ἀποδημίᾳ. Οὐδὲ γὰρ, οὐδ' ἔστιν ὁ θάνατος οὐτωσὶ ὅλως ἀπαλλαγὴ τοῦ παντὸς, ἀλλ' ἀποδημία τις τοῦ βελτίονος ἡμῶν μέρους πρός τινα τόπον θεῖον καὶ νοητὸν, καὶ τοῦ ἐνταῦθα πολλῷ θειότερόν τε καὶ κρεῖττον. Οὐδὲ γὰρ οὐδ' ὑφίσταται φθορὰν ἢ σκεδασμὸν ἡμῶν ἡ ψυχή. Πονηρὸν γὰρ τοῦτο τὸ δόγμα, καὶ τῆς τοῦ Θεοῦ μεγίστης σοφίας καὶ πρὸς ἡμᾶς ἐννοίας ἀῤῥήτου τὸ παράπαν ἀνάξιον. Εἰκῇ γὰρ ἂν τὸ τῶν ἀνθρώπων ἀρετῆς ἀντείχετο γένος, καὶ μυστηρίων φρικτῶν καὶ ἀπορῥήτων ἀπολελαύκει, καὶ τῆς ὑπερφυοῦς τοῦ κρείττονος οἰκονομίας ἠξίωτο· εἰκῇ δὲ καὶ ναοὺς ἱδρύεται, καὶ λατρείαις τελεταῖς τε καὶ προσκυνήσεσι καὶ πᾶσι τοῖς τοιούτοις ἐπιχειρεῖ. Ἀλλὰ τὸ μὲν σῶμα τοῦτι πάντη σκεδαστόν ἐστι καὶ φθαρτὸν, ἐπεὶ καὶ σύνθετον ἤδη· σύνθεσις δὲ ἀρχὴ διαλύσεως. Τὴν γε μὴν ψυχὴν ἀσώματον οὖσαν καὶ ἁπλῆν πάντως, οὐκ

(1) Post ἄρχειν addit. gloss. ἐπὶ μισθῷ, ex inepta vi scilicet glossa, cum nihil tale sit apud Platonem, *Rep.* I, pag. 345.

(2) Notanda rarissima vox ac prope dubia ἐπικαιροῦντι, pro qua suspiceris ἐπικουροῦντι.

εἰκὸς ἐστιν ἐνέχεσθαι τῇ φθορᾷ. Οὐδὲ γὰρ, εἰ σώματι A τίς μηχανὴ, μὴ καὶ φθορᾶς αὐτὴν ὑποτίθεσθαι
ὑπῆρχε, διὰ σώματος ἂν ἐχώρει, ἐπεὶ χωρῆσαι διὰ χρείττω, ἣν δίχα κινήσεως ἐπελθεῖν ὁτῳοῦν ἀμήχα-
σώματος; σῶμα καὶ τῶν παντελῶς ἀμηχάνων ὑπερ- νόν ἐστι παντελῶς; Εἰ γὰρ ἔδει ποτὲ φθαρῆναι,
βαίνει τὴν φύσιν. Ἔπειτα καὶ τεμνομένου τοῦ σώ- ὑπ' οὐδενὸς εἰκὸς ἦν πείσεσθαι τοῦτο ἢ μόνου τοῦ
ματος, μετεῖχεν ἂν κἀκείνη τοῦ πάθους. Προσῆν ἐναντίου ἤτοι τῆς οἰκείας κακίας· πάντα γὰρ τοῖς
δ' αὐτῇ καὶ μέγεθός ποθεν, καὶ τόνδ' ἐκείνου ψυχὴν ἐναντίοις ἁλίσκεται. Νῦν δ' οὐδὲν ἧττον ζῶντες οἱ
ἔχειν μεῖζω συνέβαινεν, ὅπερ οὐ μόνον ἐλέγχει φιλο- πονηροὶ τῶν ἀνθρώπων καὶ τὴν ὑποψίαν ἐξελέγχουσι
σοφία, ἀλλὰ δὴ καὶ ἡ παρὰ τοῖς πολλοῖς δόξα κεκρα- ταύτην. Οὐ μόνον οὖν οὐχ ὑφίσταται φθορὰν καὶ
τηκυῖα. Οὐδὲ γὰρ, εἰ τοῦθ' οὕτως εἶχεν, ἐπιστήμην σκεδασμὸν τοῦ σώματος ἐξελθοῦσα, ἀλλὰ καὶ τελει-
ἂν τις εἶχε τῶν πάντων, ἀλλ' αἴσθησιν μόνην ὧν ὡσεως αὐτῇ τουτὶ πρόξενον γίνεται καὶ τῆς τελεω-
ἔχει νῦν ἐπιστήμην. Μόνης γάρ ἐστι τῆς ψυχῆς τὸ τάτης αἴτιον ἐνεργείας, ὅπου γε, καὶ συνοῦσα τῷ
καθόλου ὅ τ' ἀριθμὸς, καὶ τὸ ἄπειρον, ὑφ' οὗπερ σώματι, τότε καθαρώτερον τῆς ἱερᾶς ἀληθείας
ἐπιστήμη καὶ εἶδος τὴν ἀρχὴν εἰληφάτην. Μάτην παραπολαύει, ὅτε τούτου μᾶλλον ἑαυτὴν χωρίζειν
δ' ἂν οὕτως καὶ τῇ τῶν ὄντων ἐφήδετο θεωρίᾳ, καὶ ἐπείγεται. Ὡς νῦν γε διὰ τὴν τούτου σκαιότητα
τοὺς τῶν κρειττόνων γενῶν αὐτῆς ἐπιχείρει λόγους B ὥσπερ ἀμαθαίνουσα ἢ λημῶσα, περιφανῶς οὐκ ὀλίγα
ζητεῖν. Τούτων πολλάκις ἀποσπωμένη, ὥσπερ καὶ τῆς οἰκείας εὐγενείας ἀνάξια ἄκουσα εἶναι
προσηκόντων ἀγανακτεῖ, καὶ τοῖς προσισταμένοις ὑφίσταται, ᾗ καὶ πολλῷ ἂν ὑπῆρχε βέλτιον, Πλάτων
ἀπεχθάνεται πάνυ. Ἀλλὰ μὴν οὐκ ἂν ἐζήτει, εἰ μὴ φησι, χωρὶς παντὸς σώματος ζῆν ἢ μιγνυμένη τού-
συγγενὴς ἐκείνων ὑπῆρχε. Συγγενὴς δ' οὖσα, τίς τῳ γε τῆς ἐκεῖθεν καθ' ἑκάστην ἀναπίμπλασθαι
μηχανὴ μὴ καὶ θανάτου πεῖραν παντὸς αὐτὴν ὑπερ- προστροπῆς. Ἄλλως τε καὶ οὐδέ τι τῶν παραλόγων
κεῖσθαι; Ἐπεὶ κἀκεῖνα φθορᾶς ἀνώτερα, καὶ πάσης ὁ θάνατος εἶναι δοκεῖ, οὐδ' ἀπὸ ταὐτομάτου συμβαί-
ὑπέρκειται ἀλλοιώσεως, εἰς αὐτὴ συγγενής· τοῦτο νον· φύσεως γὰρ ἔργον ἐστί· φύσεως δ' ἔργον Θεοῦ
γὰρ οὐδεὶς ἀντερεῖ, οὐδ' οἱ πολλοὶ τῶν ἀνθρώπων. θεσμὸς ἂν εἴη οὐκ ἄλογος. Θεοῦ θεσμὸν μὴ ὅτι
Ἀνάλογον οὖν ἔχειν φασὶν οἱ σοφοὶ οὐσίαν τε ἔργοις μάλιστα βέλτιον εἶναι ὁμολογεῖν, μὴ οὐχ ὅσιον ᾖ.
καὶ οὐσίαις αὖ ἔργα. Εἰ τοίνυν κοινωνεῖ τῶν ἔργων Ἄκρως γὰρ ἀγαθὸς ὑπάρχων, οὐκ ἄν τι κακὸν ποι-
τοῖς κρείττοσι γένεσιν ἡ ψυχὴ, ἀνάγκη δήπου καὶ οίη. Οὐδὲ γὰρ οὐδ' ἐστὶν ἁπλῶς πάντων αἴτιος ὁ Θεὸς,
τῆς οὐσίας. Ὅσπερ οὖν κοινωνοῦντες τοῖς τῶν θη- ἀλλὰ μόνων τῶν ἀγαθῶν. Πῶς οὖν τοῖς τῇδε ζήσασιν,
ρίων ἔργοις, καὶ τῆς οὐσίας κοινωνοῦμεν ἐξ ἀνάγ- ὥσπερ ὁ μέγας, σπουδαίως, τὴν ἄκραν ἔχων καὶ
κης αὐτοῖς, διὸ καὶ τούτοις ὁμοίως φθειρόμεθα, ταῦτα δικαιοσύνην, κακοῦ τινος γένοιτο αἴτιος; Ὅς
οὕτω κἂν τῶν ἔργων τοῖς γένεσι κοινωνοῦντες ἐκεί- C γε τοῖς σπουδαίως ἐνταῦθα βιοῦσιν εὐδαιμονίαν καὶ
νοις, φθορᾶς ἁπάσης κρείττους ἐξ ἀνάγκης φανοί- εὐζωΐαν καὶ μυρίαν ἄλλην μακαριότητα μετὰ [τὸν]
μεθα. Ἄκρως γὰρ ὄντα τὸν Θεὸν ἀγαθὸν καὶ παντὸς τῇδε βίον ἐπαγγέλλεται διαρρήδην· οἷς οὐκ εἰκὸς
ἔξω φθόνου, ἀνάγκη καὶ τὰς ἐγγυτέρω παραχθείσας ἀπιστεῖν, ἔργοις ἀναπειθομένους αὐτοῖς. Ἐγὼ δὲ
οὐσίας αὐτῷ ἀθανάτους παραγαγεῖν, ἐπεὶ κἀκεῖνος καὶ τὴν τελευτὴν τοῦ μεγάλου οὐχ ἁπλῶς ἐν τῷ
αἰώνιος. Τίς ἂν καὶ τῶν ἡδίστων, εἰ μὴ τοῦθ' οὕτως παρόντι, ἀλλ' ἐκ θείας μοίρας ἰσχυρίζομαι γεγονέ-
εἶχε καὶ μηδέν τι τοῦ σώματος κρεῖττον ἦν ἐν ἡμῖν, ναι· οὐ γὰρ ἔστιν, οὐκ ἔστι τὰ τῶν οὕτως βιούντων,
ὑπερορᾶν τῶν πάντων ἠξίωσε; Τίς δὲ καὶ θανάτου ὡς ὁ μέγας ἐκεῖνος, πράγματα ἀμεληθῆναί ποτε
δίκην ἐπήνεγκεν ἑαυτῷ, καὶ ἑκὼν εἶναι τοῦ ζῆν ὑπὸ τοῦ Θεοῦ. Ταῦτ' οὖν ἐννοοῦντας, ὅσον ἔξεστιν,
ἀπηλλάγη, ὁπότε τοῖς τῆς ψυχῆς θεσπίσμασιν αἰ- ἀρετῆς ἀνθεκτέον ἂν εἴη, τἄλλα πάντα δεύτερα τι-
σθοιτο τοῦ σώματος ἐναντιουμένου; Οὐδὲ γὰρ θεμένους, καὶ τὴν ἐκείνου πολιτείαν, ὅσον οἷόν τέ
οὐδ' ἐστὶν ἰσχὺς οὐδενὶ καθ' αὑτοῦ, ἀλλ' ἕκαστον ἐστι, μιμητέον· οὕτω γὰρ ἂν ἄριστον πράξαιμεν καὶ
ἑαυτὸ πάντα τρόπον σώζειν ἐπείγεται, καὶ τοῖς τὴν ζῶντές τε καὶ τελευτῶντες. Ἐπεὶ καὶ Πλάτων αὐ-
σωτηρίαν κωλύουσιν ἀδιάλλακτα (1) πολεμεῖ. Ἀλλὰ τός φησι τὴν εἰς Ἅιδου τὴν ψυχὴν στελλομένην ἀπο-
μὴν εἰ τῷ σώματι ἥκει φέρουσα ζωὴν ἡ ψυχὴ, καὶ δημίαν μηδὲν ἀπέρχεσθαι φέρουσαν ἄλλο ἢ τὴν
ἀπιοῦσα καταλιμπάνει νεκρὸν, πῶς οὐκ ἂν καθ' ἑαυ- D ἀρετὴν καὶ σοφίαν. Ἃ τὸν μέγαν (ἴσμεν πάντες)
τὴν πολλῷ μᾶλλον ἀθάνατος εἴη, καὶ φθορᾶς ἁπάσης μεθ' ὑπερβολῆς κεκτημένον, ἐλπίς ἐστιν ὅτι μάλιστα
ὑπερκειμένη; Οὐδὲ γὰρ οὐδ' ἔστιν εἰπεῖν, ζῶσαν μὲν εὖ πρᾶξαι ἐκεῖ. Δίκαιον οὖν καὶ ἡμᾶς συνεφήδεσθαι
εἰσιέναι, ἐξιοῦσαν δὲ οἴχεσθαι, ὅπου γε ἕνια καὶ τῶν τῇ ἐκείνου εὐδαιμονίᾳ, καὶ μὴ οὕτως ἔχειν, ὥσπερ
μορίων τοῦ σώματος πλεῖστον ὅσον χρόνον ἀντέχει. ἄν τι τῶν παραλόγων καὶ δεινῶν ἐπεπόνθει, ἀλλὰ
Εἰ γὰρ τὴν οὐσίαν ὁπωσοῦν ἐκινεῖτο, καὶ καθ' αὐτὸ καὶ μεγίστην παραμυθίαν καὶ κόσμον ἡγεῖσθαι τὴν
κἂν ἴσως ὑπέστη φθοράν. Ἀκίνητος δ' οὖσα πάντῃ, ἀρετὴν ἐκείνου καὶ τὴν θειότητα.

(1) Hæc et sequentia pleraque huc allata esse ex Platonis *Phædone*, monebat nos olim doctissimus Jahnius.

ΓΕΩΡΓΙΟΥ ΓΕΜΙΣΤΟΥ

ΤΟΥ ΠΛΗΘΩΝΟΣ

ΠΡΟΣ ΤΟΝ ΒΑΣΙΛΕΑ ΕΜΑΝΟΥΗΛΟΝ

ΠΕΡΙ ΤΩΝ ΕΝ ΠΕΛΟΠΟΝΝΗΣΩ ΠΡΑΓΜΑΤΩΝ

ΛΟΓΟΣ Α'.

—

GEORGII GEMISTI PLETHONIS

AD REGEM EMMANUELEM

DE REBUS PELOPONNESIACIS

ORATIO I.

(Interprete Gulielmo Cantero. Græce ex editione D. A. Ellisen in *Analectis*, Lipsiæ, 1860.)

—

α'. Θειότατε αὐτοκράτωρ, ὁ μὲν πρὸς Ἰταλῶν τοὺς ἐν Πελοποννήσῳ δυναστεύοντας (1) τοῖς πάντα κρατίστοις υἱέσι πολεμηθεὶς πόλεμος καλῶς καὶ μετὰ πολλοῦ μάλιστα τοῦ περιόντος κατατέθειται· τῶν πλείστων τε καὶ ἐπικαιροτάτων τῆς ἐκείνων ἐπικρατείας, διὰ μακροῦ τοῦ χρόνου τὰ ἡμέτερα ἐπανασεσωσμένων, αὐτῶν τε ἐκείνων καὶ ὑπὲρ τῶν λοιπῶν παντάπασιν ἡμῖν εἰξάντων, καὶ ἐς ἅπαντα ἕψεσθαι ὁμολογησάντων. Ἐκ δὴ τούτων ὑμῖν μὲν δόξα καὶ κλέος οὕτω κρατύνουσί τε καὶ ἐπαύξουσι τὴν ἀρχήν, τῷ δὲ κοινῷ ἀσφάλειά τε ὁμοῦ καὶ ὠφέλεια, καὶ ἐς τὸ μέλλον μειζόνων ἀφορμαὶ πραγμάτων, εἰ Θεὸς διδοίη. Ἐμοὶ δὲ ἐπέρχεται νῦν εἰπεῖν καὶ ὑποθέσθαι, ἃ ἐκ πλείονος σκοποῦντι δόξαν παρίστησιν, ὡς γενόμενα μὲν ἂν, μέγα ἂν τοῖς τῇδε πράγμασι λυσιτελήσειε· μὴ γενόμενα δ' ἂν, οὐ μικρὸν ἂν πρὸς τὴν τοῦ παντὸς ἐλλείποι σωτηρίαν.

β'. Πρῶτον μὲν δὴ ὑπὲρ αὐτῆς τῆς χώρας, ὡς περὶ πλείστου ποιητέα ὑμῖν ἐστι, βραχέ' ἅττα μοι εἰρήσεται· οὐχ ὅτι μὴ καὶ αὐτοὺς ὑμᾶς περὶ τὴν ταύτης ἐπιμέλειαν ἐσπουδακότας ὁρῶ· ἀλλ' αὐτοῦ γέ τοι τοῦ λόγου ἕνεκα, ὡς διὰ τῶν δεόντων δὴ χωροίη. Ἐσμὲν γὰρ οὖν, ὧν ἡγεῖσθέ τε καὶ βασιλεύετε, Ἕλληνες τὸ γένος, ὡς ἥ τε φωνὴ καὶ ἡ πάτριος παιδεία μαρτυρεῖ. Ἕλλησι δὲ οὐκ ἔστιν εὑρεῖν εἴ τις ἄλλη οἰκειοτέρα χώρα, οὐδὲ μᾶλλον προσήκουσα, ἢ

1. Bellum quidem cum Italis Peloponnesum tenentibus a præstantissimis filiis gestum, magna cum laude et emolumento confectum est, imperator Auguste, cum et plurima maximeque opportuna illorum dominia nostram in potestatem longo post tempore redierint, et ipsi cum reliqua nobis omnia cesserint, tum in universum se nobis obtemperaturos receperint. Quibus ex rebus vobis quidem hoc pacto imperium et confirmantibus et augentibus decus et gloria; nobis autem securitas nascitur et utilitas majorumque in posterum consequendorum, si Deus permiserit, occasio. Mihi vero nunc ea tibi exponere in mentem venit, quæ multis de causis arbitror, sive observentur, multum his rebus esse profutura, sive negligantur, magnam salutis partem detractura.

2. Ac primum de ipsa regione, quanti sit vobis facienda, pauca quædam dicam, non tam quod vestrum erga ipsam studium non videam, quam ut ipsa rerto ordine procedat oratio. Etenim nos, quibus imperatis, Græci genere sumus, ut partim e sermone, partim ex avita disciplina constare potest. Græcis vero vix ulla magis familiaris reperiri possit regio, quam Peloponnesus, et quæcumque juxta hanc ad Europam spectat, quæque adjacent

(1) Ὁ μὲν... δυναστεύοντας κ. τ. λ. Ilis quæ Ducas de rebus Byzantinis memoriæ tradit, Noster addit quod duo imperatoris filii, Joannes et Theodorus, licet exercitui nomine magis quam re præfuerint, præclare factis excelluerunt. Non sine magno gaudio Pletho refert totam fere Peloponnesum a Græcis potissimum administratam tum temporis fuisse.

insulæ. Hanc enim terram quantum humana potest memoria recolere, iidem semper a nullis ante possessam incoluerunt Græci; nec advenæ eam occuparunt, ejectis aliis ipsique nonnunquam ab aliis ejecti; sed contra semper hanc regionem tenuerunt Græci, nec deseruerunt unquam.

A Πελοπόννησός τε, καὶ ὅση δὴ ταύτῃ τῆς Εὐρώπης προσεχὴς, τῶν τε αὖ νήσων αἱ ἐπικείμεναι. Ταύτην γὰρ δὴ φαίνονται τὴν χώραν Ἕλληνες ἀεὶ οἰκοῦντες οἱ αὐτοὶ ἐξότουπερ ἄνθρωποι διαμνημονεύουσιν, οὐδένων ἄλλων προενψηκότων (2)· οὐδὲ ἐπήλυδες κατασχόντες, ἄλλους τε ἐκβαλόντες, καὶ αὐτοὶ ὑφ' ἑτέρων τὸ αὐτὸ ἔστιν ὅτε πεπονθότες· ἀλλ' Ἕλληνες τήνδε τὴν χώραν τοὐναντίον αὐτοί γε ἀεὶ φαίνονται κατέχοντες, οὔτε ταύτην ἐκλιπόντες.

3. Jam inter omnes hujus regionis partes Peloponnesum præcipuas ac nobilissimas Græcorum gentes protulisse traditur, ex eaque Græcos profectos maximas ac præclarissimas quasque res gessisse. Quid quod magnæ quoque istius ad Bosporum sitæ urbis, quæ vestra nunc est regio, terram hanc qui recte rem consideret, quasi matrem non injuria dixerit. Nam et qui ante Byzantium incoluerunt, Græci fuerunt ac Dores (Dores autem Peloponnesios B esse nemini dubium est) et qui posterioribus sæculis illustrem illam ex Italica Roma deduxerunt coloniam, tamque præclaro Byzantium auxerunt additamento, non sunt a Peloponnesiis alieni, siquidem ut Æneadæ et Sabini pari jure permisti, Romanam urbem felicissimam incoluerunt, ita Sabini censentur Peloponnesii, de Lacedæmoniis profecti.

γ'. Συμπάσης δὲ ταύτης τῆς χώρας αὐτὴ Πελοπόννησος ὁμολογεῖται τὰ πρῶτά τε καὶ γνωριμώτατα ἐνεγκοῦσα τῶν Ἑλλήνων γένη, καὶ ἀπὸ ταύτης ὁρμώμενοι τὰ μέγιστά τε καὶ ἐνδοξότατα Ἕλληνες ἔργα ἀπεδείξαντο (3). Καὶ μὲν δὴ καὶ τῆς μεγάλης ταυτησὶ Πόλεως (4) τῆς πρὸς Βοσπόρῳ, ἥπερ νῦν ὑμῖν βασίλειόν ἐστι, τήνδε τὴν χώραν εἴη ἂν λογιζομένοις οἷον μητέρα τε οὖσαν καὶ ἀφορμήν τινα εἰπεῖν· τοῦτο μὲν ἐπειδὴ Βυζάντιον οἱ προενψηκότες, Ἕλληνές τε καὶ Δωριεῖς (Δωριεῖς δὲ Πελοποννήσιοι περιφανῶς)· τοῦτο δ' ἐπειδὴ καὶ οἱ μετὰ ταῦτα τὴν λαμπρὰν ταύτην ἀπὸ τῆς ἐν Ἰταλίᾳ Ῥώμης ἀποικίαν στειλάμενοι, καὶ Βυζάντιον οὕτω καλῇ καὶ μεγάλῃ ἐπηυξηκότες τῇ προσθήκῃ, Πελοποννησίων οὐκ ἀλλότριοι, εἴγε Αἰνειάδαι μὲν Σαβῖνοι ἐπὶ τοῖς ἴσοις καὶ ὁμοίοις συνψχισμένοι Ῥώμην εὐτυχεστάτην πόλεων κατῴκησαν· Σαβῖνοι δὲ ἐκ Πελοποννήσου τε, καὶ Λακεδαιμόνιοι (5).

4. Quocirca nec his de causis parvi facienda tam vobis quam nobis est hæc regio, quandoquidem et maxime propria curanda sunt maxime, et hæc omnium est maxime propria: et si de ipsius virtute, qua nulli terræ cedit dicendum est; ut ea C quæ de anni temporum temperie, deque terra nascentium, et omnium ad vitam pertinentium proventu dici possunt, nunc omittam, ad securitatem sane nullam non regionem hæc superat, cum et insula pariter tanta sit et continens, nec difficulter possint ejus incolæ, si recte suppetentibus utantur adjumentis cum apparatu minimo, si quis invadat, repellere, tum alios ubi videatur ipsi, accedere, itaque regionis terminos non leviter augere. Præterea nunc montium munimenta, qui per totam porriguntur terram et ubique arcium instar eminent; sic ut hostes, etiamsi campestri solo forte potiantur, tota tamen excidant regione.

δ'. Τούτων τε οὖν ἕνεκα οὐ περὶ σμικροῦ ποιητέα ἡ χώρα οὕθ' ὑμῖν τοῖς βασιλεῦσιν, οὔτε τοῖς ὑπηκόοις ἡμῖν, εἴγε τῶν οἰκείων τε καὶ μάλιστα προσηκόντων, μάλιστα καὶ ἐπιμελητέον, ἥδε δ' ἡμῖν οἰκειοτάτη ἁπασῶν. Ἀλλὰ καὶ ἀρετῇ ὡς οὐδὲ μιᾷ; ἂν λείποιτο τῶν ὑπὸ τὸν ἥλιον, ὅσα μὲν εἰς ὡρῶν συμμετρίαν, καὶ καρπῶν φορὰν, καὶ ὅλως τῶν πρὸς τὸν βίον χρησίμων τείνοντα ἔστιν εἰπεῖν, ἐάσω ἔν γε τῷ παρόντι· ἀλλ' εἰς ἀσφάλειαν τίνος οὐκ ἂν εἴη κρείττων χώρας; νῆσός τε οὖσα τηλικαύτη ὁμοῦ καὶ ἤπειρος ἡ αὐτὴ καὶ παρέχουσα τοῖς ἐνοικοῦσι, κατὰ τρόπον χρωμένοις ταῖς ὑπαρχούσαις ἀφορμαῖς, ἀπ' ἐλαχίστης μὲν τῆς παρασκευῆς, εἴ τις ἐπίοι, ἀμύνεσθαι, ὑπάρχειν δὲ καὶ ἐπεξιέναι, ὅταν ἐθέλωσιν, ὥστε καὶ ἄλλης οὐκ ὀλίγης ἂν ῥᾳδίως πρὸς τῇδε κρατεῖν. Καὶ παρῆκα ὁρῶν ἐρυμνότητα διὰ πάσης διηκόντων, καὶ δίκην ἀκροπόλεων ἀνεστηκότων πανταχῇ (6)· ὥστε, κἂν τῶν πεδίων κρατῆσαι πολεμίους συμβῇ ποτε, τῆς γε συμπάσης χώρας D ἥττους εἶναι.

5. Quo fit, ut non tam familiaritatis, quam virtutis

ε'. Ὥστε μὴ οἰκειότητος μόνον, ἀλλὰ καὶ ἀρετῆς

(2) *Ταύτην... οἰκοῦντες*, κ. τ. λ. Non urgebit lector quæ Pletho hisce verbis enuntiare videtur. Quo enim pacto ignorare potuit et antiquo tempore, et eo maxime quo ipse vixit, externarum gentium vestigia non panca remansisse? Mihi quidem Peloponnesum regionibus ad septentrionem sitis quas Barbaros frequentius quam Peloponnesum invasise constat opponere voluisse videtur.

(3) *Ἀπεδείξαντο*. Lacedæmoniorum bellicæ gloriæ hæredes fuisse, Peloponnesum habitantibus omni tempore antiquum ac gloriosum fuit, licet nostro tempore quædam primatum ejus insulæ familiæ nimis de ea re jactabundæ videri possint.

(4) *Τῆς μεγάλης ταυτησὶ Πόλεως*, κ. τ. λ. Byzantium a Doriensibus conditum, per omne tempus, Polybio teste, conditorum mores ac indolem conservando grato semper in Peloponnesum fuit animo.

(5) *Λακεδαιμόνιοι*, κ. τ. λ. Dionys. Halic. auctor est Sabinos a Lacedæmoniis colonis originem duxisse.

(6) *Πανταχῇ*, κ. τ. λ. Non premendum est quod antiqui jam magis rhetorice quam vere de Peloponnesi inexpugnabilitate dixerunt, quando eam plus semel expugnatam legimus, licet Strabo eam ἀκρόπολιν συμπάσης Ἑλλάδος pronuntiarit.

ἕνεκα ἐπιμελητέον εἶναι τῆς χώρας· εἴ γε περὶ τῶν κτημάτων τὰ ἀμείνω μᾶλλόν τι καὶ σπουδαστέον. Ἐπιμελητέον μὲν δὴ καὶ παντὶ μὲν ὁτῳοῦν τῶν εἰς Ἕλληνας τελούντων, μάλιστα δ' ὑμῖν τοῖς βασιλεῦσιν, ὅσῳπερ καὶ ἡ τῶν ὅλων ἐπιμέλεια ὑμῖν πρὸ ἁπάντων ἐγκεχείρισται· ὑμῖν δὲ καὶ πάντων μάλιστα τῶν πώποτε γεγονότων βασιλέων. Κεκρατηκότων γὰρ Ἰταλῶν τῆσδε τῆς χώρας, καὶ ἐπὶ πολύν τινα χρόνον συμπάσης δυναστευόντων, οὐδένες ἄλλοι ἢ οἱ ἐκ τῆς ὑμετέρας οἰκίας βασιλεῖς ταύτην φαίνονται ἀνειληφότες (7)· καὶ αὐτὸς δ', ὦ βασιλεῦ, πρὸς πολλαῖς τε ἄλλαις καὶ καλαῖς ταῖς εὐεργεσίαις, καὶ τὸ μέγα τοῦτο ἔργον καὶ λαμπρὸν ἐναγχος ταύτης προὐβάλου, τὴν τοῦ Ἰσθμοῦ δὴ ταύτην διατείχισιν (8), ἥπερ ἂν αὐτὴ δόξειε μεγίστη τε καὶ κρατίστη ἔσεσθαί τε καὶ νῦν εἶναι πρὸς σωτηρίας ἀφορμήν. Ὥστ' ἂν ὑμῖν προσήκοι ταῖς τῶν προτέρων εὐεργεσιῶν ἐπιβολαῖς καὶ τὰς μετὰ ταῦτα ἐπομένας ἀποδιδόναι, ἵν' ἅμα μὲν τοῖς καλοῖς ἀεὶ φαίνοισθε προστιθέντες, ἅμα δ' ὑμῖν καὶ τὰ ὑπηργμένα ἀγαθὰ ἐκ τῆς τῶν ἐς ὕστερον ἐνδελεχείας ὡς μάλιστα σώζοιτο.

A ipsius causa curanda videatur hæc regio, quandoquidem possessiones potiores potius etiam studium solent requirere. Jam cum omnibus qui inter Græcos censentur hæc impendit cura, tum regibus maxime, quibus Universi tutela præ cæteris est commissa. Neminem porro superiorum regum propius quam te hæc res attingit. Nam et cum Itali ditionem hanc tenerent, in eaque longo tempore regnassent, soli eam vestræ familiæ principes recuperarunt et ipse tu præter alia multa magnaque beneficia, præclarum illud atque ingens opus nuper erexisti, ducto per isthmum muro, maxima et præstantissima perpetuæ salutis occasione. Quocirca vos decet cum priorum beneficiorum collocatione hæc etiam consequentia conjungere, quo simul et ipsi rerum præclararum augmento studere videamini, et ipsa vobis ante collata beneficia, perpetuitate consequentium salva permaneant

ς'. Οἶμαι δ' οὐδὲ τῇ μεγάλῃ ταύτῃ Πόλει (9) φαῦλον ἂν τι φέρειν πρὸς ἀσφάλειάν τε ὁμοῦ καὶ ὠφέλειαν καὶ τήνδε τὴν χώραν πράττουσαν καλῶς· περὶ ὧν λέγειν κατὰ μέρος ἔν γε τῷ παρόντι περιττὸν ἔμοιγε δοκεῖ. Ὡς μὲν οὖν πλείστης ἥδε ἡ χώρα ἀξία τῆς σπουδῆς, ἱκανῶς ἔμοιγ' οἶμαι δεδηλῶσθαι· ὡς δὲ διὰ βραχυτάτων δοκεῖ ἀποδεδεῖχθαι. Ἣν δέ φημι ταῖς ἤδη ὑμῖν γεγενημέναις εὐεργεσίαις δεῖν προσθεῖναι ἐπιμέλειαν, καὶ ἃ μάλιστα ἐπανορθωτέα τῶν τῇδε πραγμάτων, καὶ ὡς γενόμενα ἂν μάλιστα λυσιτελήσειεν, ἤδη ἐρῶ· ἐκεῖνα πρότερον ὑπειπὼν καὶ καταλέξας, ἃ μάλιστα μὴ καλῶς ἔχοντα ἐνιδεῖν ἔστι τοῖς τῇδε πράγμασιν.

6. Neque parum tum securitatis tum emolumenti magnæ quoque isti urbi, ut arbitror, hæc regio recte constituta adferet : id quod hoc quidem loco pluribus explicare supervacaneum nobis videtur. Ac studium quidem summum hanc mereri regionem, satis a me quantum res postulat, demonstratum existimo : quam autem cupiam diligentiam cum prioribus vestris conjungi beneficiis, quæque harum rerum corrigendæ potissimum videantur, quoque illæ pacto compositæ plurimum sint fructus allaturæ, nunc aperiam, si ea prius, quæ in his minus recte se habent explicuero.

ζ'. Ἔστι τοίνυν πρῶτον ἰδεῖν τῇδε Πελοποννησίων τὸν πολὺν λεὼν γεωργοῦντάς τε ἢ καὶ νέμοντας ἐνίους, καὶ ἀπὸ τούτων τάς τε πρὸς τὸν βίον ἀφορμὰς σφίσιν αὐτοῖς ποριζομένους· εἰσφέροντάς τε τῷ κοινῷ, καὶ στρατευομένους τοὺς αὐτούς (10)· εἰσφέροντάς τε κατὰ σμικρὰ μὲν, συχνὰ δὲ, καὶ ὑπὸ συχνῶν εἰσπραττόμενα· καὶ νομίσματι τῶν πλείστων εἰσπράξεων, οὐ χρήμασι γιγνομένων. Ἔπειδ' ἂν οὖν εἰς στρατείαν οὕτως ἔχοντες παραγγελθῶσιν, ὀλίγοι τε ἐξίασιν ἐκ πολλῶν, τῶν τε ἐξιόντων ὅπλοι οἱ πλείστοι ἔρχονται, καταστάντες ἐπὶ στρατοπέδου, οὐ πάνυ τοι ἐθέλουσι παραμένειν, τῶν ἔργων σφᾶς οἶκοι καλούντων, ἀφ' ὧν καὶ οἶκοι καὶ ἐπὶ στρατοπέδου δεήσει δαπανᾶν, καὶ πρός γε ἔτι εἰσφέρειν. Μὴ παραμενούσης δὲ στρατιᾶς, ἡ καὶ ὀπλου, σμικρότατον τὸ ὄφελος.

7. Primum itaque magna Poloponnesiorum pars agricultura vel pastioni vacat, ex iisque et vitæ necessaria sibi comparant, et collationes pendunt, et militiam iidem obeunt, collationes porro parvas quidem, sed multas, et a multis exactas idque pecunia (εἰσπράξεων lego pro ὑπάρξεων) plerumque non mercibus faciunt. Quamobrem si qua denuntiatur expeditio, tum et pauci de multis prodeunt et hi fere inermes apparent, et in exercitu collocati difficulter locum servant, dum a domesticis avocantur operibus, ex quibus et domi et militiæ sumptus facere, atque insuper collationes pendere coguntur. Atque locum deserens vel etiam inermis exercitus non valde magni est pretii.

η'. Ταῦτα δὴ ὡς μὲν οὕτως ἔχει, καὶ ὡς σφαλερώτατά ἐστιν οὕτως ἔχοντα, ἴδοις μὲν καὶ τῷ ἐθέ-

8. Atque hæc ita se habere, et hoc modo minimum securitatis afferre cum res ipsas quivis con-

(7) Ἀνειληφότες. Palæologorum in primis familia Peloponneso recuperandæ maximam operam adhibuit.

(8) Διατείχισιν. Isthmi ab imper. Manuele facta fortificatio fusius a Phrantze traditur, lib. I. Falso namque Græci Peloponnesum post isthmum sic fortificatum inexpugnabilem fore autumabant.

(9) Πόλει. Peloponnesus inde a decimo tertio sæculo Constantinopoli eadem quæ Sicilia olim Romanis præstitisse videtur.

(10) Εἰσφέροντας... αὐτούς κ. τ. λ. Certioribus quam clarioribus verbis Plethon hoc loco de vectigalium in Peloponneso exactorum ratione nos edocet, ut ne unus e cæteris de Byzantinis rebus scriptoribus.

siderans potest animadvertere, tum re ipsa in hoc postremo bello apertissime compertum est. Neque sane facile quisquam et ipse militet, et sese simul atque alios alat. Non enim semper in expeditione prædas agere militibus licet, eaque via suis rebus consulere; verum a se pleraque eos qui reip. sunt usui futuri oportet sumere. Hoc igitur apparatu nec Isthmus commode servari poterit, nec, si quod olim impendeat periculum, certa salutis spes esse. Quocirca priusquam tale quod eveniat, decet nos dum in tuto sumus et quæ minus et recte videntur se habere, corrigere t quantum liceat, necessaria præparare, ne, si quis forte casus arcidat, eum difficulter feramus. Nam in ipso quidem discrimine non satis commode correctionem, si quæ requirunt, recipiunt.

9. Quam porro collationem singulis laribus imponunt nonnulli, qua milites ad Isthmi custodiam conducantur, licet hoc inventum illi magnum et præclarum ducant, tanquam quod solum rebus possit succurrere, dum quantam ex ea collatione sint collecturi pecuniam considerant, mihi sane ridiculum videtur, si nostris perditis civibus, a peregrinis et alienis mercede servatum nos iri credimus. Quo vero pacto non perdentur si custodia quidem eos liberemus, tanta vero multemus pecunia? Etenim si solitæ illos collationes perdunt, ac multi jam perierunt; qui tandem si quid addatur, futurum est?

10. Deinde quod exsistat periculum, conductitiique quidem illi non poterunt soli resistere, nostros autem tunc milites advocabimus, at hi cum perditi et inermes erunt, nec locum in exercitu servare poterunt, nulli sunt nobis usui futuri. Neque multum nos perpetua principis cum delectis militibus ad Isthmum statio, nisi quis numerosus adsit exercitus, juvare poterit. Siquidem hoc in statu similes iis videmur, qui cum ex incontinentia morbum contraxerint, pravam quidem vivendi rationem nolunt omittere, pharmacis autem quibusdam aut amuletis sanitatem se recuperaturos arbitrantur. Non aliter sane in his rebus arbitremur, tale nobis hominum genus aliquid profuturum, nisi magna quædam rerum fiat mutatio, eaque quæ dixi cuncta corrigantur.

11. In hoc igitur primum adhibendam correctionem aio, ne iidem simul et militent et collationes pendant; sed bifariam divisis Peloponnesiis in militantes et pendentes, prout singulorum feret ratio; milites quidem, præter quod erunt ab omni collatione liberi (*desunt nonnulla*), non tamen ita parvas

λοντι ἐκ τῶν καθεστηκότων πραγμάτων λογίζεσθαι· ἀλλὰ δὴ καὶ ἐπ' αὐτῆς τῆς χρείας καὶ τοῦ παραπεπτωκότος τοῦδε ἤδη πολέμου, μάλιστα δὴ οὕτως ἔχοντα ἐλήλεγκται (11). Ὅλως δὲ πῶς ἂν καὶ εἴη στρατεύεσθαί τε τὸν αὐτὸν, καὶ αὐτόν τε ἅμα τρέφειν καὶ ἑτέρους; Καὶ γὰρ οὖν οὐδὲ ἀεὶ λαφυραγωγεῖν τὴν στρατιὰν, ὥστ' ἂν καὶ εἶναί τινα ἀπὸ τούτου τοῖς στρατευομένοις ὠφέλειαν, ἀλλ' οἴκοθεν τὰ πολλὰ ἀναγκαῖον δαπανᾶν, ὧν ἄν τι μέλλοι καὶ ὄφελος τῷ κοινῷ ἔσεσθαι. Ἀπὸ δὴ τοιαύτης τῆς παρασκευῆς οὔτ' Ἰσθμὸς οἷός τε ἱκανῶς φρουρεῖσθαι, οὔτ' ἂν ποτέ τις κίνδυνος ἐπικρεμασθῇ, θαρρεῖν ὑπάρξει ὑπὲρ τοῦ σωθήσεσθαι. Πρὶν οὖν ἐν τοιούτῳ τινὶ καταστῆναι ἔτι ὄντας ἐν τῷ ἀσφαλεῖ, ἐπανορθωτέα τε ἃ φαύλως δοκεῖ ἔχειν καὶ σφαλερῶς, καὶ παρασκευαστέον ἐκ τῶν δυνατῶν, ὥστ' ἂν ποτέ τι καὶ συμβῇ, ἔχειν ὡς ῥᾷστα διενεγκεῖν. Χαλεπῶς γὰρ ἐπ' αὐτοῦ τοῦ δεινοῦ καὶ τῶν κινδύνων ὅτιοῦν ἔστιν ἐπανορθοῦσθαι τῶν φαύλως ἐχόντων.

Θ'. Ἦν μὲν οὖν ἐφ' ἑκάστης ἑστίας ἔνιοι εἰσηγοῦνται εἰσφοράν, ὥστ' ἂν ξενοτροφεῖν ὑπὲρ τῆς τοῦ Ἰσθμοῦ φρουρᾶς, καὶ μέγα τι καὶ σεμνὸν οἴονται ἐπινενοηκέναι, ὡς μόνον ἂν ἐπαρκέσον τοῖς πράγμασι, λογιζόμενοι ὅσον ἀργυρολογήσουσι κυρωθείσης ἂν τῆς εἰσφορᾶς, γέλως ἔμοιγε δοκεῖ, εἰ διαφθείραντες τοὺς ἡμετέρους πολίτας, μισθούμενοι ὑπὸ ξένων καὶ ἀλλοτρίων ἀνθρώπων οἰόμεθα σωθήσεσθαι (12). Πῶς δ' οὐ τούτους διαφθείρειν ἐστὶν, ὅταν τοῦ μὲν φρουρεῖν ἀφίωμεν, τοσαῦτα δὲ ἀργυρολογῶμεν; Εἰ γὰρ αἱ νῦν εἰσφοραὶ διαφθείρουσι, καὶ ἐφθόρασί γε ἤδη οἱ πολλοί, τί τοτε καὶ γένοιτ' ἄν, ἄν τι καὶ προστεθῇ;

ι'. Ἔπειτα ἂν τις κίνδυνος ἐπίῃ. οἱ μὲν μισθωτοὶ ἐκεῖνοι δηλονότι οὐκ ἔτι που ἔσονται ἱκανοὶ ἀμύνειν· καταφευξόμεθα δὲ ἐπὶ τοὺς ἡμετέρους τούτους στρατιώτας, τοῖς δὲ διεφθαρμένοις καὶ ἀόπλοις καὶ ἀδυνάτοις ἢ ἂν τάττωνται παραμένειν, οὐχ ἕξομεν ὅτῳ χρησόμεθα. Ἥ τε τοῦ θείου ἡγεμόνος πρὸς τῷ Ἰσθμῷ διηνεκὴς σὺν τοῖς λογάσιν οἴκησις σμικρὸν ἂν που ἀμύνοι, μή τινος παρούσης πλήθει ἀξιομάχου στρατιᾶς (13). Τὰ γὰρ τοιαῦτά μοι δοκεῖ ὁμοιόν τι ἔχειν τοῖς ὑπὸ ἀκρατείας μὲν νοσοῦσιν, ἔπειτα διαίτης μὲν οὐκ ἐθέλουσι πονηρᾶς ἐκβῆναι (14)· ὑπὸ δέ τινων φαρμάκων ἢ καὶ περιάπτων ἐάν τις συμβουλεύσῃ αἰσὶ ἂν οἰομένοις σωθήσεσθαι. Καὶ δὴ καὶ ἐπὶ τῶν τῇδε πραγμάτων μὴ οἰώμεθα ὑπό τινων τοιούτων ἔσεσθαί τι ὄφελος, μὴ μεγάλης τινὸς καὶ ἀξιολόγου μεταβολῆς τοῖς ὅλοις γινομένης, καὶ πάντων ἐκείνων ὧνπερ εἶπον ἐπανορθώσεως τυχόντων.

ια'. Πρῶτον μὲν οὖν ἐκεῖνό φημι δεῖν ἐπανορθωτέον εἶναι, τὸ μὴ τοὺς αὐτοὺς εἶναι τοὺς στρατευομένους τε καὶ ἅμα εἰσφέροντας, ἀλλὰ διχῇ πρῶτον διελεῖν πάντας Πελοποννησίους· χωρὶς μὲν τοὺς στρατευομένους, χωρὶς δὲ τοὺς εἰσοίσοντας· πρὸς ὁπότερον ἂν ἕκαστοι μᾶλλον δοκῶσι πεφυκέναι. Καὶ

(11) *Καὶ . . . ἐλήλεγκται*, κ. τ. λ. Procul dubio de invasione sermo est 60,000 Turcarum qui 30,000 bello captos inde in servitutem traxerunt. Conf., si lubet,, Phrantzes, Chalcocondyles.

(12) *Σωθήσεσθαι*. Conductitiis Plethon militibus non favet, et revera, medii ævi historia teste, rebus Byzantinis mirum in modum obluerunt.

(13) *Στρατιᾶς*. Peloponnesus male defensa sex Turcarum per 45 annos invasiones experta est.

(14) *Ἐκβῆναι*. Vid. Plat. lib. IV De Republica.

τοῖς μὲν στρατευομένοις πρὸς τὸ πάσης εἰσφορᾶς ἀφεῖσθαι (15), μηκέτι μέντοι οὕτω κατὰ σμικρὰ μὲν, συχνὰ δὲ, μηδ' ὑπὸ πολλῶν εἰσπραττόμενα, μηδὲ νομίσματι εἰσφέρειν. Χαλεπώταται γὰρ οὕτως αἱ εἰσπράξεις ἅμα ἀμφοῖν καὶ τοῖς εἰσφέρουσι καὶ τοῖς εἰσπράττουσι καθίστανται· ἀλλὰ μίαν μὲν τῷ εἶδει τὴν εἰσφορὰν, καὶ ταύτην χρήμασιν εἰσφέρειν, ἑνός τέ τινος εἰσπράττοντος παρ' ἑκάστου· τοιαύτην δὲ καὶ τηλικαύτην, οἵαν τὴν αὐτὴν τό τε δίκαιον ἅμα ἕξειν, καὶ τοῖς πράγμασιν ἐπαρκέσειν, αὐτοῖς τε τοῖς εἰσοίσουσιν ὡς κουφοτάτην ἂν ἔσεσθαι φέρειν.

A quidem sed multas et a multis exactas neque pecunia utentes (hoc enim pacto longe difficillimæ collationes tum exigentibus tum pendentibus exsistunt), sed unius quidem generis collationem eamque mercibus pendant, idque uni cuidam a singulis exigenti; talem autem ac tantam, qualis pariter et justa sit et rebus succurrat et ipsis pendentibus non sit gravissima.

ιβ'. Τί; ἂν οὖν εἰσφορὰ τοῦ ἅπαντα ταῦθ' ἅμα δύνασθαι ὡς ἐγγυτάτω εἴη, ἐγὼ δήπου δηλώσω. Τοὺς γιγνομένους τῶν ἔργων ἑκάστων καρποὺς τρισί φημι προσήκειν κατὰ τὸ δίκαιον (16)· ἑνὶ μὲν αὐτῷ τῷ τῶν ἔργων ἐργάτῃ, δευτέρῳ δὲ τῷ τὰ τέλη συνεκπορίζοντι τοῖς ἔργοις, καὶ τρίτῳ τῷ τὴν ἀσφάλειαν τοῖς ὅλοις παρασκευάζοντι. Ἐργάται μὲν δὴ ἀροτῆρες, σκαπτῆρες, νομεῖς· τέλη δὲ τούτων τοῖς ἔργοις βόες, ἀμπελῶνες, βοσκήματα, εἴ τέ τι ἄλλο τῶν τοιουτοτρόπων· οἱ δὲ δὴ τὴν ἀσφάλειαν παρασκευάζοντες τοῖς ὅλοις, οἱ στρατευόμενοι, καὶ προκινδυνεύοντες τῶν ὅλων, οἵ τε ἄρχοντές τε καὶ ἐπιστατοῦντες ἄλλοι ἄλλοις τῶν κοινῶν, καὶ σώζοντες ἕκαστα καὶ μείζω καὶ ἐλάττω, βασιλεύς τε κορυφαῖος ἅπασιν ἐπιστατῶν καὶ πάντα κατευθύνων τε καὶ σώζων. Ὅ τι γὰρ ἂν τούτων ἀπῇ, οὐδὲν τῶν λοιπῶν ὄφελος· ἀλλὰ τούς τε ἐργασομένους δεῖ πρῶτον ὑπάρχειν, τέλη τε ἅττα σφῶν τοῖς ἔργοις παρεῖναι, καὶ ἅμα τοὺς φυλάξοντας, εἰ μέλλοι τι ὄφελος ἔσεσθαι.

12. Jam quæ collatio simul fere comprehendat hæc omnia, meum est ostendere. Operum omnium fructus tribus aio potissimum deberi; primum ipsis operis, deinde illi qui sumptus facit, tum qui securitatem universis præstat. Atque operæ quidem censentur aratores, fossores, pastores: sumptus autem in bobus, vineis, armentis, ac similibus consistunt: securitatem denique universis præstant milites et præfecti, quique alii alias reip. partes curant, singulaque tum parva tum magna conservant, et præcipuus rex, omnibus imperans, omniaque gubernans et conservans. Si quod enim horum desit, reliqua nullius momenti sunt futura: cum et operas primum oporteat suppetere, et sumptus operibus præberi et simul custodes, ut res alicujus sit pretii, adesse.

ιγ'. Διὰ ταῦτα τοίνυν καὶ τριχῇ φημι δεῖν νενεμῆσθαι τοὺς γιγνομένους ἑκάστοις τῶν ἔργων καρποὺς, εἴτε σῖτος εἴεν, εἴτε οἶνος, εἴτε ἔλαιον, εἴτε βαμβύκινα, ἔτι τε βοσκημάτων τόκοι, γάλα, ἔριον, εἴτε τι ἄλλο παραπλήσιον· λογιζομένων τῶν καρπῶν ἀροτῆρσι μὲν μετὰ τὴν τῶν σπερμάτων ἐξαίρεσιν, νομεῦσι δὲ μετὰ τὴν τῶν ἀρχαίων ἀποκατάστασιν· καὶ μίαν μὲν αὐτῷ τῷ ἐργάτῃ γεγενῆσθαι μοῖραν, δευτέραν τε τοῖς τέλεσι, τὴν τρίτην δὲ αὖ τῷ δημοσίῳ. Τὸν μὲν οὖν οἰκείοις ἐργαζόμενον τέλεσιν, ἔχοντα τὰς δύο μοίρας, τὴν τρίτην τῷ δημοσίῳ ἀποφέρειν· τὸν δ' αὖ παρὰ τῶν ἐπὶ τῇ δημοσίᾳ τεταγμένων ἐκλαμβάνοντα τὰ τέλη, αὐτὸν ἐπὶ τῇ τρίτῃ ἐργάζεσθαι, ἢ εἴ πως ἂν ἄλλως κοινῇ συμβαίνοντες τούτου τοῦ δικαίου μὴ πολύ τοι ἀπολείποιντο· τὸν δὲ κοινοῖς ἐργαζόμενον τοῖς τέλεσιν ἐπὶ τῇ ἡμισείᾳ ἐργάζεσθαι. Ἄλλο δὲ μηδ' ὁτιοῦν τελεῖν τούτων μηδένα, ὅ τι δὴ ἄξιον λόγου. Τοὺς δὲ ταύτην εἰσοίσοντας τὴν εἰσφορὰν καλέσειε (al. κελεύσειε) μὲν ἄν τις οὑτωσὶ Εἵλωτας (17), διὰ τὸ ἀφειμένους τῆς στρατείας ἐπὶ τὸ εἰσφέρειν τετάχθαι· νομίζειν δὲ χρῆναι κοινοὺς, τούτους τροφέας, καὶ μηδὲν πλέον μήτε εἰσπράττειν παρὰ ταύτην τὴν εἰσφορὰν, μηδ' ὑπὲρ ἑνὸς, μήτε ἀγγάρειας ἐξεῖναι χρῆσθαι μηδενὶ, ἀλλ' ὡς μάλιστα περιέπειν οὐδ' ὁτιοῦν ἀδικησομένους.

13. Quapropter etiam operum omnium fructus trifariam aio dividi debere, sive frumento constent, sive vino, sive oleo, sive bombycinis, sive armentorum fetu, lacte, lana sive qua re alia; constitutis aratori quidem fructibus post seminis collectionem, pastori vero post restitutionem priorum: itaque partem quidem unam tribui operis, alteram vero sumptibus, tertiam denique reipublicæ, et eum quidem, qui suis laboret sumptibus, duabus fruentem partibus, tertiam reip. præstare: cui autem a reipublicæ præfectis sumptus suppeditentur, tertia parte contentum esse, aut si quo inter eos alio pacto, quod ab hac æquitate non multum recedat, convenerit: qui vero communibus operetur impensis, alteram partem auferre, aliud porro nihil horum quemquam conferre, quod sit alicujus ponderis. Qui porro sunt hæc collaturi, eos non injuria quidem Ililotas quis nuncuparit, quoniam vacantes militia, collationi destinentur; pro publicis tamen eos conveniet habere nutriciis, neque vel præter collationem hanc ab illis quidquam exigere vel amplius quam semel, nec ullam cuiquam vim inferre, verum citra omnem illos injuriam diligentissime fovere.

(15) Ἀφεῖσθαι. Lacunam a Cantero observatam, quia in ms. quoque Florent. sub-istit, sanare supersedemus.

(16) Δίκαιον. Cf. Plat. *De leg.* lib. VIII, et Aristot. *Polit.* l. VII.

(17) Εἵλωτας. De hoc servitutis genere utrum bonum an malum sit, multum in utramque partem disputarant antiqui. Cf. Plat *De leg.*, l. VI, Herodot. IX, 28, et Thucyd. l. IV, 8.

14. Quibus ita constitutis, peditibus quidem in exercitu singulis Hilotas singulos attribuendos censeo, equitibus autem binos; sic ut possint milites tum suis fruentes, quorum acquisitio militiam non impediat, tum Hilotarum collationibus, sive illi propriis, sive publicis, sive quovis alio pacto suppetentibus operentur impensis, simul et in armis militare, et locum in exercitu servare. Atque ubi quidem possunt omnes in milites et Hilotas tribui, quod non omnes æque militiæ conveniant, sane tribuantur: ubi autem plerique omnes ad militiam sunt apti, iis per conjugationes divisis, alteruter semper communibus laboret sumptibus; sic ut vicissim alter laboret, alter militet. Cæteris præfectis et militibus primariis quot sunt Hilotæ concedendi, vestrum quidem sit judicium, meum autem consilium. Ergo tribus unicuique ascriptis Hilotis unum hi præbeant equitem, qui simul et ipsi serviat et pro republica militet; sumptus autem, prout inter eos convenerit, subministrentur. Quinetiam principis ædibus quot Hilotæ videantur sufficere, separentur. Sacerdotibus quoque majoribus, tanquam pro republica consecratis, Hilotæ totidem, quot fere primariis militibus, concedantur; qui quidem nec mulierum nec liberorum graventur cura.

Καὶ μὲν δὴ καὶ τῶν ἱερέων τοῖς ἐπὶ τῆς μείζονος ἱερωσύνης, ἅτε δὴ τῷ κοινῷ ἱερωμένοις, ἀποχρῆναι νεῖμαι καὶ τούτοις τῶν Εἱλώτων κατὰ μέσου ἀνδρὸς λογάδος κλῆρον, οἷς μὴ ἀνάγκη εἴη τις μήτε εἰς γυναῖκας μήτε ἐς παῖδας διὰ τὴν μοναυλίαν δαπανᾶν.

15. Qui vero vitæ monasticæ studium sequuntur, hoc autem prætextu publicorum bonorum volunt participes fieri, iis publicum quidem nihil tribuatur, sed ut suis quidem absque onere fruantur, et nec ipsi quid conferant, nec de publico quidquam capiant, æquum esse dixerim, talique vitæ generi congruum; ut autem publicis quoque isti fruantur nec ipsos, nec rempublicam ullo puto decere. Cum enim qui collationes istas pendunt, custodibus publicis mercedem hanc laborum, quos pro communi salute perferunt, attribuant; isti sane publico quidem nullo munere funguntur, cum alii sint pro republica consecrati, sed relictis rebus, ut aiunt, et privatim Deum colunt, et suam ipsorum procurant salutem. Itaque cum salutis publicæ mercedem isti quidem sibi virtutis prætextu deberi arbitrantur, illi vero fraudatis aliis in istos conferunt, cui hoc æquum videatur, obsecro, nisi qui magna superstitione, tertia impietatis specie, teneantur ut etiam extraordinaria ista donaria Deum demereri credat.

ιδ'. Τούτων δ' οὕτω διατεταγμένων, τῶν στρατιωτῶν ἑκάστῳ πεζῷ μὲν ἕνα φημὶ δεῖν γ' ἐννεμεῖσθαι τῶν Εἱλώτων, ἱππεῖ δὲ δύο· ὥσθ' ἕκαστον τῶν στρατιωτῶν καρπούμενον μὲν τὰ αὑτοῦ ὅσα ἐργαζομένῳ μὴ ἐμποδὼν ἔσοιτο τῷ στρατεύεσθαι, καρπούμενον δὲ τὴν τοῦ Εἵλωτος μοῖραν, εἴτε ἴδιος, εἴτε κοινός, εἶθ' οὕτως ἂν κοινῇ συμβαίνωσι τοῖς τέλεσιν ἐργαζομένου, ἔχειν μετά τε ὅπλων στρατεύεσθαι, καὶ παραμένειν ὅπη τάττοιντο. Οὗ μὲν οὖν ἔστιν εἰς στρατιώτας τε καὶ Εἵλωτας τοὺς σύμπαντας διελεῖν, διὰ τὸ μὴ πάντας ἐπιτηδείους δοκεῖν εἶναι στρατεύεσθαι, ταύτην νεῖμαι· οὗ δ' ἂν οἱ πλεῖστοι ἐπιτήδειοι δοκεῖεν στρατεύεσθαι, τούτους μὲν αὖ κατὰ συζυγίας διελεῖν, ἔπειτα ἀναγκάζειν τοὺς ὁμόζυγας κοινοῖς τὰ πολλὰ τοῖς τέλεσιν ἐργάζεσθαι· καὶ παρὰ μέρος ἑκάτερον τὸν μὲν ἐργάζεσθαι τῷ κοινῷ ἀμφοῖν, τὸν δὲ ἕτερον στρατεύεσθαι (18). Τοῖς δ' ἄρχουσί τε καὶ τῶν στρατιωτῶν λογάσιν, ὑμέτερον μὲν ἂν εἴη ὁπόσους ἂν ἐθέλοιτε νέμειν ἑκάστῳ τῶν Εἱλώτων, ἐμὸν δ' ἂν εἴη γνώμην εἰσενεγκεῖν. Κατὰ τρεῖς τῶν ἑκάστων νενεμημένων Εἱλώτων, ἵνα ἀναγκάζειν παρέχεσθαι ἵππέα, θεράποντα μὲν αὐτῷ, στρατιώτην δ' ἅμα ἑσόμενον τῷ κοινῷ, τρεφόμενον δ' οὕτως, ὅπως ἂν κοινῇ οἵτοι ἕκαστοι συμβαίνωσιν. Ἐξαιρεῖσθαι δὲ καὶ τῷ θείῳ ἡγεμόνι εἰς τὸν οἶκον ὅσους ἂν δόξειε τούτων τῶν Εἱλώτων ἀποχρήσειν.

ιε'. Τοῖς δὲ φιλοσοφεῖν μὲν φάσκουσι τούτοις, ἐπὶ δὲ τούτῳ τῷ προσχήματι τὰ πολλὰ τῶν δημοσίων καρποῦσθαι ἀξιοῦσι (19), τούτοις δ' αὖ νέμειν μὲν τῶν κοινῶν μηδὲν, ἀλλὰ τὰ μὲν αὑτῶν ἐᾶν ἀτελῆ καρποῦσθαι, καὶ μήτ' αὐτοὺς εἰσφέρειν, μήτ' ἀποφέρεσθαι μηδὲν τῶν κοινῶν, ὅσιόν τε εἶναι φημι, καὶ τῷ σχήματι τούτῳ πρόσηκον· τὸ δὲ καὶ τὰ κοινὰ τούτοις ἀξιοῦν καρποῦσθαι οὐδαμῇ οὔτε πρόσηκον, οὔθ' ὅσιον εἶναι οὔτ' αὐτοῖς τοῖς λαμβάνουσιν, οὔτε τοῖς νέμουσι. Φέρειν μὲν γὰρ καὶ νῦν τοὺς φέροντας τούτους ἃ φέρουσι μισθὸν τοῖς κοινοῖς φύλαξι τῶν πόνων, ὧν ὑπὲρ ἀσφαλείας πονοῦσι κοινῆς· τοὺς δὲ φιλοσοφεῖν ποιουμένους τούτους λειτουργεῖν μὲν τῷ κοινῷ μηδὲν, ἀλλ' ἑτέρους εἶναι τοὺς τῷ κοινῷ ἱερωμένους, τούτους δ' ἀποστάντας, ὥς φασι, πάντων ἰδίᾳ θεοκλητεῖν τε καὶ τῆς σφετέρας αὐτῶν φάσκειν ἐπιμελεῖσθαι ψυχῆς. Ὅταν οὖν τοὺς ὑπὲρ ἀσφαλείας τῆς κοινῆς μισθοὺς οἱ μὲν ἀποδιδόμενοι τὸ πρόσχημα τῆς ἀρετῆς σφίσιν αὐτοῖς λαμβάνειν ἀξιοῦσιν, εἰ δ' οἷς προσήκουσιν ἀποστεροῦντες τούτοις νέμειν· πῶ τοῦθ' ὅσιον, οὐδένα ἂν οἶμαι φάναι, ὅτῳ μὴ πάμπολύ τι δεισιδαιμονίας, τρίτου ὄντος εἴδους ἀσεβείας, μετεῖη, ὡς οἶεσθαί γε καὶ ὁτιοῦν τῶν ἔξω προσηκόντων τούτων ἀναθημάτων τὸν Θεὸν προσίεσθαι.

16. Quid quod nec cum eorum præceptis, qui primi hanc vitæ rationem instituerunt, ista videntur consentire, quandoquidem laboribus illi jubebant, isti ad otium et quietem invitant? Nam illi quidem ad agriculturam et pastionem, isti ad contemplationem et cœlestium rerum cognitionem. Illi ad fortitudinem, isti ad temperantiam. Illi ad justitiam, isti ad pietatem. Illi ad prudentiam, isti ad sapientiam. Illi ad fortitudinem, isti ad temperantiam. Illi ad justitiam, isti ad pietatem. Illi ad prudentiam, isti ad sapientiam. Illi ad fortitudinem, isti ad temperantiam. Illi ad justitiam, isti ad pietatem. Illi ad prudentiam, isti ad sapientiam.

ις'. Δοκεῖ δ' ἐμοί γε μηδὲ τοῖς τῆς ἐξ ἀρχῆς τὴν τοῦ βίου ταύτην παραδεδωκόσιν ὁδὸν δεδογμένοις τοιαῦτα ὁμολογεῖν, ἀλλ' ἐργαζομένους ἐδίδοκτο ὡς

(18) *Στρατεύεσθαι*. Cf. Schol. in Æschinem et Isocratem.

(19) *Ἀξιοῦσι. Φιλοσοφεῖν* hoc loco vitam monasticam agere significat. Quæ sequuntur, mira sane in ore Plethonis videri non paucis lectoribus potuerunt.

ἑκάστῳ δύναμις, οὕτως ὅπως ἂν δύναιντο ὀποζῇν, μήτοι γε δὴ ἀγγάροις χρωμένους. Καὶ διὰ ταύτας τε γὰρ τὰς ἐπὶ τὰ μὴ προσήκοντα δαπάνας χείρω τὰ κοινά, καὶ διὰ τοὺς ἀξιοῦντας τούτου δωρεὰς ἀτελεῖς λειτουργιῶν ἴσχειν ἐκ τῶν κοινῶν, καὶ τάδε κοινὰ βλάπτοντας, καὶ ἀρχὴν καὶ κηφηνώδη ἕξιν σφίσιν αὐτοῖς κατασκευάζοντας (20), καὶ οὐδ' αἰσχυνομένους ἐπὶ τῷ τοῦ πράγματος αἰσχρῷ. Ἐκεῖθεν δ' ἄν τις συνίδοι καὶ εἴῳ ἀδικήματι οὗτοί τε κἀκεῖνοι δόξαιεν ἂν εἶναι ἔνοχοι, ὅτι ἃ μάλιστα οἱ πολέμιοι εὔξαιντ' ἄν, τὰς ὑπὲρ τῆς ἡμετέρας ἀσφαλείας δαπάνας εἰκῇ διόλλυσθαι, ταῦθ' οὗτοι ἐν σφίσιν αὐτοῖς γίγνεσθαι ἀξιοῦντες οὐκ αἰσχύνονται. Οἵ τε γὰρ ἐωνῆσθαι τὰ τοιαῦτα φάσκοντες, καὶ οἱ πολλῶν καὶ μεγάλων, ὥς φασι, τῶν σφίσιν ἢ προγόνοις λελειτουργημένων μισθὸν τοῦτον προσήκοντα ἀξιοῦντες ἔχειν, τὸν ἐν ὑπογυίῳ τὸν κοινὸν ὄλεθρον, οὔτε δίκαιά μοι δοκοῦσιν ἀξιοῦν, πάνυ τε ἀναισθήτως ἔχειν, οἳ μηδὲ τοσοῦτον γοῦν συνορῶσιν, ὡς εἰ δή τι τὰ κοινὰ πταίσειεν, ὃ μήποτε γένοιτο, οὐδὲ σφίσιν ἂν δήπου τε λυσιτελήσειεν.

ιζ'. Ἐγὼ δ' ἔχειν μὲν τούτων ἑνίους ἀντὶ μεγάλων τῶν λειτουργιῶν ἢ καὶ ἐπιδόσεων τῶν εἰς τὸ κοινὸν ἃ ἔχουσιν, ἢ τὰ τούτων ἄξια, καὶ πάνυ φημὶ δίκαιον εἶναι, λειτουργεῖν μέντοι καὶ ἐπὶ τούτοις τὰ προσήκοντα, αὐτῷ μόνῳ τῷ πλέον τῶν πολλῶν τετιμῆσθαι (21), ἀγαπῶντας τῷ πλείῳ μὲν χαρπουμένους, πλείῳ δὲ καὶ λειτουργοῦντας, μᾶλλόν τι καὶ χρησίμους; εἶναι τοῖς κοινοῖς, ἀλλὰ μὴ ἅμα μὲν τὸ τῆς βοὸς ποιεῖν, ἢ δὴ ὁ ἡμέλχθη γάλα, λακτίζουσάν φασιν αὖθις ἐκχεῖν, ἅμα δὲ κἀκεῖνο τὸ τοῦ Ἡσιόδου πάσχοντας φαίνεσθαι·

Ἐὸν κακὸν ἀμφαγαπῶντας (22).

Τῶν γάρ τοι κοινῶν τούτων πολλοῦ δεόντων κἂν ἐξ ὁλοκλήρων ταῖς ὑπὲρ τῆς κοινῆς ἀσφαλείας ἁπάσαις δαπάναις ἐξαρκεῖν, τί ποτε λείπεται ὅταν πρὸς ταῖς τῶν κοινῶν ἀνάγκαις καὶ τοσοῦτόν τι τρέφειν ᾖ σμῆνος κηφήνων, τῶν μὲν φασκόντων φιλοσοφεῖν, τῶν δ' ἄλλως ἀργεῖν, ἢ καὶ τῶν ταῖς λειτουργίαις προσηκόντων πολλῷ που πλείω καρποῦσθαι ἀξιούντων; Ἀλλ' ὑμεῖς καὶ ταῦτά τε κἀκεῖνα ἐπανορθώσαιτε, καὶ τὴν τε ἀμείνω ἕξιν ἅπασιν ἐνθείητε, καὶ τὰ κοινὰ βελτίω μάλιστα ποιήσαιτε. Ἀλλ' ἐκεῖσε ἐπάνειμι πάλιν ὅθενπερ ἐξέβην.

ιη'. Ἴσως δ' ἀκόλουθον ἂν δόξειε τοῖς ἤδη εἰρημένοις καὶ τήνδε τὴν γνώμην εἰσενεγκεῖν, τὴν γῆν ἅπασαν, ὥσπερ ἴσως ἔχει κατὰ φύσιν, κοινὴν ἅπασι τοῖς ἐνοικοῦσιν εἶναι (23), ἀντιποιεῖσθαι δὲ μηδένα ἰδίᾳ χωρίου μηδενός· ἐξεῖναι δὲ παντὶ τῷ ἐθέλοντι φυτεύειν τε ὅπῃ βούλεται, καὶ ἐποικοδομεῖν, καὶ ὁροῦν γῆς τι τοσοῦτον ὁπόσον βούλεταί τε καὶ δύναται. Ὡς τούτου τε δὴ καὶ τοσούτου καὶ κύριον ἕκαστον ἐσόμενον ἐπὶ τοσοῦτόν τε ἐφ' ὅσονπερ ἂν καὶ κατέχων μὴ ἀμελοίη τοῦ ἐργάζεσθαι, μηδενὶ

A bant unumquemque prout vires suppeterent, non exactionibus vicitare. Siquidem et propter supervacuas has impensas male se habet respublica et propter istos, qui collationes publicas oneris expertes deposcunt, ac tum reipublicæ nocent tum inertem et fucorum similem vitam absque ullo turpitudinis pudore sibi conciliant. Quin et hinc liceat cuivis, quam graviter utrique peccent, animadvertere, quod ea quæ maxime hostes in votis habent, ut salutis communis impensæ temere dissipentur, hi cum omni impudentia procurant. Nam et qui hæc redempta clamant, et qui multarum magnarumque rerum præclare vel a se vel a majoribus suis, ut aiunt, gestarum mercedem hanc deposcunt, præsentem videlicet communem perniciem, B nec justa mihi petere videntur, et sensu plane carere, dum ne hoc quidem perpendunt, si quid forte, quod absit, offendat respublica id ne sibi quidem profuturum esse.

17. Ego vero quemadmodum nonnullos horum pro magnis vel beneficiis vel in rempublicam factis impensis ea quibus fruuntur, merito obtinere dixerim; ita pro his quoque functiones congruas debere suscipere contenderim sola honoris amplitudine contentos; sic ut majore tum fructu fruentes, tum onere gravati, majorem etiam reipublicæ præstent usum, nec vel instar vaccæ illius, expressum hoc iterum calcibus effundant, vel etiam ut ii, de quibus loquitur Hesiodus, videantur C

Incommoda propria amare.

Etenim cum respublica vix possit vel integra pro salute publica faciendas omnes impensas tolerare, quid futurum tandem arbitramur, si præter sumptus necessarios tantum insuper fucorum examen alendum veniat, quorum illi philosophiæ studium sibi tribuant, alii tantum otiari se asserant atque etiam plura multo, quam qui publicis funguntur muneribus, postulent. Sed vos quidem et cum hæc tum illa corrigetis, et ut singulis meliorem statum conciliabitis, ita reipublicæ juvandæ maxime studebitis: ego autem unde fueram digressus redeo.

18. Erit autem eorum, quæ ante dicta sunt, fortasse consequens hanc quoque sententiam dicere, ut regio tota, quemadmodum a natura videtur esse composita, communis omnium sit incolarum, nec quisquam proprium sibi quid tribuat, liceat autem cuivis quocunque loco tum serere tum ædificare, tum arare, quantum poterit; sic ut hoc ipsum tamdiu possideat, quamdiu id occupando excolat, nec cuiquam quid pendat, nec infestetur a quoquam, nisi qui culturam præoccuparit, prout fert rerum D

(20) *Κατασκευάζοντας*. Cf. Plat. *De leg.*, l. x, et Hesiod., Ἔργα 302.

(21) *Τετιμῆσθαι*. Consentit Noster cum Plat. *De leg.* XII et *De Rep.* I.

(22) Hesiodi Ἔργα, v. 58.

(23) *Τοῖς ἐνοικοῦσιν εἶναι*. Longe alia hujusmodi bonorum communionis ratio apud Plat. et Aristotelem legitur.

omnium communium ratio. Deinde sive quis inter Hilotas censeatur, is tertiam reipublicæ partem, ut diximus, cum præstiterit, a nemine amplius, tanquam qui debitum semel omne persolverit, appelletur : sive militiam, aliudve munus obeat publicum, ne is quidem quidquam præter muneris functionem pendat.

A μηδὲν τελοῦντα, μηδ' ἐνοχλούμενον, μηδὲ κωλυόμενον μηδ' ὑφ' ἑνὸς ἄλλου ἢ τοῦ τῷ ἐργάζεσθαι αὖ προειληφότος, κατὰ τὸν ἐπὶ τοῖς κοινοῖς τε καὶ μηδ' ἑτέρῳ μᾶλλον προσήκουσι νόμον. Ἔπειτα ἂν μὲν εἷς Εἵλωτάς τις τελῇ, τὴν τρίτην, ὡς ἔφαμεν, ἀποφέροντα τῷ δημοσίῳ μοῖραν, μηδὲν πλέον ἐνοχλεῖσθαι μηδὲ παρ' ἑνός, ὡς ἅπαν δηπουθεν καὶ καθάπαξ τὸ ὀφειλόμενον ἐκτετιμηκότα· ἂν δ' εἰς στρατιώτας, ἢ τινας ἄλλους τῶν τοῖς κοινοῖς πράγμασι λειτουργούντων, μηδὲν ἄλλο μηδὲ τοῦτο μηδενὶ τελεῖν, πλὴν αὐτοῦ τοῦ λειτουργεῖν, ἐφ' οἷς ἂν τεταγμένος ᾖ.

19. Quod si cui absurda videor et inusitata consilia dare, is cum ea nec optima, nec publice simul et privatim esse utilissima ostenderit, sententiam sequatur suam. Nam qui quidem agro videbuntur aliquo privari, eos id satis consolabitur, quod non tam agrum illis aliquem videbimur auferre, quam B totius regionis copiam publice, nisi sint ignaviæ dediti, facere. Omnia porro sic et culta reddentur et frugifera, nec quidquam intactum aut neglectum remanebit, si cuivis liceat quemcunque locum æquo jure colere : sic ut publice pariter et privatim hæc sint maxime profutura. Jam his ita, ut dixi, constitutis, optimam arbitror emendationem res Peloponnesiacas esse consecuturas. Nam et qui Isthmum per vices custodiant, quique singulas regionis arces, satis erunt multi futuri ; nec deerunt, qui vel, si quis invadat, repellant, vel, si quo videatur expeditionem ipsi suscipiant ; et principis familiæ quæcunque requirentur, suppetent, adeo ut, si hæc ita const tuantur, et consilium hoc sortiatur effectum, nihil magnopere necessarium sit defuturum. C πὸν εἶναι εὑρεῖν τί ἂν τῶν μάλιστα δεόντων ἀπείη, εἰ ταῦθ' οὕτως δὲ γένοιτο, καὶ τὸ πολίτευμα τοῦτο εἰς ἔργον ἐκβαίη.

ιθ'. Εἰ δέ τῳ δοκῶ ἀήθεις τε καὶ ἔξω τῶν καθεστηκότων γνώμας εἰσάγειν, ἂν ποτέ τις ἐπιδείξῃ ὡς οὐ πολὺ ἀμείνω ταῦτα οὐδὲ λυσιτελέστατα τῷ κοινῷ ἅμα καὶ τῷ ἰδίῳ (24), ἐκεῖνος κρατείτω. Τοῖς μὲν γὰρ χωρίου του δόξουσιν ἂν στερέσθαι, ἱκανὸν παραμύθιον τὸ μὴ μᾶλλον ἂν χωρίου του δοκεῖν τούτους ἀφαιρεῖσθαι, ἢ συμπάσης γῆς παρέχειν ἐξουσίαν ἐν τῷ κοινῷ, εἴ γε μὴ ἀργεῖν βούλοιντο. Καὶ πάντα δ' ἂν οὕτως ἐνεργά τε καὶ ἔγκαρπα, καὶ οὐδὲν ἀργὸν οὐδ' ἀτημέλητον. εἰ παντὶ ἐξείη τῷ ἐθέλοντι ἐπὶ τοῖς ἴσοις πανταχῇ ὅποι βούλοιτο ἐργάζεσθαι· ὥστ' ἂν καὶ τῷ κοινῷ καὶ τῷ ἰδίῳ ἅμα μᾶλλόν τι ταῦτα λυσιτελεῖν. Τούτων δὲ οὕτως ὥσπερ ἔχειν, συντεταγμένων, ἀρίστην ἂν ὡς ἐγῷμαι ἐπανόρθωσιν σχοίη Πελοποννήσῳ τὰ πράγματα. Ἔσεσθαι μὲν γὰρ τοὺς τὸν Ἰσθμὸν φρουρήσαντας ἱκανούς ἐκ διαδοχῆς· ἔσεσθαι δὲ τοὺς τὰς ἑκασταχοῦ τῆς χώρας ἀκροπόλεις φρουρήσαντας· ἔσεσθαι δὲ τοὺς ἀμυνομένους, ἐάν τινες ἐπίωσιν· ἔσεσθαι δὲ τοὺς ἐκστρατευσομένους, εἴ ποι δέοι· ἔσεσθαι δὲ τῷ τοῦ θείου ἡγεμόνος οἴκῳ τὰ ἐπιτήδεια ἱκανά. Ὥστ' ἂν χαλεπὸν εἶναι εὑρεῖν τί ἂν τῶν μάλιστα δεόντων ἀπείη, εἰ ταῦθ' οὕτως δὲ γένοιτο, καὶ τὸ πολίτευμα τοῦτο εἰς ἔργον ἐκβαίη.

20. Nihil autem vetabit, iis, quæ jam dicta sunt, hæc subjungere. Posteaquam fere semper cum ubique tum hic, imperator, exsistunt nonnulli gravissima committentes facinora, quæ solebant capite leges punire, nunc ista quidem exolevit multa, judices autem vel extremas amputant corporis partes vel impunitos plerumque dimittunt sontes, quorum quidem neutrum recte mihi fieri videtur. Nam et corporis talis diminutio barbarorum potius est quam Græcorum, nec vel nostræ genti convenit, vel jucundum præbet incolis spectaculum ; et impunitorum demissio multum nocet reipublicæ. Quare hanc arbitror multam simul et honestiorem et reipublicæ utiliorem fore, si vincti cogantur tales D operas præstare, et operum exstructionem sive Isthmi vallus minetur ruinam, sive quid aliud reparandum sit, juvare : ut hoc pacto nec milites necesse sit, præterquam in summo periculo, his operibus fatigare, nec qui, quos diximus, collationes pendant, iis quæ reipublicæ debeant facile pates, alia insuper re ulla premere.

κ'. Οὐ χεῖρον δ' ἂν δήπουθεν εἴη τοῖς ἤδη εἰρημένοις κἀκεῖνα προσθεῖναι. Εἰσίν ἀεί, ὦ βασιλεῦ, ἐκασταχοῦ τε καὶ τῇδε ἔνιοι τὰ μέγιστα ἐξαμαρτάνοντες κακὰ, ὧν ὑπὸ τῶν νόμων τὰ πολλὰ θάνατος κατέγνωσται (25), νυνὶ δὲ τουτὶ μὲν ἐκλέλοιπε κατὰ τῶν τοιούτων τὸ τίμημα, λωβῶνται δ' ἐνίων τὰ ἀκρωτήρια οἱ δίκην σφίσιν ἐπιτιθέντες, τοὺς δὲ πολλοὺς καὶ ἀζημίους σχεδόν τι ἀφιᾶσιν. Ὧν οὐδέτερον ἔμοιγε δοκεῖ γίγνεσθαι καλῶς. Ἥ τε γὰρ τῶν ἀκρωτηρίων λώβη [ἐστὶ] βαρβαρικόν τι, καὶ οὐχ Ἑλληνικὸν (26), οὐδὲ τῷ ἡμετέρῳ γένει πάτριον, αἴσχιστόν τε διὰ τῆς χώρας ὁρώμενον τὸ πάθος· τό τε ἀζημίους ἀπαλλάττειν ἀλυσιτελέστατον ταῖς πολιτείαις καὶ σφαλερώτατον. Ἐκείνη δ' ἡ ζημία καλλίων τε ἅμα μοι δοκεῖ, καὶ ταῖς πολιτείαις σύμφορος, καὶ τῷ κοινῷ λυσιτελεστέρα, δεδεμένους ἐργάζεσθαι τοὺς τοιούτους, καὶ ἐποικοδομεῖν ἃ ἂν δέοι, τοῦ τε τοῦ Ἰσθμοῦ διατειχίσματος τὰ πονοῦντα, καὶ εἴ που ἄλλοθι μάλιστα δόξειεν ἂν τούτου δεῖν· ὡς μήτε τοὺς στρατευομένους τοῖς τοιούτοις τῶν ἔργων ἀναγκάζειν προσταλαιπωρεῖν, ὅτε μὴ πᾶσα ἀνάγκη, μήτ' αὖ τοὺς εἰσφέροντας παρ' ἐκείνην ἣν φαμεν εἰσφορὰν, τὸ ἴσον δὴ ἔξουσαν τῷ παντὶ οὗπερ ἂν τῷ κοινῷ ὄφλοιεν, καὶ ἐς ἄλλο τι ἐνοχλεῖν.

(24) *Τῷ ἰδίῳ.* Illud : Affirmanti probatio incumbit, a Nostro omissum, cujus verba vi probativa carent.

(25) *Κατέγνωσται.* Aliter Noster in sectione *Περὶ δικῶν* de mortis condemnatione disserit.

(26) *Ἑλληνικόν.* Lacuna codicis Mon. in cod. Florent. non deprehenditur.

κα'. Ἴσως δ' οὐδ' ἐκεῖνο παριτέον, τό γε τοῦ νομίσματος ἄτοπον ὡς διορθωτέον. Σφόδρα γάρ που εὔηθες, τοῖς ξενικοῖς τούτοις καὶ ἅμα πονηροῖς χαλκείοις χρωμένους (27), ἄλλοις μὲν κέρδος τι φέρειν, ἡμῖν δ' αὐτοῖς πολὺν τὸν κατάγελων. Ἀλλὰ πρὸς μὲν τὴν τούτου ἐπανόρθωσιν κἂν ἡ ὀφ' ἡμῶν προεισενηνεγμένη ἐκείνη ξυνώμη οὐ σμικρόν τι συμβάλοιτο. Τὸ γὰρ τούς τε εἰσοίσοντας χρήματα, ἀλλὰ μὴ νόμισμα εἰσφέρειν, τούς τε ἐκ τῶν κοινῶν ληψομένους ὡσαύτως λαμβάνειν, μέγα τι πρὸς τοῦτ' ἂν δόξειε συμβάλλεσθαι. Σχεδὸν γὰρ ἧττόν τι ἂν νομίσματος δέοι, πρὸς δὲ τὰς καθ' ἡμέραν ἀλλαγὰς ἐξαρκοῖ ἂν καὶ τὸ τυχὸν νομισθέν. Ἄλλως δὲ καὶ Πελοποννήσῳ οὐδενὸς πάνυ τοι τοιούτου δεῖν δοκεῖ νομίσματος, ὅ τισιν ἄλλοις ἀνθρώποις ἔσται ἔντιμον. Σχεδὸν γὰρ οὐδ' ὁτουοῦν τῶν ἔξωθεν εἰσαγωγίμων δοκεῖ δεῖσθαι ἡ χώρα, ὥστε τοῦ καὶ τοιούτου νομίσματος δεῖν, πλὴν σιδήρου καὶ ὅπλων· ταῦτα δὲ τῶν βαμβυκίνων τούτων ῥᾴδιον ἀλλάττεσθαι. Ὥστ' οὐδὲν ἂν εἶναι βλάβος ἀτιμάσασι τὸ ξενικὸν τουτὶ νόμισμα καὶ πονηρόν.

κβ'. Τῶν γὰρ ξενικῶν τούτων ἐσθήτων πολλὴ ἀλογία καὶ δεῖσθαι (28). Οὐ γὰρ σμικρά που κακία πολιτείας, παρόντων μὲν ἐρίων τούτων ὧν ἡ χώρα φέρει, παρόντος δὲ λίνου, οὔσης δὲ βύσσου, ὄντων δὲ βαμβυκίνων, μὴ τούτοις τὰ περὶ τὴν ἀμπεχόνην οὕτως ὅπως ἂν δυνώμεθα φιλοτεχνεῖν· ἀλλὰ τῶν ἔξωθεν μὲν ἐκ τοῦ Ἀτλαντικοῦ πελάγους κομιζομένων ἐκείνων ἐρίων, ὑπὲρ δὲ τὸν Ἰόνιον εἰς ἐσθῆτα σκευαζομένων, δεομένοις φαίνεσθαι. Ὡς πλέονι ἂν καλλίου; τῷ ὄντι ἡμεν τοῖς ἐπιχωρίοις τούτοις χρώμενοι, καὶ αὐτάρκως τὰ περὶ τὴν ἀμπεχόνην ἔχοντες. ἢ ὅσῳ καλλίων ἂν δόξειεν ἴσως ἡ ξενικὴ αὕτη ἐσθής, τῆς ἐπιχωρίως ἂν σκευασθησομένης.

κγ'. Ἐπεὶ δ' εἰσαγωγίμων ἐμνήσθην χρημάτων, καλῶς ἂν ἴσως καὶ ὅλως περὶ εἰσαγωγῆς τε καὶ ἐξαγωγῆς χρημάτων βραχύ τι διαλαβεῖν (29). Τῶν τε οὖν εἰσαγομένων χρημάτων τὰ μέν που εἰσάγειν ἄμεινον, τὰ δὲ μή· τῶν τε ἐξαγομένων τὰ μὲν ἐξάγειν ἄμεινον, τὰ δ' ἐν ἑκατέροις οὐ πολύ τι διαφέρει ὁπότερα ἴσως γίγνοιτ' ἄν. Οὐκοῦν οὐδὲ ταῦτα παροπτέα εἰκῇ καὶ ὡς ἔτυχέ που γιγνόμενα. Οὐ γὰρ φαῦλον ἂν εἰς πολιτείαν καὶ τοῦτο ξυμβάλλεσθαι τὸ μέρος καλῶς ἢ μὴ γιγνόμενον. Ἃ μὲν γὰρ ἄμεινον εἰσάγειν, τούτων μὲν ἂν δέοι τέλος μηδένα μηδὲν τελεῖν τῆς εἰσαγωγῆς, μήτε πολίτην, μήτε ξένον, ἵνα δὴ καὶ ῥᾷον εἰσάγοιτο· τῶν δ' ἄλλων ἃ ἄμεινον μένειν, ταῦτα δ' ἐπὶ μεγάλοις τοῖς τέλεσι τοὺς ἐξάγοντας ἐξάγειν, ἵνα ἢ μὴ λυσιτελῶν σφίσιν ἐξάγειν, μένοντα ἀφθονώτερον ὑπάρχῃ πολίταις χρῆσθαι, ἢ ἐξαγόμενα πάντως ὠφελῇ τι τὸ κοινὸν, καὶ ὅδε ὁ πόρος τῷ δημοσίῳ προστίθοιτο, ᾧ δὴ ἐπί τε πρεσβείας, καὶ εἴγε τι ἂν ἄηθες ἀνάλωμα καταλαμβάνοι, εἴη ἂν δήποθεν χρῆσθαι.

A 21. Jam nec illud est omittendum, monetæ difficultas quomodo sit corrigenda. Est enim perabsurdum peregrino simul et adulterino isto nos ære utentes, aliis quidem lucri nonnihil, nobis autem ipsis ludibrii multum conciliare. Sed ad hoc quidem emendandum non parum quod a nobis ante datum est consilium conferet, siquidem cum ei qui collationes pendent, mercibus ad id non pecunia utentur; et qui de publico sument similiter facient; id huc permultum videbitur conferre; siquidem non magnus hoc pacto monetæ usus futurus est. Ad quotidianos autem contractus vel quævis moneta suffecerit, cum præsertim non admodum videatur eam requirere Peloponnesus, quæ sit apud alios in pretio. Etenim cum iis fere, quæ peregre huc advenuntur, non valde indigeat (nec propterea monetam requirat aliam) præterquam ferro et armis: ea sane bombycinis istis facile possunt mutari, sic ut absque ullo incommodo peregrinum hoc et adulterinum pecuniæ genus possimus rejicere.

B 22. Nam quod peregrinas etiam vestes requirimus, id omni caret ratione. Siquidem non exiguum est reipublicæ vitium, cum et lanam habeamus hic suppetentem, et linum et byssum et bombycina, non ex his nos vestimenta nobis prout possimus, concinnare, sed illam ex Atlantico quidem advectam lanam, ultra Ionium autem textam, videri requirere. Multo siquidem honestiores videbimur, C nostris utentes inventis, ex iisque vestimenta concinnantes quas quanto peregrina vestis nostra videri posset honestior.

23. Et quoniam rerum advectarum memini, non erit absurdum aliquid in universum de rebus tum advehendis, tum avehendis disserere. Et eorum igitur quæ invehuntur, alia præstat invehi, alia non præstat; et eorum quæ evehuntur, alia præstat evehi, alia non item; nonnulla vero in utroque genere discrimen parvum habent. Quare nec hæc quidem temere fieri debent, quandoquidem non parum in republica momenti, sive recte, sive secus fiant, habent. Etenim quæ præstat invehi, eorum, quo D facilius invehantur, neminem nec civem nec hospitem vectigal ullum conveniat pendere. Quæ autem remanere sit utilius, ea nonnisi gravissimo vectigali evehantur, ut vel, cum citra damnum evehi non possint, relicta copiam sui uberiorem civibus præbeant, vel evecta multum rempublicam juvent, cui hic accedat reditus, quo tum in legationes, tum si quis alius præter consuetudinem sumptus sit faciendus, uti liceat.

(27) *Χρωμένους*. Auctor usum monetarum externarum condemnans præscribit ut commercium, excluso denario, per mercium transmutationem fiat.

(28) *Δεῖσθαι*. Vide Timarionis magnas Thessalonices nundinas describentis cap. 6.

(29) *Διαλαβεῖν*. Cf. Plat. *de leg.* l. VIII et ipsum Nostrum. l. II, 14.

24. Sed hæc quidem paulo post fortasse rectius corrigentur, illa autem, quæ de sincero exercitu, deque justo simul et facili atque honesto reditu ex iis qui separatim collationes pendent colligendo, paulo ante disserui, primo loco salutis communis causa curari debent. Quod si quid sane aliud melius pariter et facilius ab alio subjiciatur, illud sequendum erit, contemnenda certe res ista non est, nec in hoc statu pravo simul et periculoso relinquenda. Atqui nec melius nec utilius quemquam quid aliud eo quod a me prolatum est reperturum aio, neque difficulter ad effectum id perduci posse; aut potius difficulter hoc in statu res istas diutius absque magno periculo et incommodo durare posse. Tuum porro duntaxat, imperator, præcipuum oportet accedere calculum. Neque difficulter facies, ut, cum ipse rebus præsis omnibus, quæ optima simul ac justissima videantur, ac tum publice tum privatim omnibus utilissima, constituas.

25. Quod si illud insuper statueris, ut hæc ego sim qui ea ponam; equidem hoc suscepto munere, tametsi nemo audeat alius, eum in statum, quem hoc sermone descripsi, res Peloponnesiacas me redacturum receperim. Illud modo cavendum sit, imperator, ne hoc negotium iis, qui non justissimis de causis semper vobis supplicant, concedatur. Etenim si vos absque ulla mutatione vel in pejus inclinatione semper imperium gubernaveritis, non difficulter hæc omnia quæ jam verbis expressa sunt, reperficientur. Atque ego quidem quæ fore utilia censeo quibusque de causis, dixi, et ut eadem etiam præstantissimis filiis tuis hac orationis forma exposui, ita tuum præcipue requirunt calculum, quem tanquam ab aliquo sortita numine simul et honesta videantur, et ad exitum perducantur; faxit autem Deus, ut eum qui et prosit et undecumque recte se habeat, calculum feras.

(30) *Τὴν λειτ. ταύτην.* Non divinus Plato ipse regno eam quam in mente gerebat, felicitatem conferre consiliis ac scriptis voluit; id quod Plethonis animum non fregit regenerandæ Græciæ summam operam dantis.

(31) *Τῷ σχήματι.* Ex hoc loco patet orationem *πρὸς τὸν δεσπότην* ante hanc nostram *πρὸς β. Ἕλλην.* habitam esse.

A κἀ. Ἀλλὰ τὰ μὲν τοιαῦτα καὶ ἐς ὕστερον ἴσως ἂν δέοι ἐπανορθοῦν. Τῆς δ' ἐν τῷ παρόντι ἀσφαλείας ἕνεκα ἐκείνων μάλιστα καὶ πρῶτον δεῖ, ὧν περὶ τῆς τε ἀκραιφνοῦς ἐκείνης στρατιᾶς, καὶ τοῦ ἀπὸ τῶν χωρὶς ἤδη συνοισόντων δικαίου τε ἅμα καὶ κούφου καὶ οὐ φαύλου πόρου, μικρῷ πρόσθεν διεξῆλθον· ἢ εἴ τι τούτων ἄλλο δόξειεν ἂν εἰπόντος τοῦ βέλτιόν τε ἅμα καὶ εὐπετέστερον, ἐκεῖνο γιγνέσθω. Πάντως δ' οὐ περιοπτέα τῶν παρόντων οὐδαμῶς· οὐδὲ ἀμελητέα, οὐδὲ ἰατέα οὕτωσὶ ἔχειν ὡς ἔχει, πονηρῶς· γὰρ ἔχει καὶ σφαλερῶς. Ἀλλ' ἐγώ φημι οὔτε βελτίω ἄλλα οὐδὲ λυσιτελέστερα εὑρεῖν ἄν τινα τούτων ὧν διεξελήλυθ' ἐγὼ, δυσχερῆ θ' ἥκιστα ταῦτ' εἶναι καὶ χαλεπὰ εἰς ἔργον προαγαγεῖν· τοὐναντίον μὲν οὖν χαλεπὸν ἂν εἶναι μεῖναι ἐπὶ τοῦ παρόντος σχήματος B ἐπὶ πλέον ἤδη τὰ πράγματα ἄνευ μεγάλων κινδύνων τε καὶ βλάβης. Τὴν γὰρ σὴν δεῖ μόνον, ὦ βασιλεῦ, κυρίαν μάλιστα ψῆφον ἐλθεῖν. Τοῦτο δ' οὐδὲν ἔργον, κύριον αὐτὸν ἡμῖν ὄντα τῶν ὅλων πραγμάτων, τὰ κράτιστά τε ἅμα καὶ δικαιότατα δοκοῦντα, καὶ πᾶσι καὶ κοινῇ καὶ ἰδίᾳ λυσιτελέστατα ψηφίσασθαι.

κε'. Ἔπειτα ἦν καὶ τοῦ τόπου προστάτης, τὸ καὶ ἐμὲ δὴ τὸν ταῦτα συντάξοντα εἶναι, ὑποστὰς ἂν αὐτὸς τὴν λειτουργίαν ταύτην (30), κἂν εἰ μηδεὶς ἄλλος θαρροίη, ὑπισχνούμην ἂν συντάξειν καὶ καταστήσειν ἔργῳ Πελοποννήσῳ τὰ πράγματα ἐς τόδε τὸ σχῆμα ὃ νῦν δὴ λόγῳ διεξελήλυθα. Ἐκεῖνο μόνον, ὦ βασιλεῦ, ὅπως τὸ χαρίζεσθαί πῃ τοῦτο τοῖ; μὴ πρὸς τὸ βέλτιστον ὑμῶν ἀεὶ δεομένοις πάμπαν ἀπείη. Ὑμῶν γὰρ ἀτρέπτως τε καὶ ἀκλινέστατα πρὸς τὸ χεῖρον ἐπιστατούντων διὰ τέλους τοῖς πράγμασι, ῥᾷστ' ἂν καὶ οὐ χαλεπῶς αὐτὸν ἅπαντα ταῦθ' ἃ νῦν δή μοι τῷ λόγῳ διατετύπωται, συντάξειν. Ἐμοὶ μὲν δὴ ἃ τε συμφέρειν ἡγοῦμαι, καὶ δι' ἃ, εἴρηται. Ἐπιδέδεικταί τε ταῦτα ἤδη μὲν καὶ τοῖς θειοτάτοις σοῖς υἱέσιν ἐν τῷδε τοῦ λόγου τῷ σχήματι (31)· ἀλλὰ νῦν τῇ; σῆς μάλιστα ψήφου τούτοις δεῖ, ἧς ἂν τυχόντα ὡ; ἂν ὑπό του τῶν κρειττόνων ἐψηφισμένα καλά τε ἂν ἅμα φανεῖσθαι καὶ εἰς ἔργον ἀφῖξεσθαι. Θεὸς δὲ δοίη τὴν συνοίσουσαν καὶ τοῖς πᾶσι καλῶς ἔξουσαν ψῆφον ἐξενεγκεῖν.

ΤΟΥ ΑΥΤΟΥ ΠΛΗΘΩΝΟΣ

ΣΥΜΒΟΥΛΕΥΤΙΚΟΣ

ΠΡΟΣ ΤΟΝ ΔΕΣΠΟΤΗΝ ΘΕΟΔΩΡΟΝ

ΠΕΡΙ ΤΗΣ ΠΕΛΟΠΟΝΝΗΣΟΥ

ΛΟΓΟΣ Β.

—

EJUSDEM PLETHONIS

AD PRINCIPEM THEODORUM

DE REBUS PELOPONNESIACIS

ORATIO II.

—

α'. Καὶ ἐν πλοίῳ κυβερνήτην νενόμισται μὲν ἅπαντα ἄγειν τὰ πρὸς τὴν τῶν ἐμπλεόντων σωτηρίαν ᾗ ἂν δοκῇ αὐτῷ, καὶ ἐν στρατοπέδῳ δὲ στρατηγὸν ὡσαύτως τὰ πρὸς τὴν τῶν ἐπομένων νίκην (ᾗ οὐκ ἂν οὔτε τοῖς πλέουσιν, οὔτε τοῖς πολεμοῦσί τε καὶ μαχομένοις σωθήσεσθαι οὐδ' ὁσονοῦν χρόνον τὰ πράγματα, μὴ οὐχ ἑνὶ ἀνδρὶ ταττόμενα ἑκατέροις· σαφέστατα γὰρ οὖν ἔν γε τοῖς τοιούτοις μάλιστα ὁρῶμεν, ἐν οἷσπερ μέγιστοί τε καὶ ὀξύτατοι οἱ κίνδυνοι, τὴν μοναρχίαν ἀσφαλεστάτην τε οὖσαν καὶ λυσιτελεστάτην (32). Οὐδὲν μέντοι ἧττον ὁρῶμεν ἐξὸν καὶ ἐν νηὶ τῶν πλωτήρων τῷ ἐθέλοντί τε καὶ οἰομένῳ τι τῶν πρὸς τὴν κοινὴν ἂν σωτηρίαν φερόντων ἔχειν, συμβουλεῦσαι, καὶ ἐν στρατοπέδῳ τῶν στρατιωτῶν τῷ ὡσαύτως ἔχοντι προσιόντας, ἵνθα μὲν τῷ κυβερνήτῃ, ἵνθα δὲ τῷ στρατηγῷ ἀνακοινοῦσθαί τε καὶ ὑποτίθεσθαι τὰ ἐπεληλυθότα· τοῖς δέ που ἀκούσασιν ἔξεστι μὲν ἑλέσθαι, ἔξεστι δὲ καὶ διώσασθαι πράως, ἀλλὰ μὴ πικρῶς, τὴν συμβουλήν. Τῷ γὰρ ὄντι πολλή που συγγνώμη τῷ ἐν τῷ κοινῷ κινδυνεύοντι, εἰ τῆς ὑπὲρ τῆς κοινῆς σωτηρίας φροντίδος καὶ αὐτῷ τι οἴοιτο προσήκειν. Καὶ δὴ καὶ ἐπὶ τῆς ἡμετέρας τῆσδε πόλεως καὶ ἔθνους ἐπιτέτραπται μὲν σοὶ, ὦ θειοτάτη κεφαλή, ἡ τῶν ὅλων ἐπιμέλεια, καὶ κατελήλυθεν ἐκ συχνῶν βασιλέων καὶ προγόνων δι' ἀπὸ πατρὸς, καὶ τούτου βασιλέως, ἐς σὲ κλῆρος ἡ ὑμετέρα ἥδε ἡγεμονεία, καί σοι ἔξεστι τὰ ἡμέτερα ταύτῃ ἄγειν ὅπῃ ἂν σοι δόξειε σαυτῷ τε ἅμα καὶ ἡμῖν ἔξειν λυσιτελῶς, ἁπάντων συγχωρούντων τε, καὶ οὐδενὸς ἂν ἐναντία τίθεσθαι τολμῶντος.

A

1. Et in navi gubernator omnia pro suo solet arbitrio dirigere, quæ ad vectorum salutem pertinent, et in exercitu dux, quæ ad militum victoriam (alioqui nec vectoribus nec militibus vel tantillo tempore res recte procederent, nisi ab uno utræque viro regerentur; et apertissime maximis in periculis monarchiam simul tutissimam et utilissimam deprehendimus), verum tamen et in navi licere videmus vectorum alicui, qui consilio suo communem videatur salutem juvare posse, et in exercitu militi similiter, illi quidem apud gubernatorem, huic autem ante ducem, quæ in mentem venerint exponere, illis porro cum audierint, vel arripere licet consilium vel benigne et sine acerbitate rejicere, siquidem non inique ferendum est, si quis in

B

periculo communi salutis publicæ curam ad se quoque nonnisi arbitretur pertinere. Enimvero hac quoque in gente nostra atque urbe tibi quidem, vir clarissime, totius est rei cura commissa, perque multorum majorum regum, patrisque etiam regis manus hæc ad te devenit nostræ regionis hereditas, in qua tibi omnia, prout tibi pariter ac nobis videantur profutura, licet omnium pleno consensu disponere.

β'. Ἔχοντι δὲ σοὶ μὲν οὕτω, τῶν δὲ πραγμάτων ἡμῖν ἐν μεγάλῳ κινδύνῳ φερομένων, ὡς ἂν πολλαχόθεν μὲν ἡμῶν ἐπιβουλευομένων καὶ ἐκ γῆς καὶ ἐκ

C

2. Cum autem tuæ quidem sic se res habeant, nostræ autem in magno versentur discrimine (siquidem undique nobis terra marique tenduntur

(32) *Τὴν μοναρχίαν... λυσιτελεστάτην.* Plato quoque monarchiam regni genus omnibus cæteris præferendum censet.

insidiæ, adeoque domi etiam a barbaris simul et gentilibus, maxime autem a vicinis istis barbaris, qui etiam reliqui dominii maximam ac potissimam partem nobis ademerunt, et Paropamisadæ origine cum sint et obiter ab Alexandro Philippi filio devicti cum is ad Indos tenderet, a nobis nunc, tanquam Græcis, longo quidem post tempore, multiplices autem harum pœnas expetunt, unaque longe præstent viribus, extrema nobis quæque semper minantur. Cum igitur hæc ita se habeant, non absurde mihi facturus videor, si, cum de salute communi paulo melius fortasse, quam cæteri sentire videar, ad te principem nostrum, accedam, quæque tibi simul et nobis omnibus existimem salutaria fore, subjiciam. Illud autem primum a te petam, si forte non totus sermo voluptate sit conditus, verum aliquid etiam subsultet asperius ut me præstantiora et utiliora patiaris jucundis præferre. Nam ne medicos quidem video cum salus ægrotantium agitur, vel acerbissimis cibis, potibus et pharmacis aliis abstinere contraque coquos plerumque obsoniorum voluptate corpus etiam corrumpere, adeo non semper quæ jucunda sunt utilia, verum juvant etiam acerbissima.

Α θαλάττης, προσθείην δ' ἂν ὅτι καὶ οἰκοθεν ἐκ τῆς χώρας ὑπό τε βαρβάρων ἅμα καὶ ὁμοφύλων, μάλιστα δ' ὑπὸ τῶν πλησιοχώρων τανῦν τούτων βαρβάρων, ὑφ' ὧν καὶ τῆς ἄλλης ἐπικρατείας τὸ πλεῖστον καὶ οἰκειότατον περιῃρήμεθα, οἱ Παραπαμισάδαι μὲν τὸ πάλαι ὄντες (33), ὑπὸ δὲ Ἀλεξάνδρου τοῦ Φιλίππου καὶ τῶν μετ' ἐκείνου Ἑλλήνων ἐπιβουλευθέντες τε καὶ κρατηθέντες πάρεργον τῆς ἐς Ἰνδοὺς τότε παρόδου, δίκας νῦν ἡμᾶς ταύτας διὰ μακροῦ μὲν, πολλαπλασίας δὲ, τῶν ὑπηργμένων εἰσπράττουσιν, Ἕλληνας ὄντας, καὶ νῦν πολλαπλασίαν τὴν δύναμιν κεκτημένοι ἢ ἡμεῖς, τὰ ἔσχατα περὶ ἡμῶν βουλευόμενοι ἑκάστοτε διατελοῦσιν. Οὕτω γοῦν τούτων ἐχόντων, οὐκ ἄτοπόν μοι δοκῶ ποιεῖν, εἰ περὶ τῆς κοινῆς σωτηρίας αἰόμενός τι διανοεῖσθαι πλέον ἴσως τῶν πολλῶν προσείην τέ σοι τῷ τῶν ἡμετέρων κυρίῳ, καὶ ὑποτιθείμην ταῦτα ἐξ ὧν ἂν οἰοίμην σοί τε ὑπάρξειν, καὶ ἡμῖν ἅπασι σωθήσεσθαι. Ἐκεῖνο δέ σου δεήσομαι πρῶτον, εἰ μὴ πάντα δι' ἡδονῆς φαινοίμην ποιούμενος τοὺς λόγους, ἀλλά τι καὶ τραχὺ ὑποφαίνοιτο καὶ πρόσαντες, συγγνώμην ἔχειν μοι, τὰ ὠφελιμώτερά τε καὶ βελτίω πρὸ τῶν ἡδέων αἱρουμένῳ. Καὶ γὰρ καὶ τοὺς ἰατροὺς ὁρῶ ὑπὲρ τῆς σωτηρίας τε καὶ ὑγιείας τῶν καμνόντων οὐδὲ τῶν ἀηδεστάτων σιτίων καὶ ποτῶν καὶ τῶν ἄλλων φαρμάκων φειδομένους (34)· τούς γε μὴν ὀψοποιοὺς τοὐναντίον τῇ διὰ τῶν ὄψων ἡδονῇ τὰ πολλὰ καὶ προσδιαφθείροντας τὰ σώματα. Οὕτως οὐ πέφυκε πανταχῇ ἡδονῇ λυσιτελεῖν, ἀλλ' ἔστι τῷ ὄντι καὶ διὰ τῶν ἀηδεστάτων ὠφελεῖσθαι.

B

3. Atque hoc primum est existimandum, nec privatis hominibus nec rebus publicis vel in maximis difficultatibus de meliori fortuna esse desperandum, siquidem permulti sunt in integrum restituti. Nam et Trojani, qui cum Ænea capta a Græcis patria, in Italiam sunt ex Phrygia delati, ita prosperam deinde sunt experti fortunam ut cum Romam paulo post una cum Sabinis, de Lacedæmoniis profectis, pari jure permistis incoluissent, ab hoc principio maximum pariter et præclarissimum obtinuerint imperium, et Persæ post Alexandri Græcorumque dominium, cum a Romanis esset eversa Macedonum potentia, non leviter et ipsi Parthorum ope suas recuperarunt vires, (ἀλλ' ὥστε pro ἄλλως τε) sed ut etiam contra Romanos, qui tum erant potentissimi, bellum gesserint, et ut nonnunquam superati fuerint, ita postremo splendidam reportarint victoriam, ex eaque multis annis tributum quoque Romanis imperarint.

γ'. Πρῶτον μὲν οὖν ἐκεῖνο διανοηθῆναι χρὴ, ὅτι καὶ ἐκ τῶν χαλεπωτάτων οὐκ ἀνέλπιστα τὰ χρηστότερα, οὔτε ἰδιώταις, οὔτε πόλεσί τε καὶ ἔθνεσι. Πολλοὶ γὰρ αὖθις σῳᾶς αὐτούς (35). Τρῶές τε γὰρ οἱ μετ' Αἰνείου, ἐπειδὴ ἡ πατρὶς σφίσιν ἦλω ὑπὸ Ἀχαιῶν, ἐς Ἰταλίαν ἐκ Φρυγίας κατὰ συμφορὰν ἀπενεχθέντες, οὕτως εὐτυχῶς ἐχρήσαντο τοῖς μετὰ ταῦτα πράγμασιν, ὥστε ἐπειδὴ χρόνῳ ὕστερον Ῥώμην ἅμα Σαβίνοις, Λακεδαιμονίοις οὖσιν, ἐπὶ τοῖς ἴσοις καὶ ὁμοίοις κατῴκισαν (36), ἀπὸ ταύτης ὁρμώμενοι, μεγίστην τε ἅμα καὶ ἀρίστην τῶν ἐν μνήμῃ πασῶν ἔσχον τὴν ἡγεμονείαν. Καὶ Πέρσαι δὲ μετὰ τὴν Ἀλεξάνδρου καὶ Ἑλλήνων καὶ Μακεδόνων δουλείαν, ἐπειδὴ ὑπὸ Ῥωμαίων αἱ Μακεδονικαὶ βασιλεῖαι κατελέλυντο, οὐ φαύλως οὐδ' οὗτοι δι' Πάρθων γοῦν ἀνειλήφεσαν σφᾶς αὐτούς, ἀλλ' ὥστε καὶ πρὸς τὴν Ῥωμαίων ἀρχὴν, μεγίστην τότε οὖσαν, διατελέσαι πολεμοῦντάς τε καὶ ἡττωμένους ἐν τῷ μέρει, τὰ τελευταῖα δὲ καὶ λαμπρῶς ἤδη νικῶντας, ὥστε καὶ φόροις Ῥωμαίοις πράττεσθαι ἐπὶ πολλὰς δὴ γενεάς.

C

D

4. Quocirca nec nos decet nosmetipsos abjicere, vel de salute desperare; sed cum et ipsi post has ærumnas meliora speremus, illud etiam omni dili-

δ'. Ὥστ' οὐ δίκαιον καταπροΐεσθαι ἡμᾶς αὐτοὺς, οὐδ' ἀπογιγνώσκειν τὴν σωτηρίαν· ἀλλ' ἐκ δεινῶν καὶ αὐτοὺς τὰ χρηστότερα ἐλπίζοντας, ἐκεῖνο καὶ

(33) *Πάλαι ὄντες.* Turcarum origo a gente quæ, auctore Curtio (l. VII, 3), Bactriam inter et Indiam habitasse creditur, veri est similior illa, quæ ad Trojanos eam refert, ut Chalcocondyles qui (l. VIII) Constantinopolim in Ilii a Græcis excisi ultionem jure merito captam dicit.

(34) *Φαρμάκων φειδομένους.* Cf. Symmachus, l. VII, ep. 10 ad Attalum: Estne aliquid in verbis meis, quod medicinam sensibus tuis faciat? Credo; nam plerumque amara hausta ad salutem valent, et succis tristibus affecta reseventur.

(35) *Σῳᾶς αὐτούς.* Verbum aliquid ut ἐπανώρθωσαν aut ἀνειλήφεσαν deesse videtur.

(36) *Κατῴκισαν.* Meminit auctor calamitatum a Neopersis, Sassanidarum tempore, imperio orientali illatarum.

σκοπεῖν ἁπάσῃ τῇ σπουδῇ καὶ βουλεύεσθαι, ὅθεν τε καὶ ὅπως ἐς ἀσφάλειάν τινα ἡμῖν καταστήσῃ τὰ πράγματα, καὶ ἐκ τῶν δυνατῶν εὐτυχέστερόν τε πράξαιμεν καὶ ἄμεινον. Ἔστι δ' οὐκ ἄλλος τις τρόπος τοῦ ἐκ χειρόνων ἀμεινον πρᾶξαι πόλιν ἢ ἔθνος βεβαίως· γοῦν καὶ ἀσφαλῶς ὅσα γε τὰ ἀνθρώπινα ἢ τὴν πολιτείαν ἐπανορθωσαμένους. Οὐ γὰρ ἄλλη αἰτία τοῦ πόλεις εὖ ἢ κακῶς πράττειν ἢ πολιτεία σπουδαία ἢ φαύλη ἐγκαθεστηκυῖα (37). Τύχῃ δ' ἦν τις καὶ κατὰ γνώμην πράξειε πόλις, ἀλλ' ἀβέβαιον, καὶ ταχὺ φιλεῖ που τά γε τοιαῦτα περιτρέπεσθαι· τὰ δὲ πολλὰ δι' ἀρετὴν πολιτείας καὶ σώζονταί τε καὶ αἴρονται αἱ πόλεις· καὶ τοὐναντίον φθίνουσί τε καὶ διόλλυνται τῆς πολιτείας σφίσι πρότερον διεφθορυίας.

A gentia considerare, quibus modis ad securitatem aliquam res nostræ reducantur et meliorem pro facultate nostra statum nobis comparemus. Ut autem meliorem sibi statum vel civitas vel gens aliqua firmiter, quantum quidem res humanæ ferunt, comparent, non alia res efficit, quam reipublicæ emendatio. Nulla siquidem alia civitatibus est vel felicitatis vel infelicitatis causa, quam respublica recte vel secus constituta. Quod si quo casu recte se civitas habeat, id firmum non est, ac levi de causa potest immutari; plerumque autem vel bona republica conservantur et crescunt civitates, vel contra corrupta et ipsæ collabuntur ac pereunt.

ε'. Κοινῇ τε γὰρ οἱ Ἕλληνες οὐ πρότερον τὴν κατὰ τὴν οἰκουμένην δόξαν ἔσχον, πρὶν σφᾶς Ἡρακλῆς ὁ Ἀμφιτρύωνος, ἀδικίας καθάρας (38), εὐνομίαν τε καὶ ζῆλον ἀρετῆς ἀντεισήγαγε. Τὰ δὲ πρὸ Ἡρακλέους οὐ πάνυ ἔνδοξον τὸ τῶν Ἑλλήνων γένος, οὔ Δαναοί τε καὶ Κάδμοι, ἐκ βαρβάρων ἥκοντες ἐπήλυδες ἄνδρες ἐκράτουν· μετὰ δὲ Ἡρακλέα αἱ πολλαὶ καὶ μεγάλαι Ἑλλήνων νίκαι ἔν τε τῇ Ἑλλάδι καὶ βαρβάρῳ. Λακεδαιμόνιοί τε οὐ πρότερον τῶν Ἑλλήνων ἡγεμόνες ἀπεδείχθησαν, πρὶν σφίσι Λυκοῦργος τὴν ἐπαινουμένην ἐκείνην πολιτείαν νενομοθετήκει· οὐδὲ πρότερον πεπλήγεσάν τε καὶ τῆς ἡγεμονείας ἐκπεπτώκεσαν, πρὶν τῆς καθεστώσης πολιτείας παρημελήκεσαν· καὶ τῆς μὲν κατὰ θάλατταν δυνάμεως ἀντιπεποίηντο, τὰς πεζὰς αὐτοὶ τέως θεραπεύοντες· τὸ δ' ἱππικὸν κάκιστα τότε εἶχεν αὐτοῖς (39), τρεφόντων μὲν τοὺς ἵππους τῶν πλουσιωτάτων, ἐπὶ δὲ τῆς χρείας τῶν συντεταγμένων παραλαμβανόντων, μεθ' ὅπλων ὁποῖα ἄρα δοίεν αὐτοῖς· καὶ τῶν συμμάχων δὲ οὐκ ἔτι μετρίως ἐξηγοῦντο. Τοιγάρτοι ὑπὸ Θηβαίων ἥττηντο Ἐπαμινώνδου ἡγουμένου αὐτῶν, ἀνδρὸς τῆς Πυθαγορείων παιδείας οὐκ ἐν παρέργῳ διακηκόοτος. Καὶ Φίλιππος δὲ ὑπὸ Ἐπαμινώνδᾳ τούτῳ τραφείς τε καὶ παιδευθείς, ὁπότε παρὰ Θηβαίοις ὡμήρευεν, ἡγεμὼν τῶν Ἑλλήνων ἀπεδείχθη. Καὶ Ἀλέξανδρος, τούτου υἱός, ὑπὸ τῷ αὐτῷ τε πατρὶ Φιλίππῳ παιδευθείς, καὶ ἔτι Ἀριστοτέλει, Ἑλλήνων τε ἡγεμὼν, καὶ τῆς Ἀσίας βασιλεὺς κατέστη, Πέρσας παρελόμενος τὴν ἀρχήν.

B 5. Nam et communiter Græci non ante latissime patentem obtinuerunt gloriam quam Hercules Amphitryonis filius injustitia sublata, bonam reipublicæ constitutionem virtutisque studium ipsis conciliavit (siquidem ante Herculem quidem non valde fuit celebre Græcorum genus cui Danai et Cadmi, ex barbaria advenæ imperarent; post Herculem autem multas Græci magnasque tum a Græcis, tum a barbaris retulerunt victorias) et Lacedæmonii non ante vel Græcorum facti sunt principes, quam a Lycurgo præclaram illam reipublicæ constitutionem acciperent; vel principatu pulsi expulerunt, quam eamdem negligerent, ac tum sibi maris imperium vindicarent, qui terram eatenus tenuerant; tum equitatu minimum valerent, quem ut alebant ditissimi quique, ita belli tempore aliis cum armis qualibuscunque tradebant, tum sociis non clementer amplius imperarent. Quocirca sunt a Thebanis devicti ductu Epaminondæ, qui doctrinam Pythagoricam non segniter perceperat. Philippus quoque ab hoc Epaminonda, cum Thebis obses degeret institutus, Græcorum princeps evasit; nec non ejus filius Alexander cum Philippi patris, tum Aristotelis insuper institutione et Græcorum imperium, et Asiæ regnum superatis Persis sibi comparavit.

C

ς'. Ῥωμαῖοί τε ξὺν ἀρετῇ πολιτείας ἐς τὴν μεγάλην ἡγεμονείαν παρῆσαν· οὐ πρότερόν τε σφίσιν ἐκλινέ τε τὰ πράγματα καὶ χεῖρον ἔσχε, πρὶν τὰ καθεστῶτα ἐκεκινήκεσαν. Σαρρακηνοὶ (40) οὗτοι τὸ μὲν πάλαι οὐ μεγάλη τις ἦσαν μοῖρα Ἀράβων, Ῥωμαίων τε τέως ὑπήκουον τὰ πολλά· ἀλλ' ὅμως ἐπειδὴ σφίσιν αὐτοῖς νόμους τινὰς ἔθεντο, καὶ πο-

D 6. Quin etiam Romani ad maximum principatum reipublicæ bonitate pervenerunt, nec prius res illorum labi cœperant, quam rempublicam immutassent. Saraceni denique isti olim quidem parva quædam erant Arabum pars, et Romanis fere parebant; postquam vero mutata republica leges quasdam ferri sibi passi sunt, quæ ut non ad aliud

(37) *Ἐγκαθεστηκυῖα.* In hanc eamdem sententiam Plato l. IV, init. dicit: Πρὸς τοῦτο βλέποντες, τὴν πόλιν οἰκίζομεν, ὅπως, ὁτιμάλιστα ὅλη ἡ πόλις ἔσται εὐδαίμων.

(38) *Ἀδικίας καθάρας.* Plethon ad Græcorum medii ævi instar theologorum ac philosophorum priscos mythos ita exponit ut meliorum temporum spes inde eluceat.

(39) *Τὸ δ' ἱππικὸν... Τότε εἶχεν αὐτοῖς.* Cf. Xenophon Hellen. VI, 4, 10, ubi de Lacedæmoniorum equitatu parum commendabili disserit.

(40) *Σαρρακηνοί.* Saracenorum nomen a verbo arab. Saraka rapere, derivatum primum occurrit apud Ptolemæum, deinde apud Am. Marcellinum et Marcianum geographum V sæculi sæpe legitur; ad tribus arab. in primis refertur quæ ad Indiam Orient. et Pyrenæos usque cædes et rapinis totum Occidentem terrefecerunt.

quidquam, saltem ad civitatum augmentum et bellicas victorias viderentur conducere; primum gentilium Arabum nacti sunt imperium, deinde Romanorum dominio maximam et potissimam ademerunt partem, tum Africam sibi adjecerunt, postremo Persas in suam redegerunt potestatem. Sed et aliæ gentes aliquot horum utentes moribus et ritibus felicitate frui videntur, atque adeo isti, qui nobis plurimum præstiterunt, barbari his utentes legibus maxima potentia polluerunt. Eodem fere pacto si quis reliqua consideret et gentes et urbes, reperiet ex bonis vel malis rebuspublicis recte se vel secus habuisse. Quare si hoc videbitur considerandum, quibus modis tum ad salutem perveniamus, tum potiorem statum nobis comparemus; emendanda duntaxat est respublica, pravis institutis in rectiora commutatis. Nam cum sint multa quæ rempublicam constituant, eamque singula vel meliorem vel pejorem efficiant; nimirum quæ plurimis et potissimis constabit melioribus, proba futura est respublica, quæ iisdem pejoribus, improba.

λιτείαν νεωτέραν, εἰ καὶ πρὸς ἄλλο τι μὴ καλῶς ἔχοντας, ἀλλ' οὖν πρός γε πόλεων ἐπαύξησιν καὶ κράτος πολέμων ἐπιτηδείως ἔχειν δοκοῦντας· πρῶτα μὲν τῶν ὁμοφύλων Ἀράβων αὐτοὶ ἡγήσαντο, ἔπειτα καὶ τῆς Ῥωμαίων ἐπικρατείας τὴν πλείστην καὶ ἀρίστην ἀπετέμοντο, καὶ Λιβύης δὲ ἐπῆρξαν, καὶ Πέρσας παραστησάμενοι τῇ σφετέρᾳ αὐτῶν ὑπήγαγον πολιτείᾳ. Ἄλλα τε συχνὰ γένη τῶν κατὰ τὴν οἰκουμένην, τοὺς τούτων ἐζηλωκότες νόμους, καὶ τούτοις χρώμενοι, εὐτυχεῖν πη δοκοῦσιν· οἵ τε καθ' ἡμῶν οὗτοι μέγιστον δυνηθέντες βάρβαροι, τούτοις τοῖς νόμοις κεχρημένοι, τὰ μέγιστα δεδύνηνται (41). Οὕτω δὲ καὶ τἆλλα εἴ τις καθέκαστα ἐπίοι, καὶ ἔθνη καὶ πόλεις εὑρήσει διὰ τὰς ἀμείνους ἢ χείρους πολιτείας ἀμεινόν που ἢ χεῖρον πεπραγότα. Ὥστ' εἰ βουλευτέον ἐξ οὗ τε καὶ ὅπως σωθεῖη μέντ' ἄν, καὶ ἐκ τῶν παρόντων ἀμεινον ἂν ἡμῖν σχοίη τὰ πράγματα, οὐδὲν ἀλλ' ἢ τὴν πολιτείαν ἐπανορθωτέον, καὶ ἐκ φαυλοτέρων τῶν καθεστώτων ἐς ἕτερα σπουδαιότερα μετενενεκτέον. Πολλῶν δ' ὄντων ἐξ ὧν πόλις τε καὶ πολιτεία συνέστηκε, καὶ καθ' ἕκαστον αὖ καὶ ἀμεινόνων ἐγγιγνομένων πολιτευμάτων καὶ χειρόνων· ἢ μὲν ἂν δι' ἀμεινόνων τῶν πλείστων καὶ καιριωτάτων ᾖ συνεστηκυῖα, αὕτη μὲν καλὴ καθάπαξ ἡ πολιτεία· ἢ δ' ἂν διὰ χειρόνων τῶν αὐτῶν, φαύλη.

7. Ac primum, quia rerumpublicarum tria sunt genera, monarchicum, oligarchicum et democraticum, pluresque item singulorum species, quibus vel corrigitur vel corrumpitur respublica, prudentissimi sane quique monarchiam consultoribus optimis et legibus probis iisque ratis utentem cunctis prætulerunt. Ac de consultoribus quidem, primum eruditorum hominum laudatur moderata copia. Nam et vulgus, quoniam difficulter inter se intelligunt, multosque habet indoctos, temerarios plerumque fert calculos; et qui paucissimo constant numero cum privatum sectentur lucrum, prava dant fere consilia. At qui semel et moderato numero fuerint et non indocti, cum ut alius aliud consideret atque in medium proferat, ita communi utilitate communiter ducantur, optimi erunt ac certissimi consultores. Deinde hoc requiritur, ut mediocri sint fortuna, nec vel ditissimi vel pauperrimi, siquidem illi præ divitiarum studio nihil fere suadent aliud, quam unde lucrum ipsis aliquod proveniat; hi præ inopia nihil spectant aliud quam ut necessitati subveniant suæ. At qui se mediocriter habent, communem potissimum salutem curant. Ac de consultoribus quidem hactenus.

ζ'. Πρῶτον μὲν οὖν ἐπειδὴ τριττὰ τὰ πρῶτα πολιτείας εἴδη, μοναρχία τε, καὶ ὀλιγαρχία, καὶ δημοκρατία (42), καὶ τούτων ἑκάστων πλείους αὖ τρόποι, καθ' οὓς ἔστιν ἢ ἄμεινον ἢ χεῖρον πολιτεύεσθαι· παρὰ μὲν τοῖς τὰ βέλτιστα φρονοῦσι κράτιστον κέκριται πάντων μοναρχία συμβούλοις τοῖς ἀρίστοις χρωμένη, νόμοις τε σπουδαίοις, καὶ τούτοις κυρίοις. Συμβούλων δὲ πρῶτα μὲν μέτριον ἀνδρῶν πεπαιδευμένων πλῆθος ἄριστον (43). Ὅ τε γὰρ δῆμος οὐ κατακούοντες ἀλλήλων, οὐδὲ συνιέντες ῥᾳδίως, διά τε πλῆθος, καὶ ἀπαιδεύτων τῶν ἐν αὐτοῖς ὑπερβολήν, ἀλογίστως τὰ πολλὰ φέρουσι τὰς ψήφους· οἵ τ' εἰς ἐλάχιστον ἀριθμὸν ἀνηγμένοι, τὰ ἴδια κέρδη λογιζόμενοι, οὐκ ἀγαθοὶ τὰ πολλὰ σύμβουλοι· οἱ δ' ἅμα μὲν μετρίως ἔχοντες πλήθους, ἅμα δ' οὐκ ἀπαίδευτοι, ἄλλος μὲν ἄλλο κατὰ τὸ εἰκὸς συνορῶντές τε καὶ εἰς μέσον ἄγοντες, ὑπὸ δὲ τοῦ κοινῇ συμφέροντος καὶ κοινῇ ἀγόμενοι, τῷ παντὶ ἀμείνους τε καὶ ἀσφαλέστατοι συμβουλεύειν· ἔτι δ' οἱ μετρίως ἔχοντες βίου, καὶ οὔθ' οἱ παμπλούσιοι, οὔθ' οἱ ἀπορώτατοι. Οἱ μὲν γὰρ διὰ τὴν τοῦ πλούτου φιλίαν οὐδὲν ἄλλο τὰ πολλὰ βουλεύεσθαι φιλοῦσιν, ἢ ὅθεν ἄν τι αὐτοῖς κέρδος προσείη· οἱ δὲ διὰ τὴν ἀπορίαν, οὐδὲν ἄλλο σκοπεῖν, ἢ ὅθεν ἂν τὰς ἰδίας ἀνάγκας παραμυθήσαιντο· οἱ δὲ μετρίως ἔχοντες μᾶλλόν τι καὶ ἐθέλουσιν ὑπὲρ τῶν κοινῇ συμφερόντων ἑκάστοτε φροντίζειν. Καὶ περὶ μὲν συμβούλων ταῦτα.

8. Leges vero probæ sunt, ut uno verbo dicam, quæ sua singulis tum in urbe, tum in gente quamvis officia definientes, alienis negotiis vetent

η'. Νόμοι δὲ σπουδαῖοι, ὡς ἐπίπαν εἰπεῖν, οἵ ἂν ἑκάστοις τῶν τῆς πόλεως μερῶν καὶ ἐθνῶν τὰ αὐτῶν πράττειν ὁρίζοντες (44), κωλύωσι τῶν μὴ προση-

(41) *Δεδύνηνται*. Auctor præter leges, quibus res Tarcarum creverunt, ad institutiones civiles primorum sultanorum aliudiere videtur.

(42) *Δημοκρατία*. cf. Plato in Polit.

(43) *Ἄριστον*. cf. Ducas et Plato.

(44) *Πράττειν ὁρίζοντες*. Plato in l. II *de Rep.* Ægyptiorum institutum prædicat agriculturam a militari arte et operarum laboribus discernentium. Cf. *Timæus*.

κόντων πράξεών τε καὶ ἐπιτηδευμάτων. Ἔστι δ' ἐν A
πόλει σχεδὸν ἁπάσῃ πρῶτον μὲν καὶ ἀναγκαιότατον
μέρος καὶ γένος καὶ πλεῖστον τὸ αὐτουργικόν, ὅσον
γεωργῶν τε καὶ νομέων καὶ ξυμπάντων τῶν τοὺς ἐκ
γῆς αὐτῶν δι' αὐτῶν ποριζομένων καρπούς· ἕτερον
δὲ τὸ τούτοις αὖ καὶ τῷ ἄλλῳ πόλεως πλήθει διακο-
νικόν, ὅσον δημιουργητικόν τε καὶ ἐμπορικόν, καὶ
καπηλικὸν φῦλον, καὶ εἴ δή τι ἄλλο τούτοις προσῆ-
κον· δημιουργῶν μὲν τὰ μὴ ὄντα τῶν σκευῶν ὥνπερ
ἄνθρωποι ἐς τὸν βίον δέονται, ἐς οὐσίαν ἀγόντων·
ἐμπόρων δὲ τὰ πλεονάζοντά τε καὶ ἐλλείποντα ταῖς
χώραις ἑκάσταις ἀπισούντων τῇ ἐκ τῆς ἑτέρας ἐς
τὴν ἑτέραν μετακομιδῇ, αὐτῶν ἐς τὴν διακονίαν ταύ-
την καταστατόντων αὐτούς, ἅτε οὐ σχολαζόντων τῶν
αὐτουργῶν, ὑπὸ τοῦ τοῖς αὑτῶν πράγμασι προσέ-
χειν· καπήλων δὲ, παρὰ μὲν τῶν αὐτουργῶν ἢ B
τινων ἐμπόρων ἀθρόα ὠνουμένων, τῶν δὲ δεομένων
ἑκάστοις ἐπὶ τῆς χρείας, ὁπότε, καὶ ὁπόσων δέοιντο,
ἀποδιδομένων. Εἰσὶ δ' οἳ καὶ τὴν τοῦ σώματος ῥώμην μισθούμενοι, διακονοῦντες ἄλλοτε ἄλλοις, διαζῶσιν.

θ'. Ἐπὶ δὲ τούτοις τὸ ἀρχικὸν φῦλον, σωτήρων
τέ τινων τῆς ὅλης πόλεως ἢ γένους (45) ἢ γενῶν ἂν
οὕτω τύχῃ καὶ φυλάκων· ὧν κορυφαῖος μὲν βασι-
λεύς, ἢ τις ἡγεμών, μεθ' ὃν ἄλλοι ἄλλα διειληφότες
γένους ἢ πόλεως μέρη, διασώζουσιν ἕκαστα ἄν τι
γίγνηται τῶν κατὰ τρόπον. Ἐπεὶ γὰρ οὐχ οἷόν τε
πάντας ἀνθρώπους πεισθῆναι ὡς τὸ ἴσον χρὴ ἔχειν,
καὶ μὴ πλεονεκτεῖν, μηδὲ τοῖς ἀλλοτρίοις ἐπιβου-
λεύειν· ἀλλ' εἰσὶν οἳ τοῦ αὐτουργεῖν ἀμελήσαντες, ἢ
τινα ἄλλην τῶν ἐς τὸν βίον χρείαν συντελεῖν, τοῖς
ἑτέρων πόνοις ἐπιφύονται. Κατὰ δὴ τούτων ἐτάχθη- C
σαν, φιλίων μὲν νομιζομένων, δικασταί τε, καὶ ἄλλοι
ἄρχοντες· πολεμίων δὲ, στρατιῶταί τε, καὶ ὅσοι
ἄρχοντες τούτων. Οἷς ἀσχολουμένοις περὶ τὴν τῶν
ὅλων φυλακὴν, ἐπειδὴ ἑτέρωθεν ἔδει τῶν ἐπιτηδείων,
φόροι παρὰ τῶν αὐτουργῶν μάλιστα ἑκάστων ἐτά-
χθησαν φέρεσθαι, σίτησις τοῖς κοινοῖς φύλαξι καὶ μισθός τις καὶ ἅμα γέρας τῆς φυλακῆς. Καὶ αὕτη δὴ
γένεσις φόρων.

ι'. Τριῶν δὴ τούτων ὄντων ἐν πόλει τῶν πρώτων
γενῶν κατά γε φύσιν, ἴδιά τε καὶ τὰ ἐπιτηδεύματα
καὶ αἱ πράξεις ἑκάστων, καὶ ὁ σπουδαῖος νόμος αὐτὰ
τοῦθ' ὁρίζει, τὰ αὐτοῦ πράττειν ἕκαστον, καὶ μὴ
ἀπαλλάττειν ἄλλῳ ἄλλῳ γένει ἐπιτήδευμα καὶ πρᾶ-
ξιν. Αὐτίκα τοὺς ἄρχοντας μηδὲν τῶν διακονικῶν
ἐπιτηδεύειν· ἐναντιώτατον γάρ που διακονία ἀρχῇ·
διακονικὰ δ' ἐπιτηδεύματα, ἄλλα τε, ὡς ἔφαμεν,
καὶ ἐμπορεία τε καὶ καπηλεία. Ἄρχοντι δὲ ὅ γε D
σπουδαῖος νόμος ὁρίζει μὴ ἐξεῖναι ἐμπορεύεσθαι,
μηδὲ καπηλεύειν, μηδ' ἄλλου μηδενὸς ἅπτεσθαι τῶν
ἀνελευθέρων. Τούς τε στρατιώτας ἀποκεκρίσθαι τῶν
πολλῶν, καὶ ὅλως τοὺς σώζοντας τῶν σωζομένων·
καὶ τοὺς μὲν ἀφειμένους παντὸς φόρου στρατεύεσθαί
τε καὶ προκινδυνεύειν τῶν πολλῶν, τοὺς δὲ τοῖς αὐ-
τῶν προσέχοντας, ἱκανούς τε ἐς δύναμιν, καὶ ἅμα
οὐ βαρεῖς τινας φέρειν τοὺς φόρους, σίτησιν τοῖς τε
ἄρχουσι καὶ στρατιώταις τοῖς λογάσι. Τὸ πολὺ δὲ
τῆς στρατιᾶς, καὶ τὸ ἀναγκαιότατον, ὁμόφυλόν τε

se immiscere. Atqui in omni fere civitate primum et maxime necessarium est et numerosissimum rusticorum genus, agricolarum videlicet, pastorum, quique alii terræ fructus propriis manibus colligunt. Alterum est opificum genus, mercatorum, institorum et similium quod primis illis ac reliquæ civitati inseruit; dum opifices quidem supellectilem humanæ vitæ necessariam in medium producunt, mercatores autem quæ singulis regionibus vel desint vel supersint, de una in aliam transferendo exæquant, et quoniam alii suis coguntur rebus vacare, ipsi hanc provinciam suspiciunt, institores denique de rusticis quidem vel mercatoribus emunt universa, requirentibus autem singulis quandocunque et quocunque velint numero dividunt, nonnulli etiam corporis vires elocantes, nunc his nunc illis ministerium exhibendo victitant.

9. Postremum est principum genus, qui vel urbem vel gentem totam conservant atque custodiunt, quorum ut supremus est rex, ita post illum alii alias urbis vel gentis sortiti partes rite conservant. Cum enim hoc omnibus persuaderi nequeat, æquitatem absque injuria sectandum esse, nec tendendas cujusquam bonis insidias; nonnulli autem vel primi vel secundi generis omissis operibus suis, aliorum inhient laboribus; contra hos instituti sunt ex amicis quidem judices et reliqui præfecti, ex inimicis vero milites et horum duces, quibus cum tanquam publicæ intentis custodiæ aliunde suppeditanda essent necessaria, tributa rusticis in dimensum publicorum custodum imperata sunt, merces pariter et præmium custodiæ futura, atque hæc tributorum est origo.

10. Cum porro via hæc prima sint hominum in urbe genera, propria quædam singulorum esse debent officia, quæ quidem proba lex obire quemque jubet, nec inter se confundere. Principes igitur nullum subeant ministerium, quandoquidem imperio maxime contrarium est ministrare. Sunt autem inter ministeria cum alia, quæ recensuimus, tum institoria et mercatura. At principem jubet lex non mercaturam nec institoriam facere, nec aliud quidquam non liberale tractare. Similiter a vulgo secernantur milites, ac servatores a servandis; et illi quidem ab omni collatione liberi militent, ac populum tueantur; hi vero suas res agentes idonei sunt regnando nec gravia tributa principum et militibus nutrimenta pendunt. Major vero pars exercitus et potior civium sit, ac domesticorum, non peregrinorum, siquidem raro fidei sunt peregrini multisque mutationibus interdum pro servatoribus atque custodibus hostes existunt, domestici vero

(45) *Πόλεως ἢ γένους.* Vid. Plat. l. V *de Republica.*

si recte curentur, magis firmi sunt atque fidi. De rusticis autem plerique militiæ assueti, per conjugationes dividantur, earumque alterutro communibus fere laborante sumptibus vicissim alter laboret, alter militet; sic ut pariter et familiæ suæ curam et salutis communis iidem quantum fieri possit gerant.

A εἶναι καὶ οἰκεῖον, ἀλλὰ μὴ ξενικόν. Ἄπιστα γὰρ τὰ πολλὰ τῶν ξενικῶν, καὶ στρεφόμενα πολλάκις, αὐτὰ πολέμια ἀντὶ σωτήρων τε καὶ φυλάκων φιλεῖ γίγνεσθαι· τὰ δ' οἰκεῖα καλῶς θεραπευόμενα τῷ παντὶ βεβαιότερά τε καὶ πιστότερα. Τῶν αὐτουργῶν δὲ τὸ πολὺ καὶ οἰκόσιτον τῆς στρατιᾶς κατὰ συζυγίας συντετάχθαι, κοινοῖς τε τοῖς τέλεσι τῶν ὁμοζύγων ἑκάστων ἐργαζομένων τὰ πολλὰ παρὰ μέρος ἑκάτερον, τὸν μὲν ἐργάζεσθαι τῷ κοινῷ ἀμφοῖν, τὸν δ' ἕτερον στρατεύεσθαι· ὅπως ἂν ὡς μάλιστα οἷόν τε ἀμφοῖν τῶν τε ἰδίων οἴκων ἐφικνοῖντο οἱ αὐτοί, τῆς τε φυλακῆς τῆς ὑπὲρ τῶν κοινῶν.

11. Separentur autem in exercitu pedites ab equitibus, peditibus quidem in turmas sub ducibus, equitibus autem in alas sub magistris relatis, quo confestim possint, ubicunque fuerit opus, ordine adesse. Neque simul utræque copiæ, terrestres ac navales cogantur, verum alteræ semper, eæque, si id urbis et gentis atque etiam regionis patiatur natura potius terrestres, nec cum utrisque simus inferiores, neutros vincamus. Ac præstat longe terrestribus copiis in militum ac ducum virtute, quam nautarum ac similium hominum vilium arte fiduciam ponere; ac terra potitos indidem necessaria nancisci, quam peregre petere, relatisque mari proximis locis, nisi cogat extrema necessitas, soli cum vicinis bello vacare, quam pluribus, tum cum vicinis, tum cum exteris.

ια'. Διακεκρίσθαι δὲ ἰδίᾳ μὲν πεζοὺς, ἰδίᾳ δ' ἱππέας τῶν στρατιωτῶν (46)· καὶ τοὺς μὲν πεζοὺς ἐς λόχους τε καὶ τάξεις συντετάχθαι ὑπὸ λοχαγοῖς τε καὶ ταξιάρχοις ἄρχουσιν, ἱππέας δὲ ἐς ἴλας τε καὶ συντάγματα ὑπὸ ἰλάρχαις τε καὶ συνταγματάρχοις· ὥστε ὀξέως τε ἐν κόσμῳ ἑκασταχῇ παρεῖναι ᾗ ἂν δέοι. Μηδ' ἅμα ἄμφω τὼ δυνάμει θεραπεύειν, τήν τε πεζὴν καὶ τὴν κατὰ θάλατταν, ἀλλὰ τὴν ἑτέραν ἀεὶ, καὶ τούτων, εἰ ἡ τῆς πόλεώς τε καὶ γένους, ἔτι δ' ἡ τῆς χώρας ἐνδέχοιτο φύσις, μᾶλλον τὴν πεζὴν (47), ἢ δεήσει καθ' ἑκάτερα ἐλαττουμένους, καὶ καθ' ἑκατέραν ἡττᾶσθαι τὰ πολλά. Τό τε τὰς πεζὰς δυνάμεις ἐπ' ἀνδρῶν ἀγαθῶν στρατηγῶν τε καὶ στρατιωτῶν ἀρετὴν ποιεῖσθαι τὸ θαρρεῖν, ἀλλὰ μὴ ναυκλήρων τέχναις, ἄλλων τε φαύλων ἀνθρώπων· τό τε τῆς γῆς κρατοῦντας αὐτόθεν ἂν τῶν ἐπιτηδείων εὐπορεῖν, ἀλλὰ μὴ ἐκ τῆς ὑπερορίας δεῖσθαι· τό τε τῶν ἐπιθαλαττίων χωρίων τῶν πολλῶν ἀφισταμένους, ὅτι μὴ πᾶσα ἀνάγκη, τῷ πρὸς τοὺς πλησιοχώρους μόνῳ πολέμῳ τὸ πολὺ προσέχειν, ἀλλὰ μὴ πολλοῖς, ὁμοίως μὲν πρὸς πλησιοχώρους, ὁμοίως δὲ πρὸς τοὺς ἐξ ὑπερορίας, καὶ τούτων ἔστιν οὓς ἀπροσδοκήτους· ταῦτα πάντα τῶν ἑτέρων πολλῷ που καὶ καλλίω καὶ ἀμείνω.

12. Nam cum tributorum tria sint minimum genera, primum servitus, deinde certa sive pecuniæ sive aliarum rerum summa, tum quædam rerum nascentium pars, gravissimum quidem tributi genus est servitus, quippe quod non opes arripiat, sed corpora, nec parvam ipsis præbet exactoribus molestiam, quorum præsentiam quotannis requirit; certa vero summa præter servitutem, magnam etiam habet inæqualitatem, dum et necessario penditur, et sæpe non pro operibus, quando nec facile sit opibus cujusque tributum exæquare, nec singulorum opes eamdem semper obtineant magnitudinem (eadem quidem per partes quotannis sæpius a pluribus exacta longe minorem difficultatem parit) rerum autem nascentium quædam pars cum servitutis minus habet, tum quovis alio tributo, tantumdem quod efficeret, multo levior est ipsa temporis ratione (quandoquidem quo tempore fructus a singulis colliguntur, de ipsis petitur fructibus) nec non æqualitatem habet maximam, dum quisque pro opibus persolvit, quo fit, ut optimum sit hoc tributum, cum et levissimum sit, ut diximus, et æquissimum et si cum æquitate exigatur, reipu-

ιβ'. Φόρων δὲ ἐπειδὴ τριττὰ ἤδη, ὡς εἰς ἐλάχιστα διειλεῖν, τὸ μὲν ἀγγαρεία, τὸ δὲ τακτὸς ὅρος χρημάτων, εἴτε κέρματος, εἴτ' ἄλλων ὠντινωνοῦν, τὸ δὲ ῥητή τις τῶν γιγνομένων μοῖρα· ἀγγαρεία μὲν βαρύτατος φόρων, τοῖς φέρουσι πολὺ τὸ δούλειον ἔχων, ἅτε τῶν σωμάτων, οὐ τῶν χρημάτων ἐπιλαμβανόμενος, τοῖς τε πραττομένοις οὐ μικρᾶς παραίτιος ἀσχολίας, δι' ἔτους ἀεὶ τοῦ παρεσομένου τε καὶ ἄξοντος ἐπὶ τὰ ἔργα δεομένη· ὁ δὲ τακτὸς χρημάτων ὅρος, πρὸς τῷ δουλείῳ καὶ οὗτος πλεῖστον αὖ ἔχει καὶ τὸ ἀνώμαλον, ἀναγκαίως τε φερόντων, καὶ οὐ πρὸς λόγον τῶν δυνάμεων τὰ πολλὰ, χαλεποῦ ὄντος τοῦ καὶ τὴν ἀρχὴν ταῖς δυνάμεσιν ἑκάστων ἐξισοῦν τοὺς φόρους, καὶ ἅμα οὐδὲ μενουσῶν τῶν δυνάμεων ἑκάστοις ἐπὶ τῶν αὐτῶν, κατὰ σμικρὰ δὲ καὶ πολλάκις τοῦ ἔτους, καὶ ὑπὸ πολλῶν εἰσπραττόμενος, καὶ πολλῷ αὖ χαλεπώτερος· ἡ δὲ ῥητὴ τῶν γιγνομένων μοῖρα τό τε δούλειον ἧττον ἔχει, παντός τε ἄλλου φόρου τοῦ τὸ ἴσον ἂν δυναμένου, πολλῷ οὗτος κουφότερος κατ' αὐτὸ τὸ εὐπορώτατον τῆς ὥρας, ἡνίκ' ἂν ἡ συγκομιδὴ ἑκάστης τῶν ἐκ γῆς εἰη καρπῶν, καὶ ἀπ' αὐτῶν αἰεὶ τῶν ὑπαρχόντων εἰσπραττόμενος, πρὸς δέ γε ἔτι καὶ ὁμαλώτατος φό-

(46) *Τῶν στρατιωτῶν.* In hisce Gemistus Aristotelem magis quam Platonem sequitur.

(47) *Μᾶλλον τὴν πεζὴν.* Traditio per antiqua confirmat Peloponnesum quamvis natura sua ad rem navalem apprime idoneam, utiliorem tamen viribus pedestribus totius Græciæ saluti operam navare et posse et debere. Rerum græcarum historia ipsa nos docet, Spartam, a quo ad rem navalem se applicuisset, pessum ivisse.

ρων, προς λόγον αἰεὶ τῶν δυνάμεων φερόντων ἑκάστων· ὥστ' ἂν καὶ κράτιστος εἴη φόρων οὗτος κουφότατός τε ὤν, ὡς ἔφαμεν, καὶ ὀμαλώτατος, λυσιτελέστατός τε τοῖς κοινοῖς τῇ δικαιοτάτῃ μοίρᾳ εἰσπραττόμενος. Ἥτις δ' ἂν δικαιοτάτη γένοιτο κατὰ λόγον μοῖρα, ἐνθένδε ἔστι λογίσασθαι.

A blicæ utilissimum. Quæ porro æquitas hic pro re locum habeat, hinc licet animadvertere.

ιγ'. Τοῖς ἐκ γῆς καρποῖς τριῶν δεῖ τούτων πρὸς τὴν φορὰν, ἐργασίας, τῶν τελῶν, δι' ὧνπερ ἐργάσονται οἱ ἐργασόμενοι, βοῶν, ἀμπέλων, βοσκημάτων, καὶ τῶν ἄλλων τῶν τοιουτοτρόπων, καὶ τῆς τούτων φυλακῆς. Ὥστε καὶ τρισὶν ἂν προσήκοιεν κατὰ τὸ δίκαιον, τοῖς ἐργαζομένοις, τοῖς τὰ τέλη παρεχομένοις τοῖς ἔργοις, καὶ τρίτοις τοῖς φύλαξί τε τῶν ὅλων καὶ σωτῆρσιν, οὓς βασιλέας τε καὶ ἡγεμόνας, ἄλλους τε ἄρχοντας ἔφαμεν. Τοὺς οὖν αὐτουργοὺς τοὺς οἰκείοις τοῖς τέλεσιν ἐργαζομένους, ἐξουσίας οὔσης σφίσιν ὅπη τε γῆς καὶ ὅπως βούλοιντο ἐργάζεσθαι, ἔχοντας τὰς δύο μοίρας, τὴν μὲν τῇ ἐργασίᾳ προσήκουσαν, τὴν δὲ τοῖς τέλεσι, τὴν τρίτην τῷ δημοσίῳ τε καὶ τοῖς τὴν φυλακὴν τῶν ὅλων ἐπιτεταγμένοις ἀποφέρειν, ἀπάσης ἄλλης εἰσφορᾶς ὅτι μὴ ἀξίας λόγου καὶ λειτουργίας ἀφειμένους. Καὶ τοῦτον δικαιότατον γίγνεσθαι φόρον, γέρας τε ἄξιον καὶ σίτησιν ἅμα τοῖς ἐπὶ τῶν κοινῶν τεταγμένοις λειτουργιῶν. Καὶ περὶ μὲν φόρων τοσαῦτα.

B

13. Terræ fructus tria potissimum requirunt, operas, sumptus operis præbendos, ut boves, vineas, armenta et similia, et horum custodiam, quapropter etiam tribus jure debentur, operis, sumptuum dominis, ac denique custodibus universorum et servatoribus quos reges, principes, aliosque præfectos diximus. Rustici ergo qui suis laborant sumptibus, cum liceat ipsis quocunque loco terram, quovis pacto colere, duabus fruentes partibus, altera operis, altera sumptibus debita, tertiam reipublicæ et custodibus universorum præstent, omni alia collatione quacunque omnique ministerio vacantes, atque hoc sit justissimum tributum, præmium simul ac dimensum publicis ministris futurum. Ac de tributis quidem hactenus.

ιδ'. Τὴν δὲ τοῦ βίου δίαιταν τοῖς τε ἄλλοις πολίταις, καὶ μάλιστα ἄρχουσι, μὴ πολυτελῆ, ἀλλὰ μετρίαν εἶναι· ξενικῶν μὲν ἐσθήτων ἄλλων ματαίων καὶ ἀνωφελῶν ὀλιγωροῦσι, πρὸς δὲ τὸν πόλεμον πᾶσι τεταγμένοις, καὶ τὰς ἐνταῦθα φερούσας θεραπεύουσι παρασκευάς, ἃς ἀνάγκη μειοῦσθαί τε καὶ ἀσθενεστέρως ἴσχειν, ἄλλοσέ πη ἐξαναλουμένων τῶν δαπανῶν. Τοὺς ἐκ τῆς χώρας καρποὺς μὴ ἐξεῖναι ἐξάγειν, ὅπη τε καὶ ὅπως τις βούλοιτο, ἀλλ' ἢ ἐπὶ τῇ ἡμισείᾳ πρός γε ἐνσπόνδους τῶν ξένων τὸν βουλόμενον ἐξάγειν, ὡς οὐκ ἂν ἄλλως ἐξαχθησομένους, ἢ εἰ ἐν μὴ μείοσι ἢ διπλασίᾳ χρείᾳ, εἰ ξένοι εἶεν τῶν πολιτῶν. Σιδήρου δὲ μόνου, καὶ ὅπλων, καὶ εἴ δή τι ἄλλο τῶν ἀναγκαιοτάτων, ἀλλαττόμενον, ἐξεῖναι ἐξάγειν μὴ τελοῦντα μηδ' ὁτιοῦν. Νομίσματι μὴ εὐδιαφθόρῳ χρῆσθαι, μηδὲ ξενικῷ, ἢ δοκεῖν ἂν πονηρᾷ καὶ ἀλλοτρίᾳ χρῆσθαι καὶ τῇ πολιτείᾳ. Οὐδὲ γὰρ φαῦλον εἰς γε πολιτείας λόγον μέρος ἂν καὶ τὸ νόμισμα ξυμβάλλεσθαι. Τὰς ζημίας μὴ ἀλλοκότους μηδὲ βαρβαρικὰς ποιεῖσθαι τῶν ἐξαμαρτανόντων εἴη τοῖς ἁμαρτήμασιν, ὥστε καὶ κεκολασμένους ἥκιστα ἂν ἐξαμαρτάνειν τοῦ λοιποῦ. Ἐπεὶ τόν γε ἀνιάτως ἔχειν δοκοῦντα πολὺ κάλλιον ἀπαλλάττοντες τοῦ βίου ἐλευθέραν ἀφιέναι τὴν ψυχὴν σώματος, ᾧ μὴ καλῶς ᾖδει κεχρῆσθαι, ἢ λωβωμένους ἀναπήρῳ καὶ ἀχρήστῳ σώματι αὐτῷ τε καὶ τῇ ἄλλῃ πόλει ἀναγκάζειν ἐνδεδέσθαι.

C

14. Vivendi porro ratio cum reliquorum civium tum præfectorum maxime non sumptuosa, sed moderata sit, sic ut peregrinas quidem vestes et nugas alias negligent, ad bellum autem sint omnes compositi, quique huc pertinent apparatus, diligenter procurent, quos quidem, cum alio sumptus transferuntur, diminui oportet ac deteri. Terræ fructus nemini liceat, quocunque velit, nisi alteram partem pro vectigali pendat, evehere, ad socios quidem evehere liceat; sin quis ferro, vel armis, vel alia re necessaria velit mutare, nihil pendat. Moneta nec improba nec peregrina utamur, ne videamur etiam prava et aliena uti republica, siquidem non parvum in republica momentum habet monetæ ratio. Sontes ac barbarico more multentur ut post multam minimum deinceps peccent; nam qui videntur insanabiles esse eos de medio præstat auferentes, animam corpore liberare, quo non recte novit uti, quam illos mutilantes, hanc tum corpori mutilo atque inutili, tum reliquæ civitati alligare.

ιε'. Καὶ πολιτείας μὲν σπουδαίας νόμοι οὗτοί τε καὶ τοιοῦτοι ἕτεροι, καὶ μείζους καὶ ἐλάττους· ὧνπερ κεφάλαιον ἁπάντων περὶ τὴν τοῦ θείου δόξαν ἠκριβῶσθαι καὶ κοινῇ καὶ ἰδίᾳ (48), μάλιστα δ' ἐκεῖνα τρία τε καὶ κυριώτατα· ἓν μέν, εἶναί τι θεῖον ἐν τοῖς οὖσι προὔχουσάν τινα τῶν ὅλων οὐσίαν· δεύτερον τὸ θεῖον τοῦτο καὶ ἐπιμελὲς εἶναι ἀνθρώπων, ἅπαντά τε τὰ ἀνθρώπεια ὑπὸ τούτου, καὶ μείζω καὶ ἐλάττω, διοικεῖσθαι· τρίτον κατὰ γνώμην τὴν αὐτοῦ διοικεῖν ἕκαστα ὀρθῶς αἰεὶ καὶ δικαίως, μὴ ἐξιστάμενον μηδαμῇ τοῦ περὶ ἕκαστον καθήκοντος,

D

15. Atque hæ quidem probæ sunt reipublicæ leges, aliæque similes, caput autem horum est omnium de Deo recte et publice et privatim sentire, maxime autem hæc tria, primum, esse Deum quemdam, præstantissimam omnium naturam, deinde, hunc et homines curare et res omnes humanas tum magnas tum parvas regere, tum arbitrio suo cuncta illum recte justeque semper administrare, nusquam ab officio deflectentem vel alia de causa, vel hominum donis delinitum, quibus non indigeat. Quæ cum ita se habent consequitur illud, ut in

(48) *Καὶ κοινῇ καὶ ἰδίᾳ.* Cf. l. x. *de Leg.*

cultu sacra donariaque modo et pietate adhibitis offerant, velut inde bonum omne proficisci fatentes, nec vel minus præstantes, aut duarum, aut alterius saltem duarum impietatis formarum opinionem sibi comparent vel nimio sumptu et privatas domos et rempublicam perdentes, quasi donariorum quidquam proficeret magnificentia, nec amplius quid offerre, sed redimere visi, tertio se impietatis generi obstringunt. Has demum sententias publice privateque confirmatas ac necessario virtus et honesti omne studium sequitur.

A μήτ' οὖν ἄλλως μήθ' ὑπ' ἀνθρώπων δώροις ἢ τισιν ἄλλοις θωπευόμενόν τε καὶ παρατρεπόμενον· οὐ γὰρ οὖν ἐνδεὲς εἶναι ἀνθρώποις. Οἷς ἔχουσιν οὕτως ἕπεται καὶ τὸ τὰς πρὸς τὸ θεῖον ἀγιστείας, θυσίας τε καὶ ἀναθήματα, μέτριά τε καὶ ἀπ' εὐσεβοῦς τῆς γνώμης τελεῖν, ὁμολογίας ὄντα ξύμβολα τοῦ ἐκεῖθεν ἡμῖν εἶναι τἀγαθά· καὶ μήτ' ἐκλείποντας, ἢ τοῖν δυοῖν, ἢ θατέρου γοῦν τοῖν προτέροιν εἰδοῖν τῆς ἀσεβείας ἐνεχομένους, δόξαν παρέχεσθαι· μήθ' ὑπερβολαῖς δαπανῶν τούς τε ἰδίους οἴκους καὶ τὰ κοινὰ φθείροντας, ὡς τι πλέον ποιήσοντας τῇ πολυτελείᾳ τῶν ἀπαρχῶν τε καὶ ἀναθημάτων, μηδ' ἀπαρχομένων ἔτι, ἀλλ' ὡς ὠνουμένων δόξαν παρεχομένους, τῷ τρίτῳ εἴδει τῆς ἀσεβείας ἐνέχεσθαι. Ταῖς δὲ τοιαύταις δόξαις ἰδίᾳ τε καὶ δημοσίᾳ νομιζομέναις καὶ κρατούσαις ἀμήχανον μὴ οὐ καὶ ἀρετὴν ἕπεσθαι πᾶσι παρ' οἷς ἂν τύχωσι κεκρατηκυῖαι, καὶ πᾶσαν τὴν περὶ τὸ καλὸν σπουδήν.

16. A: vitium quodvis et maxima mortalium peccata de contrariis nascuntur sententiis. Semper enim exsistunt nonnulli pravis opinionibus imbuti, et vel nullum esse prorsus Deum arbitrantes, vel ut sit, res tamen humanas negligere, vel denique ut sit atque curet, corrumpi nihilominus posse, sacrisque ac donariis delinitum nonnunquam ab officio deflectere. Ab his enim duabus inter se contrariis de Deo sententiis, tanquam fontibus, duo procedunt vitæ genera plurimum inter se dissidentia ; quorum alterum virtutem vel solum, vel summum ponit bonum, alterum voluptatem. Etenim cum hominis natura partim divina sit, partim humana (quod omnibus et Græcis et Barbaris vel aliqua præditis mente visum fuit) divinitatem quidem animo, humanitatem autem exprimente corpore ; qui quidem divinitatem ducem secuti, cum recte de cognata natura senserint, tum ad virtutis normam vitam omnem direxerint, boni sunt omnis inter homines auctores, qui vero mortali ac ferina parte ducti, cum de Deo secus senserint, tum ad voluptatem retulerint omnia, magnorum contra sunt auctores malorum. Inter hos medii sunt et qui gloriæ student, et qui divitiis ; cum simulacrum illa sit virtutis, hæ voluptates concinnent.

B ιϛ'. Κακία δὲ πᾶσα καὶ τὰ μεγάλα ἀνθρώποις ἁμαρτήματα ἀπὸ τῶν ἐναντίων γίγνεται αὖ δοξῶν. Γίγνονται γὰρ αἰεὶ τῶν ἀνθρώπων ἔνιοι οὐχ ὑγιῶς περὶ ταῦτα ἔχοντες· οἱ μὲν οὐδ' εἶναί τι τὸ παράπαν θεῖον ἐν τοῖς οὖσι νομίζοντες· οἱ δ' εἶναι μὲν, μὴ φροντίζειν δὲ μηδὲ τῶν ἀνθρωπίνων· οἱ δὲ καὶ εἶναι καὶ ἐπιμελεῖσθαι, παραιτητὸν δ' εἶναι, καί τισι θυσίαις καὶ ἀναθήμασι καὶ εὐχαῖς κηλούμενον, μὴ ἀκριβοῦν ἑκάστοτε τὰ δίκαια. Ἀπὸ γὰρ τούτοιν δυοῖν ὄντοιν ἀλλήλοιν ἐναντίοιν εἰδοῖν τῶν περὶ τὸ θεῖον δοξῶν, οἱόνπερ ἀπὸ πηγαίν, δύω βίου προαιρέσεε πρῶτον ἐναντιωτάτω ἀλλήλοιν· ἡ μὲν τῶν μόνον, ἢ μάλιστα τὸ καλὸν τιθεμένων ἀγαθὸν, ἡ δὲ τῶν τὴν ἡδονὴν τέλος τοῦ βίου ποιουμένων. Ἐπεὶ γάρ ἐστιν ὁ ἄνθρωπος ξύνθετός τις φύσει ἔκ τε θείας οὐσίας καὶ θνητῆς (49), ὡς δοκεῖ δὴ πᾶσι καὶ Ἑλλήνων καὶ βαρβάρων τοῖς γε καὶ ὁσονοῦν νοῦ μετέχουσι, καὶ τὸ μὲν θεῖον αὐτοῦ ἡ ψυχή ἐστι, τὸ δὲ θνητὸν τὸ σῶμα· οἱ μὲν ἂν τῷ ἐν αὐτοῖς θείῳ κεκρατηκότι ἐπισπόμενοι, τάς τε περὶ τὴν ξυγγενῆ οὐσίαν ἠκριβωκότες εἶεν δόξας, καὶ ἀρετὴν, καὶ τὸ κάλλος παντὸς τοῦ βίου προστήσαιντο, πάντα ἀγαθὰ ἐν ἀνθρώποις ἀπεργάζονται· οἱ δ' ἂν ὑπὸ τοῦ ἐν αὐτοῖς θνητοῦ καὶ θηριώδους κρατηθέντες τάς τε περὶ τὸ θεῖον δόξας ἁμαρτάνοιεν, καὶ ἡδονῇ τὸ πᾶν δοῖεν τοῦ βίου, τὰ μεγάλα αὖ παντοχῇ ἀπεργάζονται κακά. Οἷν μεταξὺ αὖ καὶ οἵ τε περὶ δόξαν ἐσπουδακότες, καὶ οἱ περὶ χρήματα· δόξης μὲν ἀρετῆς καὶ τοῦ καλοῦ οὔσης εἰδώλου, χρημάτων δὲ παρασκευῶν ἐφ' ἡδονάς.

17. Et in eorum quidem numero, qui virtutem sunt amplexi, cum alii sæculis omnibus exstitere, tum Amphitryonis f. Hercules, quem diximus bona reipublicæ constitutione virtutisque studio Græcis conciliato, celeberrimos illos reddidisse, cum sibi primum ipsi virtutem crebris laboribus et certaminibus comparasset : Lycurgus item Lacedæmonius qui fratre rege sine liberis mortuo, cum conjux, quæ gravidam se norat, ad ipsum se, fetu abolito, regnum una cum matrimonio delaturum recepisset, re non concessa, quoniam justitiæ repugnabat fratrisque filio tum vita conciliata, tum paterno dominio restituto, aliquanto post tempore legislator a suis constitutus præclara illa reipublicæ

C

D

ιζ'. Τῶν μὲν οὖν περὶ τὸ καλὸν ἐσπουδακότων ἄλλοι τε ἐγένοντο ἐν τῷ παντὶ αἰῶνι, καὶ Ἡρακλῆς ποτε ὁ Ἀμφιτρύωνος, ὃν εὐνομίαν τε καὶ ζῆλον τῶν καλῶν ἔφαμεν τῷ τῶν Ἑλλήνων ἐμπεποιηκότα γένει, ἐνδοξότατον ἐν τῇ οἰκουμένῃ ἀποφῆναι, αὐτῷ πρότερον τὴν ἀρετὴν συχνοῖς τοῖς πόνοις καὶ ἆθλοις περιποιησάμενον· καὶ Λυκοῦργος ὁ Λακεδαιμόνιος, ὃς ἀδελφοῦ βασιλέως ἄπαιδος τέως τελευτήσαντος, ἐπειδὴ ἡ νύμφη κύειν αἰσθομένη, ἐπηγγέλλετο ἐπὶ τῷ αὐτῆς γάμῳ, διαφθείρασα τὸ ἔμβρυον, τὴν βασιλείαν αὐτῷ περιποιήσειν, οὐ προσέμενος τὴν πρᾶξιν, ἐπειδή οἱ μὴ μετὰ τοῦ δικαίου ἐγίγνετο, ἀλλὰ τῷ ἀδελφοῦ παιδίῳ πάσῃ μηχανῇ τό τε ζῆν περιποιήσας, καὶ τὸ γέρας τὸ πατρῷον ἀποδοὺς, ἔπειτα

(49) *Οὐσίας καὶ θνητῆς*. cf. Platonis Philebus, ubi de eadem materia fusius, neque vero melius agitur.

χρόνῳ ὕστερον νομοθέτης ὑπὸ τῆς πόλεως αἱρεθεὶς, καὶ τὴν ὑπὸ πάντων ἐπαινουμένην ἐγκαταστήσας πολιτείαν αὐτῇ, εὐδοκιμωτάτην πόλεων ἔν τε Ἕλλησι καὶ βαρβάροις ἀπέφηνε· καὶ Ἀλέξανδρος ὁ Μακεδόνων βασιλεὺς, ὃς δι' ἀρετήν τε καὶ φρόνημα ἡγεμονεύσας Ἑλλήνων, Ἕλλησί τε ὁμοῦ καὶ Μακεδόσι τὴν Ἀσίας ἡγεμονείαν περιεποίησε· καὶ βαρβάρων δὲ Κῦρος ὁ Πέρσης, ὃς Πέρσας τοὺς αὐτοῦ πολίτας δι' ἀρετὴν αὐτοῦ ἅμα μὲν τῆς Μήδων ἀπήλλαξε δουλείας, ἅμα δὲ καὶ τούτων τε καὶ τῆς ἄλλης Ἀσίας ἡγεμόνας ἀπέφηνε.

A constitutione introducta, celeberrimam ipsam urbem cum inter Græcos, tum inter Barbaros reddidit. Alexander quoque rex Macedonum qui per virtutem simul et animi magnitudinem Græcorum princeps effectus, ipsis pariter et Macedonibus Asiæ comparavit imperium, nec non inter Barbaros Persa Cyrus qui Persas suos virtute propria cum tyrannide Medorum liberavit, tum et horum et Asiæ reliquæ dominos constituit.

ιη'. Τῶν δ' ἑτέρων ἄλλοι τε καὶ Ἀλέξανδρος ὁ Πριάμου ὁ Ἴλιεὺς, ὃς ἐν τῇ κρίσει τῶν θεῶν τῇ αἱρέσει τῇ τῶν βίων, ὑπεριδὼν μὲν Ἥρας, τῆς ἀρετῆς ἐφόρου Θεοῦ, ὑπεριδὼν δὲ Ἀθηνᾶς, τῆς δόξης αὖ προεστηκυίας, Ἀφροδίτην, ὡς δὴ ἡδονῆς οὖσαν Θεὸν, προὔκρινέ τε καὶ προείλετο. Τοιγάρτοι βασιλείας μὲν ὑπὸ Ἥρας διδομένης ὀλιγωρήσας τοῦ μακαριωτάτου βίου τοῦ κατ' ἀρετὴν, καὶ κράτους αὖ πολέμων ὑπὸ Ἀθηνᾶς, τοῦ φιλοτίμου βίου, καὶ περὶ τὴν δόξαν ἔχοντος, Ἑλένην δὲ τὴν Τυνδάρεω θυγατέρα, Μενέλεω δὲ γυναῖκα τοῦ Ἀτρέως τὴν Λάκαιναν, δῶρον ἐπὶ ταύτῃ τῇ ἀδίκῳ κρίσει εἰληφὼς, ὡς δὴ κεφάλαιον οὖσαν ἡδονῆς, καλλίστην μὲν τῶν τότε δοκοῦσαν τὴν ἰδέαν, τὴν δὲ ψυχὴν ἄλλως αἰσχίστην καὶ μοιχεύτριαν, πρὸς ταύτῃ αὐτόν τε ὁμοῦ καὶ τὴν πατρίδα προσαπώλεσε. Καὶ Σαρδανάπαλος δὲ ὁ Ἀσσύριος, ὃς διὰ μαλακίαν καὶ τρυφὴν Ἀσσυρίοις μὲν τοῖς αὐτοῦ πολίταις τὴν τῆς Ἀσίας ἀπώλεσεν ἡγεμονείαν, Μήδοις δὲ παρακεχωρήκει. Καὶ Ῥωμαίων δὲ Νέρων, ὃς ἄλλα τε δεινὰ καὶ ἀνόσια ἐργασάμενος, καὶ τὴν μητέρα ἀποκτείνας, τελευτῶν καὶ αὐτὸν ἡμέλησε μὲν, διὰ δὲ τὴν τότε ἔτι Ῥωμαίων ἀρετὴν

18. In altero vero numero cum alii recensentur, tum Alexander Trojanus, Priami filius, qui in dearum judicio, vitæque generum electione, tum Junone contempta virtutis præside, tum auctore gloriæ Minerva, Venerem voluptatis deam prætulit. Quapropter neglectis tum regno a Junone concesso, vita cum virtute et felicitate conjuncta, tum a Minerva oblata victoria bellica vita gloriosa, Helena vero Lacæna Tyndarei filia, Menelai Atridæ conjuge, præmio tam iniqui judicii accepta, tanquam voluptatis colophone, ut corpore omnium pulcherrima, sic animo turpissima et adultera cum hac sese simul et patriam pessumdedit; Sardanapalus item Assyrius qui per mollitiem et luxum Asiæ imperium Assyriis quidem suis ademit, Medis autem concessit, nec non de Romanis Nero, qui cum aliis gravibus et nefandis perpetratis, tum occisa matre, seipsum quoque tandem malum male perdidit; nam patriam cupiebat quidem, sed præ Romanorum virtute nondum poterat evertere.

ιθ'. Καὶ δ' ἄλλοι δ' αἰεὶ γίγνονται συχνοὶ καὶ δυναστῶν καὶ ἰδιωτῶν τούτου τοῦ κόμματος (50), καὶ μείζω ἴσως καὶ ἐλάττω ἐξαμαρτάνοντες· ὧν κἀκεῖνό τι, οἳ τὸ μὲν δίκαιον καὶ τὴν ἀλήθειαν καὶ τὸ κοινὸν ἀγαθὸν σκιὰν καὶ ὀνόματ' ἄλλως ἡγηνται, πρὸς δὲ τὸ χρυσίον καὶ τἆλλα τὰ τοιαῦτα κεχήνασι, τὴν εὐδαιμονίαν ἐσθῆσι καὶ ἀργύρῳ καὶ χρυσῷ μετροῦντες, καὶ τῇ παρ' ἡμέραν ῥᾳστώνῃ καὶ τρυφῇ, τὴν δ' ἀσφάλειαν σφῶν τε αὐτῶν ἅμα καὶ παίδων καὶ ὅλης τῆς πατρίδος, καὶ ἐλευθερίαν, παρ' οὐδὲν ἡγούμενοι. Εἰσὶ δ' οἳ καὶ ἕως μὲν ἂν χρυσοῦ καὶ τῶν τοιούτων τὸ πρᾶγμα καθαρεύῃ, καὶ καθ' αὐτὸ σκοπῶσι, δεινότατοι ὑπὲρ τοῦ δικαίου καὶ τῆς ἀληθείας ῥήτορές εἰσιν· ἐπειδὰν δέ που χρυσίον σφίσιν ὑποφανῇ, ἤ τι ἄλλο ἄξιον χρυσίου, πεπέδηται εὐθὺς ἡ γλῶττα, ἐμπέφρακται τὸ στόμα, καὶ πρὸς μὲν τὰ δίκαια σεσιγήκασιν, ἐπὶ δὲ τἀναντία πᾶσα ἐκείνη μεθέστηκεν ἡ δεινότης. Ὑπὲρ γὰρ τούτων καὶ τῶν τοιούτων διοικούμεναι αἱ πόλεις, κακῶς πράττουσιν ἑκάστοτε, οὐδὲ τῶν σπουδαιοτάτων ἂν ἐγκαθεστώτων νόμων κυρίων ὄντων, ἀλλὰ πάντων εἰκῇ καὶ ἀδιακρίτων φυρομένων. Ἐπεί τοι οὐ σπουδαίων ἄρα δεῖ νόμων μόνον πόλεσιν ἑκάστοτε, ἀλλὰ καὶ κυρίων· κύριοι δ' αὖ γίγνονται οἱ νόμοι διὰ τὴν τῶν ἀρχόντων ἀρετὴν, ἣν δὲ τρισὶ τῆς θεοσεβείας μάλιστα καὶ κυριωτάτοις εἴδεσιν ἔφαμεν ἕπεσθαι.

19. Ac sæpe plures exsistunt hujus generis tum inter principes tum inter privatos, alii gravius aliis peccantibus; in his etiam illi, qui justitiam quidem et veritatem et bonum commune pro umbris ducunt, auro autem ac similibus inhiant, felicitatem quidem in vestibus, auro, argento luxuque quotidiano ponentes, propriam vero simul et liberorum et patriæ totius libertatem ac securitatem negligentes. Quidam etiam, donec auro et similibus res caret, ac per se consideratur, vehementissimo justitiam et veritatem defendunt: sed simul atque vel aurum vel auri quid simile micuerit, mox et lingua ligatur et os obturatur, ac de justitia quidem silent, ad contraria vero omnis illa convertitur vehementia. Siquidem ab his et hujus generis hominibus cum reguntur respublicæ semper sunt infelices, quando ac probissimæ quidem latæ leges habentur ratæ, sed omnia temere permiscentur. Non enim tantum probas leges requirunt respublicæ, sed etiam ratas, quales quidem per virtutem principum exsistunt, quam tria præcipua genera diximus consequi.

(50) *Τούτου τοῦ κόμματος*. Cf. Plat. *De leg.* VIII.

20. Postquam autem aliæ res nullæ, quam salute nunc indigemus (non enim nos latet, quo res ex amplissimo Romanorum imperio devenerint; quibus duæ tantum in Thracia relictæ sunt urbes, et Peloponnesi pars aliqua, ac si qua restat etiam insula) salutem autem civitatum duntaxat e proba republica diximus proficisci; respublica nobis et legibus præstantissimis et moderatoribus quam fieri poterit optimis erit emendanda. Etenim quanto res nostræ pejori sunt loco et infirmiores cum potentioribus hostibus committitur, tanto magis rempublicam potiorem decet nos opponere quæ reliquorum exæquet imbecillitatem. Quibus autem rationibus optima constituatur respublica jam diximus, potissimis quibusque et ad rem præsentem maxime pertinentibus expositis, iisque non valde difficilibus. Quæ enim res ex unius voluntate effectum suum vel sortiuntur, vel amittunt, non debent pro valde difficilibus haberi.

κ'. Ἐπεὶ δ' οὐδενὸς ἄλλου ἡμῖν ἔν γε τῷ παρόντι δεῖ, ὡς σωτηρίας καὶ τοῦ σώζεσθαι (ὁρῶμεν γὰρ οἱ ἡμῖν ἐκ τῆς μεγίστης Ῥωμαίων ἡγεμονίας κεχώρηκε τὰ πράγματα (51), οἷς, ἁπάντων οἰχομένων, δύο πόλεε μόνω ἐπὶ Θράκης περιλέλειπται, καὶ Πελοποννήσου, οὐδὲ ξύμπασα αὕτη γε, καὶ εἰ δή τι ἔτι νησίδιον σῶν ἐστι). Τὸ δὲ πόλεις σώζεσθαι ἐξ οὐδενὸς ἄλλου ἢ σπουδαίας πολιτείας, ἂν περιγίγνεσθαι ἔφαμεν, τὴν πολιτείαν ἐπανορθωτέον ἡμῖν νόμοις τε τοῖς σπουδαιοτάτοις καὶ ἄρχουσιν ἐκ τῶν δυνατῶν τοῖς ἀρίστοις. Ὅσῳ γὰρ ἡμῖν χεῖρον ἔσχηκε τὰ πράγματα, καὶ ἀσθενεστάτοις πρὸς δυνατωτάτους τῶν πολεμίων συμβαίνει ἀντιτάττεσθαι, τοσούτῳ μάλιστα καὶ τὴν πολιτείαν ὡς σπουδαιοτάτην ἀντιτιθέναι δεῖ, τὴν ἀσθένειαν τὴν τῶν πραγμάτων ἀνισώσουσαν. Δι' ὅσων δὲ καὶ οἵων σπουδαιοτάτη γίγνεται πολιτεία, ἔφαμεν ἤδη αὐτὰ τὰ κυριώτατα, καὶ πρὸς τὴν παροῦσαν ἂν τῶν πραγμάτων χρείαν λυσιτελέστατα ἐκθέμενοι, ἃ οὔτε πάνυ χαλεπά· οἷς γὰρ ἐπὶ μιᾷ ψυχῇ ἐστι τὸ γενέσθαι τε καὶ μὴ, οὐ δήπου οὔτε ἀδύνατα ταῦτά γε οὔτε πάνυ χαλεπά.

21. Unius porro voluntatem tuam potissimum judico. Etenim si tibi, qui princeps noster es, et maxima polles potentia, præclaræ alicujus rei gerendæ Deus amorem inspiraverit, cum virtutem atque honestatem exacte secteris, non difficulter hæ res constitui poterunt, nec amplius erit de salute nostra desperandum. Siquidem in hoc posita omnia sunt, ex eoque vel salus nostra vel pernicies dependet. Etenim si quam rem præclaram et magnam cupias gerere, nihil vel præclarius, vel majus tum salute gentis, tum regni securitate facile repereris, hæc autem non nisi probæ reipublicæ constitutione parantur, ea porro non alia ratione, quam quæ modo fuit a nobis exposita, componitur, quamque omnes ubique laudatæ sunt civitates secutæ.

κα'. Ψυχὴν δὲ δὴ μίαν τὴν σὴν φημι μάλιστα. Εἰ γάρ σοι νῦν ἡμῶν ὄντι ἡγεμόνι, καὶ τὴν μεγίστην ἐν ἡμῖν δύναμιν κεκτημένῳ, ἔρωτα Θεὸς ἐπιπνεύσειε τοῦ μέγα τέ τι καὶ καλὸν ἐν τῷ βίῳ διαπράξασθαι, ἐκείνης τῆς αἱρέσεως γνησίως καὶ εἰλικρινῶς γενομένῳ τῆς περὶ τὴν ἀρετὴν καὶ τὸ καλὸν, οὐ χαλεπὰ ταῦτα ξυστῆναι, οὐδ' ἡ ἡμετέρα ἔτι σωτηρία ἀνέλπιστος. Ἀλλ' ἐν τούτῳ τὸ ἅπαν ἐστὶ, καὶ τὸ σώζεσθαι ἢ ἀπολεῖσθαι τὰ ἡμέτερα ἐκ τούτου ἤρτηται. Εἰ γὰρ ζητήσαις ὅ τι ποτ' ἂν μέγα καὶ καλὸν ἐν τῷ βίῳ διαπράξαιο, οὐ ῥᾳδίως ἂν εὕροις οὔτε μεῖζον οὔτε κάλλιον τοῦ τὸ γένος τε ἂν σῶσαι, καὶ τὴν βασιλείαν ἐκ τῶν ἐνόντων ἀσφαλίσασθαι. Ἀσφαλίσασθαι δὲ ἄλλως οὐκ ἔστιν ἢ πολιτείαν σπουδαίαν ἐγκαταστήσαντα· οὐδ' ἄλλως ἢ γε

22. Ac si duntaxat ipse volueris, et hoc fueris animo, nullo negotio socios operis invenies, probiores quidem primos muneribus destinans, reliquos autem benefactis et multis corrigens; ac duobus his tum cupiditate bonorum, tum contra peccantes ira rite usus, siquidem nec absentia bonam cuiquam licet adipisci, nisi cum labore desideret nec præsentia servare, nisi rationi ira obtemperet. Ac reipublicæ constitutionem, si videtur, a consultoribus ordire, eosque tibi cum aliis tum numero instructissimos quemadmodum præcepimus, constitue, siquidem hinc æquum est incipere, cumque majori parti visum quid fuerit, ita demum rerum mutationem et emendationem aggredi. Neque illos lateat, quanto res nostræ versentur in discrimine; quantumque salutis indigi simus, nec eam nisi emendata republica possimus consequi. Nam et qui ægrotant, si consueta vivendi ratione læduntur,

σπουδαιοτάτη γένοιτ' ἂν πολιτεία ἢ ταύτῃ ᾗπερ ἄρτι διεληλύθαμεν, ᾗ καὶ αἱ ἐν τῷ παντὶ ἤδη αἰῶνι εὐνομηθεῖσαι πόλεις μάλιστα ἐχρήσαντο.

κβ'. Εἰ δ' αὐτὸς μόνον ἐθελήσαις, καὶ τῇ γνώμῃ ταύτῃ τράποιο, οὐ χαλεπῶς ἂν οὐδὲ τῶν συγκατα-πραξόντων εὑπορήσαις, τοῖς μὲν οὖσι τῶν χρηστοτέρων προτέροις ἐπὶ τὰς λειτουργίας χρώμενος, τοὺς δ' ἄλλους πειθοῖ καὶ εὐεργεσίαις καὶ ζημίαις διορθούμενος· δυοῖν δὲ τούτοιν κατὰ λόγον χρώμενος, ἐπιθυμίᾳ τε τῶν καλῶν, καὶ θυμῷ κατὰ τῶν ἐξαμαρτανόντων. Ὡς οὐκ ἔστιν ἄλλως οὔτ' ὀπόντα ἀγαθὰ κτήσασθαι ἢ ἐπιθυμήσαντά τε καὶ περὶ αὐτὰ πραγματευσάμενον, οὔτε παρόντα ἀγαθὰ φυλάξαι, ἢ θυμῷ κατηκόῳ λόγου χρώμενον. Καὶ πρῶτόν γε τῶν πολιτευμάτων, εἰ δοκεῖ, ἀπὸ τοῦ περὶ τῶν συμβούλων ἄρξαι, καὶ τούτους σαυτῷ, τοῖς τε ἄλλοις, καὶ τῷ πλήθει ὡς ἱκανωτάτους, ᾗ ἔφαμεν, κατάστησον (ἔνθεν γὰρ ἄρχεσθαι καλόν)· καὶ πλείοσι δοκοῦσι, οὕτω δὴ τὰ κάθεστῶτα κινεῖν καὶ ἐπανορθοῦσθαι. Δίδασκέ τε κἀκείνους, ὅπως ἐν μεγάλῳ κινδύνῳ τὰ ἡμέτερα, καὶ οὐδενὸς ἡμῖν ἄλλου ὡς τοῦ

(51) *Τὰ πράγματα.* Quas memorat duas civitates, Selymbria procul dubio ac Mesembria sunt. Plures insuper Sporades in familiarum aliquot Genuensium ditione erant.

σώσεσθαι δεῖ· τοῦτο δὲ οὐχ οἷόν τε, μὴ τὴν πολιτείαν ἐπανορθωσαμένους. Καὶ γὰρ νοσοῦσιν ἐὰν ἡ εἰωθυῖα δίαιτα μὴ λυσιτελῇ, οὐκ ἔστιν ἄλλη ἀπαλλαγὴ τοῦ δεινοῦ ἢ ταύτης ἐκβᾶσι ζητῆσαι τὴν λυσιτελήσουσαν.

A non aliter sanantur, quam cum hac omissa commodiorem deligunt.

κγ'. Ἔπειτα τὸ πολὺ τῆς στρατιᾶς διακάθαρον, διελὼν Πελοποννησίους χωρὶς μὲν ἐς τοὺς στρατευσομένους, χωρὶς δ' ἐς τοὺς εἰσοίσοντας, ᾗ ἂν ἕκαστοι δοκῶσιν ἐπιτηδειοτέρως ἔχειν, ὡς οὐκ ἔτι τῶν αὐτῶν στρατευσομένων τε ὁμοῦ καὶ φορολογησομένων. Οὐ γὰρ οἷός τ' ἔσῃ σαυτόν τε ἅμα καὶ τὸ γένος σώζειν, μὴ περιὼν τῶν πολεμίων· οὐδὲ περιεῖναι τῶν πολεμίων, μὴ στρατιὰν εὔνουν τε καὶ φρόνημα ἔχουσαν κτησάμενος μᾶλλον ἢ πλείω. Φορολογουμένην δὲ στρατιὰν τό τε φρόνημα σώζειν ἅμα καὶ τὴν εὔνοιαν παγχάλεπον, ἀλλ' ἔρρειν ἀνάγκη τὰ πολλά, τά τε φρονήματα, τήν τ' εὔνοιαν στρατιωτῶν φορολογουμένων.

23. Deinde majorem exercitus partem expurga, divisis bifariam Peloponnesis in militantes et collationem pendentes, prout singulorum feret ratio; sic ut non amplius iidem simul et militent et pendant. Etenim nec teipsum pariter et gentem servare poteris nisi hostes deviceris; nec hostes devincere, nisi exercitum potius benevolum et animosum quam copiosum habueris. Difficulter autem pendens exercitus benevolentiam simul et animos conservat, sed utrumque fere perdit.

κδ'. Καὶ τοὺς ἄρχοντας δὲ διακαθᾶραι δεῖ τῶν καπηλευόντων, καὶ προσιπεῖν μὲν ἅπασι, μὴ καπηλεύειν μηδ' ἐμπορεύεσθαι τοῦ λοιποῦ, ἀλλ' αὐτὸ τοῦτο ἄρχοντας τῷ ὄντι εἶναι, ἐπὶ φυλακῇ καὶ σωτηρίᾳ προεστηκότας τῶν πολλῶν, οὐ διακονικὰ ἐπιτηδεύματα ἐπιτηδεύοντας, καὶ διακόνων πονηρῶν ἀδίκοις σταθμίοις, καὶ παντὶ ὅτῳ ἂν δύνωνται τρόπῳ, τοῖς τῶν ταλαιπώρων αὐτουργῶν πράγμασι λυμαινομένων. Εἴ τέ τινες καὶ ἐκ καπήλων ἐς τὰς ἀρχὰς παρεισῳμένοι εἶεν, καὶ τούτους δὲ, ἄν τινες χρήσιμοι δοκῶσιν, ἤ, πεπαυμένων ἤδη τοῦ καπηλεύειν, ἄρχειν, ἢ ἀπεληλάσθαι τῶν ἀρχῶν. Μὴ γὰρ διακεχρίσθαι τὰ τοιαῦτα, ἀλλὰ καπήλους μὲν ἄρχουσιν ἀναμεμίχθαι, στρατιώτας δ' εἰλωτεύειν, ἐπὶ εἴλωσι δὲ τὰ τῆς σωτηρίας εἶναι, φαυλοτάτης ταῦτα πολιτείας, καὶ οὐδέποτε οὐδὲν μέγα ἢ καλὸν διαπραξομένης. Ὅνοις γοῦν οὐ χρώμεθα ἐπὶ τὰ τῶν γενναίων ἵππων ἔργα, οὐδὲ γενναίοις ἵπποις ἐπὶ τὰ τῶν ὄνων· οἶμαι δ' οὐδ' ἵπποις τοῖς αὐτοῖς ἐπὶ τὰ αὐτὰ, ἀλλ' ἰδίᾳ μὲν πολεμιστηρίοις, ἰδίᾳ δ' ἀχθοφόροις ἵπποις χρώμεθα. Πολλῷ δὴ πρότερον καὶ ἐπ' ἀνθρώπων τὰ τοιαῦτα ἔδει διακρίνειν, καὶ μὴ συγχεῖν.

24. Præfecti quoque secernantur a mercatoribus, et cunctis quidem imperetur ne mercaturam vel institoriam deinceps exerceant, sed se pro præfectis gerant, reipublicæ custodiam et salutem procurantes, non servilia obeuntes officia, et quidem nequam servorum, qui ponderibus injustis et quacunque re alia miseros rusticos damno afficiunt: sin etiam de mercatoribus aliqui fuerint ad magistratus evecti, ii vel relicta mercatura, si fuerint idonei munere fungantur, vel loco moveantur. Oportet enim hæc secerni, non præfectos cum mercatoribus permisceri, nec milites agros colere, nec rusticis communem salutem commitli, quæ sunt omnia reipublicæ pravissimæ, quæque nihil unquam magnum vel præclarum gesserit. Enimvero nec asinis ad equorum utimur opera, nec equis ad asinorum; adeoque nec equis iisdem ad omnia, verum aliis bello, aliis ad sarcinas; at hoc discrimen in hominibus multo magis observandum erat.

κε'. Καὶ τοὺς φόρους δὲ τοὺς πολλοὺς καὶ κατὰ σμικρὰ καὶ ἀνωμάλους τούτους ἀνελὼν, ἐκεῖνον ἀντὶ πάντων κατάστησον, ὃν τῷ δικαιοτάτῳ λόγῳ ἔφαμεν τρίτην γίγνεσθαι τὴν γιγνομένων μοῖραν, κουφοτάτόν τε ὁμοῦ τοῖς εἰσοίσουσι, καὶ τοῖς κοινοῖς λυσιτελέστατον τὸν αὐτὸ ἐσόμενον. Ἥττόν τε γάρ τις διὰ τοῦτον τὸν φόρον ἀποδράσεται, ἥττόν τε ὑπὸ τῶν πραττομένων ἀδικήσεται, ὡς τὸ εἰκὸς βουλομένων ἂν ὡς πλεῖστα γίγνεσθαι τοῖς εἰσπραχθησομένοις, ἵνα δὴ καὶ σφίσιν ὡς μείζων γίγνοιτο ὁ φόρος. Τῶν δὲ τοιούτων Εἰλωτῶν πρῶτα μὲν ἐς τὸν σὸν οἶκον ἐξελεῖν ὁπόσους ἂν δόξειε δεῖν· τοὺς δὲ λοιποὺς τοῖς ἄρχουσί τε καὶ τῶν στρατιωτῶν λογάσιν, ὅπῃ τε ἂν ἑκάστῳ καὶ ὁπόσους βούλοιο. Κατανείμας δὲ ἀναγκάζειν κατὰ λόγον τῆς νενεμημένης εἰλωτείας τρέφειν ἕκαστον καὶ τοὺς πελάτας, στρατιωτικούς τινας θεράποντας· καὶ μὴ εἰκῇ ἐντρυφᾶν τοῖς κοινοῖς, μηδ' ἃ οἱ πολέμιοι εὔξαιντ' ἂν, τὰς ὑπὲρ τῆς ἡμετέρας ἀσφαλείας δαπάνας εἰκῇ διάλλυσθαι, ταῦτ' αὐτοὺς φαίνεσθαι διαπραττομένους· ἐξελεῖν τε μάλιστα καὶ σαυτοῦ καὶ τῶν ἄλλων τροφὴν καὶ πο-

25. Tributis quoque multis istis, crebris et inæqualibus sublatis, illud omnium loco repone quod rerum nascentium tertiam diximus æquissime complecti partem levissimum simul pendentibus et reipublicæ utilissimum idem futurum. Nam propter hoc tributum nec temere quis aufugiet, nec ab exactoribus injuriam accipiet, dum illi pendentibus quamplurima volunt attribuere, quo videlicet simul tributum crescat. De his autem Hilotis primum tuæ familiæ quod videbitur opus, selige; reliquos deinde præfectis et militibus primariis quanto voles numero concede. Tum vero cogantur singuli pro Hilotarum ascriptorum numero clientes alere, servos videlicet militares, ne pecuniam publicam temere profundant, quæque hostes in votis habent, ut salutis communis impensæ turpiter dissipentur, ipsi videantur procurare, abs te autem atque aliis alimenta ac sumptus grandes avertere, omnia autem in belli apparatus convertere; nemini enim non magis quam regi, aut militum duci magistratui sumptus incumbunt. Quanto plus etenim ad bellum

gerendum impendunt, eo minus spectati, imo magis contemnendi hostibus, et amicis erunt.

ἡγεμόνι καὶ παντὶ ἄρχοντι προσήκει πολυτέλεια· σκευῆς ἄλλοσε δαπανῶντες, τοσοῦτον τῆς σφῶν αὐτῶν ἀξίας ἀπολλύασιν ἀχρηστότεροι τοῖς πολεμίοις, ἀχρηστότεροι δὲ τοῖς φιλίοις γιγνόμενοι.

26. Hæc quoque naturæ consideres licet exempla. Aquila rex quidem est avium et Jovi fuit olim consecratus, minime tamen varias aut fulgentes habet alas. Pavo contra varius quidem est et fulgens, sed minime regia natura, pluresque aves aliæ pavone longe viliores colorum sunt varietate distinctæ. Quare videtur, qui vestibus prætextis ac similibus superbit, tanquam pavonis pulchritudine gloriari. Jam illud specta, sitne honestius ac jucundius, huc præcipue tendentem, et bello quantum licet consulentem, moderato tum vestitu, tum reliquo vivendi modo, hostes quidem contemnere, de imperio autem ac regno securum esse, an veste prætexta involutum tremere et hostes metuere? Quod si porro pastores essetis, utro modo lac impendetis? utrum partem quidem alteram ipsi consumeretis, altera vero canes robustos aleretis, qui a ferarum insidiis ovile defenderent, ut eo conservato tum pastores esse, tum fructibus diu frui possetis: an hoc neglecto, partem quidem alteram ingurgitaretis et vestimenta prolueretis, altera vero robustorum loco Melitæos catellos et vulpes aleretis, aut ursos, ut voracissimas bestias ita parum intentas custodiæ. Istorum enim insidiis grex brevi dilabitur. Mihi quidem similes aliquot viri vobis insidias ac fraudem struere videntur, qui libidinum modum tenent nullum.

φυλακτικά; Ὑφ' ὧν ὑμῖν καὶ τῶν ἄλλων ἂν τῶν διασπασθὲν οἰχήσεσθαι. Παραπλησίους γάρ μοι δοκεῖτε τρέφειν τούτων ἑνίους, τῶν πρὸς κολακείαν καὶ ὅλον ὑμῖν προσφερομένων ἢ συλλήδην ἅπαντα στῆναι δυναμένων.

27. Tu vero, si justitiam exercere et cæteris ut tibi ipsi prodesse vis et voluptatem sectaris viro ingenuo dignam, illuc omne studium converte, nihil omittens neque prætexens, sive quid aut priorum regum alieni, aut ipsi tibi aliter olim fuit visum, sive quibusdam non est res placitura; sed cum omnia movens, tum nihil non ad communem salutem pertinere visum tentans, quando ne medici quidem sua semper possunt servare decreta, sed cum omnia movent, tum nihil ad sanitatem pertinens omittunt, ac secant etiam vel urunt, unacunque interdum vel pedem insuper ob salutem totius corporis abscindunt. Horum siquidem ipse quædam, si videbitur, cum liceat, perages, nonnulla ab Augusto imperatore et Patre salutis publicæ causa postulabis, neque tibi ille difficulter ea concedet, cum huc spectare cognoverit, ingenium simul et impetum divinum admiratus. Cæterum his, quæ maxime et proxime videntur ad

A λυτέλειαν· ἐπὶ δὲ τὰς πρὸς τὸν πόλεμον παρασκευὰς τὸ ἅπαν τρέψαι· ὡς παντὶ μᾶλλον ἢ βασιλεῖ καὶ ὅσον γὰρ τῆς πρὸς τὸν πόλεμον ἀπολλύσι παρασκευῆς ἄλλοσε δαπανῶντες, τοσοῦτον τῆς σφῶν αὐτῶν ἀξίας ἀπολλύασιν εὐκαταφρονη]τότεροι (52) μὲν τοῖς πολεμίοις, ἀχρηστότεροι δὲ τοῖς φιλίοις γιγνόμενοι.

κς'. Σκέψαι δὲ καὶ ἐκ τοιῶνδε τῆς φύσεως παραδειγμάτων. Ἀετὸς μὲν βασιλεὺς δοκεῖ τις ὄρνις καὶ ἡγεμονικὸς, Διός τε ἱερὸς πάλαι νενόμιστο· ἥκιστα μέντοι ποικίλος, οὐδὲ χρυσαυγὴς ἔφυ τὴν πτέρωσιν· ταὼς δὲ ποικίλος μὲν καὶ χρυσαυγὴς, ἥκιστα δ' ἡγεμονικὸς τὴν φύσιν. Συχνά τε ἄλλα ὄρνεα ταὼ πολλῷ φαυλότερα πεποίκιλταί τε καὶ διήνθισται· ὥστε κινδυνεύει εἴ τις ἐπὶ ποικίλῳ τε καὶ χρυσοπάστῳ σεμνύνεται ἐσθῆτι καὶ τοῖς τοιούτοις, ἐπ
B οὐδὲν σεμνοτέρῳ ἢ ταὼ κάλλει μέγα φρονεῖν. Σκόπει δὲ κἀκεῖνο, πότερα σεμνότερον ἢ ἥδιον, ταύτῃ μάλιστα τραπόμενον, καὶ πρὸς τὸν πόλεμον ἐκ τῶν ἐνόντων ἀσφαλισάμενον ἐν μετρίᾳ μὲν ἐσθῆτι, μετρίᾳ δὲ τῇ ἄλλῃ διαίτῃ, καταφρονεῖν μὲν τῶν πολεμίων, θαρρεῖν δ' ὑπὲρ τῆς ἀρχῆς καὶ βασιλείας, ἢ χρυσοπάστῳ ἐσθῆτι ἐνειλημένον, τρέμειν καὶ δεδιέναι τοὺς ἐχθρούς. Εἰ δὲ καὶ ποιμένες ἦτε, ποτέρως; ἂν τῷ γάλακτι ἐπιχρῆσθε; πότερα τοῦ μὲν αὐτοὶ μετρίως ἀπολαύοντες, τοῦ δὲ κύνας ἂν τρέφοντες ἀλκίμους τε καὶ προβατευτικοὺς, τῷ ποιμνίῳ ἐπὶ τὰ ἐπιβουλεύοντα τῶν θηρίων ἀμυνοῦντας, ἵνα δὴ ὑμῖν τὸ ποίμνιον σωζόμενον παρείχετο, ποιμέσι τε εἶναι, καὶ ἐπὶ πολὺ ἀπολαύειν τῶν καρπῶν; ἢ ἀμελήσαντες, τοῦ μὲν ἀμέτρως ἐνεφορεῖσθ' ἄν, καὶ
C κατὰ τῶν ἱματίων κατεχεῖσθε· τοῦ δ' ἀντὶ κυνῶν ἀλκίμων Μελιταΐά τε κυνίδια καὶ ἀλώπεκας ἐντρέφετε, ἢ ἄρκτους, βορώτατα μὲν θηρίων, ἥκιστα δὲ [ωθεν ἐπιβουλευόντων ταχὺ ἂν ἐμελλε τὸ ποίμνιον καταπίεσθαι κεχηνότων οὐδαμοῦ τε τῆς ἐπιθυμίας

κζ'. Ἀλλ' εἰ βούλει τά τε δικαιότατα ποιεῖν τά τε λυσιτελέστατα σαυτῷ τε ὅμα καὶ τῷ ἄλλῳ γένει, τὰ δ' ἡδονῇ νικῶντα τῇ ἀληθινῇ καὶ καθαρᾷ] καὶ ἀνδρὶ προσηκούσῃ καλῷ τε κἀγαθῷ, ταύτῃ τράπου σπουδῇ πάσῃ, οὐδὲν ὑφιέμενος, οὐδ' ὑπολογιζόμενος, οὔτ' εἴ τινι τῶν πρότερον βασιλέων, ἢ ἡγεμόνων, οὔτ' εἴ σοι αὐτῷ ἑτέρως που δέδοκται ἤδη περὶ τῶν αὐτῶν, οὔτ' εἴ τισιν οὐ καθ' ἡδονήν τι μέλλεις ποιεῖν· ἀλλὰ πάντα κινῶν, καὶ πάντων πειρώμενος
D τῶν πρὸς σωτηρίαν φέρειν δοκούντων τὴν κοινήν· εἰδὼς καὶ τοὺς ἰατροὺς δεδογμένους οὔτε τοῖς σφίσιν ἤδη αὐτοῖς ἐμμένειν ἑκάστοτε ἀναγκαζομένους, ἀλλὰ πάντα μὲν κινοῦντας, φειδομένους δὲ οὐδενὸς, ὅ τι ἂν πρὸς τὸ παρὸν ὠφελεῖν δοκῇ· καὶ τέμνοντας δὲ καὶ καίοντας, καὶ χεῖρα ἔστιν ὅτε καὶ πόδα ἀποκόπτοντας ὑπὲρ τῆς τοῦ ὅλου σώματος σωτηρίας. — Τούτων γὰρ τὰ μὲν αὐτὸς ἐξόν σοι ποιήσεις εἴγε βούλοιο· τὰ δὲ καὶ τοῦ θειοτάτου βασιλέως τε καὶ

(52) Ἐ[ξελθεῖν...εὐκαταφρονη] τότεροι κτλ. Quæ inter uncos leguntur e cod. Tor. restituta damus. Denuo inspicienti mihi Cod. Menac. ad marginem a Andr. Darmarii manu scriptum se obtulit: ἐστὶν ἐξίτηλον ὑπὸ τῆς ἀρχαιότητος. Hinc cod. Matrit. identitas cum Sambuci quo Canterus usus est extra dubium est posita. Item videmus loca absentia non, ut in cod. Menac. a librario esse omissa, sed ob vetustatem oculorum aciem fugere.

πατρὸς δεήσῃ ξυγχωρεῖν ὑπὲρ σωτηρίας τῆς κοι- A salutem tendere peractis, reliqua sine ulla difficultate deinceps, quæcunque ad reipublicæ virtutem et ornatum pertinent assequeris, ac tandem optimam omnino rempublicam nobis constitues. Quanto quidem major tibi a nobis habetur honor, tanto etiam jacturam fore credes majorem, si quid secus evenerit. Enimvero te potissimum salutis communis decet curam gerere, nihil cunctantem, nec differentem, siquidem nec licet cunctari, cum sit præ foribus periculum, nec alioqui tale negotium convenit differre, nec imperite videtur Hesiodus dicere,

νῆς· καὶ σὺ δήπου ῥᾳδίως ξυγχωρήσεις, ἐὰν ταύτῃ τετραμμένον ἴδοι, ἀγασθεὶς τῆς διανοίας τε ταύτης καὶ θείας ὁρμῆς. Ταῦτα δ' ἤδη διαπεπραγμένος ἃ μάλιστ' ἂν καὶ κυριώτατα πρὸς τὴν σωτηρίαν δοκεῖ τείνειν, οὐ χαλεπῶς ἤδη καὶ τἄλλα ὧν ἂν πρὸς τὴν τῆς πολιτείας ἀρετήν τε καὶ κόσμον δέοι προεξευρήσεις. Ὥστ' ἂν ἤδη διὰ πάντων σπουδαιοτάτην ἡμῖν τὴν πολιτείαν ἀποφῆναι. Λόγισαι δὲ καὶ ὡς ὅσῳ σοι μεῖζον παρ' ἡμῶν τὸ γέρας, τοσούτῳ καὶ ἡ ζημία μείζων ἄν τι γίγνηται τῶν ἀπευκτῶν· καί σοι μάλιστα τῆς κοινῆς σωτηρίας φροντίζειν προσήκει καὶ ἐπιμελεῖσθαι μηκέτι μέλλοντι μηδὲ ἀναβαλλομένῳ. Οὔτε γὰρ ἐγχωρεῖ μέλλειν ἔτι ἐγγύς που ὄντων τῶν δεινῶν, οὔτ' ἄλλως ἀναβάλλεσθαι τά γε τοιαῦτα καλόν. Οὐδ' ὅ γε Ἡσίοδος φαύλως λέγοντι ἔοικεν·

Semper et circumspectus cum noxis prælia miscet.

Αἰεὶ δ' ἀμβολιεργὸς ἀνὴρ ἄτῃσι παλαίει (53).

(53) *Ἔργα*, vers. 413.

GEORGII PLETHONIS

Argumentum orationis qua Manuel Palæologus Theodorum Despotam fratrem defunctum laudavit,

Vide tom. CLVI col. 175, *in Manuele Palæologo.*

ΠΛΗΘΩΝΟΣ
ΠΕΡΙ ΑΡΕΤΩΝ.

PLETHONIS
QUATUOR VIRTUTUM JUSTA EXPLICATIO.

(Basileæ, ap. Oporinum, 1532, in-8°, ex interpretatione Ad. Occonis.)

Ἀρετή ἐστιν ἕξις καθ' ἣν ἀγαθοί ἐσμεν. Ἀγαθὸς μὲν δὴ τῷ ὄντι ὁ Θεός· ἄνθρωποι δὲ ἀγαθοὶ γιγνόμεθα, ἑπόμενοι Θεῷ, κατὰ τὸ δυνατὸν ἀνθρώπῳ. Ἐπεὶ δέ ἐστιν ἄνθρωπος τὸ μὲν αὐτός τις καθ' αὑτόν, τὸ δὲ πρὸς ἕτερον· τοῦτο δ' εἴ τι πρὸς ἄλλ' ὁτιοῦν τῶν ὄντων, ἢ πρός τι τῶν αὐτοῦ, λέγω δὲ τὸ χεῖρον τῶν παρ' ἡμῖν, καὶ τοῦτ' αὖ ἤτοι περὶ βίαια τὰ παθήματα ἔχων, ἢ περὶ ἐκούσια, ᾗ μὲν καθ' αὑτόν τι ὡς ἔστιν ὁ ἄνθρωπος, ἔστι δέ που λογικόν τι ζῶον, φρόνησις αὐτῷ παραγίνεται ἀρετὴ, τὸ τῇ τοιᾷδε δυνάμει οἰκειότατον ἀποδιδοῦσα ἔργον· ᾗ δὲ πρὸς ἕτερόν τίς ἐστι, πρὸς μὲν ἄλλ' ὁτιοῦν τῶν ὄντων δικαιοσύνη, τὸ προσῆκον αὐτῷ ἑκάστῳ ἡμῶν ὅπερ ἐσμὲν, πρὸς ἕκαστον ἀποδιδοῦσα, πρὸς δέ τι τῶν

B Virtus est habitus quo boni sumus. Ac revera quidem Deus bonus est : nos autem homines boni sumus, si Deum sequamur, quantum ab homine præstari potest. Est autem homo partim ipse quidpiam per se, partim collatione alterius. Ac ita quidem aut cum quavis re, aut secum ipse confertur. Intelligi autem volo deteriorem nostri partem, quæ rursus aut in violentis quibusdam casibus, aut in voluntariis rebus versatur. Quatenus igitur per se quiddam est homo (est autem rationis particeps animal) exsistit in eo virtus, quæ prudentia dicitur, quæ munus rationi maxime proprium absolvit. Quatenus vero cum quavis alia re confertur, exsistit in eo justitia, quæ unicuique nostrum tribuit id

quod convenit, prout referimur ad quidvis aliud. Quatenus vero secum ipse comparatur, si ea res versetur in violentis casibus, fortitudo in eo existit, si in voluntariis, temperantia, quarum ut eaque melioris nostri partis dignitatem adversus deteriorem semper tuetur. Dicendum autem rursus est exquisite magis de ipsis virtutibus sic ut ab imperfectissima auspicemur, et ad perfectissimam secundum naturam ratione progrediamur. Ac Deus quidem revera nullius rei eget, cum et perfectissimus sit, et quam maxime seipso contentus. Verum ut homo nullius prorsus rei egeat, fieri nullo modo potest, sed qui paucioribus et pluribus egeat, propter virtutem et vitium invenire licet; quod si paucissimis egeat, tum Deo simillimus est, et in eo sui statu optime constitutus; sin pluribus egere cœpit, tum Deo maxime dissimilis est et pessime se habet. Est autem ea virtutis pars quæ temperantia dicitur, habitus animi, contentus paucissimis, quæ ad vitam degendam requiruntur. Paucissima vero rerum ad vitam degendam necessariarum, alia videlicet sunt multitudine, alia facultate, cujusmodi sunt, quibus citra magnum negotium potiri liceat, ut magis probabilia, viliora et faciliora, quas res amplecti potius quam eas quæ difficilius parantur, et pretiosiores sunt, et difficiliores, officium viri temperantis et sua sorte contenti fuerint. Jam vero etiam immobilis est Deus, hominem autem non moveri ulla re, nec fieri potest nec expedit, neque enim honestis etiam rebus æque non moveri decuerit, sed nec commoveri rebus malis, et non dejici de statu mentis ab adversariis vitæ casibus, neque ipsum ab ullis quæ incidunt rebus una cum deteriore sui parte et natura imbecilla, pejus affici, præstantissimum fuerit et Deo simile. Est autem ea virtutis pars quæ fortitudo dicitur, habitus animi, qui contrariis vitæ casibus non movetur. Quoniam autem unusquisque nostrum ita natus est ut Dei quoddam sit opus, non plane alienum, sed quodammodo domesticum atque conjunctum, deinde veluti particula aliarum partium, quæ majores nobis sunt, videlicet hujus universitatis, quæ est totum et unum quiddam conflatum e multis, ut ubique obtineat locum qualemcunque ut quam maxime cum ipsi tum universitati profuturum sit, nulli statio ea deserenda est, in qua Deus aliquem constituit, sed perseverandum ac pro virili id præstandum, quod illa postulare videtur. Quælibet autem pars, si cum illo cujus pars est, consentiat, non autem dissentiat, ita et rectissime et secundum naturam se habebit. Porro cum unusquisque nostrum pars quædam sit partim domus partim societatis alicujus, quæ vel in urbe, vel in gente, in toto denique universo posita est, si ea tribuit singulis quæ debentur: parentibus, qualia liberis erga parentes conveniunt, liberis, qualia erga liberos parenti, socils, qualia erga socios socio, convictori erga convictores, vicino erga vicinos, comiti erga comites, civi erga civitatem, præterea erga Deum,

A αὐτοῦ, περὶ μὲν τὰ βίαια τῶν παθημάτων ἔχων ἀνδρία, περὶ δὲ τὰ ἑκούσια σωφροσύνη, σώζοντε ἑκατέρω τούτοιν τὴν τοῦ ἀμείνονος τῶν παρ' ἡμῖν αὐτοῖς πρὸς τὸ χεῖρον ἑκάστοτε ἀξίαν. Ῥητέον δὲ αὖθις δι' ἀκριβείας μᾶλλον περὶ αὐτῶν, ἀρξαμένοις ἀπὸ τῆς ἀτελεστάτης, ἐπὶ δὲ τὴν τελεωτάτην κατὰ φύσιν ἰοῦσι τῷ λόγῳ. Ὁ μὲν οὖν Θεὸς τῷ ὄντι ἀνεπιδεὴς τελεώτατός τε ὢν, καὶ ὡς οἷόν τε μάλιστα αὐτάρκης· ἄνθρωπον δὲ ἀνεπιδεᾶ μὲν γενέσθαι παντάπασιν ἀμήχανον· ἐλαττόνων μέντοι καὶ πλεόνων δεόμενον δι' ἀρετήν τε καὶ κακίαν ἔστιν εὑρεῖν. Ἐλαχίστων μὲν οὖν δεόμενος, Θεῷ τε ὁμοιότατα ἴσχει, καὶ κράτιστα αὐτὸς αὐτοῦ· πλεόνων δὲ γιγνόμενος, ἐπιδεής, Θεῷ τε ἀνομοιότατα, καὶ χείριστα ἴσχει. Καὶ ἔστι σωφροσύνη, τοῦτο δὴ τὸ μόριον ἀρετῆς, ἕξις ψυχῆς

B αὐτάρκης ἐπ' ἐλαχίστοις τοῖς πρὸς τὸν βίον ἀναγκαίοις, ἐλάχιστα δὲ τῶν πρὸς τὸν βίον ἀναγκαίων, τὰ μέν που πλήθει, τὰ δὲ καὶ δυνάμει. Ταῦτα δ' εἴη ἂν, ὧν δή που ἕνεκα οὐ πολλὰ ἄττα πραγματευόμενον ἔστι τυγχάνειν· οἷα τὰ εὐποριστότερα καὶ εὐτελέστερα καὶ ῥᾴω μάλιστα, ἃ δὴ πρὸ τῶν δυσποριστοτέρων καὶ πολυτελεστέρων, καὶ χαλεπωτέρων, ἐν τοῖς τοιούτοις αἱρεῖσθαι πρὸς τοῦ σώφρονός τε καὶ αὐτάρκους ἂν εἴη ἀνδρός. Ἀλλὰ δὴ καὶ ἀκίνητος ὁ Θεός. Ἄνθρωπον δὲ πρὸς μὲν πάντα ἀκινήτως ἔχειν, οὔθ' οἷόν τε οὔτε ἀγαθόν. Οὐδὲ γάρ που καὶ πρὸς τὰ καλὰ οὕτως δεῖ ἔχειν ἀκινήτως, ἀπομένοντι τῶν καλῶν ἀκίνητόν τε εἶναι, καὶ ὑπὸ τῶν κατὰ τὸν

C βίον βιαίων τοῦ καθεστηκότος μὴ ἐξίστασθαι, μηδὲ τῷ χείρονι τῶν ἑαυτῷ, καὶ πεφυκότι κάμνειν, ὑπὸ τῶν προσπιπτόντων ἑκάστων, καὶ αὐτὸν χεῖρόν τι συνδιατίθεσθαι κράτιστον ἂν εἴη, καὶ Θεῷ παραπλήσιον. Καὶ ἔστι τοῦτο ἀνδρία τὸ μόριον ἀρετῆς, ἕξις ψυχῆς ἀκίνητος ὑπὸ τῶν κατὰ τὸν βίον βιαίων παθημάτων. Ἐπεὶ δ' ἡμῶν ἕκαστος γέγονε πρῶτον μὲν Θεοῦ τι ἔργον οὐ πάνυ τοι ἀλλότριον, ἀλλά πη οἰκεῖόν τε καὶ ξυγγενές, ἔπειτα μόριον ἄλλων τε ἡμῶν μειζόνων μερῶν τοῦδε τοῦ παντός, ὅλου τε καὶ ἑνὸς ἐκ πολλῶν ὄντος, χώραν ἠντινοῦν ἀποπληρώσων ἑκασταχοῦ, ὡς ἄνδρα μάλιστα αὐτῷ τε καὶ τῷ ὅλῳ ἔμελλε συνοίσειν· δεῖ δή που μηδὲ ταύτην ἑκάστην ἀπολείπειν τὴν χώραν, ἐν ᾗ ὁ Θεὸς ἔταξεν, ἀλλ' ἐμμένειν κατὰ δύναμιν, τὸ τῇ χώρᾳ προσῆκον ἀποδιδόντα, μόριον δὲ ἅπαν ὁμολογοῦν τε ἐκείνῳ οὗπερ ἂν

D μόριον εἴη, καὶ μὴ διαφωνοῦν, κατὰ φύσιν τε καὶ εὖ μάλιστα πράττοι. Καὶ ἐπεί ἐστιν ἡμῶν ἕκαστος μέρος τι τοῦτο μὲν οἰκίας, τοῦτο δὲ ἑταιρείας τινὸς πόλεως, ἔθνους, ὅλως τοῦδε τοῦ παντὸς ἀποδιδοὺς τὰ προσήκοντα ἑκάστοις· γονεῦσι μέν, ὁποῖα παιδὶ πρὸς γονέας προσήκει, παιδὶ δὲ, ὁποῖα πρὸς παῖδας γονεῖς, ἑτέροις, ὁποῖα πρὸς ἑτέρους, ἑταίρῳ, συσσίτῳ πρὸς ἑταίρους, συσσίτους, πρὸς γείτονας γείτονι, συνόδῳ πρὸς συνόδους, πολίτῃ, πρὸς πολίτας, ἔτι τε πρὸς Θεὸν, ὁποῖα θεράποντι, καὶ ἔργῳ πρὸς δεσπότην τε καὶ δημιουργόν· οὕτω ταῦτα ἀποδιδοὺς, ἑαυτοῦ τε σώσει τοῦτο αὐτὸ ὅπερ ἐστὶ πρὸς ἕκαστον, Θεῷ τε ἕψεται ᾗ τέταχται χώρᾳ μάλιστα ἐμμένων, ἀριστά τε ἕξει, ὡς ἂν τῷ ἀρίστῳ ἑπόμενος. Εἴη τε ἂν δικαιοσύνη, τοῦτο μόριον ἀρετῆς, ἕξις ψυχῆς,

σώζουσα τὸ προσῆκον αὐτῷ ἑκάστῳ ἡμῶν, ὅπερ ἐσμὲν, πρὸς ἕκαστον. Ἐπεὶ δὲ καθ' αὑτὸν ἄνθρωπος γέγονεν οὐκ ἄλλο τι μάλιστα ἢ λογικόν τι ζῶον, δῆλον δὴ ὡς θεωρός τις οἷόνπερ ἐν πανηγύρει, τῷδε τῷ παντὶ εἰσῆκται, ἐπισκεψόμενος εἰς δύναμιν καὶ θεωρήσων τί τέ ἐστι τῶν ὄντων ἕκαστον, καὶ πῇ ποτε πρὸς ἄλληλα ἔχει, καὶ διὰ τί ἕκαστα γίγνεται τῶν γιγνομένων. Εἴη τε ἂν καὶ τοῦτο φρόνησις, τὸ λοιπὸν καὶ τελεώτατον μόριον ἀρετῆς, ἕξις ψυχῆς θεωρητικὴ τῶν ὄντων, ἥπέρ ἐστιν ἕκαστα. Εἶναί τε τέτταρα μὲν τὰ μέγιστα μόρια ἀρετῆς, σωφροσύνην, ἀνδρίαν, δικαιοσύνην, φρόνησιν. Τούτων δ' αὖ ἑκάστου τρία μόρια δεῖν εἶναι, πρῶτον μὲν σωφροσύνης.

A qualia servo et operi erga dominum et opificem. si quis inquam hæc ita præstet, tum illud secum munus, quo unicuique obstrictus est, tuebitur, tum Deum sequetur, perseverans in ea statione qua collatus est, tum in optimo erit statu velut is qui id quod optimum est sequitur. Erit autem pars ea virtutis justitia, quæ habitus animi est, id conservans quod convenit unicuique nostrum, in eo quod sumus, relatione ad quidvis aliud. Cum autem per se homo non aliud fere sit quam animal quoddam rationis particeps, perspicuum est, eum tanquam spectatorem quemdam in hoc universum velut in celebritate introductum esse, ut consideret et contempletur pro virili, quidnam sit unumquidque, et quo pacto erga se invicem sint affecta, et quam ob causam singula quæ eveniunt, accidant. Ea porro prudentia fuerit reliqua virtutis pars et perfectissima, quæ est habitus animi, ita res considerans, prout quæque sunt. Quatuor itaque virtutis maximæ partes sunt modestia, fortitudo, justitia, prudentia. Rursus uniu-cujusque harum virtutum tres esse partes necesse est, ac primam temperantiæ.

Ἐπεί ἐστι σωφροσύνη αὐτάρκεια τῶν πρὸς τὸν βίον ἀναγκαίων, τριῶν δὲ τούτων πρὸς τὸν βίον δεόμεθα, ἡδονῶν, χρημάτων, δόξης· ἐφ' ἑκάστῳ τούτων εἴη ἂν τι μόριον σωφροσύνης, φυλάττον τὸ αὐτάρκες καὶ χρήσιμον ἑκάστου, ἐπὶ μὲν ἡδοναῖς κοσμιότης, ἐπὶ δὲ χρήμασιν ἐλευθεριότης, ἐπὶ δὲ δόξῃ μετριότης. Ἀνδρίας δὲ, ὁμοίως τρία ἐστὶ μόρια. Ἐπεί ἐστιν ἀπάθεια ὑπὸ τῶν κατὰ τὸν βίον βιαίων παθημάτων, τούτων δὲ τὰ μὲν αὐτοί που ἐθελονται ὑφιστάμεθα, μειζόνων εἵνεκα ἀγαθῶν, ὡς ὅταν πόνους ἢ κινδύνους ἤ τι ἄλλο προσαιρώμεθα ὧν ἄνευ μὴ οἷόν τε εἴη τῶν δεόντων του τυχεῖν· τὰ δ' ἐκούσια καὶ οὐ προσδεχομένοις ἔπεισι. Τούτων τε αὖ τὰ μὲν, ὡς ἁπλῶς εἰπεῖν, παρὰ τοῦ θείου τε, καὶ τὸ ὅλον τοῦτο διατάττοντος, οἷαίπερ αἱ καλούμεναι ξυμφοραί· τὰ δ' αὖ παρ' ἀνθρώπων, οἷαίπερ αἱ παρ' ἐνίων πρὸς ἡμᾶς δυσκολίαι τε καὶ δυσχέρειαι, εἰ κἂν καὶ ἐφ' ἑκάστῳ τούτων ἴδιόν τι μόριον ἀνδρίας σῶζον τὸ ἀκίνητον καὶ ἀπαθὲς ὑπὸ τῶν χειρόνων ἑκάστων, γενναιότης μὲν ἐπὶ τοῖς αἱρετοῖς, ἐπὶ δὲ τοῖς ἑκουσίοις ἀψυχία μὲν ἐπὶ τοῖς παρὰ τοῦ θείου, πραότης δὲ ἐπὶ τοῖς παρ' ἀνθρώπων. Δικαιοσύνη δὲ ἐπεί ἐστι σωτηρία ὁμοίων τούτου αὐτοῦ, οὗπέρ ἐσμεν πρὸς ἃ ἕκαστον, ἐσμὲν δὲ δὴ Θεοῦ μὲν ἔργα τε καὶ κτήματα, ἀνθρώποις δὲ ξυγγενές που πᾶσι, κἂν πρὸς ἄλλους ἄλλως πως ἔχωμεν, εἴη ἂν καὶ αὐτῆς ὁσιότης μὲν ἐπὶ τοῖς πρὸς τὸ θεῖον, ἐπὶ δὲ τοῖς πρὸς ἀνθρώπους πολιτεία μὲν πρὸς τὰ κοινὰ, χρηστότης δ' αὖ πρὸς τὰ ἰδιωτικά. Φρόνησις δὲ ἡ μὲν περὶ τὰ θεῖά τε καὶ ἀεὶ ὄντα, ἡ δὲ περὶ φύσιν τε καὶ τὰ γινόμενα, ἡ δὲ περὶ τὰ ἡμέτερά τε καὶ ἀνθρώπεια. Ὥστ' εἴη ἂν καὶ αὐτῆς ἡ μὲν περὶ ταῦτα δὴ τὰ ἀνθρώπεια, εὐβουλία, ἡ δὲ περὶ φύσιν, φυσικὴ· ἡ δ' αὖ περὶ τὰ θεῖα, θεοσέβεια. Αἱ μὲν δὴ τῶν ἀρετῶν ἰδίαι αὗται, καὶ τοσαῦται· ἑνὸν μὲν καὶ εἰς πλείω τε καὶ τὰ μικρότερα διελεῖν, ἀποχρῶν δ' ἴσως καὶ ἄχρι τοσούτων. Τούτων δὲ ἀρχὴ μὲν μάλιστα ταῖς ἄλλαις ὅθενπερ ἀρξάμενος, καὶ τῶν λοιπῶν ἑκάστην ῥᾷον κτήσαιτ' ἂν τις, ἥ γε κοσμιότης εἴη ἄν. Τῶν γάρ που ἡδονῶν, αἳ πρῶτον ἡμῶν καὶ ἐκ νέου τυραννοῦσι, μάλιστα ἐπιχειρεῖ κρατεῖν αὕτη ἡ ἀρετὴ, διελομένη τὰς μὲν ἀναγ-

B Quoniam autem temperantia in rebus ad vitam necessariis status est seipso contentus, tribus autem his ad vitam degendam egemus, voluptatibus nimirum, gloria et pecunia, in unaquaque harum rerum necessario versatur aliqua temperantiæ pars, quæ tueatur id quod satis sit, et id quod utile in unaquaque re. Ac in voluptatibus nominetur modestia, in pecunia liberalitas, in gloria mediocritas. Fortitudinis item partes sunt tres. Nam cum illa tranquillitas quædam sit, quæ vitæ casibus violentis non commovetur, eorum autem

C casuum alios ipsi ultro subimus in appetitione majorum bonorum, veluti cum labores, aut pericula, aut aliud quidpiam suscipimus, sine quibus consequi non licet ea quæ desideramus, alii vero casus non voluntarii sunt et ultra etiam non exspectantibus, offeruntur, eorumque (ut breviter dicam) alii a numine et gubernatore hujus universi dependent, cujusmodi sunt eæ quæ calamitates nominantur, alii ab hominibus, veluti sunt offensiones, et molestiæ, quas aliqui nobis exhibent, erit etiam in unoquoque horum peculiaris fortitudinis pars, quæ id præstet, ne quis movetur a rebus adversis, et perturbetur. Ac generositas quidem et fiducia, in iis quæ nostri arbitrii sunt, in non voluntariis

D autem, constantia, in iis quæ divinitus accidunt; clementia, in iis quæ ab hominibus offeruntur. Justitiæ porro eadem ratio est, quæ conservatrix est ejus nostri muneris quo cum unoquoque comparamur (comparamur autem cum Deo, tanquam opera ejus et possessiones, cum hominibus autem, sicut cognati simus omnibus, tametsi alia nostri erga alios ratio sit). Erit igitur ea sanctitas in rebus divinis; in humanis respublica, ratione civitatis; bonitas autem, respectu privatorum hominum. Jam prudentia alia versatur in divinis et perpetuis, alia in natura et iis quæ nascuntur, alia in rebus nostris et humanis; proinde etiam ejus fuerit ea pars, quæ rebus humanis occupatur consilii capiendi solertia, quæ vero naturæ

obscuritatem tractat, naturalis sapientia; quæ autem divina contemplatur pietas. Ac virtutum quidem hæ et tot sunt formæ, ut eas dividi par est. Quamvis enim in plures liceat tribuere species, et minutius persequi, tamen et hac partitione contenti esse possumus. Inter has autem virtutes principatum obtinet modestia, a qua si quispiam auspicetur, etiam reliquarum singulas parare sibi queat voluptatibus, enim primum in nos, et in adolescentia potissimum, tyrannidem exercent, instituit imperare hæc virtus, et eas ita distinguit et partim sint necessariæ, partim supervacaneæ, ac rursus non necessarias quasdam partitur in legibus contrarias, et nequissimas et homini minime congruentes, et has prorsus repudiat et resecat ab omnino, neque ipsas solum, sed et earum appetitiones, eas vero quæ ad vitam necessariæ sunt, tum cujusque privatam, tum publicam amplectitur, eas autem quæ cum necessariæ non sint non tamen improbæ sunt, negligit, cupiditates autem earum penitus resecat, ut videlicet quispiam nulla re egeat, quantum fieri potest, sed statu nulla re egente gaudeat magis, quam ipsis corporis voluptatibus. Statim igitur virtus illa a bestiis et rebus deterioribus nos separare incipit, quæ suavitate et eo quod suave non est, metiuntur id quod expetendum sit, et quod fugiendum. Cum autem habeat cognationem erga præstantiora genera, tum ipsis voluptatibus ordinem et ornatum imponit, tum expeditos reddit et leves propter animum sua sorte contentum. Atque hæc quidem modestia reliquarum virtutum veluti principium quoddam est, nam cæteras quoque temperantiæ partes universas præterea et fortitudinis et justitiæ et prudentiæ facilius, si hac instructus fuerit comparare sibi quispiam possit. Omnium autem virtutum caput, ad quam universæ referri debent, ac citra quam nullus cetararum usus esse potest, religio potissimum fuerit. Quo enim in societatem præstantiorum generum venimus, a deterioribus autem maxime differimus; quodque in rebus nostris præstantissimum est, id quidem nihil aliud fuerit quam intellectus. Rerum porro earum quæ intelliguntur, et in quibus intellectus versatur, atque adeo omnium rerum quæ sunt, Deus est præstantissimus. Si igitur per id quod in nostris rebus est præstantissimus, eo qui totius universi est præstantissimum, fruamur, sic demum beatissime vivemus. Dei itaque cognitio beatisssimum humanæ vitæ munus erit, quæ eadem etiam religionis caput exsistit.

Post modestiam autem consequenda erit generositas, hæc etenim virtus cum præparet homines ut labores tolerent, et pericula in se suscipiant ad multa officia retinenda efficacissimos in agendo reddit, atque ad reliquas virtutes consequendas instructissimos efficit. Jam vero ne illud quidem ignorandum est quod modestis et generosis viris accidit, quasi præter vitæ institutum. Etenim si quis rem recte consideret, nec modestorum vita pauciores habet voluptates, qui modesti non sunt nec generosi ab iis qui sunt degeneres, in laboribus superantur. Nam et voluptatum ea fere natura esse videtur, ut eos qui labores fugiunt, ipsas vero amant, eorumque amore attoniti sunt, magis deserant, atque efficiant ut propter satietatem et consuetudinem, minus earum sensus percipiatur, sed in iis assequendis, viribus plerumque cele-

κρίας αὐτῶν, τὰς δὲ μή· καὶ τῶν μὴ ἀναγκαίων αὖ ἐνίας, παρανόμους τε, καὶ μοχθηρότητας, καὶ οὐκ ἀνθρώπῳ πρεπούσας, καὶ ταύτας μὲν παντάπασιν ἀπωσαμένη τε καὶ ἐκκόψασα τῆς ψυχῆς, αὐτάς τε καὶ ἐπιθυμίας αὐτῶν· τὰς δ' ἀναγκαίας πρὸς τὸν βίον τόν τε ἴδιον ἑκάστου καὶ τὸν κοινὸν προσαιρουμένη, τῶν δέ γε μὴ ἀναγκαίων μὲν, οὐ μοχθηρῶν δὲ, αὐτῶν μὲν ὀλιγωροῦσα, τὰς δ' ἐπιθυμίας παντάπασιν ἐκκόπτουσα· ἵνα δὴ εἰς δύναμιν ἀνεπιδεής τις ᾖ, τῇ αὐταρκείᾳ χαίρων μᾶλλον ἢ αὐταῖς ταῖς διὰ τοῦ σώματος ἡδοναῖς. Εὐθὺς οὖν αὕτη ἀρετὴ τῶν μὲν θηρίων καὶ χειρόνων ἄρχεται διιστᾶν ἡμῶν ἃ τῷ ἥδεῖ τε καὶ μὴ, τό τε αἱρετὸν καὶ μὴ τοιοῦτο, ὁρίζει ἐπὶ δὲ τὴν πρὸς τὰ κρείττω γένη ξυγγένειαν ἀνέχει, ταῖς τε ἡδοναῖς αὐταῖς τάξιν τε καὶ κόσμον ἐπιτιθεῖσα, καὶ ἅμα εὐσταλεῖς τε καὶ κούφους δι' αὐτάρκειαν ἀποφαίνουσα. Αὕτη μὲν οὖν, οἷόνπερ ἀρχὴ ταῖς ἄλλαις, ἐπεὶ καὶ τἆλλα τὰ τῆς σωφροσύνης μόρια, ἔτι τε τὰ τῆς ἀνδρίας, καὶ δικαιοσύνης, καὶ φρονήσεως εὐπαντα ῥᾷον ἄν τις σὺν ταύτῃ μετίοι. Κεφάλαιον δὲ πάσαις, οἵ τε ξυμπάσας δεῖ τείνειν, καὶ ἧς χωρὶς οὐδ' ἂν τῶν ἄλλων τι ὄφελος εἴη, ἥ γε θεοσέβεια εἴη ἂν μάλιστα. Ὧ γάρ που ἡμεῖς τοῖς μὲν κρείττοσι κοινωνοῦμεν γένεσι, τῶν δὲ χειρόνων μάλιστα διενηνόχαμεν, κράτιστόν τέ ἐστι τῶν ἡμετέρων οὐδὲν ἄλλο εἴη τοῦτό γε ἢ νόησις· τῶν δὲ δὴ νοουμένων, καὶ περὶ ἃ νόησις πραγματεύεται, τῶν τε ὄντων ξυμπάντων, ὁ Θεὸς τὸ ἄριστον. Τῷ δὴ κρατίστῳ τῶν ἡμετέρων τοῦ κρατίστου τῶν ὄντων ἁπολαύοντες, μακαριώτατ' ἂν οὕτω βιοῖμεν, ὥστ' εἴη ἂν ἡ τοῦ Θεοῦ νόησις τὸ μακαριώτατον τῆς ἀνθρωπίνης ζωῆς, ἥ καὶ θεοσέβεια ἐστὶ τὸ κεφάλαιον.

Μετὰ δὲ κοσμιότητα ἡ γενναιότης που ἂν εἴη μετιτέα· πόνους τε γὰρ ἐγκαρτερεῖν, καὶ κινδύνους ἑαυτοῖς αἱρεῖσθαι, πρὸς πολλὰ τῶν δεόντων παρασκευάζουσα αὕτη ἡ ἀρετὴ, δυνατωτάτους τε πράττειν παρέχεται, καὶ πρὸς τὰς ἄλλας ἀρετὰς ἱκανωτάτους ἀποφαίνει. Δεῖ μέντοι μηδ' ἐκεῖνο ἀγνοεῖν, βίου πάρεργον ξυμβαῖνον τοῖς τε κοσμίοις καὶ γενναίοις τῶν ἀνδρῶν. Οἵ γε γὰρ κόσμιοι τῶν μὴ τοιούτων οὐδὲ κατὰ τὰς ἡδονὰς, ἧττον ἂν δόξαι ἐνέχειν, ἀκριβῶς σκοποῦσιν, οἵ τε γενναῖοι τοὺς ἀγενεῖς οὐδὲ κατὰ τοὺς πόνους ὑπερβάλλειν· αἵ τε γὰρ ἡδοναὶ πεφυκέναι πως δοκοῦσι τοὺς μὲν τῶν πόνων φυγάδας, σφῶν δὲ ἐραστὰς, καὶ περὶ αὐτὰς ἐπτοημένους, μᾶλλον ἀπολείπειν, ὑπό τε τοῦ κόρου καὶ ἔθους αὐτῶν ἀναισθητοτέρως ἰσχοντας, καὶ ταχὺ ἀδυνάτους ὡς τὰ πολλὰ ἀποφαίνουσαι πρὸς αὐτὰς, τά τε σώματα ἅμα χείρω τὸ πολὺ ἀπεργαζόμεναι· τοῖς δὲ δὴ κοσμίοις καὶ

γενναίοις ἐν γοῦν ταῖς τῶν πρὸς τὸν βίον ἀναγκαίων αἱρέσεσιν ἀκμαιότεραί τε ἁπάντῃ, καὶ ἀβλαβεῖς. Οἵ τε πόνοι τοῖς μὲν σφᾶς φεύγουσι, τῶν δὲ ἡδονῶν ἐρασταῖς, καὶ μάλα ἐπικείμενοι, τοὺς δ' ὀλιγωροῦντάς τε καὶ ἐγκαρτεροῦντας σφίσι μᾶλλόν τι φεύγοντες, ὑπό τε τοῦ ἔθους οὐ πάνυ τοι αὐτῶν αἰσθανομένους, καὶ ἅμα ἐρρωμενέστερα τῇ πρὸς αὐτοὺς μελέτῃ τὰ σώματα κτωμένους. Μετὰ δὲ γενναιότητα ἐξῆς ἡ ἀψυχία παραλαβοῦσα ἡμᾶς, ἠσκηκότας ἤδη τὴν ἐν τοῖς αἱρετοῖς καρτερίαν τῶν δυσχερῶν, ἐν οἷς ἴσως αὐτῶν ἔξεστι καὶ ἐφ' ὅσον βουλόμεθα μετασχεῖν, παιδεύσειεν ἂν καὶ τῶν ἀκουσίων τῶν ἀπὸ τοῦ θείου εὐχερῶς ἀνέχεσθαι· πρῶτον μὲν ἐκεῖνο διδάσκουσα ὡς αὐτοὶ μὲν οὐ κρεαξίων θυλάκιον, οὐδὲ ξέστης αἵματος, οὐδ' ἄλλο τοιοῦτον οὐδέν, ἀλλὰ ψυχαί ἐσμεν λογικαί, ἀθάνατοι, οὐδενὶ κακῷ ἔξωθεν ἀλλοτρίῳ ἐκκείμενοι, εἰ μή ὅ τι ἂν ἡμῖν, κατὰ τὰς ἡμετέρας αὐτῶν δόξας, διὰ κακίαν προστριβῇ, τὰ δὲ σώματα τάδε περικείμεθα, ἐφ' ὅσον ἂν Θεὸς διδῷ χρησόμενοι, οὐ πάνυ τοι ἡμετέροις, οὔτε αὐτοῖς, πολύ τε ἔτι ἧττον τοῖς ἄλλοις τοῖς δι' αὐτὰ κτήμασί τε καὶ χρήμασιν· οὔκουν οὐδὲ τὰ περὶ αὐτὰ δυσχερῆ ἐπὶ τὴν ψυχὴν δεῖ ἕλκειν, οὐδ' ἡμῖν αὐτοῖς λογίζεσθαι, ἀλλ' εἰδότα; ὡς τούτων οὐδὲν πρὸς ἡμᾶς, εἰκότως ὀλιγωρεῖν. Ἔπειτα ὡς οὐδεὶς τὸν ἐξῆς χρόνον οὐδὲν ἂν προσχωροίη ἀχθομένοις, εἰ μὴ καὶ ἐπιταράττοιτ' ἂν τοῦτο ἡμῶν, ᾧ μόνῳ δεήσειεν ἂν ἐπανορθοῦντος πταίσάν τε καὶ πεπτωκὸς, λέγω δὲ τὸ λογιζόμενόν τε, καὶ τὴν ὑπὲρ τῶν ἡμετέρων πάντων πρόνοιαν, πεφυκὸς ποιεῖσθαι, εἰδέναι τε ἅμα ὅτι ταῦτα μὲν ἧ ἕκαστα πρὸς τοῦ θείου διατέτακται, ταύτῃ καὶ γίνεται, διατέτακται δὲ πρὸς τοῦ ἀγαθοῦ εὖ καὶ καλῶς, καὶ οὐκ ἐνεῖναι ἄλλως εἰπεῖν, ἡμῖν τε αὐτοῖς συμφερόντως, ἴσως μὲν καὶ κατ' ἄλλον δή τινα ἡμῖν λόγον ἀπόῤῥητον, οὐχ ἧττον δὲ καὶ τῇδε· εἰεν γὰρ ἂν που τὰ τοιαῦτα, τοῖς μὲν ἡμῶν παιδεῖαί τε καὶ κολάσεις ἐπὶ τῇ τῆς κακίας θεραπείᾳ τε καὶ τοῦ βίου ἐπανορθώσει, ταῖς ἡμετέραις ψυχαῖς, οἷόνπερ φαρμακεῖαι νοσοῦσι σώμασιν, ἐν ἀλλοτρίοις; δεινοῖς ἐπιπεμπόμεναι· τοῖς δὲ ἄθλοί τε καὶ πεῖραι λαμπροτέρους ἀποφαίνουσι καὶ ἀνδρικωτέρους τοῖς ἀγῶσιν, οἷόνπερ σωμασκοῦσι γυμνάσια. Οὔκουν δεῖν κατ' οὐδέτερον τῶν τρόπων ἐπὶ τοῖς τοιούτοις ἀγανακτεῖν· ἀλλ' ἦν ἐκείνῳ τῷ ἀληθεῖ λόγῳ ἐθέλομεν ἕπεσθαι, καὶ χαίρειν ὠφελουμένους, ὡς τὸ εἰκὸς, τῷ τε Θεῷ, μὴ ὅτι τῶν γε ἄλλων ἕνεκα ἀγαθῶν, ἀλλὰ καὶ αὐτῶν τούτων χάριν προσειδέναι. Μετὰ δὲ ἡδονὰς καὶ πόνους ὀψιαίτερον μὲν, βιαιότερον δ' ἴσως τυραννοῦσιν ἡμῶν δόξαι τε καὶ ἀδοξίαι, ἀνθρωπινώτερα ἤδη, καὶ οὐ θηριώδη παθήματα. Οὐδὲν μέντοι ἧττον καὶ περὶ αὐτὰ ἐπιμελείας δεῖται ἡμῶν τινος ἡ ψυχὴ, ὡς δεόντως τε, καὶ σὺν εἰκῇ πρὸς αὐτὰ προσφέροιτο. Ἡ τε μετριότης ἐν αὐτοῖς, τὸ πρέπον τε καὶ ἁρμόττον σώζουσα ἑκάστοις παιδεύει, πρῶτον μὲν τῆς ἀξίας ὡς μάλιστα ἑαυτοὺς τιμᾷν, τῶν μὲν ταπεινῶν τε καὶ ἡμῶν αὐτῶν ἀναξίων ὑπερφρονοῦντας, τὰ δὲ μείζω ἢ κατὰ τὴν ἀξίαν διευλαβουμένους· ἔπειτα καὶ τῆς μὲν παρὰ τῶν καλῶν κἀγαθῶν, καὶ ἐπὶ τοῖς καλοῖς δόξης, μὴ πάνυ

A riter destituantur, ac corpore simul etiam fere labefactentur. Modestia autem et generositas, quoniam eas voluptates amplectuntur quæ ad vitam necessariæ sunt, tum majore vigore occurrunt, tum citra noxam quoque. Et laborum quidem ea videtur esse natura, ut in eos vehementer incumbant, qui illos aversantur et voluptates persequuntur, eos autem qui labores nequaquam curant, et in eis perdurant, magis fugiant, cum ob consuetudinem earum sensum non fere percipiant, et simul etiam robustiora habeant corpora, eo quod multos labores sustinuerunt. Post generositatem autem statim fiducia nos suscipit, exercitatos jam tolerantia rerum, voluntariarum, ac molestarum (quæ tamen aliquo modo in nostra potestate sunt B ut tantum toleremus quantum libet) et æquo animo ferre nos jubet ea etiam quæ voluntaria non sunt, quæque divinitus accidunt. Ac primum illud quidem docet, nos non carunculæ saccum, nec sanguinis sextarium, aut quidquam aliud id genus, verum animos esse ratione præditos, immortales nulli malo externo et alieno expositos, eo duntaxat excepto, quod nobis atque opinionibus nostris propter improbitatem adhærescit, corporibus denique his nos circumdatos esse demonstrat, quibus quod Deus nobis concesserit, utamur, sed ne ipsa quidem prorsus nostra esse, multo vero minus cæteras res et pecunias, quæ corporibus subserviunt. Proinde earum rerum molestias non esse ad animum pertrahendas, neque existimandum eas ad C nos pertinere. Cum igitur res illas nihil ad nos attinere sciamus, negligere eas æquum esse, deinde ac in reliquum quidem tempus quidquam nos lucrifacturos dolendo, nisi id quod ea etiam nostri pars perturbetur, qua sola corrigere possumus id in quod impegimus atque cecidimus, ea videlicet quæ ratiocinatur, et cujus ea est natura, ut rebus nostris omnibus consulat, nosse denique oportere, singula prout constituta sint, ita etiam fieri, bene autem et præclare atque in rem nostram (neque enim aliter dicere fas est) constituta esse a summo bono, ac fortasse et aliam quoque causam nobis ignotam, non minus tamen etiam ac ratione, quod nobis esse possunt disciplinæ et castigationes destinatæ ad curationem, vitiorum et vitæ correctionem, quæ tanquam medicamenta corporibus ægrotantibus animis nostris pro alieno periculo sint immissa, aliis vero nostrum esse veluti certamina et excitationes, quæ cum illustriores tum fortiores quoque reddunt eos qui corpora ad ludos exercent. Nulla igitur ratione iniquo animo referenda esse hæc, sed lætandum potius, si veram illam rationem, ut par est, sequi velimus, et Deo non propter cætera tantum bona, sed et ob hæc ipsa habendam esse gratiam. Post voluptates autem et labores ut serius, ita fortasse violentius in nos grassantur, gloria et ignominia, quæ affectiones tametsi humaniores sunt, et non feroces, nihilominus tamen in iis etiam curam quamdam requirit animus noster, ut cum

eis ita ut oportet, ac non tamere congrediatur. In iis autem moderatio versabitur quæ tuetur decorum et id quod convenit singulis. Docet enim primum, ut pro dignitate nos ipsos quam maxime honoremus, tum humilia et ea quæ inferiora sunt, excellentia nostra despiciendo, tum ea quæ dignitatem nostram superant reformidando, tum bonorum hominum existimationem de nobis, rebus honestis, conciliatam, non omnino negligendo, tum improborum et insipientium nullam habendo rationem opinionis, quæ rebus quibusdam frivolis et inanibus excitatur. Deinceps autem liberalitas facilius erit in eo, qui in his virtutibus fuerit exercitatus. Pecuniæ etenim partim ad parandas voluptates, partim ad molestias declinandas, partim ob gloriæ cupiditatem expetuntur; qui vero summa industria ad hæc negligenda se exercuit, minus etiam pecunias requiret, cum necessaria vitæ de iis suppeditet, quæ probabiliora sunt, et liberalitatem sine magno sumptu exerceat pro facultatibus suis, et hac quidem in parte materiæ pulchritudinem, quæ quodammodo cognata est, asciscat et non aspernetur, sed tamen metuat, ne, si ejus pulchritudinis studiosior sit quam deceat, elegantiam forte suam quæ in animo inest, minus reddat honoratam et viliorem. Quinetiam lenitas post has virtutes convenientem sortietur locum, hac cognitione adjuncta, in nostra esse potestate nos ipsos, ut administremus res nostras pro opinionibus et insitis et exsistere solitis, alienos autem animos non plane habere nos in potestate, verum etiam illis necesse esse id sequi, quod ipsis optimum videatur, neque ulla ratione fieri posse ut quid aliud agant, præterquam id quod bonum existiment. Aut igitur illis a nobis esse demonstrandum e re ipsorum non minus fore, si sententiam nostram amplectantur, aut quandiu id præstare nequeamus, nosmetipsos magis quam illos ea de causa esse accusandos, eo quod illis persuadere nequeamus. Itaque hac etiam in parte bene nobiscum agetur, in operam dederimus, ne hominibus irascamur. Qui autem et voluptates negligit et labores et inanem gloriam, et pecuniam, quique non minus humana quam divina leviter ferre didicit, is non immerito etiam in humanis contractibus ad societatem aptior fuerit, bonitatis studiosus, cum sciat bene collocare beneficium longe esse præstantius quam accipere, idque ei ipsi qui conferat beneficium magis expedire, videlicet eum ad Dei similitudinem propius accedat, male autem facere longe esse deterius quam malo affici, siquidem id præstantiori sit contrarium. Atque oportere illud tanquam præstantissimum consectari pro virili, hoc vero aversari quovis pacto, cum verendum sit ne iis pessimum malum incidat, rademque opera se conservationi universitatis hujus consentientem præbeat ut qui ejus universitatis et ipse pars sit, non perniciosi alicujus locum, sed servatoris et benefici partes amplectens qua ratione cum ipso etiam bene agetur, quemad-

A τοι ἀμελεῖν, τῇ δὲ τῶν φαύλων τε καὶ ἀφρόνων, καὶ ἐπὶ κενοῖς τισιν, οὐδὲ προσέχειν τὸν νοῦν. Ἐξῆς δ' ἐλευθεριότης· ῥᾷον ἤδη ἐγγίγνοιτ' ἂν τῷ ταύτας ἠσκηκότι τὰς ἀρετάς. Χρήματα γὰρ τὰ μὲν ἐπὶ ἡδονῶν πορισμῷ, τὰ δ' ἐπὶ λυπῶν ἀποτροπῇ, τὰ δὲ διὰ δόξαν τινὰ σπουδάζεται. Ὁ δὲ τούτων πολλὰ μεμελετηκὼς ὀλιγωρεῖν ἧττον ἂν καὶ χρημάτων δέοιτο, ἀπὸ μὲν τῶν εὐπριστοτέρων τὰ ἀναγκαῖα τῷ βίῳ ἀποδιδοὺς, ξὺν εὐτελείᾳ δὲ ἐκ τῶν ἐνόντων φιλοκαλῶν. Καὶ ταύτῃ τοι τὸ ἐν ταῖς ὕλαις κάλλος ξυγγενές πη ὂν προσαιρούμενος, καὶ οὐκ ἀπαξιῶν, δεδιὼς γε μὴν μὴ μεῖζω τῆς ἀξίας σπουδὴν περὶ αὐτὸ ποιούμενος, λάθῃ τὸ οἰκεῖον τὸ ἐν τῇ ψυχῇ ἀτιμότερόν τε καὶ φαυλότερον ἀποφαίνων. Καὶ μὲν δὴ καὶ ἡ πραότης ἐπὶ τούτοις ἁρμόττοι ἂν μετελ-

B θεῖν προσμεμαθηκόσιν, ὡς ἡμῶν μὲν αὐτῶν αὐτοὶ κύριοι, κατὰ τὰς ἐνούσας τε καὶ ἐγγινομένας δόξας διατιθέναι τὰ ἡμέτερ' αὐτῶν, ψυχῶν δὲ ἀλλοτρίων οὐ πάνυ τοι κύριοι. Ἀλλ' ἀνάγκη καὶ ἐκείναις αὖ τῷ αὐταῖς δοκοῦντι ἕπεσθαι, καὶ ἀμήχανον ἄλλο τι ὁρᾶν παρὰ τὸ φαινόμενον ἀγαθόν. Ἡ οὖν ἡμῖν ἐνδεικτέον κἀκείνοις, ὡς καὶ αὐτοῖς οὐδέν τι ἧττον τὰ ἡμῖν δοκοῦντα ἑλομένοις συνοίσει, ἢ ἐῶ; ἂν τοῦτο ἀδύνατοι ὦμεν ἡμεῖς αὐτοὺς μᾶλλον τοῦ μὴ οἷοί τε εἶναι σφᾶς τιθεῖν, ἢ ἐκείνους, τῶν τοιούτων πεμπτέον· ὥστε καὶ ταύτῃ καλῶς ἂν ἡμῖν ἔχειν μεμελετηκόσι μὴ χαλεπαίνειν ἀνθρώποις. Ὁ δ' ὀλιγωρῶν μὲν ἡδονῶν, ὀλιγωρῶν δὲ πόνων, κενῆς δόξης, χρημάτων, μεμαθηκὼς δὲ φέρειν εὐχερῶς μὲν τὰ θεῖα, εὐχερῶς δὲ τὰ ἀνθρώπεια, εἰκότως ἂν

C καὶ περὶ τὰ πρὸς ἀνθρώπου; συμβόλαια εὐκαικωκώτερος εἴη, χρηστότητα μετιών, μεμαθηκὼς ὡς τὸ μὲν καλῶς ποιεῖν τοῦ εὖ πάσχειν ἄμεινον πολλῷ αὐτῷ δήπουθεν τῷ καλῶς ποιοῦντι, ἅτε δὴ καὶ θεοειδέστερον ὄν· τοῦ δὲ κακῶς πάσχειν τὸ κακῶς ποιεῖν χεῖρον αὖ πολλῷ. Τὸ γὰρ ἄμεινον, τοῦτό γε ἐναντίον· καὶ δέοι τὸ μὲν, ὡς ἄριστον ὄν, διώκειν εἰς δύναμιν, τὸ δὲ φεύγειν παντὶ τρόπῳ, διευλαβούμενον μὴ κτησάμενος λάθῃ τὸ χείριστον τῶν κακῶν, ἅμα δὲ καὶ ξύμφωνον αὐτὸν τῇ τοῦ ὅλου τοῦδε σωτηρίᾳ προσπαρέχοιτ' ἄν, ἅτε δή τι καὶ μόριον τοῦ δέοντος οὐκ ὀλέθρου τινὸς τάξιν, ἀλλὰ σωτῆρός τε αἱρούμενος, καὶ εὐεργέτου τὸ μέρος,

D οὕτω τε εὖ πράττων καὶ αὐτὸς, οἷόνπερ καὶ μορίῳ σώματος πολὺ ἂν μᾶλλον λυσιτελοῖ, εἶκειν τῷ ὅλῳ καὶ ὁμολογεῖν, ὑπηρετεῖν τε τῷ λοιπῷ, καλῶς τὸ αὐτοῦ ἔργον ἀποδιδόν, ἢ ἀντιτείνειν τε καὶ ἀξυμφώνῳ εἶναι, καὶ διεσπᾶσθαι τοῦ ἄλλου σώματος. ἐκ δὲ δὴ τῶν πρὸς ἀνθρώπους συμβολαίων καὶ τῶν ἀνθρωπίνων πραγμάτων ἐμπειρότερος γινόμενος, ῥᾷόν που ἤδη καὶ εὐβουλίαν ἀνακτήσαιτο, εἰδὼς μέγα διαφέρειν ἐπιστάμενον μὴ ἐπισταμένου, καὶ ξὺν λόγῳ μεταχειρίζοντα ὀτιοῦν δοξάζοντος ἄνευ λόγου. Ὥστε πρός γε τὸ ἕκαστα πράττειν τῶν κατὰ τὸν βίον μέγα ξυμβάλλεσθαι τὸ περὶ τῶν ἀνθρωπείων ἐξακριβοῦν πραγμάτων, καὶ ἅμα χαριεστάτην οὖσαν τὴν περὶ τῶν ἀνθρωπίνων θεωρίαν· ἅτε δὴ περὶ γνησίων ἡμῖν αὐτοῖς, μεθ' ἣν καὶ τὴν φυσικήν τις μετιὼν οὐ μι-

κρὰν αὐτῷ προσθήκην εἰς εὐδαιμονίας ἐπίκτησιν φέροιτ' ἄν, πρῶτον μὲν τῷ τῶν αὐτοῦ κρατίστῳ ζῶν, τῷ λογιστικῷ, ἔπειτα περὶ τὸ ἅπαν τόδε τούτῳ χρώμενος, καὶ θεωρῶν τί τέ ἐστιν ἕκαστα, καὶ διὰ τί γίνεται, τίνα τε κατὰ φύσιν δυνατά, καὶ τίνα ἀδύνατα, ᾗ σμικροῖς τισιν ἀγαθῶν ἀνθρωπίνης φύσεως ἡστινοσοῦν, διαίτῃ τε καὶ ἀπολαύσει, ἣν οὐδὲ παραβαλεῖν οἷόν τ' ἂν εἴη τηλικῷδε πράγματι, ἀλλ' ὅλῳ τῷδε τῷ παντὶ ἐνδιαιτώμενος τῇ ψυχῇ, καὶ ἀπολαβὼν γνησίως, καὶ καρπούμενος βίον κοινότατόν τε καὶ ὁμοιότατον αὐτοῖς τοῖς κρείττοσι δήπουθεν γένεσιν· εἰθ' ἡ πολιτεία τὸ πρὸς τὸ ξυγγενὲς κοινὸν περιποιουμένη ἡμῖν, πλεῖστ' ἂν ἀφελοῖ· ἔπεσι καὶ κατὰ φύσιν τυγχάνει τὰ σπουδαιότερά τε καὶ τελεώτερα τῶν γενῶν μᾶλλόν τοι κοινωνοῦντα ἀλλήλοις τῶν καταδεεστέρων τε καὶ φαυλοτέρων. Φυτὰ μὲν γάρ, ἥ γε ἀναίσθητος φύσις, ἥκιστ' ἂν ἐπικοινωνοίη ἀλλήλοις· ζῶα δὲ καὶ ξύμπαντα, ὥσπερ ἂν αἰσθήσεως ἤδη μετέχοι, μάλιστ' ἂν τοῦτό γε διαπράττοιτο· ἐπεὶ καὶ αὐτὸ τὸ αἰσθανόμενόν τε καὶ ζῶν μᾶλλόν τι κοινωνοῖ ἂν ἢ τῶν ἀναισθήτων τε καὶ ἀψύχων ὁτιοῦν, εἴπερ τοις μορίοις τὸ ὅλον πεπονθόσι τι μάλιστα συμπάσχει τε καὶ συναισθάνεται, ὡς τοῦτό που ὂν καὶ ζωὴν, κοινωνίαν τινὰ καὶ συμπάθειαν αὐτοῦ, αὐτῷ τε καὶ τοῖς προσπίπτουσιν ἑκάστοις. Τῶν δὲ θηρίων τὰ μᾶλλον ξυναγελαζόμενα τῶν ἧττον τοῦτο ποιούντων τελεώτερά τε εἶναι καὶ ἡμῶν πως ἐγγυτέρω· ἄνθρωπον δὲ θηρίων ξυμπάντων κοινότητι βίου πάμπολυ διαφέρειν, τά τε αὖ κρείττω που γένη κοινότερον ἔτι ἀνθρώπου βιοῖ ἄν, κατὰ τὸ εἰκός· ὥσθ' ὅ γε πολίτης ἀγαθὸς τούτου μάλιστα ἐπιμελούμενος, καὶ ἐς τὸ κοινὸν ζῶν οὐ τὰ ἐλάχιστ' ἂν αὐτῷ διαπεπραγμένος εἴη, μὴ ὅτι κατὰ φύσιν τε ἀνθρωπινώτερον οὕτω βιῶν, ἀλλὰ καὶ τοῖς αὐτοῦ τελεωτέροις γένεσιν εἰς δύναμιν ἀφομοιούμενος, πρὸς δὲ καὶ τὸ ἴδιον σώζων μᾶλλον, τὸ κοινὸν πρὸ αὐτοῦ αἱρούμενος, ἀλλὰ μὴ τοῦτο πρὸ τοῦ κοινοῦ· ἐπειδὴ τοῦ μὲν κοινοῦ καλῶς τιθεμένου, αὐτό τε καὶ τὸ ἴδιον μάλιστα σώζεσθαι πέφυκε, τοῦ δὲ ἰδίου διεσταμένου τοῦ κοινοῦ, ἀμφότερ' ἀπόλλυσθαι. Μετὰ δὲ πολιτείαν ἡ γε ὁσιότης μετιτέα, πρὸς τὴν τοῦ θείου θεραπείαν τε καὶ κοινωνίαν ἡμᾶς εὖ παρασκευάζουσα καὶ κοινῇ καὶ ἰδίᾳ, ἀνοσιότητα καὶ δεισιδαιμονίαν ᾗ παιεῖσα ἐν τῇ ψυχῇ. Περὶ γὰρ εὐχὰς, καὶ προσκυνήσεις, καὶ ὕμνους, καὶ τελετὰς, καὶ ἀπαρχὰς, καὶ πάντα τὰ τοιάδε, οὔτε καταφρονητικῶς ὁ ὅσιος ἕξει, ἀνωφελῆ που τὰ τοιαῦτα ἑαυτῷ ἄγων, οὔθ' οὕτω προσοίσει, ὡς δεομένῳ τινὸς τούτων τῷ Θεῷ, ἢ κινησομένῳ δι' αὐτῶν, ἀκίνητον γὰρ καὶ ἀπρόσδεκτον μάλιστα ἐκείνων· ἀλλ' ὡς αὐτὸν τὰ μέγιστα ὠφελήσων, κακίας τε ἀφέξει καὶ ἀρετῆς μελέτῃ καὶ ὁμολογίᾳ τοῦ αἰτίου ἡμῖν τῶν ἀγαθῶν, καὶ τούτων ἕνεκα ἐκεῖνα προσάγων τε, καὶ ὀφσιούμενος, θεοσέβειαν αὐτῆς τε ὁσιότητος, καὶ πάσης κεφάλαιον ἀρετῆς ποιούμενος, ὥσπερ καὶ πρότερον εἴρηται, πάντα τε εἰς τὴν τοῦ Θεοῦ νόησιν ξυντείνων, τὴν μακαρίαν ζωήν· ὡς ξυμβαίνειν τὸν μὲν καλὸν κἀγαθὸν, τὸν αὐτὸν εὐδαίμονά τε εἶναι καὶ μακάριον,

modum etiam parti corporis longe magis expedit cedere toti, et consentire atque inservire reliquo corpori, suum munus recte exsequendo, quam obluctari, dissentire atque avelli a reliquo corpore. E contractibus porro humanis, si quis majorem humanarum rerum peritiam consecutus fuerit, facilius sibi deliberandi prudentiam parabit cum peritum longe præstare imperito sciat, et eum qui certa ratione quidvis tractet, ei qui citra rationem opinionibus ducatur. Itaque ad singulas vitæ actiones multum confert in humanis actionibus diligenter versari, et quæ cognatæ sint nobis. Post eam autem deliberandi prudentiam, si quispiam naturæ explicationem aggrediatur, is non parvum ad felicitatem acquirendam additamentum consequetur, primum cum parte sui præstantissima vivat videlicet ratione, deinde cum utatur ea in universitate hac, et contempletur quid et sint singula et quamobrem fiant, quæque ordine naturæ fieri possint, aut fieri nequeant, non parvis contentus cujusvis naturæ humanæ conditionibus, vi lel'cet victus ratione et fructu, quæ ne comparari quidem debent tantæ re, sed animo versans in hac universitate, et germane fruens, et tum communissimæ, tum similli'mæ cum ipsis generibus præstantioribus vitæ fructum percipiens. Postea vero respublica, quæ nobis præsta societatem erga cognatos, maximas affert utilitates, cum naturæ etiam consentanea sit, et animalium genera honestiora ac perfectiora societatem inter se magis colant quam ea quæ deteriora sunt, et viliora, siquidem stirpes et universa sensus expers natura minime inter se societatem colunt; animalia vero omniaque sensu prædita, maxime in hoc elaborant, nam quod seipsum sentit et vivit, societatem fuerit aptius quam quidvis sensus expertium ut inanimatorum. Siquidem partium affectionibus totum maxime afficitur, earumque sensum percipit, tanquam idem sit, et vita communitate quadam contineatur et mutua in omnibus eventi consensione. Itaque animalia quæ congregantur, iis quæ minus id faciunt, et perfectiora sunt, et nobis aliquo modo propiora, homo autem bestiis universis longe antecellit, propter vitæ communitatem et consentaneum est, præstantiora genera majore uti vitæ communitate quam homines. Quamobrem bonus civis cum in hoc maxime operam, ut vitam suam ad communitatem referat, non minimum sane profecerit, non eo duntaxat nomine, quod ita vivit secundum naturam, et hominem decet, sed ob illud etiam, quod pro virili generum se præstantiorum similitudinem asseq'itur. Huc illud etiam accedit, quod et suum commodum ita magis tuetur, si privatis rebus publicis anteponat, non autem si privatas publicis. Siquidem republica bene constituta, ita comparatum est ut cum ipsæ, tum res privatæ maxime conservantur, sin res privatæ a rebus publicis segregentur utræque pereant. Post rempublicam ordine sanctas amplectenda est, quæ ad cultum et commu-

tatem numinis probe nos instruit, quæque tam publice quam privatim profanitatem et superstitionem in animum non admittit. Nam neque precationes, nec supplicationes, nec laudes divinas, nec festa, nec primitias, neque id genus alia vir sanctus contemnet, ea inutilia sibi esse existimando, neque sic offeret numini, quasi aliqua illarum rerum egeat, aut per ea allici debeat (neque enim movetur, et minime rebus illis eget), verum ita offeret, tanquam maximas sibi ipsi utilitates inde allaturus, tum abstinentia vitiorum, tum meditatione virtutis, tum agnitione ac professione ejus qui bonorum nobis auctor est. Iis igitur de causis illa offeret et sanctitatis munere fungetur, principatum divino cultui deferendo, ut et supra commemoratum est, omnino referet atque ita continget, ut vir bonus, idem et beatus sit et felix, idque ea ratione et eatenus, quatenus virtutis fuerit particeps, perversus autem, eatenus miser sit, quatenus vitiis fuerit contaminatus. Nobilitas autem et ignobilitas, magistratus et vita privata, divitiæ et paupertas, voluptates et labores, sanitas et morbi, longævitas et mors, atque id genus omnia, ipsa quidem suapte natura neutrius sunt generis, neque omnino bona nec mala, nihil etenim horum ad nosmetipsos pertinet, utrorumvis autem usus legitimus si cum virtute conjungatur, bonus nobis efficietur et felix, cum improbitate autem noxius et infelix.

A ταύτῃ τε καὶ κατὰ τοσοῦτον καθ' ὅσον ἂν ἀρετῆς μετάσχοι· τὸν δὲ φαῦλον ἀθλιον κατὰ τοσοῦτον καθ' ὅσον ἂν κακίας μεταλάβοι. Εὐγενείας δὲ καὶ δυσγενείας, καὶ ἀρχῆς καὶ ἰδιωτείας, καὶ δόξης καὶ ἀδοξίας, καὶ πλούτους καὶ πενίας, καὶ ἡδονὰς καὶ πόνους, καὶ ὑγιείας καὶ νόσους, καὶ μακροβιότητα καὶ θανάτους, καὶ πάντα τὰ τοιάδε, αὐτὰ μὲν καθ' αὐτὰ οὐδέτερα οὔτε ἀγαθὰ οὔτε κακὰ εἶναι καθάπαξ. Τούτων γὰρ οὐδὲν πρὸς ἡμᾶς αὐτοὺς τὴν δὲ τούτων ὁποτέρων χρῆσιν, σὺν μὲν τῷ δίοντι καὶ ἀρετὴν γιγνομένην, ἀγαθήν τε καὶ εὐδαίμονα ἡμῖν καθίστασθαι, σὺν δὲ κακίᾳ βλαβερὰν, καὶ κακοδαίμονα.

Atque hæc de virtute, ejusque partibus, pauca de multis dici queant, si quis ipsa fere capita disputationum earum quæ de singulis haberi possint, tractandæ suscipiat. Ad virtutem autem parandam natura primum requiritur, et divinum fatum, citra quod nullo potiri licet bono, deinde institutis etiam et scientia, denique usus et exercitatio; quocunque autem illorum destituaris, magna ex parte eris imperfectus. Etenim quo pacto perfecte vir bonus quisquam fieri queat, ni nulla disciplina fuerit instructus de unaquaque virtute, quale bonum sit homini, et ubi et quo modo? Si quis autem disciplina et scientia fuerit instructus, is omnium perfectissimus erit, si usum et exercitationem adjunxerit, et id quod a moribus proficiscatur, jucundum et optimum et beatum esse judicaverit. Verumtamen omnibus modis fugiendum est vitium. Virtuti autem opera danda, ut non miseri, sed beati felicesque fiamus, cum in hac vita, quoad ejus fieri potest, tum etiam post obitum, locum rationi actæ vitæ decentem et convenientem adepti multo etiam beatiores simus. Amen.

B Τοσαῦτα περὶ ἀρετῆς καὶ τῶν ταύτης μορίων ἐκ πολλῶν ὀλίγα ἔστιν εἰπεῖν, αὐτὰ σχεδὸν τὰ κεφάλαια προελομένους τῶν περὶ ἕκαστον λόγων. Ἐπὶ δὲ τὴν τῆς ἀρετῆς κτῆσιν πρῶτον μὲν φύσεως δεῖ, καὶ θείας μοίρας, ἧς χωρὶς οὐδὲ ἀγαθοῦ τινος ἔστι τυχεῖν ἔπειτα λόγου τε καὶ ἐπιστήμης· εἶτα μελέτης τε καὶ ἀσκήσεως. Ὅτου δ' ἂν αὐτῶν τις ἀπολειφθῇ, ταύτῃ τε καὶ κατὰ τοσοῦτον καθ' ὅσον ἂν ἀπολειφθῇ, ἀτελὴς μάλιστα ἔσται. Πῶς γὰρ ἂν τις τελέως καλὸς κἀγαθὸς γένοιτο, λόγον μηδένα ἔχων περὶ ἑκάστης ἀρετῆς, οἷόν ἐστι τῷ ἀνθρώπῳ, καὶ ὅπῃ καὶ ὅπως ἀγαθόν; Λόγου δὲ καὶ ἐπιστήμης μετασχὼν, τελεώτερος αὖ πάντως ἔσται, μελέτην τε καὶ ἄσκησιν προσλαβὼν, καὶ τὸ ἀπὸ τοῦ ἔθους ἡδύ τε, καὶ ἄριστον, καὶ μακάριον ἀποφήνας· ὅμως μέν γε παντὶ τρόπῳ φευκτέον μὲν κακίαν, ἐπιτηδευτέον δὲ ἀρετὴν, ἵνα δὴ ἀντὶ ἀθλιωτέρων εὐδαίμονές τε καὶ μακάριοι ἐν τε τῷ παρόντι βίῳ κατὰ δύναμιν γενοίμεθα, καὶ ἐπειδὰν τελευτήσωμεν, τὴν τοῖς νῦν βεβιωμένοις πρέπουσάν τε καὶ ἁρμόττουσαν ἀπολαβόντες χώραν, πολὺ ἔτι δὴ μᾶλλον εὖ πράξαιμεν.

C

SUMMA VIRTUTIS KATA ΣΧΗΜΑΤΙΣΜΟΝ.

Virtutum genera sunt, prudentia, fortitudo, temperantia. Generum autem formæ si prudentiæ subjiciantur, Dei cultus, naturalis sapientia, consilii capiendi ratio; sin justitiæ, sanctitas, reipublicæ administratio, bonitas; sin fortitudini, fiducia, generositas, lenitas; sin temperantiæ, moderatio, liberalitas, modestia. Ac Dei cultus in rebus divinis versatur, naturalis autem sapientia, in rebus naturalibus, capiendi consilii ratio, in actionibus hominum sanctitas, in iis rebus quæ ad numen

D Τῶν ἀρετῶν γενικαὶ μὲν φρόνησις, δικαιοσύνη, ἀνδρία, σωφροσύνη, εἰδικαὶ δὲ, τῇ μὲν φρονήσει ὑποδιαιρούμεναι, θεοσέβεια, φυσικὴ εὐβουλία· τῇ δὲ δικαιοσύνῃ, ὁσιότης, πολιτεία, χρηστότης· τῇ δὲ ἀνδρίᾳ, εὐψυχία, γενναιότης, πραότης· τῇ δὲ σωφροσύνῃ, μετριότης, ἐλευθεριότης, κοσμιότης. Καὶ θεοσέβεια μὲν περὶ τὰ θεῖα, φυσικὴ δὲ περὶ τὰ φυσικὰ, εὐβουλία δὲ περὶ τὰ ἀνθρώπινα. Καὶ ὁσιότης μὲν ἐν τοῖς πρὸς τὸ θεῖον, πολιτεία δὲ ἐν τοῖς ἀκουσίοις, γενναιότης δὲ ἐν αἱρετοῖς, πραότης δὲ

πρὸς τὰ κοινά, χρηστότης δὲ ἐν τοῖς πρὸς τὰ ἰδιωτικά, καὶ εὐψυχία μὲν ἐν τοῖς πρὸς ἀνθρώπους, καὶ μετριότης μὲν περὶ δόξαν, ἐλευθεριότης δὲ περὶ χρήματα, κοσμιότης δὲ περὶ ἡδονάς.

A attinent; reipublicæ autem administratio, in iis quæ ad communitatem referuntur; bonitas, in rebus privatis; fiducia, in rebus non voluntariis; generositas, in iis quæ ipsi ultro suscipimus; lenitas in iis quæ ad homines pertinent. Ac moderatio quidem in gloria versatur, liberalitas in pecunia, modestia subjectas sibi habet voluptates.

Ἀρετή, φρόνησις, δικαιοσύνη, ἀνδρία, σωφροσύνη· θεοσέβεια, φυσικὴ, εὐβουλία· ὁσιότης, πολιτεία, χρηστότης· εὐψυχία, γενναιότης, πραότης· μετριότης, ἐλευθεριότης, κοσμιότης.

α' ι; ρ ῶν α ἦν εἴ ς ε ἐρ ε αι αύ ας.

Κοσμιότης, γενναιότης, εὐψυχία, μετριότης, ἐλευθεριότης, πραότης, χρηστότης, εὐβουλία φυσικὴ, πολιτεία, ὁσιότης, θεοσέβεια.

COMPARATIO VIRTUTUM.

GENERALES VIRTUTES.	PRUDENTIA.	DEI CULTUS.	Caput	12
		NATURALIS SAPIENTIA.	SPECIALES VIRTUTES.	9
		PRUDENS CONSILIUM.		8
	JUSTITIA.	SANCTITAS.		11
		REIPUBL. ADMINISTRATIO.		10
		BONITAS.		7
	FORTITUDO.	FIDUCIA.		3
		GENEROSITAS.		2
		LENITAS.		6
	TEMPERANTIA.	MODERATIO.		4
		LIBERALITAS.		5
		MODESTIA.	Principium	1

Progressiones virtutum ostendunt hi numeri ut sciatur unde auspicandum et ubi desinendum sit.

GEORGII GEMISTI
PLETHONIS
PLATONICÆ ET ARISTOTELICÆ PHILOSOPHIÆ
COMPARATIO

(Basileæ, per Petrum Pernam. 1574.)

—

AD REVERENDISSIMUM PRINCIPEM D. OTHMARUM ABBATEM SANGALLENSEM IN LIBELLUM DE PLATONICÆ ATQUE ARISTOTELICÆ PHILOSOPHIÆ DIFFERENTIA.

GEORGII CHARIANDRI PRÆFATIO

De philosophiæ usu ad cognitionem divinarum rerum accommodato.

—

Nullus est mortalium, princeps reverendissime, sano quidem utentium judicio, qui non innato quodam insitoque sapientiæ amore desiderioque teneatur; quod ipsum et apud ethnicos Aristoteles indagator sapientiæ solertissimus, ideoque præ cæteris omnibus philosophi nomen adeptus, innuit confirmatque in suis libris; sed et Salomon ille, regum in Ecclesia de antatissimus, qui non solum sapientiæ amantissimus, sed et sapientissimus exstitit, idque divino oraculo. Nempe hic sapientiam omnibus aliis donis, quorum capax est natura humana, præferens, illam a Deo optimo maximo solam precatus est, eamque

vivendi facultatem adipiscatur. Quam ob causam etiam Alexander ille Aphrodisiensis, deducto ad suam improbitatam sermone illo, inde occasionem sumpsit, ut diceret, ab ipso quoque Aristotele animæ de his quidem hactenus.

A

τὴν καὶ Ἀριστοτέλη τὴν ψυχὴν τὴν γε ἀνθρωπίνην δοξάζοντα τίθεσθαι. Καὶ περὶ μὲν τούτων ἐς τοσοῦτον.

humanæ immortalitatem esse negatam. Atque

CAP. XII.

Placet autem etiam quasdam ipsius de virtutibus disputationes paucis attingere, atque planum facere, quam etiam in his sermonibus a veritate alienam sequatur opinionem. Virtutes sit ille esse mediocritates, vitia autem extremitates, ubi nimirum mediocritates intelligit passionum, quæ sunt in anima et contra in vitiis earumdem extremitates. De quo autem mediocritatis genere interim loquatur (est enim multiplex mediocritas) utrum videlicet de ea quæ in qualitate, vel ea quæ in quantitate consistit ille non satis aperte explicat: nisi quod paucis quibusdam ipsius verbis, quæ alio in loco fecit, id ipsum possit animadverti, ubi nimirum vitio vertit, si quis fulmina et terræ motus non metuat. Ex quo apparet illum non timenda et timenda non qualitate metiri atque distinguere, sed magno et parvo quod est quantitate. At Platonici non ita, nec alii quidem qui rem accuratius examinant, sed omnem quidem turpitudinem esse timendam, sive magnam sive parvam; quidquid vero turpe non sit, non timendum existimant, atque ita qualitate non quantitate timenda et non timenda metiuntur. Proinde non esse dignos metu terræmotus et fulmina, si quidem hæc vitio carent, nec pejorem faciant hominem. Et quomodo tandem stultitiæ non tribuatur, si quem terreant fulmina, idque non ob hanc duntaxat causam, quod turpe non sit feriri fulmine, atque hoc modo mortalem vitam commutare (neque enim hoc ipsum etiam in nostra situm est potestate, ut sic nobis vel laudi vel vitio tribui possit), sed etiam quod hæc ipsa res quidem ex illarum rerum sit numero, quæ rarissime contingunt, quæ autem ejusmodi sunt, extremæ sunt stultitiæ illa exspectare et metu illorum terreri, deinde quod aliquis formidans, non magis liberatur quam is qui non formidat. Atque ingruentem quidem qui metuit tempestatem et hiemem, is seipsum adversus illa quadam ratione munire potest, et qui bestiam aliquam pertimescit, tuendi fortasse seipsum facultatem habet. At quem fulmen terret, is omnino firmare afficitur, quo prorsus affici non deberet. Præterea illud quoque silentio præterire non possum. Cum bonum et sapientem virum contrariis agitari animi affectionibus nihil prohibeat, dum fidit modo, modo metuit, dum cupit modo et rursus contemnit, turpi tamen re et non turpi, item bona et non bona, illa omnia metientem, ex hoc sequetur, etiam eum qui hæc omnia contraria facit, quique sit vitiosissimus, nihilominus in mediocritate quadam etiam ipsum consistere. Aristotele interim omne vitium in solis extremis collocante, et is quidem, qui omnia concupiscit tam ea quæ oportet, quam illa quæ non oportet, nunquam idcireo quod ea concupiscit quæ oportet vitiosus fuerit, neque is qui omnia contem-

B

C

D

ΚΕΦΑΛ. ΙΒ'.

Βούλομαι δέ τι καὶ περὶ τῶν ἐς τὰς ἀρετὰς αὐτῷ πεπραγματευμένων βραχὺ εἰπεῖν καὶ δεῖξαι ὅσον καὶ ἐν τοῖς τοιούτοις λόγοις τοῦ καλῶς ἔχοντος ἀπολείπεται. Μεσότητας τὰς ἀρετὰς εἶναί φησι, τὰς δὲ κακίας ἀκρότητας, τῶν παθῶν δὴ λέγων μεσότητας τῶν τῆς ψυχῆς καὶ τ... αὐτῶν ἀκρότητας αὖ. Ἥντινα δὲ βούλεται ἀρετῆς εἶναι μεσότητα (γένοιτο γὰρ ἂν πλεονεχτῆ μεσότης) ἤτοι τῷ ποιῷ ἢ τῷ ποσῷ οὐτωσὶ μὲν ἁπλῶς, οὐ πάντως διασαφεῖ· ἐκ μέντοι βραχέος αὐτῷ λόγου εἰρημένου ἔστι λαβεῖν ἐν ᾧ τὸ τοὺς σκηπτούς τε καὶ σεισμοὺς οὐ δεδιέναι ἐν κακίας μέρει τίθεται. Φαίνεται γὰρ ἐκ τούτου οὐ τῷ ποιῷ τά τε θαῤῥαλέα καὶ δεινὰ διαιρῶν, ἀλλὰ μεγέθει τε καὶ σμικρότητι, καὶ ποσῷ. Ἀλλ' οὐχ οἱ περὶ Πλάτωνα οὕτω, οὐδέ γε τῶν ἄλλων οἱ τὰ βελτίω πάντες φρονοῦντες, ἀλλὰ τὸ μὲν αἰσχρὸν πᾶν δεινόν, ἄν τε μέγα, ἄν τε μικρὸν ᾖ. τὸ δ' οὐκ αἰσχρὸν θαῤῥαλέον πᾶν ἀξιοῦντες εἶναι, ἐν τῷ ποιῷ, οὐκ ἐν τῷ πόσῳ, τό τε δεινὸν καὶ θαῤῥαλέον τίθεντες. Σεισμοὶ δὲ καὶ σκηπτοὶ πῶς ἄξια δέους, εἴ γε μὴ αἰσχρὰ, μηδὲ κακίαν ποιοῦντα τὸν ἄνθρωπον; Ὅλως τε τὸ τοὺς σκηπτοὺς δεδιέναι πῶς οὐκ ἀνόητον, οὐ μόνον ὅτι οὐκ αἰσχρὸν τό γε κεραυνωθῆναι, καὶ τοῦτον τὸν τρόπον τοῦδε τοῦ θνητοῦ ἀπαλλαγῆναι (οὐδὲ γὰρ οὐδ' ἡμέτερον τοῦργον ἵνα δὴ καὶ ἡμῖν ἤτοι καλὸν ἢ αἰσχρὸν), ἀλλὰ καὶ ὅτι πρῶτον μὲν τῶν τι ἐπ' ἐλάχιστα συμβαινόντων εἰσί· τὰ δὲ τοιαῦτα πολλὴ μωρία προσδοκῶντα δεδιέναι· ἔπειθ' ὅτι οὐδὲ περιγίνεταί τις δεδιὼς μὴ δεδιέσιν. Ὁ μὲν γὰρ χειμῶνα δεδιὼς κἂν φράξαιτο πρὸς αὐτὸν, καὶ ὁ θηρίον, κἂν φυλάξαιτο. Ὥστ' ἂν πάντα τρόπον ἀδεέστατον δέος φοβοῖτο ὁ σκηπτὸν δεδιώς. Ἔτι γε μὴν κἀκεῖνο ῥητέον· διὰ τὸ ἀμφοτέροις τὸν καλὸν κἀγαθὸν τοῖς ἐναντίοις πάθεσι χρῆσθαι, θαῤῥοῦντα δεδιότα, ἐπιθυμοῦντα ὀλιγωροῦντα, τῷ μέντοι αἰσχρῷ τε καὶ οὐκ αἰσχρῷ, καὶ καλῷ τε καὶ οὐ καλῷ, τούτων ἑκάτερα ὁρίζοντα, φανήσεται καὶ ὁ τούτων ἐναντιώτατος ὁ παμμόχθηρος οὐδὲν ἧττον ἐν μεσότητί τινι καὶ αὐτὸς ὤν, Ἀριστοτέλους ἐν μόναις τοῖς ἀκρότησι τὴν κακίαν τιθεμένου· ἀλλ' ὁ μὲν πάντων ἐπιθυμῶν ὧν τε χρὴ, ὧν τε οὐ χρὴ, οὐδέ πως ἐν τῷ ὧν χρὴ ἐπιθυμεῖν, μοχθηρὸς ἂν εἴη τις, οὐδέ γε ὁ πάντων ὀλιγωρῶν, ὅταν καὶ ὧν ἄν δέοι ὀλιγωρῇ. Ὥστε τούτων μὲν ἂν ἑκάτερος παμμόχθηρός πως εἴη· ὁ δὲ παμμόχθηρος ἄνθρωπος καὶ τῷ καλῷ κἀγαθῷ ἐναντιώτατος, ἐκεῖνος ἂν εἴη, ὁ ὧν μὲν ἂν δέοι ἐπιθυμεῖν, αὐτὸς ὀλιγωρῶν, ὧν δ' ἂν ὀλιγωρεῖν δέοι, ἐπιθυμῶν. Ὥστε, ἅτε ἀμφοτέροις μὲν τοῖς ἐναντίοις πάθεσι χρώμενος ἀμφότερον ἂν εἴη, καὶ ἐν μεσότητί τινι καὶ αὐτὸς, καὶ ἅμα τῷ καλῷ κἀγαθῷ ἐναντιώτατος. Ἐς τοσοῦτον μὲν δὴ καὶ περὶ τούτου.

nit, ea nimirum quæ et quando oportet contemnere. Atque ita horum quidem uterque semivitiosus quodammodo fuerit. At ille omni ex parte vitiosus sive vitiosissimus, bonoque ac sapienti maxime contrarius appellandus erit, qui illa quidem, quæ oportet concupiscere, contemnat, quæ vero oportet contemni concupiscat, ut hac ratione eum qui utrisque, iisque contrariis affectibus sed male utitur, utrumque esse dici sit necesse, et ipsum nimirum in mediocritate quadam sua consistere, et simul bono ac sapienti viro maxime contrarium. Atque de his quidem hactenus.

ΚΕΦΑΛ. ΙΓ'.

Τὰ δὲ περὶ τοῦ τέλους αὐτῷ τοῦ ἐσχάτου λεγόμενα πῶς οὐ μεμπτὰ οὐ τὸ καλὸν, ᾧ οἱ τὰ βελτίω φρονοῦντες πάντες, ἀλλὰ τὴν ἡδονὴν τιθεμένῳ τἀγαθὸν, προστιθέντι δὲ δὴ καὶ τὴν θεωρητικήν; Καίτοι εἰ ἡδονὴ ἡ γε θεωρητικὴ τἀγαθόν ἐστιν, εἰ μὲν καθόσον θεωρητικὴ ἡ γε ἡδονὴ ἀγαθόν ἐστι, τὸ θεωρεῖν ἁπλῶς ἂν εἴη τἀγαθὸν, ἄν τε ἡδονὴ αὐτῷ ἕπηται, ἄν τε καὶ μή· εἰ δὲ τὸ θεωρεῖν καθόσον ἡδὺ ἀγαθόν ἐστι, ἡ ἡδονὴ αὖ εἴη ἂν ἁπλῶς τἀγαθὸν, ἄν τε θεωροῦσιν ἡμῖν, ἄν τ' ἄλλο τι πράττουσι συμβαίνῃ. Κατὰ δ' ἀμφότερον τὴν θεωρητικὴν ἡδονὴν καὶ καθόσον θεωρητικὴν, καὶ καθόσον ἡδονὴν ἀμήχανον, εἰ μὴ καθ' ἕτερόν τι ἓν καὶ κοινὸν, ὃ ἀμφοῖν τούτοιν ὑπάρξοι. Ἓν γάρ τι δεῖ εἶναι καὶ τὸ ἡμῖν ἄνωθέν τε καὶ ἀπὸ τοῦ ὑπερουσίου ἑνός τε καὶ ἀγαθοῦ ἐφῆκον ἀγαθόν. Διὸ καὶ τἆλλα ἡμῖν τοῦ αὐτοῦ μετέχοντα ἀγαθὰ ἔσται. Ἡμεῖς μὲν οὖν τὸ καλὸν αὐτὸ εἶναί φαμεν, οὗ καὶ θεωρία μετασχοῦσα ἀγαθόν ἐστι καὶ ἡδονὴ καὶ ἄλλο πᾶν ὁτιοῦν· ἀλλ' Ἀριστοτέλης ἔοικε διὰ τοῦτο τῇ ἡδονῇ τὸ θεωρητικὸν προστεθεικέναι ἵνα τὴν οἰκείαν ἡμῖν δηλώσῃ ἡδονὴν τὸ ἡμέτερον ἀγαθὸν οὖσαν, ὡς τὸ θεωρεῖν ἡμέτερον μάλιστα ἔργον ὄν. Δεῖ γὰρ τἀγαθὸν οὐ μόνον ἀγαθὸν, ἀλλὰ καὶ ἡμῖν τε καὶ πρὸς ἡμᾶς εἶναι, εἰ μέλλοι καὶ ἡμῖν αἱρετὸν ἔσεσθαι, οὐ πολύ τι διάφορον λέγων τοῦ Ἐπικούρου, ὃς που ἡδονὴν τήν γε ψυχικὴν τἀγαθὸν τίθεται. Ἔοικε γὰρ καὶ Ἐπίκουρος παρ' Ἀριστοτέλους τῶν ἐς τὴν ἡδονὴν λόγων εἰληφέναι τὰς ἀφορμάς. Ἡμεῖς γε μὴν βραχεῖ τεκμηρίῳ ἐπιδείξομεν οὐ τὴν ἡδονὴν οὖσαν τἀγαθόν. Σύνισμεν γάρ που ἡμῖν αὐτοῖς τότε δὴ μάλιστα ἡδομένοις τὴν θεωρητικὴν ταύτην ἡδονὴν, ἐπειδὰν ἐκ λήθης περὶ ὁτουοῦν ἀναμιμνησκόμενοι θεωρῶμεν. Ἐν οἷς δ' ἂν εἰδότες ἐκ πολλοῦ διατελῶμεν, οὐ πάνυ τοι. Εἰ δ' ἡ ἡδονὴ τἀγαθὸν, καὶ πᾶν ἡδιόν τε καὶ αἱρετώτερον τοῦ ἧττον τοιούτου, ἕδει καὶ τὸ ἐκ λήθης ἀναμιμνησκόμενον θεωρεῖν, ἄμεινόν τε αἱρετώτερον εἶναι τοῦ ἀεὶ διατελεῖν εἰδότα. Νῦν δ' οὖν οὐδ' ἂν εἷς ἐκεῖνο μᾶλλον ἢ τοῦτο εὐφρονῶν ἕλοιτο. Καὶ περὶ μὲν τῶν Ἀριστοτέλει καὶ ἐς τὴν ἠθικὴν πραγματείαν οὐ καλῶς πεπραγματευμένων, ἐνὸν καὶ πλείω καὶ περὶ πλειόνων εἰπεῖν, ὅμως ἀπόχρη καὶ ταῦτα. Οὐ γὰρ ἅπαντα ἁπλῶς τὰ Ἀριστοτέλους ἡμῖν διορθοῦν πρόκειται, ἀλλὰ περὶ τῶν μεγίστων καὶ κυριωτάτων εἰπεῖν, καὶ ὧν μάλιστα πρὸς Πλάτωνα διενηνεγμένος οὐκ ὀλίγῳ τῷ μέσῳ τἀνδρὸς ἐλλείπεται.

CAP. XIII.

In sua vero de fine ultimo disputatione, quomodo reprehensionem non incurrit, ubi non eximium illud ac vere pulchrum, quod a virtute proficiscitur, sicut omnes sapientiores, sed voluptatem summum constituit bonum, illam vero intelligens contemplativam? Atqui si voluptas, ea ratione, qua est contemplativa summum sit bonum, quandoquidem voluptas bonum est quatenus est contemplativa, certe contemplatio per se simpliciterque fuerit summum bonum, sive voluptas illam sequatur, sive non, sin autem contemplatio sit bonum, quatenus suavitatem sive voluptatem quamdam habet adjunctam, tum voluptas rursus simpliciter summum erit bonum, sive contemplando, sive aliud agendo ipsam consequamur. Utraque autem ratione contemplativam voluptatem et quatenus est contemplativa et quatenus est voluptas, esse bonum neutiquam fieri potest, nisi intercedat aliud quoddam unum quod huic utrique communiter adhæreat. Illud namque summum bonum simplex atque unum esse oportet et quod desuper ad nos, ab illoque summe uno atque bono quod omnem superat naturam, pervenerit, cum cujus beneficio omnia reliqua quæ nimirum illud participant, bona dici merentur. Nos igitur ipsum honestum sive pulchrum, illud esse dicimus, cujus etiam dum contemplatio fit particeps et bonum et voluptas et quidquid aliud efficitur. Ac videtur Aristoteles eam ob causam voluptati conjunxisse contemplationem, ut voluptatem nimirum nobis propriam nostrum esse bonum ostenderet, quemadmodum etiam contemplationem opus esse maxime nostrum. Oportet namque summum illud bonum, non solum esse bonum, sed nobis quoque accommodari, et ad nos referri, si tale debeat judicari, quod sit votis dignum præ cæteris omnibus et, maxime a nobis eligendum. Qua in re profecto ille non admodum diversam ab Epicuro tuetur sententiam, qui etiam quodam in loco voluptatem summum facit bonum eamque intelligit, quæ in animo consistit. Nempe apparet ipsum Aristotelem etiam Epicuro uberrimam præbuisse occasionem, ut suam de voluptate sententiam audacter in medium afferret, tuendamque susciperet. Nos itaque brevi quadam ratione ostendemus voluptatem illam Aristotelicam non esse summum bonum. Quippe nos ipsos tum maxime sentimus illam ex contemplando capere voluptatem, quando aliquid ex oblivione in memoriam revocatum contemplamur. Quæ autem jam longo tempore animis concepimus, complexique sumus, ex illis non eodem modo capimus voluptatem. Quod si jam voluptas summum sit bonum, illudque quod suavius est et jucundius, melius; si et magis expetendum altero quod minus habet suavitatis et jucunditatis, necesse erit etiam illam rerum ex oblivione in recordationem revocatarum contemplationem et meliorem esse et magis expe-

tendam aliera illa, in qua quis perpetuo sciens perstiterit ac perseverarit. Jam igitur omnibus sanæ mentis hominibus dijudicandum relinquimus, utrum illud magis quam hoc sit amplectendum et quodnam ex duobus illis sit præferendum. Atque de his quidem hactenus, quæ videlicet ad disputationem Aristotelis de moribus pertinent, ubi sane etsi plura sint quæ reprehensionem mereantur, ista tamen modo sufficiant. Neque enim nostri est instituti omnia commemorare, in quibus Aristoteles erravit, sed principalia duntaxat et maxima, præsertimque illa in quibus non exiguo, sed longo intervallo Platonem relinquit, ab eoque multum dissentit.

CAP. XIV.

Dicamus jam aliquid etiam de cœlo et quinto corpore quod Aristoteles primus effinxit. Quatuor esse in hoc conspicuo sive cœlo sive mundo prima et antiquissima corpora, tam superiores omnes philosophi quam Platonici uno ore affirmant, ignem, aerem, aquam, terram. Atque ex his quidem ignem et terram sibi invicem esse maxime contraria, eo quod ignis est levior, propter raritatem, et summum obtinet locum, terra autem gravissima propter densitatem, et quam omnibus aliis est subjecta elementis : aerem vero et aquam in medio amborum propter et raritatem et densitatem, mediam ad utrumque habere rationem. Eodem autem modo, quod ad motum attinet, latione et quiete invicem distingui, ac ignem quidem rursus et terràm sibi invicem maxime esse contraria, aerem vero et aquam, medio ad utrumque loco se habere. Si itaque terra sit immobilis, ignem necesse erit perpetuo moveri, et præterea, si terra quidem sit immobilis, tum aqua movebitur quidem, sed minus quam aer, qui tanto magis movebitur quam aqua, quanto ille quod ad motum, a supremo superatur igne, quem idcirco in perpetuo esse motu fatendum erit. Quod si perpetuo movetur, circularem utique habebit motum. Id namque quod recta movetur, non potest mobilem possidere naturam. Quiescit enim tandem aliquando, quod rectum habet motum. Æther itaque et omne supremum corpus, ipsumque quod ita proprie nominatur cœlum, talem habebit naturam, quam nuper diximus. Jam videamus quibus Aristoteles nixus rationibus contra nos novum illud quintum corpus effinxerit. Videmus, ait, ignem rectum habere motum, cœlum autem circularem. Quapropter ignis diversam a cœlo obtinebit naturam. At, respondeo, videmus etiam quandoque moveri et recto quidem motu; idipsum autem tunc contingere, quando in alieno consistit loco. Quamprimum itaque eo pervenit, quo pertinet, tum quiescit, nec amplius movetur tanquam ad hoc ipsum illius magis sit comparata natura. Quid igitur mirum, si ignem etiam, quando in alieno fuerit loco, recta ferri quandoque videamus, eodem nimirum motu, qui sit omnibus his corporibus communis quæ, si alieno consistant loco, recta feruntur, quo possit, videlicet ille quoque quam citissime ad suum pervenire locum, quem ipsi naturà destinavit et postquam in illo jam versatur, in orbem moveri, tanquam ad hoc ipsum comparatus magis? Cur itaque quintum illud corpus effinxit cujus si quæpiam forte particula in alieno consistat loco, quem motum habebit? num

ΚΕΦΑΛ. ΙΔ'.

Ῥητέον δὲ ἤδη τι καὶ περὶ τῶν ἐς τὸν οὐρανὸν αὐτῷ καὶ τὸ πέμπτον σῶμα κεκαινολογημένων. Τέτταρα τὰ πρεσβύτερα τῶν ἐν τῷδε τῷ οὐρανῷ σωμάτων οἵ τε ἄνωθεν πάντες σοφοὶ, καὶ οἱ περὶ Πλάτωνά φασι, πῦρ, ἀέρα, ὕδωρ, γῆν. Τούτων πῦρ μὲν καὶ γῆν ἐναντιώτατα ἔχειν πρὸς ἀλλήλω· πῦρ μὲν κουφότερόν τε ὂν διὰ μανότητα καὶ πᾶσιν ἐπιπολάζον· γῆν δὲ βαρυτάτην διὰ πυκνότητα καὶ πᾶσιν ὑφισταμένην· ἀέρα δὲ καὶ ὕδωρ ἐν μέσῳ τούτοιν διὰ τὸ καὶ μανότητός τε καὶ πυκνότητος μέσω; ἔχειν αὐτοῖν. Ταύτῃ δὴ καὶ περὶ κίνησίν τε τὴν κατὰ τὴν φορὰν, καὶ στάσιν, πῦρ μὲν αὖ καὶ γῆν πρὸς ἀλλήλω ἐναντιώτατα ἔχειν, ἀέρα δὲ καὶ ὕδωρ ἐν μέσῳ τρύτοιν. Εἰ δ' ἡ γῆ ἀκίνητος, τὸ πῦρ ἂν εἴη ἀεικίνητον, καὶ ἔτι, εἰ ἡ μὲν γῆ ἀκίνητος, τὸ δ' ὕδωρ κινητὸν, τοῦ δ' ἀέρος πολὺ τῇ κινήσει λειπόμενον, ἀὴρ δ' ὕδατος πολλῷ τῷ κινεῖσθαι ὑπερβάλλων, κἂν πῦρ ἀέρος τε ὑπερβάλλῃ πολλῷ ἔτι μᾶλλον τῷ κινεῖσθαι, καὶ ἀεικίνητον εἴη· εἰ δ' ἀεικίνητον, κἀν κύκλῳ κινοῖτο. Ἐπ' εὐθὺ γὰρ κινούμενον οὐχ οἷόν τε οὐδὲ κινητὸν εἶναι. Παύσασθαι γάρ ποτε ἀνάγκη τὸ ἐπ' εὐθὺ κινούμενον τούτου τοῦ σώματος εἶναι τόν τε αἰθέρα καὶ πᾶν τὸ ἀνωτάτω σῶμα, οὐρανόν τε ἰδίως καλούμενον. Τούτοις τοῖς λόγοις τί ἔχων μέμψασθαι Ἀριστοτέλης τὸ πέμπτον σῶμα κεκαινοποίηκεν; Ἐπ' εὐθὺ, φησὶ, φερόμενον ὁρᾶται τὸ πῦρ, ὁ δ' οὐρανὸς κύκλῳ. Ὥστ' οὐκ ἂν εἴη πῦρ ὁ οὐρανὸς τὰ τοῦ σώματος. Ἀλλὰ καὶ ἡ γῆ φερομένη τέ ποτε ὁρᾶται, καὶ ἐπ' εὐθὺ φερομένη· ἀλλὰ τοῦτο μὲν ἀλλοτρίῳ αὐτῇ τόπῳ γεγονυίᾳ ἑκάστοτε συμβαίνει· ἐς δὲ τὸν οἰκεῖον ἀφιγμένη μένει ἤδη, καὶ οὐκ ἔτι φέρεται ὡς πρὸς τοῦτο πεφυκυῖα μᾶλλον. Τί οὖν κωλύει καὶ τὸ πῦρ ἐπειδὴ ἐν ἀλλοτρίῳ τόπῳ γιγνόμενον, ἐπ' εὐθὺ φερόμενον ἑκάστοτε ὁρᾶται, ταύτην μὲν τὴν φορὰν τότε κινεῖσθαι, κοινὸν ὂν ἅπασι τούτοις τοῖς σώμασι τὸ ἐν ἀλλοτρίῳ γεγονόσι τόπῳ εὐθεῖαν φέρεσθαι, ἵνα ταύτῃ δὴ καὶ ὡς τάχιστα ἐπὶ τὸν οἰκεῖον ἀφίκοιτο, ἐπειδὰν δὲ ἐν τῷ οἰκείῳ γένοιτο τόπῳ, τότε δὴ καὶ κύκλῳ κινεῖσθαι πρὸς τοῦτο πεφυκὸς μᾶλλον; τί δ' αὐτῷ τὸ πέμπτον ἐκεῖνο σῶμα εἴ πως αὐτοῦ τι μόριον ἐν ἀλλοτρίῳ ἐγγίγνετο τόπῳ; Πότερα αὐτοῦ μένον κύκλῳ ἐστρέφετ' ἄν; ἢ ἐπ' εὐθὺ ἐνεχθὲν ἐπὶ τὸν οἰκεῖον ἀφίκετ' ἂν τόπον; Ἀλλὰ τῶν τεττάρων, φησὶ, τούτων σωμάτων ἁπάντων κατὰ μέρη φθειρομένων, καὶ οὐδ' ὁτουοῦν αὐτῶν πάντη ἀφθάρτου ὄντος, ἀνάγκη εἶναί τε καὶ πάντη ἄφθαρτον σῶμα, καὶ τοῦτ' εἶναι τὸν οὐρανόν. Τοῦτ' οὐκ ἔτι Ἀριστοτέλει οἱ περὶ Πλάτωνα συγχωροῦσιν. Εἰ γὰρ δὴ οὗ φασιν οὗτοι καθ' αὐτὸ οὐδὲν ἄφθαρτον σῶμα, πῶς γὰρ ἂν οἷόν τ' εἶναι φήσουσιν ἄφθαρτον

καθ' αὐτὸ εἶναι τὸ μεριστόν τε καὶ σχεδαστικὸν, καὶ ὅσα τῇ ἑαυτοῦ φύσει διαλυτόν; τὰ δ' ἄφθαρτα κἀκείνοις δοκοῦντα τῶν σωμάτων οὐ καθ' αὐτὰ ἄφθαρτα εἶναι δοκοῦσιν, ἀλλὰ διὰ ψυχῆς παρουσίαν ὑπ' αὐτῆς ἐκείνης ἀπαθανατίζεσθαι. Καὶ οἱ μὲν περὶ Πλάτωνα οὕτω· ἔδει δέ που καὶ Ἀριστοτέλη, ἅτε καὶ αὐτὸν ἔμψυχα τοιαῦτα τῶν σωμάτων τιθέμενον, τῇ ψυχῇ τοῦτο πρεσβεῖον ἀπονεῖμαι, καὶ μὴ σῶμά τι καθ' αὐτὸ ἄφθαρτον καινοποιεῖν.

A ibidem etiam in orbem verteretur? an vero recta ascendens ad proprium tendet locum? Sed ista, inquit, omnia quatuor corpora cum sint secundum partes dissolutioni obnoxia, neque ullum ex ipsis omnino a corruptione sit immune, necesse erit quoddam etiam exsistere corpus, quod sit corruptionis prorsus expers, idque ipsum erit cœlum. Hoc vero Platonici jam non amplius concedunt Aristoteli. Negant enim per se, suaque vi ac natura immortale esse ullum corpus, nempe quod videant non posse fieri ut id sit immortale, quod est dividuum, certisque constat partibus suaque natura potest dissolvi, quale est corpus omne. Quæ vero corpora ipsi arbitrantur esse immortalia, illa non ex sua natura esse talia sentiunt, sed propter animæ præsentiam reddi immortalia contendunt. Atque illi quidem qui stant a partibus Platonis, in ea sunt sententia. Rectius autem fecisset etiam Aristoteles, qui ipse quoque ejusmodi corpora constituit esse animata, si animæ hanc præstantiam assignasset, et non corpori, nec ipsum per se suaque vi immortale novo quodam modo finxisset.

ΚΕΦΑΛ. ΙΕ'.

Γελοῖος δ' ἐστὶ καὶ ζῶα μὲν τιθέμενος τὰ ἄστρα· φησὶ γάρ που λέγων, Ἡμεῖς δ' ὡς περὶ ζώων αὐτῶν διανοούμεθα· ἔπειτα ἀκίνητα μὲν αὐτὰ καθ' αὐτὰ ἀξιῶν εἶναι, ὑπὸ δὲ σφαιρῶν μόνον ἀνελιττόμενα. Τίνα δὴ καὶ ψυχὴν αὐτὰ ἔχειν ἀξιώσει, εἰ τόν γε ἅπαντα χρόνον ἀκίνητα μένει; οὐ γὰρ δὴ τὴν ὀστρεώδη.

B

CAP. XV.

Risum quoque nobis facit Aristoteles, quod astra quidem concedit esse animata, id quod alicubi affirmat, dicens se eodem loco astra, quo animalia habere: eadem vero postea per se esse immobilia existimat, et motis duntaxat orbibus, quibus sunt infixa, moveri. Quo posito, quæso, qualemnam animam inesse ipsis existimabit, si nimirum omni tempore maneant immobilia? num eam fortassis, qualem ostreis et conchis attribuere solemus

ΚΕΦΑΛ. ΙϚ'.

Πῶς δὲ καὶ ὁ ἥλιος αὐτῷ οὐ τῆς φύσεως τῇ θερμότητι θερμαίνει, ἀλλὰ τῇ κινήσει, τῆς σελήνης οὐ παραπλησίως τῇ γε κινήσει θερμαινούσης· εἰ γὰρ καὶ πολλῷ τῇ ἡλίου ἡ σελήνης κίνησις βραδυτέρα, ἀλλὰ καὶ ἐγγυτέρα ἂν τῇ ἡμῶν πολλῷ. Πέφυκε δὲ τὰ δύναμίν τινα ἔχοντα τοῦ ὁτιοῦν δρᾷν τῶν σωμάτων, ἐγγύθεν μᾶλλον αὐτὸ δρᾷν. Ὥστε καὶ ταύτην τῆς κινήσεως βραδύτητα, τῷ μείονι τοῦ ἀποστήματος ἀνταναπληροῦσαν, παραπλησίως τῷ ἡλίῳ θερμαίνειν, εἰ δὴ ἡ κίνησις ἦν, καὶ οὐ τῆς φύσεως ἡ θερμότης ἡ θερμαίνουσα. Ἀλλ' ὡς μὲν εἰκῇ αὐτῷ τὸ πέμπτον τοῦτο σῶμα κεκαινολόγηται, δέδεικται.

C

CAP. XVI

Jam vero etiam solem non naturæ calliditate, sed motu calorem terris impertire affirmat, lunam vero negat similiter motu calefacere. Quam vero hoc absurdum est? Etiamsi enim lunæ motus sit tardior motu solis, ipsa tamen sidus est novissimum, terrisque familiarissimum. Solent vero ea corpora, quæ virtutem habent aliquam ad agendum, proxime magis illam exserere, ut ita oportuerit etiam istam motus tarditatem minori distantia compensari, lunamque similiter atque solem calefacere, si nimirum res ita haberet, ut motus potius quam calliditas astrorum calorem efficeret. Sed jam demonstratum, quod temere et inconsulto præter aliorum opinionem, quintam naturam cœlo attribuerit.

ΚΕΦΑΛ. ΙΖ'.

Οὐκ ἀφεκτέα δὲ οὐδὲ ἐν τῇ φυσικῇ αὐτῷ ἀκροάσει μάλιστα δὴ οὐ καλῶς ἐκείνου εἰρημένου. Ἄτοπον γάρ φησι τὸ μὴ οἴεσθαι ἕνεκά τού τι γίνεσθαι, ἂν μὴ ἴδωσι τὸ ποιοῦν βουλευσάμενον. Καίτοι καὶ ἡ τέχνη D οὐ βουλεύεται, φησίν. Εἰ γὰρ ἦν ἐν τῷ ξύλῳ ἡ τέχνη, οὐκ ἂν ἐβουλεύετο, καὶ πῶς ἂν τέχνη ἔτι ἔμεινεν οὐ τῶν ἔργων προβουλευομένη; ἢ τί ἄλλο τὸ τέχνην μάλιστα συνιστῶν, ἢ τὸ βουλεύεσθαι; ὃ ἦν τις ἀφέλοιτο αὐτῆς, οὐδ' ἂν τέχνη ἔτι μείνειε· πῶς δ' ἂν καὶ ἐπί τι τέλος ὁτιοῦν ἐνεχθείη μὴ τινος νοῦ αὐτοῦ προβουλευομένου, καὶ τὸ τέλος ἐκεῖνο ἐν ἑαυτῷ δὴ μάλιστα προειληφότος; Εἰ γὰρ καὶ ἡ τέχνη μιμεῖται καὶ κατ' αὐτὸν Ἀριστοτέλη τὴν φύσιν, οὐ τὴν φύσιν ἕδει τῆς τέχνης ὑπολείπεσθαι, ἀλλὰ τὸ μάλιστα δὴ τοῦτο τὴν τέχνην συνιστῶν, πολλῷ πρότερον τὴν φύσιν ἔχειν καὶ μεγαλειότερον. Εἰ δέ τι καὶ ἐν τῇ τέ-

CAP. XVII.

Neque illud silentio præterire possum, quod idem Aristoteles in naturali auscultatione omnino male docet, ubi absurdum est, inquit, non existimare quod fit, fieri propter aliquid, nisi videas id quod movet efficientem causam, cœpisse consilium. Est enim, ait, perspicuum, quod ars quoque movens ea quæ fiunt ex ipsa, non capiat consilium. Etenim si esset in ligno ars, exempli gratia fabricandi naves, quomodo est in iis quæ natura fiunt, ars faceret similiter atque natura, nec caperet consilium. Ad quæ nos breviter respondemus, interrogando, quanam ratione ars posthac appellari possit, ea, quæ non consulit nec deliberat de operibus? An aliquid aliud artem magis constituit, quam capere consilium? Quod sane si quis ab arte exceperit, nullo modo artis appellationem retinebit. Quomodo

autem etiam ad aliquem finem tendet, eumque assequetur, vel ars, vel natura si nulla adsit mens, quæ prius capiat consilium, et finem illum in seipso conceperit? Præterea si ars, teste Aristotele, imitatur naturam, profecto ipsam non oportebit ab arte superari, sed id quod maxime artem constituit, naturæ multo prius et excellentius inesse oportet. Quod si aliquid etiam in arte apparet, quod non deliberat, ut est instrumentum, aut minister, ibi sciendum, non in illis artem sed in architecto sitam esse. Ita quoque si quidquam in natura rationis expers conspiciamus, non utique in illo naturam, quæ opus efficit, collocamus. Est enim natura, Dei lex et institutum. Atqui Dei lex et institutum ratione non caret. Verum enim vero mihi videtur Aristotelem in libris suis tum alios antiquiores, tum maxime Anaxagoram imitatum esse. Ille namque mentem quidem initio orationis suæ huic universo præfecit, in progressu vero ejusdem, nullam prorsus illius facit mentionem, sed ad impietatem potius, qua Deus omnino negatur, deflectit. Eodem modo etiam Aristoteles Deos quidem aliquos facit hujus cœli præsides, maxima autem parte suorum operum prorsus nullam videtur divinitatis memoriam retinuisse, sed ad illam potius Anaxagoræ impietatem quoad ejus fieri potest, declinasse. Id quod de Platone dici non potest, ipsum fecisse vel in aliis disputationibus, vel in hac ipsa, quam nunc oratione tractamus. Ille namque duas facit artes, unam quidem divinam, alteram vero humanam appellans, quarum utraque mente consilioque utatur ac humanæ quidem omne factitium opus: divinæ autem, ea quæ naturaliter fiunt, adscribit. Optime autem etiam Pindarus dixisse videtur, qui Deum præstantissimum artificem appellat.

A χνῃ φαίνηται οὐ βουλευόμενον οἷον ὄργανον, ἤ τις διάκονος, ἀλλ' οὐκ ἐν ἐκείνῳ ἡ τέχνη, ἀλλ' ἐν τῷ ἀρχιτέκτονι. Οὐδέ γε εἰ ἐν τῇ φύσει φαίνεταί τι ἄλογον, ἐν ἐκείνῳ ἡ μάλιστα δὴ τοῦργον δρῶσα φύσις. Ἡ γὰρ φύσις Θεοῦ θεσμός ἐστι. Θεοῦ δὲ θεσμὸς οὐκ ἄλογος. Ἀριστοτέλης δέ μοι δοκεῖ τῶν πρὸ αὐτοῦ ἔν γε τοῖς λόγοις, Ἀναξαγόραν μάλιστα ἐζηλωκέναι. Ἐκεῖνός τε γὰρ νοῦν μὲν τοῖς ὅλοις ἐφίστη, προϊὼν δὲ τῶν λόγων οὐ πάνυ τοι ἐφαίνετο αὐτῷ χρώμενος, ἀλλ' ἐς ἀθεότητα μᾶλλον ὑποφερόμενος. Καὶ Ἀριστοτέλης θεοὺς μέν τινας τῷδε τῷ οὐρανῷ ἐφίστησιν, ἐν μέντοι τῶν λόγων αὐτοῦ τοῖς πλείστοις οὐ πάνυ τοι τῷ θείῳ χρώμενος φαίνεται, ἀλλ' ἐς ἀθεότητα μᾶλλον, καθόσον οἷός τέ ἐστιν ἀποκλίνων. Ἀλλ' οὐχὶ Πλάτων οὕτω, οὔτε ἄλλοθι τῶν λόγων, οὔτ' ἐν αὐτῷ τούτῳ περὶ οὗ ἡμῖν ὁ λόγος. Ἀλλὰ δύο τέχνας διαιρῶν, τὴν μὲν θείαν, τὴν δ' ἀνθρωπίνην, νῷ ἄμφω χρωμένῳ, τῇ μὲν ἀνθρωπίνῃ τὸ σκευαστὸν πᾶν ἀπονέμει, τῇ δὲ θείᾳ, τῇ φύσει πάντα γινόμενα. Ἄριστα δὲ καὶ Πίνδαρος εἰπεῖν ἔδοξεν, ἀριστοτέχναν τὸν Θεὸν προσειπών.

B

CAP. XVIII.

Transeo autem etiam ad illud quod in metaphysicis omnium pessime dixit. Cum enim esset quæstio, utrum omnia necessario fiant, aut fierent aliqua, quæ non fierent necessario. Et ii quidem, qui necessario omnia fieri statuerent, duobus proloquiis demonstrare idipsum conentur, inter quæ primum est hoc, quod omne quod fit, ab aliqua causa necesse sit fieri, alterum vero istud, quod omnis causa quæ aliquid facit, idipsum et necessario et certa finitaque ratione faciat, ibi sane Aristoteles cum videret, si duo hæc concedantur, sequi infallibiliter, ut omnia quæ fiunt in rerum natura, ea ex necessitate quadam proficiscantur, ne hoc ipsum concederet, alterum contradictionis membrum assumit, quasi satis firmum, et concedit, aliqua eorum quæ fiunt, necessario fieri, atque ita ad alterum axioma progreditur, et illud quidem, quod omnis causa quidquid illa facit et necessario et certo facit, non tollit. Hoc namque proloquio jam ante abusus fuit in disputatione de sempiterno motu, quem utique manifestissime subvertisset, si illud hoc loco negasset. Deflectit igitur ad alterum et affirmat, aliqua eorum quæ fiunt, sine causa fieri, tollens hoc modo notionem, quam nullus unquam vel sapiens vel plebeius pro incerta ambiguitate habuit, præterquam, ut apparet Aristoteles. Atqui etiam ipse Aristoteles statuit, omne quod movetur, ab alio moveri. Ego vero hoc ipsum axioma quæcunque videlicet moventur, ab alio moveri, propter

C

ΚΕΦΑΛ. ΙΗ'.

Μέτειμι δὲ καὶ ἐπ' ἐκεῖνο τὸ ἐν τῇ μετὰ τὰ φυσικὰ πραγματείᾳ πάντων που φαυλότατα εἰρημένον. Ὄντος γὰρ ζητήματος, πότερα ἅπαντα ἐξ ἀνάγκης γίγνεται, ἢ ἔστιν ἃ καὶ οὐκ ἐξ ἀνάγκης γιγνόμενα τῶν γιγνομένων. Καὶ τῶν ἐξ ἀνάγκης ἅπαντα τιθεμένων γίγνεσθαι ἐκ δυοῖν αὐτῶν ἀξιωμάτων δεικνύναι πειρωμένοι, ἑνὸς μὲν τοῦ ἅπαν τὸ γιγνόμενον ὑπ' αἰτίου τινὸς ἀναγκαῖον εἶναι γίνεσθαι, ἑτέρου δὲ τοῦ ἅπαν αἴτιον ὅ τι ἂν δρᾷη, ἀνάγκῃ τε καὶ ὡρισμένως αὐτὸ δρᾷν, Ἀριστοτέλης συνορῶν τὴν ἀνάγκην τοῦ, τούτοιν κειμένοιν, ἅπαντα ἐξ ἀνάγκης γίγνεσθαι, συμπεραίνεσθαι, ἵνα μὴ τοῦτο συγχωρήσῃ, θάτερον τῆς ἀντιφάσεως μόριον λαμβάνων ὡς δὴ ἐμπέδον, καὶ τιθεὶς εἶναί ἐστιν ἃ τῶν γιγνομένων καὶ ἐξ ἀνάγκης γιγνόμενα, κατὰ θατέρου τοῖν ἀξιωμάτοιν χωρεῖ, καὶ τὸ μὲν ἅπαν αἴτιον ὅ τι ἂν δρᾷη, ἀνάγκῃ τε καὶ ὡρισμένως δρᾷν, οὐκ ἀναιρεῖ. Ἤδη γὰρ αὐτῷ φθάσας κατακέχρηται ἐν τοῖς περὶ ἀϊδίου κινήσεως λόγοις. Αὐτὸς οὖν ἂν αὐτὸν περιφανέστατα περιέτρεπεν εἰ τοῦτο ἀνῄρει· κατὰ δὲ δὴ τοῦ λοιποῦ χωρεῖ, καὶ ἀξιοῖ γίγνεσθαι τῶν γιγνομένων τινὰ καὶ αἰτίου χωρὶς, ἀξίωμα ἀναιρῶν οὐδενὶ ὅτῳ, οὐ σοφῷ, οὐκ ἰδιώτῃ, οὐ παντὸς μᾶλλον ἔμπεδον εἶναι δοκοῦν, πλήν γε δὴ αὐτοῦ, ὡς ἔοικεν, Ἀριστοτέλους. Καίτοι αὐτὸς Ἀριστοτέλης ἀξιοῖ, ἅπαν τὸ κινούμενον ὑπό τινος κινεῖσθαι. Ἐγὼ δ' ὤμην καὶ τοῦτο δ' ἐκεῖνο ἰσχύειν μᾶλλον, ἢ αὐτὸ ὅ· αὐτό. Ἐπεὶ γὰρ πᾶν τὸ κινούμενον γίγνεται ταύτῃ ᾗ κινεῖται (ἕκαστον γὰρ τῶν ἐν τῷ κινουμένῳ κινημάτων γένεσίς τις),

D

ἅπαν δὲ τὸ γιγνόμενον ὑπ' αἰτίου τινὸς γίγνεται, καὶ ἅπαν τὸ κινούμενον ὑπό τινος αἰτίου κινοῖτο ἄν. Ὃ δὲ ἐκεῖνο ἀναιρῶν, τοῦτ' ἔμπεδον οἴεται ἔτι ἑαυτῷ ἔσεσθαι. Καὶ οὐ συνορᾷ καὶ τὴν τοῦ θείου δόξαν, τούτου τοῦ ἀξιώματος ἀναιρουμένου, ἀσθενεστέραν γιγνομένην. Δῆλοι γάρ εἰσιν οἱ ἄνθρωποι διὰ τούτου τοῦ ἀξιώματος τὴν πρώτην καὶ προχειροτάτην τοῦ θείου δόξαν λαμβάνοντες. Ἐπεὶ γὰρ φαίνεται ἔστιν ἃ τῶν ἐν τῷδε τῷ οὐρανῷ γιγνόμενα οὐ τός γε αἰτίας φανερὰς ἔχοντα, οἱ ἄνθρωποι, ἅτε ἅπαν γιγνόμενον ὑπ' αἰτίου τινὸς γίνεσθαι ἀξιοῦντες, ἐπὶ τὴν τοῦ θείου δόξαν ἀναφέρονται. Ἔδει δ' ἐνδείξασθαι Ἀριστοτέλη, καὶ τί ποτε ἄρα ἐστὶν ἐκεῖνο τὸ ἄνευ αἰτίου γιγνόμενον, καὶ μὴ ἁπλῶς οὕτως εἰπεῖν. Ἀλλ' ἐρεῖ τις ἴσως τὸ βουλεύεσθαι, οὕτω καὶ αὐτοῦ Ἀριστοτέλους ἐν τοῖς περὶ ἑρμηνείας αὐτοῦ βιβλίοις φάσκοντος. Ὁρῶμεν γὰρ ὡς ἔστιν ἀρχὴ τῶν ἐσομένων καὶ ἀπὸ τοῦ βουλεύεσθαι καὶ ἀπὸ τοῦ πρᾶξαί τι. Ἀλλὰ κἀν τούτῳ ψεύδεται περιφανῶς· οὐ γὰρ ἀρχὴ τὸ βουλεύεσθαι τῶν ἐσομένων, ἀλλ' αἴτιον μέν που ἔστιν ὤν, ἀρχὴ δ' ἂν αὐτὸ τὸ βουλεύεσθαι οὐ πάνυ τοι, φαινομένων καὶ τούτου προτέρων αἰτιῶν, τῶν περιισταμένων ἡμᾶς πραγμάτων. Δῆλα γὰρ δή, ὅτι μὴ περιστάντων ἡμᾶς πραγμάτων τοιούτων τινῶν, οἷων δόξαν ἡμῖν ὡς βουλευτέα εἴη παρσεῖσαι, οὐδ' ἂν βουλευσαίμεθα. Ἀλλὰ τοῦτο μὲν αὐτῷ τοιοῦτον. Ἡμῖν δὲ δεικτέον καὶ ἐν τούτου τοῦ ἀξιώματος τῇ ἀναιρέσει Ἀριστοτέλη οὐδὲν ἧττον αὐτὴν ὑφ' αὐτοῦ περιτρεπόμενον. Οὐδεμίαν ἐνέργειαν ἐκ δυνάμεως μεταβάλλειν Ἀριστοτέλης ἀξιοῖ, μὴ ἑτέρας αὐτὴν προτέρας ἐνεργείας πρὸς τοῦτο κεκινηκυίας, καὶ τούτῳ τε χρώμενος ἐν τοῖς περὶ ἀϊδίου κινήσεως λόγοις τῷ ἀξιώματι καὶ θατέρῳ, τῷ ἅπαν αἴτιον ἀνάγκη δρᾶν ὅ τι ἂν δρᾷ ἀξιοῦντι, τὴν ἀΐδιον κίνησιν συμπεραίνει. Οὐκοῦν εἴ τι γίγνοιτο τῶν γιγνομένων ἐκ δυνάμεώς που ἐς ἐνέργειαν μεταβαλεῖ, εἰς ἣν οὔποτ' ἂν μεταβάλλοι, μὴ οὐχ ἑτέρας προτέρας ἐνεργείας ταύτην αὐτῷ τὴν μεταβολὴν ἀπειργασμένης· ἡ δὴ καὶ τῆς γενέσεως αὐτῷ ἔσται αἰτία. Καὶ οὕτω οὐδοτιοῦν ἂν γένοιτο αἰτίου χωρίς. Καὶ δῆλός ἐστιν Ἀριστοτέλης ἐν τῇ τὰ μετὰ τὰ φυσικὰ αὐτῷ πραγματείᾳ τὰς πολλὰς τῶν ἑαυτοῦ ἀμαθιῶν συμφορήσας, τοῦτό που φαυλότατον πάντων εἰρηκώς.

A illud alterum valere magis quam ipsum per se existimaverim. Cum enim omne quod movetur, inde fiat sive exsistat, unde ipsum movetur (singuli enim motus quodammodo producuntur in eo, quod movetur), omne autem quod fit, id fiat a causa aliqua, sequetur inde, quod etiam omne quod movetur, ab aliqua causa necesse sit moveri. At ille posito hoc pro confirmato, aliquarum scilicet rerum causam esse nullam, nihilominus tamen illud adhuc firmum fore opinatur, quod ab aliquo, quæcunque moventur, moveri sit necesse. Nec animadvertit, quod sublata aliquarum rerum quæ fiunt causa, etiam opinio quæ habetur de Deo debilior imbecilliorque fiat. Manifestum est enim, quod quidam propter hanc notionem quæ habet, nihil sine sua B causa fieri, præcipuam et vulgarissimam de Deo sententiam amplectantur. Nam quando videntur aliqua, quæ fiunt in hoc mundo, eaque manifestas non habent causas, tum homines, qui omne quod fit, ab aliqua causa fieri compertum habent, ad naturæ divinæ cognitionem feruntur. Oportebat autem demonstrare, o Aristoteles, qualenam sit illud, quod sine causa fieret, neque ita simpliciter rem affirmare. At dicet fortasse aliquis deliberationem esse ex eo genere, id quod ipse Aristoteles in libris de interpretatione videtur dicere. Videmus namque, ait, principium futurorum cum a deliberatione, tum ab actione ipsa exsistere. Sed in eo plane errat. Neque enim deliberatio est principium futurorum, tametsi aliquando sit causa. Ejus autem C rei, de qua deliberant homines, ipsa neutiquam principium est deliberatio, quandoquidem hujusce ipsius aliæ apparent priores et antiquiores causæ, ea videlicet quæ nos circumstant negotia. Id quod inde liquido patet, siquidem nisi nos aliqua circumstent negotia, de quibus consultandum videtur, nos nunquam deliberaturi essemus. Sed transeamus, ipsiqne Aristoteli hoc dogma relinquamus. Jam vero sublato hoc axiomate : omnium rerum esse aliquam causam, Aristotelem nihilominus sibi ipsi esse contrarium ostendemus. Nihil ille arbitratur ex potentia in actum erumpere, nisi alius quidem antecedat actus, qui latentem occultamque illam vim sive potentiam ad affectum sive actum impellat, et promoveat. Hoc ipsum axioma in disputatione de sempiterno motu usurpans, et alterum illud, omnem causam necessario agere, id quod agit, sempiternitatem motus conatur demonstrare. Proinde si quid fiat ex iis quæ fiunt, id ipsum ex potentia in lucem produci necesse erit, in quam porro nunquam producetur, nisi alius quidam antecedat actus, qui talem mutationem efficiat. Quem utique etiam generationis cujuscunque rei auctorem et causam constitui oportet. Atque hoc modo nihil unquam invenietur, quod sine causa fieri dici possit. Quibus demonstratis apparet evidentissime Aristotelem in eo opere, quod de iis quæ res physicas consequuntur inscribi solet, inter alios multos quos congessit errores in hac re turpissime lapsum esse.

ΚΕΦΑΛ. ΙΘ'.

Εὔηθες δ' αὐτοῦ καὶ τὸ τῇ φυσικῇ ἐκεῖνο, τὸ τὴν κίνησιν μὴ συγχωρεῖν, διττήν τε εἶναι καὶ ὁμώνυμον, τὴν μὲν δραστικήν τέ τινα καὶ ἐν τῷ κινουμένῳ. Καίτοι τῶν γε δυνάμεων τῶν περὶ κίνησιν διττῶν ἡ μὲν κινητικὴ καὶ ἐν τῷ κινήσοντι, ἡ δὲ παθητικὴ καὶ ἐν τῷ κινηθησομένῳ δέοι ἂν καὶ

CAP. XIX.

Neque illud sapientiæ cujusdam habet speciem, quod idem Aristoteles in physicis docet, ubi motum non concedit esse duplicem et æquivocum, alium quidem activum qui est in movente, alium vero passivum, qui est in eo quod movetur. Atqui cum sint potentiæ circa motum duplices, una quidem

motiva quæ est in eo quod movebit, alia autem passiva, quæ est in eo quod movebitur, oportet profecto etiam actum constitui duplicem qui utrique potentiæ correspondeat, motivæ quidem potentiæ, activum motum, alteri autem quæ moveri idonea est, passivum. Sed timuit ille ne hic activus motus, motus cum sit, aliquando non moveatur. At timuit ille, quod minime timendum fuisset. Quid enim prohibet activum illum motum et eum qui movet, non moveri? cum is qui movet, quand que sit immobilis. De passivo enim motu palam, quod ipsius non sit eadem ratio. Ac de activo illo ne affirmetur, nihil impedit. Ac in his quidem Aristotelis ignorantiam deteximus, non omnia tamen, sed maxima et præcipua exponentes in quibus a Platone et iis qui Platonem sequuntur, discedit.

A ἐνέργειαν ταύταιν ἑκατέρᾳ κατάλληλον ἀποδιδόναι, τῇ μὲν κινητικῇ δυνάμει τὴν δραστικὴν κίνησιν, τῇ δὲ κινητῇ τὴν παθητικήν. Ἀλλὰ δέδιεν, μὴ ἡ δραστικὴ αὕτη κίνησις οὖσα ἔσθ' ὅτε οὐ κινήσηται. Ἀδεὲς δ' ὡς δεδιώς; Τί γὰρ τὸ κωλῦσον τὴν δραστικὴν ταύτην κίνησιν καὶ κινοῦσαν αὐτὴν μὴ κινεῖσθαι; ὄντος ποτὲ τοῦ κινοῦντος ἀκινήτου; Τὴν μὲν γὰρ παθητικὴν οὐχ οἷόν τε. Τῇ δὲ δραστικῇ τί ἔσται τὸ ἐμποδών. Ἐν τούτοις ἡμεῖς Ἀριστοτέλη ἀμαθαίνοντα ἀποφαίνομεν οὐ πάντα αὐτοῦ, τὰ δὲ μέγιστα καὶ κυριώτατα ὧν πρὸς Πλάτωνά τε καὶ τοὺς περὶ Πλάτωνα διαφέρεται, ἐκλέξαντες.

CAP. XX.

Discrepantia Aristotelis et Platonis in iis quæ ad formas et species sempiternas attinent.

Reliquum jam est, ut de speciebus sermonem instituamus, de quibus maxima solet contentio moveri. In his vero non quidem Platoni consentiemus, sed Aristotelem etiam hac in parte male contradixisse, et in aliis quidem sycophantam agere, in aliis vero non id conficere quod voluit, demonstrabimus, idque nobis vitio vertendum non erit, siquidem etiam in prioribus sunt aliqua, ubi Platoni non consentientes, nihilominus Aristotelem ipsum a seipso dissidere ostendimus. Ac primum quidem illud reprehensione non caret, quod manifeste veritati repugnat ubi post Socratem ait, primos exstitisse, qui sermonem de speciebus in scholas philosophorum introduxerint, Platonem nimirum intelligens. Certum autem est etiam Pythagoræos, qui ante Platonem vixerunt, de hac re disseruisse, sicut ex eo opere Platonis, quod Timæum Locrum nominat, apparet. Ibi namque hoc cœlum ille ex intelligibili exemplo deducens, alterius mundi, quem idanicum vocat, imaginem facit. Atque hoc quidem est hujusmodi. In eo autem quomodo non infert injuriam? Cum Platonici suas illas species, rebus sensui subjectis non synonymas, sed æquivocas esse velint, ipse præter illorum opinionem et voluntatem synonymas conatur ostendere, idque hoc modo. Ait enim non eam ob causam, quod illæ sunt sempiternæ, hæ vero corruptioni subjectæ, non ambas esse synonymas; siquidem etiam longi temporis albedo, eadem sit nihilominus et univoca albedini unius diei. Recte sane, o Aristoteles, si albedini unius diei, alia quidem, at finitam tamen illa etiam quodammodo habens subsistentiam et propterea cum altera comparari idonea, sit synonyma eodem etiam modo mortale immortali, cui illud nullo modo comparari potest, erit synonymum. Et quanam, quæso, fronte talem nectis conclusionem? et unde didicisti comparabilia cum incomparabilibus conferre, illaque his similia facere, ut sic deinceps id quod comparabilibus accidit, existimes incomparabilibus item contingere? Enimvero quispiam tuas illas leges non audivisset, quas ipse in analyticis de ratione de-

ΚΕΦΑΛ. Κ'.

B Λοιπὸς δὲ δὴ ἡμῖν τῶν μεγίστων καὶ ὁ περὶ εἰδῶν λόγος. Περὶ ὧν οὐ Πλάτωνι συνειπεῖν, ἀλλ' Ἀριστοτέλη καὶ ἐν τούτοις ἀποδείξαι φαύλως ἀντιλέγοντα, καὶ τὰ μὲν συκοφαντοῦντα, τὰ δ' οὐ περαίνοντα, ἀνεμέσητον, ἐπεὶ καὶ ἐν τῶν εἰρημένων ἔστιν οἷς οὐδὲν Πλάτωνι συνειρηκότες Ἀριστοτέλη τέως αὐτὸν ὑφ' αὑτοῦ περιτρεπόμενον ἐπιδεδείχαμεν. Πρῶτον μὲν οὖν ἐκεῖνο ἐλεγκτέον ψευδόμενον αὐτὸν, ὅτι δὴ πρώτους μετὰ Σωκράτη φησὶν ἄρξαι τοῦ περὶ εἰδῶν τούτου λόγου, τὸν Πλάτωνα δηλονότι λέγων. Φαίνονται δὲ καὶ πρὸ Πλάτωνος οἱ Πυθαγόρειοι ταύτῃ χρώμενοι τῇ δόξῃ, ὡς ἐκ τοῦ Τιμαίου τοῦ Λοκροῦ βιβλίου ἔστι λαβεῖν. Τὸν γὰρ οὐρανὸν τόνδε συνίστησι νοητοῦ παραδείγματος τοῦ ἰδανικοῦ κόσμου εἰκόνα. Καὶ τοῦτο μὲν οὕτω. Ἐκεῖνο δὲ πῶς
C οὐκ ἀδικεῖ; οὐ συνώνυμα ἀλλ' ὁμώνυμα τοῖς αἰσθητοῖς τὰ εἴδη τιθεμένων τῶν γε εἰδη ἀξιούντων εἶναι αὐτὸς βιαζόμενος συνώνυμα ἀποφαίνει. Οὐ γὰρ τῷ τὰ μὲν ἀΐδια εἶναι, φησὶ, τὰ δὲ φθαρτὰ οὐ συνώνυμα ἔσται, ἐπεὶ καὶ τὸ πολυχρόνιον λευκὸν τῷ ἐφημερίῳ οὐδέν γε ἧττον συνώνυμον. Εὖ γε, ὦ Ἀριστοτέλες, εἰ τῷ ἐφημερίῳ λευκῷ τὸ πολυχρόνιον μὲν, πεπερασμένην δ' ὅπως δήποτε ἔχον τὴν ὕπαρξιν καὶ διὰ τοῦτο συμβλητὴν συνώνυμον, κατὰ τοῦτο καὶ τὸ φθαρτὸν τῷ ἀφθάρτῳ καὶ οὐδαμῇ συμβλητῷ συνώνυμον ἔσται. Καὶ πῶς σοι τὸ τοιοῦτον συμπεραίνεται; πόθεν δ' ἔμαθες συμβλητὰ ἀσυμβλήτοις παραβάλλειν, κἄπειτα τὸ συμβαῖνον, ἐπὶ τῶν συμβλητῶν
D κἀπὶ τῶν ἀσυμβλήτων ἀξιοῦν, συμβαίνειν; εἰ γάρ τις ἐκείνων ἀκούσειεν, ὧν ἐν τῇ ἀποδεικτικῇ περὶ ἀποδείξεως ἀκριβολογῇ, οὗ ποτ' ἂν σε οἰηθείη, οὕτως ψυχρῶς αὐτὸν καὶ φαύλως ἀνέξεσθαι δεικνύναι περὶ ὅτου ἂν πρόθοιο. Ἡμεῖς δέ γε ἴσμεν μὲν ὁμώνυμα τοῖς αἰσθητοῖς τοὺς τὰ εἴδη τιθεμένους εἶναί τε ἀξιοῦντας καὶ καλοῦντας. Οὐ μὴν ἀλλὰ καὶ δείξομεν οὐδ' ἄλλως ἐνὸν αὐτὰ τίθεσθαι ἐξ ὧνπερ ὑποτίθενται. Παραδείγματα γὰρ εἰκόνων τῶν αἰσθητῶν τὰ νοητὰ ὑποτίθενται. Εἰκόνα δὲ παραδείγματι πῶς ἄν τις συνώνυμον εἶναι ἀξιώσειεν, εἰ μὴ καὶ τὸν ἀνδριάντα τὸν Λυσάνδρου τῷ Λυσάνδρῳ συνώνυμον εἶναι ἀξιώσειε, καὶ τὸν Ἡρακλέους τῷ Ἡρακλεῖ; Ἀλλὰ, φησὶν Ἀριστοτέλης, κατά γε γὰρ τοὺς λόγους τοὺς τῶν ἐπιστημῶν, ἔσται εἴδη πάντων ὅσων περ καὶ ἐπιστῆμαί εἰσι, καὶ κατὰ τὸ ἓν ἐπὶ πολλῶν, καὶ

τῶν ἀποφάσεων. Κατὰ δὲ τὸ νοεῖν τι, φθαρέντος, τῶν φθαρτῶν. Ταῦτα ἀσαφῶς μέν πως εἴρηται Ἀριστοτέλει. Δεῖ δὲ ἡμᾶς τὰ ὑπὸ τῶν τὰ εἴδη τιθεμένων λεγόμενα πρότερον ἐκθεμένους, οὕτω τὴν Ἀριστοτέλους διάνοιαν σαφῆ καταστῆσαι. Τὴν ψυχήν φασιν οἱ τὰ εἴδη τιθέμενοι ἀναλαμβάνουσαν ἕξ γε ἐπιστήμην τοὺς τοῖς αἰσθητοῖς λόγους, ἀκριβέστερον αὐτοὺς ἔχοντας καὶ τελεώτερον ἐν ἑαυτῇ ἰσχύν, ἢ ἐν τοῖς αἰσθητοῖς ἔχουσι. Τὸ οὖν τελεώτερον τοῦτο καὶ ἀκριβέστερον οὐκ ἂν ἀπὸ τῶν αἰσθητῶν ἴσχειν τὴν ψυχὴν ὅ γε μὴ ἔστιν ἐν αὐτοῖς. Οὐδ' αὖ μηδαμοῦ ἄλλοθι ὂν αὐτῷ ἐξ αὐτῆς διανοεῖσθαι. Οὐδὲ γὰρ πεφυκέναι τὴν ψυχὴν μηδαμῆ ὂν τι διανοεῖσθαι· τὰς γὰρ ψευδεῖς τῶν δοξῶν οὐχὶ μὴ ὄντων, ἀλλ' ὄντων μὲν, ἄλλων δὲ κατ' ἄλλων εἶναι συνθέσεις τινὰς οὐ κατὰ τὸ ὀρθὸν γινομένας. Λείπεσθαι δὲ ἀφ' ἑτέρας τινὸς φύσεως πολλῷ ἔτι κρείττονός τε καὶ τελεωτέρας ἀφῆκειν τῇ ψυχῇ τὸ τελεώτερον τοῦτο τῶν ἐν τοῖς αἰσθητοῖς λόγων. Πρὸς ταῦτα Ἀριστοτέλης, Εἰ κατὰ τοὺς ἐπιστημῶν, φησὶ, λόγους ὡς δὴ τῶν ἐν τοῖς αἰσθητοῖς τελεωτέρους, δεῖ εἶναι τὰ εἴδη, ἔσται καὶ πάντων ὅσων περ καὶ ἐπιστῆμαί εἰσιν, εἴδη. Κατὰ δὲ τὸ νοεῖν τι περὶ τινος φθαρέντος, εἴ γε μὴ ἔνεστι τῇ ψυχῇ μὴ ὄν τι νοεῖν, ἔσται καὶ ἑκάστου τῶν φθαρτῶν ἴδιον εἶδος. Τὸ δὲ λοιπὸν Ἀριστοτέλους, τὸ κατὰ τὸ ἓν ἐπὶ πολλῶν, καὶ τῶν ἀποφάσεων, βούλεται τόδε. Οὐχ οἷόν τε εἶναι, φασὶν οἱ τὰ εἴδη τιθέμενοι, πολλοῖς ἕν τι καὶ ταυτὸν ἔχουσι, τὸ ταυτὸ τοῦτο αὐτοῖς ἀπὸ τοῦ αὐτομάτου εἶναι. Οὐ γὰρ ἂν οἷόν τε εἶναι τετάχθαι ἅττα ὡσαύτως, ἤτοι ἀεὶ, ἢ καὶ ὡς τὰ πολλὰ ἀπὸ τοῦ αὐτομάτου. Διὸ ἂν ἄρα ἑκάστοις ἕν τι καὶ ταυτὸν καθ' αὐτὸ ἔχουσι καὶ οὐ κατὰ συμβεβηκὸς, ἕν τι ἐξαίρετον ἐφεστάναι, τὸ τοῖς πολλοῖς τὸ κατ' αὐτὸν παρέξον. Πρὸς τοῦτο Ἀριστοτέλης, καὶ κατὰ τὸ ἕν, φησὶν, ἐπὶ πολλῶν, καὶ τῶν ἀποφάσεων. Δηλαδὴ, εἰ κατὰ τὸ ἓν τι εἶναι τοῖς ἀνθρώποις τὴν ἀνθρωπότητα, δεῖ τι εἶναι καὶ ἓν ἐξαίρετον τὸ τὴν ἀνθρωπότητα αὐτοῖς ταύτην παρέξον, δέον ἂν καὶ τοῖς οὐκ ἀνθρώποις εἶναί τι ἓν τὸ τὴν οὐκ ἀνθρωπότητα αὐτοῖς παρέξον. Καὶ γὰρ καὶ τούτοις ἕν τι καὶ ἡ οὐκ ἀνθρωπότης πολλοῖς γε οὖσιν, ὥσπερ καὶ τοῖς ἀνθρώποις ἡ ἀνθρωπότης. Ταῦτα, μὲν οὖν τὰ Ἀριστοτέλους· ἡμῖν δ' ἀνάγκη οἵά τε τὰ εἴδη καὶ ὅπως ἔχοντα οἱ τιθέμενοι ἀξιοῦσιν εἶναι πρότερον ἐκθεμένοις, οὕτω πρὸς τὰ Ἀριστοτέλους ἁπαντᾶν, οὕτω γὰρ ἂν σαφέστατα ἐλεγχθείη, τὰ μὲν συνοφαντῶν, τὰ δ' οὐδὲν περαίνων. Οὐ τοῦδε τοῦ οὐρανοῦ δημιουργὸν προσεχῆ τὸν ἄκρως ἀγαθὸν Θεὸν οἱ τὰ εἴδη τιθέμενοι ἀξιοῦσιν εἶναι, ἀλλ' ἑτέρας πρότερον φύσεως καὶ οὐσίας ἑαυτῷ τε συγγενεστέρας καὶ αἰωνίας ἀεί τε καὶ κατ' αὐτὰ ὡσαύτως ἐχούσης, τὸν δ' οὐρανὸν τόνδε δι' ἐκείνης ἤδη τῆς οὐσίας καὶ οὐ κατ' αὐτὸν δι' αὐτοῦ δεδημιουργηκέναι. Ἐκείνην τε τὴν οὐσίαν ἐς ἕνα τε νοητὸν κόσμον συνιστᾶσιν, ὃν ὁ Λοκρὸς Τίμαιος ἰδανικὸν καλεῖ, δηλαδὴ εἰδικόν. Καὶ ἐκ πάντων τε καὶ παντοίων εἰδῶν συντιθέντες νῶν τε τῶν αὐτῶν, ἕνα τῷ ὅλῳ κόσμῳ τούτῳ νοητῷ, τὸν τελεώτατον ἐφιστᾶσι νοῦν, τὰ δευτερεῖα τῆς κατὰ

A monstrandi tam curiose præscripsisti, non quidem existimatio mentem obreperet tam frigide tamque perverse teipsum conari hæc demonstrare, de quibus jam disserimus. Nos vero scimus certo, ab illis, qui species amplectuntur, species non synonymas, sed cognomines sive æquivocas rebus sensui subjectis et existimari et appellari. Cæterum ostendemus nullo modo esse cognatas sive synonymas, ejusdemque prorsus naturæ, ex iis principiis, quibus illi utuntur. Intelligibilia namque illa, rerum sensui subjectarum tanquam imaginem exemplaria faciunt. Imaginem autem quanam quis ratione exemplari cognatam sive univocam esse existimaverit, nisi forte idem etiam statuam Lysandri cognatam sive univocam Lysandro et Herculis statuam B Herculi synonymam appellet. Verum enimvero his Aristoteles utitur rationibus et sic inquit, secundum namque rationes, quæ ex scientiis, species erunt omnium, quorum scientiæ sunt, secundum vero unum in multis et negationum. At secundum quod intelligitur quippiam, eo corrupto, etiam corruptibilium. Hæc quidem obscure quodammodo dicta sunt ab Aristotele. Oportet itaque nos prius explicare illa quæ ab iis dicuntur, qui species constituunt, atque sic deinceps Aristotelis mentem planam facere. Illi itaque formarum sive specierum auctores patronique aiunt, quod si rationes rerum sensibus subjectarum ita animo concipiantur, ut illas animus scientia contineat, tum rationes illæ C accuratius se habent perfectiusque in seipsis consistunt, quam in rebus se habent, quæ sensu percipiuntur. Perfectius itaque illud atque accuratius non a rebus sensui subjectis obtinebit animus quod quidem non est in ipsis, neque rursus id quod alibi nusquam exsistat, animus ex seipso concipiet. Neque enim solet animus id quod nusquam est, aliqua ex parte concipere : si quidem mendaces opiniones tum concipiuntur, quando non ea quidem, quæ non sunt, sed ea quæ sunt alia aliis non recte conjunguntur. Hinc igitur sequi aiunt, ut ab alia quadam adhuc præstantiore et perfectiore natura, perfectius illud earum rationum, quæ in rebus sensui subjectis sunt, animus adipiscatur. Jam adversus D hæc Aristoteles inquit, si secundum rationes, quæ ex scientiis, utpote ex iis quæ sunt perfectiores, quam eæ quæ sunt in rebus sensui subjectis, oportet esse species sive formas, tum erunt etiam formæ omnium rerum, quæcunque scientia continentur. At secundum quod intelligitur quippiam, quod jam interierit, si modo animus id quod non exsistit non concipiat, intelligatve, erunt etiam singulorum corruptibilium propriæ formæ. Quod sequitur in verbis Aristotelis, ubi dicit, secundum vero unum in multis, et negationum, hunc habet sensum. Aiunt qui ideas defendunt, non posse fieri, ut multis unum et idem quidpiam habentibus, illud idem sua sponte et temere contingat. Neque enim posse fieri, ut aliqua aut semper aut ut plurimum fortuito quodam casu eumdem servent ordinem. Oportet

itaque singulis per se et non per accidens unum atque idem quidpiam commune obtinentibus, unum quidpiam eximium atque selectum præesse, quod multis illud unum atque idem impertiat. Adversus hæc Aristoteles, et secundum unum inquit, in multis et negationum. Quippe si secundum id quod unum quippiam insit exempli gratia multis hominibus, humanitas videlicet, oportet unum quidpiam eximium constituere, quod illis hanc humanitatem impertiat, oportebit etiam unum quippiam esse, quod omnibus non hominibus, rationem eam, qua non sunt homines, largiatur. Etenim etiam illi unum quippiam habent commune, ut sint non homines, quemadmodum illi qui sunt homines humanitatem communem obtinent. Hactenus itaque Aristoteles. Nos vero operæ pretium nos facturos arbitramur, si priusquam ad ipsius rationes respondeamus explanemus primum qualesnam et cujusmodi esse suas species sive formas existiment illi, qui ipsas constituunt, quibus expositis tandem Aristotelicis opportune occurremus rationibus. Hac namque ratione apertissime convincemus illum in quibusdam quidem calumniatum esse, in quibusdam vero non id conficere quod optabat. Illi itaque qui ideas defendunt, aiunt Deum illum optimum maximum qui summa quadam excellentique bonitate est præditus immediatum non esse hujusce cœli opificem, sed prius alterius cujusdam naturæ atque essentiæ, quæ et cum ipso majorem habeat cognationem et cum sit sempiterna, semper eadem, similique ratione se habeat. Eumdem itaque illum Deum non per seipsum, sed per illam jam productam sive essentiam sive naturam hujusce cœli fuisse fabricatorem, atque illam quidem essentiam in unum intelligibilem mundum coagmentant, quem Locrus ille Timæus idanicum appellat, ac si dicat, specialem vel exemplarem, qui nimirum ex omnibus, iisque multifariis sit constructus speciebus, quas etiam mentes vocant. Toti vero huic intelligibili mundo unam quamdam perfectissimam præficiunt mentem, cui post illum omnis boni auctorem atque fontem deum secundas in gubernatione imperiique universi partes ascribunt. Hanc porro mentem illo per seipsum intelligibili speciali mundo usam, hoc nostris conspicuum oculis cœlum, mundumque sensibus subjectum fabricatum esse. Esse itaque hunc sensibus patentem mundum illius intelligibilis simulacrum atque imaginem, nihilque ex iis quæ causis suis indigent, tam in toto quam in partibus exsistere, quod non ab illo altero ortum trahat, causis vero indigere, quæcunque existant in rebus, quæque fiant, et privationes et frustrationes, et quidquid denique ad id quod nusquam est, recidit nullam omnino causam postulare, imo potius defectu causæ cuncta ejusmodi contingere, neque item negationes. Nam quod causa contrariæ affirmationis desit, ex eo una oritur negatio. Neque etiam, quæ per accidens hic contingunt, eorum ullam prorsus illic causam ha-

A πάντων ἡγεμονίας μετὰ τὸν ἀγαθὸν Θεὸν αὐτῷ προνέμοντες. Τοῦτον τὸν νοῦν παραδείγματι τῷ καθ' ἑαυτὸν νοητῷ κόσμῳ κεχρημένον, τὸν οὐρανὸν τόνδε καὶ κόσμον αἰσθητὸν δεδημιουργηκέναι. Εἶναί τε τὸν αἰσθητὸν τόνδε κόσμον τοῦ νοητοῦ εἰκόνα, κατὰ τὸ ὅλον καὶ μέρη οὐδὲν ὅτι καὶ οὐκ ἐκεῖθεν ἔχοντα τῶν αἰτίου δεομένων. Δεῖσθαι δ' αἰτίου ἅπαντα τὰ ὄντα τε καὶ γιγνόμενα. Στερήσεις δὲ καὶ ἀποτεύγματα καὶ ὅ τι ἂν πρὸς τὸ μὴ ὂν ἤδη ἀποπίπτῃ οὐδ' αἰτίου δεῖσθαι. Ἀλλ' αἰτίου μᾶλλον ἀπολείψει τοιαῦτα ἀποβαίνειν. Οὐδὲ δὴ τὰς ἀποφάσεις. Τῷ γὰρ τοῦ τῶν καταφάσεων τῶν γε ἀντικειμένων αἴτιου καὶ ταύτας ἀπολείπεσθαι, ἀποφάσεις ἀποβαίνειν. Οὐδέ γε τῶν κατὰ συμβεβηκὸς τῇδε γιγνομένων ἔν τι ἐκεῖ αἴτιον εἶναι. Καὶ γὰρ τῇδε τὰ B τοιαῦτα πλειόνων αἰτίων συνόδῳ ἀποβαίνειν, ὧν ἕκαστον ἐκεῖσε ἀναφέρεσθαι, καὶ οὐχ ἕν τι εἶναι ἐκεῖ τὸ τῶν τοιούτων αἴτιον. Οὐδέ γε τῶν ἀπείρων ἕν τι καθέκαστον ἐκεῖ εἶναι αἴτιον, ἀλλ' ἕν τι πάντων τῶν τῇδε ἐς ἀπειρίαν ἤδη ἐκπιπτόντων ἐκεῖ εἶναι τὸ αἴτιον εἶδος. Οὐδαμῇ γὰρ ἀπειρίας τῆς κατὰ τὸ ποσὸν τοῖς ἐκεῖ μετεῖναι. Ἀλλὰ τῷ μὲν ὑπερουσίῳ Θεῷ οὐδ' ὅλως πλήθους. Ἄκρως γὰρ δὴ ἓν αὐτὸν εἶναι· τῷ δὲ νοητῷ τούτῳ διακόσμῳ πλῆθος μὲν ἐνεῖναι, πεπερασμένον δ' αὐτὸ εἶναι καὶ οὐδαμῇ ἄπειρον, οὔτε δυνάμει οὔτε ἔργῳ. Τῷ δ' αἰσθητῷ τῷδε κόσμῳ τὴν ἀπειρίαν ἤδη ὡς ἐνδέχεται ἐγγεγονέναι διὰ τὴν ὕλην, ᾗ πρώτως τὸ ἄπειρον πρόσεστιν, ἐκεῖθεν μὲν καὶ ταύτην ἔχουσαν τὴν αἰτίαν οὐ μέν τοι κἀκεῖ ἄπειρον οὖσαν. Οὐδὲ γὰρ τῶν τῇδε λόγων, ἄλογον C κἀκεῖ εἶναι τὸ εἶδος, οὐδέ γε τῶν κινουμένων, κινούμενον. Τῶν γε μὴν τῇδε οὐσῶν, τῶν τε ταῖς οὐσίαις καθ' αὐτὰ προσόντων καὶ σχέσεων ἐκεῖ εἶναι τὰ εἴδη τε καὶ παραδείγματα τῶν μὲν σχέσεων, ὅτι οὐδὲ τὰ κἀκεῖ ἄσχετα πρὸς ἄλληλα. Τῶν οὖν ἐκεῖ σχέσεων τὰς τῇδε δεῖ εἶναι εἰκόνας, τῶν δὲ προσόντων, ὅτι οὐδ' ἄνευ προσόντων τἀκεῖ. Τοῦ μὲν γὰρ ὑπερουσίου ἑνὸς ἅτε ἄκρως ἑνὸς ὄντος οὔτε οὐσίαν, οὔτε προσὸν, οὔτε ἐνέργειαν, οὔτε δύναμιν διακεκρίσθαι. Τῶν δὲ εἰδῶν τε καὶ νῶν τούτων ἅτε οὐκ ἐκείνῳ παρισουμένων, προσόντα μὲν οὐσίας διακεκρίσθαι, ἐνεργείας δὲ δύναμιν οὐδέπω, ἀλλὰ τοῖς τῇδε ἤδη πρὸς τῇ ἑτέρᾳ καὶ ταύτην τὴν διάκρισιν ἀποδίδοσθαι. Ὥστ' ἂν τἀκεῖ μέσως πως ἔχειν τοῦ τε ὑπερουσίου ἑνὸς, D καὶ τῶν τῇδε καὶ αἰσθητῶν. Οἷα μὲν οὖν καὶ ὅπως ἔχοντα τὰ εἴδη, οἱ τιθέμενοι ἀξιοῦσιν εἶναι, εἴρηται ἡμῖν ὡς διὰ βραχυτάτων τε καὶ ἐν κεφαλαίοις εἰπεῖν. Πρὸς οὖν τὰ Ἀριστοτέλους ἤδη ἀπαντητέον ἂν εἴη. Κατά τε γὰρ τοὺς λόγους τῶν ἐπιστημῶν, ἔσται εἴδη πάντων ὅσωνπερ καὶ ἐπιστῆμαί εἰσιν, εἴπερ ἐπιστῆμαι τῶν καθ' αὐτὰ ἀεί εἰσι. Καὶ εἴ τοι πάλιν τῶν καθ' αὐτὰ προσόντων εἰσὶν, οὐχ οἵ γε τὰ εἴδη τιθέμενοι ὀκνήσουσι μὴ ἁπάντων τούτων φάναι εἶναι εἴδη, οὐ μέν τοι ὡσαύτως πάντων. Ἀλλὰ τῶν μὲν ἐς πεπερασμένα εἴδη τὰ τῇδε διακρινομένων ἓν ἐφ' ἑκάστῳ εἶδη, τῶν δὲ ἐς ἀπειρίαν ἤδη ἐκπιπτόντων, ἓν ἐπὶ πᾶσι τοῖς ἀπείροις. Αὐτίκα γὰρ τῷ τῇδε ἀριθμῷ παντὶ διὰ τὴν ἀπειρίαν, ἓν τὸ ἐκεῖ εἶδος ἐφιστᾶσιν ἐνιαῖόν τε καὶ καθ' ἓν ἅπαντα

Ταύτη τοι καὶ τῶν λόγων (7) τοὺς ἐπιταφίους τε καὶ ἐπικηδείους πολὺ ἄν τις τῶν ἄλλων ἐγκωμίων τῶν κατὰ ἀνθρώπων γινομένων ἡγήσαιτο ἀσφαλεστέρους, ὡς ἂν ἐπὶ βεβαίαις τε ἤδη πράξεσι καὶ πολλήν τινα τὴν ἀσφάλειαν εἰληφυίαις γιγνομένους (8). Καὶ Ἀθηναῖοι κατὰ τοὺς τοῦ Σόλωνος νόμους πολιτευόμενοι, τὰ πολλὰ τούτοις μάλιστα ἐπὶ τοῖς καλῶς τετελευτηκόσι χρῆσθαι ἐνόμισαν.

Καὶ δὴ καὶ ἡμεῖς ἐς τόνδε τὸν λόγον ἐπὶ τοῦ θειοτάτου ἡμῶν ἡγεμόνος γυναικὶ οἰχομένῃ, εἰπεῖν προήχθημεν, ἅμα μὲν καλὸν ἀπειληφυίᾳ αὐτῇ πέρας τοῦ βίου, τὴν τῆς ἀρετῆς ἄχρι τελευτῆς σωτηρίαν, καὶ αὐτοὶ κοσμῆσαι τῷ λόγῳ οὐκ ἀπαξιώσαντες, ἅμα δὲ καὶ ἰδίᾳ χάριν αὐτῇ ταύτην ἐκτινύντες, τῆς τε αἰδοῦς καὶ εὐνοίας, ἣν αἰεὶ ἡμῖν ἐνδεικνυμένη διετέλει.

Ἐκείνη γὰρ ἐκ μὲν χώρας (9) τῆς Ἰταλίας ἐγεγόνει, ἧς τοὺς οἰκήτορας ἴσμεν Ῥωμαίοις πάλαι ἑπομένους πολλῆς καὶ τῆς ἀρίστης σχεδὸν τῆς πάσης οἰκουμένης μοίρας κεκρατηκότας. Καὶ τοὺς τῆς ἡμετέρας αὐτῆς ὅρους πρὸς μὲν ἄρκτον Ἴστρῳ, πρὸς δὲ μεσημβρίαν Λιβύης τοῖς ἀοικήτοις, πρὸς δὲ ἑσπέραν Ὠκεανῷ, καὶ πρὸς ἕω Τίγρητι ποταμῷ πεποιημένους. Γονέων (10) δ' αὐτῶν ἧφυ ἀρετῇ τε καὶ ἐμπειρίᾳ πολεμικῇ, τοῦτο μὲν ὧν ἦρξαν πόλεων κεκρατηκότων, αἰεὶ δὲ πρὸς ἅπαντας περὶ τὰ τοιαῦτα εὐδοκιμούντων.

Οὕτω δὲ ἐκ τοιούτων φῦσα, τῇδέ τε ἐλθοῦσα τῷ θειοτάτῳ ἡμῶν συνῴκησεν ἡγεμόνι, καλῷ τε ὄντι καὶ ἀγαθῷ καλή τε κἀγαθῇ, πολύν τε καὶ λαμπρὸν κόσμον φερομένη κατά τε σῶμα καὶ ψυχήν· σώματος μὲν κάλλος καὶ μέγεθος, ψυχῆς δὲ τὸ πρὸς πᾶσαν ἀρετὴν εὖ πεφυκός. Ἔνιαι μὲν γὰρ τῶν γυναικῶν κάλλους σώματος τυχοῦσαι ἔπειτα πολύ τι ψυχῆς αἶσχος τούτῳ ἀντιτιθεῖσαι ἄχρηστον αὐτὸ, μᾶλλον δὲ

(6) I. q. ἐξηγῆται.
(7) Cicero, *De leg.* II, 23, 24.
(8) Confer, qui de sculptura veterum scripserunt, Quensted, Gyraldum, Gutherium, Nicolai e. a. De origine harum orationum vid. Dionys. Halicarn. *Antiq. Rom.* l. v, p. 154 (ed. Lat. Vignon, 1588).

Sed hæc quidem de perfecta et ea quæ cum scientia est virtute dixerit, quæ et ipsi, utpote sapienti, inerat. Nam ubi scientia homini accesserit, necesse est eam omnium potiri et constanter agere, qua ipsa direxerit, ad id quod semper optimum sit.

Ad hæc, multos eorum qui virtutem sectantur, etsi absque certa ratione eam sectentur, recta vero opinione ductos, aliquatenus quidem multa et magna gerere, videas interdum et valde inclarescere. Quandoque tamen et magna peccant, ut qui sint imperiti quidam custodes virtutis, ideo quod nesciunt utique qua ratione virtus bonum sit, vitæ vero finem iis qui eatenus sine peccato perseveraverunt multam eorum quæ per vitam honeste facta sunt securitatem afferre, ea quippe per peccata jam perverti non poterunt.

Quapropter funebres mortualesque orationes, præ cæteris laudationibus quæ de hominibus habentur, multo certiores quisque æstimare solet, quippe quæ circa jam firmas actiones et multam quamdam certitudinem adeptas versentur. Et Athenienses, juxta Solonis leges rem publicam administrantes, ut plurimum in eos præcipue qui decora morte interierunt, hoc laudationum genere utendum esse sanxerunt.

Nos quoque in hancce orationem de divinissimi principis nostri defuncta uxore habendam prodiimus, tum quidem ne eam quæ pulchrum vitæ finem est assecuta, virtutis nempe ad obitum perseverantiam, oratione nostra decorare recusemus, tum vero ut privatim hanc ei partem exsolvamus reverentiæ et benevolentiæ quam nobis exhibere nunquam destitit.

Illa enim ex Italica regione orta erat, cujus incolas novimus Romanos olim continenti progressu majorem melioremque fere orbis universi imperio subjugasse et imperii terminos hujus ad septentrionem Istro, ad meridiem inhabitabilibus Libyæ partibus, ad occidentem oceano et ad auroram Tigri flumine definitos sibi constituisse. Parentes autem ex quibus est orta, virtute et militari peritia per quam civitatibus, quibus imperitabant, potiti sunt, semper apud omnes in rebus hujus generis inclaruere.

Talibus igitur orta, postquam huc venisset, divinissimo principi nostro nupsit pulchra et bona pulchro et bono, multumque et splendidum corporis et animi decorem secum afferens, corporis quidem *pulchritudinem* et *magnitudinem*, animi vero indolem ad omnem virtutem a natura comparatam. Feminarum enim quædam corporis venustatem sortitæ, sed huic multam animi fœditatem

(9) Umbria.
(10) Filia fuit Malatestæ ducis Marchiæ. Phrantz. l. c. II. cap. 10. De Malatestarum Ariminensium genere conf. Paul. Ramusius in Dedicat. Roberti Valturii *De re militari*, Paris. ap. Wechel. 1534 (fol 2). *Pontanus* ad Phrantzam l. c. ad *Leandrum Albertum* in Romanula *Descr. Ital.* delegat.

contraponentes, eam sibique et aliis inutilem, imo et nocivam præstiterunt. Hæc vero, præter splendidam corporis venustatem, splendidiorem adhuc et diviniorem animi pulchritudinem ex altera parte exhibens quamdam quasi imaginem ejus quæ est in animo pulchritudinis corporis speciem præbuit.

A βλαβερὸν καὶ αὐταῖς καὶ ἄλλοις ἀποφαίνουσιν. Ἥδε πρὸς τῷ τοῦ σώματος κάλλει λαμπρῷ ὄντι πολὺ ἔτι λαμπρότερόν τε καὶ θειότερον τὸ τῆς ψυχῆς ἀντεπιδεδειγμένη, εἰδωλόν τι τοῦ τῆς ψυχῆς κάλλους τὸ τοῦ σώματος ἀπέφαινεν.

Ita seipsam omnigenæ virtutis decore exornaverat, prudentiæ, temperantiæ, mansuetudinis, benignitatis, pietatis, caritatis in virum, generositatis, quarum ad singulas a natura optime comparata, adhibita insuper meditatione et exercitatione, præclaram quasi quamdam statuam inter mulieres sese exhibuit. Harum autem uniuscujusque argumenta afferemus paucis quidem, sed quæ satis sint, ne cui videatur ea quæ dicta sint allatæ obiter opinationes.

Οὕτως ἁπάσης ἀρετῆς αὐτὴν εἶδει κατεκεκοσμήκει, φρονήσεως, σωφροσύνης, ἐπιεικείας, χρηστότητος, εὐσεβείας, φιλανδρίας, γενναιότητος, ὧν πρὸς ἕκαστον φύσει τε (11) εὖ πεφυκυῖα, καὶ μελέτην καὶ ἄσκησιν προσειληφυῖα λαμπρόν τι αὐτὴν ἄγαλμα ἐν γυναιξὶν ἀπέδειξε. Τούτων δὲ τεκμήρια ἑκάστου παρεξόμεθα, διὰ βραχέων μὲν, ἀλλ' ἱκανὰ, ὡς μὴ τῷ δόξαι λόγον τηνάλλως εἶναι τὰ λεγόμενα. B

Prudentiæ quidem non solum ad quos oportuerit commerciis uti cum experimento semper, adeoque ratione hinc bene accepta, hinc bene reddita, sed et qua ad reliquam virtutem et honestatem progrediendum sit. Prudentiæ vero opus est ejus quod sit semper melius, discretio et electio.

Φρονήσεως μὲν γὰρ οὐ μόνον πρὸς οὓς ἂν δεήσοι ἐντεύξεσι πεῖρᾳ ἑκάστοτε, ὑφ' οὗ εὖ μὲν λόγον λαμβάνουσα, εὖ δὲ διδοῦσα, ἀλλὰ καὶ ᾗ πρὸς ἄλλην ἀρετήν τε καὶ τὸ καλόν. Φρονήσεως δ' ἔργον ἡ τοῦ ἀεὶ ἀμείνονος κρίσις τε καὶ αἵρεσις (12).

Porro temperantiæ magnum illud argumentum quod ex italica illa vivendi ratione molli remissaque ad nostri moris severitatem et modestiam exactissime sese transtulerit, ita ut ne uni quidem ex nostratibus feminis concederet.

Σωφροσύνης δὲ ἐκεῖνο μέγα τεκμήριον, ἡ ἐκ τῆς Ἰταλικῆς ἀνέσεώς τε καὶ ῥᾳστώνης ἐπὶ τὸ κατεσταλμένον τε καὶ κόσμιον τοῦ ἡμετέρου τρόπου μεταβολὴ ἀκριβεστάτη· ὡς μηδ' ἂν μία τῶν παρὰ ἡμῖν γυναικῶν ὑπερβολὴν λιπεῖν.

Mansuetudinis vero et benignitatis ejus fuit, nulli quidem ullius mali, multis autem multorum bonorum causam semper exstitisse, peccantes quam mitissime tractantem, in egenos beneficia conferentem, et plerumque in eos viros mulieresque qui præ cæteris vita longius processerant et Deo erant addictissimi. C

Ἐπιεικείας δὲ καὶ χρηστότητος τὸ κακοῦ μὲν οὐδενὶ οὐδενὸς, πολλῶν δὲ ἀγαθῶν πολλοῖς αἰτίαν ἑκάστοτε γεγονέναι, ὡς μὲν πραότατα τοῖς ἁμαρτάνουσι προσφερομένην, εὖ δὲ ποιοῦσαν τοὺς δεομένους, καὶ τούτων τοὺς πολλοὺς ἄνδρας τε καὶ γυναῖκας, τῶν μὲν ἄλλων κατὰ τὸν βίον πλεῖστον ἀπεκεχωρηκότας, Θεῷ δὲ μάλιστα προσανέχοντας.

Pietatis autem probatio Dei cultus, quem assiduis orationibus et jejuniis nostrum juxta ritum exhibebat.

Εὐσεβείας δὲ ἀπόδειξις ἡ τοῦ Θεοῦ λατρεία, ἣν προσευχαῖς τε καὶ ἀσιτίαις ἐνδελεχέσι τὸν ἡμέτερον νόμον ἐπιδείκνυτο.

Idem in ea studium ejus quæ est in meritum dilectionis, quam, præter reliquam erga virum docilitatem, cum quoque in talibus imitata, et bona Hesiodi contentione contendens, studebat non superari, sed et superare, si qua potis esset, æmulabatur D

Ἡ δ' αὐτὴ ἐπιτήδευσις καὶ φιλανδρίας, ἣν πρὸς τῇ ἄλλῃ τῇ πρὸς τὸν ἄνδρα εὐπειθείᾳ καὶ περὶ τὰ τοιαῦτα μιμουμένη τε καὶ τούτων, καὶ τὴν ἀγαθὴν (13) Ἡσιόδου ἔριν ἐρίζουσα ἐπιτήδευεν οὐ μόνον λείπεσθαι, ἀλλὰ καὶ ὑπερβάλλειν εἴ πως οἷά τε ἦν φιλονεικοῦσα.

(11) Εὖ πεφυκὼς, i. q. εὐφυὴς bona indole præditus. Valckenar. ad Ammon. p. 87.

(12) Hunc locum sic emendat Boissonadius (*Anecdot.* tom. V, p. 394) ex cod. Reg. 2540 : φρον... πρὸς οὓς ἂν δεήσειεν ἐντεύξεσι πεῖραν ἑκάστοτε ἐλθόν, εὖ μὲν λόγον λ.., εὖ δὲ διδοῦσα· ἀλλὰ καὶ ἡ πρὸς τὴν ἄλλην ἀρετὴν καὶ τὸ καλὸν ὁρμὴ τεκμήριον ἱκανώτατον· εἴγε μέγιστον μὲν ἀγαθὸν ἀνθρώπῳ ἀρετή τε καὶ τὸ καλὸν, φρονήσεως δὲ ἔργον ἡ τοῦ ἀεὶ ἀμείνονος κρίσις τε καὶ αἵρεσις. *Prudentiæ quidem, in suis ad quos oportebat commerciis, experimentum dabat semper, quæ rationem quidem probe acciperet, probe redderet; sed et validissimum fuit argumentum ea qua, ad reliquam virtutem et ad honestum ferebatur proclivitas : si quidem maximum homini bonum est virtus et honestas, prudentiæ autem opus est id quod sit semper melius discernere et eligere.* Jam liquida decurrit sententia. Edit.

(13) Hesiodi Ἔργ. κ. ἡμ. 17 sq.

Τὴν δ' ἑτέρην (sc. ἔριδα).
Θῆκε δέ μιν Κρονίδης ὑψίζυγος, αἰθέρι ναίων,
Γαίης ἐν ῥίζῃσι, καὶ ἀνδράσι, πολλὸν ἀμείνω.
Ἣ τε καὶ ἀπάλαμνόν περ ὁμῶς ἐπὶ ἔργον ἐγείρει.
Εἰς ἕτερον γάρ τίς τε ἰδὼν ἔργοιο χατίζων
Πλούσιον, ὃς σπεύδει μὲν ἀρόμμεναί ἠδὲ φυτεύειν,
Οἶκόν τ' εὖ θέσθαι· ζηλοῖ δέ τε γείτονα γείτων
Εἰς ἄφενον σπεύδοντ'· ἀγαθὴ δ' ἔρις ἥδε βροτοῖσι.

Γενναιότης δὲ ἡ περὶ ταῦτα πάντα κεμάτους καὶ A πόνους οὐ φαύλους ἔχοντα οὐκ ἔκλυσις.

Οὕτω δὲ καὶ μετὰ τοιούτων ἐπιτηδευμάτων βιοῦσα καὶ ταῦτα ἀσκοῦσα καὶ μελετῶσα καλά τε καλοῖς ἀεὶ προστιθεῖσα, ἐπὶ θυγατριδίῳ καλῷ τε κἀγαθῷ καὶ τῶν γονέων ἀξίῳ, ἐν αὐτῇ τῇ τῆς ἡλικίας ἀκμῇ, προσθείην δ' ἄν, ὅτι καὶ τῶν ἡμετέρων ἑορτῶν τε καὶ ἱερῶν τοῖς ἁγιωτάτοις ἄρτι (14) τοῦ ἁγιωτάτου τῶν ἡμετέρων μετειληφυῖα μυστηρίων, νόσῳ τε ὀξυτάτῃ, καὶ κρείττονι πάσης ἰατρικῆς ἐγχειρήσεως τοῦ τῇδε βίου ὑπεχωρεῖ. Ὡς καὶ ἐντεῦθεν θεοφιλῆ (15) ἂν εἰκότως δοκεῖν, ἐν τοιούτῳ τοῦ καιροῦ ὑπὸ Θεοῦ ἀνειλημμένην, πολλὴν μὲν τοῖς ὑπηκόοις κατήφειαν, πλείστην δὲ τῷ θειοτάτῳ ἡμῶν B ἡγεμόνι ἀπολιποῦσα ἀθυμίαν ἐπὶ τῇ ἑαυτῆς ἀποβολῇ.

Ἀλλ' εἰ μὲν μηδέν τι ἦν ἐν τῷ ἀνθρώπῳ ἀθάνατον, ἀνήκεστον ἂν ἦν κατὰ τὸ εἰκὸς καὶ ἡ ἐπὶ τῷ θανάτῳ ἀθυμία· νῦν (16) δ' ὅ τι φαμὲν, τὸ μέν τι ἡμῶν θνητὸν εἶναι, τὸ δ' ἀθάνατον, δῆλα δὴ, ὅτι τοῦτ' ἂν τὸ κυριώτατον ἡμῶν καὶ ὃ μάλιστα ἄνθρωπος εἴη τὸ ἀθάνατον, τὸ δὲ θνητὸν τουτὶ χιτωνίου τινὸς δίκην, τῷ ἀθανάτῳ ἂν ἡμῶν εἴη προσηρμοσμένον.

Ὡς που κἂν ἔχοι καλῶς, ἐπὶ τῇ τοῦ χιτωνίου τοῦδε ἀποβολῇ, οὐθ' ὑπὲρ ἡμῶν αὐτῶν, οὔτε τῶν φίλων σφόδρα τι ἀθυμεῖν, ἕως ἂν τὸ κυριώτατον ἡμῶν καὶ ὃ δὴ αὐτοί ἐσμεν, οὐ μόνον συνεστήκοι τε καὶ σώ- C ζοιτο, ἀλλὰ καὶ πρὸς ἀμείνοσι διατριβαῖς γεγονὸς εἴη τῶν τῇδε· ἅτε ἀμεινόν τε καὶ εἰλικρινέστατον τῇ τοῦ θνητοῦ καὶ γεώδους τοῦδε περιβλήματος ἀποθέσει ἐφαπτόμενόν τε τῶν θείων καὶ ἀπολαῦον. Καὶ μάλιστα εἴ τῳ τις καὶ ἐντεῦθεν μελέτη καὶ συνήθεια εἴη πρὸς αὐτὰ, οἷων καὶ τὴν νῦν οἰχομένην τεύξεσθαι ἐλπίζομεν, εὖ μὲν βεβιωκυῖαν, εὖ δὲ Θεὸν τεθεραπευκυῖαν, εὖ δὲ πρὸς τὰς ἐκεῖσε διατριβὰς παρεσκευασμένην.

Ὁ δέ γε ἐντεῦθεν ἐκείνων ἀμελέτητος εἰκότως ἐκεῖσε ἀφικόμενος ἰλιγγιᾷ τε ἂν καὶ ἀποστρέφοιτο, ἅτε ἀλλοτρίοις τε διὰ τὴν ἀλήθειαν καὶ οὐ πάνυ τοι ἑαυτῷ προσήκουσι πράγμασιν ἐντυγχάνων. Λογιστέον δ' ἂν εἴη περὶ τοῦ θανάτου, καθάπερ ἂν εἰ D περὶ ἀποδημίας μακρᾶς, καὶ ταύτης ἐπὶ πολὺ ἀμείνοσιν ἂν ἐλπίσι γιγνομένης. Οἱ γὰρ πολλοὶ καὶ δακρύουσιν ἀποδημούντων τῶν φιλουμένων, ἐννοοῦντες δήπου τὴν ἐν τῷ παρόντι ἀλλήλων διάστασιν. Ὅμως μέντοι λογιζόμενοι, ἐφ' οἷαις ἐκεῖνοι στέλλονται ἐλπίσι, καὶ συγχαίρουσιν· ὡς δῆλοι γίγνονται τῷ συλλαμβάνειν ἔστιν ὅτε αὐτοῖς, περὶ συχνὰ τῶν πρὸς ἀποδημίαν φερόντων. Οὕτω δὴ καὶ ἐπὶ τοῦ θανάτου τῶν φιλουμένων ἄχθεσθαι μὲν ἡμᾶς πρὸς ὀλίγον, ἐκείνων ἀπολελειμμένους, ἐπ' αὐτῇ τῇ ἀπολείψει, οὐ πάνυ τι ἂν εἴη ἄτοπον· λογιζομένους μέντοι, ἐκεῖ-

(14) Sacram missam.

(15) Θεοφιλὴς felix, beatus, de eo, qui recte agendo κατορθοῦται. Inde θάνατος θεοφιλέστερος ap. Xenoph. Mem. IV, 8, 5.

Generositas autem animi hæc erat ut ea omnia quæ labores non modicos et defatigationes habent non deficeret.

Postquam eum ad modum et talibus cum studiis vixisset et his exercita curis bona bonis addidisset assidue, post tenellam filiam, pulchram æque ac bonam dignamque parentibus, in ipso ætatis flore, et, ut id quoque addiderim, perceptis nuper sacratissimis intra solemnitates nostras et augustissima sacrificia sanctissimis mysteriis, acutissimo morbo qui omnem medicinæ operationem superaret exstincta, ex hac vita decessit. Ita ut etiam inde a Deo dilecta merito censeatur quæ ab ipso in tali temporis opportunitate sit assumpta, multum quidem subditis mœrorem, plurimam vero divinissimo principi nostro tristitiam relinquens.

Quod si vero nihil esset immortale in homine, irremediabilis esset jure merito de morte mœstitia. Nunc autem (15) quod profitemur partem nostri alteram esse mortalem, immortalem vero alteram, evidenter consequitur id quod immortale præcipuam nostri esse partem et proprie hominem, hoc autem quod est mortale, tuniculæ cujusdam instar, ad id quod est in nobis mortis nescium adaptatum esse.

Itaque bene se res habeat, si, abjecta hacce tunicula, neque de nobis ipsis neque de caris nostris vehementer lugeamus, quandoquidem quod in nobis est præcipuum et quod ipsi sumus non solum consistat et servetur, sed et ad meliora quam quæ hic sunt transierit: melius quippe et sincerius, deposito mortali hoc et terrestri involucro, divina attingit hisque fruitur, si cui præsertim jam et hinc exercitatio fuerit et consuetudo ad ea qualia consecuturam esse speramus eam quæ modo defuncta est, quæque optime vixit, optime Deo servierit et optime supernæ illi conversationi sese præparavit.

Qui autem hic illis in rebus fuerit inexercitatus, illuc cum pervenerit, vertigine, ut par est, tenebitur aversabiturque, ut qui ad aliena vere et nullo modo ad se pertinentia occurrerit. Porro de morte ita sentiendum fuerit quasi de longinqua peregrinatione, quæ ad spes multo meliores initur. Nam et plerique, proficiscentibus amicis, lacrymantur, in præsenti utique mutuam separationem animo volventes. Neque eo minus, reputantes quas ob spes ad iter sese accingant illi, congaudent, quod quidem patet dum iis collaborant aliquando in multa quæ ad peregrinationem conferunt. Sic igitur et nos de morte charorum dolere ab illis derelictos, sub ipsam derelictionem, nequaquam inconveniens fuerit. Considerantes tamen quales ad sedes migraverint isti et meliores divinioresque, nosque ipsos

(16) Τὸ ὑπολειφθὲν σῶμα, γεῶδες ὂν καὶ ἄλογον, οὐκ ἔστιν ὁ ἄνθρωπος. Ἡμεῖς μὲν γάρ ἐσμεν ψυχὴ, ζῶον ἀθάνατον, ἐν θνητῷ καθειργμένον φρουρίῳ. Æschin. Dial. III, 5.

quasi ad breve tempus ab illis desertos, rursum melius et ad beatiora eorum socios fore, maximam doloris partem excutere oportet et quam mitissime calamitatem ferre.

Fortassis abs re non erit de animi immortalitate et æternitate pauca quædam et quæ magis sint ad manum disserere. Forsitan enim aliqui sunt, qui de hoc ipso dubitandum esse censeant et metuant ne, postquam interierit homo, et ipse animus cum hacce mole dissolvatur et nullus ubibi supersit. Quorum ex animo nisi metum hunc auferas, ex cæteris certe sermonibus nullam aut modicam capient utilitatem.

Immortalem enim esse hominis animum, non nostra tantum est doctrina, neque ex recenti vel etiam in multis utique orbis partibus, sed antiqua et ex antiquo et semper apud longe plurimas et celebratissimas hominum gentes et tradita et prædicata, imo vero ita fere omnibus credita, ut propalam sit omnes omnino homines ideo in mortuos obsequia quædam conferre, quod persuasum habent ea non quasi iis qui jam nihil sint, sed quasi iis qui sint quam maxime et consistant impendi. Constat enim homines eumdem ad modum et de fide divini numinis et de immortalitate animi sese habere. Esse enim divinum numen tenent omnes et juxta decretas sibi leges colunt, omnesque, fato functis hominibus obsequia deferentes, hos superesse et consistere palam profitentur, ita ut æqualiter utraque opinio certam habeat finem. Quod si utique de qualicunque re sit dubitandum, at certe de his quæ manifestissime et communi calculo et semper apud omnes homines sunt decreta nunquam dubitare liceat.

Ad hæc autem, nullum ex animantibus rationis expertibus numen aliquod exsistere credidit, ideo quod causam non intelligit, neque immortalitatis desiderio affici potest, quia non capit infinitatem ; quod si infinitatem non capit, nec æternitatem : sed rationali naturæ soli, præter cætera multa, data est et causæ et infinitatis cognitio, qua præditus et homo, utpote rationalem animum a Deo sortitus et divinum numen intelligit, itemque intelligit immortalitatem, eamque simul appetit : Deum nempe nequaquam huic naturæ quæ sit omnino a se aliena et mortalis sui cognoscendi facultatem daturum esse, sed ei quæ sit sibi aliquatenus cognata ; communicare enim, si oportuerit, id quod cognoscit ei quod cognoscitur, quæ vero inter se communicant,

(17) Solemne hoc argumentorum genus, quo et immortalem esse animum, et Deum esse, antiquitus probare voluerunt sapientes, scimus, quantum valere debeat. Nulla est enim opinionum, uti hominum, veneranda senectus, neque omnino hoc argumentum aliud quidquam probat, præter hoc, omnes homines a remotissima inde antiquitate immortalitatem et numen optasse : cujus rei qui usus sit in morali argumentandi genere, non contemnendus ille profecto, norunt omnes, qui e critices formula philosophari sciunt.

(18) « Plus apud me antiquorum auctoritas valet, vel nostrorum majorum, qui mortuis tam religiosa jura tribuerunt : quod non fecissent profecto, si nihil ad eos pertinere arbitrarentur. » Cic. *De amic.*, c. 4.

A νους τε πρὸς οἷαις γένοιντο διατριβαῖς ὡς ἀμείνοσι καὶ θειοτέραις, ἑαυτούς τε ὡς πρὸς ὀλίγον ἐκείνων ἀπολελειμμένοι, αὖθις ἀμεινόν τε καὶ ἐπ' ἀμείνοσι πράγμασι συνεσοίμεθα, τοῦ τε πολλοῦ τῆς λύπης δεῖ ἀφαιρεῖν καὶ φέρειν ἂν ὡς πραότατα τὴν συμφοράν.

Ἴσως δ' οὐκ ἂν ἄκαιρον εἴη καὶ περὶ ψυχῆς ἀθανασίας τε καὶ ἀϊδιότητος βραχέ' ἅττα καὶ αὐτὰ τὰ πρυτειρότατα διαλθεῖν. Ἴσως γὰρ ἂν τινες εἶεν, οἳ καὶ περὶ αὐτοῦ τούτου ἐνδοιάζειν ἂν ἀξιοῦντες καὶ δεδιότες, μή, ἐπειδὰν ἀποθάνῃ ὁ ἄνθρωπος, καὶ ἡ ψυχὴ τῷδε τῷ ὄγκῳ συνδιαλύηταί γε καὶ οὐδὲν ἔτι σύδαμοῦ λείπηται. Ὧν ἦν μή τις ἐξέλῃ τῆς ψυχῆς τοῦτο τὸ δέος, τῶν γε ἄλλων πάντων λόγων οὐδὲν ἂν ἢ σμικρόν τι γένοιτο ὄφελος.

B Ὡς γὰρ ἀθάνατον ψυχὴ ἡ ἀνθρωπίνη (17), οὐχ ἡμέτερος μόνον ὁ λόγος οὐδ' ἐκ νέου ἢ καὶ ἐν πολλοῖς τοι τῆς οἰκουμένης μέρεσι τεθρυλλημένος, ἀλλὰ παλαιός τε καὶ ἐκ παλαιοῦ, καὶ αἰεὶ τοῖς πλείστοις καὶ εὐδοκιμωτάτοις τῶν κατὰ τὴν οἰκουμένην γενῶν λεγόμενός τε καὶ ᾀδόμενος, σχεδὸν δὲ πᾶσιν ἀνθρώποις οὕτω ποι δοκῶν. Ὡς δῆλοι γίγνονται ἅπαντες οἱ ἄνθρωποι, θεραπείας τινὰς τοῖς οἰχομένοις προσφέρειν, νομίζοντες οὐχ ὡς οὐκέτι δή οὖσι τὸ μηδὲν, ἀλλ' ὡς ὅτι μάλιστα οὖσί τε καὶ συνεστῶσι. Φαίνονται γὰρ οἱ ἄνθρωποι παραπλησίως πρός τε τὴν τοῦ Θείου δόξαν καὶ τὴν τῆς ψυχῆς ἀθανασίαν ἔχοντες. Εἶναί τε γάρ τι θεῖον ἅπαντες νομίζουσι καὶ θεραπεύουσι κατὰ τὰ δεδογμένα σφίσι, καὶ τοῖς οἰχομένοις τῶν ἀνθρώπων θεραπείας ἅπαντες προσφέροντες δῆλοί εἰσιν ὡς περιόντων τε αὐτῶν καὶ συνεστώντων δοξάζοντες (18). Ὥστ' ἂν παραπλησίως ταύτην τε κἀκείνην τὴν δόξαν τὸ πιστὸν ἔχειν. Εἰ δέ γε ἐνδοιάζειν χρὴ περὶ δόξης ἡστινοσοῦν, ἀλλ' οὗτοι περὶ τῶν οὕτω περιφανῶς καὶ κοινῇ καὶ αἰεὶ πᾶσιν ἀνθρώποις δεδογμένων ἐνδοιάζειν χρή.

C

Ἔτι δ' οὐδὲν τῶν ἀλόγων οὔτε θείου τι νενόμικεν, ὅτι μὴ αἰτίας συνίησιν οὔτ' ἂν ἀϊδιότητος ἐφίοιτο, ὅτι μηδ' ἀπειρίας συνίησιν· εἰ δὲ μὴ ἀπειρίας, οὐδὲ ἀϊδιότητος. Ἀλλὰ μόνῃ τῇ λογικῇ φύσει πρὸς πολλοῖς ἄλλοις, καὶ ἡ τε τῆς αἰτίας καὶ ἡ τῆς ἀπειρίας δέδοται γνῶσις, ἧς καὶ ὁ ἄνθρωπος, ἅτε λογικῆς ψυχῆς πρὸς τοῦ Θεοῦ τετυχηκώς, τοῦ τε Θείου συνίησι καὶ ἀϊδιότητος συνίησί τε ἅμα καὶ ἐφίεται· οὐκ D ἂν τὸν Θεὸν οὔτ' ἂν ἀλλοτρίᾳ τε πάντῃ καὶ θνητῇ φύσει ἑαυτὸν γνωρίζειν, ἀλλά πῃ καὶ οἰκείᾳ. Κοινωνεῖν γὰρ ἂν δέῃ τὸ γινῶσκον τῷ γινωσκομένῳ. Τὰ δὲ κοινωνοῦντα καὶ οἰκειά πῃ ἀλλήλοις δέοι ἂν εἶναι. Οὔτ' ἂν ἀϊδιότητος ἐπιθυμίαν ἐνθέμενον τῷ ἀνθρώπῳ, ἔπειτα ἀτελῆ τε ἂν αὐτὴν καὶ μάταιον ἀπολιπεῖν. Οὐδὲ γὰρ ἄλλο οὐδὲν τῶν μεγάλων καὶ κατὰ

φύσιν ἀτελὲς ἂν ἀπολιπεῖν τὸν Θεὸν, ἀλλὰ τελεσφόρα τε πάντα ποιεῖν κατὰ τὸ εἰκὸς, καὶ εἴ τι προσῆκον ἑαυτοῖς πέρας ἐσαεὶ ἢ ὡς ἐπιτοπολὺ γοῦν ἀποβαίνοντα. Ὥστ' ἂν καὶ κατ' ἄμφω τούτω, τήν τε τοῦ Θείου δόξαν, τήν τε τῆς ἀϊδιότητος ἐπιθυμίαν, ἀΐδιον ἂν τήν γε ἀνθρωπίνην εἶναι ψυχὴν, ἔτι δὲ κἂν ἀπὸ τῶν αὐθαιρέτων θανάτων τοῦτό τις λογίσαιτο. Οὐδὲν γὰρ τῶν ἀλόγων αὐτὸ (αὐτὸ) φαίνεται κτεῖνον ἐκ προνοίας (19). Τῶν δ' ἀνθρώπων εἰσὶν, οἳ ἑαυτοὺς ἀποκτείνουσιν. Εἰ δὲ μηδέν ἐστιν, ὃ ἂν τοῦ ἑαυτοῦ ὀλέθρου ἐφίοιτο, τὰ γὰρ ἄλογα, εἰ καὶ μὴ ἀϊδιότητος ἐφίεται διὰ τὸ μὴ συνιέναι τοῦ τοιούτου, ἀλλ' οὐδ' ἐπὶ τὸν ἑαυτοῦ ὀλεθρον σπεύδει ἑκόντα εἶναι· οὐκ ἂν οὖν οὐδ' ἡ ψυχὴ ἡ ἀνθρωπίνη ἐπί τι τοιοῦτον ὥρμα, εἴ γε καὶ αὐτῇ ὀλεθρον φέρειν ἂν ὁ τοῦ σώματος ἔμελλε θάνατος. Ἀλλ' ἐπειδὰν μηκέτ' ἂν ἑαυτῇ λυσιτελεῖν τὸν μετὰ τοῦ σώματος νομίσῃ βίον, κτείνασα τοῦτο, ἢ καὶ τοῖς κτείναι ἂν ἐθέλουσι προεμένη, ὑπὲρ τοῦ μηδέν τι τῶν αἰσχρῶν καὶ βλάβην ἂν ἑαυτῇ οἰσόντων ς ωρῆσαι, αὐτὴ δηλαδὴ οἴχεται ἀπιοῦσα.

A ex necessitate sibi invicem aliqua ratione cognata esse, neque, postquam immortalitatis desiderium homini Deus ingesserit, illud deinde infectum vanumque destituturum esse ; nec enim ullum aliud ex iis, quæ magna sunt et secundum naturam, infectum a Deo unquam derelinqui, sed ab eo omnia, ut par est, affectui apta fieri, et si quis est finis ipsis idoneus, semper, aut certe ut plurimum, eum finem assequentia, adeoque haud irritum esse hoc utrumque, eam nempe quæ est de divino numine fidem et immortalitatis appetitum. Et vero immortalem esse hominis animum, id etiam ex voluntariis mortibus arguere licet. Nullum enim inter irrationalia videas quod seipsum consulto occidat : ex hominibus autem sunt qui seipsos B interimunt. Porro si nihil sit quod sibi mortem appetat (ea enim quæ ratione carent animalia, etsi non cupiant immortalitatem propterea quod nihil ea de re intelligant, nunquam tamen ad proprium interitum ultro videntur properare), ex consequenti, neque anima humana ad mortem hujus generis spontaneo impetu rueret, si et ipsi interitum corporis occisio esset illatura. Cum vero non jam quidquam utilitatis sibi hanc cum corpore vitam conferre existimaverit, hoc interfecto vel iis qui occidere voluerint projecto, ne quid quod aut pudorem afferat aut nocumentum concedat, ipsa utique abire properat.

Καὶ περὶ μὲν τούτων ἐκ πλειόνων τε καὶ μειζόνων λόγων ἱκανὰ καὶ ταῦτα ἔν γε τῷ παρόντι. Ταύτης δ' ἡμῖν ὑποκειμένης βεβαίας τῆς δόξης, ὡς ἀθάνατος ἡμῶν ἐστιν ἡ ψυχὴ, τά τε ἄλλα γενναιότεροι ἂν καὶ ἀμείνους εἴημεν, καὶ τὰς τοιάσδε συμφορὰς ὡς πραότατα ἂν φέροιμεν.

Et de his quidem ex pluribus et firmioribus argumentis illa impræsentiarum sufficiant. Quum autem nobis suppetat fundatissima hæc opinio immortalem nostram esse animam, et in cæteros generosiores et meliores simus, hasque tales calamitates quam C libentissime feramus.

Ὥστ', ὦ θειότατε ἡμῶν ἡγεμὼν, τούτοις τε τοῖς λόγοις σαυτὸν παραμυθούμενος τὸ πολὺ τῆς ἀθυμίας ἀφαίρει, καὶ ἔτι ἐκεῖνο λογιζόμενος, ὡς σὲ δεῖ ἤδη πρὸς τοῖς πράγμασι γινόμενον σώζειν τὰ κοινὰ, ἡ δ' ἀθυμία μάλιστ' ἂν ἐμποδὼν τῷ τοιούτῳ ἀεὶ γίγνοιτο. Ὁρᾷς γὰρ, οἳ' ἡμῖν τὰ δεινὰ προκεχώρηκε, καὶ ὡς ἐν μεγάλῳ κινδύνῳ τὰ ἡμέτερά ἐστι, καὶ μεγάλης δεῖ τῆς ἐπιμελείας. ὥστ' ἂν σωθῆναί τε καὶ σώζεσθαι. Ἐν δέ σοι τὸ τοιοῦτόν ἐστι, καὶ σοῦ μόνου ἐπιμελουμένου τε ἂν, ὡς δεῖ, ἕποιντο γὰρ ἂν καὶ οἱ ἄλλοι πάντες, σωζοίμεθα, ἐὰν καὶ Θεὸς διδῷ· καὶ ῥᾳθυμήσαντος ἂν μείζων ὁ κίνδυνος. Λογίζου δὲ, καὶ ὅτι, ἂν τέ τι φαῦλον ἀποβῇ, ὃ μὴ γένοιτο, εἰς σὲ τὸ πλεῖστον τῆς αἰτίας ἅπαντες ἀνοίσουσιν· εἴ τέ τι καὶ σωτήριον γίγνοιτο, σὺ καὶ τούτου οἴσῃ τὴν δόξαν. Ὡς οὖν αὐτὸς τὴν μεγίστην ἐπ' ἀμφότερα δόξαν οἰσόμενος, ἅμα δὲ καὶ Θεῷ τοῦτο ὀφείλων, ὅς σοι τὴν ἡμετέραν τήνδε ἐπίστευσεν ἡγεμονίαν, ἐῤῥωμενέστερόν τε καὶ ἐπιμελέστερον τῶν κοινῶν πρόστηθι. Καί σοι Θεὸς διδοίη σώζοντι τὰ κοινὰ ἐπιμελείᾳ

Itaque, divinissime princeps noster, hisce rationibus teipsum solatus nimiam istam mœroris partem exue, et illud insuper animo reputa tui jam esse officii ut totus negotiis intentus rem publicam serves, tristitiam vero quam maximo tali administrationi impedimento esse solere. Vides enim quousque nobis adversa processerint et quanto nostra sint in periculo quantaque opus sit sollicitudine ut salvi et incolumes simus. In te autem hoc totum est teque uno curam gerente quam oportet ; te enim reliqui omnes sequentur, et si Deus benignus dederit, salvi erimus : si vero segnius egeris, majus erit periculum. Id quoque recogita, si quid mali acciderit, quod absit, præcipuam causam in D te omnes collaturos, et si quid, quod sit, ad salutem contigerit, hujus te gloriam esse reportaturum. Cum igitur præcipua utrinque opinio ad te spectet, simulque illud Deo debeas qui tibi hunc in nos principatum commisit, fac rei communi validius sollicitiusque provideas. Detque tibi Deus per tuam

(19) Mira sane argumentatio, qua Apostolius quoque utitur : quam nimirum nescio an hodie quis impune — quod non de philosophis, sed de theologis maxime dico — proferre possit. Ac profecto quid ineptius, quam ex eo, quod nonnulli homines, insani plerumque, se ipsi interficiant, immortalitatem animi velle probare ? Talia neutiquam curant sui interfectores : nam si curarent, hanc ipsam vitam, in qua futuram mereri docentur, non abjicerent (a).

(a) Confer, si lubet, cl. De Bonald in opere quod inscribitur. *Recherches philosophiques*. EDIT.

sollicitudinem commune servanti et ea tractanti quæ oportet, et ea magna sint opus est et nequaquam levia, non tantum apud nos, sed et apud omnes cæteros homines fama inclarescere.

A τε ἂν καὶ τῷ, οἷς δεῖ, ἐγχειρεῖν, δεῖ δὲ μεγάλων τε καὶ οὐδαμῆ φαύλων τῶν πρὸς σωτηρίαν φερόντων, οὐ παρ' ἡμῖν μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις εὐδοκιμεῖν.

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΑΙ ΛΟΓΙΩΤΑΤΟΥ

ΚΥΡ

ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΓΕΜΙΣΤΟΥ

ΕΠΙΤΑΦΙΟΣ

ΕΠΙ ΤΗ ΒΑΣΙΛΙΣΣΗ ΕΛΕΝΗ ΤΗ ΠΑΛΑΙΟΛΟΓΙΝΗ

Τῇ διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθείσῃ Ὑπομονῇ μοναχῇ *.

—

SAPIENTISSIMI AC DOCTISSIMI

DOMINI

GEORGII GEMISTI

LAUDATIO FUNEBRIS

HELENÆ PALÆOLOGINÆ IMPERATRICIS

QUÆ

Post susceptum sacrum et angelicum habitum
Hypomone monacha dicta est (1).

—

Imperatorum ducumque nostrorum matris, vix-dum vita defunctæ, memoriam oratione digna celebrare opus arduum simul et facile videtur. Paucas easque nobilissimo, ut ipsa, loco natas huic nostræ comparandas invenias, paucas virtutibus ipsi æquiparandas. Fuit Threissa, ex antiqua nobilique et numerosa Thracum gente oriunda. Nec vero furore aliquo incitata ab Euxino ponto in Italiam descendit, sed cum ejusdem linguæ sociis ad oceanum usque et continentem ob frigus fere inhabitabilem incoluit. Fuit autem ille populus ab antiquis inde temporibus nequaquam vilis, sed virilis, et docilis.

B Τῇ τῶν ἡμετέρων βασιλέων τε καὶ ἡγουμένων μητρὶ τῇ ἄρτι δὴ ἐκ τοῦδε τοῦ βίου οἰχομένῃ ἄρ' ἢ οὐκ ἄξιον ἔπαινον ἀποδοῦναι, ἢ ῥᾴδιον τὸ τοιοῦτο καὶ τοῦ τυχόντος ἐπαινέτου; Καὶ μὴν οὐ πολλαί; ἂν τις αὐτὴν εὕροι ὁμοίαν τῶν ἐφ' ὁμοίου σχήματος γεγενημένων, οὐδ' ὀλίγα τὰ ὑπάρξαντα αὐτῇ τῶν καλῶν. Αὕτη τοίνυν, τὸ μὲν γένος Θρᾷττα ἦν· οἱ δὲ Θρᾷκες, παλαιόν τε τὸ γένος, καὶ εὐγενῶν τοῖς μεγίστοις τῶν κατὰ τὴν οἰκουμένην ἀριθμούμενον, οὐχ ὅσον ἐντὸς οἴστρου ἀπὸ Εὐξείνου πόντου ἐπ' Ἰταλίαν καθῆκει, ἀλλὰ καὶ ὅσον οἴστρου πέραν, τοῖς ἐπιτάδε ἀμόγλωττον ἔστε ἐπ' ὠκεανόν τε τὸν ἐκεῖ νέμεται, καὶ ἤπειρον σχεδόν τι τὴν ἀοίκητον διὰ ψύχος· πολὺ δὲ κἀκεῖνο καὶ τοῦ ἐπιτάδε τοῦ οἴστρου πολλῷ πλέον, καὶ μὲν δὴ οὐδὲ φαῦλον ἐκ παλαιοῦ τὸ ἔθνος, ἀλλ' ἀνδρεῖόν τε ἅμα καὶ τὰς δόξας οὐκ ἀμαθές.

Qui primus Atheniensibus Eleusinia de animæ immortalitate mysteria monstravit, Eumolpus, Thrax erat, et Græci Musarum chorum a Thracibus recepisse feruntur. Igitur gens musarum cultrix a

C Ὁ γοῦν τὰς ἐλευσινείας τελετὰς Ἀθηναίοις ἐπὶ τῇ τῆς ψυχῆς ἀθανασίᾳ καταστησάμενος Εὔμολπος, ἀνὴρ Θρᾷξ ἦν, καὶ τὸν γε τῶν Μουσῶν χορὸν Ἕλληνες, παρὰ Θρᾳκῶν λέγονται μεμαθηκότες, τιμᾶν.

* Ined. Ex cod. Gr. Paris. n. 1760.

(1) Hæc ab altera Helena Palæologina distinguenda est, quæ etiam post susceptum monachalem habitum Hypomone dicta, anno 1474 in monasterio S. Mauri, Plethone ipso jam e vivis sublato defuncta est. Thomæ Palæologi despotæ filia erat et coniux Serviæ. Vide Phrantzam. Edit.

Τὸ δὲ μουσας τιμῶν ἔθνος οὐκ ἄμουσον, οὐδὲ ἀπαίδευτον οὐδέ γε τὸ ψυχῆς ἀνθρωπίνης τῇ ἀθανασίᾳ νομίζον ἀγενές. Τούτου τοῦ γένους, ὁ τῆς ἄρτι δὴ μετηλλαχυίας τὸν βίον βασιλίδος πατὴρ ἦν χώρας τε ἄρχων οὐ παρὰ Ἄξιὸν ποταμὸν, οὗ τὸ ὕδωρ ἐν ποταμείων ὑδάτων τοῖς κρατίστοις καὶ ὑγιεινοτάτοις πίνειν ἐστὶ, καὶ αὐτὸς ἐν ἀνδρῶν τοῖς ἀνδρειοτάτοις καὶ δικαιοτάτοις τυγχάνων, καὶ τά γε πρὸς τοὺς φίλους πιστότατος. Τοιούτου δὲ πατρὸς γεγονυῖα ἡ τῶν ἡμετέρων βασιλέων τε καὶ ἡγεμόνων αὐτὴ μήτηρ, τῷ τούτων πατρὶ ἐγήματο πολλῷ κρείττονι τήν τε ἀξίαν τύχην ἢ κατὰ τοὺς ἑαυτῆς γονέας καὶ αὐτῷ τε καλῷ κἀγαθῷ βασιλεῖ, καὶ οὐκ ὀλίγων τοιούτων βασιλέων ἀπογόνῳ βασιλεύοντί τε τοῦ ἡμετέρου τούτου τοῦ Ῥωμαίων γένους, οὗ περὶ τῆς πάλαι εὐτυχίας τε ἅμα καὶ ἐς πλείω διακεκριμένη γένει, ἡμῶν μὲν κρείττων, ἐκείνου δέ τι πάνυ λειπομένη. Οὐκ ἔστιν αὖ ὃς οὐ καὶ τοῦτο νομιεῖ. Οὐ γὰρ ἀξιώσει τις τῶν τοῦ Θεοῦ ἔργων τὸ κράτιστον ἡμᾶς τε εἶναι, ταύτας δὴ τὰς ἡμῶν κρείττους φύσεις οὐδεὶς ὅστις οὐ νοῦς ἂν φαίη εἶναι ἢ καὶ ψυχάς τινας τῶν ἡμετέρων κρειττους· εἰ δὲ τοιαῦται ἐκεῖναι φύσεις, τί ἂν ἄλλο αὐτῶν τὸ κυριώτατον εἴη ἔργον καὶ πρᾶξις ἢ ἡ τῶν ὄντων θεωρία, καὶ ἐπ' αὐτῇ ἡ τοῦ τῶν ὅλων Δημιουργοῦ ἔννοια, ἧς τοῖς τυγχάνειν πεφυκόσιν, οὐδεμία τις ἂν ἄλλη γένοιτο κρείττων πρᾶξις οὐδὲ μακαριωτέρα, ἧς καὶ ἄνθρωπος πρὸς τῇ ἄλλῃ τῶν ὄντων θεωρίᾳ, καὶ ταύτης δῆλός ἐστι τυγχάνων. Οὐκοῦν οὐ μόνον τοῖς θηρίων ἔργοις κοινωνοῖ ἂν ἄνθρωπος καὶ τὰ θηρία πράττοι, ἀλλὰ καὶ τοῖς τῶν κρειττόνων ἡμῶν γενῶν εἰ τῆς αὐτῆς αὐτοῖς θεωρίας ἐς δύναμιν καὶ αὐτὸς ἅπτεται, τὰ δὲ κοινωνοῦντα τοῖς ἔργοις, καὶ ταῖς οὐσίαις ἀνάγκη κοινωνεῖν. Ἀνάλογον γὰρ δεῖ ἔχειν οὐσίας τε ἔργοις, καὶ ἔργα οὐσίαις, ὥσπερ οὖν τις τοῖς θηρίων ἔργοις κοινωνοῦντα ἄνθρωπον ὁρῶν, οὐσίαν τῇ θηρίων παραπλησίαν τίθεται αὐτὸν κεκτῆσθαι, καλῶς ἀξιῶν καὶ τοῖς τῶν κρειττόνων ἡμῶν γενῶν κοινωνοῦντα ὁρῶν ἔργοις καὶ οὐσίαν παραπλησίαν τῇ ἐκείνων ἔχει ἀξιούτω, ὡς οὐχ οἷόν τε ὂν μὴ οὐκ ἀπὸ παραπλησίων τῆς οὐσίας παραπλήσια καὶ τὰ ἔργα εἶναι, καὶ ἐκ δυοῖν οὐσίαν τὸν ἄνθρωπον νομιζέτω συντεθεῖσθαι, τῆς μὲν θείας τινὸς, τῆς δὲ θηριώδους, καὶ ταύτης μὲν θνητῆς, τῆς δὲ θείας ἡμῶν ἀθανάτου, εἴ γε καὶ ἡ τῶν κρειττόνων ἡμῶν γενῶν ἀθάνατος· οὐδαμῇ γὰρ ἂν εὔλογον εἴη, ἄκρως ἀγαθῶν ὄντα τὸν Θεὸν καὶ φθόνου ἔξω παντὸς μὴ οὐ πρὸς τοῖς ἄλλοις τι ἀθανάτους τὰς ἐγγυτέρω ἑαυτοῦ οὐσίας παραγαγεῖν· εἰ δ' ἐκεῖναι ἀθάνατοι κἂν ἡμῶν ὅσον τῆς οὐσίας αὐταῖς παραπλήσιον, ἀθάνατον εἴη· ἐπεὶ οὐδ' ἂν ποτε γένοιτο θνητὸν ἀθανάτῳ παραπλήσιον οὐδ' ἐφ' ὁσονοῦν, τὸ πεπερασμένην γε ἔχον τὴν τοῦ εἶναι δύναμιν καὶ ἐπιλείπουσαν, τῷ ἀνεπίλειπτον ἔχοντι καὶ ἄπειρον· καὶ μὲν δὴ κἂν οἱ αὐτοὶ αὐτοὺς ἀποκτιννύντες εἶτε ἀρετῆς περίεργον ἂν εἴη λέγειν παμπόλλων εἰδότων· ἀλλὰ τοσοῦτον εἰπεῖν ἐν τῷ παρόντι οὐ φορτικὸν, ὅτι πολλῶν πολιτειῶν τε καὶ βασιλειῶν γεγονυιῶν ἐν παντὶ τῷ ἐν μνήμῃ χρόνῳ χαλεπὸν ἐστιν εὑρεῖν, ὅπου ἀρετή τε καὶ εὐτυχία ἐπ' αὐτὸ συνελήλυθέτην, ὡς ἐν τῇ πάλαι Ῥωμαίων πολιτείᾳ, ἅμα δὲ καὶ ἐπὶ πολὺ τοῦ χρόνου διαρκέσαν.

Τῇ δὲ νῦν ὑμνουμένῃ βασιλίδι τοῦτο πρῶτον εὐτυχὲς ὑπῆρξε τὸ ἅμα μὲν ἐξ ἀγαθῶν ἅμα δ' οὐκ ἀσήμων φῦσαν, πολλῶν κρείττονος ἢ καθ' ἑαυτὴν τοῦ γάμου τυχεῖν βασιλεῖ Ῥωμαίων γημαμένη· ἄρτι τὴν βασιλείαν μετὰ τὴν τοῦ πατρὸς τελευτὴν παρειληφότι, τὰ δὲ μετὰ ταῦτα οὐκ ἀμιγεῖς αἱ εὐτυχίαι

A musis nequaquam aliena erat animumque ob insitam immortalitatem plurimi faciebat. Imperatricis autem nostræ quæ nunc maxime emortua est, pater regionem non vilem prope Axium flumen regebat, cujus aqua potabilissima eadem et salubberrima censetur. Rex ipse fortissimus et justissimus virorum et erga amicos fidissimus fuit. Talis igitur parentis filia imperatorum ac ducum nostrorum mater, horum genitori nupserat qui generis nobilitate et fortunæ opibus multo clarior ut et virtutum gloria in Romæorum populo excellebat, quamvis inferiori ipsa loco oriunda esset, id quod inter omnes constat. Quicunque enim hominem præstantissimum Creatoris opus existimat, minime animas aliquas nostris meliores esse negabit. Quod si ita est, quid antiquius esse potest quam opinio quæ ex rerum creatarum consideratione oritur, et fine quem universi conditor sibi proposuit, quo nihil melius, nil beatius cogitari potest, et cujus homo ipse manifeste particeps est. Igitur non tantum ut cætera animalia operaretur homo, sed nobilissimorum simul penes nos generum exemplum in operando et cum aliis subsistendo sequeretur. Relationem enim certam intercedere oportet inter exsistentiam et agendi facultatem et vice versa. Quod si quis hominem qua bestiam considerat, bestialem sane ei naturam esse fatebitur, nec tamen melioris eum naturæ compotem negabit, nec mirabitur quod opera naturæ suæ congrua facit. Duas enim homini essentias inesse sibi persuadebit, divinam immortalemque, et bestialem eamque mortalem. Cogitari enim nunquam potest Deum infinite bonum et extra omnem invidiam positum, non partem aliquam divinæ naturæ mortalibus, immortalitatem scilicet, indidisse. Nunquam certe quod mortale est immortalitatem nanciscetur ob limites] naturæ humanæ positos, qui nos perfectos esse non sinunt, etsi nos ipsos propter causam aliquam aut sine causa interimamus, qua de re nunc loqui superflnum esset coram tot viris ejus haud ignaris. Nunc vero ejus rei mentionem facere haud fastidiosum erit, siquidem ex tot quæ quondam floruere civitatibus difficile invenias alteram, in qua virtus et fortuna feliciori quam apud Romæos unione gaudebant ac diutius florucrum.

Huic nostræ quidem imperatrici felici casu obtigit ut bonis iisque nobilibus procreata parentibus Romæorum imperatori genere nobiliori nato nuberet; qui patri defuncto successit, inque regno suo cum varia fortuna luctans invasiones Barbarorum ac obsessiones urbium expertus est non

paucas, inter quas longam diramque initio regni ejus, qua urbs nostra expugnabatur; in quo rerum discrimine imperatrix fortunæ vicissitudinem firmo tulit animo, et in utraque fortuna mentis æquitatem conservavit, nec fracta rebus adversis, nec secundis tumefacta, tempori prudenter inserviens. Ingenii enim acumine plus quam muliebri gaudebat, non minus prudens quam ipsa Penelope. Justitiam vero eam extremam coluisse quis dubitat ubi audiverit nunquam eam aut viro aut mulieri malum intentasse, bona autem in multos multasque contulisse. Id vero ante omnia ei contigit multos eosque bonos filios in lucem edidisse, inter quos imperatores et duces, qui secundum ab imperatore locum occupantes concorditer, et si quando discordiæ locus esset, quod inter ejusdem potestatis socius fieri solet, semper tamen lites sine ira sunt diremptæ.

καὶ τῶν ἐναντίων διὰ τὰς ὑπὸ τῶν Βαρβάρων πολιορκίας, δεινάς τε καὶ χαλεπὰς γεγονυίας· καὶ μάλιστα τὴν μετ' οὐ πολὺ τῆς ἀρχῆς τῆς βασιλέως, ὅτε περ καὶ μακροτάτη καὶ δεινοτάτη τῇ πόλει ἡμῶν ἡ πολιορκία ἐγεγόνει, ἀλλ' ἡ βασιλὶς αὕτη, ὡς μετριώτατα ἐφαίνετο ἀμφοτέρας φέρουσα δι' ἀρετὴν τὰς τύχας, οὔτ' ἐν ταῖς δυστυχίαις ταπεινουμένη, οὔτ' ἐν ταῖς εὐτυχίαις χαυνουμένη· ἀλλὰ τὸ πρέπον ἐν τοῖς καιροῖς ἑκατέροις διασώζουσα· τήν τε γὰρ σύνεσιν καὶ ἅμα γενναιότητα, κρείττων ἢ κατὰ γυναῖκα ἦν, τήν τε σωφροσύνην οὐ χείρων Πηνελόπης, τὴν δὲ δικαιοσύνην, πῶς οὐ τελέαν ἰσχηκυῖα ἦν ἴσμεν, κακὸν μὲν οὐδένα οὔτ' ἀνδρῶν, οὔτε γυναικῶν πώποτε ἐργασαμένην, ἀγαθὰ δὲ πολλούς τε καὶ πολλὰς, καί τις δικαιοσύνης ἕτερος ὅρος κυριώτερος ἢ τὸ κακὸν μὲν μηδένα πώποτε ἐργάσασθαι ἑκόντα εἶναι, ἀγαθὰ δὲ συχνούς, ἐκεῖνο δὲ πρὸς πολλοῖς ἄλλοις εὐτυχέστατον αὐτῇ ὑπῆρξε τὸ πολλῶν καὶ ἀγαθῶν παίδων μητέρα γεγονυῖαν καὶ τῶν μὲν αὐτῶν βασιλέων, τῶν δ' ἡγεμόνων τε ἄλλων, καὶ δευτερεῖα τῆς βασιλείας ἐσχηκότων, πάντας ἐφορᾷν τὰ μὲν πολλὰ, ὁμονοητικῶς ἔχοντας ἀλλήλοιν. Εἰ δέ ποτε καὶ διενεχθῆναί τι συνέβη ἐς μηδὲν ἀνήκεστον ἐξενηνεγμένους, οἷα γίγνεσθαι φιλεῖ τοῖς πολλοῖς τῶν ἐπὶ τῶν ὁμοίων δυναστειῶν καθεστηκότων, ἀλλ' ὥσπερ ἀφοφητὶ τὰς διαφορὰς κατελελυκότας.

Sic igitur fortunata nostra imperatrix omni indolis bonæ laude cumulata, licet haud præmatura ætate decesserit, ægre tamen ejus obitum ferimus; nam ita a natura comparati quotquot mortales sumus, ut rerum vicissitudines ac discrimina ægro animo sustineamus, quia charorum capitum absentiam valde desideramus et luctui indulgemus. Oportet enim ita de nostrorum nostraque ipsorum morte cogitemus: meliorem aliquem et præstantiorem nobis locum reservari et existentiam nostram non una cum morte finire. Exsecrabilis enim est doctrina eorum qui mortem supremam malum esse credunt, ita ut qui illam sectantur, privati aut civitates, in errore ac miseria versentur. Huc accedit quod falsissima esse invenitur, et homines meliores reddere nunquam poterit. Quo enim pacto, quod falsum est, virtutem, et quod verum, vitia ingenerare possit? Nec porro similitudinem spectans quæ inter nos et animalia intercedit, essentiam nostram bestiarum naturæ similem fingas; sed superius illud quod nobis ingenitum est, intuens, persuasum habeto, alteram eamque diviniorem nobis et minime bestialem inesse naturam. Scito enim Deum aliquem universi creatorem omnibus rebus pro infinita sua bonitate præsidere, nec quenquam esse cui aut meditando aut ab aliis id discendo non credat nisi in ultimam lapsus sit morum perversitatem. Nemo etiam dubitabit quin sit aliqua nos inter et illum natura nobis superior, Deo autem inferior. Duas enim homo gerit naturas, unam immortalem, alteram mortalem; nec est causa in ruinam sese ipsum præcipitandi, imo esse et conservari cum oportet. Igitur si homo se ipse occiderit, partem sui mortalem occidit, neque vero immortalem, parum refert, qua de causa id fecerit, et de qua hic loquendi non est tempus nec locus. Scitus

Αὕτη ἡ οὕτω μὲν καλὴ κἀγαθὴ τὴν ψυχὴν, οὕτω δὲ τὴν τύχην εὐτυχὴς τοῖς πλείστοις ἐν ἡλικίᾳ οὐκ ἀώρῳ ἐκ τοῦ τῇδε νῦν οἴχεται βίου, καὶ ἐνεγκεῖν μὲν ἀλγητὸν τὸ γεγονὸς οὐ ῥᾴδιον, ἐπεὶ πεφύκαμέν γε καὶ τὰς ἄλλας τὰς ἐνθάδε ἀλλήλων διαστάσεις καὶ ἀποδημίας καὶ μάλιστα αὐτῶν τὰς μακροτέρας ἔσεσθαι δοκούσας, οὐκ ἀνάλγητοι φέρειν οἱ ἄνθρωποι, ἅτε καὶ ἡδόμενοι μᾶλλον τῷ ἐγγύθεν τοῖς φιλουμένοις συνεῖναι. Ὥστ' ἂν εἰκότως καὶ ἐπὶ ταῖς ἀλλήλων διαστάσεσιν ἀλγεῖν, χρὴ δὲ εἰ καὶ περὶ τῶν τελευτῶν τῶν τε οἰκείων καὶ φίλων καὶ ἡμῶν αὐτῶν οὕτω διανοεῖσθαι, ὡς ἀποδημιῶν τοῦ ἀμείνονός τε καὶ κυριωτέρου ἡμῶν οὐσῶν ἐς δή τινα αὐτῷ προσήκοντα χῶρον, ἀλλ' οὐ τοῦ παντὸς ὀλέθρων. Δεινὸν γὰρ τὸ δόγμα, τὸ τοῦ παντὸς ἡμῶν ὄλεθρον τὸν θάνατον εἶναι, καὶ οἷς ἂν ἐγγίγνηται, καὶ ἰδιώταις καὶ πόλεσι, φαυλοτέρους καὶ ἀγενεστέρους τῷ ἐναντίῳ δόγματι χρωμένων ποιεῖ, ἔπειτα δὲ καὶ ψευδὲς καὶ πρῶτον μὲν τούτῳ αὐτῷ δῆλον ὡς ψευδὲς τῷ χείρους τοὺς ἀνθρώπους ποιεῖν τῶν τῷ ἐναντίῳ δόγματι χρωμένων. Οὐ γὰρ εἰκὸς, τὸ μὲν ψευδὲς δόγμα, βελτίους τοὺς ἀνθρώπους, τὸ δ' ἀληθὲς χείρους ποιεῖν, ἀλλὰ τῷ ὄντι, τὸ μὲν χείρους τοὺς ἀνθρώπους ποιοῦν τοῦτ' ἐστὶ καὶ τὸ ψευδὲς, τὸ δὲ βελτίους, τἀληθές. Ἔπειτα μὴ πρὸς τὴν τῶν θηρίων ἡμῶν μόνον ὁρῶν κοινωνίαν, καὶ πᾶσαν τὴν οὐσίαν τῇ τῶν θηρίων παραπλησίαν οἰέσθω ἡμᾶς ἔχειν, ἀλλὰ καὶ πρὸς τὰς ἑτέρας ἡμῶν πράξεις τὰς θειοτέρας ἀποβλέπων, ἡγείσθω καί τινα ἡμῖν ἐνεῖναι οὐσίαν ἑτέραν, πολὺ τῆς θηρίων ταύτης θειοτέραν· ἔχει γὰρ ὧδε. Θεὸν μέν τινα ἕνα τοῖς ὅλοις ἐφεστᾶναι, δημιουργόν τε αὐτῶν ὄντα, καὶ παραγωγὸν, καὶ τοῦτον ἄκρως ἀγαθὸν εἶναι, οὐδεὶς ὅστις οὐ νομιεῖ, ἢ αὐτὸς ἐννοήσας, ἢ τῶν ὄντων ἀξιούντων ἀκοῦσαι, εἰ μὴ σφόδρα τις διεφθόρει τὴν διάνοιαν, οὐδ' ὡς τούτου καὶ ἡμῶν μεταξὺ εἴη τις ἂν καὶ ἄλλη φύσις, εἴτε δὴ μία τῷ

γένει, εἴτε καὶ δὴ εὐλόγως τοῦτο δρῶντες, εἴτε μὴ, οὐδὲν γὰρ ἂν διαφέροι τὸ τοιοῦτο πρὸς ὃ βουλόμεθα ἐνδείξασθαι δηλώσειαν· ὡς ἐκ δυοῖν ὁ ἄνθρωπος σύνθετός ἐστιν οὐσίαιν, καὶ τῆς μὲν ἀθανάτου, τῆς δὲ θνητῆς, οὐδὲν γὰρ ἐστιν ὃ αὐτὸ ἐπὶ τὸν ἑαυτοῦ ἔλεθρον πέφυκεν ὁρμᾷν, ἀλλ' ἅπαντα τοῦ εἶναί τε καὶ σώζεσθαι, κατὰ δύναμίν γε οὗ μεθίεται· οὐκ ἂν οὖν ὁ ἄνθρωπος αὐτὸς αὑτὸν ἀποκτείνυς, τῷ θνητῷ, αὐτὸ τὸ θνητὸν κνείνοι, ἀλλὰ τῷ ἑαυτοῦ ἀθάνατον τὸ θνητὸν ἐκτὸς τῶνδε καὶ τῶν τοιούτων λογισμῶν, ὧν οὐ πάντων ἐν τῷ παρόντι διεξιέναι καιρός· καὶ τῶν κατὰ τὴν οἰκουμένην ἐθνῶν τὰ παλαιότατά τε τῶν ἐν μνήμῃ καὶ εὐδοκιμώτατα, ἀθανάτους ὁμῶν τὰς ψυχὰς νενομικότα ἴσμεν Ἴβηρας, Κελτούς, Ὑρκανούς, Θρᾷκας, Ἕλληνας, Ῥωμαίους, Αἰγυπτίους, Μήδους, Ἰνδούς, τῶν τε ἄλλων ὅ τι μὴ ἀδόκιμον τῶν ἐν ἀνθρώποις. Εἰκότως οὖν καὶ ἡμεῖς ἀποδημίαν τοῦ κυριωτέρου ἡμῶν ἐς δή τινα αὐτῷ προήκοντα χῶρον, καὶ τῶν οἰκείων καὶ φίλων, ἡμῶν τε αὐτῶν τελευτὰς, ἔφαμεν εἶναι, ἐπί τέ τινα χρόνον ἀλλήλων καὶ οὐκ ἐς ἀεὶ διάστασιν, ὥστ' ἂν καὶ εὐπαραμυθήτως ἔχειν δεῖν πρὸς τὰ τοιαῦτα πάντα ἄνδρα, καὶ μὴ μεγίστας συμφορῶν οἴεσθαι τὰς τῶν οἰκείων τελευτὰς καὶ μάλιστα οἷς δι' ἀρετήν τε καὶ βίον ὀρθὸν ἀγαθῆς καὶ τῆς ἐκεῖσε ἀφίξεως τεύξεσθαι ἐλπὶς ἐστιν· οἷα καὶ περὶ τῆς ἄρτι ἐνθένδε οἰχομένης ταύτης βασιλίδος ἐλπίζειν ἔστιν, οὕτω μὲν ἀρετῇ κεκοσμημένης, οὕτω δὲ καλῶς βεβιωκυίας, ὡς ἅπαντες ἴσμεν· οὐ γὰρ οὐδὲ τοῦτο ἔστιν ὑπολαβεῖν οὐδ' ὄν τινα τῶν καὶ σμικρὸν νοῦν ἐχόντων· ὡς οὐκ ἀμεινόνων μὲν τοὺς ἀγαθοὺς κἀκεῖ ἔστι τυγχάνειν τῶν γε ἄθλων χειρόνων δὲ τοὺς μοχθηροὺς, τοῦ Θεοῦ δικαιοτάτου τε καὶ ἀπαρατρέπτου δικαστοῦ πεπιστευμένου.

A porro quod populi antiquissimi ac celeberrimi animæ immortalitatem professi sunt, ut Iberes, Celti, Hyrcani, Thraces, Græci, Romani, Ægyptii, Medi, Indi et quicunque inter homines famam sunt assecuti. Igitur nos quoque meliorem nostri partem ut et cognatorum atque amicorum post mortem in locum aliquem congruentem credimus abiisse ea lege, ut per tempus aliquod, non in æternum separati vivant. Quare de hisce non desperare debemus, sed bene sperare fore ut, propter virtutem suam, bonam, imo meliorem ibi vitam acturi sint. Hæc eadem igitur in hanc, cujus mortem lugemus, augustam feminam cadere credendum est. Omnes optime cognitam habemus sanctam ejus vitam, et nemo, nisi prorsus amens, dubitat, quin boni B post mortem meliorem vitam assecuti præmiis, mali pœnis afficiantur. Deus enim judex justissimus idem et æquissimus recte creditur.

ΠΛΗΘΩΝΟΣ
ΝΟΜΩΝ ΣΥΓΓΡΑΦΗ.

—

PLETHONIS
LIBER DE LEGIBUS.

—

Ἡ βίβλος ἥδε περιέχει Θεολογίαν μὲν τὴν κατὰ C Ζωροάστρην τε καὶ Πλάτωνα, ὀνομαζομένων τῶν διὰ φιλοσοφίας ἀναγνωριζομένων θεῶν τοῖς πατρίοις τοῖς Ἕλλησι θεῶν ὀνόμασιν, ἑκομένοις ἑκάστοις ἐκ τοῦ οὐ πάνυ τοι συνῳδοῦ φιλοσοφίᾳ, διὰ τὰς ὑπὸ τῶν ποιητῶν διαστροφάς, ἐπὶ τὸ ὡς μάλιστα δὴ φιλοσοφίᾳ συνῳδόν· Ἠθικὰ κατά τε τοὺς αὐτοὺς σοφοὺς καὶ ἔτι μὴν τοὺς Στωϊκούς· Πολιτείαν δὲ Λακωνικὴν, ἀφῃρημένου μὲν αὐτῆς τοῦ ἄγαν τῆς σκληραγωγίας καὶ τοῖς γε πολλοῖς οὐκ εὐπαραδέκτου, προστεθεμένης δὲ τῆς ἐν τοῖς ἄρχουσι μάλιστα φιλοσοφίας, τοῦ κρατίστου δὴ τούτων τῶν Πλατωνικῶν πολιτευμάτων· ἁγιστείας εὐσταλεῖς, καὶ οὔτε περιέργους, οὐδ' αὖ τοῦ δέοντος ἐκλιπεῖς· Φυσικὰ δὲ δὴ κατὰ Ἀριστοτέλην τὰ πολλά. Ἅπτεται δέ πως ἡ βίβλος καὶ λογικῶν ἀρχῶν, ἀρχαιολογίας τε Ἑλληνικῆς, καί πη καὶ ὑγιεινῆς διαίτης.

Liber continet theologiam, dogmatibus Zoroastris et Platonis conformem, cum in ea recenseantur dii qui per philosophiam innotescunt, patriis Græcorum eorum nominibus, singulis ex iis quæ non adeo ob poetarum discordes sententias, seu tergiversationes conformantur, ad quam conformissimum philosophiæ genus redactis. Moralia secundum hos eosdem sapientes, nec non Stoicos; rempublicam vero Laconicam, dempta tamen ex ea nimium severa ac aspera institutione, nec a multis probata, adjecta, quæ apud principes in pretio est philosophia, potissima nempe inter alias, quæ Platonicis reipublicæ administrationibus constat: bene comptas sacrorum cæremonias non nimis curiosas, neque in necessariis deficientes. Naturalia pleraque D ex sententia Aristotelis. Delibat etiam quodammodo liber et principia quæ a ratione non absunt, antiquitates Græcorum, et in quibusdam diætam salubrem.

ΠΙΝΑΞ

ΤΗΣ

ΤΟΥ ΠΛΗΘΩΝΟΣ ΝΟΜΩΝ ΣΥΓΓΡΑΦΗΣ.

Αἱ τοῦ πρώτου βιβλίου ὑποθέσεις.

α'. Περὶ διαφορᾶς τῶν περὶ τῶν μεγίστων ἀνθρώποις δοξῶν.
β'. Περὶ ἡγεμόνων τῶν βελτίστων λόγων.
γ'. Περὶ τοῖν δυοῖν ἐναντίοιν λόγοιν, τοῦ τε Πρωταγορείου καὶ τοῦ Πυῤῥωνείου.
δ'. Ἐς θεοὺς τοὺς λογίους εὐχή.
ε'. Κοιναὶ περὶ θεῶν δόγματα.
ς'. Περὶ Διὸς τοῦ βασιλέως.
ζ'. Περὶ θεῶν τῶν ὑπερουρανίων.
η'. Περὶ θεῶν τῶν ἐντὸς οὐρανοῦ.
θ'. Περὶ τῆς τῶν θεῶν συμπάντων ἀϊδιότητος.
ι'. Περὶ τῆς Ποσειδῶνός τε καὶ τῶν ἄλλων ὑπερουρανίων θεῶν γενέσεως.
ια'. Περὶ τῆς τῶν ἐντὸς οὐρανοῦ τοῦδε ἀθανάτων γενέσεως.
ιβ'. Περὶ τῆς τῶν θνητῶν γενέσεως.
ιγ'. Περὶ ἀνθρώπου γενέσεως.
ιδ'. Περὶ τῆς ἐπ' ἀμφότερα ἀνθρώπου τοτὲ μὲν ἀμείνονος, τοτὲ δὲ χείρονος διαθέσεως.
ιε'. Περὶ τῆς αὐτῆς τῶν καθεστώτων μονῆς.
ις'. Περὶ τῆς τοῦ ἤθους ἀρίστης καταστάσεως.
ιζ'. Περὶ οἰκείας καταστάσεως.
ιη'. Περὶ κληρονομιῶν.
ιθ'. Περὶ τῶν πρὸς ἀλλήλους συμβολῶν.
κ'. Περὶ πολιτείας.
κα'. Περὶ θεῶν θεραπείας.
κβ'. Περὶ ἱερέων καὶ βίου αὐτῶν.
κγ'. Περὶ καθαρμῶν.
κδ'. Περὶ δικῶν.
κε'. Περὶ ταφῆς.
κς'. Περὶ θεραπείας τῶν οἰχομένων.
κζ'. Περὶ τοῦ ἐκ τῶνδε ἂν τῶν νόμων περιγιγνομένου ἀγαθοῦ.
κη'. Διαίρεσις τοῦ ὄντος.
κθ'. Περὶ διαφορᾶς αἰτίων.
λ'. Περὶ ἀνάγκης τῶν αἰτίων.
λα'. Περὶ ὀνομάτων τῶν πρεσβυτάτων θεῶν.

Αἱ τοῦ β' βιβλίου ὑποθέσεις.

α'. Περὶ κριτηρίου τοῦ ἐπὶ τὴν τῶν προκειμένων σκέψιν.
β'. Πρόληψις ἐννοιῶν κοινῶν.
γ'. Ὡς εἰσὶ θεοί.
δ'. Περὶ προνοίας θεῶν.
ε'. Ὡς οὐ κακῶν οἱ θεοὶ αἴτιοι.
ς'. Περὶ εἱμαρμένης.
ζ'. Περὶ πλήθους τῶν θεῶν.
η'. Περὶ διαφορᾶς τῶν τῶν θεῶν γενῶν.
θ'. Περὶ τῆς κατὰ Κούρητας θεοσεβείας.
ι'. Περὶ θεῶν τῶν τε ἑπτὰ πρεσβυτάτων καὶ τῶν ἄλλων ὑπερουρανίων.
ια'. Περὶ τῆς τῶν ἐντὸς οὐρανοῦ θεῶν γενέσεως.
ιβ'. Κοινή τις ἀπόδειξις τῶν τῆς ψυχῆς τριῶν εἰδῶν.
ιγ'. Περὶ τῶν τῶν ἄστρων εἰδῶν.
ιδ'. Περὶ τῶν τῶν ἑπτὰ ἀστέρων δυνάμεων.
ιε'. Περὶ τῶν τῶν ἀστέρων ἰδίων φορῶν.
ις'. Περὶ τῆς κοινῆς ἄστρων τε καὶ τοῦ παντὸς αἰθέρος περιφορᾶς.
ιζ'. Περὶ τῆς τῶν ἄστρων ψυχῆς.
ιη'. Ὡς εἰσὶ δαίμονες.
ιθ'. Ὡς οὐ πονηροὶ οἱ δαίμονές εἰσιν.
κ'. Ἔλεγχοι τῶν κατὰ δαιμόνων διαβολῶν.
κα'. Περὶ δαιμόνων διαφορᾶς.
κβ'. Περὶ ἀθανασίας ψυχῆς τῆς ἀνθρωπίνης.
κγ'. Περὶ τῆς τῶν θνητῶν δημιουργίας.
κδ'. Περὶ τῆς τοῦ ἀνθρωπίνου θνητοῦ δημιουργίας.
κε'. Περὶ αἰσθήσεών τε καὶ τῶν καθ' ἑκάστας.
κς'. Περὶ τῶν τῶν θηρίων ἐνίοις κατὰ λόγον δρωμένων.
κζ'. Περὶ τῆς τοῦ παντὸς ἀϊδιότητος.

Αἱ τοῦ γ' βιβλίου ὑποθέσεις.

α'. Ἀνάληψις τοῦ περὶ εἱμαρμένης λόγου.
β'. Ἀνάληψις τοῦ περὶ ψυχῆς ἀνθρωπίνης ἀθανασίας λόγου.
γ'. Περὶ τέλους τοῦ βίου.
δ'. Περὶ φρονήσεώς τε καὶ τῶν φρονήσεως εἰδῶν.
ε'. Περὶ παίδων ἀγωγῆς.
ς'. Περὶ τῆς πολιτείας σχήματος
ζ'. Περὶ ἀνδρείας.
η'. Περὶ τῶν ἐφ' ἡμῖν καὶ οὐκ ἐφ' ἡμῖν, διὰ μέσης τῆς περὶ ἀνδρείας ὑποθέσεως.
θ'. Περὶ εἰδῶν ἀνδρείας.
ι'. Περὶ σωφροσύνης.
ια'. Περὶ μέτρου τε καὶ συμμετρίας.
ιβ'. Περὶ εἰδῶν σωφροσύνης.
ιγ'. Περὶ δυνάμεως, διὰ μέσης τῆς περὶ εἰδῶν σωφροσύνης ὑποθέσεως.
ιδ'. Περὶ τῆς τῶν γονέων ἐκγόνοις οὐ μίξεως.
ιε'. Περὶ θεῶν γενέσεως, διὰ μέσης τῆς περὶ γονέων ἐκγόνοις οὐ μίξεως ὑποθέσεως.
ις'. Περὶ τῆς ἑνὶ ἀνδρὶ γυναικῶν πλειόνων συνοικήσεως.
ιζ'. Περὶ τῆς κοινῶν γυναικῶν χρήσεως.
ιη'. Περὶ χρεῶν ἐδωδῆς.
ιθ'. Περὶ μιᾶς τῆς ἐν οἰκίᾳ τῇ αὐτῇ κτήσεως.

κ'. Περὶ τῆς παρὰ τὰς τελευτὰς ἑκάστων οὐκ οἰκοφθορίας.
κα'. Περὶ σχέσεως.
κβ'. Περὶ Διὸς, ὡς οὐδὲ λόγῳ διάκρισίς τις ἐν αὐτῷ ἐστιν.
κγ'. Περὶ τοῦ παντὸς, ὡς πλεοναχῇ ἐστιν ἕν.
κδ'. Περὶ ἀγαθῶν διαφορᾶς.
κε'. Περὶ δικαιοσύνης.
κς'. Περὶ εἰδῶν δικαιοσύνης.
κζ'. Ἀρετῆς εἰδῶν σύγκρισις.
κη'. Περὶ κακίας τρόπων.
κθ'. Περὶ τοῦ ἐν δωρεαῖς πρέποντος.
λ'. Περὶ τῶν ἐς τὸ κοινὸν ταμιεῖον εἰσφορῶν.
λα'. Περὶ δικῶν.
λβ'. Περὶ τῶν τῶν θεῶν ὀνομάτων.
λγ'. Περὶ προσευχῆς.
λδ'. Ἐς θεοὺς προσρήσεις.
λε'. Ὕμνοι ἐς θεούς.
λς'. Προσρήσεών τε καὶ ὕμνων χρήσεως διάταξις.
λζ'. Τίσι τῶν θεῶν τίνα θυτέα.
λη'. Ἐπὶ τίσι πράξεσι, τίσι τε θεῶν καὶ ὅπως θυτέα.
λθ'. Ὅπως ἔχουσι τῶν θυσιῶν μεταληπτέα.
μ'. Περὶ ἀκριβείας τῶν πρὸς τοὺς θεούς.
μα'. Κατὰ τίνων εὐκτέα τοῖς θεοῖς.
μβ'. Περὶ μαντειῶν.
μγ'. Ἐπινομίς.

ΠΛΗΘΩΝΟΣ
ΠΕΡΙ ΕΙΜΑΡΜΕΝΗΣ.

Πότερα δὲ ὥρισταί τε καὶ εἵμαρται ἅπαντα τὰ μέλλοντα, ἢ ἔστιν ἃ οὐδ' ὥρισται αὐτῶν, ἀλλ' ἀορίστως τε δὴ καὶ ἀτάκτως χωρεῖ, καὶ οὕτως ὅπως ἂν τύχοι; Δηλαδὴ ὅτι ὥρισται ἅπαντα. Εἰ γὰρ ὁτιοῦν οὐχ ὡρισμένως γίγνοιτο τῶν γιγνομένων, ἦτοι ἄνευ τοῦ αἰτίου γεγονὸς ἔσται, καί τι ἔσται τῶν γιγνομένων τὴν γένεσιν ἄνευ αἰτίου ἐσχηκός· ἢ οὐχ ὡρισμένως αὐτὸ, οὐδὲ σὺν ἀνάγκῃ τὸ αἴτιον ἀπεργάσεται, καί τι ἔσται τῶν αἰτίων, οὐκ ἀνάγκῃ, οὐδ' ὡρισμένως δεδρακός τι ὧν ἂν δρᾷη· οἷν οὐδέτερα δυνατά. Πολὺ δ' ἔτι μᾶλλον ἀδύνατον, εἰ τοὺς θεούς τις λέγοι μεταβάλλεσθαί τε περὶ τὰ σφίσιν ὑπὲρ τῶν μελλόντων ἐγνωσμένα, καὶ ἕτερ' ἄττα, παρ' ἃ ἐμέλλησαν ἀποτελεῖν, εἴτε ὑπ' ἀνθρώπων λιταῖς ἢ τισι δώροις παραπειθομένους, εἴτε δὴ καὶ ἄλλως γέ πως αὐτὰ πάσχοντας. Κινδυνεύουσι γὰρ οἱ περὶ τῶν ἐσομένων ἀνάγκην τε καὶ εἱμαρμένην ἀναιροῦντες, ἢ καὶ τῆς προνοίας ὅλως τῶν τῇδε ἐκβάλλειν τοὺς θεούς, ἢ καὶ τὴν τῶν χειρόνων αὐτοῖς αἰτίαν ἀντὶ τῶν ἐκ τῶν δυνατῶν βελτίστων περιάπτειν, ἀμήχανον ὄν, μὴ οὐ θάτερα ἀεὶ, ἦτοι τὰ πρότερον ἢ ὕστερον αὐτοῖς ἐγνωσμένα, χείρω τῶν ἑτέρων εἶναι· ὥστε τοῖν δυοῖν ἂν τούτοιν ἀσεβημάτοιν θατέρῳ πάντως τοὺς τὴν εἱμαρμένην ἀναιροῦντας περιπίπτειν. Ἀλλὰ τούτοιν γε ἑκάτερα πολλαχῇ ἀδύνατα, καὶ τὰ μέλλοντα ἅπαντα εἵμαρταί τε ἐξ αἰῶνος καὶ τέτακται, ὡς δυνατὸν αὐτοῖς, ὑφ' ἑνὶ τῶν πάντων βασιλεῖ Διΐ τεταγμένα τε καὶ ὁριζόμενα. Ὅς εἰ καὶ μὴ ὥρισται μόνος τῶν πάντων, οὐκέτ' ὄντος τοῦ καὶ τοῦτον ὁριοῦντος (ὑπὸ γὰρ τῶν ἑαυτῶν αἰτίων ἅπαντ' ἂν ὁρίζεσθαι τὰ ὁριζόμενα), ὅμως κρείττων ὢν ἢ ὥστε ὡρίσθαι, μένει τε ἀεὶ καὶ κατὰ τὰ αὐτὰ ὡσαύτως, καὶ τὴν μεγίστην πασῶν ἀνάγκην καὶ κρατίστην, αὐτὴν δι' αὐτὴν οὖσαν ἀνάγκην, οὐ δι' οὐδὲν ἕτερον, αὐτός ἐστιν ὁ κεκτημένος, ὡς τήν τε ἀνάγκην τῆς οὐκ ἀνάγκης ἀμείνω οὖσαν, καὶ αὐτῷ τὴν μεγίστην ἀναγκῶν, ἄκρως ἀγαθῷ ὄντι, μᾶλλόν τοι προσήκουσαν. Καὶ τοῖς γε προσεχῶς προῖοῦσιν ἀπ' αὐτοῦ ταὐτὸ τοῦτο δευτέρως μεθ' ἑαυτὸν παρέχεται· οἰκεῖα γὰρ ἂν ἑαυτῷ τὰ ἀπ' αὐτοῦ παράγοι· καὶ ταῦτά τε ἅμα καὶ τἆλλα δι' αὐτὸν πάντα ὁρίζει· καὶ οὐδὲν οὔθ' οὕτω παμμέγεθες, οὔτ' αὖ πάνυ σμικρὸν οὕτως, ὥστ' ἂν αὐτὸν μὴ οἷόν τε εἶναι τῷ ἀφ' ἑαυτοῦ ὅρῳ ἐφικέσθαι· οὐδενὸς γὰρ ὅτου οὐκ αὐτὸν εἶναι τὸν αἰτιώτατον. Ἔτι δ' εἰ μὴ ὥριστο τὰ μέλλοντα, οὐδ' ἂν προεγινώσκετο, οὐ μόνον γε οὐχ ὑπ' ἀνθρώπων, ἀλλ' οὐδ' ὑπὸ τῶν θεῶν ἂν οὐδενός· οὐ γὰρ οἷόν τε ὅλως γνῶσιν ὑπάρξαι τοῦ πάντη ἀορίστου· οὐ γὰρ οὐδ' ὁπότερον ἀληθὲς εἴη ἂν ὁρίσαι περὶ αὐτοῦ, οὔθ' ὡς ἔσοιτο, οὔτ' αὖ ὡς οὐκ ἔσοιτο. Νῦν δ' οἵ τε θεοὶ ἴσασι δήπου τὰ ἐσόμενα, οἵπερ καὶ ὁρίζουσί τε αὐτὰ, καὶ ἐν σφίσιν αὐτοῖς ἔχουσι παρόντα ἀεὶ τῇ αἰτίᾳ, κἂν μήπω τήν γε αὐτῶν γένεσιν ἀπειληφότα ᾖ· ἴσασι δὲ οὐκ ἄλλως, ἢ τῷ διατιθέναι τε καὶ αἴτιοι εἶναι αὐτῶν· οὐ γὰρ ἂν τῷ διατίθεσθαί πη ὑπὸ τῶν τῇδε γινώσκοιεν αὐτά· οὐ γὰρ θέμις, οὐδ' οἷόν τε θεοὺς ὑπὸ χειρόνων καὶ μὴ ὄντων γέ πω διατίθεσθαι. Ἐπεὶ κινδυνεύουσιν ἔτι οἱ θεοὺς μὲν εἶναι νομίζοντες, τὴν δὲ περὶ τὰ τῇδε αὐτῶν πρόνοιάν τε καὶ εἱμαρμένην ἀναιροῦντες, καὶ τὴν περὶ τὰ τῇδε αὐτῶν γνῶσιν ἀναιρεῖν, οὔτ' ἂν τῷ διατίθεσθαι κρείττους ὑπὸ χειρόνων, γινωσκόντων, οὔτ' ἂν τῷ διατιθέναι, εἴπερ μηδὲ αἴτιοί εἰσιν αὐτῶν· δέον πᾶν τὸ γινῶσκον, ἢ μεθέξει καὶ τῷ διατίθεσθαί πη ὑπὸ τοῦ γνωστοῦ γινώσκειν, ἢ αἰτίᾳ καὶ τῷ διατιθέναι, ἄλλως δ' οὐκ ἂν γνώσεως συμβαίνοι γένοιτο, μή τινος ἂν καὶ γινώσκοντι πρὸς γνωστὸν κοινωνίας γιγνομένης. Εἴτε καὶ αἴτιοι μὲν εἶεν τῶν τῇδε οἱ θεοὶ, μὴ ἀνάγκῃ δὲ μηδ' ὡρισμένως εἶεν αἴτιοι, ὧν ἂν αἴτιοι γίγνοιντο, οὐδ' οὕτως ἂν εἰδεῖεν ἅττα ποτὲ δράσουσι, μὴ

οὐκ ἀναγκαίως τε ἐς αἰῶνος πρὸς αὐτὰ καὶ ἀπαρατρέπτως ἔχοντες. Ἀλλ' οἵ τε θεοὶ ἴσασι τὰ ἐσόμενα, καὶ ἀνθρώπων οἷσπερ ἂν ἐθέλοιεν, καὶ καθόσον, προσημαίνουσι. Καί τισι καὶ προμεμαθηκόσι τῶν ἐσομένων ἔστιν ἃ, καὶ πειρωμένοις διαφυγεῖν, οὐδὲν ἧττον ἄφυκτά τε αὐτοῖς ἐγένετο καὶ ἀναπόδραστα τὰ πεπρωμένα· τοῖς δὲ καὶ αὐτῷ τούτῳ τῷ προμεμαθηκέναι τε καὶ πειρᾶσθαι διαφυγεῖν, τοῖς πεπρωμένοις περιπεσεῖν συνέβη, οὕτω που καὶ τοῦτο εἱμαρμένον αὐτοῖς. Οὔκουν ἂν εἶναι ἀνάλυσιν, οὐδὲ παρατροπήν τινα, τοῖς ἅπαξ ὑπὸ Διός τε ἐγνωσμένοις ἐξ αἰῶνος καὶ εἱμαρμένῃ δεδεμένοις.

Ἀλλ' εἰ πάντα ὥρισται, φαίη ἄν τις, καὶ οὐδὲν ὅ τι μὴ ἀνάγκης μετεῖληφε τῶν ὄντων τε καὶ γιγνομένων, ἔκ τε τῶν ἀνθρώπων οἴχοιτ' ἂν ἡ ἐλευθερία καὶ ἡ δίκη ἐκ τῶν θεῶν, τῶν μὲν ἀνθρώπων ἀνάγκῃ, ἅττ' ἂν πράττοιεν, πραττόντων, καὶ οὐκέτι οὔτ' ἂν κυρίων ἑαυτῶν ὄντων, οὔτ' ἂν ἐλευθέρων, τῶν δὲ θεῶν ἤτοι τοπαράπαν ἀφεστώτων ἂν τοῦ κολάζειν τοὺς κακούς, ἢ οὐκ ἂν ἐν δίκῃ κολαζόντων, εἴ γε δὴ ἀνάγκῃ οἱ κακοὶ κακοί. Ἀλλὰ τοὺς μὲν ἀνθρώπους κυρίους ἂν ἑαυτῶν εἶναι, οὐ τῷ μὴ ὑπ' οὐδενὸς ἂν τοπαράπαν ἄρχεσθαι, μήτε του ἄλλου, μήτ' ἂν αὐτῶν τῶν θεῶν, ἀλλὰ τῷ ἔχειν μέν τι ἐν ἑαυτοῖς ἄρχον, τὸ φρονοῦν, τὸ δὲ πολὺ ἀρχόμενον· καὶ τοῦ πολλοῦ τούτου ἓν, τὸ φρονοῦν τε καὶ φύσει βέλτιστον τῶν ἡμετέρων, κύριον ἂν εἶναι. Αὐτὸ δὲ δὴ τὸ φρονοῦν ὡς οὐκέτ' ἂν ἄρχοιτο ὑπ' οὐδενός, οὐκ ἂν εἴη εἰπεῖν. Ὅ πρῶτον μὲν τοῖς ἔξω πράγμασι φαίνοιτ' ἂν ἑπόμενον. Ἔπειτα εἰ καὶ μὴ ὡσαύτως ἅπασιν ἀνθρώποις τὸ φρονοῦν τοῦτο ὑπὸ τῶν αὐτῶν πραγμάτων φαίνεται διατιθέμενον, οὐκ ἂν ὀρθῶς τις οἰηθείη μηδ' ἐξ ἀνάγκης ἂν ἕπεσθαι αὐτὸ τοῖς πράγμασιν. Λῆλον γάρ ἐστι τοῦτο συμβαῖνον παρά γε τὴν ἰδίαν αὐτοῦ τοῦ φρονοῦντος ἑκάστοτε φύσιν, παρά τε τὴν ἄσκησιν. Ταὐτὸ γὰρ ὁτιοῦν πλείοσι μὲν, διαφέρουσι δέ πῃ ἀλλήλων προσπίπτον, ὥς τι δρᾶσον, διαφέροντά τοι καὶ τὰ παθήματα ἐξ ἀνάγκης ἀπεργάσεται. Διαφέρειν γὰρ ἂν τὸ φρονοῦν τοῦτο ἑκάστοις καὶ τὴν φύσιν καὶ τὴν ἄσκησιν· καὶ τῆς μὲν φύσεως τοὺς θεοὺς ἂν κυρίους εἶναι, τῆς δ' ἀσκήσεως τὴν τοῦ [ἀσκοῦντος] εἶναι δόξαν, προτέραν αὐτῷ ἐγγενομένην, ἣν ἂν ἀμήχανον ἂν εἶναι ἐγγενέσθαι ὅτῳοῦν, μὴ οὐ θεοῦ παραστήσαντος. Κυρίους μὲν οὖν ἑαυτῶν τοὺς ἀνθρώπους εἶναι καθ' ὅσον που ἄρχουσιν αὐτῶν, κἂν ἀρχόμενοι ἄρχωσιν· ἐλευθέρους δὲ εἶναί τέ πως καὶ μὴ εἶναι. Εἰ μὲν γὰρ ἐλευθερίαν τις τὴν οὐκ ἀνάγκην καλεῖ, οὐκ ἂν ὀρθῶς φαίνοιτο καλῶν· ἀναγκάζοιτο γὰρ ἂν δουλείαν τὴν ἀνάγκην καλεῖν. Τῇ δὲ δουλείᾳ καὶ δεσποτείαν δήπου εἶναί τινα δεῖ, ᾗ δουλεύσει, δουλεία οὖσα. Τῇ οὖν πρεσβυτάτῃ ἀνάγκῃ, καὶ ἡ μόνη αὐτὴ δι' αὐτὴν ἀναγκαίως ἔχει, τὰ δ' ἄλλα ἅπαντα δι' ἐκείνην, ἣν ταγαθόν τε αὐτὸ καὶ τὸν Δία φαμὲν, τίς ποτε ἔσται δεσποτεία ᾗ δουλεύσει; οὐ γάρ που ἡ αὐτὴ δεσποτεία ἅμα καὶ δουλεία ἔσται. Εἰ δὲ τῷ ἄρχεσθαί τε καὶ μὴ ὁριεῖταί τις τήν τε δουλείαν καὶ ἐλευθερίαν, οὐ μόνον οὐκ ἂν ἀνθρώπων οὐδεὶς εἴη ἐλεύθερος, ἀλλ' οὐδ' ἂν θεῶν ἄλλος τις πλὴν Διός, ἄλλων μὲν ἄλλοις τῷ ἄρχεσθαι δουλευόντων, ἁπάντων δ' ἀπὸ θεῶν ἀρξαμένων, τῷ κοινῷ Δεσπότῃ Διΐ. Οὐ μέντ ἂν δεινόν τι εἴη τοῦτον τὸν τρόπον ἡ δουλεία καθάπαξ, οὐδὲ φευκτόν. Ἡ γὰρ τῷ ἀγαθῷ δουλεία οὐ μόνον οὐ δεινὸν, ἀλλὰ καὶ λυσιτελές τε καὶ φίλον καὶ αὐτῷ τῷ δουλεύοντι· οὐδὲν γὰρ ἂν ἄλλ' ἢ ἀγαθὸν ἀπολαύσειέ τις δουλεύων ἀγαθῷ. Εἰ δ' οὐ ταύτῃ τις ὁριεῖται δουλείαν τε καὶ ἐλευθερίαν, ἀλλ' ἐκείνῃ μᾶλλον, τῷ κωλύεσθαι ἢ μὴ κωλύεσθαί τινα ζῆν ὡς βούλεται (βούλοιτο δ' ἂν πᾶς τις πράττειν τε εὖ καὶ εὐδαιμονεῖν), ἅπας μὲν ἂν ὁ εὖ πράττων κἂν ἐλεύθερος εἴη, ἄν τε ἀρχόμενος, ἄν τε μὴ, εὖ πράττων τυγχάνῃ· ὡς γὰρ βούλεται, ζῴη ἄν· κακῶς δὲ πράττων τις οὔτ' ἂν, ὡς βούλοιτο, ζῴη, οὔτ' ἔν ἐλεύθερος δήπου εἴη. Κακῶς δὲ πράττειν ἀνθρώπους οὐκ ἄλλῃ ἂν ἢ κακοὺς γεγονότας, ὥστε οὐδ' ἂν κακὸς ἀνθρώπων οὐδεὶς βούλοιτ' ἂν γίγνεσθαι, εἴγε δὴ μηδὲ κακῶς ἂν πρᾶξαι· ἀλλ' ἄκοντας κακοὺς τοὺς κακοὺς γίγνεσθαι ἐξαμαρτάνοντας· οὐδ' ἂν ἐλεύθερον κακῶν εἶναι οὐδένα, τοὺς δὲ καλούς τε μόνους καὶ ἀγαθούς. Τοὺς δὲ θεοὺς κολάζειν ἄν, οὐκ αὐτὸ τοῦτο τέλος δήπου τό γε κολάζειν ποιουμένους, οὐδ' ἐπ' αὐτοῦ καταστρέφοντας, ἀλλὰ τὰ ἁμαρτήματα ἐπανορθοῦντας. Ἐπεὶ γὰρ οὐχ οἷόν τ ἦν μὴ ἁμαρτάνειν πάντως τὸν ἄνθρωπον, τοιοῦτόν τινα γεγονότα, ἔκ τε θείας καὶ ἐπικήρου φύσεως σύνθετον, ἀλλ' ἔδει ποτὲ μὲν ἂν κατὰ τὸ θεῖον τὸ ἐν αὐτῷ ἐπὶ τὴν τοῦ συγγενοῦς ἀφομοίωσιν ἀγόμενον εὖ τε πράττειν καὶ μακαρίως ζῆν, τοτὲ δ' αὖ ὑπὸ τοῦ θνητοῦ τοῦ ἐν αὐτῷ κατασπώμενον ὡς ἐτέρως αὖ πράττειν. βοήθειάν τινα αὐτῷ καὶ τὴν διὰ τῶν κολάσεων ταύτην ἐπανόρθωσιν τοὺς θεοὺς μεμηχανῆσθαι, ὥς ποτε τῷ κολασθῆναί τε καὶ δίκην δεδωκέναι ἀπαλλαγέντι τῆς κακίας, οἷόν περ νόσου σώματος δηκτικοῖς τε καὶ ἀνιαροῖς τισι φαρμάκοις, ἀμεινόν τε πρᾶξαι γένοιτο καὶ ἐλευθερίας ἀντὶ δουλείας μεταλαβεῖν, ὅτου μὴ ἠπιωτέρα τις ἐπανόρθωσις διὰ μοχθηροτέραν τινὰ ἕξιν δύναιτο καθικέσθαι· ὥστ' οὐδὲν ἂν κωλύειν καὶ ἄκοντας κακοὺς ὄντας τοὺς κακοὺς ὧδε κολάζεσθαι, κακὸν μὲν οὐδὲν προσπεισομένους, ἀλλ' ὠφελησομένους τῷ κολάζεσθαι. Ὡς μὲν οὖν εἰσί τε θεοὶ, καὶ ὡς προνοοῦσιν ἀνθρώπων, καὶ ὡς οὐ κακῶν αἴτιοι, καὶ ὡς εἱμαρμένῃ ἀπαρατρέπτῳ τὸ βέλτιστον ἑκάστοις ἀπονέμουσιν, ὡς γοῦν μετρίως εἰρῆσθαι, ἱκανῶς ἤδη εἰρήσθω.

ΠΛΗΘΩΝΟΣ

ΠΕΡΙ ΑΘΑΝΑΣΙΑΣ ΨΥΧΗΣ ΤΗΣ ΑΝΘΡΩΠΙΝΗΣ.

—

Περὶ ψυχῆς γὰρ λέγων ἀθανασίας [ὁ Πλήθων] τὰς εἰς τὸ σῶμα καὶ τὸν βίον ἐπανόδους αὖ τῶν ψυχῶν ἐν χρόνων τακταῖς περιόδοις, ὡς δύναται, κρατύνειν πειρᾶται, ἃς οἱ πολλοὶ μετεμψυχώσεις φασὶ, καὶ εἰς τὸν οὐράνιον τόπον οὐδέποτε ταύτας ἀνάγεσθαι ἀξιοῖ. A

ΠΛΗΘΩΝΟΣ

ΠΕΡΙ ΔΙΚΩΝ.

—

.... Οὐκ ἰδίᾳ χρώμενα διανοίᾳ, ὑπὸ δὲ ψυχῆς τῆς τοῦδε ἡγουμένης τοῦ οὐρανοῦ ἀγόμενα τῆς τοῦ Ἡλίου, ἔτι δὲ Κρόνου τε καὶ νῶν τῶν ἄλλων προεστηκότων χωριστῶν, οἱ παρὰ τοῦ Ἡλίου παραλαμβάνοντες ἕκαστα, τῆς τε γενέσεως καὶ τοῦ βίου κατάρχοντες αὐτοῖς, ἄγουσι καὶ αὐτοὶ ἤδη κατὰ τὰ ἐν μέν σφισι καθ' ἓν ἐνόντα, ἐν δ' αὐτοῖς τοῖς ἀγομένοις διακριδὸν προσγίγνεσθαι πεφυκότα. Ἅτ' οὖν ὑπὸ τοιούτων τὰ θηρία νῶν ἀγόμενα θειοτέρων, τά τ' ἄλλα οὐ περιέργως ποιεῖ (οὔτε γὰρ ἂν ὑπὸ ἰδίας ἐπί τι περίεργον διανοίας ἀχθείη· οὐ γάρ ἐστιν αὐτοῖς· οὔτ' ἂν ὑπὸ τῶν ἔξωθεν ἀγόντων θειοτέρων τούτων νῶν· οὐδὲ γὰρ θέμις·) καὶ δὴ καὶ τὴν τοιαύτην πρᾶξιν πολὺ ὀρθότερον κατά γε τοῦτο τῶν ἀνθρώπων πράττει. Ἄνθρωποι μὲν γὰρ ὑπὸ τοῦ καὶ ἰδίᾳ διανοίᾳ τε καὶ δόξῃ χρῆσθαι, ἁμαρτητῇ μέντοι αὐτῇ, συχνὰ ἔν τε ἄλλοις καὶ δὴ καὶ ἐν τῇ τοιαύτῃ πράξει ἁμαρτάνουσιν, οὐ παρὰ φύσιν μὲν, περιεργότερον δὲ μόνον αὐτῇ χρώμενοι, ἀλλ' ἤδη καὶ παρὰ φύσιν, ὃ καὶ κομιδῇ ἤδη αἴσχιον ἐκείνου γίγνεται. Τῶν δὲ θηρίων οὐδὲν τὸ τοιοῦτον ἁμαρτάνει. Τὰ γάρ τοι ἑτέροις μιγνύμενα εἴδεσιν αὐτῶν, πεφυκέναι καὶ τοῦτα πρός τι τοιοῦτον νομιστέον, ὥστ' ἂν καὶ ἑτέροις τῶν οὐ τῶν αὐτῶν μὲν τοῖς εἴδεσιν, ὁμοειδῶν δὲ καὶ ἐγγὺς ἀλλήλων μίγνυσθαι. Εἰ οὖν ἀσθενεστέρα τις ἀνθρώποις αὕτη ἡ ἐπιθυμία ἦν, ἄλλως ἂν περὶ τοῦ τοιούτου νομοθετεῖν ἔδει. Νῦν δ' οἱ θεοὶ εἰδότες που, διὰ τὸ ἁμαρτητῇ τῇ δόξῃ τοὺς ἀνθρώπους χρῆσθαι, περί τε συχνὰ ἄλλα τοῦ δέοντος ἐκπεσουμένους, καὶ δὴ καὶ τῷ ἀφροδισιάζειν αὐτῷ οὐ μόνον περιεργότερον χρησομένους, ἀλλὰ καὶ τοὐναντίον αὖ ἐνίους καὶ πάμπαν αὐτοῦ ἀφεξομένους, τοὺς μὲν οὐδ' εὐαγὲς ὅλως αὐτὸ νομίσαντας, τοὺς δ' εὐαγὲς μὲν, κάλλιον δὲ ὅμως τὸ ἀπέχεσθαι· τοὺς δὲ καὶ τὰς παιδοτροφίας τε καὶ γυναικοτροφίας ὑπὸ τρόπου δυσκολίας ὀχνήσοντας· δυσχεραινοῦντας δὲ καὶ τὰς τῶν παίδων μάλιστα ἀποβολὰς ἐνίους οὕτως, ὡς μᾶλλον ἂν αἱρήσεσθαι μηδὲ ποιεῖσθαι παῖδας ἢ ποιουμένους ἀποβάλλειν, δέον τὸ μὲν περὶ τοῦ τῶν παίδων βίου αὐτοῖς θεοῖς ἐπιτρέπειν, αὐτοὺς δὲ τοῦ ἑαυτοῖς καθήκοντος ἔργου καὶ λειτουργίας τῆς ἐς τε γένος τὸ κοινὸν καὶ τὸ πᾶν τόδε μὴ ἀφίστασθαι· καὶ ταῦτ' οὖν οἱ[1] θεοὶ εἰδότες ἀνθρώποις διὰ τὸ ἁμαρτητὸν τῆς δόξης συμβησόμενα, οἷα καὶ νῦν συμβαίνει ἐνίοις, ἵνα μὴ, συχνῶν τοῦ ἀφροδισιάζειν ἀπεχομένων, ἡ ἐκ Διὸς ὑπὲρ τῆς θνητῶν καὶ ἀθανάτων ἐν τῷ ἀνθρώπου εἴδει κοινωνίας πρόνοια διακωλύηται, ἰσχυροτάτην δὴ ταύτην τὴν ἐπιθυμίαν ἐνίεσαν ἀνθρώποις, ῥᾳδίως κρατηθησομένην, εἰ μὴ οἷόσπερ ἂν ἰσχυροτάτη αὖ ἡ γε ταύτην τὴν ἐπιθυμίαν ἐπέχουσα παρίσταιτο δόξα. Τὴν δὲ τοῦ ἀφροδισίων πάμπαν ἀφεκτέον εἶναι δόξαν, οὐκ ἂν πάνυ πολλοῖς ἰσχυροτάτην ᾔδεσαν προσπεσουμένην, ἀλλὰ τοὺς πολλοὺς τῶν ἐς ταύτην ἂν ἐμπεσουμένων τὴν δόξαν, ἀσθενεστέρως ἂν ἐς αὐτὴν ἐμπεσουμένους ἐγίνωσκον, ὡς ὑπὸ ἐπιθυμίας ἰσχυροτάτης ἐνοχλούσης οὐ χαλεπῶς ἂν ἀσθενῶς ἀντιβαίνουσαν δόξαν κρατηθησομένην. Τοῖς δὲ θεοῖς μᾶλλον τοῦ μὴ ἀφροδισίων τοὺς ἀνθρώπους πάμπαν τῷ αὐτῷ. . . εἶγε καὶ πολίτην πρὸς τοῖς ἄλλοις τὸν ἄνθρωπον, καὶ οὐ μονωτήν τινα εἶναι δεῖ. Διὰ ταῦθ' ἡμεῖς θανάτῳ τοὺς πολλοὺς τῶν ἐν τοῖς τοιούτοις μιαινομένων εὐθύνομεν, αὐτούς τε ἀθλιότητος ἀπαλλάττοντες, καὶ τὰς πόλεις αἴσχους. Τοὺς μὲν οὖν παρὰ φύσιν μιαινομένους ἄν, εἴ ποτέ τινες ταύτῃ μιαινόμενοι ἁλίσκοιντο, ἀῤῥενομιξίᾳ δὴ, ἢ θηριομιξίᾳ, ἢ τινι καὶ ἄλλῃ τοιαύτῃ τῶν ἀνθρώπων τοῖς μοχθηροτάτοις ἐξευρημένων ῥητῇ τε καὶ ἀῤῥήτῳ μυσαρίᾳ, πυρὶ καθαίρειν, τόν τε δρῶντα ὁμοῦ καὶ πάσχοντα ζῶντε καίοντας· κἂν θηρίον ὠχευκώς τις ἀλῷ, καὶ τοῦτο αὐτῷ συγκαίοντας ὡσαύ-

(1) Ex Gennadio ad Josephum exarchum, supra.

τως. Μοιχούς γε μὴν αὐτοὺς μὲν ὡσαύτως καίειν, καὶ προαγωγοὺς πρὸς αὐτοῖς, ἄν τε ἄνδρες, ἄν τε γυναῖκες αἰτινεσοῦν ὦσι. Γυναῖκας δὲ δὴ τάς γε μοιχευτρίας τῇ τῶν πορνῶν προεστηκυίᾳ περικείραντας παραδιδόναι, τὸν λοιπὸν πορνευσούσας βίον, ἵνα ἀνθ' ὧν ἑαυτὰς μονολεχεῖς οἷς καθωμολόγηντο οὐκ ἐφύλαξαν, τοῖς ἄλλοις, ὅσον τὸ ἐπ' αὐταῖς, μονολεχεῖς τὰς καθωμολογημένας σώζωσι, τῇ τῶν πρὸς ταύτην ἀν μαλακῶς ἐχόντων τὴν ἐπιθυμίαν οὐκ ἐναγεῖ τινι θεραπείᾳ. Καίειν δ' ὡσαύτως, κἂν τις γυναῖκα ἡντινοῦν βιάσηται, πλὴν πόρνης, κἂν ἑταιροῦσα, μηδέπω πεπορνευκυῖα, ἐλεγχθῇ. Καὶ πόρνην δὲ βιασάμενόν ποτε καίειν, ἢν γε αἰμορρόϊας τῆς γυναικὸς εἰωθυίας οὐ καθαρεύουσαν βιάσηται. Τούτους μὲν οὖν πάντας, ἅτε καὶ ἐναγεστάτους, ἐν ἰδίοις τισὶν ἀπάγοντας πολυανδρίοις καίειν, οὐ τοῖς κοινοῖς. Τριττὰ γὰρ οὖν καὶ εἶναι ἐκασταχοῦ τὰ πολυάνδρια, ὅροις εὐδήλοις δή τισιν ἀλλήλων διακρινόμενα, ἓν μὲν ἱερεῦσιν, ἕτερον δὲ τῷ ἄλλῳ δήμῳ, ἄλλο δὲ τὸ τοῖς ἐναγέσι τούτοις, οὗ καὶ σοφιστῶν, ἤν τις παρὰ τὰς ἡμετέρας ταύτας δόξας σοφιζόμενος ἀλῷ, ζῶν καὶ οὗτος κεκαύσεται. Καὶ ἢν θυγατρί τις ἢ μητρὶ ἀλῷ μιχθείς ἢ τινι τῶν ἄνω τε καὶ κάτω τούτων. Ἢν δὲ τῶν τινι ἄλλων οἰκείων, ἀποῤῥήτων μέντοι καὶ αὐτῶν, προσμιχθείς τις ἁλῷ, ἀτιμίᾳ τε ζημιοῦσθαι, ἔωσπερ ἂν ἱκανῶς καθαρθῇ, καὶ πρὸς τῇ ἀτιμίᾳ καὶ ἱερῶν συμπάντων εἴργεσθαι. Ἐν τούτῳ τῶν ἐναγῶν τῷ πολυανδρίῳ καὶ ἀνδροφόνον καίειν, ὅς ποτε ἂν τῶν τινα ἐναγεστέρων φόνων ὑπὸ τῶν ἀρχόντων τετολμηκέναι κριθῇ. Ἢν δὲ παρθένῳ τις, ἢ καί τινι κεκινημένῃ, ἀνδρὶ μὲν οὐ καθωμολογημένῃ, ὑπὸ δὲ κυρίῳ τῷ τέως τρεφομένῃ, ἐκούσῃ μιχθεὶς οὕτω; ἁλῷ, ὥστ' ἂν καὶ θάνατον αὐτῷ εἶναι τὴν ζημίαν, ἐν τῷ κοινῷ πολυανδρίῳ καιόμενον θάπτεσθαι, οὗ δὴ καὶ τοὺς ἧττον ἐναγεῖς τολμῶντας τῶν φόνων. Βιαίους δὲ δὴ καὶ μοιχοὺς οὐ μόνον διαπεπραγμένους ζημιοῦν, ἀλλὰ κἄν τις βιαζόμενος μὲν, οὐ τυχὼν δὲ, ἁλίσκηται, ἢ πειρῶν μὲν, οὐ διαπεπραγμένος δὲ, καὶ τοῦτον οὐδὲν ἧττον τῇ αὐτῇ ζημίᾳ ζημιοῦν. Τῇ γὰρ γνώμῃ καὶ οὗτος βίαιος ἢ μοιχὸς οὐδὲν ἧττον τοῦ διαπεπραγμένου. Ἀξιοῦμεν δ' ἡμεῖς, ἢν γυναικός τις ἑτέρῳ ὁτῳοῦν καθωμολογημένης ἔρωτι ἑαυτοῦ ἁλισκομένου αἰσθάνηται, παρ' ἐξηγητήν τε εὐθὺς ἰόντα καὶ τὸ πάθος ἐξαγορεύοντα, καθαρμόν τε αὐτοῦ τοῦ πάθους αἰτεῖν, καὶ τοῦ μὴ ἐς μεῖζον ἐμπεσεῖσθαι κακὸν ἀσφάλειαν, κρατήσαντος ἂν τοῦ πάθους τῆς ψυχῆς, καὶ ἐπὶ ἱερὰ βαδίζοντα. . . . . .

. . . . . καὶ θανάτῳ ἤδη ζημιοῦν. Τῶν δ' ἀδικημάτων ἀμφισβητουμένων, ταῖς πλείοσιν ἂν τῶν ψήφων τὸν φεύγοντα ἁλίσκεσθαι. Ἀπολύεσθαι δὲ μὴ ἀδικεῖν, οὐ μόνον ἀπ' ἐλαττόνων τῶν καταψηφιζομένων, ἀλλὰ κἄν ποτέ πω ἴσαι γένωνται. Ἔτι μέντοι κἀκεῖνο τῷ περὶ δικῶν λόγῳ προσκεῖσθω, ὡς ἐὰν ἀδικήματός τις τοιούτου παρὰ τῷ συνεδρίῳ κρινόμενος, οἷῳ ἂν θάνατον τὴν ζημίαν ἐπικεῖσθαι, καλὰ ἅττα ἑαυτῷ ἔργα προπεπραγμένα ἐπιδείξῃ, μεγέθει ἢ πλήθει ὑπερβάλλειν τὸ ἀδίκημα δοκοῦντα, τοῦτον, ὡς οὐκέτ' ἂν δυσόρθωτον, οὐδὲ τὴν φύσιν κακὸν, δυστυχίᾳ δὲ δὴ τῶν ἄλλων κεχρημένον τινὶ καὶ παιδείας ἐνδείᾳ, μὴ δὴ θανάτῳ ἔτι, ἀλλὰ δεσμοῖς τισιν εὐθύνειν χρονίοις. Ἀλλὰ περὶ μὲν τῶν τοιούτων ἅλις. Εἰ γάρ τι ἡμῖν καὶ παραλέλειπται, ἀλλ' οὖν τά γε ἐν ὅλῃ ἤδη τῇ βίβλῳ εἰρημένα ἱκανὰ, θεῶν ἂν συλλαμβανόντων, τοιαύτην τοῖς ἡμετέροις ἄρχουσιν ἐμποιῆσαι ἕξιν, οἵαν, καὶ περὶ ὧν οὐχ ἡμῖν διασεσάφηται, αὐτοὺς καλῶς τε καὶ εὖ διαγινώσκειν.

ΕΠΙΝΟΜΙΣ [1].

Ἃ μὲν οὖν τῆς βίβλου ἐν ἀρχῇ ὑμῖν τῇδε προὐτίθη, ἐξείργασταί τε σὺν τῶν θεῶν τοῖς τῶν τοιούτων ἐφόροις, ἐφ' οὓς δὴ ἡμεῖς καὶ Ποσειδῶ κορυφαῖον τήνδε ἀναφέρομεν τὴν συγγραφὴν, καὶ διαπεπέρατα! γε ἱκανῶς. Ἐπιδέδεικται γὰρ ἡμῖν, ἥτις τε ἀρχὴ τῶν πάντων καὶ ἐν τοῖς πᾶσιν αὖ τίνες μὲν πρῶταί τε φύσεις καὶ τῇ ἀρχῇ προσεχεῖς, τίνες δὲ δεύτεραι, τίνες δὲ τρίται καὶ ἑσχαται, ὅ τε ἄνθρωπος ἐν αὐταῖς τίνα ποτὲ τὴν χώραν εἴληχε, καὶ ἐκ τίνων συνέστηκεν, οἵῳ τε ὄντι αὐτῷ οἷος καὶ βίος προσήκει, ὥστε δὴ καὶ εὐδαιμόνως ζῆν. Οὗ δὴ, κυριωτάτου τε ὄντος καὶ κοινοῦ ἐπιθυμήματος, ἅπαντες μὲν ἄνθρωποι ἐφίενται, ζητοῦσι δ' αὐτὸ οὐκ ἐν τῷ αὐτῷ ἅπαντες βίῳ, ἀλλ' ᾧ . . . ἀποδέδεικται ἕκαστα ἀπ' ἐννοιῶν τε καὶ ἀξιωμάτων οὐκ ἀσθενῶν τινων καὶ ἀμφιλόγων, ἀλλων τε δὴ, καὶ τριῶν μεγίστων ἐκείνων, ἑνὸς μὲν, τοῦ ὡς ἡ ἀρχὴ αὕτη τῶν πάντων, ὁ μέγιστος θεὸς, ὃν γε ἡμεῖς πατρίῳ φωνῇ. Δία καλοῦμεν, ἄκρως ἀγαθός ἐστιν, οὐδεμιᾶς αὐτῷ ἀγαθοῦ ὑπερβολῆς μὴ οὐκ ἐς ὅσον οἷόν τε βελτίστῳ εἶναι λειπομένης· ἑτέρου δὲ, τοῦ τάς τε οὐσίας ταῖς γεννήσεσι ταῖς αὐτῶν, καὶ τὰς γεννήσεις ταῖς οὐσίαις ἀνάλογον ἔχειν δεῖν· καὶ τρίτου, τοῦ καὶ τὰ ἔργα ταῖς οὐσίαις, καὶ τὰς οὐσίας τοῖς ἔργοις τοῖς σφετέροις ἀνάλογον δεῖν καὶ αὐτὰ ἔχειν.

Τούτων γὰρ ὑποκειμένων ἀξιωμάτων βεβαίων, ἐκ μὲν τοῦ πρώτου, ἄλλα τε ἡμῖν τῶν καλῶς ἐχόντων δογμάτων ἀποδείκνυται, καὶ ὡς τὸ πᾶν ἅμα μὲν ἀΐδιον τῷ Διῒ γέγονεν, ἅμα δὲ καὶ ὅ τι δὴ κάλλιστον ἐκ τῶν ἐνόντων γεγονὸς, ἐν τῇ αὐτῇ μένει ἐς τὸν πάντα αἰῶνα καταστάσει, ἔκ γε δὴ τοῦ καθάπαξ αὐτῷ ἀποδεδειγμένου σχήματος ἀπαραχίνητον. Οὐ γὰρ

(1) Conclusio scilicet libri *De legibus*, cujus cap. 6 libri II, *De fato*, et cap. 31 libri III, *De judiciis*, supra exhibuimus.

ἂν ἐγχωροίη, ὅ τι περ βέλτιστον ὄντα τὸν θεὸν ἡ μὴ παράγειν ποτὲ τοῦργον τὸ αὑτοῦ, μηδ' εὖ ποιεῖν μηδοτιοῦν (δέοι γὰρ ἂν τὸ αὐτὸ βέλτιστον καὶ ἄλλοις τοῦ οἰκείου ἀγαθοῦ ἐς ὅσον τε ἐγχωρεῖ καὶ ἀεὶ μεταδιδόναι), ἢ εὖ τε ποιοῦντα καὶ παράγοντα, ἐνδεέστερόν ποτε τῆς δυνάμεως εὖ ποιῆσαι, καὶ χεῖρόν ποτε ἕξον τὸ αὑτοῦ ἔργον ἀποδοῦναι, ἢ οἷον ἂν γεγονὸς ὅ. τι δὴ κάλλιστον εἴη. Δῆλα γὰρ δὴ ὡς τῶν καθεστηκότων εἴ τι Ζεὺς παρακινήσειε, καὶ τὸ πᾶν, εἴτ' ἔτι, εἶθ' ὕστερον, χεῖρόν γε ἕξον ἀποδοίη. Ἐπεὶ κἂν μόριόν τι αὐτοῦ μεταβάλῃ, ἤτοι οὐ πρότερον μεταβάλλειν εἰωθὸς, ἢ οὐκ ἐς τὸ εἰωθὸς μεταβαλὸν, ἀμήχανον μὴ οὐ καὶ ὅλον αὐτῷ συμμεταβαλεῖν τὸ σχῆμα. Τὸ γὰρ αὐτὸ σχῆμα, μὴ οὐχὶ πάντων ὡσαύτως μενόντων τῶν μορίων, οὐχ οἷόν τε σώζεσθαι.

Ἐκ δὲ δὴ ἀξιώματο. τοῦ δευτέρου ἡ τῶν θείων πραγμάτων ἡμῖν διαφαίνεται κατάστασις. Διαιρούσης γὰρ τῆς τῶν πάντων οὐσίας ἐς τέ τινα ὁμοιόν τε ἀεὶ καὶ κατὰ πάντα τὰ αὐτὰ ὡσαύτως ἔχουσαν, ἔς τε τὴν ἐς χρόνον μὲν κινητὴν, ἄδιον δὲ, καὶ ἐς τρίτην τὴν θνητὴν, ἐπειδὴ ἑκάστῃ οὐσίᾳ γεννήσεως ἰδίας καὶ τῆς γε ἀνάλογον αὐτῇ ἐξούσης δεῖ, τὴν μὲν τῆς πρώτης γέννησιν τῇ ἀρχῇ τῶν πάντων ἀπονέμομεν, τῷ Διΐ· τὴν δ' αὖ τῆς δευτέρας τῷ τῆς πρώτης ταύτης κορυφαίῳ οὐσίας Ποσειδῶνι, χρωμένῳ καὶ τῶν ἀδελφῶν τοῖς γνησίοις ἄλλῳ ἐπ' ἄλλο συνεργοῖς· τὴν δὲ τῆς τρίτης τῶν τε τῶν Διὸς νόθων πρεσβυτάτῳ Κρόνῳ, καὶ Ἡλίῳ τῶν Ποσειδῶνος γνησίων τῷ κρατίστῳ, χρωμένοιν νυν καὶ τούτοιν ἄλλῳ ἐπ' ἄλλο, Κρόνῳ μὲν τῶν συμπάντων νόθων ἀδελφῶν, Ἡλίῳ δὲ τῶν ἑαυτῷ ὁμοιοτέρων τῶν γνησίων, Πλανήτων διὰ τὴν πλεοναχῆ φορὰν καλουμένων.

Ἐκ δ' αὖ τοῦ τρίτου ἀξιώματος τὰ περὶτῆς φύσεως ἡμῖν τῆς τοῦ ἀνθρώπου ἀποδείκνυται, ὡς ἐκ δυοῖν ὅ γε ἄνθρωπος σύνθετός ἐστιν εἰδοῖν, τοῦ μὲν θηριώδους καὶ θνητοῦ, τοῦ δὲ ἀθανάτου τε καὶ τοῖς θεοῖς συγγενοῦς. Ἐπεὶ γὰρ τοῖς ἔργοις ὁ ἄνθρωπος, τοῖς μὲν θηριώδεσι, τοῖς δὲ καὶ τῶν θεῶν παραπλησίοις χρώμενος φαίνεται, ἀνάγκη που καὶ τῶν ἔργων τούτων ἑκατέροις οὐσίαν ἰδίαν τὴν ἀνάλογον ἕξουσαν ἀποδιδόναι. Ὡς δ' ἔστι θάτερα ἀνθρώπῳ τῶν ἔργων τοῖς τῶν θεῶν παραπλήσια, καὶ ταῦτα αὐτῶν τοῖς σπουδαιοτάτοις, ἐναργές· οὔτε γὰρ τοῖς θεοῖς τῆς τῶν ὄντων θεωρίας ἄλλο σπουδαιότερον φήσομεν εἶναι ἔργον, ἧς κεφάλαιον ἡ Διὸς ἔννοια· ὅ τε ἄνθρωπος φαίνεται τῆς τε ἄλλης αὐτοῖς θεωρίας τῶν ὄντων κοινωνῶν, καὶ οὐδὲ τῆς Διὸς ἐννοίας ἀπολειπόμενος, ἄχρι ἧς ἰσχάτης καὶ αὐτοὶ θεοὶ ἐξικνοῦνται. Δέοι ἄρα ἂν αὐτῷ καὶ οὐσίας τῇ τῶν θεῶν παραπλησίας τῆς καὶ τοῦργον παραπλήσιον ἀποδωσούσης, καὶ ἀθανάτου δή, εἴ γε καὶ οὐσία ἀθάνατος ἡ τῶν θεῶν· οὐ γάρ ποτ' ἂν θνητὸν γένοιτο ἀθανάτῳ παραπλήσιον οὐδ' ἐφ' ὁσονοῦν· οὐ γὰρ οὐδὲ συμβλητὸν ὅλως τὸ πεπερασμένην ἔχον τὴν τοῦ εἶναι δύναμιν καὶ ἐπιλείπουσαν τῷ ἀνεπιλείπτον ἔχοντι καὶ ἄπειρον. Διὰ ταῦτα δὴ καὶ ἐν τῶν πράξεων τῶν τῇ πρὸς θεοὺς συγγενείᾳ προσηκουσῶν τῇ ἀποδόσει, καὶ αὐτοὶ ἐπὶ πολλοῖς ἄλλοις, ἐπιεικέσι διδασκάλοις τό γε εὐδαιμον ἀνθρώπῳ ἀποφαίνομεν, ὃ καὶ τῆς βίβλου ἡμῖν τῇδε ἔργον, ὡς εὐδαιμονεστάτους τοὺς τοῖσδε τοῖς λόγοις προσέχοντας ἐκ τῶν ἐγχωρούντων ἀνθρώπῳ ἀπεργάζεσθαι.

Ὡς γε μὴν ἐκ δυοῖν ὁ ἄνθρωπος συντέθειται εἰδοῖν, καὶ ἐξ ἑτέρου ἡμῖν, οὐδὲ τούτου ἀμφιλόγου, ἀποδείκνυται ἀξιώματος, τοῦ μηδοτιοῦν τῶν ὄντων εἶναι, ὃ ἂν αὐτὸ ἐπὶ τὸν αὑτοῦ ὄλεθρον ὁρμήσειεν, ἀλλ' ἅπαντα τοῦ σώζεσθαί τε καὶ εἶναι ἐς δύναμίν γε μὴ μεθίεσθαι. Τοῦτο γὰρ λαμβάνουσι τὸ ἀξίωμα, καὶ ἔπειτα αὖ τῶν ἀνθρώπων τοὺς αὐτοὺς αὐτοὺς ἀποκτεινυύντας ἐπιβλέπουσιν, ἐναργεστάτως καταφαίνεται οὐ τὸ θνητὸν ἡμῶν ὃν τὸ αὐτὸ αὐτὸ ἀποκτεινύν, ἀλλά τι ἕτερον τούτου τε κρεῖττον, καὶ οὐ συναπολούμενόν γε, ἅτε οὐδ' ἂν τούτου ἐξημμένον, οἷά περ τὰ θνητὰ ἅπαντα εἴδη, ἃ δὴ τῶν σωμάτων τέως οἷς ξύνεστιν ἐξημμένα, τούτοις καὶ λυομένοις συνδιόλλυται· οὐ γάρ ποτ' ἂν αὐτῷ οὐ μόνον γε οὐκ ἐς τοσοῦτον, ἀλλ' οὐδ' ἂν ἐπὶ σμικρόν τι ἀντέδαινεν, εἰ αὐτοῦ ἐξῆπτο· ἀλλ' οὐσίαν ἰδίαν τε ἔχον καὶ ἐφ' ἑαυτῆς ὑφεστηκυῖαν, ὃ ἐπειδὰν μηκέτι ἑαυτῷ λυσιτελεῖν τὸν μετὰ τοῦ θνητοῦ βίον οἰηθῇ (εἴτ' ὀρθῶς, εἴτε καὶ μή, τοῦτο οἰηθέν· οὐδὲν γὰρ διαφέρει) κτεῖνάν γε αὐτὸ, ὡς ἄλλο ὄν, ἄλλου κακοῦ δὴ δόξαντος καὶ οὐκ εὐχεροῦς συνοίκου, ἀπαλλάττεται.

Τὴν μέντοι ἀθανάτου τε καὶ θνητοῦ ἐν ἡμῖν μίξιν ὑπὸ ἁρμονίας τοῦ παντὸς θεοῖς τοῖς ἡμῶν δημιουργοῖς κατὰ Διὸς θεσμοὺς μεμηχανῆσθαι ἀξιοῦμεν, ὡς τοῦ οὐρανοῦ τοῦδε δύο μοῖρα, ἥ τε ἀθάνατος καὶ ἡ θνητὴ, μεθορίῳ τινὶ τῷ ἀνθρωπείῳ τούτῳ σχήματι συνδεοίσθην. Ἵνα μὲν γὰρ πλῆρές τε ᾖ τὸ πᾶν καὶ παντελὲς, ἔκ τε ἀθανάτου καὶ θνητοῦ αὐτὸ ἕξει συνεστάναι, ἵνα μὴ διεστήκῃ αὐτὸ αὑτοῦ, μηδὲ διεπασμένον ᾖ, ἀλλ' ἐς ἕν τι τῷ ὄντι σύστημα συνεστήκῃ. Ὡς γὰρ ἔστιν ἅττα τῶν ἐν αὐτῷ οὐ σμικρῷ ἀλλήλοις διαφόρων μεθορίοις τισὶν ἐκ τῶν ἐνόντων συνηρμόσθη, οὕτω καὶ ἀθανάτοις τὰ θνητὰ τῷ κατὰ τὸν ἄνθρωπον τοῦτον μεθορίῳ συνεδέθη. Ἐν μὲν οὖν τῷ αὐτοῦ ἀθανάτῳ τὸ θνητὸν ἀεὶ συνῆν, κἂν αὐτὸ ἀθάνατον ἀπέβαινεν, ἐκ τῆς πρὸς τὸ ἀθάνατον ἀεὶ συνουσίας ἀπαθανατιζόμενον, καὶ οὐκέτ' ἂν ἀθανάτου τε μοίρας μεθόριον καὶ θνητῆς, ὅπερ ἔδει, ὁ ἄνθρωπος ἦν, ἀλλὰ τοῖς ἀθανάτοις ἂν ὅλως συνετέτακτο. Εἴτε καὶ ἅπαξ τὸ ἀθάνατον τῷ θνητῷ ὡμίληκὸς, τὸν λοιπὸν ἅπαντα χρόνον ἀπήλλακτο αὐτοῦ, ᾧχετ' ἂν καὶ οὕτω τὸ ἀθανάτων τε καὶ θνητῶν μεθόριον ἅπαξ γεγονὸς, οὐκ ἀεὶ μὲν ὂν μεθόριον, οὐδ' ἀεὶ θνητὰ ἀθανάτοις συναρμόττον, ἀλλὰ ἅπαξ γε συνηρμοκὸς, καὶ ἔπειτα σὺν τῇ αὐτοῦ τοῦ θνητοῦ ἀπαλλαγῇ καὶ ταύτην ἂν τὴν ἁρμονίαν λελυκό·. Κατελείπετο ἄρα παρὰ μέρος μὲν τῷ θνητῷ τὸ ἀθάνατον κοινωνεῖν, παρὰ δὲ μέρος, τούτου γε ἀπολυμένου, καθ' αὑτό τε ἑκάστοτε γίγνεσθαι, καὶ ζῆν χωρὶς, καὶ τοῦτο οὕτω τὸν ἀεὶ χωρεῖν καὶ ἄπειρον χρόνον.

Ταῦτα τὰ δόγματα τοῖς ἀπὸ Πυθαγόρου μάλιστα καὶ Πλάτωνος δέδοκται σοφοῖς. Ταῦτα ἄλλων τε ἐθνῶν ἐξηγηταῖς, καὶ δὴ καὶ τῶν ἡμετέρων προγόνων τοῖς τὴν κατὰ Κούρητας ἐκείνους καλῶς τε καὶ

εὖ διαδεδεγμένοις θεοσέβειαν. Ταῦτα Ζωροάστρῃ, καὶ τοῖς ἀπ' αὐτοῦ. Ἐς ὃν ἡμεῖς, ἕνα δὴ ἄνδρα ἀρχαιότατον τῶν γε ἐν μνήμῃ, τὰ τοιαῦτα ἀναφέρομεν τῶν δογμάτων, οὐκ ἀπ' ἐκείνου καὶ ἤρχθαι ἡγούμενοι αὐτά· συναΐδια γὰρ ἂν τῷ παντὶ οὐρανῷ καὶ ἐν ἀνθρώποις ταῦτα δὴ τάληθῆ δόγματα εἶναι, κἂν εἴ ἔστι μὲν ὅτε παρὰ πλείοσιν, ἔστι δ' ὅτε παρ' ἐλάττοσι κρατεῖ, τοῖς γε δὴ ἀπ' ἐννοιῶν κοινῶν τῶν ὑπὸ θεῶν ταῖς ψυχαῖς ἡμῶν ἐντεθειμένων καλῶς τε καὶ εὖ ὁρμωμένοις· ἀλλ' ὅτι τῶν ἐς ἡμᾶς ὀνομαζομένων οὗτος δογμάτων τῶν γε ὀρθῶν ἐξηγητής ἐστιν ὁ παλαιότατος, πλείοσιν ἢ πεντακισχιλίοις ἱστορούμενος τῆς Ἡρακλειδῶν καθόδου ἔτεσι πρεσβύτερος. Τὸν γάρ τοι Μῆνα τῶν Αἰγυπτίων νομοθέτην, ἔτι αὖ καὶ τούτου πλείοσιν ἢ τρισχιλίοις ἔτεσιν ἱστορούμενον πρεσβύτερον, οὐ σοφόν τινα φήσομεν οὐδὲ σπουδαῖον γεγονέναι νομοθέτην. Οὐ γάρ ποτ' ἂν οὕτω περιέργους τὰς τῶν θεῶν ἀγιστείας καὶ φαύλας γε παρενομοθέτει, εἰ μὴ καὶ τὰ δόγματα αὐτῷ φαύλως προσεῖχεν. Εἰ γὰρ τοῖς ἀπ' ἐκείνου ἱερεῦσι τὰ δόγματα τοῖς γε Ζωροαστρείοις τούτοις παραπλήσιον ἔσχεν, ἀλλ' οὗτοι καὶ πορρὰ Μηνὸς τοιαῦτα ἐκδεδόσθαι αὐτὰ φήσομεν· ἀλλ' ὕστερον αὐτοὺς διὰ τὴν περὶ σοφίαν ἀνευρηκέναι σχολήν· καὶ ἔπειτα οὐ καὶ τὰς ἀγιστείας οἵους τε γενομένους διορθώσασθαι διὰ νόμου ἐκ μὲν Μηνὸς αὐτοῖς καθεστηκότα, ἄριστα δ' ἔχοντα καὶ σωτήριον εὐνομουμένοις, οὐ μέντοι καὶ φαύλοις γε χρωμένοις νόμοις, τὸν τῶν πατρίων μὴ εἰῶντα τολμᾶν μηδὲ τὸ σμικρότατον κινεῖν, [ὥστε] δόγμασι μὲν διατελεῖν αὐτοὺς σπουδαίοις χρωμένους, ἀγιστείας δὲ τοὺς πολλοὺς φαύλας τελεῖν. Γεγονέναι μὲν οὖν καὶ ἄλλοις ἄλλους νόμους ἐπιεικεῖς τινας· καὶ εἶναί γε ἐνίους τῶν μὲν Ζωροαστρείων τούτων τοῖς δόγμασιν οὐκ ἀπῳδούς, οὗτοι μὴν καὶ τῆς ἀκριβείας εἰς ἅπαν γε ἐφικνουμένους, ἐν οἷς καὶ τοὺς τε Ἰνδῶν καὶ Ἰδήρων τῶν ἑσπερίων γεγονέναι, τούτους μέν γε καὶ Ζωροάστρῃ τούτῳ συγχρόνως σχεδὸν ἐσχηκότας· Ἰδήρων μὲν οὔτε τοῦ νομοθέτου ἔτι καὶ ἐς ἡμᾶς ὀνομαζομένου, οὔτε τῶν νόμων μενόντων αὐτοῖς· Ἰνδοῖς δὲ τῶν τε νόμων καὶ ἔτι μενόντων πολλῶν, καὶ τοῦ νομοθέτου Διονύσου λεγομένου, ὃς Ἰνδῶν κεκρατηκώς τε καὶ ἄρξας ἔπηλυς [ἤθεσί] τε λέγεται καὶ νόμοις τισὶν ἐπιεικέσι τὸ γένος διακεκοσμηκέναι. Τούτῳ καὶ ὁ ἐκ Σεμέλης πολλῷ ὕστερον γεγονὼς Διόνυσος; ἦτοι ὁ αὐτὸς ἂν εἴη τῇ ψυχῇ, ἢ τὸν βίον ὁμοίως τινὰ ἐζηλωκώς· ἀστρατωτότατος δὲ τὼ ἀνδρε ἄμφω. Ὃ κἂν περὶ Ἡρακλέους τις νομίσειε, τοῦ τε ἐξ Ἀμφιτρύωνος καὶ Ἀλκμήνης, τοῦ τε πολλῷ τούτου παλαιοτέρου γεγονότος, τοῦ Τυρίου· στρατιωτικωτάτω δ' αὖ τούτω τὼ ἄνδρε. Φέρειν δὲ δὴ τὰ περιόδους παραπλησίους καὶ βίους ἑκάστοτε καὶ πράξεις, καὶ οἷσειν γε ἀεί· γεγονέναι τε οὐδὲν ὧδεπώποτε καινόν, οὐδὲ γίγνεσθαι, ὃ μὴ καὶ πρότερόν ποτε ταὐτὸ γέγονε τῇ ἰδέᾳ, ἅμα τε καὶ αὖθίς ποτε ἔσται. Ἐπεὶ δ' ἀνάγκη, ἀθέου μὲν οὐδενὸς ὄντος γε ἔθνους, ἄλλοις δ' ἄλλων γιγνομένων καὶ διαφόρων περὶ τοῦ θείου ἀνθρώποις τῶν δοξῶν, μίαν μὲν καὶ τὴν αὐτὴν ἀεὶ τὴν κρατίστην εἶναι, τὰς δ' ἄλλας φαυλοτέρας, καὶ τούτων αὖ ἄλλην ἄλλης τῆς κρατίστης ἐγγυτέρω, τὰς δὲ πορρωτέρω, καὶ πορρωτάτω δὴ ἐνίας· ἡμεῖς κρατίστῃ οὔσῃ τῇ κατὰ Ζωροάστρην ταύτῃ προστιθέμεθα, ᾗ καὶ ἡ κατά τε Πυθαγόραν καὶ Πλάτωνα συνενήνεκται φιλοσοφία, ἀκριβείᾳ τε τῶν ἄλλων ἁπασῶν πλεονεκτούσῃ δοξῶν, καὶ ἅμα πατρίῳ καὶ ἡμῖν οὔσῃ. Ἐν οὖν ταύτῃ μόνῃ ἐν ἀκραιφνοῦς τῆς μακαριότητος, ὁπόση ἡμῖν δυνατὴ ἐνεῖναι, ἐντυγχάνειν ἀξιοῦμεν. Ἐν δὲ ταῖς ἄλλαις, καθ' ὅσον περ ἂν ἑκάστη ταύτης ἀπολείπηται, κατὰ τοσοῦτον καὶ μακαριότητος μὲν τοὺς χρωμένους ἀπολείπεσθαι, ἀθλιότητι δὲ πελάζειν, καὶ ἀθλιωτάτους δὴ τοὺς ταῖς πορρωτάτω ταύτης δόξαις χρωμένους ἀποβαίνειν, ἅτε καὶ ἐν σκότει δεινῷ, τῇ περὶ τῶν μεγίστων ἀμαθίᾳ, καλινδουμένους.

Ἀλλ' εἴποι ἂν τις ὡς τῶν σοφιστῶν ἔνιοι, οἷς καὶ ἀνθρώποις πάμπολλοι ἕσποντο, μεῖζω τὰ ἀγαθὰ τοῖς σφίσι πειθομένοις τῶν ὑφ' ἡμῶν περὶ τὸ ἀνθρώπειον γένος ἀποφαινομένων καταγγέλλουσιν, εἴ γε καὶ εἰς εἰλικρινῆ τινα ἥξειν αὐτοὺς ἀθανασίαν διατείνονται, ὀνητῷ οὐδενὶ οὐκέτι ἐγκαταμιχθησομένην, τῶν ἡμετέρων λόγων οὔποτε παύσεσθαι ἀξιούντων τὰς ψυχὰς ἡμῶν θνητῇ ἑκάστοτε κοινωνούσας φύσει, ὁπότε δὴ ἑκάστη ἡ περίοδος καθήκοι. Ἀλλὰ πρῶτον μὲν καὶ ἀνθρώπων οὐ τοῖς μείζω ὑπισχνουμένοις συμβάλλειν μᾶλλον ἢ τοῖς πιστοτέροις οἵ γε εὐφρονοῦντες ἀξιοῦσιν· οὔκουν οὐδὲ τῶν λόγων οἱ μείζους ἐλπίδας ὑποτείνοντες πρὸ τῶν πιστοτέρων αἱρετέα· οὐ γὰρ ἂν λυσιτελοῖ, ἐλπίσι μείζοσι μὲν, κεναῖς δὲ καὶ ἀνηνύτοις, κηλουμένοις, ψεύδεσί τισιν ἐνδιατρίβειν περὶ τῶν μεγίστων καὶ οὐχ ὑγιέσι δόξαις. Κακοδαιμονίας γὰρ τοῦτο δὴ τὸ χειριστον, ἐψεῦσθαι περὶ τῶν θεῶν καὶ τῶν μεγίστων ἀνθρώποις διανοημάτων, καὶ ἕτερα οἴεσθαι ὧν χρὴ φρονεῖν περὶ αὐτῶν. Ἔπειτα οὐδὲ θαυμαστὸν οὐδὲν, εἰ ἃ γε ἡμεῖς περὶ τὸ γένος ἀποφαίνομεν τὸ ἀνθρώπειον, καὶ μείζω ἅμα τῶν ὑπὸ τῶν σοφιστῶν τούτων ἐπαγγελλομένων φανείη σκοποῦσιν ὀρθῶς. Πρῶτον μὲν γὰρ αὐτοὶ οὐχ ὁλόκληρον τὴν ἀϊδιότητα οὐδ' ἀρτίαν, οὔτε ὅλῳ τῷ οὐρανῷ, οὔτε τῇ ψυχῇ τῇ ἀνθρωπίνῃ ἀξιοῦσιν, οὐκ ἐπ' ἀμφότερα, ἀλλ' ἐπὶ θάτερα μένειν, τὸ μέλλον, φάσκοντες τῇ γενέσει τῶν ὄντων τὴν ἀϊδιότητα ἔσεσθαι. Τὸν γάρ τοι οὐρανὸν χρόνῳ τε ἠργμένον ποιοῦσι, καὶ ἅμα τοῖς πράγμασι τοῖς ἀνθρωπείοις συμμετασκευασθήσεσθαι ἀξιοῦσιν, ἵνα πιθανώτεροι γοῦν, οἷς ταῦτα διαγγέλλουσι, φαίνοιντο, τοῦτο μὲν μὴ καθ' ἑαυτὰ τὰ ἀνθρώπεια πράγματα, ἀλλὰ τῷ ὅλῳ φάσκοντες συμμεταβαλεῖν, τοῦτο δὲ καὶ βραχὺν μέν τινα χρόνον φαῦλα, τὸν δὲ μετὰ ταῦτα καὶ ἄπειρον σπουδαῖα τὰ ἔργα τὸν θεὸν ἀποδώσειν ἀξιοῦντες. Πιθανώτερον γάρ πως τὸ τοιοῦτον ἢ εἰ ἄπειρον μὲν χρόνον τὸν πρότερον φαῦλα, ἄπειρον δ' αὖ τὸν μετὰ ταῦτα σπουδαῖα ἔφασκον ἀποδώσειν. Ἡμεῖς δ' ἀρτίαν τε, καὶ οὐχ ἡμίτομον οὐδὲ χωλὴν, τῇ ψυχῇ τῇ ἀνθρωπίνῃ τὴν ἀϊδιότητα ἀποφαίνοντες, καὶ μείζον τοῦ ταύτῃ ἀποφαίνομεν ἀγαθόν. Δῆλα γὰρ δὴ ὅτι ἐπ' ἀμφότερα αὕτη ἡ ἀϊδιότης τῆς ἡμιτόμου ἐκείνης πολὺ μείζων καὶ καλλίων, καὶ τὸ οὕτω; αἴλιον τοῦ ἐκείνως; πολὺ τελεώτερον καὶ κάλλιον. Ἴσως μὲν οὖν ὑπολάβοι ἄν τις, ὡς τὸ μὲν

οἰχόμενον οὐκέτι δή ἐστιν, οὐδ' ἔστιν αὐτοῦ αὖθις πειραθῆναι, τὸ δὲ μέλλον, εἰ οὐδέ πω καὶ τοῦτ' ἔστιν, ἀλλ' οὖν, διὰ τὸ ἔσεσθαί ποτε, τοῦ οὐκέτι ἐσομένου μᾶλλόν γ' ἂν εἴη, ὥστε καὶ ἄμεινον εἴη ἄν· ἐπεὶ καὶ τὴν ἐπιθυμίαν τοῦ μὲν οἰχομένου μεθίεσθαι ἤδη, πρὸς δὲ τὸ ἐσόμενον, ὡς δὴ καὶ μᾶλλον ὄν, ἴλην τετράφθαι· τὴν οὖν ἐπ' ἀμφότερα ταύτην ἀΐδιότητα μὴ ὄντι μόνῳ τῆς ἐπὶ θάτερον, τὸ μέλλον, γιγνομένην μείζω, οὔτ' ἂν μείζω τῇ ἀληθείᾳ, οὔτ' ἂν καλλίω εἶναι. Ἀλλ' ἡμεῖς (1).....

(1) Post hæc desunt omnia quæ sequebantur, incendio quippe Plethonii libri absumpti, unde in fine codicis Florentini, teste Bandinio, t. II, p. 317, annotatum est : Ζητητέον τὰ ἐπιόντα, εἰ καὶ ἀνεύρετα· ἠφάνισται γὰρ ὑπὸ Σχολαρίου, ὡς φασι. ALEXANDER.

ΠΛΗΘΩΝΟΣ

ΖΩΡΟΑΣΤΡΕΙΩΝ ΤΕ ΚΑΙ ΠΛΑΤΩΝΙΚΩΝ ΔΟΓΜΑΤΩΝ

ΣΥΓΚΕΦΑΛΑΙΩΣΙΣ.

Ἐκεῖνα μάλιστ' ἂν δίοι κεφάλαια εἰδέναι τόν γε δὴ φρόνιμον ἐσόμενον. Πρῶτον μὲν ἐκεῖνο περὶ θεῶν, ὡς εἰσιν. Εἷς μὲν αὐτῶν Ζεὺς ὁ βασιλεύς, μέγιστός τε καὶ ἐς ὅσον γε ἐνῆν ἄριστος, τοῖς ὅλοις τοῖσδε ἐφεστηκώς, καὶ θεότητι ἐξαίρετος, αὐτὸς μὲν πάντη τε ὢν καὶ πάντως ἀγένητος, τῶν δ' ἄλλων ἁπάντων πατήρ τε καὶ δημιουργὸς πρεσβύτατος. Τούτου δὲ παῖς μὲν πρεσβύτατος, ἀμήτωρ γε, δεύτερος δὲ θεὸς, Ποσειδῶν, τά τε δευτερεῖα τῆς κατὰ πάντων ἡγεμονίας πρὸς τοῦ πατρὸς ἐπιτετραμμένος, καὶ ἔτι τὴν τοῦδε τοῦ οὐρανοῦ γένεσίν τε καὶ δημιουργίαν, θεοῖς καὶ ἑτέροις χρώμενος ὑπάρχοις, τοῖς μὲν ἀδελφοῖς, ἀμήτορσι πᾶσιν ὑπερουρανίοις, Ὀλυμπίοις τε δὴ καὶ Ταρταρίοις· τοὺς δὲ καὶ αὐτὸς ἐξ Ἥρας ἤδη, θεοῦ τῆς γε ὕλης παραγωγοῦ, γεννῶν, τοὺς ἐντὸς οὐρανοῦ τοῦδε, τό τε δὴ οὐράνιον γένος ἄστρων, καὶ τὸ τῇ ἠνετέρᾳ ἤδη φύσει προσεχὲς δαιμόνων γένος χθόνιον. Ὃς καὶ Ἥλιῳ, παίδων τῶν ἑαυτοῦ τῷ πρεσβυτάτῳ, ἡγεμονίαν τε τὴν τοῦδε τοῦ οὐρανοῦ ἐπιτέτραφε, καὶ ἔτι γένεσιν τὴν τῶν ἐν αὐτῷ θνητῶν, ταύτην μέντοι καὶ σὺν Κρόνῳ, θεῶν τῶν γε Ταρταρίων Τιτάνων [ἀδελφῷ] τε καὶ ἡγεμόνι. [Τῶν (1) Ὀλυμπίων θεῶν τοὺς Ταρταρίου διαφέρειν τῷ τοὺς μὲν Ὀλυμπίους τῶν ἐν τῷδε τῷ οὐρανῷ ἀθανάτων παραγωγούς τε εἶναι καὶ προστάτας, τοὺς δὲ Ταρταρίους τῶν τῇδε θνητῶν προστατεῖν· ὥστε καὶ Κρόνον τῶν Ταρταρίων, τὸν δ' αὐτὸν καὶ Τιτάνων κορυφαῖον εἶναι, καὶ σύμπαντος τοῦ θνητοῦ εἴδους προστάτην. Ἥραν δ' ἐν τοῖς Ὀλυμπίοις τεταγμένην δευτέραν μετὰ Ποσειδῶ, ὕλης τῆς πρεσβυτάτης, ἀνωλέθρου καὶ αὐτῆς οὔσης, τῷ αὐτῷ Ποσειδῶνι ἐς τὰ ἔργα παραγωγόν τε εἶναι καὶ προστάτιν· αὐτὸν δὲ Ποσειδῶ σύμπαντος εἴδους προστατεῖν καὶ ἀθανάτου καὶ θνητοῦ, κορυφαῖον μὲν τῷ παντὶ ἐφεστῶτα, συνεταγμένον γε μὴν καὶ αὐτὸν τοῖς ὅλοις· τὸν γάρ τοι Δία μόνον τῷ ἐξαιρέτῳ τῆς θεότητος καὶ τῷ παντὶ ἐξαίρετον ἐφεστάναι.]

Πρῶτον μὲν οὖν τοῦτο οὕτω τε καὶ ταύτῃ μάλιστα ἀκριβούμενον νομίζειν. Ἔπειθ' ὡς καὶ τῶν ἡμετέρων προνοοῦσιν οὗτοι οἱ θεοί, οἱ μὲν αὐτῶν προσεχῶς ἐφαπτόμενοι, οἱ δὲ διὰ τῶν σφῶν ὑποδεεστέρων, ἅπαντες δὲ κατὰ θεσμοὺς τοὺς τοῦ Διὸς ἅπαντα κατευθύνοντος. Εἶθ' ὡς τῶν μὲν κακῶν οὐδενὸς, οὔτ' ἄλλῳ οὐδενὶ τῶν πάντων, οὔθ' ἡμῖν, τῶν δ' ἀγαθῶν αὐτοί εἰσιν οἱ αἰτιώτατοι. Ἐπὶ δὲ τούτοις, ὡς καὶ εἱμαρμένῃ ἀμεταστρόφῳ καὶ ἀπαρατρέπτῳ ἐκ Διὸς χωρούσῃ, κατά γε δὴ τὸ ἐνὸν βέλτιστον, ἕκαστα περαίνουσι. Καὶ ταῦτα μὲν περὶ θεῶν.

Περὶ δὲ τοῦ παντὸς, πρῶτον μὲν αὖ ὡς ἀΐδιον τόδε τὸ πᾶν, ἐν ᾧ δὴ καὶ οἱ δεύτεροί τε οὗτοι καὶ τρίτοι θεοί, τῷ Διΐ γέγονε, καὶ οὔτε ἠργμένον χρόνῳ, οὔτ' αὖ ποτε τελευτῆσον. Ἔπειθ' ὡς καὶ ἐκ πολλῶν τῶν πάντων ἐς ἕν τι ἡρμοσμένον. Εἶθ' ὡς ἄριστα ἐκ τῶν ἐνόντων τῷ πεποιηκότι, ὅτι δὴ μάλιστα ἀρίστῳ ὄντι, μεμηχανημένον, οὐ λελοιπότι οὐδ' ἡντιν οὖν ὑπερβολήν. Ἐπὶ τούτοις αὖ, ὡς καὶ ὡσαύτως ἀεὶ ἐν τῷ καθεστηκότι σχήματι σωζόμενον ἀπαραχίνητον. Τοσαῦτ' οὖν καὶ περὶ τοῦ παντός.

Περὶ δὲ αὖ ἡμῶν αὐτῶν, πρῶτον μὲν ὡς θεοῖς ἡ ψυχὴ ἡμῶν οὖσα συγγενὴς ἀθάνατός τε μένει ἐν οὐρανῷ τῷδε τὸν ἅπαντα χρόνον καὶ ἀΐδιος. Ἔπειθ' ὡς καὶ σώματι τῷ θνητῷ τῷδε ὑπὸ θεῶν κοινωνήσουσα ἑκάστοτε, ἄλλοτε ἄλλῳ, καταπέμπεται, τῆς τοῦ παντὸς ἕνεκα ἁρμονίας, ὡς καὶ θνητῶν ἀθανάτοις ἔν γε ἡμῖν καὶ εἴδει τῷ ἡμετέρῳ κοινωνούντων, τὸ πᾶν καὶ ταύτῃ αὐτὸ αὑτῷ συνδίοιτο. Εἶθ' ὡς τὸ καλὸν ἡμῖν, οἰκείως τῇ πρὸς θεοὺς συγγενείᾳ, τὸ προσῆκον τοῦ βίου τέλος. Ἐπὶ δὲ πᾶσιν, ὡς καὶ τὸ εὔδαιμον ἡμῖν, ἐν τῷ ἀθανάτῳ ἡμῶν, ὃ καὶ τῆς οὐσίας ἀνθρώπου ἐστὶ τὸ κυριώτατον, ὑπὸ τῶν τὸ γένος ἡμῶν συστησαμένων θεῶν ὥρισται.

Ταῦτα δὴ ιβ' σύμπαντα κεφάλαια περί τε θεῶν, καὶ τοῦ παντὸς τοῦδε, καὶ φύσεως τῆς ἡμετέρας, εἰδέναί τε δεῖ καὶ νομίζειν, εἴ μέλλοι τις ἃ χρὴ ὡς μάλιστα φρονῶν, καὶ φρόνιμος τῷ ὄντι ἔσεσθαι.

(1) Hæc et quæ sequuntur uncis inclusa, usque ad ἐφεστάναι, desunt in codicibus hoc quidem loco. Sed inventa sunt in Parisiensis bibliothecæ codd. 1683, fol. 209 v°, et 1739, fol. 256 v°, Zoroastreis præmissa statim post titulum, exordii cujusdam instar, videnturque olim a Plethone ad marginem libri sui jam transcripti adjecta serius fuisse. Id certe, testatur apud Morellium, in catalogo bibl. S. Marci, codex Venetus 406, qui Plethonis autographus creditur, in quo istud additamentum, scholii instar, initio Zoroastreorum ad marginem ascriptum est. ALEXANDER.

ΓΕΩΡΓΙΟΥ ΓΕΜΙΣΤΟΥ

ΠΡΟΣ ΤΟ

ΥΠΕΡ ΤΟΥ ΛΑΤΙΝΙΚΟΥ ΔΟΓΜΑΤΟΣ ΒΙΒΛΙΟΝ

(Ex Dosithei TOMΩ ΑΓΑΠΗΣ. Ἐν Γιασίῳ, 1698.)

—

Τὸ ὑπὲρ Λατίνων βιβλίον τὸ ἐς ἡμᾶς ἦκον, ἄρ- A
γεται μὲν τοῦ τῇ σφετέρᾳ ἀμύνειν δόξῃ ἀπὸ τοῦ τὸν Πατέρα προβολέως προεπινοεῖσθαι. Ἐπὶ γοῦν ταύτῃ τῇ ὑποθέσει, καὶ ἀπὸ ταύτης ὁρμώμενοι, καὶ ὃ βούλονται οἴονται οἱ τὸ βιβλίον συνθέντες συμπεραίνειν, ταύτῃ ἀκολούθως καὶ τὸν Υἱὸν τῆς τοῦ Πνεύματος ὑπάρξεως ἀξιοῦντες προεπινοεῖσθαι· καὶ ἐντεῦθεν προσλαμβάνοντες καί τι ἀξίωμα, τῇ μὲν Ἑλληνικῇ θεολογίᾳ καὶ μάλα φίλιον, τῇ δὲ Ἐκκλησίᾳ πολεμιώτατον, ὡς ὧν μὲν αἱ δυνάμεις διάφοροι, καὶ αὐτὰ ἂν εἴη ταῖς οὐσίαις διάφορα, οἴονται δεῖν καὶ τὸν Υἱόν, ἅτε προεπινοούμενον τῆς τοῦ Πνεύματος ὑπάρξεως, κοινωνῆσαι τῷ Πατρὶ καὶ τῆς τοῦ Πνεύματος προβολῆς, ἵνα μὴ τῆς προβλητικῆς δυνάμεως οὐ κεκοινωνηκὼς, καὶ τῇ οὐσίᾳ διενέγκῃ. Καὶ οὗτοι μὲν οὕτω. Ἡμεῖς δὲ τὸ μὲν προτετάχθαι τὸν Υἱὸν τῆς τοῦ Πνεύματος ὑποστάσεως, οὐκ ἂν ἀπαξιώσαιμεν, τρίτου καὶ ὑπ' αὐτοῦ τοῦ Χριστοῦ ἐν τοῦ βαπτίσματος τῇ παραδόσει τοῦ Πνεύματος ἠριθμημένου. Τὴν δ' εὐλογιωτάτην αἰτίαν καθ' ἣν ἂν τρίτον δέοι τὸ Πνεῦμα ἀριθμεῖσθαι, Λατῖνοι βούλοιντ' ἂν σιγᾶσθαι· ἡμεῖς δὲ φαῖμεν ἄν, ὡς ἐπειδὴ δύο προόδους τοῦ Πνεύματος ἐκ τῶν τῆς Ἐκκλησίας ἀρχῶν ἔστιν εὑρεῖν, τὴν μὲν τῆς ὑπάρξεως αὐτοῦ καὶ ὑποστάσεως αἰτίαν, τὴν δὲ πρὸς ἡμᾶς τε καὶ τὴν κτίσιν πεμπτικήν· αὕτη δὲ ἡ δευτέρα τοῦ Πνεύματος πρόοδος, ὑπὸ τοῦ Υἱοῦ τε καὶ ἐκ τοῦ Υἱοῦ ἐν ταῖς τῆς Ἐκκλησίας ἀρχαῖς εὑρίσκεται γιγνομένη· δέοι δ' ἂν τὸ πέμπον πρὸς τὸ πεμπόμενον καὶ ἀξίωμά τι ἔχειν· διὰ τοῦτο καὶ τὸ Πνεῦμα μετὰ τὸν Υἱὸν τετάχθαι τῷ ἀριθμῷ, εἰ καὶ μὴ τῇ φύσει. Ὡς δὲ δύο τὰς τοῦ Πνεύματος προόδους ἐκ τῶν τῆς Ἐκκλησίας ἀρχῶν ἔστιν εὑρεῖν, αὗται αἱ τοῦ Κυρίου δηλοῦσι φωναί, « Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρός, » ἰδοὺ ἡ πρὸς ἡμᾶς πέμψις· « τὸ Πνεῦμα τῆς ἀληθείας ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, » ἰδοὺ ἡ τῆς ὑποστάσεως πρόοδος. Ἀλλὰ Λατῖνοι ταύτην τὴν κατὰ τὴν πρὸς ἡμᾶς πέμψιν πρόοδον βούλοιντο μὲν ἂν σιγᾶσθαι, ἵνα μὴ τὰς τῶν Πατέρων φωνὰς, αἷς αὐτοὶ οἴονται ἐκ τοῦ Υἱοῦ δεικνύναι τὸ Πνεῦμα ἐκπορευόμενον, κατὰ ταύτην τὴν πρὸς ἡμᾶς πέμψιν ἐκλαμβάνοντες, τῶν ἡμετέρων ἀναμφισῤῥητήτων μαρτυριῶν ἀπορῶσιν· οὐ δυνάμενοι δ' αὐτὴν ἀφανίσαι τε καὶ τῆς Ἐκκλησίας ἐξελεῖν, σμικρύνουσι, χρονικήν τε καλοῦντες καὶ ὑφιγενῆ, καὶ τῷ τοῦ Θεοῦ Υἱῷ οὐ συναΐδιον. Ἀλλ' εἰ μὲν καὶ τὴν δημιουργικὴν δύναμιν ἐν τῷ Θεῷ οὐ συναΐδιον αὐτῷ εἶναι ἀξιώσουσι, μηδὲ τὴν ἐν τῷ Υἱῷ τοῦ Πνεύματος πρὸς τὴν κτίσιν πεμπτικὴν δύναμιν, συναΐδιον αὐτῷ ἀξιοῦντων εἶναι. Εἰ δ' ἐκεῖνο οὐκ ἂν φαῖεν, μηδὲ τοῦτο λεγόντων· ἔχοντα δὲ τὸν Υἱὸν συναΐδιως ἐν ἑαυτῷ τὴν τοῦ Πνεύματος πρὸς τὴν κτίσιν πεμπτικὴν δύναμιν, εἰκότως καὶ τοῦ Πνεύματος προτετάχθαι τῷ ἀριθμῷ, τοῦ Πατρὸς οὕτω τε καὶ τοιαῦτα παράγοντος τὰ ἐξ αὐτοῦ, ἵνα καὶ ἐν αὐτῇ τῇ Τριάδι τάξις τις ᾖ, ὡς οὐδετιοῦν τῶν γε ἀριθμητῶν, ὅτου ἂν τάξις ἀπείη, ἔξον καλῶς.

Τοῦτο μὲν οὖν, οὕτως ἐχέτω. Τὸ δ' ἀξίωμα ἐκεῖνο, τὸ, Ὧν αἱ δυνάμεις διάφοροι, καὶ αὐτὰ ἂν εἶναι ταῖς οὐσίαις διάφορα, πῶς οὐ τῇ Ἐκκλησίᾳ, ὥς γ' ἡμῖν ἀνωτέρω εἴρηται, πολεμιώτατον; Ἡ μὲν γὰρ Ἑλληνικὴ θεολογία ἕνα Θεὸν τὸν ἀνωτάτω τοῖς οὖσιν ἐφιστᾶσα, καὶ ἄτομον ἓν, καὶ ἔπειτα πλείους αὐτῷ παῖδας διδοῦσα, προὔχοντάς τε ἄλλου ἄλλων καὶ ὑποδεεστέρους, οὓς καὶ ἄλλον ἄλλῳ αὖ μείζονι ἢ μείονι τοῦ παντὸς τοῦδε μέρει ἐφίστησιν, ὅμως οὐδένα αὐτῶν τῷ πατρὶ ἴσον, ἢ γοῦν παραπλήσιον ἀξιοῖ εἶναι. Καὶ γὰρ ἑτέρας τε ἅπαντας οὐσίας καὶ πολὺ ὑποδεεστέρας ποιεῖ, καὶ θεότητος ὡσαύτως. Πρὸς γοῦν τῷ παῖδάς τε τοῦ Θεοῦ καὶ θεοὺς καὶ αὐτοὺς καλεῖν, ἔτι καὶ ἔργα ἅμα τοῦ αὐτοῦ Θεοῦ καλεῖ, οὐκ ἀξιοῦσα ἐπί γε τοῦ Θεοῦ γεννήσεως δημιουργίαν διακρίνειν, ὅτι μηδὲ βούλησιν φύσεως, ὅλως δὲ εἰπεῖν, μηδ' οὐσίας ἐνέργειαν. Ἑτέρας δ' οὖν θεότητός τε καὶ οὐσίας ὑποδεεστέρας τοὺς τοῦ ἀνωτάτω Θεοῦ παῖδας ἡ γε Ἑλληνικὴ θεολογία ποιεῖ, οὐδενὶ ἄλλῳ ἢ ἐκείνῳ ἐπερειδομένη τῷ ἀξιώματι, ὡς ὧν αἱ δυνάμεις διάφοροι, καὶ αὐτὰ ἂν εἴη ταῖς οὐσίαις διάφορα, κρίνουσά τε μεγίστην δυνάμεως διαφορὰν τὴν τοῦ αὐτοῦ δι' αὐτὸ ὄντος πρὸς τὸ δι' ἕτερον ἤδη ὄν. Ἡ μέντοι Ἐκκλησία τοῦτο τὸ ἀξίωμα δῆλη ἐστὶν οὐ προσιεμένη. Οὐ γὰρ ἂν τὸν Υἱὸν τῷ Πατρὶ ἴσον, ἢ οὐσίας τῆς αὐτῆς, εἰ τὸ ἀξίωμα τοῦτο προσίετο, ἀπέφαινε. Πῶς γὰρ ἂν ὁ Πατὴρ τοῦ γε Υἱοῦ οὐ διάφορος εἴη τὴν δύναμιν, εἰ ὁ μὲν αὐτὸς δι' αὐτὸν δύναταί τε εἶναι καὶ ἔστιν, ὁ δ' οὐκέτι αὐτὸς δι' αὐτὸν, διὰ δὲ τὸν Πατέρα ἐστίν· ἔτι δὲ, εἰ ὁ μὲν γεννητικὸς, καὶ ἴσου γεννητικὸς, ὁ δ' οὔτε ἴσου, οὔτε οὐκ ἴσου γεννητικὸς, ὥστ' ἂν μηδὲ τῆς οὐσίας εἶναι τῆς αὐτῆς, εἰ ὧν αἱ δυνάμεις διάφοροι, καὶ αὐτὰ ἂν εἴη ταῖς οὐσίαις διάφορα; Ἀλλὰ Λατῖνοι μὴ ἀξιώματι τῇ γε Ἐκκλησίᾳ πολεμιωτάτῳ τὴν σφετέραν προπέτειάν τε καὶ καινοτομίαν συνιστάντων, ἀλλ' ἐκ τῶν τῆς Ἐκκλησίας ἀρχῶν τοῦτο πειράσθων δεικνύναι. Εἰ δὲ μὴ οἷοί τ'

εἰσὶν, ἡμεῖς δὴ δείξομεν οὐ ταῖς τῆς Ἐκκλησίας ἀρ- A
χαῖς συνῳδὸν ὂν αὐτοῖς τὸ καινοτόμημα.

Μίαν οὐσίαν Πατρὸς καὶ Υἱοῦ καὶ Πνεύματος ἡ γε Ἐκκλησία ἀξιοῖ εἶναι· πρόσωπα δὲ τρία, ἰδιότητιν ἕκαστον τῶν ἄλλων διακρινόμενον. Καὶ τὰ μὲν τοῖς ὁρισὶν ἐφαρμόττοντα κοινά τε εἶναι καὶ ἓν ἀριθμῷ ἕκαστον αὐτῶν, αὐτὴν τὴν οὐσίαν καὶ φύσιν, τὴν δημιουργίαν τῆς κτίσεως, τὴν πρόνοιαν, τὴν τοῦ παντὸς ἀρχὴν, ἅπαν ὅτι τοιοῦτον εἴη ἂν εἰπεῖν· τὰ δὲ μὴ τοῖς τρισὶ δυνάμενα ἐφαρμόσαι, προσωπικά τε προσώποις καὶ ἴδια ἑκάστῳ εἶναι, καὶ οὐδοτιοῦν αὐτῶν ἓν ἀριθμῷ, ἐν πλείοσιν ἢ ἑνὶ προσώποις θεωρούμενον. Τὸ γάρ τοι αἰτιατὸν, τοῖς μὲν τρισὶ κοινὸν οὐκ ὄν, τοῖν δὲ δυοῖν μόνοιν, οὐ ταὐτὸν ἂν ἀριθμῷ εἴη ἔτι ἀμφοῖν, εἰ τῷ μέν που γεννητῷ, τῷ δὲ ἐκπορευτῷ πρόσεστι. Τούτων οὕτως ὑποκειμένων, προσειλήφθω καί τι ἀξίωμα, οὐ τῶν τῇ Ἐκκλησίᾳ πολεμίων, ἀλλὰ καὶ μάλα φίλιον, ὡς οὐκ ἔστιν ὅ τι αὐτὸ ἑαυτὸ δύναται προβάλλειν, ἀλλ' ἕτερον ἀεὶ δεῖ εἶναι τοῦ γε προβάλλοντος τὸ προβαλλόμενον, καὶ ὅλως αἰτίου αἰτιατόν. Ἐπὶ δὲ τούτοις σκοπῶμεν καὶ ἃ φασι Λατῖνοι, καὶ ἄττα ἐξ ὧν φασι συμβαίνει, εἰ συνῳδὰ ταῖς τῆς Ἐκκλησίας ἐστὶν ἀρχαῖς.

Ἐκ Πατρὸς φασι καὶ Υἱοῦ μιᾷ ἀριθμῷ προβολῇ τὸ Πνεῦμα ἐκπορεύεσθαι. Οὐκοῦν, εἰ μὲν κατὰ τὴν οὐσίαν κοινὴν οὖσαν ὅ τε Πατὴρ καὶ Υἱὸς μιᾷ προβολῇ τὸ Πνεῦμα προβαλοῦσιν, ὥσπερ ἄρα καὶ ἀξιοῦσιν αὐτοὶ ἐν τῷ βιβλίῳ, ἦτοι καὶ αὐτὸ ἑαυτὸ τὸ Πνεῦμα προβαλεῖ, κοινὴν αὐτοῖς καὶ αὐτὸ ἔχον τὴν οὐσίαν, ἢ εἰ διασταίη Πατρὸς καὶ Υἱοῦ ἐν τῷ προβάλλεσθαι, ἧς τε ἑτέραν οὐσίαν ἐκπεσεῖται καὶ οὐκέτι αὐτοῖς ὁμοούσιον μενεῖ, εἰ κατὰ τὴν κοινὴν οὐσίαν, ἀλλὰ μὴ προσωπικῶς αὐτὸ προβαλοῦσιν. Εἰ γὰρ μὴ προσωπικῶς ὅ τε Πατὴρ καὶ ὁ Υἱὸς τὸ Πνεῦμα, ἀλλὰ κατὰ τὴν κοινὴν αὐτοῖς οὐσίαν προβαλοῦσιν, ἡ οὐσία αὐτοῖς ἔσται ἡ προβάλλουσα, ὥστ' ἂν καὶ ἐς ἑτέραν οὐσίαν τὸ Πνεῦμα καὶ θεὸν ἕτερον ἐναργέστατα ἐκπίπτειν. Εἰ δ', ὅτι οὐ τοῖς τρισὶ προσώποις τὸ προβάλλειν οἷόν τε ἐφαρμόττειν (οὐ γὰρ οὐδὲ τῷ Πνεύματι), διὰ τοῦτο καὶ προσωπικὸν αὐτὸ ἄξιον φάναι, οὐκέτι οἷόν τε μιᾷ ἀριθμῷ προβολῇ τὸν Πατέρα τε καὶ Υἱὸν τὸ Πνεῦμα προβάλλειν, εἰ μὴ καὶ τῶν προσώπων τις συναλοιφὴν αὐτοῖς περιάψοι. Εἰ δὲ δύο τῷ ἀριθμῷ αἱ προβολαὶ, ἀμήχανον, μὴ οὐ διαφυήν τινα ἔχον τό γε Πνεῦμα προεῖναι, τὸ μέν τι ἐκ τῆς ἑτέρας, τὸ δ' ἐκ τῆς ἑτέρας προβολῆς ἴσχον. Οὐ γὰρ οὐδ' εἰ μὴ αἴτιος ἁπλῶς ὁ Υἱὸς τοῦ Πνεύματος, ἀλλὰ συναίτιος ἔσται, ὡς αὐτοί φασι συγκαλύπτοντες ἑαυτῶν τὴν καινότητα τοῦ δόγματος, οὐ καὶ αἴτιος ὅλως ἔσται· τὸ γὰρ συναίτιον, καὶ αἴτιον δήπου, τοσοῦτο μόνῳ τοῦ ἁπλῶς αἰτίου διαφέρον, ὅτι οὐ μόνον, ἀλλὰ σὺν ἄλλῳ κυριωτέρῳ αἰτίῳ, αἴτιον καὶ αὐτό ἐστιν. Ὥστε, εἴτε αἴτιος ἁπλῶς ὁ Υἱὸς τοῦ Πνεύματος, εἴτε συναίτιος, δώσει τι καὶ αὐτὸς ὁποσονοῦν τῷ Πνεύματι ἐς τὴν ὕπαρξιν. Εἰ γὰρ οὐδοτιοῦν δώσει, οὔτ' ἂν αἴτιος εἴη ἁπλῶς, οὔτε συναίτιος, ἀλλ' ὁ Πατὴρ αὐτὸ αὐτάρκως προβαλεῖ, ἐπεὶ οὐδ' ἂν αὐτάρκως αὐτὸ ὁ Πατὴρ προβάλλοι, εἰ καί τινος συναιτίου ὅλως δέοιτο. Οὕτω δὴ τὸ Πνεῦμα τὸ μέν τι ἐκ τοῦ Πατρὸς, τὸ δ' ἐκ τοῦ Υἱοῦ ἴσχον, καὶ διαφυὴν ἅμα ἕξει, καὶ κινδυνεύσει ὁ Θεὸς τῇ Ἐκκλησίᾳ ἀντὶ τριάδος τετρὰς ἀναφανήσεσθαι διὰ τὴν τοῦ Πνεύματος ταύτην διαφυήν. Ἐς ταῦτα τὰ τῇ Ἐκκλησίᾳ ἀσύμβατα ἡ Λατίνων αὕτη ἀπάγει δόξα. Ἢ γὰρ οὐχ ἁπλοῦν τὸ Πνεῦμα αὐτοῖς μενεῖ, εἰ δυοῖν προβολαῖν ὁ Πατήρ τε αὐτὸ καὶ ὁ Υἱὸς προβαλοῦσιν, ἢ εἰ μιᾷ προβολῇ προβαλοῦσιν, εἰ μὲν προσωπικῶς αὐτὸ προβαλοῦσιν, συναλοιφὴ ἔσται τοῖς προσώποις, καὶ ὁ Θεὸς ἀντὶ τριάδος, δυὰς αὖ· εἰ δὲ κατὰ τὸ κοινὸν τῆς οὐσίας προβαλοῦσιν, ὡ· αὐτοί που ἀξιοῦσιν, ἐς ἑτέραν αὐτοῖς τὸ Πνεῦμα οὐσίαν ἐκπεσεῖται. Τούτων τὸ μὲν ἐς Σαβελλισμὸν, τὸ δ' ἐς Μακεδονισμὸν, ἀπεβλέποντα οὐκ ἀδηλά B
ἐστιν. Εἰ δὲ πρὸς ταῦτα Λατῖνοι ἔξαρνοι μέν εἰσι μηδ' ὀτιοῦν αὐτῶν συγχωρεῖν, τῆς δὲ τοῦ τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι δόξης οὐ μεθίενται, παραπλήσιόν τι πάσχουσιν, ὥσπερ ἂν εἴ τις πέντε λέγοντες, ἔξαρνοι ἦσαν μὴ δέκα λέγειν, ἢ τρὶς τέσσαρα, μὴ δώδεκα. Ἐν γὰρ ταῖς ἐς ἄτοπον ἀπαγωγαῖς, τότε τις τῷ ἀτόπῳ οὐ συγχωρεῖ, ὅταν καὶ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν, ᾗ τὸ ἄτοπον ἕπεται, ἀνάθηται. Εἰ δὲ τῆς μὲν περιέχεται, τῷ δὲ προφανῶς ἀτόπῳ μόνῳ οὐ συγχωρεῖ, συγχωρεῖ τε ἅμα καὶ οὐ συγχωρεῖ τῷ αὐτῷ, καί τις ἀτοπός ἐστιν αὐτὸς καὶ καταγέλαστος, αὐτὸς αὐτῷ διαφωνῶν.

Ἀλλὰ ταῦτα μὲν ἐς τοσοῦτον. Πῶς δ' οὐχὶ κἀκεῖνο ἄτοπον τῶν ἐν τῷ βιβλίῳ, τὸ τὸν Πατέρα τῷ Υἱῷ τῆς γεννητικῆς φάσκειν δυνάμεως μεταδιδόναι ἐν τῷ γεννᾷν, καὶ τῷ Πνεύματι τῆς προβλητικῆς αὖ ἐν τῷ προβάλλειν, οὔτε τὸν Υἱὸν γεννητικὸν γεννῶντα, ἀλλὰ γεννητὸν μόνον, οὔτε τὸ Πνεῦμα ἐκπορευτικὸν προβάλλοντα, ἀλλ' ἐκπορευτὸν μόνον; Ἢ γὰρ λελήθοι ἂν αὐτοὺς, ὡς πολὺ διαφέρει γεννητικὸν γεννητοῦ, καὶ ἐκπορευτικὸν ἐκπορευτοῦ, ἢ ἐκόντες κακουργοῖεν ἄν, ἡμᾶς φεναχίζειν προῃρημένοι.

Ἔτι δὲ κἀκεῖνο, πῶς οὐκ ἄγνωμον αὐτῶν, τὰ τοῖς ἡμετέροις ἐγκαλεῖν, ὡς τὰ τῶν ἁγίων ὀβελίζουσιν, ἢ νοθεύουσιν, ἢ ἀρνουμένους, ἢ κακῶς ἐξηγουμένους, αὐτοὶ μᾶλλον τοῖς τοιούτοις ὄντες ἔνοχοι, ὅταν τὸν μὲν Δαμασκηνὸν Ἰωάννην ἀκυρῶσι, Διονυσίου δὲ τοῦ Ἀρεοπαγίτου, ὑπεσχημένου μὲν περὶ ἡνωμένης τε καὶ διακεκριμένης θεολογίας εἰπεῖν, ὡς αὐτὰ τὰ θεῖα πρόσωπα ἥνωται καὶ διακέκριται, καὶ ἔπειτα οὐ καὶ περὶ τοιαύτης Υἱοῦ καὶ Πνεύματος διακρίσεως μνησθέντος, κόμπον καταψηφίζωνται· Ἰουστίνου δὲ τοῦ μάρτυρος, καὶ Γρηγορίου τοῦ Θεολόγου, οὐδὲ συνιῶσι, τοῦ μὲν, Ὥσπερ ὁ Υἱὸς ἐκ τοῦ Πατρὸς, φάσκοντος, οὕτω καὶ τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς, πλὴν τοῦτον μὲν, γεννητῶς εἶναι, τὸ δὲ Πνεῦμα ἐκπορευτῶς· τοῦ δ' αὖ, Πάντα ὅσα ἔχει ὁ Πατὴρ, τοῦ Υἱοῦ, πλὴν τῆς αἰτίας· πάντα ὅσα ἔχει ὁ Υἱὸς, τοῦ Πνεύματος, πλὴν τῆς γεννήσεως· Κυρίλλου δὲ μὴ ἐπιστρέφωνται πρὸς τὴν Θεοδωρήτου περὶ τούτου μέμψιν, οὐκ ἀντιστάντος, οὐδ' ἐκείνῳ αὖ βλασφημίαν ἀντεγκαλέσαντος, ἀλλὰ συνομαρτεῖσθαί τε φάσκοντος, καὶ πρὸς τὸ ἔγκλημα περιφανῶς ἐξάρνου ὄντος. Ὅλως δὲ, πολὺ βᾶον τοῖς ἡμετέροις τοὺς τῆς

Ἐκκλησίας πατέρας συμφώνους ἀλλήλοις ἀποφαίνειν, ἢ Λατίνοις· τοῦτο μὲν, τῇ ὁμωνυμίᾳ τῆς ἐκπορεύσεως καὶ τῷ διττῷ τῶν τοῦ Πνεύματος προόδων, τοῦτο δὲ, τῇ τοῦ Πνεύματος αὖ ὁμωνυμίᾳ, Πνεύματος καὶ τῆς τοῦ Πνεύματος χάριτος καλουμένης, καὶ Πνεύματος Ἁγίου, ὡς ἐκεῖθεν δῆλον, « Ὁ πιστεύων εἰς ἐμὲ, » καθὼς εἶπεν ἡ Γραφὴ, « ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. Τοῦτο δὲ εἶπε περὶ τοῦ Πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν· οὔπω γὰρ ἦν Πνεῦμα Ἅγιον, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη. Εἰ γὰρ τοῦτο περὶ αὐτῆς τῆς ὑποστάσεώς τις τοῦ Πνεύματος τοῦ Ἁγίου ὑπολήψεται, κινδυνεύσει οὐ μόνον ἐκ τοῦ Υἱοῦ φάναι ἂν τὸ Πνεῦμα ἐκπορεύεσθαι, ἀλλὰ καὶ ἐκ τῆς κοιλίας τῶν πιστῶν.

Ἀλλὰ γὰρ ἐγὼ οὐ τοῦτο δέδια μήποτε χρείττονος τῶν ἡμετέρων ἐν τοῖς περὶ τοῦ ἀμφισβητουμένου τούτου λόγοις Λατῖνοι φανῶσιν· οὐ γὰρ οὐδὲ μέχρι νῦν ἐφάνησαν, καίπερ πολλὰ κἀμνοντες ἐν τοῖς ὑπὲρ τούτου σοφίσμασιν. Ἐπεὶ καὶ ἐν Ἰταλίᾳ, ὅτε οἱ ἡμέτεροι ἐκείνοις συνέθεντο, οὐ τῷ λόγοις ἡττῆσθαι καὶ συνέθεντο, ἀλλ' ἴσμεν ὁντρόπον συνέθεντο· διὰ τοῦτο οὐδ' ἀλόγως οἱ πολλοὶ τῶν τότε συνθεμένων οὐδ' οἷς συνέθεντο ἐνέμειναν. Ἀλλ' ἐκείνους δέδια τῶν ἡμετέρων, οἷς δοκεῖ, κἂν εἰ εὐσεβέστερά ἐστι τά γε πάτρια ἡμῖν, ἀλλ' ὅμως τὰ Λατίνων πρὸ αὐτῶν αἱρετέα, διὰ τὸ ταῦτα καὶ τοῖς πράγμασι λυσιτελήσειν τι δοκεῖν. Ἴσως δ' ἄν τις καὶ οὕτως ἔχοι, ὥστε καὶ ἀμφοτέρων μὲν ὁμοίως καταφρονεῖν· ὁ δ' ἀμελήσας τοῦ τί τὸ κράτιστον ἐν τοῖς τοιούτοις ζητεῖν, πρὸς τὸ τοῖς πράγμασι μόνον συνοίσειν τι δοκοῦν, οἴεται δεῖν τὴν αἵρεσιν ποιεῖσθαι. Ἐῶ μὲν οὖν λέγειν ὡς οὐκ ἀεὶ τὰ ἡμῖν λυσιτελῆ δοκοῦντα καὶ διὰ τέλους λυσιτελεῖ, ἀλλ' ἔστιν ὅτε καὶ τῆς βλάβης αὐτὰ τὰ αἰτιώτατα κατέστη. Οὐ μὴν ἀλλ' ἐμοὶ ὁ λόγος οὗτος, τὸ τοῖς πράγμασι συνοίσειν τι δοκοῦν ἐν τοῖς τοιούτοις δεῖν αἱρεῖσθαι, οὐδὲν ἄλλο δοκεῖ βούλεσθαι, ἢ μὴ νομίζειν τοὺς ταῦτα ἀξιοῦντας τὸν Θεὸν τῶν ἀνθρωπίνων προνοεῖν. Καὶ ἄλλως δὲ γνοίη ἄν τις τοὺς πολλοὺς τῶν ἡμετέρων ταύτην που τὴν δόξαν νοσοῦντας, ἐκ τοῦ μηδέποτε, ἐκ πολλοῦ ἡμῖν κακῶς τῶν πραγμάτων φερομένων, βούλευμα προθέσθαι, τί ἂν τῶν ἡμῖν ἂν ἁμαρτανομένων ἐπανορθωσάμενοι, εἴτε ἐν δόξαις, εἴτε ἐν ἔργοις τὸν Θεὸν ἱλασαίμεθα. Παρ' ὃ δὴ, οὐδὲ θαυμάζειν ἄξιον, εἰ ὁ Θεὸς τοὺς μὴν ἡμῖν ἐναντίους πάμπολυν ἤδη αὔξει χρόνον, ἡμᾶς δὲ φθίνειν ἐάσει, ἐς οὕτως ὀλίγον συνέστειλε. Δῆλοι γάρ εἰσιν οἱ πολλοὶ ἐκείνων τὴν τοῦ τὸν Θεὸν τῶν ἀνθρωπίνων προνοεῖν δόξαν πολὺ τῶν ἡμετέρων βεβαιοτέραν ἔχοντες ἐν ταῖς ψυχαῖς. Οὔκουν ἂν οὔτ' ἐκείνοις τούτου τοῦ εὐσεβήματος ἄλλο τι ἀντάξιον ἁμαρτάνοιτο ἀθέβημα, οὔθ' ἡμῖν ἄλλο τι ὀρθοῖτ' ἂν τούτου τοῦ ἀσεβήματος ἀντάξιον εὐσέβημα. Οὐ γὰρ ἐν τοῖς περὶ ὀλίγου ἀξίων τὸ ζύγμα, ἀλλ' ὅσον ἡ ἐφιστάναι ἡμᾶς τὸν Θεὸν τῇ ἡμῶν αὐτῶν ἀρχῇ, ἢ ἐκβάλλειν. Οὔκουν ἀπεικότως τοὺς ἐκβάλλοντας ἂν αὐτὸν τῆς σφῶν ἀρχῆς καὶ φθίνειν ἐᾷ, οὐ πάνυ τοι συλλαμβάνων ἐς τὸ σώζεσθαι. Εὕροι δ' ἄν τις καὶ τῶν ἐκ παντὸς τοῦ ἐν μνήμῃ χρόνου γενῶν, τὰ μὲν ηὐξημένα, σὺν τῇ τῆς τοῦ θείου προνοίας δόξῃ ηὐξημένα· τὰ δὲ πεφθικότα αὖ, σὺν τῇ ταύτης τῆς δόξης ἀποβολῇ καὶ πεφθικότα. Τούτων τεκμήριον ἐναργὲς, τὸ εὐορκοῦντας μὲν αὔξεσθαι, τῶν δ' ὅρκων ἀρξαμένους ὀλιγωρεῖν, φθίνειν. Οὔκουν οὐδ' ἡμῖν ἐλπὶς σωθήσεσθαι μὴ, εἴ τι ἐς τὸν Θεὸν μέγα, ἢ ἕν, ἢ πλείω, εἴτε δὴ ἐν δόξαις, εἴτε ἐν ἔργοις, ἁμαρτάνοιτο, ἐπανορθωσαμένοις. Μέχρι δ' ἂν οὕτως ἔχωμεν, ὡς ἔχομεν, οὔτ' εἰ Λατίνοις ὁμολογήσομεν, οὔτ' εἰ οἱστισινοῦν ἀνθρώπων, σωθείημεν ἄν. Ἀλλ' ὁ Θεὸς, δοίη, οὐ περὶ τούτου μόνον, ἀλλὰ καὶ περὶ τῶν ὅλων πραγμάτων τὰ κράτιστα ἡμῖν βουλευσαμένοις ἐλέσθαι.

ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΓΕΜΙΣΤΟΥ

ΠΡΟΣ ΤΑΣ

ΥΠΕΡ ΑΡΙΣΤΟΤΕΛΟΥΣ

ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΣΧΟΛΑΡΙΟΥ

ΑΝΤΙΛΗΨΕΙΣ.

(Ex codice Rhedigerano edidit Dr W. Gass. in *Gennadius und Pletho*, Wratislaviæ 1844, præmissa doctissima Præfatione sermone vernaculo Germano scripta).

« Ἐπειδὴ (*a*) τὸ βιβλίον τῶν κατ' Ἀριστοτέλους βλασφημιῶν καὶ ἐς ἡμᾶς ὄψὲ πεποίηθεν. »

Ἐγὼ μὲν οὐκ ὄψὲ, ὡς γε σὺ φῂς, ἀλλ' ὅτε τ' πρῶτον ἠτήθην εὐθὺς ἔπεμψα· σὺ δὲ δὴ τήνδε σου

(*a*) Virgulis inclusa verba sunt Scholarii in Apologia pro Aristotele. In hac Apologia, cujus primam partem tantum edidit Minoides Mynas, non minus injuriose Plethonem Scholarius habuerat quam hic Pletho Scholarium. Ἡ παροῦσα βίβλος, inquit Minoides, *Κατὰ τῶν Πλήθωνος ἀποριῶν ἐπ' Ἀριστοτέλει*, δέον ἄλλως πως ἐπιγράψαι· ἐν γὰρ τοῖς ἑφεξῆς τῆς βίβλου οὐχ ὡς ἀπορῶν ὁ Πλήθων ἐλέγχεται, ἀλλὰ ψευδόμενος καὶ συκοφάντης καὶ μαινόμενος. Edit.

τὴν συγγραφὴν πάλαι συγγεγραφὼς καὶ πέμπειν κε- A
λευόμενος πολλάκις τε τοῦτο κελευόμενος τέως μὲν οὐκ
ἔπεμπεν· τελευτῶν δὲ, ἐπεὶ ἔκαμνες ἐπὶ τῷ μὴ πέμ-
πειν καταγελώμενος, ἔπεμψας μὲν οὐδ' οὕτως, ἔφα-
σκές γε μὴν πεπομφέναι ψευδόμενος· πρὸς γὰρ τοῖς
ἄλλοις σοι κακοῖς καὶ τὸ ψεῦδος προχειρότατον. Καὶ
νῦν ἦκεν ὡς ἡμᾶς ταυτὶ τὰ καλὰ συγγράμματα, οὐ
σοῦ πέμψαντος, ἀλλά τινων ἐκκλεψάντων τῶν δι'
ἰδίαν ἀγχίνοιαν κατεγνωκότων· ἦκε δ' οὐδ' ὁλόκληρα,
ἀλλὰ καὶ τὰ ἑλθόντα ἱκανὰ ἐμφῆναί σου τὴν ἀμα-
θίαν καὶ τῆς γε διανοίας τὸ σαθρόν. Καίτοι εἰ μὲν
ἐθάῤῥεις, τί συνέγραφες, ὑφ' οἷς ἔμελλες γέλωτα
παρά γε τοῖς νοῦν ἔχουσιν ὀφλήσειν; τί δὲ καὶ πε-
πομφέναι ἐψεύδου μὴ πεπομφώς, καὶ ταῦτα πρὸς
οὓς ἥκιστά σε ἐχρῆν ψεύδεσθαι, οὐδ' ἠσχύνου μέ- B
λλων αὐτίκα ἂν ῥᾷστα ἁλιώσεσθαι ψευδόμενος;

« Ἔνιοι δὲ καὶ εὐγνωμονέστερον ἀμφοῖν διακού-
σαντες συνῆψαν ἄμφω τὼ φιλοσόφω ταῖς γνώμαις
καὶ τὴν ἐς Πλάτωνα διαφορὰν Ἀριστοτέλει περὶ τὸ
τῆς λέξεως φαινόμενον συμβῆναι μόνον φασί. »

Σιμπλίκιος τοῦτο μόνος ποιεῖ, καὶ δῆλός ἐστι κατὰ
τῆς Ἐκκλησίας αὐτὸ ποιῶν. Ἀποτεινόμενος γὰρ
πρὸς τῶν τῆς Ἐκκλησίας τοὺς ἐν ὀνείδει προφέρον-
τας τοῖς Ἕλλήνων φιλοσόφοις τὴν πρὸς ἀλλήλους
διαφωνίαν αὐτοὺς μέν φησιν ἐσχίσθαι ἐς μυρία κατὰ
τῆς θείας ὑπεροχῆς (οὕτω γὰρ καὶ τῇ λέξει φησὶ),
τοὺς δ' Ἕλληνας ἐς ταυτὸ συμφέρεσθαι. Καὶ πει-
ρᾶται δὴ Ἀριστοτέλη Πλάτωνί τε καὶ Παρμενίδῃ
συναρδὸν ἀποφαίνειν οὐδ' ὁτιοῦν λέγων πιθανὸν, ὅσα
δ' ἄλλοι τε τῶν παλαιῶν κατ' Ἀριστοτέλους καὶ δὴ C
καὶ Πλωτῖνος Σιμπλικίου πολὺ ἀμείνων ἀνὴρ συν-
έγραψε κατά τε ἄλλων αὐτοῦ καὶ τῶν γε κατηγο-
ριῶν, ὅσα Πρόκλος κατά τε ἄλλων καὶ μάλιστα τῆς
αὐτοῦ θεολογίας· σὺ δὲ τὸ Συμπλικίῳ κατὰ τῆς
Ἐκκλησίας σπουδασθὲν εὐγνωμοσύνην καλεῖς, καί-
περ Συμπλικίου κατὰ σοῦ μάλιστα σὺ πεποιηκότος,
ὃς καὶ αὐτὸς πρὸς ἑαυτὸν πολλάκις ἔσχισαι.

« Τοὺς δὲ νῦν Πλάτωνος ἡττωμένους ἐν Ἰταλίᾳ,
οἷς φησι χαριζόμενος τὴν τοιαύτην πραγματείαν
λαβεῖν ἐπὶ νοῦν, ἴσμεν τίνες εἰσί· καὶ ἑώρων πολλοὶ
τῷ ἀνδρὶ συγγινομένους αὐτοὺς ἐκεῖ, οἷς τοσοῦτον
μέτεστι φιλοσοφίας, ὅσον αὐτῷ Πλήθωνι ὀρχηστι-
κῆς. »

Ἕδει καὶ τοὺς ἄνδρας τούτους τῆς πρὸς ἡμᾶς
σοῦ βασκανίας; ἀπολαῦσαι, οἳ σοῦ πολὺ καὶ σοφώτε- D
ροι τὰ ἐς πᾶσαν σοφίαν καὶ τήν γε διάνοιαν ὀξύτε-
ροι· σὺ γὰρ πρὸς τῇ κακοηθείᾳ καὶ τὴν διάνοιαν
ἀμβλύς, ὅσα γε ἐκ τῆσδέ σου τῆς συγγραφῆς φαίνῃ,
καὶ ἀμαθής, καὶ ταῦτα ἐν αὐτοῖς τοῖς Ἀριστοτέλους,
ἐν οἷς δὴ σὺ καὶ εἶναί τις αὐχεῖς, ὡς προϊόντων
σοι τῶν λόγων δῆλον ἔσται.

« Ὅσοι δὲ ἐν ἐσπέρᾳ τῶν φιλοσοφίας δογμάτων
γνησίως ἐπεμελήθησαν, οὐχ ὁμοίως τὰ τοιαῦτα κρί-
νουσι· κρείττους δὲ ἀριθμοῦ σχεδόν εἰσιν οἵ γε
τοιοῦτοι, ὧν αὐτὸς οὐκ ὀλίγοις ἐνέτυχον. »

Καὶ πότε σὺ ἢ τίσι τῶν γε ἐν ἐσπέρᾳ ἐνέτυχες
σοφῶν; ὃν ἴσασι πάντες, ὅσοι δὴ ἐκεῖ ἡμῖν ἐπιδημοῦσι
συμπαρῆσαν, φεύγοντα τὰς τῶν ἐκεῖ σοφῶν λεγομέ-
νων συνουσίας, ὅτου δὲ ἕνεκα δῆλον, ἵνα γὰρ μὴ πολὺ
ὧν χείρων ἐλεγχθῇς ἢ οἷος σὺ βούλει δοκεῖν. Σὺ μὲν
οὖν ἢ οὐδέσιν αὐτῶν ἐνέτυχες, ἢ εἴ τισι καὶ ἐνέτυχες,
οὐκ ἂν ἱκανὸς τῆς σοφίας αὐτῶν ἦσθα κριτής· ἡμεῖς
δὲ καὶ ἐνετύχομεν καὶ οἷα τίς ἐστιν αὐτῶν ἡ σοφία
ἔγνωμεν. Εἰσὶ γὰρ δή σου μὲν καὶ πολλῷ κρείττους,
ἀκριβείας δὲ σοφίας οὐκ ὀλίγῳ λειπόμενοι· οἱ δὲ
γενναιότεροι αὐτῶν καὶ αὐτοὶ τῆς παρὰ σφίσιν αὐ-
τοῖς σοφίας κατεγνωκότες εἰσί. Τοῦτο μὲν γὰρ Πέ-
τρος ὁ Καλαβρὸς ἀμφοτέρων τε τῶν φωνῶν ἔμπειρος
καὶ ἅμα κρίνειν τὰ τοιαῦτα οὐκ ἀδόκιμος τούς γε
παρὰ σφίσιν ἐς Ἀριστοτέλη ἔφη πρός με ὑπομνη-
ματιστὰς πολὺ τῶν Ἑλλήνων λείπεσθαι ὑπομνημα-
τιστῶν πρός γε τὴν τῆς διανοίας Ἀριστοτέλους
σύνεσιν· τοῦτο δ' Οὔγων, ἀνὴρ αὖ ἐν τοῖς σοφωτά-
τοις τῶν ἐκεῖ (1), προτείνας ἡμῖν χωρίου τινὸς
ἑρμηνείαν (ἐκ δὲ τοῦ Περὶ γενήσεως καὶ φθορᾶς
Ἀριστοτέλους βιβλίου τὸ χωρίον ἦν), καὶ φάσκων
οὐκ ἀρέσκεσθαι τῇ ἑρμηνείᾳ, ἦν γὰρ οὐδ' ὑγιὲς
οὐδὲν αὐτῆς, ἐπειδὴ τῆς παρ' ἡμῶν ὑγιοῦς ἤκουσεν,
ἀπεδέξατό τε καὶ τῆς παρὰ σφίσι πολὺ δή ἔτι μᾶλλον
κατέγνω. Πῶς οὖν οἱ μήτε ἱκανῶς Ἀριστοτέλους συ-
ιέντες, Πλάτωνος δὲ καὶ τῶν Πλάτωνος λόγων
καὶ παντάπασιν ἄπειροι, εἰ μὴ ὅσα Ἀριστοτέλους
περὶ αὐτῶν ἀκούουσι κακουργοῦντός τε καὶ συκο-
φαντοῦντος τὰς δόξας, δίκαιοι ἂν εἶεν τοῖν ἀνδροῖν
τούτοιν κριταί; Τῷ γὰρ ὄντι τῶν πρὶν ἂν ἀμφοῖν
μῦθον ἀκοῦσαι δικαζόντων ταῖς γε ψήφοις φαίνῃ σὺ
ἰσχυριζόμενος, ἐπεὶ κἀκεῖ οἵ γε Πλάτωνος γεγευμέ-
νοι πολὺ τὸν ἄνδρα τοῦτον Ἀριστοτέλους προτιμῶσι.
Φῂς δὲ καὶ Ἀβερόην ἡμᾶς συκοφαντῶν ἐν τῷ περὶ
ψυχῆς ἀνθρωπίνης λόγῳ· ἐξεῖναι γὰρ ἀκούσιν καὶ
Λατίνων καὶ Ἰουδαίων πάντων, οὐ φθαρτὸν τόν γε
ἀνθρώπινον νοῦν Ἀβερόην φασκόντων ὑποτίθεσθαι.
Καὶ ἡμεῖς, ὦ γαθέ, παρά τε τῶν Ἰταλῶν τῶν σο- D
φωτέρων καὶ Ἰουδαίων ἔστιν ὧν πεπύσμεθα τὰ περὶ
ψυχῆς ἀνθρωπίνης Ἀβερόου, καὶ ἃ φασι καὶ ὡς γέ
φασιν, ἴσμεν, οὐχ ὥσπερ σὺ οὐδὲν εἰδὼς φαίνῃ, ὧν

(1) Pomponium Lætum laudare videtur. Huic enim cognomen fuit Petro Calabro nato in Calabria et Laurentii Vallæ discipulo, postea præceptori in Collegio Romano, quem, antiquarum litterarum studiosissimum rerumque Romanarum scriptorem haud ignobilem, de religione Christiana multa contumeliose dixisse legimus. « cf. Joecher, *Gelehrten-Lexicon*. — Hugonem, Cujus deinde Pletho mentionem facit, neminem esse puto nisi Hugonem Bencium, patria Senensem, medicum inter Italos ejus temporis fuse illustrissimum et medicinæ professorem, tum philosophiæ etiam et theologiæ peritissimum. Vixit ætate concilii Florentini et ita fertur in omni genere doctrinæ elaborasse, ut viros eruditos ad disputandum convocaret et difficillima quæque sibi proposituris ac de Platone et Aristotele interrogaturis ex tempore se responsurum esse polliceretur. Hippocratis, Galeni et Avicennæ libros scriptis interpretatus est. Obiit Romæ a. 1448; hic enim annus epitaphio ejus inscriptus est in Ghilini *Theatro d'huomini letterati*, Venet. 1647, p. 259. Eodem loco per errorem, ut videtur, item annus 1438, quo mortuus sit, notatus est. Vid. A. Mæi Biblioth. eccl. ed Fabr. II, p. 181. Joecher, *Gelehrten-Lexicon*. W. Gass.

ἐκεῖνος λέγει· ἢ τοι γὰρ ἀμαθῶν τινων ἀκήκοας ἢ οὐκ αὐτὸς συνῆκας· ὧν ἀκήκοας, ἔχει γάρ τινα καὶ περίνοιαν ὁ Ἀβερόου οὗτος λόγος, ὥστε τῶν τινα παχυτέρων μὴ ἂν ῥᾴδιον εἶναι συνεῖναι. Σὺ δὲ δὴ καὶ Ἀριστοτέλη Πλάτωνος μᾶλλον τῇ Ἐκκλησίᾳ προσποιεῖς ταυτὸν ἀτεχνῶς πάσχων τοῖς ἐν ἀπορίαις ταῖς μεγίσταις· ἐπὶ τὰ ἱερὰ καταφεύγουσι· καὶ σὺ ὑπὸ ἀπορίας ἰσχύν τινα ἐχόντων λόγων ἐπὶ τὴν Ἐκκλησίαν καταφεύγεις· καὶ ὅτι μὲν ἀμφότεροι καὶ Πλάτων καὶ Ἀριστοτέλης τῆς γε Ἐκκλησίας ἀλλότριοι, οὐδ' ἂν σὺ ἄλλως εἴπας· ἀνθ' ὅτου δ' Ἀριστοτέλη τῇ Ἐκκλησίᾳ Πλάτωνος μᾶλλον προσποιεῖς, σὺ μὲν οὐδ' ὁτιοῦν λόγου ἄξιον ἐνδείκνυσαι. Καὶ ἐῶ λέγειν ὅτι καὶ ἐν πλείοσι καὶ μείζοσι Πλάτωνα τῇ Ἐκκλησίᾳ συνῳδὸν προϊόντων σοι τῶν λόγων ἀποφαίνεις σαυτῳ ἀτεχνῶς ὑπ' ἀδελτηρίας περιπίπτων. Ὁ μέντοι ἐν τοῖς δοκιμωτάτοις τῶν τῆς Ἐκκλησίας προστατῶν Κύριλλος βουλόμενος τὴν Ἐκκλησίαν τῇ καθ' Ἑλλήνων φιλοσοφίᾳ συνῳδόν πη ἀποφῆναι οὐκ Ἀριστοτέλη ἀλλὰ Πλάτωνά τε καὶ τὴν Πλάτωνος φιλοσοφίαν προσελόμενος τοῦτο ποιεῖ· καὶ ἕτερον δὲ τούτῳ ὅμοιον Ἀριστοτέλους τὸ μικρολόγον περὶ προνοίας διακωμῳδοῦντα ἴσμεν. Σὺ δὲ καὶ ὑβρίζειν μοι δοκεῖς ἐς τὴν Ἐκκλησίαν τὸ σμικρολόγον Ἀριστοτέλους περὶ προνοίας τῆς Πλάτωνος περὶ τὰ τοιαῦτα λαμπρότητος μᾶλλον τῇ Ἐκκλησίᾳ προσποιῶν· οἶδ' ὅτι, εἰ καὶ μὴ φήσεις, ἀλλ' οὖν οἶσει γε ὑπὸ τύφου σὺ ἐκείνων τῶν ἀνδρῶν ἀμείνων περὶ τὰ τοιαῦτα εἶναι κριτής· πολλοῦ μέντοι δέομεν καὶ ἡμεῖς σοι τοῦτο συγχωρῆσαι.

« Ὥστε εἰ μὴ δι' Ἀριστοτέλη, οὐκ ἂν φυσικῆς φιλοσοφίας τὸ τῶν ἀνθρώπων μετεῖχε γένος. »

Οὐδ' ἡμεῖς μεμφόμεθα Ἀριστοτέλη οὐθ' ὅτι συνέγραψεν, ἀλλὰ καὶ προτρεπόμεθα ἀναγινώσκειν τὰ βιβλία τῶν γε ἐν αὐτοῖς χρησίμων ἕνεκα, εἰδότες μέντοι, ὡς συχνὰ ἐν αὐτοῖς καὶ φαῦλα ἐγκαταμέμικται, ὃν δὴ καὶ Πλούταρχος τρόπον τῶν γε ποιημάτων προτρέπεται ὀκούειν. Οὐ γὰρ ὅτι ὅλως συνέγραψε, διὰ τοῦτο καὶ τὰ αὐτῷ ἐν οἷς συνέγραψεν ἡμαρτημένα προσκυνεῖν ἡμᾶς χρή· ἀλλ' ἅμα μὲν Πλάτωνα ἔχοντες πολὺ αὐτοῦ θειότερον ἄνδρα προστάτην, ἅμα δ' οὐδ' ἡμᾶς αὐτοὺς ἀπαξιοῦντες μὴ οὐχ Ἀριστοτέλη ἐφ' οἷς κακῶς συνέγραψεν εὐθύνειν, εἰκότως εὐθύνομεν. Ἐκεῖνο μέντοι σε πρὸς πολλοῖς ἄλλοις λανθάνει, ὅτι Πλάτων οὐχ ὡς οὐκ εἰδὼς τὰς ἐπιστήμας οὐ συνέγραψεν, ἀλλ' οὕτω Πλάτωνί τε καὶ πρὸ αὐτοῦ τοῖς Πυθαγορείοις δοκοῦν, μὴ συγγράφειν τὰ τοιαῦτα, ἀλλὰ τοῖς ἑταίροις ἀπὸ φωνῆς παραδιδόναι ὡς σοφωτέροις ἂν ἐσομένοις, ἐν ταῖς ψυχαῖς ἀλλὰ μὴ ἐν βιβλίοις ἔχουσι τὰς ἐπιστήμας· ἀμελεῖν γὰρ τῆς ἐν ταῖς ψυχαῖς ἐνδελεχῶς ἕξεως τοὺς ἐν τοῖς βιβλίοις οἰομένους ἔχειν. Εἰ μὲν οὖν ἐνδελεχῶς ἐκεῖνο ἐγίγνετο, καὶ ἄμεινον ἂν ἦν· ἐπεὶ δ' αἱ κατὰ καιροὺς τύχαι τε καὶ ξυμφοραὶ πόλλ' ἄττα καὶ μεγάλα ἔστιν ὅτε διαλείμματα τῇ κατὰ τὴν σοφίαν ἡμῖν ἐνεργείᾳ ἐμποιοῦσι, χρήσιμον καὶ τὸ συγγράφειν ὑπόμνησίν τινα τοῖς οὐκ ἐνδελεχῶς ταῖς ἐπιστήμαις ἐμμελετῶσι παρέχον. Παραδίδωσι μὲν οὖν καὶ Πλάτων ὑπομνήματα ἄττα ἀρχῶν μάλιστα καὶ λογικῆς καὶ φυσικῆς καὶ ἠθικῆς καὶ θεολογίας, ἐφιλοσόφησέ τε οὐκ ἰδίαν ἑαυτοῦ σοφίαν τεμών, ἀλλὰ τὴν τῶν ἀπὸ Ζωροάστρου διὰ τῶν Πυθαγορείων ἐς αὐτὸν κατεληλυθυῖαν. Πυθαγόραν γὰρ τοῖς ἀπὸ Ζωροάστρου συγγεγονότα ἐν τῇ Ἀσίᾳ μάγοις ταύτην τὴν φιλοσοφίαν μετελθεῖν ἣν δὴ Ζωροάστρην ἱστοροῦσιν ἄλλοι τε καὶ Πλούταρχος πεντακισχιλίοις τῶν Τρωικῶν γεγονέναι ἔτεσι πρεσβύτερον· εἰ τῳ δὲ τοῦτο οὐ πιστόν, ἀλλ' οὖν παλαιότατος ἂν εἴη τῶν ὅλως ὀνομαζομένων σοφῶν τε καὶ νομοθετῶν πλὴν Μηνός τοῦ Αἰγυπτίου νομοθέτου τούτου σοφοῦ. Ἐδέξαντο δὲ καὶ Αἰγυπτίων ἱερεῖς μάλιστα τὰ Ζωροάστρου τούτου δόγματα καὶ εὐδοκίμουν κατά γε δὴ τὰ δόγματα, ἐπεὶ ἀγιστείαις φαύλαις οὔσαις ταῖς ἀπὸ Μηνὸς τέως ἐνέμενον, ἐφ' αἷσπερ καὶ κατεγελῶντο. Ὡς δὲ ταύτην Πλάτων μετῆλθε τὴν σοφίαν, τὰ ἀπὸ Ζωροάστρου ἔτι καὶ ἐς ἡμᾶς σωζόμενα λόγια δηλοῖ συνῳδὰ ὄντα ταῖς Πλάτωνος πάντη τε καὶ πάντως δόξαις. Πλάτων μὲν οὖν ἐν τοῖς διαλόγοις τοῖς αὐτοῦ ἀρχὰς μόνον καὶ φιλοσοφίας παραδιδοὺς αὐτὰ τὰ ἀναγκαιότατά τε καὶ περὶ τῶν μεγίστων τὰ λοιπὰ εἴασε τοῖς ἑταίροις ἔκ τε τῶν ἀρχῶν τούτων, ἔκ τε ὧν αὐτοῦ διακηκόεσαν, ἀναλαμβάνειν. Ἀλλ' Ἀριστοτέλης, φοιτητὴς γεγονὼς Πλάτωνι καὶ ἔπειτα ὑπὸ σχήματι φιλοσοφίας σοφιστικὴν μετελθὼν καὶ κενῆς δόξης ἐρασθεὶς ἐπὶ τῷ ἰδίας αὐτοῦ αἱρέσεως ἀρχηγέτης γενέσθαι τὰς μὲν ὑπὸ Πλάτωνος συγγεγραμμένας φιλοσοφίας ἀρχὰς ἐκ παμπόλλων ἐτῶν ἐς ἐκεῖνον κατεληλυθυίας ἀνέτρεψέ τε καὶ διέφθειρεν. Ἃ δ' ἀπὸ φωνῆς Πλάτωνος διήκουσεν αὐτὸς συγγεγραφὼς δι' ἑαυτοῦ ἐποιήσατο συχνὰ καὶ ἐν αὐτοῖς ἁμαρτών· πολυπραγμονῶν δὲ καὶ τὰ πόρρω τῶν ἀρχῶν καὶ φαῦλα τοῦ δέοντος περαιτέρω πλῆθος συγγραμμάτων ἐξέδωκε, τέταρτον τοῦτον καὶ δέκατον τρόπον σοφιστικὸν ἐξευρηκώς, πλήθει συγγραμμάτων ἐκπλήττειν τοὺς ἀνοητοτέρους. Ἐπεὶ ἡ γε σοφία ἐν ὀλίγοις τε καὶ περὶ ὀλίγα· περὶ γὰρ τὰς τοῦ ὄντος ἐστὶν ἀρχάς, ἃς ἤν τις καλῶς ᾖ εἰληφώς, κἂν τἆλλα ἅπαντα, ὁπόσα ἐς γνῶσιν ἐλθεῖν ἀνθρώποις δυνατά, ἱκανὸς εἴη εὖ διαγινώσκειν. Ἐξηλέγχθη μὲν οὖν καὶ ὑπ' ἄλλων πολλῶν Ἀριστοτέλης, ἐφ' οἷς ἁμαρτάνει· ἐξελήλεκται δὲ καὶ ὑφ' ἡμῶν ἤδη, οὐκ ἐπὶ πᾶσιν, ἀλλ' ἐπὶ τοῖς μεγίστοις μάλιστα. Ἐπεὶ δὲ σὺ ἠξίωσας ἀντιλαβέσθαι, ἡμεῖς καὶ ἔτι ἀμυνούμεν Πλάτωνί τε καὶ ἡμῖν αὐτοῖς οὐδὲν φροντίσαντες, ὧν σὺ ἡμᾶς δεδίττῃ οὐ φείσεσθαι τῶν ἐς ἡμᾶς λοιδοριῶν ἀπειλῶν, ὅς γε οὐδὲν ἡμῶν πέφεισαι· οὐ γάρ σε Γοργώ τινα οὖσαν ἴσμεν, ἀλλὰ Μορμὼ παιδί' ἅττα διδίττεσθαι δυναμένην, οὐκ ἄνδρας λοιδοριῶν κρείττους. Ἡ γὰρ ἂν καὶ ἄξιοι τοῦ κακῶς ἀκούειν ἦμεν, εἴ τινα καὶ τοιούτου ἀνδρὸς, λοιδοριῶν λόγον ἐποιούμεθα, ὅς γε οὐδ' αἰσχύνῃ ἐπὶ γυναίου πλεονεκτήματι καὶ τούτου πορνιδίου τινὸς μέγα αὐχῶν. Ἐροῦμεν δ' ἃ ἐροῦμεν οὐ πρὸς ἅπαν σου μῆκος τῶν λόγων (μωρία γ' ἂν ἦν πρὸς κενὸν μῆκος λόγων ἕτερον μῆκος καὶ αὐτὸ ἀντιπαρατείνειν), ἀλλ' ἡμῖν μὲν, ὅπου καίριον εἴη τι εἰπεῖν, εἰρήσεται· ἢ τοι ἐν οἷς δόξαις ἂν ἐνίοις· οὔ πάνυ τοι σοφοῖς λέγειν τι, ἢ καὶ ἐν οἷς πάμπολυ τοῦ ὑγιοῦς ἀποπεπλάνησαι, ἐάνπερ ἐλεγχόμενος ὑφῇς τι

τοῦ τύφου. Τὰ δ' ἄλλα ἄλλοις παρήσομεν καταγελᾶν, οἳ ἐν αὐτοῖς καὶ τῶν τε κενῶν ὑπὲρ σεαυτοῦ αὐχημάτων τῶν τε ἐς ἡμᾶς σου ἡμῶν οὐχ ἁπτομένων βλασφημιῶν καταγελάσονται.

« Καίτοι τὸ μὲν ἀσαφὲς Ἀριστοτέλους σοφῷ, τὸ δὲ Πλάτωνος ἐπικεχρωσμένον ποιητῇ μάλιστα, ὡς ἂν μὴ λέγω χείρονι ἐπιτηδεύματι, πρέπον ἐστὶν εἰπεῖν. »

Καὶ πῶς σοφῷ πρέπον τὸ τῆς λέξεώς ἐστιν ἀσαφές; οὐ μᾶλλον ἢ ἀνδραπόδῳ οὕπω τρανῶς φωνὴν τὴν Ἑλλάδα περιειληφότι, ἢ σοφιστῇ οὐ πάνυ τοι θαῤῥοῦντι ὑπὲρ τῶν λεγομένων καὶ λέξεως αὐτὰ ἀσαφείᾳ συγκαλύπτοντι, ἢ καὶ φθονερῷ πόνον τιθέντι τοῖς ἀναγνωσομένοις, ἵνα ἴσως αὐτοῦ δέοιντο τήν γε διάνοιαν ἀναπτύξοντος· σοφῷ δὲ πῶς, ὃν χρὴ ὑπὸ φιλανθρωπίας τὸ τῶν νοημάτων βαθὺ εὐληπτον ἐς δύναμιν σαφηνείᾳ λέξεως τιθέναι; Τὸ μὲν γὰρ μυθῶδες ἔχοι ἂν τινα λόγον. Εἰ γὰρ μὴ οἱ μῦθοι κατὰ τοὺς ποιητῶν φλυαρίας εἶεν ἀνάμεστοι, παρίχουσί τι τοῖς πολλοῖς καὶ βάθους νοημάτων οὐ δυναμένοις ἐφικέσθαι νοεῖν πρόχειρον, ὃ καὶ Πλάτων πρὸς καὶ ἄλλοις θεολόγοις ἐπετήδευσεν ὑπὸ φιλανθρωπίας. Ἀπάντων γὰρ τὸ τῶν πολλῶν φιλόμυθον τῆς τῶν ποιητικῶν μύθων φλυαρίας αὐτὸς ἑτέροις μύθοις εὐαγέσι τισὶν ἔδωκέ τι ἐννοεῖν καὶ τούτοις τῶν θείων οὐ πάνυ τοι ἀλλότριον, ἵν' οἵ τε σοφοὶ ὁμοῦ καὶ οἱ πολλοὶ ἀπόναιντό τι αὐτοῦ. Ἐκ δὲ τοῦ τῆς λέξεως ἀσαφοῦς οἱ μὲν σοφοὶ καὶ πόνον προσλήψονται, ἐφ' οἷσπερ ἀπονώτερον νοεῖν ἐνῆν, οἱ δὲ πολλοὶ οὐδὲ σμικρὸν ὠφελήσονται. Ἀλλ' οὐδ' ἀσαφής ἐστιν Ἀριστοτέλης, ἐν οἷς ὑφ' ἡμῶν μάλιστα ἐλέγχεται, εἰ μὴ ἄρα τοῖς κατὰ σὲ ἀμαθέσιν, ἀλλὰ σὺ ἔρμαιον εὑρηκὼς τὸ ἔστιν οὗ καὶ ἀσαφείᾳ λέξεως χρήσασθαι Ἀριστοτέλη καὶ τὰ σαφέστατα αὐτοῦ βιάζῃ ἐς ἀσάφειαν, ἵν' ἐς ἑτέραν διανοιαν τὰ ὑφ' ἡμῶν ἐλεγχόμενα μεταφέρων δόξῃς τι αὐτῷ ἀμύνειν. Ἀλλ' οὐδὲν ἧττον ὑφ' ἡμῶν ἀσύμφωνά τε καὶ ἀνάρμοστα καὶ τῇς γε διανοίας Ἀριστοτέλους ἔξω λέγων ἐλεγχθήσῃ.

« Ὅτι μὲν οὖν μὲν τῆς κινήσεως τέλος αὐτὸν τίθεται, ἀληθῶς λέγει ὁ Πλήθων· ὅτι δὲ μόνης τῆς κινήσεως καὶ ὅτι οὐ τοῦ εἶναι καὶ τῆς οὐσίας, οὐκ ἀποδείκνυσιν. »

Οὐ πάντα ἀποδεικνύναι χρὴ καὶ τὰ ἥτοι πᾶσι δῆλα ἢ τοῖς γοῦν σοφοῖς καὶ οὐ κατὰ σὲ ἀμαθέσιν, εἴ γε μὴ μέλλοι ἐς ἀπεραντολογίαν ἐμπεσεῖσθαι. Αὐτίκα ὃ σὺ φῂς ἡμᾶς οὐκ ἀποδεικνύναι, τὸ τοῦ οὐρανοῦ μόνον κινητὸν Ἀριστοτέλη τὸν Θεὸν τίθεσθαι, σοὶ μέν που οὐ δῆλον, ἅτε οὐδ' ἂν δυναμένῳ σοφιστοῦ διανοίας ἐφικέσθαι· τοῖ δ' ὁπωσοῦν σοφοῖς καὶ ἅμα τῶν Ἀριστοτέλους ἐμπείροις πῶς οὐ δῆλον; Ὅταν γὰρ Ἀριστοτέλης τοσούτους ἀξιοῖ εἶναι τοὺς θεούς, ὅσαι καὶ σφαιρῶν τῶν κατ' οὐρανὸν κινήσεις, τί ἄλλο βούλεται ἢ τὰ μὲν ἄλλα πάντα οὐκ ἂν Θεοῦ δεῖσθαι, τὰς δὲ σφαίρας μόνον ταύτας, καὶ ταύτας τοῦ κινεῖσθαι μόνον ἕνεκα· εἰ γάρ τοι καὶ ἄλλο ὥστο δεῖσθαι Θεοῦ, τίς ἡ ἀνάγκη ταῖς τῶν σφαιρῶν κινήσεσιν ἰσαρίθμους τοὺς θεοὺς τίθεσθαι; Πῶς δ' οὐ καὶ ἐκεῖθεν δῆλον τὸ τοιοῦτον; περὶ μὲν γὰρ ἀϊδίου κινήσεως ἀποδεικνὺς ἐκ τοῦ κινοῦντος καὶ αἰτίου μάλιστα ταύτην ἀποδείκνυσιν, ἀξιῶν τὸ πρῶτον κινοῦν ἅτε ἀκίνητον ὂν καὶ ἀεὶ κινεῖν· πάνυ δὲ ἐπιστημονικῶς τοῦτο ποιῶν. Ἔνθα γάρ ἐστιν αἴτιόν τι καὶ αἰτιατὸν τὰ τῷ αἰτιατῷ συμβαίνοντα ἐκ τοῦ ἐναντίου ἀποδείκνυσθαι χρή, εἰ ἄρα μᾶλλοι ἡ κατ' ἐπιστήμην ἀπόδειξις χωρήσειν· τὴν δ' οὐρανοῦ ἀϊδιότητα ἀποδεικνὺς (1) οὐκέτι αἰτίου οὐδ' ὁτουοῦν μέμνηται, δέον, εἴπερ ὥριτο εἶναί τι αἴτιον τῆς οὐρανοῦ οὐσίας, ἐκ τοῦ αἰτίου καὶ τούτῳ τὴν ἀϊδιότητα ἀποδεικνύναι. Ἀλλὰ πῶς ἀποδείκνυσιν; Ἅπαν φησὶ τὸ γεννητὸν καὶ φθαρτὸν καὶ τὸ φθαρτὸν αὖ καὶ γεννητόν, καὶ ἅπαν τὸ ἄφθαρτον καὶ ἀγέννητον. καὶ αὖ τὸ ἀγέννητον καὶ ἄφθαρτον (2)· δεῖν γάρ φησι πᾶν, εἴ τι δύναμιν ἔχειν τοῦ ἀεὶ εἶναι, μὴ τοῦ ἀεὶ εἶναι ἔχειν δύναμιν (3), οὔτε τοῦ μὴ ἀεὶ εἶναι ἔχοι ἄν. Ἐντεῦθεν τὴν τοῦ ἀεὶ εἶναι δύναμιν τῷ οὐρανῷ ἐπιδιδοὺς ἀγέννητόν τε ἅμα αὐτὸν καὶ ἄφθαρτον συμπεραίνει· καλῶς μὲν καὶ ἐκομένως τῇ ἑαυτοῦ δόξῃ, εἴ γε οἴεται τὸν οὐρανὸν ἀπ' οὐδενὸς· ἂν δημιουργοῦ παρῆχθαι, ἐπεὶ εἴ γε ὥριτο, οὐκ ἂν ἔλαθεν αὐτὸν οὐδὲν περαίνων. Εἰ μὲν γὰρ οἰκεῖαν τὴν τοῦ ἀεὶ εἶναι δύναμιν ἔσχηκεν ὁ οὐρανὸς, οὕτω μόνως· αὐτῷ ἀναγκαῖον συμβαίνει τὸ ἀγεννήτῳ ἅμα καὶ ἀφθάρτῳ εἶναι, ὃ δὴ ἡμεῖς τῷ πρωτίστῳ αἰτίῳ καὶ μόνῳ ἀποδώμεν ἔν. Εἰ δ' ὀθνείαν τὴν τοῦ ὅλως εἶναι ἔχει δύναμιν παρὰ δημιουργοῦ εἰλῆφώς, οὐκέτι οὐδὲν περαίνει ὁ οὕτως ἀποδεικνὺς, ἐὰν μὴ τῷ αἰτίῳ περιθῇ τινα τοῦ ἀΐδια δημιουργεῖν ἀνάγκην, ὥσπερ οὖν καὶ τοῦ ἀεὶ κινεῖν περιέθηκε. Δῆλον γὰρ δὴ, ὅτι ὡς ἂν ὁ διδοὺς διδῷ τὸ εἶναι τῷ οὐρανῷ, οὕτω καὶ ἕξει· ἀλλὰ γὰρ ἔκ τε τούτων καὶ ἄλλων οὐκ ὀλίγων καὶ πάνυ δῆλός ἐστιν Ἀριστοτέλης οὐ τῆς οὐσίας καὶ τοῦ εἶναι τῷ οὐρανῷ τὸν Θεὸν αἴτιον, ἀλλὰ μόνης τῆς κινήσεως δοξάζων. Καὶ ἡ αἰτία δὲ τοῦ οὕτως αὐτὸν δοξάσαι ὡς κάλλιστα ἡμῖν ἐξήρτηται· ὑπὸ γὰρ τοῦ ἀΐδιον μὲν τὸν οὐρανὸν νομίσαι, τῶν δ' ἀϊδίων οὐσιῶν μηδ' ἡντινοῦν γένεσιν μήτε χρονικὴν μήτε κατ' αἰτίαν ἀξιοῦν εἶναι, οὕτω ἠναγκάσθαι δοξάσαι.

« Ἐν τῷ ἐπιχειρήματι τούτῳ τινὰς τοὺς Χριστιανοὺς ἡμᾶς αἰνιττόμενος ἐκ Μωσέως τὴν δόξαν ταύτην προειληφότας σύμφωνόν που τῇ Χριστιανῶν πίστει καὶ αὐτὸν ἀποφαίνεται Ἀριστοτέλη, ὡς ἡμεῖς ἐν προοιμίοις ἰσχυρισάμεθα. »

Εἰ μὲν τῇ Ἀρειανικῇ ἐκκλησίᾳ εἰσποιεῖς σαυτὸν, πρός γε ἐκείνοις καὶ σὲ δὴ λέγω· ἐκεῖνοι γὰρ ἦσαν οἱ τῷ Ἀριστοτέλους τούτῳ ἀξιώματι τῇ σφετέρᾳ ἀμύνειν πειρώμενοι δόξῃ. Εἰ δὲ τῇ νῦν Ἐκκλησίᾳ καὶ καθ' ἡμᾶς ἔτι γοῦν ἐμμένεις, ἐγὼ μέν τινα; λέγων οὐ καὶ σέ φημι. Πῶς γάρ; ὃς γε καὶ ἀλλοτριώτατον τῆς Ἐκκλησίας τοῦτο τὸ ἀξίωμα ἠγημαι.

(1) *De cœlo*, I, 9.
(2) Ibid. cap. 11.
(3) Sic legendum puto : Εἴ τι δύναμιν ἔχει τοῦ ἀεὶ εἶναι, μὴ τοῦ ἀεὶ εἶναι ἔχειν δύναμιν, κτλ. Cf. *De cœlo*, I. 12. Οὐκ ἄρα ἐνδέχεται τὸ αὐτὸ καὶ ἐνδεῖ τε δύνασθαι εἶναι καὶ μὴ εἶναι. Ἀλλὰ μὴν οὐδὲ τὴν ἀπόφασιν, οἷον λέγω μὴ ἀεὶ εἶναι. Et infra : Ἀδύνατον ἄρα μὴ ὂν ποτε ὕστερον ἀΐδιον εἶναι, W. Gass.

Εἰ γάρ τοι δοθείη καθάπαξ, πᾶν τὸ ἀπ' αἰτίου τὴν ὕπαρξιν ἔχον καὶ ἀπὸ χρόνου ἦρχθαι δεῖν, οὐδ' ἂν ὁ Υἱὸς καὶ τὸ Πνεῦμα ἅτε ἀπ' αἰτίου τοῦ Πατρὸς ὄντα ἐκφύγοι τὸ μὴ οὐ καὶ ἀπὸ χρόνου ἦρχθαι. Εἰ δὲ σὺ σαυτοῦ τοῦτο τὸ ἀξίωμα καὶ τῆς Ἐκκλησίας ποιῇ, πάνυ ἔοικας πρὸς τῇ ἄλλῃ σου ἀμαθίᾳ καὶ ἀξιωμάτων τῶν τε τῇ Ἐκκλησίᾳ προσηκόντων καὶ τῶν μὴ φαύλός τις εἶναι κριτής. Ἔπειτα εἰ καὶ τὰ μάλιστα τοῦτο τὸ ἀξίωμα καὶ τῇ Ἐκκλησίᾳ τι προσῆκε, σοὶ τί δύναται τὸ ἐν τούτῳ τῷ ἀξιώματι Ἀριστοτέλη τῇ Ἐκκλησίᾳ προσποιεῖν, ὡς ἐν προοιμίοις ἰσχυρίσω, ὅ γε σὺ Ἀριστοτέλους ἀπαξιοῖς; ἐμοὶ μὲν γὰρ οὐδὲν ἄλλο δοκεῖ σοι τοῦτο δύνασθαι ἢ ἀναίσθητόν σε ἀποφαίνειν τοῦ αὐτὸν ὑπὸ σαυτοῦ περιτρίπεσθαι.

A

« Ὅς τοὺς ἐνθουσιασμοὺς καὶ τὰς ἀποκαλύψεις διαβάλλειν καὶ πλάνην ἀποκαλεῖν λέγεται, τὴν δ' ἀλήθειαν ὑπὸ τοῦ ἀνθρωπίνου λόγου εὑρίσκεσθαι μόνου διὰ φιλοσοφίας ἔν τινι ἑτέρῳ ἑαυτοῦ συγγράμματι ἀποδεικνύναι. »

Οἶδ' ἐγὼ καὶ ἐνθουσιασμούς, οὓς δεῖ καὶ λόγους οὐ προσίεσθαι· σὺ δ' οὐδὲν ἄρ' οἶσθα πλὴν τοῦ διαβάλλειν τε καὶ βλασφημεῖν.

« Ὅτι οὐδὲν περὶ ἀϊδιότητος Πλάτων εἶπε σαφὲς καὶ Ἀριστοτέλης ἐν *Τοπικοῖς* φησιν, ὅπου τοῖς προβλήμασι, περὶ ὧν οὐκ ἦσάν πω λόγοι εὑρημένοι τοῖς πρὸ αὐτοῦ καίτοι μεγάλων ὄντων ἀριθμεῖ καὶ τὸ τὸν κόσμον εἶναι ἀΐδιον (1). »

B

Οὐδὲ Ἀριστοτέλης ἠγνόει, οὔτε τοὺς Πυθαγορείους οὔτε Πλάτωνα ἀΐδιον καὶ αὐτοὺς τὸν οὐρανὸν τιθεμένους· οὔτε γὰρ τοῦ Τιμαίου τοῦ Λοκροῦ ὄντος δὴ Πυθαγορείου οὐκ ἂν ἐντετυχήκει συγγράμματι, ἐν ᾧ δὴ λέγεται, « Πρὶν ὢν οὐρανὸν γενέσθαι λόγῳ, ἦστην ἰδέα τε καὶ ὕλα· » ὡς λόγῳ καὶ οὐκ ἔργῳ τὴν οὐρανοῦ ποτε οὐχ ὕπαρξιν ὑποτιθεμένην αὐτῷ, οὔτε παρ' ὃν καὶ πεφοιτήκει οὔποτ' ἂν οὐκ ἠκηκόει τὸ τοιοῦτον, ὅ γε οὐδ' ἐν τοῖς διαλόγοις τοῖς αὐτοῦ ἐκείνος παντάπασι φαίνεται ἀποτεσιγηκώς. Ἦν γοῦν ἐν τῷ *Τιμαίῳ* γεννητὴν ὑπὸ Θεοῦ παραδίδωσι ψυχήν, ταύτην ἐν τῷ *Φαίδρῳ* ἀγέννητόν τε αὖ καὶ ἀθάνατον ἀποφαίνει, ὃ καὶ ἡμεῖς ἐν τῷ προτέρῳ ἡμῶν γράμματι ἐπεσημηνάμεθα· καὶ σὺ κακούργως ἐκ τῆς σῆς μεταφράσεως ὥσπερ καὶ ἄλλ' ἄττα ἐξέπλασε, ἵνα καὶ χώραν τινὰ ἔχωσιν οὗτοι οἱ λόγοι. Κακούργως γὰρ σὺ καὶ μετέφρασας τὰ ἡμέτερα, ἵνα τὰ μὲν ἐπὶ τὸ ἀσθενέστερον μεταποιῶν, τὰ δὲ καιρώτατα καὶ ἐξαιρῶν ἧττόν τισι δόξῃς ἀσθενῶς ἀντιλαμβάνεσθαι τῶν λόγων. Εἰ γὰρ σὺ τῆς μὲν σοφίας τῆς Ἀριστοτέλους, εἰ δή τις καὶ οἷα, οὐδ' ἐς ἴχνος ἐμβεβηκώς, τῆς δὲ κακουργίας καὶ μάλα τις εὐφυὴς μαθητής. Πλάτων μὲν οὖν ἅτε διαχρίνειν τὸ αἰτίᾳ μόνῃ γεννητὸν τοῦ καὶ χρόνῳ γεννητοῦ εἰδὼς δῆλός ἐστιν ἐν μὲν τῷ *Τιμαίῳ* τῇ πρὸς τὸ αἴτιον παραθέσει, τῇ αἰτίᾳ γεννητὴν τὴν ψυχὴν φάσκων, ἐν δὲ τῷ *Φαίδρῳ* αὖ τῇ πρὸς τὸ ἀθάνατον παραθέσει τῇ χρόνῳ ἀγέννητον αὖ τὴν αὐτὴν

C

D

φάσκων ψυχήν. Ἀριστοτέλης δὲ λέξεως μὲν ἕνεκα οὐκ ἂν δίκαιος εἴη Πλάτωνι μέμφεσθαι, Ἀθηναίῳ τε ὄντι καὶ ἅμα πάντας Ἕλληνας τῇ κατὰ τὴν λέξιν ἀκριβείᾳ ὑπερβαλλομένῳ, Σταγειρίτης τε ὢν αὐτὸς καὶ φωνῆς τῆς Ἑλλάδος ἀκριβείᾳ οὐκ ὀλίγῳ Πλάτωνος λειπόμενος· εἰ δὲ καὶ τῆς διανοίας ἕνεκα ἐν δίκῃ μέμφεται, σκεπτέον. Δῶμεν γὰρ Ἀριστοτέλει ἀκούοντι Πλάτωνος, γεννητὸν ὑπὸ Θεοῦ φάσκοντος τὸν οὐρανόν, ἀπατηθῆναί τε καὶ οἰηθῆναι καὶ χρόνῳ αὐτὸν γεννητὸν φάσκειν· οὐκοῦν, εἰ ἅμα μὲν ᾔδει καὶ αὐτὸς Ἀριστοτέλης, τὸ αἰτίᾳ μόνῃ γεννητὸν τοῦ καὶ χρόνῳ γεννητοῦ διακρίνειν, ἅμα δὲ καὶ ὑπὸ Θεοῦ τὸν οὐρανὸν δεδημιουργῆσθαι ἐνόμιζεν, ἐκείνως ἂν Πλάτωνος ἀντιλαβέσθαι ἐχρῆν· Ὅτι μέν, ὦ Πλάτων, ὑπὸ Θεοῦ δεδημιουργῆσθαι τὸν οὐρανὸν, καλῶς που φῄς· ὅτι δὲ καὶ χρόνῳ αὐτὸν γεγενῆσθαι ἀξιοῖς οὐκ ὄντα πρότερον, τοῦτο αὖ οὐκέτι σοι καλῶς λέγεται. Ὁ δὲ οὐδέν τι τοιοῦτον· ἀλλὰ περὶ μὲν τοῦ ὑπὸ Θεοῦ τὸν οὐρανὸν δεδημιουργῆσθαι ἢ μὴ οὐδὲ γρύ· ἀντειπεῖν μὲν γὰρ τῇ δόξῃ ἀνέδην οὐκ ἐθάῤῥει, μὴ οὐ καὶ ἀσεβείας δίκην ὄφλῃ (ἐν γὰρ Ἑλλήνων τῷ κοινῷ αὕτη ἡ δόξα μάλιστα ἐκράτει, ὡς· « Διὸς ἐκ πάντα τέτυκται) (2), » συνειπεῖν δὲ αὖ ὃ οὐκ ἐνόμιζεν, οὐκ ἐδόξαζε. Προσποιηθεὶς οὖν ἀγνοεῖν, Πλάτωνα ἀΐδιόν τε ἅμα καὶ ἀγέννητον νομίζοντα τὸν οὐρανὸν, μέμφεται αὐτῷ ὡς οὐκ ἀΐδιον νομίζοντι, ἡγούμενος τῇ τῆς ἀϊδιότητος αὐτοῦ θέσει καὶ τό γε ὑπὸ Θεοῦ ἂν δεδημιουργῆσθαι ἀναιρεῖσθαι, ὡς οὐκ οὖσαν ἀΐδιον γένεσιν οὐδ' ἥντινοῦν, ἅμα γε καὶ ἐξιδιώσασθαι ἐπιβουλεύων τὸ περὶ ἀϊδιότητος τοῦ οὐρανοῦ τοῦτο δόγμα ἔχον γέ τι ὑπερῆφανον. Οὕτως οὖν ἀναιδής ἐστι καὶ ἀντιλέγων, ὥστε ὁμολογῶν, Πλάτωνά τε καὶ τοὺς περὶ Πλάτωνα πρὸς τῷ γεννητὸν ὑπὸ Θεοῦ καὶ ἀΐδιον τὸν οὐρανὸν φάσκειν, ὅμως βιάζεται οὐκ ἀΐδιον αὐτοὺς φάσκοντας ἀποφῆναι, πάντα τρόπον ἑαυτοῦ ποιήσασθαι τὸ δόγμα ἀναισχυντῶν τῶν παλαιοτέρων ἀφελόμενος. Ὡς δὲ καὶ Πλάτων ἀΐδιον τὸν οὐρανὸν νομίζει, ἔτι καὶ ἐκεῖθεν δῆλον. « Χρόνος οὖν μετ' οὐρανοῦ γέγονεν, ἵν' ἅμα γεννηθέντες ἅμα καὶ λυθῶσιν, ἂν ποτε λύσις τις αὐτῶν γίγνηται, καὶ κατὰ τὸ παράδειγμα τῆς αἰωνίου φύσεως, ἵν' ὡς ὁμοιότατος αὐτῷ κατὰ δύναμιν ᾖ· τὸ μὲν γὰρ παράδειγμα τὸν πάντα αἰῶνά ἐστιν ὄν, ὁ δ' αὖ διατελεῖ τὸν ἅπαντα χρόνον γεγονώς τε καὶ ὢν καὶ ἐσόμενος. » Καὶ ἀποδείκνυσι δὲ Πλάτων τὴν τοῦ παντὸς ἀϊδιότητα πολὺ Ἀριστοτέλους χρειττόν τε καὶ θεοσεβέστερον, ὡς ἐξ ἐκείνου αὖ τοῦ χωρίου ἔστι καὶ τοῦτο λαβεῖν· « Λέγομεν δὴ, δι' ἣν αἰτίαν γένεσιν καὶ τὸ πᾶν τόδε ὁ ξυνιστὰς ξυνέστησεν· ἀγαθὸς ἦν, ἀγαθῷ δὲ οὐδεὶς περὶ οὐδενὸς οὐδέποτε ἐγγίγνεται φθόνος· τούτου δ' ἐκτὸς ὢν πάντα ὅτι μάλιστα παραπλήσια αὐτῷ· » δῆλα δὴ ὅτι καὶ ἀΐδια. Ἀλλ' Ἀριστοτέλης ἔκ τε τῶν ἄλλων αὐτοῦ καὶ οὐχ ἥκιστα ἀπ' αὐτοῦ τοῦ τρόπου, ᾧ Πλάτωνί τε καὶ τοῖς περὶ Πλάτωνα ὑπὸ Θεοῦ γεννητὸν τὸν οὐρανὸν

(1) *Top.* I, 11.
(2) Vid. *Orphica* ed. Herm. Fragm. p. 457, vers. 10 (ex Procl. in Tim.).

φάσκουσιν ἀντιλέγει, καὶ πάνυ δῆλός ἐστιν αὐτὸς οὐχ ὑπὸ Θεοῦ δεδημιουργῆσθαι νομίζων. Εἰ γὰρ ἐνόμιζεν, οὐκ ἂν ἐνταῦθα ἐμέμνητο, ἵνα δῆλος ᾖ τοῦτο μὲν συγχωρῶν Πλάτωνι, τὸ δέ τι κἀντιλέγων καὶ οὐ τὸ ὅλον ἀντιλέγων.

« Ταύτης γὰρ τῆς γνώμης, ὡς εἴρηται, καὶ Ἀριστοτέλης ἐστί, λέγων (1) ὅτι Τὰς ἀκινήτους οὐσίας τοσαύτας εὔλογόν ἐστιν ὑπολαβεῖν, τὸ δὲ ἀναγκαῖον τοῖς ἰσχυροτέροις ἀφείσθω λέγειν, ἀνάγκην τινὰ μείζω τῆς ἀπὸ τοῦ φαινομένου εὐλόγου, τὴν ἱερὰν δήπου καὶ ἀποκεκαλυμμένην νομίζων. »

Ἰσχυροτέρους ἐντεῦθα Ἀριστοτέλης τοὺς ἀστρονομικωτέρους λέγει· ἐπεὶ γὰρ αὐτὸς ἀπεφήνατο τοσαύτας τὰς ἀκινήτους οὐσίας εἶναι δεῖν, ὁπόσαι καὶ σφαιρῶν τῶν κατ' οὐρανὸν κινήσεις, ἵνα δὴ καὶ ἓν ἑνὸς αἴτιον ᾖ, οὔκουν οὐκ οἶδε περὶ αὐτῶν ὑγιὲς οὐδ' ὁτιοῦν. Ὅμως ἐκτίθεταί τινα καὶ ἀριθμὸν, ὁπόσον δὴ αὐτὸς οἴεται εὔλογον εἶναι, περὶ ἀριθμοῦ τούτων τῶν κινήσεων ὑπολαβεῖν· ἄτε δὴ οὐ σφόδρα θαῤῥῶν τῇ ἑαυτοῦ ὑπολήψει. « Τοσαύτας μὲν, φησὶ, τὰς ἀκινήτους οὐσίας εὔλογον εἶναι ὑπολαβεῖν ἐκ τοῦ ἡμῖν τέως δοκοῦντος εὐλόγου ἀριθμοῦ τῶν τῶν σφαιρῶν κινήσεων· τὸ δ' ἀναγκαῖον τοῖς ἰσχυροτέροις ἀφείσθω λέγειν· » τοὺς ἑαυτοῦ δὴ λέγων ἀστρονομικωτέρους, ὡς ὅσας ἂν ἐκεῖνοι φῶσι σφαιρῶν τῶν κατ' οὐρανὸν κινήσεις, τοσούτους καὶ τοὺς θεοὺς τούτους νομίζειν δέον ὄν. Αὕτη μὲν ἡ Ἀριστοτέλους ἐν τούτῳ τῷ χωρίῳ διάνοια· σὺ δ' ἐξ ὧν ἐνταῦθα τούτῳ τῷ χωρίῳ κέχρησαι, ἥκιστα ἔοικας Ἀριστοτέλους ὅ τι δὴ λέγοι συνιέναι.

« Ἔτι ἐν τρίτῳ τῶν περὶ κινήσεως τὰ αὐτὰ σχεδὸν λέγει. » Φησὶ γὰρ περὶ Δημοκρίτου, « Τοῦ δ' ἀεὶ οὐκ ἀξιοῦ ἀρχὴν ζητεῖν, λέγων ἐπί τινων ὀρθῶς, ὅτι δ' ἐπὶ πάντων οὐκ ὀρθῶς. Καὶ γὰρ τὸ τρίγωνον ἔχει δυσὶν ὀρθαῖς ἀεὶ τὰς γωνίας ἴσας· ἀλλ' ὅμως ἐστὶ τῆς ἀϊδιότητος ταύτης ἕτερον αἴτιον· τῶν μέντοι ἀρχῶν οὐκ ἔστιν ἕτερον αἴτιον ἀϊδίων οὐσῶν (2). »

Ἔοικας σὺ οὔθ' ἡμῶν συνιέναι ὅ τι λέγομεν, οὔτ' Ἀριστοτέλους. Ἡμῶν γὰρ λεγόντων τῶν ἀϊδίων οὐσιῶν μὴ ἀξιοῦν Ἀριστοτέλη εἶναι γένεσιν μηδ' ἐντινοῦν μηδ' αἰτίαν αὐτοῖς τοῦ εἶναι, οὐ τῶν γε παθῶν αὐτῶν οὐδὲ διαθέσεων, σὺ ἀντιλέγων προτείνεις ἡμῖν χωρίον Ἀριστοτέλους, οὐδὲν ἄλλ' ἢ τὰ αὐτὰ λέγων ἄντικρυς ἅπερ ἡμεῖς, καὶ λανθάνεις αὐτὸν ἀντὶ τοῦ ἀντιλέγειν καὶ συναγορεύων ἡμῖν. Ὅρα γὰρ, « Τοῦ ἀεὶ, φησὶν Ἀριστοτέλης, οὐκ ἀξιοῖ ἀρχὴν ζητεῖν Δημόκριτος, λέγων ἐπί τινων ὀρθῶς, ἐπὶ δὲ πάντων οὐκ ὀρθῶς. Καὶ γὰρ τὸ τρίγωνον ἔχει δυσὶν ὀρθαῖς ἀεὶ ἴσας· τὰς γωνίας· ἀλλ' ὅμως ἐστί τι τῆς ἀϊδιότητος ταύτης ἕτερον αἴτιον· τῶν μέντοι ἀρχῶν οὐκ ἔστιν ἕτερον αἴτιον ἀϊδίων οὐσῶν. » Οὐκοῦν τὸ δυσὶν ὀρθαῖς ἴσας; ἔχειν τὰς γωνίας τὸ τρίγωνον, πάλιν τοῦ τριγώνου καὶ διάθεσίς τίς ἐστιν αὐτοῦ, οὐκ οὐσία τις καθ' ἑαυτὴν ὑφεστηκυῖα, οἷα δὴ ὁ οὐρανὸς, ἢ εἴ τις ἀξιώσειε καὶ ἀριθμὸν ὄντινοῦν καὶ εἰκότως καὶ αἴτιόν τι τίθεσθαι αὐτοῦ· ἐπεὶ καὶ τῶν σφαιρῶν κινήσεων αἰτίας τὰς ἀκινήτους οὐσίας; τίθεται ἀϊδίων αὐτῷ οὐσῶν. Θεῖτο δ' ἂν καὶ τοῦ φωτὸς τοῦ τῆς σελήνης, ἀϊδίου καὶ τούτου αὐτῷ ὄντος αἴτιον τὸν ἥλιον, ἀλλ' ὅμως οὐδὲν τούτων οὐσία. Τίνες δ' ἂν εἶεν αὐτῷ αἱ ἀρχαὶ, ὧν οὐδὲν ἕτερον αἴτιον; καὶ τίνες ἂν ἄλλαι εἶεν ἢ πᾶσαι αἱ ἀΐδιοι αὐτῷ οὐσίαι, ἐν αἷς δὴ καὶ ἡ τοῦ οὐρανοῦ, ὡς ἔκ τε ἄλλων ἡμῖν προαποδέδεικται καὶ οὐχ ἥκιστα ἐκ τοῦ μετὰ τοῦτό σοι ἐπαγομένου Ἀριστοτέλους χωρίου δῆλον γίγνεται, ἐν ᾧ φησι· « Ταῦτα γὰρ αἵ γε δὴ ἀκίνητοι οὐσίαι, αἰτίαι τοῖς φανεροῖς τῶν θείων (3). » Οὐ γάρ φησιν αἴτια τῶν φανερῶν τῶν θείων, ἵνα αὐτῶν τῶν οὐσιῶν αἴτια ἔφασκεν, ἀλλὰ τοῖς φανεροῖς τῶν θείων. Οὐ ταυτὸν δέ ἐστι τό τε ἐμοῦ αἴτιον καὶ ἐμοὶ αἴτιον εἰπεῖν· τὸ μὲν γὰρ ἐμοῦ αἴτιον τῆς οὐσίας τῆς ἐμῆς, τὸ δὲ ἐμοὶ αἴτιον πάθους ἐστὶν ἐμοὶ αἴτιον, οὐ τῆς οὐσίας· σὺ δ' οὐδὲ τῆς λέξεως Ἀριστοτέλους συνίης. Δῆλον μὲν οὖν, ὡς πᾶσαι αἱ ἀΐδιοι οὐσίαι Ἀριστοτέλει εἰσὶν, ὧν φησι μὴ εἶναι ἕτερον αἴτιον. Ἵνα δὲ σοὶ τοῦ λόγου ἕνεκα συγχωρήσωμεν, ἑστὼν καὶ μόναι αἱ ἀκίνητοι καὶ χωρισταί· οὐκοῦν πλείω κατὰ Ἀριστοτέλη τὰ αὐτὰ δι' αὐτὰ ὄντα, καὶ οὐκ ἀφ' ἑνός τε καὶ μιᾶς ἀρχῆς τά γε ὄντα ἅπαντα πρόεισι. Πῇ οὖν ἡ Ἀριστοτέλους αὕτη σοφία ἢ μᾶλλον, ὡς ἂν ἐγὼ φαίην, ἀμαθία τῇ Πλάτωνος; θεολογίᾳ ἀξία ἂν εἴη παραβάλλειν; ὅταν Πλάτων μὲν ἀφ' ἑνὸς Θεοῦ ἐξαιρέτου τε καὶ οὐ τοῖς ἄλλοις ἐναρίθμου θεοῖς θεοῦ; τε τοὺς ἄλλους καὶ τὰ ὄντα ἅπαντα παράγῃ, Ἀριστοτέλης δὲ πλείους ἀρχὰς αὐτὰς δι' αὐτὰς οὔσας τοῖς οὖσιν ἐφιστᾷ. Τί οὖν, ὦ ἄνθρωπε, σκώπτεις σαυτόν; τί μάτην μακρολογεῖς φιλονεικῶν Ἀριστοτέλη Πλάτωνος ὑπερτιθέναι ἢ γοῦν καὶ ὅλως παραβάλλειν τὸν τοσούτῳ τὴν σοφίαν λειπόμενον; Οὐ γὰρ περὶ τὸ ὅπως χρὴ τάξαντα τὰς ἐρωτήσεις τὸν προσδιαλεγόμενον ἐξαπατῆσαι ἢ τὰ παραπλήσια ἢ γε σοφία ἐστὶν, ἃ διδάσκων Ἀριστοτέλης παρ' ἐνίοις εὐδοκιμεῖ, ἀλλὰ περὶ τὰ πρῶτά τε καὶ μέγιστα τῶν ὄντων, περὶ ἃ ὁ αὐτὸς οὗτος δὴ φαίνεται ἐσκοτωμένος. Καὶ καλῶς πᾶσι τοῖς σοφοῖς δοκεῖ πρὸς μὲν τὰ μικρὰ καὶ φαῦλα Ἀριστοτέλης κατὰ νυκτερίδα ἐν σκότῳ ὀξυδερκής τις εἶναι, πρὸς δὲ τὰ μεγάλα τε καὶ φανὰ κατὰ τὸ αὐτὸ αὖ ἐν φωτὶ θηρίον καὶ μάλα ἀμβλυωπός.

« Ἔτι κἀν τῷ πρώτῳ τῶν περὶ οὐρανοῦ » πάντες γὰρ, φησὶ, τὸν ἀνωτάτω τῷ θείῳ τόπον ἀποδιδόασι καὶ Ἕλληνες καὶ βάρβαροι, ὅσοιπερ νομίζουσιν εἶναι θεοὺς, δῆλον ὡς τῷ ἀθανάτῳ τὸ ἀθάνατον συνηρτημένον· ἀδύνατον γὰρ ἄλλως (4). » Τί δ' ἂν ἕτερον εἴη τὸ συνηρτῆσθαι, εἰ μὴ τὸ ἅμα ἠρτῆσθαι καὶ προσεχῶς, τουτέστιν ἐξ ἐκείνου προσεχῶς τε καὶ ἀϊδίως ἔχειν τὸ εἶναί τε καὶ ζῆν; »

Καὶ ἐκ τούτου τοῦ χωρίου ἐστὶν Ἀριστοτέλης οὐ τοὺς ἀνωτέρω θεοὺς αἰτίους τῆς ἀθανασίας νομίζων τῷ οὐρανῷ· οὐ γὰρ, ὥσπερ ἐν τῷ μετὰ τοῦτό σοι ἐκτεθειμένῳ τοῦ οὐρανοῦ φησι καὶ τοῖς ἄλλοις ἐξηρ-

(1) *Metaph.* xi, 8.
(2) *Phys.* viii, 1.
(3) *Metaph.* v, 1. —
(4) Arist. *De cælo* i, 3.

τῆσθαι τὸ εἶναι καὶ τὸ ζῆν, οὕτω κἀνταῦθα τοῦ ἀθανάτου τὸ ἀθάνατον ἔφη ἐξηρτῆσθαι, ἀλλ' ὡς τῷ ἀθανάτῳ φησὶ τὸ ἀθάνατον συνηρτημένον, πάνυ δῆλος ὢν ἐκεῖ μὲν τὴν αἰτίαν τῷ ἐξηρτῆσθαι βουλόμενος ζητεῖν, ὡς τῶν θνητῶν τῆς γενέσεως τὸν οὐρανὸν αἴτιον ὄντα, ἐνταῦθα δὲ τῷ συνηρτῆσθαι οὐκ αἰτίαν ἀλλὰ κοινωνίαν μόνον τῆς ἀθανασίας τῷ οὐρανῷ πρὸς τοὺς ἀνωτέρω θεούς. Σὺ δ' ὅσῳ τοῦ ἐξηρτῆσθαι τὸ συνηρτῆσθαι διαφέρει, ἐνθυμοῦ· οὐ συνιέναι· οὐ γάρ ποτ' ἂν ταυτὶ τὰ χωρία καὶ ταῦτα ἅμα ἀμφότερα ἐξετίθεις, ἐξ ὧν ἀντὶ τοῦ ἐλέγχειν αὐτὸς μᾶλλον ἐλέγχῃ.

« Πρὸς δὲ τούτοις εἰ πρώτην ἀρχὴν τῶν ὄντων ἀποφαίνεται τὸν Θεὸν, δῆλον ὅτι καὶ ποιητικὸν τοῦ οὐρανοῦ τοῦτον λαμβάνει. »

Οἷαν ἀρχὴν τῶν ὄντων τὸ μέγιστον (1) αὐτῷ Θεὸν Ἀριστοτέλης ἀξιοῖ καλεῖν, οὐ σοῦ δεόμεθα πυθέσθαι, ἀλλ' αὐτοῦ Ἀριστοτέλους, ὃς ἀρχιτέκτονι μὲν οἰκίας ἄρχοντι οἰκοδομήσεως οὐδαμοῦ τὸν Θεὸν τοῦτον εἰκάζει, στρατηγῷ δὲ στράτευμα τάττοντι. Εἴη δ' ἂν αὕτη ἡ ἀρχὴ, οἷα δὴ ἡ Ἀσσυρίων ἢ Μήδων ἢ Περσῶν ἤ τις ἄλλη ὁμοία τῶν κατὰ τὴν οἰκουμένην εἴτε μειζόνων εἴτε μείων, ὧν οὐδεμία τῆς οὐσίας τοῖς ἀρχομένοις, ἀλλὰ νόμων καὶ τάξεως αἰτία ἂν εἴη.

« Ἐμοὶ δὲ δοκεῖ τὸ μὲν πρότερον ὑφεστῶτά που τὸν νοῦν ἄλλοθι καὶ ἥκοντα καθ' ἑαυτὸν, εἶτα ἑνοῦσθαι τῷδε τῷ σώματι, μηδαμῶς εἶναι γνώμην Ἀριστοτέλους, ὃς ἐντελέχειάν τε τοῦ ἀνθρωπίνου σώματος τὴν λογικὴν ψυχὴν εἶναι τίθεται καὶ ἐκ τῆς οὐσίας ταύτης τὸν νοῦν εἶναι προδήλως φησὶ, τὴν δὲ ἐντελέχειαν χρόνῳ ὑστέραν τῆ; δυνάμεως εἶναι πανταχοῦ διορίζεται. »

Περὶ μὲν οὖν τοῦδε πρότερον ἡμεῖς Ἀριστοτέλει ἐμεμψάμεθα, ἅτε σοῦ οὐ συνιέντος, καθότι Ἀριστοτέλει ἐν ἐκείνῳ ἡμεῖς μεμφόμεθα· οὐ δὲ πολλῶν δεῖ πρός γέ σε λόγων, ἀλλὰ τοσοῦτον μόνον εἰπεῖν, καθότι τε μεμφόμεθα καὶ ὡς ἐν δίκῃ μεμφόμεθα. Μεμφόμεθα γὰρ Ἀριστοτέλει, πάντα νοῦν τῇ οὐσίᾳ ἐνεργείᾳ φαμένῳ εἶναι (2), καὶ οὐ προστιθέντι τὸν Θεῖον ἢ ἔξω δὴ τοῦ ἀνθρωπίνου, καὶ διὰ τοῦτο καὶ τὸν ἀνθρώπινον ἐξ ἀνάγκης συμπεριλαμβάνοντι τῷ λόγῳ· οὐχ ὡς καὶ οὕτω νομίζοντι, λίαν γὰρ ἂν μωρὸν Ἀριστοτέλη ᾠόμεθα, εἰ οὕτω νομίζειν ἡμῖν ἐδόκει, ἀλλ' ὡς κακῶς καὶ ἀπεριτρέπτως εἰρηκότι. Πλάτων μὲν γὰρ ψυχὴν τὴν λογικὴν νοῦν μὲν οὐ πάνυ τοι ἀξιοῖ καλεῖν, ἀλλ' αὐτὸ τοῦτο ψυχήν, νοῦς δὲ τὰ εἴδη, τὴν δ' ἄλογον εἰδώλων ψυχή· οἱ περὶ Πλάτωνα· ὁ δὲ μάλιστα νοῦν ψυχῆς ἀνθρωπίνης τὸ λογικὸν ἁπανταχοῦ καλῶν οὗτος Ἀριστοτέλης ἐστί· καὶ διὰ τοῦτο οὐδ' ἐχρῆν, φαμὲν, αὐτὸν οὕτω ἀδιακρίτως πάντα νοῦν τῇ οὐσίᾳ ἐνεργείᾳ εἶναι φάναι. Ὡς δὲ καὶ ἐν δίκῃ αὐτῷ μεμφόμεθα, πῶς οὐ δῆλον; Ὁ γὰρ οὕτω ἀλαζονευόμενος, ὥστε καὶ ἑαυτοῦ τὴν τῶν λόγων μέθοδον εὕρημα πεποιῆσθαι, εἴ τι παρὰ ταύτην, ἣν αὐτοῦ φησι μέθοδον, ἐξήνεγκε, κατὰ παντὸς εἰ-

A πῶν τὸ μὴ κατὰ παντὸς, πῶς οὐ μεμπτέος; ἀλλὰ τοῦτο μὲν παραλείποντι τὰς πολλὰς μὲν καὶ ἐν ταύτῃ τῇ ὑποθέσει σὰς ἀμαθίας ἐς τοσοῦτον. Περὶ δὲ τοῦ τούτῳ ἐξῆς τοῦδέ σε μάλιστα ἐπ' ἀνοίᾳ καὶ μάλ' ἐν δίκῃ εὐθυνοῦμεν, δόξας Ἀριστοτέλει προσποιοῦντα ἥκιστα Ἀριστοτέλει προσηκούσας· ἢ οὐ μέμνησαι, ὡς Ἀριστοτέλης ἅπαν μὲν τὸ γεννητὸν καὶ φθαρτὸν ἀξιοῖ εἶναι, τὸ δ' ἄφθαρτον ἅπαν καὶ ἀγέννητον; καὶ μὴν καὶ ἐν τῇδέ σου τῇ συγγραφῇ σὺ ἤδη τούτου ἐν τοῖς ἀνωτέρω που λόγοις ἐπεμνήσθης. Ὁμολογεῖς δὲ δὴ καὶ αὐτὸς, ἀθάνατον Ἀριστοτέλη τὸν νοῦν τόν γε ἀνθρώπινον νομίζειν· πῶς οὖν οὐκ ἐνόησας τὸ συμβαῖνον, ὡς εἰ ἀθάνατος, ὅ γε ἀνθρώπινος νοῦς, ἀνάγκη καὶ ἀγέννητον κατά γε Ἀριστοτέλη καὶ αὐτὸν εἶναι καὶ οὐ τῷ σώματι τῷδε συναρχόμενον. Σὺ

B δὲ δοκεῖν σοι φῂς μὴ εἶναι δόξαν Ἀριστοτέλους, πρότερον εἶναι τοῦδε τοῦ σώματος τὸν νοῦν, καίπερ περιφανῶς πρότερον ἐκείνου φάσκοντος, ἀλλὰ τῷδε τῷ σώματι συνάρχεσθαι, εἴτε τηνικαῦτα τοῦ Θεοῦ, ἡνίκα ἄν τινες ἀφροδισιάσωσι, καὶ αὐτοῦ δημιουργοῦντος, εἴτε καὶ ὕστερον τῶν τι ἐκ τοῦ σπέρματος τοῦ ἀνθρωπείου ἄλλως γιγνομένων αὐτοῦ τελοῦντος ἐς νοῦν. Καὶ εἰ μὲν οὐδαμοῦ ἐκείνου τοῦ Ἀριστοτέλους ἀξιώματος ἐμέμνησο, οὐ πάνυ ἂν σέ τις ᾠήθη ἐν τῷ τοιούτῳ ἴσως πλημμελεῖν, ὡ; οὐδ' ἂν καὶ τῷ ἀξιώματι ἴσως τούτῳ ἐντετυχηκότα· νῦν δ' ὅτε καὶ ἐν τῇδέ σου τῇ γραφῇ μέμνησαι αὐτοῦ, τί λείπεται ἄλλο, πλὴν ὑπ' ἀνοίας τοιαύτας σε Ἀριστοτέλει προσποιεῖν δόξας, οὐ ταῖς ἄλλαις τῶν γε ἐκείνου

C συμβαινούσας; Ἆρ' οὐκ ἐν δίκῃ σε ἡμεῖς ἀμβλύν φαμεν εἶναι τὴν διάνοιαν; ἐκεῖνο μέντοι περί γέ σου οὐκ ἂν θαυμάσαιμι, εἰ μὴ ὑπὸ διανοίας ἀργίας οὐδέπω ἐννενόηκας, ὡς παντὶ τῷ τὸν μὲν κόσμον ἀΐδιον εἶναι τιθεμένῳ, ἅμα δὲ καὶ ψυχὴν ἀθάνατον τήν γε ἀνθρωπίνην, ἀνάγκη οὐ μόνον καὶ χρόνῳ ἀγέννητον αὐτὴν εἶναι συγχωρεῖν, ἀλλὰ καὶ τὰς ἐς τάδε τὰ θνητὰ σώματα αὐτῆς πολλάκις καὶ δὶς καὶ τρὶς οὔσας εἴτε εὐλόγους οὔσας εἴτε δὴ καὶ μὴ, προσίεσθαι. Εἰ δὲ μὴ,

D συμβήσεται ἐν ἀϊδίῳ τῷ κόσμῳ ἀπείρων τῶν τῇδε ἀνθρωπίνων γενέσεων γιγνομένων, εἰ καθ' ἑκάστην αὐτῶν καὶ ἰδίαν τις ἀποδιδοῖ ψυχὴν, ἄπειρόν τι πλῆθος συνίστασθαι ψυχῶν· ἄπειρον δ' εἶναι οὐ δυνάμει μόνον, ἀλλὰ καὶ ἔργῳ ὁτιοῦν πλῆθος, οὔθ' ἡ φύσις ἀνέχεται, καὶ Ἀριστέλης αὐτὸς ἀδύνατον ὂν ἐν τῇ φυσικῇ αὐτοῦ ἀκροάσει ἀποδείκνυσι (3) Καὶ καλῶς γε ἀποδείκνυτι, πλὴν παρ' ὅσον διὰ βραχυλογίαν οὐ πάνυ τοι σαφῶς· ἄγε οἶμαι καὶ Ἀριστέλη αὐτὴν αἰσθανόμενον ἀπορεῖν τε καὶ οὐκ ἔχειν, ὅ τι χρήσαιτο τῷ περὶ ψυχῆς ἀνθρωπίνης ἀθανασίας τούτῳ λόγῳ· ἐνδοιαστῶς γοῦν πανταχοῦ καὶ οὐδαμοῦ βεβαίως οὐδ' ἰσχυριζόμενος ἅπτεται αὐτοῦ. Πλάτων δὲ καὶ κατὰ τοῦτο Ἀριστέλους πολὺ ἀμείνων, οὐ μόνον ὅτι βεβαίως αὐτὸς τῷ τοιούτῳ φαίνεται τιθέμενος λόγῳ, ἐκείνου ἁπανταχοῦ ἐνδοιαστῶς, ἀλλ' ὅτι καὶ διὰ πάντων συμφώνως αὐτὸς αὐτῷ τῷ λόγῳ ἐπεξέρχεται, σοφῷ πρέπον τὸ τοιοῦτο πολὺ μᾶλλον, ἢν σὺ φῇς,

(1) Locum corruptum esse codex indicat punctis positis.

(2) *De anima*, III, 5.
(3) *Phys* III, cap. 6.

λέξεως ἀσάφειαν, οὐχ ὥσπερ Ἀριστοτέλης ἄλλοθί τε πολλαχοῦ καὶ δὴ καὶ ἐνταῦθα αὐτὸς τοῖς αὐτοῦ ἀλίσκεται δόγμασιν ἀσύμφωνος. Πλάτωνα δὲ καὶ ἐν τοῖς τοιούτοις ἐλέγχειν, εἰ μὴ εὐλόγους τὰς ἐς τάδε τὰ σώματα τῆς ψυχῆς καθόδους, οὐ σὸν ἔργον, ὅς γε ὅπη μὲν ἐκεῖνος τὰ τοιαῦτα καὶ ὅπως τίθεται οὐκ εἰδὼς, ἀλλοτρίους δ' αὐτῷ ἀνατιθεὶς λόγους, ὥσπερ ἄρα κἀν τῶν ἄλλων σου τοῖς πολλοῖς, οὕτω δὴ καὶ ἔτι πολὺ μᾶλλον τοῖς ἐλέγχοις τοῖς ἐκείνου ἐνασχημονεῖς. Πλάτωνα μὲν οἰόμενος ἐλέγχειν, ἥκιστα δὲ δὴ ἐλέγχων Πλάτωνα.

« Ἐγὼ δὲ τοῦ μὲν προτέρου χάριν φημὶ, ὡς οὐ πάντα μιγνύναι ὁ φιλόσοφος οἶδεν, ὥσπερ Πλάτων φυσικὴν καὶ μαθηματικὴν καὶ θεολογίαν οὐδὲν διέκρινεν, ὁμοῦ δὲ πάντα ἐποίει χρήματα ὥσπερ τις ἐνθουσιῶν, ἀλλ' ἑκάστῳ γένει τοὺς ἰδίους ἀποδιδόναι λόγους προθέμενος, ἐπειδὰν αἴσθηται καὶ πρός τινα ἄλλην ἐπιστήμην ὑποφερομένους αὐτοὺς, ὅπερ ἐπὶ πολλῶν ὑλῶν ἐγχωρεῖ γίγνεσθαι, εὐθὺς ἀποπηδᾷ, μὴ λάθῃ πρός τινα ἑτέραν παρασυρεὶς θεωρίαν καὶ τοῦ σκοποῦ διαμαρτὼν, ὃν μάλιστα καλῶς ἑαυτῷ προὔθετο· ταύτην δὲ κἀν τοῖς *Ἠθικοῖς* φυλάττει τὴν γνώμην.

Καὶ τοῦτό σου ἀμαθὲς τὸ Πλάτωνος μὲν τὸ τῶν λόγων ἐντελὲς διασύρειν, ἐπαινεῖν δ' Ἀριστοτέλους τὸ ἐνδεές τε καὶ ἀτελές. Οὐ γὰρ οἶσθα σὺ, ὡς ἔοικας, τῶν ἐπιστημῶν τάς γε ἀτελεστέρας ἑτέρων τελεωτέρων ἑαυτῶν δεομένας πρὸς τελείωσιν. Ὥσπερ ἄρα καὶ γεωμετρία ἀριθμητικῆς δεῖται, ἧσπερ ἄνευ οὔποτ' ἂν τελέα γένοιτο γεωμετρία (οὐ γὰρ ἂν περὶ συμμέτρων τε καὶ ἀσυμμέτρων τι εἰδείη μεγεθῶν ὁ ἀριθμητικῇ ἐν γεωμετρίᾳ μὴ προσχρησάμενος) οὕτως οὐδ' ἂν φυσικὴ ἢ ἠθικὴ ἄνευ θεολογίας ἐντελὴς ποτε γένοιτο· καὶ εἰκότως. Εἰ γὰρ οὐκ ἄνευ τῆς ἀπὸ τοῦ θείου αἰτίας τὰ φυσικὰ ἀλλὰ καὶ κυριωτάτη αὐτῶν αὕτη ἡ αἰτία, πῶς οἷόν τε τὸν μὴ ἐκ τῆς κυριωτάτης αἰτίας τὴν περὶ αὐτῶν μετιόντα γνῶσιν ἱκανήν τινα αὐτῶν ἐπιστήμην σχεῖν· ἡ γὰρ κυριωτάτη ἐπιστήμη, ὧν ἐστιν αἰτία, ἡ ἀπὸ τῶν αἰτιῶν. Σὺ δ' ἡμᾶς παντάπασιν ἀμοιρεῖν φάσκων μεθόδου λογικῆς αὐτὸς ἔοικας τοῖς κυριωτάτοις ταύτης τῆς μεθόδου οὐ προσεσχηκέναι· ὑπὸ γὰρ φαυλότητος διανοίας οὐχ οἷός τε εἶ διαγνῶναι, ὅ τι τε κυριώτατον ἐν ἑκάστῃ ἐπιστήμῃ, καὶ ὅ τι οὐ τοιοῦτον· ἀλλὰ τοῖς φαυλοτάτοις τῆς Ἀριστοτέλους *Λογικῆς* προσεσχηκὼς καὶ ὅσα ἴσως πρὸς ἀπάτην καὶ πανουργίαν τινὰ φέρει, οἷει δεῖν, ὡς δὴ τελέαν αὐτὸς τῶν λογικῶν ἐπιστήμην ἐσχηκὼς, τῶν τῶν μὲν τοιούτων ὑπερορώντων τοῖς δὲ κυριωτάτοις αὐτῆς προσεσχηκότων καταφρονεῖν. Ἀλλὰ φυσικὴ οὐκ ἄνευ θεολογίας τελέα· καὶ διὰ ταῦτα Πλάτων ἐφ' ὅσονπερ ἅπτεται αὐτῆς, οὐκ ἄνευ θεολογίας ἅπτεται· καὶ ἠθικὴ μὴ θεολογίᾳ προσκεχρημένη, τῇ τε ἄλλῃ καὶ ἴσον αὐτῆς περὶ ἀθανασίας ψυχῆς τῆς ἀνθρωπίνης, νεκρά τις ἂν εἴη, οἷα δὴ καὶ Ἀριστοτέλους αὐτῆ ἠθικὴ· ὅς γε, εἰ καὶ μηδαμοῦ ἄλλοθι τούτῳ ἔδει χρήσασθαι τῷ λόγῳ, ἐν γοῦν τοῖς περὶ ἀνδρίας λόγοις καὶ μάλιστ' ἂν δέον, ὁ δ' οὐδ' ἐν τούτοις γε ἐχρήσατο· ἀλλὰ κἀκεῖνο εἰπὼν, « Ὡς φοβερώτατος ὁ θάνατος· πέρας γὰρ καὶ οὐδὲν ἔτι τῷ τεθνεῶτι δοκεῖ [οὔτ' ἀγαθὸν] οὔτε κακὸν εἶναι (1), » τοσοῦτον οὖν εἰπὼν καὶ οὐ παραχρῆμα τῷ περὶ ψυχῆς ἀνθρωπίνης ἀθανασίας λόγῳ διορθωσάμενος εἰκότως δόξειεν ἂν οὐκ ἄλλοις μόνον δοκοῦν, ἀλλ' οὐδ' ἕξω τῆς ἑαυτοῦ γνώμης αὐτὸ εἰπεῖν. Αἴτιον δ' ὅτι ἐνδοιαστῶς Ἀριστοτέλης τῷ λόγῳ τούτῳ τίθεται· καὶ ἀποφῆσαι μὲν, ὡς οὐκ ἀθάνατον ψυχὴ ἡ ἀνθρωπίνη, ἴσως αἰσχύνεται, μὴ λάθῃ τοῖς ὄνοι; ἑαυτὸν ἐξισωκὼς, θέσθαι δ' αὖ βεβαίως τῇ δόξῃ οὐ θαῤῥεῖ οὕτω; ὥστε τι καὶ ἄλλο ἀπ' αὐτοῦ ἰσχυρίσασθαι διὰ τὸ πρὸς τὰ τοιαῦτα αὐτοῦ τῆς διανοίας ἀμβλυωπόν· καὶ διὰ ταῦτα τοτὲ μὲν ἐπὶ θατέρᾳ ἀποκλίνων, τοτὲ δ' ἐπὶ θατέρᾳ ταλαντευόμενος, εἴπερ που καὶ ἄλλοθι, οὐδὲν ἧττον καὶ ἐν τούτοις ἀσχημονεῖ. Ταῦτα περὶ τῶν ἐς τὴν ψυχὴν τὴν ἀνθρωπίνην λεγομένων Ἀριστοτέλει δίκαιον νομίζειν καὶ οὔτε χείρω οὔτ' αὖ κρείττω, ὧν ἡμεῖς φαμεν, ἐπεὶ καὶ ὅ φησι, διικνεῖσθαί τι ἐντεῦθεν πρὸς τοὺς κεκμηκότας ἀγαθὸν ἢ καὶ τοὐναντίον, ἀφαυρὸν δέ τι διικνεῖσθαι καὶ μικρὸν (2), φαύλως που καὶ τοῦτό φησιν. Εἰκάζει γὰρ αὐτὸ οἷον τὸ τῷ ζῶντι μὲν μὴ αἰσθανομένῳ δέ· τοῦτο δ' ἔστιν, ἐπειδάν τις, οὗ ἂν αὐτὸς μὴ παρῇ ἐπαινούμενος, μὴ εἰδῇ ἢ καὶ παῖδα ἑαυτοῦ ἐν ὑπερορίᾳ εὖ πράττοντα ἀγνοῇ, ἢ τι ἄλλο τοιουτότροπον· ὥστε μηδ' εἶναί τινα τοῖς τετελευτηκόσι τῶν ἐνθάδε αἴσθησιν φαίνεται τιθέμενος· εἴτε δὲ δι' ἀνυπαρξίαν, εἴτε καὶ δι' ἄλλην δή τινα αὐτοῖς διάθεσιν, οὐ διασαφεῖ. Πῶς γὰρ δὴ τῷ φίλους δι' ἑαυτόν τε καὶ ὑποθήκας τὰς σοῦτου θεωμένῳ ἐκεῖθεν εὖ βιοῦντας, ἢ καὶ ᾧ ἂι ὁ Θεὸς δοίη πόλεις δι' εὐνομίας κοσμῆσαί τε καὶ σῶσαι καὶ αὐξῆσαι, ἢ τούτων ἔστιν ἃ καὶ τῷ ἑστρατηγηκέναι καλῶς κατωρθωκέναι, θεωμένῳ τε ἐκεῖθεν δι' ἑαυτὸν μετὰ Θεὸν τὰς πόλεις εὖ πραττούσας καὶ ἐπὶ τούτοις ὡς τὸ εἰκὸς ἀγαλλομένῳ, πῶς ἀφαυρὸν τὸ τοιοῦτο καὶ μικρόν; καὶ μὲν δὴ καὶ τὸν Θεὸν οἱ σοφοὶ φασι μηδὲν τῶν ἐπὶ γῆς ἄλλο ἀσμενέστερον θεᾶσθαι ἢ πόλεις γε εὐνομουμένας. Ἀλλὰ τοῖς τε ἄλλοις πολὺ τῶν Πλάτωνος λόγων λειπομένη ἡ Ἀριστοτέλους αὕτη ἠθικὴ καὶ τῷ τῇ περὶ ψυχῆς ἡμῶν ἀθανασίᾳ μὴ προσχρήσασθαι δήλη ἐστὶν ἀτελὴς οὖσα· οὐ γὰρ ἕτερος μὲν ὁ τῇδε ἄνθρωπος, ἕτερος δ' ὁ ἐκεῖ, ἀλλ' εἷς καὶ ὁ αὐτός· καὶ ἐχρῆν τὰ ἐκεῖ σύμφορον καὶ τὸν τῇδε βίον ὑποτιθέμενον ἅμα καὶ ἐνδείκνυσθαι τὸ τοιοῦτο τοῖς διδασκομένοις. Σὺ δὲ δὴ τολμᾷς τῆς Πλάτωνος περὶ τὰ τοιαῦτα θειότητος τῶν λόγων τοὺς Ἀριστοτέλους τούτους ὑπερτιθέναι, καὶ φῂς φαύλους μὲν ἄν τινας πεισθῆναι τοῖς περὶ Πλάτωνα, τοὺς δὲ σοφοὺς καὶ νοῦν ἔχοντας τοῖς ἐκ τοῦ Περιπάτου συμφθέγξασθαι ἄν. Ποίᾳ οὖν διανοίας συνέσει τὰ τοιαῦτα κρίνειν σὺ τολμᾷς, ποίᾳ

(1) Locus est *Eth. Nicom.* III, 9, unde voces οὔτ' ἀγαθὸν in cod. omissas supplevi. W. Gass.

(2) Ibid. c. 11 : Ἔοικε γὰρ ἐκ τούτων εἰ καὶ διικνεῖται πρὸς αὐτοὺς (scil. τοὺς κεκμηκότας) ὁτιοῦν, εἴτ' ἀγαθὸν εἴτε τοὐναντίον, ἀφαυρόν τι καὶ μικρὸν ἢ ἁπλῶς ἢ ἐκείνοις εἶναι, εἰ δὲ μή, τοσοῦτόν γε καὶ τοιοῦτον ὥστε μὴ ποιεῖν εὐδαίμονας τοὺς μὴ ὄντας μηδὲ τοὺς ὄντας ἀφαιρεῖσθαι τὸ μακάριον.

ἐπιστήμῃ λόγων; ὃ, ὅπῃ μὲν καὶ ὅπως Πλάτων τε καὶ οἱ περὶ Πλάτωνα λέγουσι, περὶ αὐτῶν οἶσθα οὐδέν, θρασύνῃ δὲ ὡς τι εἰδὼς καὶ κρίνειν ἅμα περὶ αὐτῶν ἱκανὸς ὤν. Πῶς δὲ καὶ ἐλάχιστα φῇς τοὺς ἐκ τοῦ Περιπάτου τὰ περὶ τόδε τὸ σῶμα ἀγαθά τε καὶ κακὰ εἶναι ἀξιοῦν, Ἀριστοτέλους τοσαύτην αὐτοῖς δύναμιν περιτιθέντος, ὡς καὶ τῇ ἀνθρώπου εὐδαιμονίᾳ παντάπασιν ἐμποδὼν τὰ τοιαῦτα τῶν κακῶν ἀξιοῦν ἵστασθαι; Πῶς ἄν, φάσκοντος, εὐδαίμων γένοιτο ὁ πάνυ αἰσχρός; δῆλα δή, ὅτι κἂν εἰ τὴν ψυχήν τις ὡς καλλίστην διά γε ἀρετὴν εἴη παρεσκευασμένος, τὸ ἀθανάτου ἀγαθὸν ὑπὸ τοῦ τοῦ θνητοῦ κακοῦ οὕτω παντάπασιν ἀναιρεῖσθαι ἀξιοῦντος καὶ ἀτεχνῶς τὰ ἀξύμβλητα συμβάλλοντος; πῇ γὰρ συμβλητὸν θνητὸν ἀθανάτῳ καὶ ὅλως πεπερασμένον ἀπείρῳ; Σὺ οὖν τοὺς τοιούτους τῶν λόγων τῶν Πλάτωνος ὑπερτίθῃς; ἔπειτ' οὐ σὺ φαῦλός τε καὶ νοῦν οὐκ ἔχων; Ἀλλὰ τὰ μὲν τοιαῦτά σου δῆλα ὄντα πολλῆς γέμοντα ἀμαθίας, οὐδὲ πλείονος ἀξιωτέα λόγου· ἐφ' ἕτερον δέ σου τρεπτέον.

« Πῶς γὰρ ἂν καὶ εἴη τις πάντων ἅμα ἐπιθυμῶν, ὧν χρὴ καὶ ὧν οὐ χρή; οἷον σωφρονεῖν καὶ ἀσκολαίνειν ἅμα, ἢ δίκαια πράττειν καὶ ἀδικεῖν; ἢ εἰδέναι καὶ μὴ εἰδέναι; οὐ μᾶλλον ἢ ἔστιν εἰπεῖν καὶ θερμαίνεσθαι καὶ ψύχεσθαι ἐπιθυμεῖν κατὰ ταυτὰ τὸν αὐτόν.

Καὶ ποῦ ἡμεῖς τῶν ἐναντίων ἅμα ἐπιθυμεῖν τινα ὑποτιθέμεθα; Ἀλλ' ἔοικας σὺ, ὧν τε ἡμεῖς λέγομεν καὶ ᾗ λέγομεν, οὐδὲ συνιέναι· πῶς οὖν καὶ ἀντιλέγεις; ὀρθῶς, περὶ ὧν γε οὐ συνίης· Ἡμεῖς μὲν γὰρ πάντων, ὧν τε χρὴ, καὶ ὧν οὐ χρὴ, ἐπιθυμητικόν τινα ὑποτιθέμεθα, ἀλλ' οὐχ ἅμα, ἂν οὐκ ἐγχωρεῖ· οὐκ ἐγχωρεῖ δὲ τῶν ἄντικρυς ἐναντίων ἅμα ἐπιθυμεῖν· ἐπεὶ τῶν γε ἐναντίας ἕξεσι προσηκόντων ἐσθ' ὅτε καὶ ἐγχωρεῖ, οὐκ αὐτῶν ἀλλήλοις ἐναντίων ὄντων. Ὥσπερ που καὶ σὺ ἅμα μὲν λόγων ἴσως ἐρᾷς σωφρονικοῦ πράγματος, ἅμα δὲ δόξης κενῆς, ὑβριστοῦ καὶ ἀπειροκάλου χρήματος σωφροσύνῃ τε ἥκιστα προσήκοντος; ὃς καὶ ἐς τοσοῦτον ὑπὸ τοῦ τοιούτου ἐαλωκὼς φαίνῃ, ὥστε καὶ τῆς θεοσεβείας αὐτὸ ὠνεῖσθαι, ἐκεῖσε δὲ τὴν θεοσέβειαν ἑκάστοτε μεταβάλλων, ὁπόθεν ἂν οἰηθείης καὶ μᾶλλον τιμηθήσεσθαι. Εἶπερ οὖν ἐν μηδενὶ ἄλλῳ, ἀλλ' οὖν ἐν σεαυτῷ τὸ τοιοῦτο κατανόησον, ὡς ἐγχωρεῖ καὶ ᾗ ἐγχωρεῖ. Τοὺς τοιούτους οὖν ἡμεῖς φαμεν ἡμιμοχθήρους, κἂν εἰ οἱ μὲν αὐτῶν ἐπὶ τὴν μοχθηρίαν μᾶλλον, οἱ δ' ἐπὶ τὰ ἀμείνω ἀποκλίνοιεν· καὶ ἐν ἀκρότητί τινι εἶναί φαμεν αὐτοὺς μᾶλλόν τε καὶ ἐπὶ πλείω χρῆσθαι, εἴ γε οἱ μὲν ἐπὶ μόνα ἃ οὐ χρὴ τῇ ἐπιθυμίᾳ χρήσονται, οἱ δὲ καὶ ἐπ' ἀμφότερα. Σὺ δὲ πῶς περὶ τούτων ἀξιοῖς; μῶν οὐκ εἶναί τινας ἡμιμοχθήρους, ἀλλ' ἅπαντας ἤτοι καλούς τε κἀγαθοὺς ἢ μοχθηρούς, μέσον δ' ἔχοντα οὐδέν; Ἀλλ' οὔτε ἀληθὲς τὸ τοιοῦτο, οὔθ' οὕτω τῶν σοφῶν δοκεῖ τοῖς πλείστοις. Εἰ δ' εἰσὶν ἔνιοι ἡμιμόχθηροι, τοὺς ποίους φήσεις; σὺ εἶναι τοιούτους.; Ἆρ' οὐκ εἰπερ τινὰς ἄλλους; καὶ τοὺς ἤτοι ὀλιγώρως πρὸς ἑκάτερα ἔχοντας, ἄτε χρὴ καὶ ἃ οὐ χρὴ· ἢ ἐπιθυμητικῶς πρός γε ἑκάτερα; Εἶτ' οὐχ οἱ τοιοῦτοι ἐν ἀκρότητί τινι ἔσονται οἱ μὲν τοῦ ὀλιγωρεῖν οἱ δὲ τοῦ ἐπιθυμεῖν πολὺ μᾶλλον ἢ οἱ ὧν μὲν ἂν δέοι ἐπιθυμεῖν ὀλιγωροῦντες, ὧν δ' ἂν δέοι ὀλιγωρεῖν, ἐπιθυμοῦντες, οἷοι οἱ παμμόχθηροί εἰσιν; Εἶναι δέ τινας ἀνθρώπων τοὺς μὲν πρὸς ἅπαντας ὀλιγωροτέρους ἑτέρων, τοὺς δὲ σφοδροτέρους ταῖς ἐπιθυμίαις, ἐφ' ὅ τι ἂν ὁρμήσωσιν, οὐδεὶς ἀντερεῖ· ὧν τοὺς μηδένα ἔχοντας τοῦ καλοῦ τε καὶ αἰσχροῦ πάγιον λόγον οὐδὲν κωλύει καὶ ἐπὶ τἀναντία θαμὰ μεταβαλλομένους, ἡμιμοχθήρους τινὰς εἶναι· ἔστι δ' ὧν καὶ ἅμα τῶν μὲν δέον τῶν δ' οὐ δέον ἐπιθυμοῦντας. Ἀριστοτέλης δὲ καὶ τοῦτο ἁμαρτάνει, δύο κακίας ἑκάστῃ ἀρετῇ ἐναντίας ἀνατιθείς, τοὺς ἡμιμοχθήρους τούτους ὡς δὴ ἐναντίους ἐντιθείς, δέον τοὺς παμμοχθήρους πρὸ αὐτῶν ἐναντίους τοῖς καλοῖς κἀγαθοῖς ἀποδιδόναι, ἵνα καὶ τὸ ἓν ἑνὶ εἶναι ἐναντίον ἔσωζεν ἀξίωμα. Οὐδὲν γὰρ, ὡς ἔπος εἰπεῖν, τῶν κατὰ τὰς ἀρετὰς καὶ κακίας ἀκριβοῦν Ἀριστοτέλης οἶδε, διὰ τὸ μὴ τῷ καλῷ τε καὶ αἰσχρῷ τάς γε ἀρετὰς καὶ κακίας εἰδέναι διορίζεσθαι. Σὲ δὲ δὴ τῷ δέοντί τε καὶ οὐ δέοντι τὰς κατ' ἀρετὴν πράξεις διοριζόμενον μεμφόμεθα μὲν οὖ, τῶν μέντοι τῷ καλῷ τε καὶ οὐ καλῷ διοριζομένων ἀτελέστερον ἂν αὐτὸν ἐν δίκῃ φαίμεν διορίζεσθαι. Ὁ μὲν γὰρ τοῦ δέοντός τε καὶ οὐ δέοντος κανόνα οὐδένα ἀποδίδωσιν, οὐκουν ἔν γε τοῖς *Νικομαχείοις*, οἳ (1) χρὴ ἀποβλέποντά τινα τά τε δέοντα ἑφ' ἑκάστων καὶ τὰ μὴ δέοντα γνωρίζειν. Ἀλλὰ σὺ οὐδ' οἷόν τ' εἶναι φῂς τοῦ γε τοιούτου κανόνα οὐδένα ἀποδοῦναι, κακῶς περὶ τῶν τοιούτων εἰδώς· οἱ δὲ τοῦ μὲν δέοντός τε καὶ οὐ δέοντος τὸ καλόν τε καὶ οὐ καλὸν ἀποδιδοῦσι κανόνα, αὐτὸ δὲ τὸ καλὸν ἡμῖν ἐν τῷ τῷ θείῳ ἕπεσθαι συνίστασθαι ἀξιοῦσιν· ἐν γὰρ τῷ τοιούτῳ τήν γε ἀνθρωπείαν φύσιν τελειοῦσθαι. Ἀποδίδωσι μὲν οὖν καὶ Ἀριστοτέλης τοῦ δέοντος τούτου κανόνα, οὐκ ἐν τοῖς *Νικομαχείοις*, ἀλλ' ἐν τοῖς *Εὐδημείοις* (2) τό γε εὐσεβέστερον, ὀψέ τε καὶ ἐπὶ τελευτῇ τοῦ βιβλίου, συμφώνως καὶ οὗτος τοῖς σοφοῖς κατά γε τοῦτο, οὐκέτι μέντοι καὶ ἑαυτῷ συμφώνως. Τὸ γὰρ τὸ τοὺς σεισμοὺς καὶ σκηπτοὺς δεδιέναι ἐπαινεῖν ποίᾳ εὐσεβείᾳ ἂν προσήκει; ἀνάγκη μὲν γὰρ τὸν ὁτιοῦν δεδιότα καὶ κακὸν αὐτὸ ὑπολαμβάνειν, ἢ μὴ δεδιέναι· οὐδεὶς γὰρ δὴ, ὃ ἂν μὴ κακὸν οἴεται, δέδιε, κακὰ δὲ νομίζειν σεισμούς τε καὶ σκηπτοὺς, ἃ ὁ Θεὸς, οὕτω γίγνεσθαι διέταξε, πῶς εὐσεβές (3); Ὅλως τε, ἢν μή τις τὸ μὲν ἡμέτερον ἀγαθὸν ἐν ἡμῖν τῷ ἀθανάτῳ τὸν Θεὸν νομίζῃ ὁρίσαι, τὰς δὲ πρός τε τὸ θνητὸν τόδε καὶ περὶ τὸ θνητὸν πράξεις λειτουργίαν γέ τινα ἡμῖν σύμφορον τῷ παντὶ τῷδε λειτουργήσουσι περιθεῖναι, βουληθέντα ἀθανάτου τέ τινα καὶ θνητοῦ μίξιν ἐν ἡμῖν τε καὶ εἴδει τῷ ἡμετέρῳ μηχανήσασθαι, σύμφορον τοῦ παντὸς τῇ τελειότητι τὸ τοιοῦτο ἡγησάμενον (οὐ γὰρ οὐδ' ὅλον μέρους, μέρος δ'

(1) *Eth. Nicom.* VI, 1 —
(2) *Eth. Eudem.* VII, 14, 15.
(3) *Meteor.* II, 7-9.

ἕνεκα ὅλου ἀπεργάζεσθαι, προνοοῦντα μὲν καὶ τοῦ τῷ μέρει ἐκ τῶν δυνατῶν λυσιτελοῦντος, πρὸς δὲ τὸ τῷ ὅλῳ μάλιστα σύμφορον ἕκαστα συντάττοντα), ἦν μή τις ταῦτα οὕτω δὴ νομίσῃ, πῶς ἂν σώσειε τὸ εὐσεβές; ἢ πῶς ἂν καὶ εὐδαίμων γένοιτο ἄνθρωπος, εἰ τοὺς σεισμούς τε καὶ σκηπτοὺς ἀεὶ δεδιώς τε καὶ τρέμων καθεδεῖται; Ὃ μὲν γὰρ μὴ ἄλλα ἢ τὰ τῷ ὄντι δεδιὼς, ἅτε ἐφ' ἑαυτῷ ὂν τὸ φυλάττεσθαι αὐτὰ, οὐδ' ἂν ἔτι δεδίοι εἰ μὴ ἄχρι ἐκ τοῦ γνῶναι· ἐπεὶ μαθών τις, ἅττ' ἂν εἴη καὶ οἷα τὰ αἰσχρὰ, οὔποτ' ἂν αὐτῶν οὐδ' ὁτῳοῦν οὔτ' ἂν ἐκὼν οὔτ' ἂν ἄκων περιπέσοι. Ὁ δὲ σεισμούς τε καὶ σκηπτοὺς δεδιὼς πῶς ἂν φυλάξαιτο; εἰ μὴ σὺ ἀξιώσεις τῶν μὲν σεισμῶν ἕνεκα ἐ; Ὑπερβορέους, τῶν δὲ σκηπτῶν ἐ; Αἰγυπτον ἅπαντα ἄνδρα ἰέσθαι δεῖν· ἐπεὶ ἔν γε τοῖ; πρὶ Ἑλλάδα καὶ τοῖς τῇ Ἑλλάδι παραπλησίοις τόποις ποίαν πίστιν ἔστι λαβεῖν τῶν μήτ' ἂν σεισθησομένων μήτ' ἂν κεραυνωθησομένων χωρίων; Συχνὰ μὲν γὰρ σφοδρῶς ποτε σεισθέντα πολλῶν ἐτῶν ἢ οὐκ ἐσείσθη, ἢ ἠρέμα ἐσείσθη, καὶ οὐκ ἄχρι βλάβης μνημονευόμενα σεισθῆναι· εἶτά ποτε σφοδρῶς σεισθέντα μέγα ἔβλαψε, συχνὰ δὲ καὶ πλεονάκις κεραυνωθέντα ἔπειτα συχνῶν ἐτῶν οὐκ ἐκεραυνώθη· ὥστ' ἂν μηδ' εἶναι κατά γε Ἀριστοτέλη εὐδαίμονα μηδ' ὁντινοῦν γενέσθαι, εἰ μέλλοι ἤτοι φοβήσεσθαι τοὺς σεισμούς τε καὶ σκηπτοὺς ἢ φαῦλός τις ἔσεσθαι μὴ δεδιώς (1). Ὁ δὲ κατὰ τοὺς περὶ Πλάτωνα σοφοὺς τὸ μὲν ἑαυτοῦ ἀγαθὸν ἐν ἀθανάτῳ τῷ ἑαυτοῦ ὁρίζων, τὰ δὲ πρὸς τὸ θνητὸν καὶ περὶ τὸ θνητὸν πράξεις ὡς λειτουργίαν τῷ τε παντὶ μετιὼν καὶ τῷ Θεῷ, ἐφ' ὅσον τε δὴ καὶ ἄχρι περ ἂν καὶ ὁ Θεὸς διδοῖ, ὡς ἐκείνου καλοῦντος εἴτε κεραυνῷ, εἴτε σεισμῷ, εἴτε δὴ νόσῳ, εἴτε τῳ ἄλλῳ τρόπῳ ἑτοίμως καὶ ἀστενακτὶ ὑπακουσόμενος οὐ μακρῷ τῷ κατὰ Ἀριστοτέλη σπουδαίου εὐδαίμονος. Ἀλλὰ τούτων μὲν τῶν λόγων οὐδέν σοι προσηκόντων ἀποστατέον, ἐπ' ἄλλο δέ σού τι ἰτέον.

« Τὸ μὲν γὰρ ἔσχατον, φησὶ, τέλος ἑαυτοῦ εἵνεκα ἀγαθόν τε εἶναι δοκεῖ καὶ αἱρετόν· ἡδονὴ δὲ, οὐ γάρ ἐστι πᾶσα ἀγαθή τε καὶ αἱρετὴ, οὐκ ἂν καθ' αὑτὴν εἴη τοιαύτη, ὥστ' οὐδὲ τέλος ἂν εἴη τὸ ἔσχατον. Αὐτὴν μὲν οὖν εἶναι τὸ ἀνθρώπινον ἀγαθὸν, οὐχ οἷόν τέ ἐστι, φησί· κοινωνεῖν δὲ τῷ ἐσχάτῳ τέλει ταύτην ἀνάγκη, ἅτ' ἐκ τοῦ τυχεῖν αὐτοῦ προῃρῆσαν· ἐπεὶ παντὶ τέλει τε καὶ ἀγαθῷ ἡδονή τις ἕπεται, παρόντος μὲν δι' αἰσθήσεως ἐγγιγνομένη, διὰ δὲ μνήμης, ἐπειδὰν παύσηται γεγονὸς, ὁπόταν δὲ μέλλῃ γίγνεσθαι, δι' ἐλπίδος· διό φησι καὶ πᾶσαν ἐνέργειαν ὑπὸ τῆς ἡδονῆς τελειοῦσθαι, οὐχ ὡς πάσῃ ἐνεργείᾳ τῆς ἡδονῆς ἑπομένης, ἀλλ' ὡς ἑκάστης ἐνεργείας πρός τι τέλος οἰκεῖον ταττομένης τὴν ἡδονὴν (2).»

Καὶ πῶς οἷόν τε τὸ τελειούμενον μὴ οὐχ ὡς πρὸς τὸ τέλος τὸ τελειοῦν ἑαυτὸ τάττεσθαι; οὐ γὰρ ἄλλως τέλειον ἕκαστον, ἢ τοῦ ἑαυτοῦ τέλους· τύχον γίγνεσθαι· ὥστ' ἀνάγκην εἶναι τὸ τελειοῦν ὁτιοῦν ἤτοι αὐτὸ τέλος ἢ τοῦ τέλους κύριον καὶ τέλο; αὐτὸ εἶναι τὸ παρέχον. Σὺ δ' οὖτ' Ἀριστοτέλους οἶδ; τ' εἰ συνιέναι ὃ τι βούλεται, πολὺ δ' ἔτι ἧττον ὅπῃ ἁμαρτάνει δύναιο ἂν φωράσαι· ἡμεῖς δὲ πρῶτον μέν σοι σαφηνιοῦμεν τὴν Ἀριστοτέλους ἐνταῦθα γνώμην ἀπ' αὐτῶν τούτων καὶ μόνων τῶν ἐνθάδε σοι ἐκτεθησομένων αὐτοῦ ῥημάτων, ἵνα σου καὶ τὸ ἀμαθὲς μᾶλλον ἐλεγχθῇ. Ἀριστοτέλης μὲν γὰρ ἔκ τε τοῦ κοινωνεῖν τῷ ἐσχάτῳ τέλει φάσκειν τὴν ἡδονὴν καὶ ἀνάγκην εἶναι κοινωνεῖν, ὡς δὴ ἀτελὲς ἂν ἡμῖν τέλος τὸ ἔσχατον ἐσόμενον, εἰ μὴ παρείη αὐτῷ καὶ ἡδονή, ἔκ τε τοῦ τελειοῦν αὐτοῦ τὰς ἐνεργείας ἡμῶν φάσκειν, δῆλός ἐστιν ἤτοι τέλος τῶν ἐνεργειῶν ἡμῶν τιθέμενος τὴν ἡδονὴν (3), ἢ τοῦτο μὲν οὐχὶ (καίπερ οὕτω δέον θέσθαι, ἐξ οὗ ὑπ' αὐτῆς φησι τὰς ἐνεργείας ἡμῶν τελειοῦσθαι), μέρος δ' οὖν εἶναι ἡμῖν τοῦ ἐσχάτου τέλους καὶ αὐτὴν τιθεῖτ' ἄν, σύνθετόν τι ἡμῖν τὸ τέλος ἔκ τε δὴ ἡδονῆς καὶ θεωρίας ποιῶν, ὥς ἤτοι τὴν ἰδίαν θεωρίαν ἡ ἡδονὴ τὴν θεωρητικὴν (4)· οὐδὲ γὰρ διαφέρει, ὁποτέρως ἄν τις εἴποι τῷ γε ἀνθρωπείῳ ὂν βίῳ τὸ τέλος. Ἡ μὲν οὖν Ἀριστοτέλους γνώμη τοιαύτη τις οὖσα οὐκ ἀδηλός ἐστι καὶ ἀπ' αὐτῶν τούτων, ὧν σὺ ἐνθάδε ἐκτίθεσαι αὐτοῦ ῥημάτων· καὶ κρινόντων ἔκ τε τούτων καὶ τῶν ἄλλων τῶν ὑπ' αὐτοῦ περὶ αὐτῶν τούτων λεγομένων οἱ τῶν Ἀριστοτέλους λόγων ὅπως δήποτε ἔμπειροι, ἐφ' οἷς καὶ σὺ ἀναφέρεις τὴν κρίσιν, καὶ ἡμεῖς οὐ παραγραφόμεθα τήν γε κρίσιν. Οὐ γάρ σου εἶεν ἂν ἀσυνετώτεροι οἱ κρινοῦντες· οὐ γὰρ ῥᾴδιόν σού τινος ἀσυνετωτέρου τυχεῖν τῶν τοῖς βιβλίοις τοῖς Ἀριστοτέλους σπουδῇ προσεσχηκότων. Φανήσεται γὰρ Ἀριστοτέλης γυμνάζων μὲν τὸν περὶ ἡδονῆς λόγον ἐφ' ἑκάτερα, τελευτῶν δὲ τιθέμενος τῇ ἡδονῇ, οὐ πάσῃ δέ, ὡς καὶ κακὰς οὔσας ἐνίας ἡδονάς. Καὶ τοῦτο οὐ καλῶς. Ἔδει γὰρ διακρῖναι, εἰ καθόσον ἡδοναὶ κακαὶ αἱ κακαὶ τῶν ἡδονῶν· εἰ γὰρ τοῦτο, καὶ ἅπασαι ἂν εἶεν κακαί· καὶ σῦ, εἴ τις ἡδονὴ ἀγαθὸν καθόσον ἡδονὴ, καὶ ἅπασαν δεῖ ἡδονὴν καθόσον ἡδονὴ ἀγαθὸν εἶναι. Εἰ γάρ τι εἴη τοιόνδε καθόσον αὐτὸ, καὶ ἅπαν δεῖ αὐτὸ τὸ τοιοῦτον εἶναι. Ἀριστοτέλης δ' οὐδὲν τοιοῦτον οἶδε διακρίνειν. Ἡμεῖς δ' ἐπεὶ σὺ τὴν Ἀριστοτέλους γνώμην καὶ ἀπ' αὐτῶν τῶν ἐνθάδε σοι ἐκτεθειμένων σαφῆ κατεστήσαμεν, ἐροῦμεν καὶ ὧν ἐν τούτοις τε καὶ ὅλῳ τῷ περὶ ἡδονῆς λόγῳ ἁμαρτάνει· συχνὰ δ' ἁμαρτάνει τό γε μέγιστον.

Ἔστι τοίνυν μέγιστον, ὧν ἐν τούτοις τοῖς λόγοις ἁμαρτάνει, τὸ τελειοῦν φάσκειν τὰς ἐνεργείας ἡμῶν τὴν ἡδονήν· καλεῖ μὲν οὖν καὶ τελειότητα αὐτὴν τῶν γε ἐνεργειῶν ἡμῶν. Οὐδὲν μὴν διαφέρει, κἂν εἰ μὴ τελειότητα ἐκάλει· ἡ γὰρ δὴ τελειοῦσα οὐκ ἔσθ' ὅπως οὐχὶ κἂν τελειότης εἴη. Ἡμεῖς δὲ τοσούτου δέομεν τελειότητα αὐτὴν φάναι, ὥστ' οὐδὲ παρεῖναι αὐτὴν οὐδὲ μιᾷ ἡμῶν τελειότητί φαμεν, ἀλλὰ σὺν αἰσθήσει ἀεὶ τελειώσεως παρέπεσθαι, οὐ τελειότητος, τῶν δέ γε τελειοτήτων ἡμῶν ἑκάστων (πολυμερεῖς γὰρ ἡμεῖς καὶ ἄλλη ἄλλης ἐνεργείας συμπεριφέρεσθαι, ἀλλὰ καὶ πάμπολύ τι ἐκείνου

(1) *Meteor.* II, 7 sqq. *Eth. Eudem.* III, 1.
(2) *Eth. Nicom.* X, 3.
(3) Ib d. *Magn. Mor.* II, 7.

(4) Sensu carent ultima verba, fortasse aliquid excidit. Gass.

ἡμῶν τελειότης) ἀπαλλάττεσθαι. Ἐπιδέδεικται μὲν οὖν ἡμῖν καὶ ἄλλοθι διὰ πλειόνων τὸ τοιοῦτο· οὐδὲν μέντοι ἧττον καὶ ἐν τῷ προτέρῳ ἡμῶν συγγράμματι, ᾧ νῦν σὺ ἀντιλέγεις, διὰ βραχέος ἐπὶ τῆς κυριωτάτης ἡμῶν ἐνεργείας, τῆς θεωρίας, ἐπιδείκνυται, ἣ δή φαμεν μανθάνουσι μὲν καὶ ἐκ λήθης ἀναμιμνησκομένοις οὐ σμικράν τινα ἡδονὴν παρέπεσθαι, ἐκ δὲ πολλοῦ ἐπισταμένοις τε καὶ θεωροῦσιν οὐ πάνυ τοι. Σὺ δὲ πρὸς τοῦτο ἡμῶν οὐδ' ἀντιβλέψαι δυνηθεὶς, ἀλλ' ἐκκλίνας ὅμως φαυλίζεις, ὡς δὴ οὐ τοιούτοις τεκμηρίοις περὶ τῶν μεγίστων δογμάτων πιστεύειν χρεών, οὐ συνιείς, ὅσον τῷ βραχεῖ τούτῳ τεκμηρίῳ βάθους ἔνεστιν. Εἰ δὲ τελειώσεως ἀεὶ σὺν αἰσθήσει παρέπεται ἡ ἡδονὴ, τελειότητι δ' οὐδὲ μιᾷ, οὐδ' ἂν εἴη τέλος ἡμῖν εἶναι· οὐ γὰρ τὸ τελειοῦσθαι ἡμῖν τέλος, ἀλλὰ τὸ τελειωθῆναί τε καὶ εἶναι τελείους, οὐ γίγνεσθαι· τοῦτο δ' ἔστι καλοῖς γενέσθαι τε καὶ εἶναι τὴν ψυχήν· καλὴν γὰρ ἐν γε ἑκάστῳ εἶδε τὸ τέλειον. Ἐπεὶ δ' ἡμῖν σὺ μέμφῃ, ὡς οὐ διὰ πάντων τῶν Ἀριστοτέλους περὶ τούτων διεξεληλυθέσι λόγων οὐδὲ πρὸς ἅπαντας ἀντειποῦσι καὶ ἀδυνασίας αὐτὸ τεκμήριον ποιῇ, σὺ μὲν ἡμῖν ταῦτα οὐκ ἐν δίκῃ μέμφῃ, ὑπεσχημένοις μὲν μὴ πρὸς ἅπαντα τὰ Ἀριστοτέλει ἁμαρτανόμενα, ἀλλὰ πρὸς ἕνιά γε αὐτῶν καὶ διὰ βραχυτάτων εἰπεῖν, σώζουσι δὲ δήπου τὴν ὑπόσχεσιν. Σὲ δ' ἡμεῖς τοσοῦτο μῆκος ἀποτείνειν προθέμενον λόγων, εἴ τι τῶν ἡμετέρων ἐκκλίνεις, εἰκότως ὑπό γε ἐσχάτης ἀδυνασίας αὐτὸ φαμεν ἐκκλίνειν. Τί δὲ καὶ ἔστιν, ὦ ἀμαθέστατε, ἐφ' ᾧ Πλάτωνι, ὡς φῂς, εἴπερ που ἄλλοθι καὶ ἐνταῦθα κινδυνεύοντι ἐχρῆν ἡμᾶς ἀμύνειν; οὐ γὰρ εἶσθα σὺ, ὡς ἔοικας, Πλάτωνα (1) πολὺ ἄμεινον Ἀριστοτέλους φρόνησιν μὲν τῶν ἄλλων ἀρετῶν προτιμῶντα μᾶλλον· οὐδ' ἄνευ φρονήσεως τῶν γε ἄλλων ἀρετῶν οἰόν τε μίαν παραγίγνεσθαι τῷ ἀξιοῦντι, ὡς οὐδ' ἂν ἀρετὴν, ἥσπερ ἂν φρόνησις ἀπῇ, ἐσομένην, αὐτῆς δὲ δὴ φρονήσεως τὸ περὶ τὴν τοῦ Θεοῦ τοῦ ἀνωτάτω θεωρίαν τε καὶ νόησιν κράτιστον τιθέμενον. Τί οὖν τὸ ἐν τούτοις Πλάτωνι κινδυνευόμενόν ἐστι; καὶ ταῦτα ὑπ' ἀνδρὸς οὕτω ἀνωμάλου, ὃς ἐν ᾗ ἐνταῦθα θεωρητικῇ ἡδονῇ τὴν ἀνθρωπίνην τίθεται μακαριότητα, ταύτην ἀνόητον ἡμῖν πρότερον ἀπέφηνεν, ὁπότε δὴ μὴ ἂν εὐδαίμονα τὸν πάνυ αἰσχρὸν οἷόν τ' εἶναι ἔφασκε γενέσθαι· καίτοι εἰ τῷ τοῦ σώματος τῷδε αἴσχει τηλικαύτην περιτίθησι τὴν δύναμιν, ὥστ' ἀνόητα ἡμῖν τά γε ἀγαθὰ ἅπαντα ὑπ' αὐτοῦ γίγνεσθαι, οὐ τῇ θεωρίᾳ, ἀλλὰ τῷ τοῦ σώματος τοῦδε κάλλει τὸ ἀγαπητότατον μακαριότητος ἐχρῆν αὐτῷ ἀποδοῦναι. Εἰ γὰρ τῷ ἐναντίῳ τὸ ἐναντίον, καὶ τῷ ἐναντίῳ δήπου τό γε ἐναντίον, ᾗ δὴ καὶ αὐτὸς Ἀριστοτέλης ἀξιοῖ. Ὑπὸ οὖν τοιούτου ἀνδρὸς καὶ οὕτω ἀνώμαλα δογματίζοντος σὺ οἴει Πλάτωνά τε κινδυνεύεσθαι, ἢ καὶ ἡμᾶς μέγα τι ποιεῖσθαι τὸ τοῖ, τοιούτου ἐλέγχοις ἐπιπολὺ ἐνδιατρίβειν; Ἡμῖν δ' οἱ περί τε ἡδονῆς καὶ τέλους τοῦ ἀνθρωπείου λόγοι πολὺ ἄμεινον Ἀριστοτέλους σὺν Θεῷ διήρθρωνταί τε ἐν ἑτέροις καὶ ἀποδεδείχται ἱκανῶς Πλάτωνί τε ἑπομένοις καί τι καὶ αὐτοῖς προσεπιξειργασμένοις, ὥστ' οὐδ' ἂν ἀπεικότως ἡμᾶς τῶν γε ἐπιπολὺ Ἀριστοτέλους ἐλέγχων ὑπερφρονεῖν ἅπαξ ἐπ' αὐτῆς τῆς ὑποθέσεως τοὺς λόγους, ἐφ' ὅσον ἐχρῆν, ἐξητακότας.

« Ἔπειτ' ἀδύνατον τὸ πῦρ κύκλῳ κινεῖσθαι. »

Σὺ μὲν οὔτε οἴει κύκλῳ ἐν τῷ αὐτοῦ τόπῳ ὂν τὸ πῦρ κινεῖσθαι, οὔθ' ἡμᾶς φῂς ἀποδεικνύναι τὸ τοιοῦτο· ἃ δ' ἡμεῖς ἐξεθέμεθα πρὸς ἀπόδειξιν τοῦ τὸ πῦρ κύκλῳ κινεῖσθαι, εἰ μέν σοι οὐχ ἱκανὰ ἔδοξε, τί οὐκ ἤλεγξας, ὅπῃ οὐχ ἱκανά. ἀλλὰ καὶ παντάπασιν ἐξέκλινας; εἰ δ' ἐκείνοις μὲ οὐδ' ἀντιβλέψαι δυνηθεὶς ἐξέκλινας τέως, τί ἀναισχυντεῖς φάσκων ἡμᾶς οὐκ ἀποδεικνύναι; Ἀλλ' ἐκεῖνα μὲν ἡμεῖς παρίεμεν ἔν γε τῷ παρόντι τοῖς ἐθέλουσιν ἐκ τοῦ προτέρου ἡμῶν ἀναλέγεσθαι συγγράμματος, ἐξ ὧν καὶ οἱ σοὶ εἰκαῖοι συλλογισμοὶ ὑπὲρ τοῦ μὴ τὸ πῦρ κύκλῳ φέρεσθαι λυθήσονται· νυνὶ δέ σοι καὶ ἕτερον οἰσόμεν τεκμήριον οὐδ' αὐτὸ φαῦλον τοῦ τὸ πῦρ κύκλῳ κινεῖσθαι. Καί σου πρῶτον ἐκεῖνο πυνθανόμεθα· τοὺς κομήτας; ἐν τίνι σὺ ἠγῇ σώματι συγγίνεσθαι; πότερα ἔν τῷ καινῷ τῷ Ἀριστοτέλους τῷ πάμπαν ἀνωλέθρῳ; ἀλλ' οὗτοι φθαρτοί εἰσι. Πῶς οἷόν τε ἐν πάμπαν ἀνωλέθρῳ σώματι καὶ ταῦτα, ᾧ καὶ ἡ ὕλη ἐξαίρετος καθ' ὑμᾶς καὶ ἀπαθὴς, φθαρτόν τι γενέσθαι; ἄμικτον γὰρ δεῖ εἶναι τὸ τοιοῦτο σῶμα πᾶσι τοῖς ἄλλοις καὶ μὴ διιστάμενον τῶν τι φθαρτῶν ἐς αὐτὸ εἰσδέχεσθαι. Ἀλλ' ἐν τῷ ὑπὸ τούτῳ κατὰ Ἀριστοτέλη τῷ πυρὶ, τῷ ὑπεκκαύματι (2) ὑπ' αὐτοῦ κεχλημένῳ; Ἀλλὰ συνανίσχουσί γε οὗτοι καὶ συγχαταδύονται τοῖς ἄστροις καὶ κύκλῳ δὴ καὶ αὐτοὶ φέρονται ἐκείνοις παραπλησίως· ὥστ' ἂν καὶ τὸ περιεσχηκὸς αὐτοὺς τοῦτο σῶμα τὸ πῦρ δὴ κύκλῳ φέρεσθαι, κἂν εἰ σὺ οὐ βούλει· εἰ μὴ ἄρα ἀξιώσεις σὺ, αὐτούς τε καθ' αὐτοὺς τοὺς κομήτας κύκλῳ φέρεσθαι καὶ τοῖς ἄστροις συνανίσχειν τε καὶ συγχαταδύεσθαι, τὸ δὲ περιέχον σῶμα αὐτοὺς μένειν. Ἀλλὰ συγχωρεῖ μὲν καὶ Ἀριστοτέλης κύκλῳ τὸ πῦρ φέρεσθαι ὑπὸ τῶν κομητῶν τούτων βιαζόμενος, κἂν εἰ σὺ φαίνῃ ἀγνοῶν (οὐ γὰρ ἂν οὕτως ἀνέδην πρὸς τὸ τοιοῦτο ἐνίστασο) ὀθνείαν δ' ἀξιοῖ ταύτην φέρεσθαι τὴν κίνησιν τῷ ἑαυτοῦ ἐκείνῳ πέμπτῳ δὴ σώματι συμπεριφερόμενον. Ἀτοπώτατος δ' ἂν εἴη τις ταῦτα ἀξιῶν, εἰ τὴν μὲν μορίου τε πυρὸς καὶ οἱδ' ἀεὶ φορὰν (οὔτε γάρ που ὅλον φήσει οὔτ' ἀεὶ ἄνω τὸ πῦρ φέρεσθαι, ἀλλ' ὁπόσον γ' ἂν αὐτοῦ καὶ ὁπότε ἐν ἀλλοτρίῳ γίγνοιτο τόπῳ), ταύτην μὲν οἰκειοτάτην τῷ πυρὶ τὴν φορὰν τίθεται, τὴν δ' ὅλου τε πυρὸς καὶ ἐνδελεχῆ καὶ ἄπαυστον οὐκ ἔτι οἰκείαν, ἀλλ' ὀθνείαν. Καὶ μὲν δὴ καὶ ἀδύνατόν ἐστιν ὃ λέγω· εἰ γὰρ τὸ πῦρ κύκλῳ οὐ κατὰ φύσιν, ἀλλὰ παρὰ φύσιν τε δὴ καὶ βίᾳ φέρεται, ἐχρῆν αὐτὸ ἀνθελκόμενον ὑπὸ τοῦ ἠρεμεῖν τέως πεφυκέναι καὶ ὁμοιοταχῶς τῷ Ἀριστοτέλους ἐκείνῳ πέμπτῳ σώματι (3)

(1) *Phileb.* p. 20 sqq.
(2) *Meteor.* I, 4.
(3) *Meteor.* I, 3; *De cœlo*, I, 3.

ἀπολείπεσθαι. Νῦν δὲ φαίνονται καὶ οἱ κομῆται τοῖς ἄστροις ὁμοιοταχῶς συνανίσχοντές τε καὶ συγκαταδυόμενοι· εἰ γὰρ καὶ παραφέρονται πως ἔς τε δὴ τὸ πλάγιον καὶ ὅπῃ ἔλαττον τύχοιεν, ἀλλὰ τοῦτο μὲν τὸ ἀνώμαλον αὐτοῖς τῇ σφῶν εἴῃ ἂν ὕλῃ οἰκεῖον φθαρτῇ οὔσῃ· τὴν μέντοι ὅλην περιφορὰν ὁμοιοταχῆ τοῖς ἄστροις σώζουσιν, ὡς ζῆλοι εἶναι ὑφ' ἑνός τε καὶ ταυτοῦ καὶ συνεχοῦς σώματος. Οὗτοι δὲ δὴ καὶ τὰ ἄρθρα περιεχόμενοί τε καὶ περιφερόμενοι, εἴγε ὁμοιοταχῶς ἀλλήλοις περιφέρονται· ὁμοιοταχῶς δέ φημι, οὐκ ἰσοταχῶς· οὐδὲν γὰρ τῶν σφαίρας περιστρεφομένης μορίων ἕτερον ἑτέρῳ ἰσοταχῶς ἔξω τῶν τῷ ἴσῳ τοῖν πόλοιν ἑκατέροιν καὶ ἅμα τοῦ κέντρου ἀφεστηκότων, ἀλλ' ὁμοιοταχῶς ἅπαντα ἐν τῷ τοιούτῳ ἀλλήλοις τά γε σφαίρας μόρια φέρεται. Εἰ δ' Ἀριστοτέλης οὐδενὶ ἄλλῳ ἰσχυριζόμενος τὸ αὐτοῦ πέμπτον σῶμα καινοποιεῖ ἢ τῇ κυκλοφορίᾳ τε καὶ εὐθυφορίᾳ (φαίνεται δ' ἡ κυκλοφορία τῷ πυρὶ προσοῦσα κατὰ φύσιν μᾶλλον ἢ ἡ εὐθυφορία· δεῖν γὰρ ἂν τὴν κατὰ φύσιν ἑκάστου κίνησιν ἐν τῷ οἰκείῳ ὄντος τόπῳ θεωρεῖν καὶ οὐκ ἐν ἀλλοτρίῳ γεγονότος) οἴχεται αὐτῷ τὸ πέμπτον ἐκεῖνο σῶμα οὐ μόνον καινὸν, ἀλλὰ κενὸν ἀναφανέν. Εἰ δὲ τοῦτο μὲν τὸ πῦρ οὐ πάμπαν ἀνώλεθρον, ἀλλ' ὁμοίως τοῖς ἄλλοις τοῖς γε συγγενέσιν, ἀέρι τε καὶ ὕδατι καὶ γῇ, τῷ μὲν ὅλῳ ἀνώλεθρον, τοῖς δὲ μέρεσι φθαρτὸν, δεῖ δὲ καὶ πάμπαν ἀνώλεθρον εἶναί τι σῶμα· τὰ ἄστρα ἔστω τοῦτο, ἐν μὲν πυρὶ διαιτώμενα καὶ πυρὸς τὴν τοῦ σώματος ἔχοντα ὕλην, διὰ δὲ εἶδη πολλῷ θειότερα ἢ κατὰ τὸ πυρὸς εἶδος καὶ τὰ σώματα ἑαυτοῖς πάμπαν ἀπαθανατίζοντα, οὐ δι' ὕλην ἰδίαν οὐδεμίαν τοιαῦτα ὄντα. Τί γὰρ δεῖ αὐτοῖς ὕλης ἰδίας τινὸς, εἰ ἱκανὰ ἔσται καὶ τῇ κοινῇ ὕλῃ τὸ αὐτὸ ποιεῖν; ἢ τίνος ἂν ἕνεκα καὶ ὁ Θεὸς, ὥς γε σὺ φῂς, οὐ τῇ ἀρετῇ τῇ των εἰδῶν καὶ τὰ σώματα αὐτοῖς ἀνώλεθρα σώζει κατὰ φύσιν διὰ τῶν θειοτέρων τὰ χείρω, ἀλλὰ δι' ὕλης ἰδίας γε καινοποιίας; Οὐ γὰρ διὰ σέ τε καὶ τὸν σὸν ἑταῖρον Ἀριστοτέλη οὕτω μᾶλλον βούλεσθαι ἐχρῆν, καὶ τὸν Θεὸν τὸν αὐτοῦ θεσμὸν οὐδὲν δέον συγχέαι. Σὺ δὲ δὴ τὴν τῶν ἄστρων ὕλην, εἰ καὶ τῶν ἄλλων ὁτιοῦν δυνήσεται εἰδῶν λέγων δεῖν ἂν αὐτὴν καὶ ἐνεργείᾳ ποτὲ αὐτὸ σχεῖν καὶ οὕτω δηλαδὴ τὰ ἄστρα οἰχήσεσθαι ἐς ἕτερον αὐτοῖς τῆς ὕλης μεταπεπτωκυίας εἶδος, πρῶτον μὲν τὴν Ἀριστοτέλους ἐκείνην διαίρεσιν ἠγνοηκέναι μοι δοκεῖς, τὰ μὲν ἀεὶ ἐνεργείᾳ εἶναι ἀξιοῦντος, τὰ δὲ τοτὲ μὲν δυνάμει, τοτὲ δ' αὖ ἐνεργείᾳ, τὰ δ' οὐδέποτ' ἂν ἐνεργείᾳ, ἀεὶ δὲ δυνάμει μόνον. Οὐδὲν γὰρ, ὡς ἔπος εἰπεῖν, σὺ τῶν φιλοσοφίας οἴσθα καλῶν, εἰ μὴ ἄρα παρακούσματ' ἄττα καὶ ταῦτα μέντοι κακὰ κακῶς. Εἰ γὰρ οὐκ ἀνάγκη ἅπαν τὸ δυνάμει ὂν καὶ ἐς ἔργον ποτὲ ἐλθεῖν ἂν, τί κωλύει τὴν ἐν τοῖς ἄστροις ὕλην ἅπαντα εἴδη δυναμένην καθ' αὑτὴν καθόσον γε ὕλην μηδέποτε ἐς μηδὲν τῶν ἄλλων ἔξειν, περιουσίᾳ τῆς τῶν κατεσχηκότων εἰδῶν δυνάμεως κωλυομένην; Ἔπειθ' ἡμεῖς οὐδ' οὕτω φαμὲν, ἀλλ' ἴσως τε ἂν καὶ ἐς ἕτερα εἴδη καὶ ταύτην τὴν ἐν τοῖς ἄστροις γιγνομένην ὕλην καὶ οὐδὲν λυμαίνεσθαι τοῦτο αὐτῶν τῷ ἀνωλέθρῳ· ἅτε γὰρ ἅπαντα εἶδη τήν γε πρεσβυτάτην δυναμένην ὕλην οὐδ' ἂν μένειν οὐδαμοῦ, ἵνα δὴ καὶ ἔρῃ ἅπαντα ἃ δύναται εἴδη ὁπεισίῃ· πεφυκυῖαν οὖν ἐν ἅπασι σώμασιν ἐπιῤῥεῖν τε ἀεὶ καὶ ἀπορῥεῖν τοῖς γε δὴ ζώοις· ἐκ γὰρ τῶν νεκρῶν ἀπορῥεῖν μόνον, ἐκ μὲν τῶν θᾶττον, ἐκ δὲ τῶν βράδιον, καὶ βραδύτατά τε ἀπ' ἐνίων, ἀλλὰ αὐξανομένοις μὲν πλείω τῆς ἀπορῥεούσης ἐπιῤῥέουσαν, φθίνουσι δὲ πλείω αὖ τῆς ἐπιῤῥεούσης ἀπορῥέουσαν· τί κωλύει καὶ ἐν τοῖς τῶν ἄστρων σώμασιν, ἐπιῤῥέουσαν μὲν ἀεὶ καὶ ἀπορῥέουσαν, ἴσην δ' ἀεὶ τῇ ἐπιῤῥοῇ τὴν ἀπορῥοὴν σώζουσαν περιουσίᾳ τῶν γε ἐν αὐτοῖς εἰδῶν δυνάμεως σώζειν δ' ὅμως ἀνώλεθρα αὐτοῖς τὰ σώματα, μηδὲν ἑτέρας παρὰ τὴν κοινὴν καὶ μίαν δεόμενα; Τὴν δὲ ἀνθρωπείαν σὺ ψυχὴν οὐ τάδε ἡμῶν τὰ σώματα ἀπαθανατίζουσαν ἐπιδεικνὺς καὶ τούτῳ εἰόμενος πρὸς τοὺς περὶ Πλάτωνα χρῆσθαι τεκμηρίῳ τοῦ μηδὲ τὰς τῶν ἄστρων ψυχὰς δύνασθαι ἂν αὐτοῖς τὰ σώματα ἀπαθανατίζειν, εἰ μὴ ἡ ὕλη αὐτοῖς τοῦτο ἐξαίρετος οὖσα παρεῖχεν, ἀγνῶν φαίνῃ τοὺς αὐτοὺς μηδὲ τῆς ψυχῆς τῆς ἀνθρωπείας τοῦτ' ἀπαξιοῦντας. Ἀπαθανατίζειν γὰρ καὶ τὴν ψυχὴν τὴν ἡμετέραν οἱ αὐτοὶ σῶμά τι ἀξιοῦσι, τό γε προσεχὲς ἑαυτῇ ὄχημα πνεῦμα δή τι ὂν πυρῶδες, ᾧ μέσῳ αὐτὴν χρωμένην καὶ τῷ θνητῷ ποτε τῷδε σώματι συγγίγνεσθαι, οὐκ ἀμέσως ἀσωμάτου ἀνωλέθρου θνητῷ σώματι συγγιγνομένου, ἀλλὰ διὰ μέσου σώματός τε ἀνωλέθρου. Καὶ ταύτην τὴν δόξαν ἀπὸ Ζωροάστρου ἐς τοὺς περὶ Πλάτωνα κατεληλυθυῖαν (1) Ἰωάννης τε καὶ πρὸ αὐτοῦ Πλούταρχος εἴτε δὴ προσήκουσαν εἴτε μὴ καὶ Ἀριστοτέλει προσποιοῦσι (2). Σοί γε μὴν καὶ τοῦτο τὸ τεκμήριον κενὸν πρὸς τοὺς περὶ Πλάτωνα ἀναπέφανται· καὶ ὁ Ἀριστοτέλης σοι ἔρημος τῶν ἀμυνούντων τεκμηρίων λειπόμενος κινδυνεύει οὐκ ἔχων ὅ τι χρήσαιτο τῇ τοῦ ἑαυτοῦ πέμπτου σώματος καινοτομίᾳ. Τί δ' ἡ περὶ ἁλέας τοῦ ἡλίου αὐτοῦ ψυχρολογία, οὐ τῇ φύσει τοῦ αὐτοῦ σώματος τὸ θερμὸν ἀποδιδόντος, ἀλλὰ τῇ κινήσει; ᾗ σὺ ζόφῳ φαυλότατά τε καὶ κάκιστα ἀμύνεις. Ἐπιδεικνύντων γὰρ ἡμῶν οὐ καὶ τὴν σελήνην τῇ κινήσει παραπλησίως θερμαίνουσαν, σὺ ἐνιστάμενος οὐ πάσῃ κινήσει Ἀριστοτέλη τὸ θερμαίνειν φῂς ἀποδιδόναι, ἀλλὰ τῇ ταχίστῃ μόνῃ, καίπερ Ἀριστοτέλους πᾶσαν κίνησιν φάσκοντος πεφυκέναι ἐκπυροῦν (3). Εἰ μὲν οὖν ἁπάσῃ τὸ θερμαίνειν ἀποδοθήσεται κινήσει, καὶ τὴν σελήνην ἐχρῆν ἂν αὐτὸ ποιεῖν· εἰ δὲ τῇ ταχίστῃ μόνῃ, οὐδ' ἂν τὸν ἥλιον· οὐ γὰρ ἡ ἡλίου κίνησις τυγχάνει οὖσα ἡ ταχίστη, ἀλλ' ἡ ἀστρων μάλιστα τῶν ἀπλανῶν. Οὔτε δὴ τῆς σελήνης παραπλησίως ἡλίῳ θερμαινούσης, οὔτε τῶν ἀπλανῶν ἄστρων, οὐ κενὸν καὶ τοῦτο Ἀριστοτέλους ἀναφαίνεται τὸ καινολόγημα; Σὺ δὲ μὴ οὕτω τετύφωσο, ὥστ' ἃ σὺ μὴ οἶσθα μηδ' ἄλλους οἴεσθαι εἰδέναι,

(1) Pleth. Schol. in Oracula magica Zoroastr.

(2) Ad Joannem Philoponum respici opinor, qui Aristotelicus corporum quamdam nobiliorem et indelebilem speciem post mortem futuram docuisse fertur. Cf. Tim. presb. *De receptione hæret.* in Cotel. *Monum.* III, p. 415.— Plutarchum adi in *Consolat. ad Apoll.* cap. 27, 28, et *Quæst. Plat.* cap. 7.

(3) Arist. *Meteor.* I, 3, *De cæl.* I, 2.

φάσκων μὴ ἂν εἶναι ἡμῖν πίστιν παρασχεῖν τῆς τῶν ἡλίου καὶ σελήνης ἀφ' ἡμῶν ἀποστημάτων πρὸς τὰ τάχη αὐτῶν ἀναλογίας. Ἡμεῖς γὰρ εὖ μάλα τοῦτο ἴσμεν, ὡς ἀνάλογον τοῖς ἀποστήμασιν αὐτῶν τοῖς ἀφ' ἡμῶν καὶ τὰ τάχη αὐτοῖς ἔχει, πλὴν περ ὅσον ἡ σελήνη τῇ ἐπὶ τἀναντία θᾶττον κινήσει καὶ τῆς ἀναλογίας ἀπολείπεται· τοῦτο δ' ἂν πάνσμικρόν τι εἴη πρὸς τηλικαύτην ἀλέα; ὑπερβολήν. Ἡ δέ γε ἄστρων τῶν ἀπλανῶν καὶ ὑπερβάλλει τι τὴν τοιαύτην ἀναλογίαν διὰ τὸ αὐτῶν αὐτῆς ἐπὶ τἀναντία κινήσεως βραδύτατον, ὥστ' ἐχρῆν τὴν μὲν σελήνην τῷ μείονι τοῦ ἀποστήματος τὸ βράδιον τῆς κινήσεως ἀνταναπληρῶσαι, τὰ δ' ἀπλανῆ ἄστρα τὸ μῆκος αὖ τοῦ ἀποστήματος τῷ θάττονι τῆς κινήσεως, παραπλησίως καὶ ταῦτα τῷ ἡλίῳ θερμαίνειν, τῆς μὲν θάττονος κινήσεως καὶ μᾶλλον ἂν θερμαινούσης, ἁπάντων δὲ τῶν ὁρᾶν ὁτιοῦν ἐχόντων δύναμιν σωμάτων καὶ ἐγγύθεν μᾶλλον αὐτὸ ὁρᾶν πεφυκότων. Φαμὲν οὖν καὶ ἡμεῖς τὴν κίνησιν θερμαίνειν, ἀλλ' οὐ καθόσον γε κίνησιν, ἀλλὰ καθόσον ἂν καὶ παράτριψίν τινα ποιοῖ· καὶ γὰρ Ἀριστοτέλει καὶ τοῦτο ἡμάρτηται, τὸ τὴν κίνησιν ἁπλῶς φάσκειν πεφυκέναι ἐκπυροῦν, οὐ μᾶλλον ἢ τὴν διὰ κινήσεως παράτριψιν. Θερμαίνεσθαι γὰρ ἂν τὰ παρατριβόμενα σώμασι σώματα, ἃ πρὸς τὸ κινεῖσθαι καὶ ἅπτεσθαι μάλιστ' ἂν δέοι ἀλλήλων, ὃ ἐπὶ τοῦ ἡλίου χαλεπὸν ἂν εἴη ἐξευρεῖν, ὅτῳ τρόπῳ ἁπτόμενος ἡμῶν καὶ παρατρίβων τῇ κινήσει ἀλεαίνει, καὶ ταῦτα μήτε τῆς σελήνης, μήτε τῶν ἄλλων ἄστρων τῇ κινήσει τὸ παραπλήσιον ποιούντων; Πῶς οὖν οὐ καὶ τοῦτο μὲν Ἀριστοτέλους τὸ σόφισμα κενὸν καὶ ψυχρόν, ἡ δὲ κοινὴ ἁπάντων τε ἀνθρώπων περὶ τοῦ ἡλίου δόξα καὶ ἅμα τῶν τῷ ὅτι σοφῶν ὑγιής τε καὶ ἀνέλεγκτος, τὸ τὸν ἥλιον, ὥσπερ καὶ τῷ φωτὶ τἄλλα ἄστρα ὑπερβάλλει, οὕτω καὶ ἐν τῇ ἐμφύτῳ θερμότητι ὑπερβάλλοντα καὶ ἡμᾶς ἐκ πολλοῦ τοῦ περιόντος ἀλεαίνειν;

« Εἰ μὲν γὰρ βουλεύεσθαι τὸ διανοεῖσθαι λέγει, ἀνάγκη μὲν πάντα ἐπὶ τὸ οἰκεῖον ἀφικνεῖσθαι τέλος νοῦ τινος προβουλευομένου περὶ αὐτῶν, τουτέστι διανουμένου, καὶ τὸ τέλος ἐν αὐτῷ προδιατυποῦντος, ὡς αὐτός φησιν· ἀλλ' οὐχ οὕτω τὸ βουλεύεσθαι οὔθ' οἱ κατὰ τῆς φύσεως ἐπιχειροῦντες, οὔτ' Ἀριστοτέλης ἐλάμβανεν (1). »

Ἤδη μέν σε ἡμεῖς καὶ ἐν τοῖς ἔμπροσθεν ἐξηλέγξαμεν οὐδαμῆ τῆς Ἀριστοτέλους ἁπτόμενον διανοίας, ἀλλὰ καὶ λίαν αὐτῆς ἀποπλανώμενον· οὐδὲν δ' ἧττον καὶ ἐν τοῖσδε τὸ τοιοῦτο πάσχων ἐλεγχθήσῃ. Καί μοι ἐκεῖνο πρῶτον εἰπέ· μῶν σὺ ἡγῇ ἢ εἶναι ἢ γεγονέναι ποτέ τινας ἀνθρώπων, νοῦν μέν τινα τοῖς φύσει γιγνομένοις ἐφεστάναι νομίζοντας; καὶ ἔπειτα διὰ τὸ μὴ ἀγνοοῦντας ζητεῖν, ἀλλ' εὖ εἰδέναι, ἐφ' ὅ τι δεῖ ἕκαστον τῶν φύσει γιγνομένων ἀφικνεῖσθαι, οὐδ' ἂν ἕνεκά του αὐτὰ ἄγειν ἀξιοῦντας; Εἰ μὲν γὰρ οἷει τοιούτους σύ ποτέ τινας γεγονέναι, ἀφρονέστατος εἶ ἀνθρώπων· εἰ δ' οὐδὲ πώποτ' ἂν ἐγένετό τις τοιοῦτος καὶ οὕτω νομίζων, πῶς τοῖς τοιούτοις σὺ Ἀριστοτέλη ἀντιλέγειν φῂς, τοῖς οὔτ' ἂν γεγονόσιν, οὔτ' ἂν ποτε ἐσομένοις; Ἀλλὰ Ἀριστοτέλης μὲν καὶ πάνυ δῆλός ἐστιν ἐνταῦθα τὸ βουλευόμενον ἐπὶ τοῦ ὅλως λογιζομένου λαμβάνων, καὶ οὐ τοῦ ἀγνοοῦντος μέν, ζητοῦντος δέ. Τὸ δὲ πρᾶγμά ἐστι τοιοῦτο· ἦν κοινὸν ἀνθρώπων ἁπάντων ἀξίωμα καὶ ἔστι γε ἀεὶ τοῖς εὖ φρονοῦσι, μηδὲν τῶν ἕνεκά τού τι ποιούντων ἄνευ νοῦ ἐπὶ τὸ οὗ ἕνεκα ἄγεσθαι ποιούμενον. Τούτου δὲ μένοντος βεβαίου τοῖς πρὸ Ἀριστοτέλους τοῦ ἀξιώματος οἱ μὲν τὰ βελτίω φρονοῦντες τῶν ἀνθρώπων, ὁρῶντες τὰ φύσει γιγνόμενα ὁμοίως μὲν τοῖς κατὰ τέχνην γιγνόμενα καὶ πολὺ τὸ ἕνεκά του ἐν αὐτοῖς, αὐτὰ δ' ἄλογά τε καὶ ἀνόητα, νοῦν τινα θεῖον ἐνόμισαν αὐτοῖς ἔξωθέν τε ἐφεστάναι καὶ ἕνεκά του ἄγειν ἕκαστον αὐτῶν, ὥσπερ καὶ τοῖς σκευαστοῖς τῶν γε ἀνθρωπίνων οἱ δημιουργοὶ ἐφεστᾶσιν. Οἱ δὲ τὸ μὲν νοῦν τινα ἐφεστάναι θεῖον τοῖς φύσει γιγνομένοις ὤκνησαν ὑπὸ ἀθεότητος, τὴν δὲ φύσιν καὶ ἄνευ τοῦ ἕνεκά του ποιεῖν, ἃ ποιεῖ ἐνόμισαν, ἰσχυριζόμενοι τῷ ἀλογίστῳ αὐτῶν τῶν φύσει γιγνομένων. Τούτων οὕτω διαφερομένων ἀλλήλοις Ἀριστοτέλης ἰδίας αἱρέσεως λόγων σοφιστὴς γεγονὼς τὸ μὲν ἕνεκά του ποιεῖν τὴν φύσιν συγχωρεῖ τοῖς γε οὕτω νομίζουσι, νοῦν δὲ τῇ φύσει ἔξωθεν θεῖον ἐπιστῆσαι ὀκνήσας καὶ αὐτὸς κατὰ τῶν ἀνδρῶν ἐκείνους τοὺς ἀθεωτέρους, ὃ δὴ λοιπὸν ἦν, κατὰ τοῦ κοινοῦ ἀξιώματος χωρεῖ, ἄτοπον εἶναι φάσκων τὸ μὴ οἴεσθαι ἕνεκά τού τι γίγνεσθαι, ἂν μὴ ᾖ τὸ ποιοῦν βουλευσάμενον, ὅ ἐστι λογισάμενον. Καὶ πειρᾶται δὴ τὸ λογίζεσθαι τοῦτο καὶ τῶν τεχνῶν τῶν ἀνθρωπίνων ἀφελέσθαι, πάνυ τε ἀλογίστως λέγων καὶ ἀσχημόνως, κἂν εἰ σὺ αὐτῷ φαύλως ἀμύνοις ἐπὶ τοῦ ἀγνοοῦντος μέν, ζητοῦντος δὲ τὸ βουλεύεσθαι ὑπολαμβάνων, οὐδὲ μίαν ἐν τούτοις χώραν οὗ τοιούτου ἔχοντος. Ὅτι δὲ τοιαύτη ἡ Ἀριστοτέλους διάνοια, οὐ μόνον δῆλον ἐκ τοῦ μηδαμοῦ αὐτὸν νοῦ τινος μεμνῆσθαι ἔξωθεν θείου τοῖς φύσει τούτοις γιγνομένοις ἐφεστῶτος, δέον ἂν, ἀλλὰ καὶ ἐκ τῆς εἰκόνος, ᾗ αὐτὰ εἰκάζει, οὐχ ἑτέρῳ ὑφ' ἑτέρου ἰατρευομένῳ εἰκάζων, ὥσπερ οὖν καὶ ἔδει, εἰ νοῦν αὐτοῖς θεῖον ἐφίστη, ἀλλ' αὐτῷ αὐτὸν ἰατρεύοντι. Καίτοι οὐδὲ πρὸς οὗ ἀντιλέγει ἐχυρόν τι ἐχούσῃ τῇ εἰκόνι ταύτῃ κέχρηται· ὑπολάβοιεν γὰρ ἂν εὐθύς· ἀλλ' ὅμως αὐτὸν, ὦ Ἀριστοτέλες, ἰατρεύων οὐ δήπου ἀλογίστως, ἀλλὰ τῇ ἰδίᾳ διανοίᾳ τὸ αὐτοῦ σῶμα ἰατρεύεις, ὥστ' ἂν αὐτὸν εἰκότως καὶ ἕνεκά του ποιεῖν ἃ ποιεῖς, ἑαυτὸν ἰατρεύων· μετὰ γὰρ διανοίας ποιεῖς. Τὰ δὲ φύσει ταῦτα γιγνόμενα οὔτ' ἰδίᾳ διανοίᾳ χρῆσθαι φαίης ἄν, οὔτε νοῦν τινα σὺ αὐτοῖς ἔξωθεν ἐφίστης, ὥσπερ οὐδ' ἡμεῖς, εἴπερ οὐχ ἑτέρῳ ὑφ' ἑτέρου ἰατρευομένῳ εἰκάζεις, ἀλλ' αὐτῷ αὐτὸν ἰατρεύοντι, ὥσθ' ἕνεκά σοι τῆς εἰκόνος ταύτης, οὐδ' ἂν ἕνεκά του αὐτὰ γίγνοιτο. Ἀριστοτέλης μὲν οὖν τοιοῦτος, ἄτοπά τε ἀξιῶν καὶ αὐτοῖς φαυλότατα ἀμύνων, πλήθει δὲ μόνον συγγραμμάτων ἐκπλήττων οὓς ἐκπλήττει· ἐν οἷς καὶ ἄττ' ἂν εὐδοκιμοῖ, οὐκ ἰδία ἂν εἴη αὐτοῦ, ἀλλ' ἃ Πλάτωνος διήκουσε πάνυ σοφιστικῶς ἰδιουμένου. Ἴσως δ' ἂν εἴη καὶ ἴδι' ἄττα εὖ

(1) *Phys.* II, 8 ; *Eth. Nicom.* VI, 2. Τὸ γὰρ βουλεύεσθαι καὶ λογίζεσθαι ταυτόν.

ἔχοντα αὐτοῦ ἐν γε τοῖς φαύλοις καὶ σμικροῖς διὰ τὸ A
τῆς διανοίας αὐτοῦ πρὸς γοῦν τὰ τοιαῦτα ὀξυδερκὲς;
εἰ καὶ πρὸς τὰ μείζω ἀμβλυωπόν· ὅτι δ' ἀνόητόν
ἐστι τὸ μὲν ἕνεκά του ποιεῖν τὴν φύσιν συγχωρεῖν,
νοῦν δ' αὐτῇ μὴ ἐφιστάναι, ἐνθένδε δῆλον. Τὰ τέλη,
ἐφ' ἃ τῶν φύσει γιγνομένων ἕκαστα ἴεται, οὐ καὶ
τὴν ἀρχὴν εὐθὺς φυομένην πάρεστιν αὐτοῖς, ἀλλ'
ὕστατα δήπου παραγίγνεται. Σκοπῶμεν δ' αὐτὸ ἐφ'
ἑνὸς τοῦδε. Τῇ ἀμπέλου ἕλικι τέλος ἐστὶ τῷ ἑτέρου
φυτοῦ πτόρθῳ περιελιχθεῖσαν ἐκείνῳ τὴν ἄμπελον
ἀναδῆσαι τῷ φυτῷ, ταύτην ἐν τοῖς φυτοῖς τὴν φύ-
σιν εἰληχυῖαν ἐπαλλόκαυλον εἶναι· οὐκοῦν τῷ ἑτέρου
φυτοῦ πτόρθῳ τὴν ἕλικα περιελιχθεῖσαν ἀναδῆσαι
τὴν ἄμπελον οὔτε τῇ ἀμπέλῳ φυομένῃ, οὔτε τῇ
ἕλικι εὐθὺς πάρεστιν, ἀλλ' ὕστατόν γε παραγίνεται.
Οὐδὲν μέντοι ἧττον τοῦ φύεσθαι ὅλως ἕλικα τῇ ἀμ- B
πέλῳ αἴτιον τελικὸν ἡ ἐφ' ἑτέρῳ φυτῷ ἀνάδεσις αὐ-
τῆς ἐστιν. Ἀμήχανον δὲ τὸ μηδέπω ὂν μηδ' ἐν τοῖς
οὖσι τεταγμένον ὄντος του ἤδη αἴτιον γίγνεσθαι·
εἶναι γὰρ δεῖ τὸ αἴτιόν του γιγνόμενον, οὐχὶ μὴ εἶναι.
Προειλῆφθαι ἄρα δεῖ ἔν τινι νῷ τὴν τῆς ἀμπέλου
ἐφ' ἑτέρῳ φυτῷ ἀνάδεσιν, ὃς αὐτῇ ἐπιστατῶν ὥσπερ
δημιουργὸς ἀνὴρ σκευαστοῖς καὶ τὴν ἕλικα αὐτὴν
τῆς τοιαύτης ἕνεκα ἀναδέσεως φύσει, ἢ καὶ θαυμα-
σίως, ἐὰν μὲν μηδέν τι αὐτῇ τοιοῦτον παρακέηται,
οἷῳ περιελιχθῆναι, ἐπ' εὐθύ πως φαίνεται φερο-
μένη, ἐὰν δὲ πτόρθος τις παρῇ, εὐθὺς περιειλίχθη·
οὔτ' οὖν τὴν ἕλικα τῇ ἀμπέλῳ μὴ οὐ τούτου ἕνεκα
φύεσθαι, ὅπως ἑτέρῳ αὐτὴν φυτῷ ἀναδήσῃ, νοῦν
ἔχει τὸ μὴ ἀξιοῦν, οὔτε τὸ μὴ νοῦν τοῖς τοιούτοις C
ἐφιστάναι ἔχοι ἂν καὶ ὁντινοῦν λόγον. Πλάτων μὲν
οὖν τὰ εἴδη νοῦς π[illegible] ταῦτα προσεχεῖς ἐφίστησιν
ἑκάστοις τῶν φύσει γιγνομένων νοῦς· ἐχρῆν δὲ καὶ
Ἀριστοτέλη, εἰ μὴ τούτοις ἐβούλετο συγχωρεῖν,
ἄλλον γοῦν τινα τρόπον νοῦν αὐτοῖς ἐφιστάναι καὶ
μὴ οὕτως καταγελάστως αὐτῷ αὐτὸν ἰατρεύοντι τὰ
φύσει γιγνόμενα εἰκάζειν (1), δῆλα δὴ ὡς οὐδένα αὐ-
τοῖς νοῦν ἔξωθεν ἐφεστηκότα. Σὺ μὲν οὖν ἄθεον ἡμᾶς
φάσκων Ἀριστοτέλη συκοφαντεῖν, αὐτὸς μᾶλλον
ἡμᾶς συκοφαντεῖς· οὐ γὰρ ἄθεον ἡμεῖς Ἀριστοτέλη
οὔτ' ἔφαμεν οὔτε φαμέν, θεοὺς ὅλως τῷ οὐρανῷ ἐφι-
στάντα, ἀλλ' ἐς ἀθεότητα αὐτὸν ἀποκλίνειν φαμέν
τε καὶ ἔφαμεν καὶ μάλα ἐν δίκῃ. Ὁ γὰρ πρῶτον
μὲν τὸν θεῶν τῶν ἄλλων ἡγούμενον Θεὸν οὐ καὶ τῇ D
θεότητι ἐξαίρετον τιθέμενος, ὥσπερ Πλάτων τε καὶ
οἱ ἀπὸ Ζωροάστρου πάντες, ἀλλὰ παραπλησίας τοῖς
ἄλλοις οὐσίας, εἴ γε πάντας τε ὡσαύτως αὐτοὺς δι'
αὐτοὺς ὄντας ποιεῖ, κἀκεῖνον ἀντιμερίτην τοῖς ἄλλοις
ἐν τῇ τῶν σφαιρῶν διανομῇ, ἔπειτα δὲ καὶ τῆς τοῦ
οὐρανοῦ οὐσίας οὔτε τοῦτον οὔτε ἄλλον οὐδένα θεῶν
δημιουργὸν ποιῶν, ὥσπερ οἵ τε σοφοὶ πάντες καὶ
τῶν ἰδιωτῶν τὸ πλεῖστον, πρὸς δὲ καὶ τοῖς φύσει
γιγνομένοις τούτοις οὐδένα νοῦν θεῖον κατὰ τῶν
ἀνδρῶν τοὺς θεοσεβεστέρους; ἐφιστάς, ὁ τὰ τοιαῦτα
ἅπαντα νοσῶν πῶς οὐκ ἐς ἀθεότητα ἀποκλίνων
ἐστί; Καὶ μὲν δὴ καὶ τὴν τύχην τῆς γε θείας προ-

νοίας ἀλλοτριῶν δῆλός ἐστιν, ἤτοι παντάπασι τὴν
τοῦ θείου πρόνοιαν ἐκβάλλων τῶν γε ἀνθρωπίνων, ἢ
ὅτι ἐλάχιστον αὐτῆς λείπων, ᾗ καὶ ἐν δίκῃ τὸ μικρο-
λόγον αὐτοῦ περὶ τῆς προνοίας διακωμῳδεῖται. Οἱ
μὲν γὰρ σοφοί τε πάντες καὶ τῶν ἄλλων οἱ τὰ βελ-
τίω φρονοῦντες ἅπαντα μὲν, ὁπόσα ἂν ἀνθρώποις
κατορθοῖτο, τῇ θείᾳ προνοίᾳ νέμοντες, τῆς δὲ προ-
νοίας τοῦτο ὅσον μὴ παρ' ἡμᾶς μηδὲ δι' ἡμῶν τὸ
κατορθοῦν ἡμῖν παρέχεται, τύχην τε καλοῦντες καὶ
θείαν τύχην, ὡς οὐ παρ' ἡμᾶς οὐδὲ δι' ἡμετέραν
ἀρετὴν, ἀλλὰ διὰ μόνην θείαν δὴ αἰτίαν ἀποδίδοντες,
δῆλοί εἰσι τῇ θείᾳ προνοίᾳ καὶ τὴν τύχην συνοικει-
οῦντες. Ἀριστοτέλης δ' ὡς τὴν τύχην τῆς τοῦ θείου
προνοίας ἀλλοτριοῖ, καὶ αὐτὸ, ἃ σὺ περὶ ψυχῆς ὡς
δὴ εὐσεβέστατα αὐτῷ εἰρημένα ἐν τῇδέ σου τῇ συγ-
γραφῇ ἐκτέθεισαι, δηλοῖ, « Ἡ δὲ τύχη καὶ τὰ ἀπὸ
τύχης ὡς ἀληθῶς, ὡς ἂν τύχοι γίγνεται· εἰ δέ γε
τῷ Θεῷ τὸ τοιοῦτον ἀπονέμοιμεν, φαῦλον κριτὴν
αὐτὸν ποιήσομεν ἢ οὐ δίκαιον· τοῦτο δ' οὐ προσῆκόν
ἐστι Θεῷ (2). » Ταῦτα γάρ φησιν Ἀριστοτέλης
ἀγνοῶν τὴν θείαν δικαιοσύνην, ὅπῃ τὰ τοιαῦτα ἑκά-
στῳ τε ἅμα ἐς δύναμιν ἐκ τοῦ παντὸς τῇ ἁρμονίᾳ
συμφορώτατά τε ἀποδίδωσι, τὸ τοῦ ὅλου ἀεὶ ἀγαθὸν
τοῦ τοῦ μέρους κατὰ τὸ δικαιότατον προτιμῶσα. Διὰ
δὴ ταῦτα πάντα καὶ ἡμεῖς μάλιστα τὸν ἄνδρα προ-
ήγμεθα ἐλέγχειν, ἵνα μή τις Ἀβερόῃ πειθόμενος,
ὥσπερ καὶ τῶν πρὸς ἑσπέραν οἱ πολλοὶ, καὶ ὡς
πάντα σοφῷ αὐτῷ προσέχων ἅμα καὶ τῶν ἐς ἀθεό-
τητα αὐτῷ φερουσῶν δοξῶν λάθῃ ἀναπλησθείς,
ἀλλ' εἰδὼς αὐτοῦ τοῖς συγγράμμασι συχνὰ μὲν τὰ
μοχθηρὰ ἐγκαταμεμιγμένα, οὐκ ὀλίγα δὲ καὶ τὰ
χρηστὰ, τὰ χρηστὰ δὴ ταῦτα ἀναλεγόμενος φυλάττῃ
τὰ μοχθηρά.

« Εἴ τι δὲ καὶ ἔνια τῶν γιγνομένων ἄνευ αἰτίου
γίγνεσθαι λέγει, τὸ μὲν αἴτιον κατὰ τὴν ὡρισμένην
ἔννοιαν, τὸ δὲ γίγνεσθαι κατὰ τὴν ὁλοσχερῆ καὶ συγ-
κεχυμένην ἤδη λαμβάνει. »

Ὅταν τι τῶν Ἀριστοτέλους ὑπολαμβάνῃς, ἐχρῆν
σε σκοπεῖν, καὶ εἰ τῷ ὑποκειμένῳ ὅλῳ χωρίῳ συμ-
βαίνει τι ἡ σὴ ὑπόληψις, ἵνα μὴ εἰκαῖα λέγων καὶ
τοῖς λόγοις τοῖς ὑποκειμένοις κατ' οὐδὲν προσαρμότ-
τοντα ἀσχημονῇς. Οὕτω γὰρ Ἀριστοτέλους λέγοντος, « Ἄτοπον δὲ καὶ τὸ γένεσιν ποιεῖν ἀΐδίων ὄν-
των (3), » σὺ τὴν γένεσιν ἐπὶ τῆς χρονικῆς ὑπολαμ-
βάνων καὶ οὐ τῆς κατ' αἰτίαν, ἠλέγχθης τῷ πρὸς τὴν
ὅλην ὑπόθεσιν οὐ συμβαίνον τι λέγειν· οὕτω τὸ βου-
λεύεσθαι σὺ ἐπὶ τοῦ ἀγνοεῖν μὲν ζητεῖν δὲ καὶ τοῦ
ὅλως λογίζεσθαι ὑπολαμβάνων τῷ ἀναρμόστῳ αὖ
κἀνταῦθα πρὸς τὸν ὑποκείμενον λόγον ἐξελήλεγξαι.
Ἀλλὰ ταῦτα μὲν τήν τε γένεσιν τό τε βουλεύεσθαι
ἐν ἕξει ὄντα καὶ πλεοναχῇ λέγεσθαι οὐδὲν θαυμαστὸν,
εἰ ὡς ἐρμαίῳ σὺ περιτυχὼν τῇ ὁμωνυμίᾳ, ᾗ σὺ
ὅρου πρὸς τὸν λόγον τι λυσιτελήσειν ὑπειλάμβανες, οὐ
συνεωρακὼς ἀπὸ ἀσυνεσίας, ὡς τῷ γε οὐ πρὸς τὴν
ὑποκειμένην συμβαίνοντι ὑπόθεσιν ἁλώσῃ αὖ οὐδὲν
ὑγιὲς ὑπολαμβάνων. Ἐνθάδε γε μὴν τὸ αἴτιον οὐδέ-

(1) *Phys.* II, 3, 8.
(2) *De cœlo* II, 4; *Phys.* II, 5.
(3) *Metaph.* XIII, 3; *De cœl.* II, 3.

ποτε οὐδαμοῦ ὁμώνυμον εὑρημένον σὺ ἐς ὁμωνυμίαν βιαζόμενος καὶ ταύτῃ ἀσχημονεῖς· τὴν μὲν γὰρ αἰτίαν ἔστιν εὑρεῖν καὶ ὁμωνύμως· τὴν μέμφιν ἔτ' ὀτε δυναμένην· τὸ δ' αἴτιον οὐδέποτε ἄλλο τι ἴσμεν δυνάμενον παρά τε Ἕλλησι τοῖς ἄλλοις καὶ Ἀριστοτέλει, ἢ τὸ ὅλως ἀποτελοῦν τι, ἄν τε ὡς τέλος αὐτὸ ἀποτελῇ ἄν τε ὡς ὑποκινοῦν ἄν τε ὡς παράδειγμα ἄν τε ὡς ὕλη, καὶ ἔτι ἄν τε ἄμεσον ἄν τε μὴ ἄμεσον ᾖ. Ὃ δὲ σὺ χωρίον Ἀριστοτέλους προτείνεις ἐπὶ τῷ ἐνδείξασθαι τὸ ἐγγυτάτω αἴτιον ἰδίως αἴτιον αὐτὸν κωλοῦντα, δῆλος εἶ καὶ τοῦτο ὅ τι βούλεται οὐ συνιείς. Ἀριστοτέλης μὲν γάρ φησι (1), « Δεῖ δὲ τὰ ἐγγύτατα αἴτια λέγειν οὐχ ὡς ταῦτα μόνα ἰδίως αἴτια δέον καλεῖν, ἀλλ' ὡς τὸν ἐπιστήμην τῆς τῶν γινομένων γενέσεως παραδιδόντα διὰ τῶν ἐγγυτάτω καὶ ἀμέσων αἰτίων παραδιδόναι δέον, ὡς οὐχ ἱκανὴν τὴν ἐπιστήμην παρεσομένην τῳ ἄνευ τῆς τοῦ ἀμέσου αἰτίου γνώσεως. » Σὺ μὲν οὖν καὶ ταύτῃ φαύλως λέγων δῆλος εἶ, οὐχ ὁμώνυμον τὸ αἴτιον ὂν ἐς ὁμωνυμίαν βιαζόμενος· ἵνα δέ σοι τοῦ λόγου ἕνεκα συγχωρήσωμεν, ἔστω σοι καὶ ἰδίως αἴτιον τὸ προσεχές τε καὶ ἄμεσον λεγόμενον. Εἰ οὖν ἐνταῦθα τὸ τοιοῦτον Ἀριστοτέλη τὸ αἴτιον λέγειν ὑπολάβοιμεν, οἷον δὴ σὺ φῇς, τί αὐτῷ πρὸς τὴν χρείαν, ἐφ' ᾗ τούτου δεῖται, συμβαλλοίμεθ' ἄν; Ὅρα γάρ· εἰ τὴν εἱμαρμένην συνιστάντες ἐκ δυοῖν τοῖνδε μάλιστα, οἷν καὶ ἐν τῷ προτέρῳ ἔφαμεν ἡμῶν συγγράμματι ὀξιωμάτοιν συνιστᾶσιν, ἑνὸς μὲν τοῦ ἅπαν τὸ γιγνόμενον ὑπ' αἰτίου τινὸς ἀναγκαίου ἂν εἶναι γίγνεσθαι, ἑτέρου δὲ τοῦ ἅπαν αἴτιον, ὅ τι ἂν δρᾷ, ἐξ ἀνάγκης τε καὶ ὡρισμένως αὐτὸ δρᾷν. Ἀριστοτέλης οὖν ὁρῶν ἐξ ἀμφοῖν τούτοιν τοῖν ἀξιωμάτοιν τὴν εἱμαρμένην ἀναγκαιότατα περαινομένην ἀνελεῖν δεηθεὶς, ἐπεὶ ἔγωγε οὐκ ἂν ἄλλως ἀναιρεθησομένην, εἰ μὴ ὁποτέρου τοῖν ἀξιωμάτοιν τούτοιν ἀναιρέσει, κατὰ τοῦ ἅπαν τὸ γιγνόμενον ὑπ' αἰτίου τινὸς ἀναγκαίου ἂν εἶναι γίγνεσθαι χωρεῖ. Ἀξιῶν αὐτὸς γίγνεσθαί τι τῶν γιγνομένων (2) . . . . . Ἀριστοτέλης οἴεται γίνεσθαι. Οὕτω μόνος τῷ κοινῷ ἀξιώματι ἀντιφάσκει, καὶ τὸ οὕτω γιγνόμενον ἂν οὐκ ἐξ ἀνάγκης ἀποβήσεται (3)· εἰ δ' ἄνευ μόνου τοῦ προσεχοῦς, ᾗ σὺ ὑπολαμβάνεις, τῶν δ' ἄλλων αὐτῷ αἰτίων λειπομένων γίγνοιτό τι, εἰ δὴ μᾶλλον οὐκ ἐξ ἀνάγκης τὸ οὕτω γιγνόμενον ἀποβαίη ἄν; τὰ γὰρ λειπόμενα αὐτῷ τῶν αἰτίων ἐξ ἀνάγκης τε αὐτῷ καὶ ὡρισμένως ποιήσει. Ἴδε δὴ καὶ ἐπὶ τοῦ σοῦ ὑποδείγματος· τὸ τοιοῦτον τῶν ἄνευ σοι σπέρματος γιγνομένων ζώων καὶ φυτῶν, ἃ σὺ ἔκ τε τῆς ὕλης μόνης καὶ τῶν ἄνωθεν κινητῶν ποιεῖς, οὐδὲ μίαν αὐτοῖς εἰδικὴν αἰτίαν ἀποδιδοὺς, καίπερ Ἀριστοτέλους τὸν ἀέρα καὶ τούτοις τὴν τοῦ σπέρματος ἴσχοντα χώραν ἀπονέμοντος ἀξιοῦντος ἅπαν τῶν τοιούτων ἤτοι ἐκ σπέρματος γίγνεσθαι ἢ τοῦ σπέρματι ἀναλόγου δηλαδὴ τοῦ εἴδος δυνάμει ἔχοντος, ὃ σὺ ὡς φαίνῃ ἀγνοῶν παντάπασιν αὐτὰ τῆς εἰδικῆς αἰτίας ἀποστερεῖς. Οὐ μὴν ἀλλ' ἔστω σοι καὶ ᾗ σὺ οἴει ἐκ τε ὕλης μόνης τὰ τοιαῦτα καὶ τῶν ἄνωθεν κινητῶν γιγνόμενα· οὐ καὶ ταῦτα ἅτε ἀπ' αἰτίων ὠντινωνοῦν γιγνόμενα ἐξ ἀνάγκης τε καὶ ὡρισμένα ἀποβήσεται; τί οὖν Ἀριστοτέλει σὺ ἐκ τούτων πρός τε τὴν τοῦ ἀτόπου ἀξιώματος ἀξίωσιν καὶ ἅμα τὴν τῆς εἱμαρμένης ἀναίρεσιν ἀμύνεις; Ἆρ' οὖν ἀνάγκη, εἰ μὲν κατὰ σὲ τῷ αἰτίῳ Ἀριστοτέλης χρῷτο, μὴ τήν γε εἱμαρμένην αὐτὸν λύειν, ὃ δὴ μάλιστα αὐτῷ σπουδάζεται, εἰ δὲ τὴν εἱμαρμένην λύσειν μέλοι, τῷ μὲν αἰτίῳ ᾗ πάντες χρῶνται Ἕλληνες, αὐτὸν κεχρῆσθαι καὶ οὐχ, ᾗ σὺ ὑπολαμβάνεις, ἀξίωμά γε μὴν ἐσχάτως ἄτοπόν τι ἀξιοῦν; Σὺ δὴ φάσκων, Ἀριστοτέλη καὶ ἑτέρωθι ἅπαν τὸ γιγνόμενον ὑπό τινος γίγνεσθαι ἀξιοῦν δεῖν, ἀμύνεις μὲν αὐτῷ οὐδέν, αὐτὸν δ' αὐτῷ διαφωνοῦντα μόνον ἐπιδεικνὺς, διπλοῦν αὐτῷ ἀνθ' ἁπλοῦ τὸ ἁμάρτημα ποιῶν πρὸς τῷ ἄτοπῳ τοῦ ἀξιώματος καὶ διαφωνεῖν αὐτὸν αὐτῷ. Καὶ σὺ μὲν οὕτω, ἄλλος δ' ἂν ἀμύνων Ἀριστοτέλει πρός γε τὴν διαφωνίαν ταύτην ἔχῃ, ἐπειδὰν μὲν (4) ἅπαν τὸ γιγνόμενον ὑπό τινος, ὑπ' αἰτίου τινὸς ἀναγκαίου ἂν εἶναι γίνεσθαι.

« Εἰ τοίνυν συγχωροῦσιν ἐκόντες, οἴεσθαί τινα τὸν φιλόσοφον φύσιν κινητὴν τοῦ παντὸς, ὅτι δήπου καὶ ποιητικὴν ταύτην φρονεῖ, ἐξ ὧν αὐτός, φησι καὶ ἄκοντες συγχωρήσουσι. »

Γελοίως (5) σὺ πᾶν τὸ κινητικὸν ὁτουοῦν καὶ ποιητικὸν ἡγῇ εἶναι αὐτοῦ δή, ὃ κινεῖ, καὶ ὡς ἔοικας τὸν βοῦν, ὅτι τῆς ἀμάξης ἡμῖν κινητικός ἐστι, καὶ ποιητικὸν ἡμῖν σὺ εἶναι ἡγῇ αὐτῆς δὴ τῆς ἁμάξης, ὡς ἡμᾶς, ἢν μόνον βοῶν εὐπορῶμεν, οὐκέτ' ἂν καὶ ἀνδρὸς ἁμαξοπηγοῦ δεησομένους. Ἀλλὰ σὺ μὲν δῆλος εἶ τὸ τοιοῦτο πεπονθὼς ὑπὸ τοῦ διακρίνειν μὴ εἰδέναι, ὅτι ποιητικόν. Τὸ μὲν οὖν ἄλλην τινὰ ἡνιοῦν κίνησιν καὶ οὐ γένεσιν κινοῦν καὶ ποιεῖν λέγοιτ' ἄν, ἀλλ' οὐκ αὐτὸ ὃ κινεῖ, ἀλλ' ἐς αὐτὸ, ᾧ ποιοῦντι καὶ τὸ πάσχον ἀντιτίθεῖτ' ἄν, οὐ τὸ ποιούμενον. Τὸ τῶν κινήσεων τὴν καλουμένην γένεσιν κινοῦν καὶ ποιεῖν λέγοιτ' ἄν αὐτὸ τὸ γιγνόμενον, οὐκ ἐς αὐτὸ, ᾧ ποιοῦντι καὶ τὸ ποιούμενον, οὐ τὸ πάσχον ἀντιτίθεται. Ὁ γάρ τοι ἥλιος τὴν μὲν πόαν ἐκ τῆς γῆς γεννῶν καὶ κινῶν δή καὶ ποιεῖν λέγοιτ' ἂν τὴν πόαν· τὴν δὲ γῆν θερμαίνων οὐ τὴν γῆν λέγοιτ' ἂν ποιεῖν, ἀλλ' ἐς τὴν γῆν. Καὶ ὁ βοῦς τὴν ἅμαξαν κινῶν οὐ τὴν ἅμαξαν, ἀλλ' ἐς τὴν ἅμαξαν ἂν λέγοιτο ποιεῖν. Οὕτω δὴ καὶ ὁ Θεὸς Ἀριστοτέλει κινῶν τὸν οὐρανὸν ἐξ ἀνάγκης καὶ ποιεῖν ἐς αὐτὸν δικαίως ἂν. οὐ μέντ' ἂν καὶ ποιεῖν αὐτόν. Σὺ μὲν οὖν ὑπὸ ἀμαθίας εἰκότως καὶ τὰ τοιαῦτα πάσχων φαίνῃ· μὴ μέντοι οἷόν, καὶ τούς γε σοφισμάτων κακουργίας ἐπισταμένους φωρᾷν ταυτό σοι πείσεσθαι.

« Πῶς γὰρ ἄν, φησὶ, καὶ ποιοίη τὰ εἴδη τὴν ἑνότητα ἐν τοῖς πράγμασιν, εἴ γε ταύτην μὲν ποιεῖ τὸ κινοῦν, τὰ δ' οὐκ ἔχει λόγον αἰτίας κινητικῆς; »

(1) *Anal. post.* II, 12.

(2) In codice lacuna est. Exciderunt fortasse verba : ἐξ ἀνάγκης, ἕτερα ἄνευ αἰτίου, vel similia. W. Gass.

(3) *Metaph.* V, 2. Gass

(4) Mèv vocem vel etiam ἐπειδὰν corruptam esse, punctis inter utramque positis cod. indicat ; fort. scrib. ἐπειδὰν γίγνεταί ἅπαν τὸ γιγν. Conf. Arist. *Metaph.* I, 2. Gass.

(5) Conf. *De gener. et corr.* II, 9.

Καὶ ἐκ τούτου οὐκ ἄδηλός ἐστιν Ἀριστοτέλης οὐ δημιουργὸν τοῦ οὐρανοῦ τὸν Θεὸν νομίζων, εἴ γε οὐ τὸ ποιοῦν φησι τῆς ἐν τοῖς πράγμασιν ἐνότητος αἴτιον, ἀλλὰ τὸ κινοῦν. Ὁρῶ μὲν γὰρ ἐν ἅπασιν, ἔνθα δὴ ἕτερον μὲν τὸ ποιοῦν, ἕτερον δὲ τὸ κινοῦν, οὐ τό γε κινοῦν αἴτιον αὐτῶν ὂν τῆς ἑνότητος, ἀλλὰ τὸ ποιοῦν. Τῆς γοῦν τῆς ἁμάξης ἑνότητος οὐχ ὁ κινῶν βοῦς, ἀλλ' ὁ ἁμαξοπηγὸς αἴτιος, τῆς νεὼς οὐχ ὁ ἐρέτης, ἀλλ' ὁ ναυπηγός· ὥστε καὶ, εἴ τι εἴη τὸ αὐτὸ ποιοῦν τε ὁτιοῦν καὶ κινοῦν ἅμα αὐτὸ, οὐ δήπου ᾗ κινοῦν αἴτιον ἂν αὐτὸ εἴη τῆς ἑνότητος, ἀλλ' ᾗ ποιοῦν. Εἰ οὖν ᾗδει ὁ Ἀριστοτέλης τὸν Θεὸν ἅμα μὲν ποιοῦντα τὰ κατ' οὐρανὸν, ἅμα δὲ κινοῦντα, οὐκ ἂν τὸ κινοῦν ἔφασκε τῆς ἑνότητος εἶναι αἴτιον τοῦ· οὔσιν, ἀλλὰ τὸ ποιοῦν, ὡς τὴν ποίησιν πολὺ κυριωτέραν οὖσαν τῆς ἐν τοῖς πράγμασιν ἑνότητος ἢ τὴν κίνησιν· νῦν δ' ἅτε οὐκ εἰδὼς τὸν Θεὸν πρὸς τὸ κινεῖν καὶ ποιοῦντα τὰ κατ' οὐρανὸν, ὑπ' ἀπορίας τοῦ ποιητικοῦ αἰτίου τῷ κινοῦντι ἐς τὴν τῶν ὄντων χρῆται ἑνότητα. Οὐ μὲν δὴ. οὐδ' εἰ καὶ τὸ ὂν τε καὶ ἓν καὶ ἀγαθὸν ἀντιστρέφειν φησὶν Ἀριστοτέλης, ἀνάγκη αὐτῷ φάσκοντι τῆς ἑνότητος τοῖς οὖσι τὸν Θεὸν (1) εἶναι, νομίζειν δὴ καὶ τῆς οὐσίας, εἴπερ μηδὲ βασιλέα (2), ᾧ μάλιστα καὶ στρατηγῷ εἰκάζει τὸν Θεὸν, πολλῶν τε ἐθνῶν ἄρχοντα καὶ πᾶσιν αὐτοῖς ἑνότητά τε δι' ὁμονοίας ἐμποιοῦντα καὶ εὐδαιμονίαν παρασκευῇ ἀγαθῶν, οἰήσεται καὶ τῆς οὐσίας αὐτοῖς αἴτιον εἶναι· ὃν ἡγεῖτ' ἂν ἄλλως εὑρημένοις τε καὶ οὖσιν ἔθνεσιν ἐπιστάντα αὐτὸν δι' οἰκείαν ἀρετήν τε καὶ τοῦ ὡς δεῖ βασιλεύειν ἐπιστήμην τήν τε ὁμόνοιαν αὐτοῖς καὶ εὐδαιμονίαν περιποιεῖν.

« Χαλεπὸν δέ ἐστι πιστεύειν, ὅτι τὰ μὲν οὐράνια σώματα μὴ μόνον κινήσεως, ἀλλὰ καὶ τοῦ εἶναι τοῖς ἄλλοις αἴτια φρονεῖ μεταβαλλόντων μὴ μεταβάλλοντα, τὸ δὲ τὰ οὐράνια σώματα κινοῦν αἴτιον μόνον τοῦ κινεῖσθαι αὐτὰ ἀποφαίνοιτο. »

Τοὐναντίον μὲν οὖν πολὺ χαλεπώτερόν ἐστι πιστεῦσαι, ὡς νομίζων Ἀριστοτέλης δημιουργὸν τὸν Θεὸν τοῦ οὐρανοῦ ἔπειτα οὐδαμοῦ ἐμνήσθη· καὶ ταῦτα πολλαχοῦ τῶν λόγων δεῆσαν, εἴ γε ἐνόμιζε μνησθῆναι. Ἀλλὰ τοῦτο μὲν τοὔνομα, ὥς γε σὺ φῂς, ἀπεδοκίμασε, καίπερ χαλεπὸν ὂν σοι πιστεῦσαί πω, τοὔνομα μόνον, οὐ καὶ τὴν ὀνόματος διάνοιαν ἀπεδοκίμασεν, ᾧ Πλάτων κέχρηται ὀνόματι, πολὺ αὐτοῦ Ἑλληνικώτερος ὢν καὶ τὴν λέξιν ἀκριβέστερος. Ἀλλ' ἔστω τοῦτο μὲν τοὔνομα κατὰ σὲ ἀποδοκιμάσας. Ὀνόμασε δέ που ποιητὴν, ᾧ καὶ αὐτῷ Πλάτων ἐπὶ τοῦ Θεοῦ τούτου κέχρηται ὀνόματι, καὶ σύ που τοῦτο τοῦ ἐημιουργοῦ ὀνόματος μᾶλλον δοκιμάζεις; ὠνόμασε πατέρα, ὥσπερ καὶ τοῦτο Πλάτων τε αὐτὸς καὶ οἱ ἀπὸ Ζωροάστρου τὸν αὐτὸν Θεὸν καλοῦσιν; ἵνα τὰ ἄλλα ἀφῶ, εἰπέ που πρῶτον αἴτιον τῶν ὄντων, ᾗ λέξει οὐδ' ἂν ὁ Μῶμος ἔσχε τι μέμψασθαι; οὐ πᾶσαν μὲν φωνὴν, ᾗ ἂν δῆλος ἐγίγνετο αἴτιον τῆς οὐρανοῦ οὐσίας τὸν Θεὸν νομίζων, ἐπίτηδες φαίνεται πεφυλαγμένος; Ἀρχὴν δὲ μόνον καλεῖ, κινήσει δὴ μᾶλλον καὶ ἡγεμονίᾳ προσῆκον ὄνομα ἢ δημιουργίᾳ, καὶ ἀρχὴν πρώτην. Ἐπεὶ γὰρ αὐτῷ πλείους ἀρχαὶ δοκοῦσιν εἶναι, ὧν οὐδὲν ἕτερον ἀϊδίων οὐσῶν τὸ πασῶν τῶν ἄλλων ἡγούμενον ἀρχῶν, καθάπερ στρατηγὸν, ὡς αὐτός φησι, στρατεύματος, εἰκότως καὶ ἀρχὴν πρώτην καλεῖ τὴν ταῖς ἄλλαις δὴ ἁπάσαις ἐπιτάττουσαν (3)· σὺ τὴν σφαῖραν τήνδε κίνει, σὺ ὑπ' ἐκείνου τοῦ κινητικοῦ κινοῦ, σὺ ὑπὸ τοῦδε, σὺ ὑπ' ἐμοὶ τέταξο, σὲ ἐγὼ κινήσω· ἀντιμερίτην γὰρ τοῖς ἄλλοις τὸν μέγιστον αὐτῷ Θεὸν Ἀριστοτέλης ποιεῖ, ἥκιστα δὴ Θεῷ πάντων βασιλεῖ πρέπον τὸ τοιοῦτον, ὃν χρὴ κατά τε Ζωροάστρην καὶ Πλάτωνα αὐτὸν ἐξαίρετόν τε εἶναι καὶ θεοῖς τοῖς ἄλλοις οὐκ ἐναριθμιον. Ὃ δὴ σὺ φῂς χαλεπὸν εἶναι περὶ Ἀριστοτέλους πιστεῦσαι, πῶς χαλεπὸν οὐ μᾶλλον ἢ καὶ ἀναγκαῖον περὶ τοῦ οὐ γένεσιν εἶναι τῶν ἀϊδίων ἀξιοῦντος (4);

« Εἴ γε ἐν δευτέρῳ τῷ περὶ τοῦ οὐρανοῦ μηδὲν ὡς ἔτυχε μηδὲ ἀπὸ ταυτομάτου ἐνδέχεσθαι ἐν τοῖς ἀϊδίοις εἶναί φησιν, ἀλλὰ διά τινα αἰτίαν (5). »

Αὐτόματον Ἀριστοτέλης, ὃ ἂν μὴ ἕνεκά του γίγνηται ἢ ᾖ, μάλιστα καλεῖ, τῷ τοῦ ὀνόματος ἰτύρῳ καὶ τὴν διάνοιαν συμβάλλων· ὧν γὰρ, φησὶ, δηλοῖ καὶ τοὔνομα, ὅταν αὐτὸ μάτην γίγνηται. Ἀτ' οὖν καὶ αὐτὸς τὰ ἀΐδια ἕνεκά του καὶ κινεῖσθαι καὶ τετάχθαι τιθέμενος εἰκότως καὶ τὸ αὐτόματον τῶν ἀϊδίων ἀπαξιοῖ (6).

« Εἰ γοῦν τῆς πρώτης ἀρχῆς ἀναιρουμένης ἀναιρεῖται τάξις, τάξεως δὲ ἀναιρουμένης ἀναιρεῖται γένεσις, τῆς πρώτης ἀρχῆς ἀναιρουμένης ἀναιρεῖται γένεσις· οὐκοῦν τὴν πρώτην ἀρχὴν, ἣν νοεράν καὶ ἄϋλον τίθησι, καὶ τάξεως ἐν πᾶσι τοῖς οὖσι καὶ γενέσεως ἐν τοῖς γιγνομένοις καὶ τῶν οὐρανίων ἁπάντων ἀρχὴν ἀποφαίνεται, καὶ διήκειν τὸ αἰτιῶδες καὶ ἀρχικὸν αὐτῆς ἀπὸ τῶν οὐρανίων ἐπὶ πάντα τὰ γινόμενα καὶ φθειρόμενα, ὥστε καὶ ταύτης μὴ οὔσης ἂν μηδ' ἂν ἐκεῖνα πάντα δύνασθαι εἶναι (7). »

Οὐδὲ ταύτῃς Ἀριστοτέλους ταῖς φωναῖς αἰσθάνῃ αὐτὸς ὢν ὁ ἐλεγχόμενος; οὐκ ἀκούεις φάσκοντος τῆς ἀρχῆς ἀναιρουμένης ἀναιρεῖσθαι τάξιν, τάξεως δὲ ἀναιρουμένης γένεσιν; ὡς μὲν οὖν τὰ μὲν κατ' αὐτὸν τὸν οὐρανὸν καὶ τὰς κατ' αὐτὸν σφαίρας καὶ τῆς ἀρχῆς ἀναιρουμένης. Τῆς δὲ τάξεως μόνης εἰ δοίη Ἀριστοτέλης τὸν Θεὸν αἴτιον ὅλως τῆς οὐρανοῦ οὐσίας, οὐκ ἂν τῆς ἀρχῆς ἀναιρουμένης τὴν τάξιν ἔλεγεν ἀναιρεῖσθαι, ἀλλὰ ἀναιρεῖσθαι ἂν αὐτὸν τὸν οὐρανὸν τάς τε κατ' αὐτὸν σφαίρας, μᾶλλον δὲ τὸ πᾶν ἢ τὰς ἀϊδίους γε οὐσίας, καὶ αὐτῶν ἀναιρουμένων πολὺ μᾶλλον ἢ τῆς τάξεως, ἀναιρεῖσθαι καὶ τὴν γένεσιν. Οὐ καὶ ἐκ τούτων ἐναργὴς ἐστιν ἡ Ἀριστοτέλους δόξα περὶ τοῦ οὐ δημιουργὸν τοῦ οὐρανοῦ εἶναι τὸν Θεόν; Σοῦ δ' ἐγὼ ἐκεῖνο θαυμάζω λογιζόμενος, ὡς τὰ πλείω τῶν Ἀριστοτέλους χωρίων, ὧν ἐπὶ τὸ ἡμᾶς ἐλέγχειν σὺ προτείνεις, οὐ συνίης καὶ ἐξ αὐ-

(1) Fort. addl. αἴτιον vel ποιητικόν.
(2) Conf. Arist. xi, 10.
(3) *Metaph.* xi, 10.
(4) *Metaph.* viii, 8.—
(5) *De cæl.* ii, 5; *Phys.* ii, 4.
(6) *Phys.* ii, 6.
(7) *Metaph.* i, 2, *De cælo* i., 10; *de mundo* cap. 2.

τῶν τούτων μάλιστα αὐτὸς ὢν ὁ ἐλεγχόμενος, ὡς δῆλος σὺ εἶναι ἥκιστα Ἀριστοτέλους συνιείς. Καί μοι γελᾷν ἔπεισιν, ὅταν σου ἀκούω καὶ ὑπομνήματα ἐς Ἀριστοτέλη αὐχοῦντος συγγράφειν, περὶ ὧν εἰ μοι πεισθῇς, εἰ μέν τί σοι ἤδη συγγέγραπται, πυρὶ δοὺς ἀφανιεῖς, εἰ δ' οὔπω μὲν συγγέγραπται, συγγράφειν δὲ διανοῇ, οὐδ' ἐγχειρήσεις, ὅπως μὴ ἐν οἷς οὐ συνίης ἀσχημονῶν γέλωτα παρὰ τοῖς ἐντυγχάνουσιν ὀφλήσεις· οὔτε γάρ σοι ἐπιστήμην ὁρῶ προσοῦσαν καὶ ἡ διάνοια μάλα ἀμβλεῖα.

« Ὡς εἰ καὶ δυνατόν ἐστι λέγειν, ὅτι ἐν τοῖς διαπεπτωκόσι τῶν μετὰ τὰ φυσικὰ ἴσως τι εἰρηκε περὶ τῆς πρώτης ἀρχῆς πλατύτερόν τε ὁμοῦ καὶ σαφέστερον· διαπεπτωκέναι δὲ πολλὰ λέγουσί τέ τινες καὶ πιθανόν ἐστι. »

Σὺ μέν μοι δοκεῖς παρὰ τῶν νῦν Ἰουδαίων εἰληφὼς τὸ ἐνδόσιμον τὸ τοιοῦτο λέγειν, οἳ γῆς τῆς γε ἡμῖν ἐγνωσμένης οὐδαμοῦ ἔχοντες ἀποδεῖξαι σφετέραν τινὰ ἀρχὴν ἐπὶ τὴν ἄγνωστον καταφεύγουσι, καί φασιν εἶναί τινα ὅπου δήποτε γῆς ἀρχήν τε καὶ Ἰουδαίων καὶ βασιλείαν οὐ φαύλην. Καὶ σὺ τὰ Ἀριστοτέλους; ἅπαντα ἐπειληλυθὼς βιβλία καὶ οὐδ' ὁτιοῦν ἐν αὐτοῖς πρὸς τό σοι σπουδαζόμενον συμβαλλόμενον εὑρών, ἀλλὰ καὶ ἃ ᾠήθης εὑρηκέναι, τούτων ἐκ μὲν τῶν πλειόνων καὶ ἐλεγχόμενος αὐτὸς ἀντὶ τοῦ ἐλέγχειν, τοῖς δ' αὐτὸς προστιθεὶς οὐδὲν ἐπόμενον, ἔστι δ' ἃ καὶ τοῦ Θωμᾶ (1) ἐνείρων οὐκ ἐν καιρῷ, ἀλλὰ τηνάλλως μακρολογῶν, τέως μὲν αὐχεῖς περαίνειν τι οὐδὲν περαίνων, ἀλλ' ἀλεκτρυόνος ἀγενοῦς δίκην, ἔφη Πλάτων, οὐ νενικηκὼς, ἀλλὰ καὶ ἡττώμενος ἀποπηδῶν ἀπὸ τοῦ λόγου ᾄδεις, τελευτῶν δὲ καὶ διαπεπτωκότα ἅττα ἀναπλάττων Ἀριστοτέλους βιβλία ἐπ' ἐκεῖνα καταφεύγεις, ὡς δὴ ἐκεῖ εἰρημένον ἂν Ἀριστοτέλει τι πρὸς τό σοι τοῦτο σπουδαζόμενον. Καὶ σὺ μὲν οὕτω· ἐγὼ δέ σοι λέγω, ὡς ἐπεὶ οὐδ' ἐν τούτοις φαίνεται Ἀριστοτέλης εἰρηκώς τι τοιοῦτον τοῖς βιβλίοις καὶ ταῦτα πολλαχοῦ δεῆσαν εἰπεῖν, οὐδ' ἂν ἐν τοῖς ὑπὸ σοῦ ἐκείνοις ὀνειροπολουμένοις εἶπεν.

« Γελοῖον δέ, εἰ καταψηφιεῖταί τις Ἀριστοτέλους [οὐκ] ἐξ ὧν κακῶς εἶπεν, ἀλλ' ἐξ ων παντάπασιν ἐσιώπησε, μὴ τὴν κατάφασιν μήτε τὴν ἀπόφασιν ἐξειπών. »

Ἀλλ' οὐκ ἐν τῷ ἴσῳ αὐτῷ ἐγίγνετο τό τε τὴν κατάφασιν καὶ τὸ τὴν ἀπόφασιν οὕτω ἀναίδην ἐξειπεῖν. Τῷ μὲν γὰρ τὴν ἀπόφασιν ἐξειπεῖν τὸ τοῦ κωνείου δέος· τῷ γὰρ πολλῷ τῶν Ἑλλήνων δημιουργὸς τοῦ οὐρανοῦ ἐδόκει εἶναι ὁ Θεὸς, ὡς μάλιστ' ἂν δηλώσειεν Ἀριστείδης ὁ Εὐδαίμονος, ὃς ῥητορικὴν μετιὼν καὶ δὴ προσῆκον αὐτῷ διὰ τὸ ἐπιτήδευμα, ἰδίᾳ τι ἐν τοῖς τοιούτοις νεωτερίζειν, ἀλλὰ ταῖς τῶν πολλῶν δόξαις συμφέρεσθαι, τοιάδε ἐν τῷ ἐς Δία λόγῳ φησί· « Ζεὺς τὰ πάντα ἐποίησε, καὶ Διός ἐστιν ἔργα καὶ οὐρανὸς καὶ γῆ καὶ θεοὶ καὶ ἄνθρωποι, καὶ ὅσα δεῖ νοῆσαι περιλαβεῖν καὶ ὅσα ὁρᾶται· αὐτὸν δὲ οὐδεὶς ἐποίησεν οὐδ' ἔστι πρεσβύτερον Διὸς οὐδέν. » Φαίνεται δὲ αὐτὸς καὶ ἅμα ἀΐδιον τὸν κόσμον νομίζων, ὧδε λέγων· « Ἅτε δὴ ὢν χρόνου τε κρείττων καὶ οὐδένα ἔχων τὸν ἀντικόψοντα αὐτός τε ὁμοῦ καὶ ὁ κόσμος ἦν· οὕτω ταχὺ πάντα ἐποίησεν. » Ἀλλ' Ἀριστείδης μὲν οὕτω οἷός τε ἐγένετο, ἐς ταυτὸ συνελθεῖν δημιουργίαν τε τὴν τοῦ κόσμου καὶ ἀΐδιότητα· ἡ δ' Ἀριστοτέλους σοφία τοσούτῳ καὶ τῆς Ἀριστείδου θεολογίας ταύτης χείρων, ὥστ' αὐτὸν διὰ τὴν ἀΐδιότητα τὴν δημιουργίαν ἀπεστράφθαι. Ἀλλ' ὃ λέγω ἔκ τε Ἀριστείδου, δήλη ἡ περὶ τοῦ τοιούτου τῶν πολλῶν Ἑλλήνων δόξα, καὶ ἔτι πολὺ πρότερον ἐξ Ὀρφέως, « ἐκ Διὸς τὰ πάντα φάσκοντος τετύχθαι (2). » Οἱ δὲ Ἕλληνες ποιηταῖς μὲν εἴ τί που ἀπηχὲς ἤδετο, συγγνώμην ἔνεμον ἐς τὰς ὑπονοίας καταδυομένοις· τοῖς δὲ σοφοῖς ποιουμένοις εἶναι καὶ σφόδρα ἐχαλέπαινον. Καὶ Ἀναξαγόρας μὲν ἐκινδύνευσεν ἐπ' ἀσεβείᾳ ἐγκαλούμενος, οὗ καὶ ἀποδράντος Περικλῆς αὖ ἐκινδύνευσεν, ἀεὶ προφερόντων τῶν ἐχθρῶν αὐτῷ τὰς μετὰ Ἀναξαγόρου διατριβάς· ὥστε εἰ μὴ διὰ τὸν Πελοποννησιακὸν πόλεμον οὐκ ἄνευ δίκης ἐπὶ τούτοις κατέστη (3). Σωκράτης δὲ καὶ ἐθανατώθη τῷ κωνείῳ ἐπὶ τοῖς αὐτοῖς συκοφαντηθείς. Οὔκουν οὐδ' Ἀριστοτέλει ἀσφαλὲς ἐγίγνετο τὸ τὴν ἀπόφασιν τῆς ὑπὸ Θεοῦ οὐρανοῦ δημιουργίας ἐξειπεῖν, τὴν δὲ δὴ κατάφασιν τί ἂν ἄλλο ἐκώλυεν, εἰ μὴ τὸ μὴ γινώσκειν οὕτω; Μῶν ῥήτορα ἐν τούτῳ εὐθύνομεν δίκας τινὰς λέγοντα, ἢ δήμοις περὶ πολέμου ἢ εἰρήνης συμβουλεύοντα, ᾧ πάνυ ἀναγκαῖον ἐγίγνετ' ἂν ἐν τοῖς τοιούτοις καὶ θεολογίας ἀκριβοῦς τινος μνησθῆναι; ἄνδρα εὐθύνομεν ἐπαγγελλόμενον ἐπιστήμην τὴν τῶν ὄντων, ᾗ ὄντα ἐστὶ διδάξαι. Τίς οὖν ἂν πιστεύσειεν, εἰδότα Ἀριστοτέλη τὸν Θεὸν δημιουργὸν τοῦ οὐρανοῦ ἔπειτα πανταχοῦ τῶν βιβλίων ἀποσιωπῆσαι, καὶ μήτε ποιητὴν αὐτοῦ, μήτε πατέρα, μήτε αἴτιον φάναι, μήθ' ὅλως μηδέν, ᾧ ἂν δῆλος ἐγίγνετο καὶ τοιοῦτό τι δοξάζων; Οὐκ· ἀλλὰ περὶ μὲν σπέρματος καὶ ἐμβρύων καὶ ὀστρείων καὶ τῶν παραπλησίων ᾠήθη δεῖν ἡμᾶς κατατείνειν, καὶ τοῦ δέοντος περαιτέρω πολυπραγμονῶν. τῶν δὲ δογμάτων τοῦ καλλίστου καὶ παντὶ ἀνθρώπῳ εἰδέναι ἀναγκαιοτάτου οὐδ' ὁπωστιοῦν μνησθῆναι; Καὶ πῶς ἂν ἔτι τὰ ὄντα, ᾗ ὄντα ἐστὶν, ἡμᾶς ἐδίδαξε μὴ διδάξας καὶ ὅθεν τὴν οὐσίαν ἴσχει; εἰ δὲ δὴ καὶ πολλαχοῦ τῶν λόγων δεῆσαν, εἴ γε ἐνόμιζε μνησθῆναι, ἔπειτ' οὐκ ἐμνήσθη, τίς λείπεται ἔτι λόγος πλὴν τὸ μὴ νομίζειν οὕτω; Ἡμεῖς μέντοι φαμὲν, οὐ μόνον σεσιγηκέναι Ἀριστοτέλη τὸ τοιοῦτο, ἀλλὰ καὶ φωνὰς ἐνηκέναι, ἀφ' ὧν, κἂν εἰ μὴ ἀναίδην γε ἀπέφησεν, ἀλλ' οὖν σαφέστατα ἀλίσκεσθαι τὴν ἀπόφασιν, οὐ τὴν κατάφασιν δοξάζων, ὥσπερ γε ἤδη καὶ δέδεικται ἡμῖν. Σὺ μὲν γελοῖος μᾶλλον ἂν εἶ, οὔθ' ὧν ἡμεῖς φαμεν φωνῶν συνιείς καὶ ἀθῶον ἀφιεὶς Ἀριστέλη, οὗ δὴ εἰπεῖν δέον οὐκ εἶπεν, ἀλλ' ἐκείνοις τοῖς Πυθαγορείοις, ὡς ἔοικας, ἕπεσι προσεσχηκώς·

(1) Hoc de Thoma Aquinate intelligo, quem notum habebat Gennadius cujusque scripta quædam Græce interpretatus est. W. Gass.

(2) *Orphica* ed. Herm. l. c. § 68.

(3) Diogen. Laert. II, § 12; Plut. *Vita Pericl.* § 4—5.

Μηδ' ὕπνον μαλακοῖσιν ἐπ' ὄμμασι προσδέξα-
[σθαι,
Πρὶν τῶν ἡμερινῶν ἔργων τρὶς ἕκαστον ἐπελ-
[θεῖν,
Πῇ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτε-
[λέσθη (1);

« Ὅτι δὲ τοῦτ' αὐτοῖς ἐγκαλεῖ, δῆλον ἐξ αὐτῆς Ἀριστοτέλους τῆς λέξεως· εἰπὼν γάρ, « Ἄτοπον δὲ καὶ τὸ γένεσιν ποιεῖν ἀΐδίων ὄντων, μᾶλλον δέ τι τῶν ἀδυνάτων, » ἐπάγει (2)· « Οἱ μὲν οὖν Πυθαγόρειοι, πότερον οὐ ποιοῦσιν ἢ ποιοῦσι γένεσιν, οὐ δεῖ διστάζειν· φανερῶς γὰρ λέγουσιν ὡς ἐκ τοῦ ἑνὸς συσταθέντος, εἶτ' ἐξ ἐπιπέδων, εἴτε ἐκ χροιᾶς, εἴτε ἐκ σπέρματος, εἴτε ἐξ ὧν ἀποροῦσιν εἰπεῖν, εὐθὺς τὸ ἔγγιστα τοῦ ἀπείρου, ὅτι εἴλκετο καὶ ἐπεραίνετο ὑπὸ τοῦ σπέρματος (3). » Τοῦτο δ' ἐστὶ τὸ ἐν τοῖς φυσικοῖς γίγνεσθαι· καὶ πάλιν μετ' ὀλίγα · « Τοῦ μὲν περιττοῦ γένεσιν οὔ φασιν, ὡς δῆλον ὅτι τοῦ ἀρτίου γένεσιν, τὸν δ' ἄρτιον πρῶτον ἐξ ἀνίσων τινὲς κατασκευάζουσι τοῦ μεγάλου καὶ μικροῦ ἰσασθέντων. Ἀνάγκη οὖν πρότερον ὑπάρχειν τὴν ἀνισότητα αὐτοῖς· τοῦ ἰσασθῆναι· εἰ δ' ἀεὶ ἦσαν ἰσασμένα, οὐκ ἂν ἦσαν ἄνισα πρότερον· τοῦ γὰρ ἀεὶ οὐκ ἔστι πρότερον οὐδέν, ὥστε φανερὸν, ὡς οὐ τοῦ θεωρῆσαι ἕνεκα ποιοῦσι τὴν γένεσιν τῶν ἀριθμῶν (4), » ἀλλ' ὅτι δηλονότι καὶ φύσεως οὕτως ἔχουσι καθ' αὐτοὺς καὶ ὀντότητος. Εἰ μὲν οὖν ἐν τούτῳ τῷ μέρει συκοφαντεῖ Πυθαγορείους Ἀριστοτέλης, ἄλλος ἂν εἴη λόγος· ὅτι δὲ οἴεται τοιαύτην τινὰ γένεσιν λέγειν τῶν ἀριθμῶν αὐτούς, ἐν ᾗ τὸ πρότερον καὶ ὕστερον καὶ ἡ μεταβολὴ, τουτέστι τὴν φυσικὴν, ἣν αὐτὸς ἐν τῇ περὶ οὐρανοῦ κυρίως καλεῖ γένεσιν, καὶ διὰ τοῦτ' ἐπιτιμᾷ σφίσιν, ἀΐδίους μὲν λέγουσι τοὺς εἰδικοὺς ἀριθμοὺς, γεννῶσι δὲ αὐτοὺς οὕτω, τοῦτο καὶ τυφλῷ, φασὶ, δῆλον ἂν ἐκ τῶν προσεχῶς εἰρημένων Ἀριστοτέλει γένοιτο. »

Σὺ μὲν καὶ τυφλῷ φῂς δῆλον εἶναι, ὃ λέγεις· ἡμεῖς δέ φαμεν, ὡς τυφλῷ μὲν τὴν διάνοιαν δόξαις ἂν ἴσως λέγειν τι, ἀνδρὶ δὲ τῆς Ἀριστοτέλους καὶ λέξεως καὶ διανοίας συνιέντι οὐδ' ὁτιοῦν σὺ φαίνῃ λέγων νοῦ ἐχόμενον. Καὶ πρῶτον εἰπὲ, τίνα σὺ γένεσιν φυσικὴν Ἀριστοτέλη φῂς οἴεσθαι τοὺς Πυθαγορείους λέγειν τῶν ἀριθμῶν; ἆρ' οὐ τὴν χρόνῳ ἀρχομένην; εἶθ' οὕτω μωρὸν σὺ ἡγῇ Ἀριστοτέλη, ὥστε ἢ οἴεσθαί τινας ἅμα μὲν ἀΐδίους τοὺς ἀριθμοὺς νομίζειν, ἅμα δὲ καὶ χρόνῳ ἠργμένους, ἢ καὶ μὴ τοῦτο οἰόμενον ὅμως συκοφαντεῖν ἂν ὡς τινας οὕτω νομίζοντας καὶ κινδυνεύειν δυοῖν θάτερον, ἢ δόξαν μωρίας οἴεσθαι ἢ μηδένα ἂν λήσειν συκοφαντοῦντα; Οὐ πάντως εἰώθατε οἵ γε συκοφαντοῦντες ὑμεῖς, ἐφ' οἷς ἂν καὶ ὀντινοῦν οἴεσθε συκοφαντοῦντες λήσειν, ἐπὶ τούτοις καὶ συκοφαντεῖν, καὶ οὐκ ἐφ' οἷς ἂν μηδένα λήσειν; Ἀλλ' οὔτε οἴεται Ἀριστοτέλης, τοὺς Πυθαγορείους ἅμα μὲν ἀΐδίους τοὺς ἀριθμοὺς ἅμα δὲ καὶ χρόνῳ ἠργμένους νομίζειν, οὔτε συκοφαντεῖ ὡς οὕτω ἂν νομίζοντας. Ἀλλὰ συκοφαντῶν νῦν Ἀριστοτέλη οὐκ ἐν δίκῃ συκοφαντεῖς· ὅτε δὲ τὸν φίλον συκοφαντεῖς, τί τοὺς ἄλλους παρὰ σοῦ χρὴ προσδοκᾶν; ἀλλ' ἥ γε Ἀριστοτέλους ἐν τούτῳ τῷ χωρίῳ διάνοια ἥδε ἐστί. Γενέσεις οἱ γεωμέτραι ἐνίων σχημάτων ὑποτίθενται τοῦ θεωρεῖν μόνον ἕνεκα, καὶ οὐ ταύτας καὶ τῷ ὄντι τῶν αὐτῶν σχημάτων νομίζοντες γενέσεις, οἷον καὶ ἐκεῖνο τὸ ἡμικυκλίου περιαγωγῇ τὴν σφαῖραν γίγνεσθαι· οὐ γὰρ πάντως ἡ ἡμικυκλίου περιαγωγὴ τῆς σφαίρας αἰτία (οὐ γὰρ οὐδ' ἡ φύσις τῇ κολοκυνθίδι ἡμικυκλίου περιαγωγῇ σφαιροῖ), ἀλλὰ μόνου τοῦ θεωρεῖν ἕνεκα περὶ τῆς σφαίρας τὴν τοιαύτην ὑποτίθενται γένεσιν. Πρὸς οὖν τι τοιοῦτο ἀποβλέπων καὶ Ἀριστοτέλης περὶ τῶν Πυθαγορείων φησὶν, ὡς οὐ τοῦ θεωρῆσαι ἕνεκα ποιοῦσι τὴν γένεσιν τῶν ἀριθμῶν, ὡς οὐ καὶ τῷ ὄντι αἰτίαν τινὰ τοῦ γε εἶναι ἕνεκα αὐτοῖς προσάπτοντες. ἀλλ' ὅτι δηλονότι καὶ φύσεως οὕτως ἔχουσι καθ' αὐτοὺς καὶ ὀντότητος· τοῦτο δ' ἐστὶν ὡς καὶ ἀπ' αἰτίας τινὸς ἔχουσι τὴν ὕπαρξιν, ὃ δὴ Ἀριστοτέλης ἐπὶ τῶν ἰδίων οὐσιῶν τε καὶ εἰδῶν ἥκιστα προσίεται. Τὰ δ' ἀνωτέρω τούτων λεγόμενα, « Ὡς τοῦτο δ' ἐστὶ τὸ ἐν τοῖς φυσικοῖς γίγνεσθαι, καὶ ὡς ἀνάγκη οὖν πρότερον ὑπάρχειν τὴν ἀνισότητα αὐτοῖς τοῦ ἰσασθῆναι (5), » δῆλά ἐστιν οὐχ οὕτω Ἀριστοτέλει λεγόμενα, ὡς τοὺς Πυθαγορείους ταῦτα οἰομένους· ἀλλ' αὐτὸς ταῦτα Ἀριστοτέλης ὡς δὴ ἑπόμενα τοῖς ἐκείνων ἐπιφέρει λόγοις, ὡς ἐς ἄτοπον ἀπάγων τὰ ἐκείνοις λεγόμενα διὰ τὸ αὐτὸν τῇ κατ' αἰτίαν γενέσει, ἣ ἡμεῖς φαμεν, καὶ τὴν χρονικὴν ἐξ ἀνάγκης ἐπισθαι δοξάζειν· διὰ γὰρ τοῦτο καὶ τοῖς εἰσαγομένοις τὴν γε ἀνισότητα ἀξιοῖ ἀνάγκην εἶναι ὑπάρχειν πρότερον τοῦ ἰσασθῆναι. Ὅτι μὲν οὖν ἀνάγκη ἅπαν τὸ ὁπωσδήποτε γιγνόμενον καὶ ἐκ μὴ ὄντος ἂν γίγνεσθαι, οὐδεὶς ὅστις οὐ φήσει, ἀλλὰ καὶ ἀεὶ ἐξ ἔργῳ μὴ ὄντος γίγνεσθαι ἅπαν τὸ γιγνόμενον. εἴ γε τὴν τῶν ἀΐδίων ποιοῦντες γένεσιν ἀξιοῦσιν· ἀλλὰ ταῦτα ἐκ δυνάμει μόνον μὴ ὄντων ἂν γίγνεσθαι, καὶ τὸ πᾶν τόδε ἅμα μὲν ἀΐδιον ἅμα δὲ ὑπὸ Θεοῦ παρῆχθαί τε καὶ παράγεσθαι νομίζοντες καὶ δυνάμει μὴ ὂν ἀεὶ νομίζουσιν, ὡς δὴ οὐκ ἂν ὄν, εἰ μὴ ὑπὸ τοῦ πεποιηκότος παρήγετο (6). Καὶ Πλάτωνα τοὺς γεννητοὺς θεοὺς οὐκ ἀθανάτους φησὶ τὸ πάμπαν οὐδ' ἀλύτους, ἅτε δήπου καὶ μὴ ὄντας ἂν τῇ γε δυνάμει διὰ τὸ γεγεννῆσθαι, οὔτι μὴν λυθησομένους διὰ τὴν τοῦ πεποιηκότος Θεοῦ βούλησιν. Ἀλλ' Ἀριστοτέλης τὴν ἐκ δυνάμει μόνον μὴ ὄντων ταύτην γένεσιν οὐ προσιέμενος ἀεὶ τοῖς ἐπ' ἀΐδίων γένεσιν ποιοῦσι καὶ Πυθαγορείοις καὶ Πλάτωνι ἐπιφύεται, ὡς ἀναγκαῖόν που ὂν καὶ ἐξ ἔργῳ μὴ ὄντος πρότερον γίγνεσθαι ἅπαν, ὅ τι ἂν γίγνηται, ὥστε μηδ' ἂν ἐγχωρεῖν γένεσιν ἐπ' ἀΐδίων. Ὅτι δὲ τοιαύτη διάνοια τῆς Ἀριστοτέλους ταύτης δόξης, δηλοῖ ὁ αὐτὸς καὶ ἐν τοῦ οὐρανοῦ τῆς ἀϊδιότητος τῇ ἀποδείξει, ἣν οὐκ ἄλλως ἢ τὴν τοῦ ἀεὶ εἶναι ἔχειν δύναμιν τῷ οὐρανῷ διδοὺς οὕτω ἀποδείκνυσι, δηλαδὴ ὡς τοῦ μὴ εἶναι ἂν ζύνα-

(1) Vid. Pythagor. *Aur. carm.* v. 40—42.
(2) *Metaph.* XIII, 3; *De gener. et corr.* II, 9.
(3) *Metaph.* ibid. Sed pro ὑπὸ τοῦ σπέρματος legitur ὑπὸ τοῦ πέρατος.
(4) *Metaph.* cap. 4 ab init. —
(5) Ibid. cf. *Metaph.* IX. 2.
(6) Conf. *Metaph.* IV, 6.

μὲν οὐκ ἔχοντι, οὐκ ἔχοντι δὲ τῷ οὐρανῷ καὶ τοῦ μὴ εἶναι οὐδ' ἠντινοῦν δύναμιν, οὐδ' ἂν γένεσιν οἷόν τε γένοιτο αὐτῷ ὑποσχεῖν, οὐδ' αἰτίαν ὅλως τῆς οὐσίας· αἱ γὰρ αἰτίαι τῶν καὶ μὴ εἶναι δυναμένων, οὐ τῶν γε ὅλως μὴ εἶναι ἀδυνάτων (1). Ἀλλὰ γὰρ ἔκ τε ἄλλων συχνῶν, ὧν ἔνια καὶ ὑπὸ σοῦ ἐπὶ τῷ ἡμᾶς ἐλέγχειν προενηνεγμένα ἐς τοὐναντίον σοι περιέστη, καὶ πάνυ δῆλός ἐστιν Ἀριστοτέλης οὐ δημιουργὸν, οὐ ποιητὴν, οὐκ αἴτιον ὅλως τῆς οὐρανοῦ οὐσίας τὸν Θεὸν νομίζων, καὶ μάλιστα ἐκ δυοῖν τούτοιν, τοῦ τε τὴν ἐπ' ἄπειρον γένεσιν ἀποδοκιμάζειν, ὃ σὺ ὑπὸ ἀσυνεσίας κακῶς ὑπολαμβάνεις, καὶ αὐτοῦ τῆς οὐρανοῦ ὀϊδιότητος ἀποδείξεως τοῦ τρόπου, καὶ τούτου διχῇ· τῷ τε μὴ ἀπ' αἰτίου αὐτὴν ἀποδεικνύναι (δέον ἄν, εἴ γε ἤρετο καὶ αἴτιόν τι εἶναι αὐτοῦ), τῷ τε τὴν τοῦ ἀεὶ εἶναι διδόντα τῷ οὐρανῷ δύναμιν, μηκέτι καὶ τὴν τοῦ μὴ εἶναι αὐτῷ δύναμιν ὑπολείπειν. Σὺ δὲ δὴ πολλὰ καμὼν ἦνυσας μὲν οὐδὲν ἔξω τοῦ καὶ συλλαβεῖν τι ἡμῖν, ἐφ' οἷσπερ λέγομεν, αὐχεῖς δὲ μόνον θαμὰ, ὡς δή τι κατορθῶν κενά τε καὶ καταγέλαστα αὐχήματα· ὃς γε οὐκ αἰσθάνῃ οὐ μόνον οὐ κατορθῶν, ἀλλὰ πρός γε ἔτι καὶ τοῖς σαυτοῦ βέλεσιν ἡττώμενος.

« Εἰ γὰρ ἀρκεῖ καθάπαξ ἡ πρώτη πάντων αἰτία πρὸς τὸ προάγειν πάντα τὰ ὁπωσοῦν αὐτῆς μετέχοντα τὸ ἀπείρου εἶναι δυνάμεως, τί δεῖ τοῦ κοινοῦ ὄντος; καὶ συνάγειν δὲ ἅπαντα πρὸς ἑνότητα ἱκανή ἐστιν ἡ τῆς πρώτης αἰτίας· ὁμοιότης ἐν τοῖς πράγμασιν ἱδρυμένη, εἴπερ κατά τινα ἀναλογίαν καὶ τάξιν προήχθησαν, ἧτις ἐν τῷ πῇ μὲν κοινωνεῖν, πῇ δὲ διαφέρειν αὐτὰ ἀλλήλων συνέστηκεν ἐν αὐτοῖς (2). »

Ἀλλ' οὐ καὶ Ἀριστοτέλη τοῦτ' ἔστιν εἰπεῖν, ὃς ἓν ἑνὸς αἴτιον εἶναι ἀξιοῖ· διὸ δὴ καὶ ταῖς κατ' οὐρανὸν κινήσεσι πλείονα οὔσας (3) ἄλλο ἄλλῃ κινήσει κινοῦν ἐφίστησιν, ἵνα δὴ μὴ ἓν κινοῦν πλείους γε εὐθὺς κινήσεις κινῇ. Εἰ μὲν οὖν ἀφ' ἑνὸς αἰτίου καὶ Ἀριστοτέλης τὰ ὄντα ἅπαντα παρῆγε, κἂν ἐφ' ἓν αὐτὰ γένος καὶ αὐτὸς ἀνῆγεν, ἵνα καὶ ἓν ἑνὸς αἴτιον κατὰ τὸ αὐτοῦ ἀξίωμα ἦν· νῦν δὲ διὰ τὸ μὴ ἀφ' ἑνὸς αἰτίου τὰ ὄντα παράγειν, ἢ μηδὲ παράγειν ὅλως, εἰκότως καὶ ᾠήθη μηδὲν οἱ προσίστασθαι πρός γε τὸ μὴ ἐφ' ἓν γένος τὰ ὄντα ἀναγαγεῖν. Ἡμεῖς δ', οἷς βεβαιότατα ἀφ' ἑνὸς Θεοῦ τὰ ὄντα πάντα παρῆχθαί τε καὶ παράγεσθαι δοκεῖ, οὐδ' ἂν δυναίμεθα μὴ οὐ καὶ ἑνὶ αὐτὰ κοινῷ παραλαμβάνειν γένει, ἵνα δὴ καὶ ἓν μὲν ἑνὸς αἴτιον ᾖ· οὐ μέντοι γε καὶ ὁμερὲς ἀμεροῦς, ἀλλὰ ἀμερὲς ἓν, ἑνὸς μὲν, μεριστοῦ δέ. Οὐ γὰρ μεμπτὸν τὸ Ἀριστοτέλους τοῦτο ἀξίωμα, ἦν αὐτῷ καλῶς τις καὶ ἐπισταμένως χρῆται. Ἦν δὲ σὺ ψῇς τῆς πρώτης αἰτίας ὁμοιότητα ἐν τοῖς οὖσιν ἱδρυμένην ἐς ἑνότητα αὐτὰ συνάγειν, σὺ μὲν ἔοικας οὐκ εἰδότι ὅ τι λέγεις. Κατὰ τί γὰρ ἂν ἡ τῆς πρώτης αἰτίας, αὕτη ὁμοιότης ἐν τοῖς οὖσιν ἱδρυμένη εἴη; Ἡμεῖς μέντοι φαμὲν, ὡς εἰ μὲν ἄλλως εὑρημένοις τοῖς οὖσιν ὁ Θεὸς ἐπιστὰς καί τινα αὐτοῖς ὁμοιότητα ἑαυτοῦ ἐνετίθει, ἴσως ἂν ἄλλη πῃ αὐτοῖς ἐνετίθει τὴν ὁμοιότητα· ἐπεὶ δ' αὐτός ἐστιν ὁ τὸ εἶναι αὐτοῖς παρέχων, ἀμήχανον μὴ οὐ πολὺ πρότερον αὐτῷ τῷ εἶναι τὴν τε ὁμοιότητα ἑαυτοῦ τοῖς οὖσι καὶ τὴν ἑνότητα παρέχειν. Ὃ γὰρ πρῶτον δίδωσι τοῖς οὖσι, δίδωσι δ' οὐδὲν πρότερον τοῦ εἶναι, τοῦτ' ἂν καὶ ἅμα μὲν ὅμοιον ἑαυτῷ, ᾗ ἂν ἐνεχώρει, ἅμα δὲ καὶ ἓν διδοῖ. Ἐπὶ δὲ τούτοις καὶ τίς ἐστιν ὁ ἄλλο μὲν ἐννοῶν, ὅταν τάδε εἶναι λέγῃ; ὥσπερ ἐπὶ πάντων τῶν ὁμολογουμένως ὁμωνύμων διατιθέμεθα· οὐκ ἐπὶ πάντων τῶν γε ὄντων τὸ αὐτὸ εἶναι ἐννοοῦμεν, ὅταν εἶναι αὐτῶν ὁτιοῦν λέγωμεν; Ἀλλὰ τὸ Ἀριστοτέλη σφάλλον καὶ τοὺς Ἀριστοτέλει περὶ τούτου προσέχοντας ἐκεῖνό ἐστι μάλιστα, ὅτι οὐκ ἐνενόησαν, ὡς ἅπαν γένος (4) λόγῳ μὲν ἐπίσης ὑπὸ τῶν εἰδῶν μετέχεται τῶν ἑαυτοῦ, τῷ δὲ πράγματι οὐκ ἐπίσης. Τὸ γοῦν ζῶον ὑπὸ τοῦ λογικοῦ τε καὶ ἀλόγου λόγῳ μὲν ἐπίσης μετέχεται, τῷγε κατὰ παντὸς καὶ ἑτέρου αὐτοῖν κατηγορεῖσθαι, οὐ μέντοι καὶ τῷ πράγματι ἐπίσης· μᾶλλον γὰρ ζῶον τὸ λογικὸν, ἐπεὶ καὶ μᾶλλον ζωὴ ἡ γε λογικὴ, ἡ δ' ἄλογος μίμημά τι ζωῆς τῆς λογικῆς. Καὶ ἡ οὐσία δὲ λόγῳ μὲν ἐπίσης ὑπό τε τῆς ἀθανάτου μετέχεται καὶ τῆς θνητῆς, τῷ κατὰ πάσης· καὶ ἑκατέρας αὐτοῖν κατηγορεῖσθαι, τῷ γε μὴ πράγματι ἡ ἀθάνατος μᾶλλον οὐσία τῆς θνητῆς· μίμημα γάρ τι ἡ θνητὴ τῆς ἀθανάτου, ἧς καὶ τὴν ἀθανασίαν ταῖς ἀεὶ ἑτέρων διαδοχαῖς μιμεῖται. Ὅλως τε ἅπαν γένος ἐς τελεώτερόν τέ τι ἀεὶ καὶ ἀτελέστερον εἶδος διαιρούμενον ἀμήχανον μὴ οὐ καὶ μᾶλλον ὑπὸ τοῦ τελεωτέρου μετέχεσθαι τῷ γε πράγματι, οὐ τῷ λόγῳ, καὶ οὐδὲν κωλύεσθαι ὑπὸ τοῦ τοιούτου, μὴ οὐ καὶ ταυτὸ γένος τοῦ τελεωτέρου καὶ τοῦ ἀτελεστέρου εἶναι. Οὔκουν οὐδ' εἰ ἡ οὐσία τοῦ προσόντος μᾶλλον ὄν, κωλύσει τι τὸ ὂν μὴ οὐ καὶ γένος αὐτοῖν εἶναι ἀμφοῖν. Ἀριστοτέλης δ' οὐκ ἐννοήσας τὸ τοιοῦτο τὸ (5) λόγῳ συμβαῖνον, ᾠήθη καὶ τῷ πράγματι συμβαίνειν δεῖν, ἐπ' οὐδενὸς ἂν συμβαῖνον γένους· οὔκουν, ἦν γέ τις καλῶς τὰ ὄντα ἐπισκοπῇ. Ἐκεῖνα δ' ἂν ἡμεῖς τοῦ ὄντος ἐν δίχῃ ὑπεξαιροῖμεν καὶ ὁμωνύμως ἂν λέγοιμεν τάς τε στερήσεις καὶ φθορὰς καὶ ὅλως τὰ κακὰ, ὧν γε δὴ οὐδ' ὁ Θεὸς αἴτιος· ἅτε γὰρ τοῦ ὄντος τὰ τοιαῦτα ἀποπτώσεις οὐδ' ἂν ἐν δίχῃ τοῦ ὄντος τι μετέχοι, εἰ μὴ καθ' ὅσον που περὶ ὄντα ἄττα καὶ αὐτὰ συμβαίνει. Τοσαῦθ' ἡμεῖς σοι καὶ ἐν τῷ παρόντι περὶ τῆς τοῦ ὄντος οὐχ ὁμωνυμίας· φαμὲν· πρὸς δὲ τὰς ἄλλας σὰς ὀβολεσχίας ἡμεῖς μὲν τέως φαμὲν οὐδὲν, ἄλλοις δὲ παρίεμεν ἀπὸ τούτων ὁρμωμένοις κἀκείνων σου τῆς ἀσθενείας ῥᾳδίως διαισθάνεσθαι.

« Πῶς δ' ἂν καὶ μιᾷ καταφάσει δύο ἀντιφάσεις ἀντικείοιντο, ὅπερ ἀνάγκη συμβαίνειν, εἴ γε ταυτὸν εἴη ταῦτα; εἶτα τίς ἀγνοεῖ, ὅτι τὸ μὲν, Οὐδείς ἐστιν ἄνθρωπος λευκὸς, ἀντίκειται τῷ, Τις ἄνθρωπος λευκὸς, ἀληθεῖ ψεῦδος; τὸ δὲ, Οὐκ ἔστι λευκὸς ἄνθρωπος, ἅμα ἀληθεύει τῷ, Τίς ἔστι λεύκὸς ἄνθρωπος· ἀληθὲς γάρ ἐστι τόν τινα ἄνθρωπον εἶναι λευκὸν εἰ-

(1) *Metaph.* VIII, 8 ; XI, 6 ; *De cœlo* I, 11, 12 ; *De gener. et corr.* II, cap. 9.
(2) Arist. *Metaph.* XI, 8 ; *De mundo* cap. 6.
(3) Arist. *De cœl.* II, 3, 4. —
(4) *Metaph.* IV, 28.
(5) Arist. *Metaph.* IV, 12. —

πεῖν καὶ τὸ ξύλον ἢ ὁτιοῦν, ὡς οὐκ ἔστι λευκὸς ὄνθρωπος, ἂν τε λευκὸν ᾖ ἄν τε μὴ λευκόν (1). »

rum remissionem, an vere acceperis dubitationem aliquam habeas, quæ tibi sacerdotali gratia concedatur? itemque alia omnia ecclesiastica præscribas mysteria? Non ita est profecto, non ita est; fidelis enim qui promisit se nobiscum omnibus diebus futurum, usque ad consummationem sæculi. Atque nos quidem hæc a sanctis apostolis et eorum successoribus accepimus, et ita retinemus, ut a sententia hac dimoveri nequeamus, et rationem eorum reddimus. » Quod autem Domini de mysteriis sermo, per modum recitationis prolatus, ad donorum sanctificationem sufficiat, nemo apostolorum, nemo doctorum dixisse cernitur. Verum quod ille quidem semel ab illo prolatus, hoc ipso quod ab illo pronuntiatus est, perinde atque in rerum fabricatione habitus sermo semper operetur, hoc ait aureæ ille linguæ Joannes. Quod vero nunc a sacerdote prolatus, hoc ipso quod ab eo dicatur, hoc possit, a nullo licet ediscere: quandoquidem nec ipse opificis operatur sermo, quia in singulis, quæ fiunt ab aliquo homine referatur: sed quia semel est a Deo enuntiatus. Quin etiam nec ipsi quidem dicent operari Dominicum verbum, a quovis simpliciter prolatum, neque absque altari. Si igitur sacerdote est opus et altari, et aliis quæ ad id pertinent, quidni et precibus, benedictione, et per eam adventa sancti Spiritus, qui omnia perficit et consummat mysteria? Adhæc, sacer ille Dionysius testimonio suo nostros ritus confirmaturus accedat. In theoria enim mysterii synaxeos: « Ubi sacra, inquit, Dei opera hierarcha celebravit, ad consecrationem accedit; et prius quidem pro ea excusationem affert exclamans: « Tu dixisti: *Hoc facite in meam commemorationem;* dein ad imitationem Dei compositæ hujus consecrationis dignus fieri precatur et ad similitudinem ipsius Christi divina peragere, et impertiri sanctissime: ac sacra percepturos, sacrosancte percipere. Deinde sic divinissima peragit sacra, atque oculis objicit, quæ celebravit per sacra proposita. Nam pane qui opertus erat et indivisus, patefacto et in multas partes distributo, unitateque calicis omnibus dispertita, symbolicæ unitatem multiplicat et distribuit. » Et post pauca: « Percepta ac data communione hierarcha in sacram gratiarum actionem desinit. »

Hæc cuivis volenti contueri licet, cum quibusnam consentiant, iisne quæ a nobis peraguntur, aut iis quæ a Latinis. Nos enim sequentes sacros apostolos et doctores, juxta traditas ab iis expositiones et hunc item sacrorum interpretem, sacra Dei opera celebramus, id est, ut iste ait, Dei pro nobis incarnationem, ejus pro nobis mortem, divinam baptizatorum generationem, divinam adoptionem, servandis mandatis deificationem: ita deinde ad consecrationem venientes, prius quidem pro hac excusationem afferimus, et exclamamus ipsa Dominica verba, quæ tum enuntiavit: et subdimus,

νεται. Ἢ σύ γε τυχὸν ἐκ τούτου, καὶ τὸ βάπτισμα ὑποπτεύσειας, δι' εὐχῶν ὁμοίως καὶ ἐπικλήσεων τελειούμενον, καὶ τὴν τῶν ἁμαρτιῶν ἄφεσιν, εἰ ἀληθῶς ἐδέξω, διαταγμόν τινα σχοίης διὰ τῆς ἱερατικῆς χάριτος ἐπιδιδομένην, καὶ τἄλλα πάνθ' ὁμοίως ἐκκλησιαστικὰ μυστήρια διαγράψειας. Ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστι· πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος, μεθ' ἡμῶν ἔσεσθαι τὰς ἡμέρας ἁπάσας, ἄχρι τῆς συντελείας τοῦ αἰῶνος. Ἡμεῖς μὲν οὖν ταῦτα παρὰ τῶν ἁγίων ἀποστόλων καὶ τῶν ἐκείνους ἐκδεξαμένων παραλαβόντες, καὶ κατέχομεν ἀμεταποιήτως, καὶ τὸν γιγνόμενον ἐπ' αὐτοῖς ἀποδίδομεν λόγον· ὅτι δὲ ὁ τοῦ Κυρίου περὶ τῶν μυστηρίων λόγος, ἐν εἴδει διηγήσεως λεγόμενος, πρὸς ἁγιασμὸν δώρων ἀρκεῖ, οὐδεὶς οὔτε τῶν ἀποστόλων, οὔτε τῶν διδασκάλων εἰκὼν φαίνεται. Ἀλλ' ὅτι μὲν ἅπαξ ὑπ' ἐκείνου ῥηθείς, αὐτῷ τῷ ὑπ' ἐκείνου ῥηθῆναι, καθάπερ ὁ δημιουργικὸς Λόγος ἀεὶ ἐνεργεῖ, τοῦτό φησιν ὁ τὴν γλῶτταν χρυσοῦς Ἰωάννης. Ὅτι δὲ νῦν ὑπὸ τοῦ ἱερέως λεγόμενος, διὰ τὸ ὑπ' αὐτοῦ λέγεσθαι τοῦτο δύναται, οὐδαμόθεν ἔστι μαθεῖν· ἐπεὶ οὐδ' αὐτὸς ὁ δημιουργικὸς Λόγος ἐνεργεῖ, ὅτι ἐφ' ἑκάστῳ τῶν γινομένων ὑπό τινος ἀνθρώπου λέγεται· ἀλλ' ὅτι ἐστὶν ἅπαξ ὑπὸ τοῦ Θεοῦ εἰρημένος. Καὶ μὴν οὐδ' αὐτοὶ φήσουσιν ἐνεργεῖν τὸν δεσποτικὸν λόγον, ὑπὸ τοῦ τυχόντος ἁπλῶς λεγόμενος, οὐδ' ἄνευ θυσιαστηρίου. Εἰ τοίνυν ἱερέως δεῖ καὶ θυσιαστηρίου, καὶ τῶν ἄλλων ὅσα πρὸς τοῦτο συντείνει, διὰ τί μὴ καὶ εὐχῶν δεήσεις εὐλογίας, καὶ τῆς δι' αὐτῆς ἐπιφοιτήσεως τοῦ ἁγίου Πνεύματος, ἥτις πάντα τελειοῖ τὰ μυστήρια; Πρὸς τούτοις ὁ ἱερὸς Διονύσιος ἐπιμαρτυρήσων παρίτω τοῖς παρ' ἡμῶν τελουμένοις· ἐν γὰρ τῇ θεωρίᾳ τοῦ τῆς συνάξεως μυστηρίου, « Τὸς ἱερὰς, φησὶ, θεουργίας ὁ ἱεράρχης ὑμνήσας, ἐπὶ τὴν ἱερουργίαν ἔρχεται· καὶ πρότερον μὲν ὑπὲρ ταύτης ἀπολογεῖται καὶ ἀναβοᾷ, Σὺ εἶπας, *Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν*· εἶτα τῆς θεομιμήτου ταύτης ἱερουργίας ἄξιος αἰτεῖ γενέσθαι, καὶ τῇ πρὸς Χριστὸν ἀφομοιώσει τὰ θεῖα πανάγνως τελέσαι καὶ διαδοῦναι, καὶ τοὺς μεθέξοντας ἱεροπρεπῶς μετασχεῖν. Εἶθ' οὕτως ἱερουργεῖ τὰ θειότατα, καὶ ὑπ' ὄψιν ἄγει τὰ ὑμνημένα διὰ τῶν ἱερῶς προκειμένων· τὸν γὰρ ἐγκεκαλυμμένον καὶ ἀδιαίρετον ἄρτον ἀνακαλύψας, εἰς πολλὰ διελὼν, καὶ τὸ ἑνιαῖον τοῦ ποτηρίου πᾶσι καταμερίσας, συμβολικῶς τὴν ἑνότητα πληθύνει καὶ διανέμει· » καὶ μετ' ὀλίγα· « Μετασχὼν δὲ καὶ μεταδοὺς ὁ ἱεράρχης, εἰς εὐχαριστίαν ἱερὰν καταλήγει. »

Ταῦτα συνορᾷν ἔξεστι τῷ βουλομένῳ παντὶ, τίσιν ἐστὶ σύμφωνα, τοῖς παρ' ἡμῶν τελουμένοις, ἢ τοῖς παρὰ Λατίνων. Ἡμεῖς μὲν γὰρ ἀκολουθοῦντες τοῖς ἱεροῖς ἀποστόλοις καὶ διδασκάλοις, κατὰ τὰς ὑπ' αὐτῶν παραδεδομένας ἐκθέσεις, καὶ τούτῳ δὴ τῷ ἱεροφάντορι, τὰς ἱερὰς θεουργίας ὑμνοῦμεν, τουτέστιν, ὡς αὐτός φησι, τὴν δι' ἡμᾶς ἐνανθρώπησιν τοῦ Θεοῦ, τὸν ὑπὲρ ἡμῶν αὐτοῦ θάνατον, τὴν θεογενεσίαν τῶν βαπτιζομένων, τὴν θείαν υἱοθεσίαν, τὴν διὰ τῆς φυλακῆς τῶν ἐντολῶν θέωσιν· εἶθ' οὕτως ἐπὶ τὴν ἱερουργίαν ἐρχόμενοι, πρότερον μὲν ὑπὲρ ταύτης ἀπολογούμεθα, καὶ ἀναβοῶμεν

αὐτὰ τὰ δεσποτικὰ ῥήματα, ἃ τότε εἶπε· καὶ ἐπιλέγομεν, ὅτι αὐτὸς προσέταξε, *Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν*· εἶτα τῆς θεομιμήτου ταύτης ἱερουργίας ἄξιοι αἰτήσαντες γενέσθαι, καθὰ περιέχουσιν αἱ ἐκθέσεις, ἱερουργοῦμεν τὰ θειότατα διὰ τῆς εὐχῆς καὶ εὐλογίας, καὶ τῆς τοῦ θείου Πνεύματος ἐπιφοιτήσεως· καὶ τὸν ἐγκεκαλυμμένον τέως καὶ ἀδιαίρετον ἄρτον ἀνακαλύψαντες, εἰς πολλὰ διαιροῦμεν, καὶ τὸ ἑνιαῖον τοῦ ποτηρίου πᾶσι καταμερίζομεν. Ὁ δὲ παρὰ Λατίνοις ἱερεὺς μέμνηται μὲν καὶ αὐτὸς διηγηματικῶς τῶν δεσποτικῶν ῥημάτων, ὅτι αὐτὸς προσέταξε, *Λάβετε, φάγετε, καὶ πίετε πάντες*, καὶ, *Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν*· ἱερουργεῖ δὲ οὐδὲν μᾶλλον, ἀλλ' οἴεται τὴν διήγησιν αὐτὴν τῶν ῥημάτων πρὸς τὸν ἁγιασμὸν καὶ τὴν ἱερουργίαν ἀρκεῖν· εἶτα τὸν ἄζυμον ἄρτον ἐκεῖνον, οὐκ ἐγκεκαλυμμένον τέως, ἀλλ' ὅθεν ἔτυχεν οὕτω λαβὼν καὶ ὑψώσας, μέρος μὲν ἀπορρήγνυσι, καὶ τῷ ποτηρίῳ ἐμβάλλει· τὸ δὲ λοιπὸν καθίησιν εἰς τὸ στόμα, καὶ τὸ ποτήριον ἐκπιὼν ὅλον ὁμοίως, ἀσπάζεσθαι αὐτὸν προτρέπεται τοὺς συλλειτουργοῦντας αὐτῷ διακόνους, μηδενὶ μηδὲν μεταδοὺς', ὁ τὸ, *Λάβετε, φάγετε πάντες*, καὶ, *Πίετε ἐξ αὐτοῦ πάντες*, μεγαλαυχῶν. Ταῦτα οὐ πρόδηλον φέρει τὴν ἐναντίωσιν καὶ πρὸς τὰς παραδεδομένας ἐκθέσεις καὶ ἐξηγήσεις πρὸς τὰ δεσποτικὰ ῥήματα, καὶ πρὸς αὐτὰς τὰς ἐκείνων φωνάς; Εἶτα τολμήσουσιν οὕτως ἔχοντες ἐγκαλεῖν ἡμῖν καὶ περιεργάζεσθαι τὰ ἡμέτερα καὶ ἐφερμηνεύειν, οὕτως ἀκόλουθα τοῖς ἁγίοις ὄντα; Ἀλλ' ὁ Χρυσόστομός φησι τὸν δεσποτικὸν λόγον ἅπαξ ῥηθέντα τὴν θυσίαν ἀπηρτισμένην ἐργάζεσθαι· ἅπαξ ῥηθέντα φησὶν οὐ νῦν ὑπὸ τοῦ ἱερέως λεγόμενον, ἀλλ' ἅπαξ ὑπὸ τοῦ **Σωτῆρος** ῥηθέντα, τὴν τελειωτικὴν ἀεὶ δύναμιν ἐνιέναι τοῖς προκειμένοις, οὐκ ἤδη καὶ ἐνεργείᾳ τελειοῦν αὐτά· τοῦτο γὰρ ἡ τοῦ ἁγίου Πνεύματος ἐπιφοίτησις ἐργάζεται διὰ τῆς τοῦ ἱερέως, καὶ ὅῆλον ἐξ ὧν αὐτὸς ὁ χρυσοῦς τὴν γλῶτταν, ὡς πρότερον ἐξεθέμεθα, μετὰ τὸ εἰπεῖν τὰ δεσποτικὰ ῥήματα, « Κατάπεμψον, φησὶ, τὸ Πνεῦμά σου τὸ ἅγιον, καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον τίμιον σῶμα τοῦ Χριστοῦ σου, τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ τίμιον αἷμα τοῦ Χριστοῦ σου, μεταβαλὼν τῷ Πνεύματί σου τῷ ἁγίῳ. » Ταῦτα εἰ μὴ πείθουσι τοὺς φιλονείκως ἔχοντας, ἐλεεῖσθαι ἂν εἶεν δίκαιοι τῆς διπλῆς ἀγνοίας, καὶ τῆς εἰς βάθος πωρώσεως.

A quod ipse jusserit, *Hoc facite*, inquiens, *in meam commemorationem* : tum ut ad imitationem Dei compositæ hujus consecrationis digni efficiamur precati, quemadmodum continent expositiones, divinissima sacra conficimus, intercedente oratione atque benedictione, necnon divini Spiritus accessione. Interimque opertum panem et indivisum patefactum in multas partes secamus, et unitatem calicis omnibus distribuimus. Latinorum vero sacerdos recitat et ipse Dominica verba, quod ipse præceperit, *Accipite, comedite, et bibite omnes* : et, *Hoc facite in meam commemorationem* ; verum nihilo magis consecrat, sed arbitratur recitationem hanc verborum ad sanctificationem et consecrationem sufficere. Deinde infermentatum panem illum, B non opertum interim, sed undecunque contigerit ita nactus, ubi sublevavit, partem quidem frangit, et in calicem injicit : quod reliquum est in os demittit, et toto calice pariter epoto, ut se salutent adhortatur qui cum eo ministrant diaconi, nemini quidquam impartitus, qui hoc gloriatur Domini verbo, *Accipite, comedite omnes, et bibite ex eo omnes*. Hæc manifestamne proferunt contrarietatem iis quæ nobis traditæ sunt liturgiarum expositionibus, et verbis Dominicis, et ipsis vocibus quibus utuntur? Scilicet ita sentientes nobis vitio vertere audebunt, et nostros ritus curiosius investigare atque interpretari, quæ sanctis Patribus tam sunt consentanea? At Chrysostomus ait, Dominicum C verbum semel dictum sacrificium consummatum efficere. Semel dictum inquit, non quod nunc a sacerdote dicitur, sed quod semel a Servatore dictum est, perfectricem immittere propositis donis vim atque potentiam, non item et actu ea perficere ; hoc enim sancti Spiritus adventus per sacerdotis orationem efficit, idque perspicuum est ex iis quæ Chrysostomus, ut prius exposuimus, postquam Dominica verba recitata sunt : « Mittas, inquit, Spiritum tuum sanctum, et fac panem istum quidem pretiosum corpus Christi tui, et quod est in calice isto pretiosum sanguinem Christi tui, permutans sancto Spiritu tuo. » Hæc nisi persuadeant eos qui contentiosi sunt, ii miserandi merito censendi sunt, tum quod ignorantia duplici teneantur, et excæcatione profunda.

MARCI EPHESINI

CONFESSIO FIDEI

Exstat cum refutatione Gregorii Mammæ, quæ nunc primum editur, initio hujusce voluminis.

EJUSDEM

EPISTOLA AD OMNES ORTHODOXOS

Vide supra col. 111.

Sequentia, *Epistolam* scilicet *Marci Ephesini ad Georgium Scholarium*; Ejusdem *Epistolam ad Theophanem monachum*; Ejusdem *Dialogum qui inscribitur Latinus, sive De additamento in Symbolo*; Ejusdem *Epistolam ad Joannem Palæologum imp.* omnia ex Mss. descripta nobis suppeditavit D. Hergenroether, in Universitate Herbipolensi theologiæ professor.

I

Epistola domini Marci Ephesini ad dominum Georgium Scholarium.

Clarissime, sapientissime, doctissime mihique desideratissime frater et spiritualis fili, domine Georgi, opto in Deo ut sanus sis anima et corpore et in omnibus bene habeas; Dei misericordia et ipse mediocriter corpore valeo. Quantum nobis voluptatis et lætitiæ attulisti, quando rectam sententiam et piam ac patriam doctrinam amplexatus es et condemnatæ ab injustis judicibus veritatis patrocinium suscepisti, tantum e contrario mœrore et tristitia repleti sumus, cum ad aures nostras pervenit, te rursum alterata facie pugnantia tenere loquique, et cum pessimis œconomis una confluere ad procuranda media unionis et dispositionis. Suntne præclara ista animoque philosophi digna? Quanquam ego quidem tuas laudes concinendas excogitaveram, et magnum Gregorium, cui a theologia nomen est, mente revolvebam Heronem quemdam philosophum laudibus efferentem, Arianorum errori insistentem, quod, ut ille ait, dorcalidibus

A

B

(1) Sic cod. Mon. 256 f. 133 b. Apud Allat. contra Creyght. p. 95 : Γεννάδιον τὸν Σχολάριον. Ex hac epistola plura adduxerat Gangius gloss. gr. p. 1281, fere integram dedit Allatius l. c. p. 88 seq.; nos eam ex præfato Codice exhibemus accuratius. Exstat et in Paris. cod. 1218 n. 10 (catal. pr 256).

(2) Ab hac propositione exorditur Allatii textus.

(3) Δόξης deest ap. Allat. typographico mendo.

(4) Allat. καταδικασθείσῃ.

(5) All. ἐνεπλ.

(6) Allat. p. 89. κατά γε.

(7) Allat. ἄξιον.

(8) Allat. ἐνοσαμένον δόξῃ.

Ἐπιστολὴ κυροῦ Μάρκου τοῦ Ἐφέσου πρὸς τὸν κύριν Γεώργιον (1) τὸν Σχολάριον.

Ἐνδοξότατε, σοφώτατε, λογιώτατε καὶ ἐμοὶ ποθεινότατε ἀδελφὲ καὶ κατὰ πνεῦμα υἱέ, κῦρ Γεώργιος, εὔχομαι τῷ Θεῷ ὑγιαίνειν σὲ ψυχῇ τε καὶ σώματι καὶ ἐπὶ πᾶσιν ἔχειν καλῶς, οὗ τῷ ἐλέει κἀγὼ ὑγιαίνω μετρίως τῷ σώματι. Ὅσης (2) ἡμᾶς ἐνέπλησας ἡδονῆς, ἡνίκα τῆς ὀρθῆς δόξης (3) ἐγένου καὶ τοῦ εὐσεβοῦς καὶ πατρίου φρονήματος καὶ τῇ καταψηφισθείσῃ (4) παρὰ τῶν ἀδίκων κριτῶν συνηγορήσας ἀληθείᾳ, τοσαύτης ἐκ τοῦ ἐναντίου λύπης καὶ κατηφείας ἐπλήσθημεν (5), ἀκούσαντες μετατεθεῖσθαί σε πάλιν καὶ τἀναντία φρονεῖν τε καὶ λέγειν, καὶ τοῖς κακοῖς οἰκονόμοις συντρέχειν ἐπὶ τὰς μεσότητας καὶ οἰκονομίας. Καλά γε (6) ταῦτα καὶ φιλοσόφου ψυχῆς ἄξια (7); Καίτοι ἐγωγε τὰ ἐγκώμιά σου πλέκειν ἤδη διενοούμην, καὶ τὸν μέγαν Γρηγόριον ἐνενοουν τὸν τῆς θεολογίας ἐπώνυμον Ἥρωνά τινα φιλόσοφον ἐπαινοῦντα τῇ τῶν Ἀρειανῶν ἐνιστάμενον πλάνῃ (8), ὅτι, φησὶ, δορκαλίσι τὸ καλὸν σῶμα καταξανθὲν παρεπέμφθη τῇ ἐξορίᾳ. Σὺ δὲ μηδενὸς εἰ;

πεῖραν ἐλθὼν λυπηροῦ μόνης ἀπελάσῃς, ὡς ἔοικε, πεισθείς, ἢ δωρεῶν καὶ (9) τιμῶν ἐπαγγελίαις ἀναπεισθεὶς οὕτω ῥᾳδίως αὖθις προέδωκας τὴν ἀλήθειαν. Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ καὶ τοῖς ὀφθαλμοῖς μου πηγὴν δακρύων, καὶ κλαύσομαι τὴν θυγατέρα Σιὼν, τὴν τοῦ φιλοσόφου λέγω ψυχὴν ῥιπιζομένην καὶ μεταφερομένην, ὡς χοῦς ἀπὸ ἅλωνος θερινῆς. Ἀλλ' ἐρεῖς ἴσως, ὡς οὐκ ἐπὶ τὰ ἐναντία (10) γέγονεν ἡ μετάθεσις, μεσότητα δέ τινα καὶ οἰκονομίαν περισκοποῦμεν. Οὐδέποτε διὰ μεσότητος, ἄνθρωπε, τὰ ἐκκλησιαστικὰ διωρθώθη· μέσον ἀληθείας καὶ ψεύδους οὐδέν ἐστιν· ἀλλ' ὥσπερ τὸν τοῦ φωτὸς ἔξω γενόμενον ἐν τῷ σκότει εἶναι ἀνάγκη, οὕτω τὸν τῆς ἀληθείας μικρὸν παρεκκλίναντα τῷ ψεύδει λοιπὸν ὑποκεῖσθαι φαίημεν ἂν (11) ἀληθῶς· καίτοι γε φωτὸς μὲν (12) καὶ σκότους ἔστιν εἰπεῖν μεσότητα, τὸ καλούμενον λυκαυγὲς (13) ἢ λυκόφως, μεσότητα δὲ τῆς ἀληθείας καὶ ψεύδους οὐδ' (14) ἐπινοήσειν ἄν τις, εἰ καὶ πολλὰ κάμοι (15). Ἄκουσον, ὅπως ἐγκωμιάζει τὴν τῆς μεσότητος σύνοδον ὁ πολὺς ἐν θεολογίᾳ Γρηγόριος· *Εἴτε τὸν Χαλάνης πύργον* (16), *ὃς* (17) *καλῶς τὰς γλώσσας ἐμέρισεν* (ὡς ὤφελόν γε καὶ ταύτας (18), *ἐπὶ κακῷ γὰρ ἡ σοφωτία*) *εἴτε τὸ* (19) *Καϊάφα συνέδριον, ᾧ Χριστὸς κατακρίνεται, εἴτε τι ἄλλο τοιοῦτον τὴν σύνοδον ἐκείνην ὀνομαστέον, ἣ πάντα ἀνέτρεψε καὶ συνέχεε, τὸ μὲν εὐσεβὲς δόγμα καὶ παλαιὸν καὶ τῆς Τριάδος ὁμότιμον καταλύσασα τῷ* (20) *βαλεῖν χάρακα καὶ μηχανήμασι κατασεῖσαι* (21) *τὸ ὁμοούσιον, τῇ δὲ ἀσεβείᾳ θύραν ἀνοίξασα διὰ τῆς τῶν γεγραμμένων μεσότητος· σοφοὶ γὰρ ἐγένοντο πρὸς τὸ* (22) *κακοποιῆσαι, τὸ δὲ καλοποιῆσαι* (23) *οὐκ ἔγνωσαν.* Ἆρ' οὖ πρασήκει ταῦτα καὶ τῇ νῦν ἡμετέρᾳ συνόδῳ; Καὶ πάνυ μὲν οὖν, φαίην ἂν ἔγωγε. Πλὴν ὅσον οὐδὲ πολλὰ βουλομένη τῇ μεσότητι καὶ τῇ διπλόῃ χρήσασθαι (24) ἔσχε τοῖς μισθώταις ᾠφελουμένη· διὰ τοῦτο καὶ φανερῶς, ὡς ἐκείνοις ἔδοξεν, τὴν βλασφημίαν ἐξέῤῥηξε· μᾶλλον δὲ, κατὰ τὸν προφήτην εἰπεῖν, ὠὰ ἀσπίδων ἔῤῥηξαν καὶ ἱστὸν ἀράχνης ὑφαίνουσι, καὶ ὄντως ἱστὸς ἀράχνης ὁ παρ' αὐτῶν συντεθεὶς καὶ ὀνομασθεὶς ὅρος. Μὴ οὖν ἀπατάτωσαν ἡμᾶς (25) ἐπὶ μεσότητα καὶ διπλόην αὖθις ἀναχωροῦντες. Καϊαφαϊκὸν γάρ εἰσι συνέδριον, ἄχρις ἂν ἡ γενομένη παρ' αὐτῶν ἕνωσις τὴν Ἐκκλησίαν ἐπισκοτῇ. (26) Μέχρι τίνος, ὦ σχέτλιε, τὸ τῆς ψυχῆς εὐγενὲς

A pulchrum corpus dilaceratus ejectus est in exsilium. Tu vero nihil noxii expertus, sed minis tantum, ut videtur, perterritus, vel munerum et honorum promissionibus pellectus, adeo facile rursum veritatem prodidisti. Quis dabit capiti meo aquam et oculis meis fontem lacrymarum, ut deplorem filiam Sion, philosophi intelligo animam, quæ concutitur, convellitur ac transfertur quasi pulvis ex area æstiva. Sed dices fortasse : Non in contrarium mutatio facta est, sed meditationem quamdam et œconomiam mente agitamus. Nusquam, mi homo, res ecclesiasticæ per mediationem correctæ sunt (*a*). Nihil inter veritatem et mendacium medium interjacet. Sed quemadmodum extra lucem factus necessario tenebris obvolvitur, sic qui paululum a veritate declinaverit, hunc
B mendacio subdi vere dicimus ; licet luminis et tenebrarum medium sit crepusculum vel λυκόφως quod dicitur ; at veritatis et mendacii medium nullus unquam excogitaverit, etsi multum insudaverit. Audi, quomodo synodum, quæ medium procurat, magnus Gregorius Theologus laudibus efferat : *Sive Chalanæ turrim quæ linguas pulchre divisit, (quod utinam in his quoque factum esset, in malum nempe concordes sunt) sive illum Caiphæ consessum, in quo Christus condemnatur, sive quid aliud simile ejusmodi synodum vocare debemus, quæ omnia convolvit et conturbavit, pium et antiquum dogma et unum Trinitatis honorem dissolvit, cum aggerem exstruxit, ut machinis confringat consubstantialitatem, et impietatis portas aperiat per illud*
C *ex scriptis procuratum medium ; sapientes siquidem facti sunt ad male agendum, bene vero facere non noverunt.* An non hæc aptari possunt nostræ synodo ? Et quam maxime, equidem dicerem. Et tamen neque, licet valde voluerit, meditatione et duplicitate uti potuit, cum ab iis qui mercedem dederant, prohiberetur (*b*) ; propterea etiam palam, ut illis placuit, blasphemiam evomuit, imo ut prophetæ verbis utar, aspidum ova ejecerunt et telam aranearum contexunt ; et vere aranææ tela est quæ ab ipsis concinnata vocataque est definitio. Ne igitur nos denuo seducant, qui ad mediationem et duplicitatem recurrunt. Consessus siquidem Caiphæ est, donec unio ab ipsis facta Ecclesiam obumbrat. Usquequo, miser, animi nobilitatem et

(9) Allat. ἢ τιμῶν.
(10) All. ταναντία.
(11) ἂν omitt. Allat.
(12) μὲν omitt. All.
(13) All. λιπαυγές.
(14) All. οὐκ.
(15) All. κἂν πολλὰ κάμῃ.
(16) Hæc quatuor verba omisit Allatius, qui non animadvertisse videtur, totum hoc desumptum ex Nazianzeni Orat. XXI p. 386 ed. Bill. (nunc orat. quoque est XXI) et vertit : *qui* (Gregorius) recte linguas divisit.
D (17) Sic Greg. ed. et Allat ; Mon. cod, habet ὡς.
(18) Ed. Greg. κἀκείνας.
(19) Mon. τῷ.
(20) Ita Mon. Allat : τὸ.
(21) Sic Mon. ; Allat : καταλύσαι.
(22) Ita Allat. ; Mon. ἐγ. τοῦ.
(23) Tria hæc verba τὸ δὲ καλοπ. desunt apud Allatium mendo typographico, ut videtur, cum in versione habeat : ad bene vero patrandum inepti facti sunt.
(24) Allat. χρήσεσθαι.
(25) Allat. ὑμᾶς.

(*a*) Allat. Nusquam, mi homo, res ecclesiasticas mediis adinventis corriges.
(*b*) Allat. : Et nihilominus nihil interest, sive hoc medio, sive diploide utaris, cum ab iis, qui stipendia erogant, impediatur.

honorem in rebus inanibus occupata detines ? Usquequo somnia? Aliquando veritas tibi cura erit. Fuge Ægyptum irreversis oculis, fuge Sodomam et Gomorrham ! Serva te in monte, ne simul deprehendaris ! Verum occupavit te inanis gloriola et mendaces divitiæ et comptæ splendidæque vestes et alia quibus hujus mundi felicitas fulcitur. Heu, heu non philosophicam philosophi mentem ! Respice penitus eos, qui ante te similibus honoribus probati fuerunt. Cras descendes tu quoque ad inferos, relictis omnibus super terram ; rerum vero a te gestarum exactissima ratio a te expostulabitur, quemadmodum a falsi nominis synodo expostulabitur sanguis deperditarum animarum, eorum qui scandalum passi sunt in mysterio fidei, qui blasphemiam intolerabilem nullaque venia dignam animis suis exceperunt, quæ est contra Spiritum sanctum, et in duo referre principia ejus exsistentiam audent, eorum, qui in impias et perridiculas Latinorum consuetudines abacti sunt, eorum, qui maledictiones et anathemata innovatæ fidei in sua ipsorum capita attraxerunt. « Sed in confirmationem et augmentum generis (nationis nostræ) futura est unio ab eisdem facta. » Et maxime vero. Nonne vides Crucis hostes in fugam conversos, unumque e nostris mille dissipantem et duos decem millia dispergentes ? Verumtamen contrarium respicimus. Nisi Dominus ædificaverit nostrum imperium, frustra laborant qui ædificant illud ; nisi Dominus custodierit nostram civitatem, frustra vigilant, qui Papæ nummis aureis eam custodiunt. Igitur eia age nunc temporis totum temetipsum transmuta. Sine mortuos sepelire mortuos suos. Quæ Cæsaris sunt, relinque Cæsari. Redde Deo animam ab eo creatam et adornatam. Mente recogita, quantorum illi debitor exsistas, redde retributionem. Vere exoro te, amicissime et doctissime, fac ut de te gaudeam ; concede mihi, ut gloriam Deo referam, qui te conservet ab universa noxa incolumem.

Humilis metropolita Ephesi et universæ Asiæ Marcus.

καὶ φιλότιμον ἐν τοῖς ματαίοις ἀπασχολεῖς ; Μέχρι ποῦ τὰ ἐνύπνια ; Καὶ ἡ ἀλήθειά ποτε σπουδασθήτω σοι. Φεῦγε Αἴγυπτον ἀμεταστρεπτὶ, φεῦγε Σόδομα καὶ Γόμορρα· πρὸς τὸ ὄρος σώζου, μὴ συμπαραληφθῇς (27). Ἀλλὰ κατέχει (28) σε τὸ κενὸν (29) δοξάριον καὶ ὁ ψευδώνυμος πλοῦτος καὶ τὰ κομψὰ καὶ εὐανθῆ χλανισκίδια (30) καὶ τἆλλα, οἷς ἡ κοσμικὴ εὐημερία τὴν σύστασιν ἔχει. Φεῦ τῆς ἀφιλοσόφου διανοίας τοῦ φιλοσόφου ! Περίβλεψον (31) τοὺς πρὸ (32) σοῦ ἐν ταῖς ὁμοίαις περιφανείαις ἐξετασθέντας. Αὔριον καταβήσῃ (33) καὶ αὐτὸς εἰς ᾅδου, πάντα καταλιπὼν ὑπὲρ τῆς (34) γῆς· τὸν (35) δὲ τῶν βεβιωμένων λόγον ἀπαιτηθήσῃ μετὰ πολλῆς ἀκριβείας, ὥσπερ (36) ἡ ψευδώνυμος σύνοδος ἀπαιτηθήσεται τὸ αἷμα τῶν ἀπολλυμένων ψυχῶν τῶν σκανδαλισθέντων ἐπὶ τῷ μυστηρίῳ τῆς πίστεως, τῶν τὴν ἀφόρητον βλασφημίαν καὶ ἀσυγχώρητον ταῖς ψυχαῖς ὑποδεξαμένων (37) τὴν κατὰ τοῦ ἁγίου Πνεύματος καὶ εἰς δύο τολμώντων ἀρχὰς ἀναφέρειν τὴν αὐτοῦ ὕπαρξιν, τῶν ὑπαχθέντων τοῖς ἀθέσμοις καὶ καταγελάστοις λατινικοῖς ἔθεσι, τῶν τὰς ἀρὰς καὶ τὰ ἀναθέματα τῆς καινοτομίας τῆς πίστεως ἐπὶ τὰς ἑαυτῶν κεφαλὰς ἑλκυσάντων. Ἀλλ' εἰς σύστασιν ἔσται τοῦ γένους καὶ εἰς ἐπίδοσιν ἡ γενομένη παρ' αὐτῶν ἕνωσις. Πάνυ μὲν οὖν. Οὐχ ὁρᾷς τοὺς ἐχθροὺς τοῦ σταυροῦ φεύγοντας καὶ ἕνα ἡμῶν χιλίους διώκοντα καὶ δύο μυριάδας μετακινοῦντας (38) ; Τοὐναντίον μὲν οὖν ἅπαν (39) ὁρῶμεν. Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ τὴν ἡμετέραν ἀρχὴν, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες· ἐὰν μὴ Κύριος φυλάξῃ τὴν ἡμετέραν πόλιν, εἰς μάτην ἠγρύπνησαν οἱ διὰ τῶν χρυσίων (40) τοῦ Πάπα ταύτην φυλάσσοντες. Ἀλλὰ δεῦρο λοιπὸν ὅλον σεαυτὸν μετάθες ἐπὶ τὸ νῦν (41)· ἄφες τοὺς νεκροὺς θάπτειν τοὺς ἑαυτῶν νεκρούς· ἄφες τὰ Καίσαρος Καίσαρι· δὸς τῷ Θεῷ τὴν παρ' αὐτοῦ κτισθεῖσαν καὶ κοσμηθεῖσαν ψυχήν. Ἐνόησον, ὅσων (42) ὀφειλέτης αὐτῷ τυγχάνεις· ἀπόδος τὰς ἀμοιβάς. Ναὶ (43), παρακαλῶ, φίλτατε καὶ σοφώτατε, δός μοι χαρῆναι ἐπὶ σοὶ, δός μοι Θεῷ δόξαν ἀνενεγκεῖν, ὃς σε διαφυλάττοι (44) ἀνώτερον παντὸς ἀνιαροῦ συναντήματος.

Ὁ ταπεινὸς μητροπολίτης Ἐφέσου καὶ πάσης Ἀσίας Μάρκος.

(26) All. ἐπισκοτεῖ.
(27) Allat. καταληφθείς.
(28) Sic Mon. ; Allat. κατέσχε.
(29) Allat. καινόν.
(30) Mon. χλανιδίσκια.
(31) Allat. sic ; Mon. περίβλεψαι.
(32) Allat. πρός.
(33) Allat. καταδύσει.
(34) Τῆς omit. Allat.
(35) Allat. τῶν.
(36) Οὖν addit. Mon.
(37) Monac. ὑποδεξάμενον.
(38) Allat. μετακινοῦντα. Hinc vertit : et viginti millia dispergentem.
(39) All. ἅπαν οὖν.
(40) Monac. χρυσίων.
(41) Monac. ἐπὶ τὸν κύριον.
(42) Ὅσων omitt. Allat.
(43) Allat. καί.
(44) Allat. διαφυλάττει.

II

Epistola D. Marci Eph. ad Theophanem monachum.

Honoratissime in hieromonachis et mihi in Domino desideratissime et reverendissime pater et frater.

Ἐπιστολὴ κυροῦ Μάρκου τοῦ Ἐφέσου πρὸς Θεοφάνην (a).

Τιμιώτατε ἐν ἱερομονάχοις καὶ ἐμοὶ ἐν Κυρίῳ ποθεινότατε καὶ αἰδεσιμώτατε πάτερ καὶ ἀδελφέ.

(a) Cod. Mon. 256, f. 279 b.

Γίνωσκε, ὅτι μετὰ τὸ ἀπελθεῖν ἡμᾶς εἰς τὴν Κωνσταντινούπολιν, ἀναβάντος εἰς τὸ πατριαρχεῖον ἑνὸς τῶν ὑπογραψάντων λατινοφρόνων καὶ ἐνοχλοῦντος ἡμᾶς, ἀπῆλθον εἰς τὴν ἐκκλησίαν μου. Ἐκεῖ δὲ πάλιν μηδεμίαν εὑρὼν ἀνάπαυσιν καὶ χαλεπῶς νοσήσας καὶ ζημιούμενος παρὰ τῶν ἀσεβῶν καὶ πειραζόμενος, διότι μὴ εἶχον ὁρισμὸν αὐθεντικὸν, ἐξῆλθον κἀκεῖθεν ἐπὶ σκοπῷ τοῦ ἀπελθεῖν εἰς τὸ ἅγιον ὄρος. Διαπεράσας οὖν εἰς τὴν Καλλίπολιν καὶ διερχόμενος διὰ τῆς Λήμνου ἐκρατήθην ἐνταῦθα καὶ περιωρίσθην παρὰ τοῦ βασιλέως. Ἀλλ' ὁ λόγος τοῦ Θεοῦ καὶ ἡ τῆς ἀληθείας δύναμις οὐ δέδεται, τρέχει δὲ μᾶλλον καὶ εὐοδοῦται, καὶ οἱ πλείονες τῶν ἀδελφῶν τῇ ἐμῇ ἐξορίᾳ θαῤῥοῦντες βάλλουσι τοῖς ἐλέγχοις τοὺς ἀλιτηρίους καὶ παραβάτας τῆς ὀρθῆς πίστεως καὶ τῶν πατρικῶν θεσμῶν, καὶ ἐλαύνουσι πανταχόθεν αὐτοὺς ὡς καθάρματα, μήτε συλλειτουργεῖν αὐτοῖς ἀνεχόμενοι, μήτε μνημονεύειν ὅλως αὐτῶν ὡς Χριστιανῶν. Μανθάνω δὲ, ὅτι ἐχειροτονήθη παρὰ τῶν λατινοφρόνων μητροπολίτης Ἀθηνῶν κοπελούδριόν τι τοῦ Μονεμβασίας, ὅπερ αὐτόθι διάγον συλλειτουργεῖ τοῖς Λατίνοις ἀδιακρίτως καὶ χειροτονεῖ παρανόμως ὅσους ἂν εὕρῃ καὶ οἵους. Ἀξιῶ οὖν τὴν ἀγιωσύνην σου, ἵνα τὸν ὑπὲρ Θεοῦ ζῆλον ἀναλαβὼν, ὡς ἄνθρωπος τοῦ Θεοῦ καὶ τῆς ἀληθείας φίλος καὶ τοῦ ἁγίου Ἰσιδώρου γνήσιος μαθητὴς παραινέσῃς τοῖς τοῦ Θεοῦ ἱερεῦσιν, ἐκφεύγειν ἅπασι τρόποις τὴν κοινωνίαν αὐτοῦ καὶ μήτε συλλειτουργεῖν αὐτῷ μήτε μνημονεύειν ὅλως αὐτοῦ, μήτε ἀρχιερέα τοῦτον, ἀλλὰ λύκον καὶ μισθωτὸν ἡγεῖσθαι, μήτε λειτουργεῖν ὅλως ἐν ταῖς λατινικαῖς ἐκκλησίαις, ἵνα μὴ ἔλθῃ καὶ ἐφ' ὑμᾶς ἡ ἐπελθοῦσα ὀργὴ τοῦ Θεοῦ τῇ Κωνσταντινουπόλει διὰ τὰς ἐκεῖ γινομένας παρανομίας. Γίνωσκε δὲ ὅτι ἡ ψευδοένωσις ὅσον οὔπω τῇ τοῦ Θεοῦ χάριτι καὶ δυνάμει διαλυθήσεται καὶ τὸ δόγμα τῶν Λατίνων ἀντὶ τοῦ βεβαιωθῆναι διὰ τῆς ψευδοῦς συνόδου, ὅπερ ἀεὶ ἐσπούδαζον, ἔτι μᾶλλον ἀνετράπη καὶ ἠλέγχθη καὶ ὡς βλάσφημον καὶ δυσσεβὲς πανταχοῦ στηλιτεύεται, καὶ οἱ τοῦτο κυρώσαντες οὐδὲ διᾶραι στόμα τολμῶσιν ὑπὲρ αὐτοῦ. Ὁ γοῦν καλόγηρος (1) αὐτοῦ τοῦ ὑμετέρου μισθωτοῦ, καὶ οὐχὶ ποιμένος, ὁ ἄνους Μονεμβασίας λαβὼν παρὰ τοῦ βασιλέως τὸ τοῦ προδρόμου ἡγουμενεῖον οὔτε μνημονεύεται παρὰ τῶν καλογήρων αὐτοῦ οὔτε θυμιᾶται ὅλως ὡς Χριστιανός· ἀλλ' ἔχουσιν αὐτὸν εἰς τὰ πράγματα μόνον ὥσπερ τινὰ κόνσουλον· καὶ ὁ βασιλεὺς ταῦτα μανθάνων οὐδένα λόγον ποιεῖται, ἀλλὰ καὶ μετανοεῖν ὁμολογεῖ φανερῶς ἐπὶ τῷ γεγονότι καὶ ἐπὶ τοὺς καταθεμένους καὶ ὑπογράψαντας μετατίθησι τὴν αἰτίαν. Φεύγετε οὖν καὶ ὑμεῖς, ἀδελφοὶ, τὴν πρὸς τοὺς ἀκοινωνήτους κοινωνίαν καὶ τὸ μνημόσυνον τῶν ἀμνημονεύτων. Ἴδε ἐγὼ Μάρκος ὁ ἁμαρτωλὸς λέγω ὑμῖν, ὅτι ὁ μνημονεύων τοῦ πάππα ὡς ὀρθοδόξου ἀρχιερέως ἔνοχός ἐστι πάντα τῶν Λατίνων ἐκπληρῶσαι μέχρι καὶ αὐτῆς τῆς κουρᾶς τῶν γενείων, καὶ ὁ λατινοφρονῶν μετὰ τῶν Λατί-

A Noveris, me, postquam Constantinopolim abieram, ascendente in patriarchalem sedem uno ex iis, qui subscripserunt cum Latinis sentientes, ac nos molestante, in ecclesiam meam abiisse (a) ibi vero nulla rursum reperta requie et graviter infirmatus atque afflictus ab impiis et tentatus, quia non habui authenticam determinationem, discessi etiam exinde, consilio ductus abeundi in montem sanctum. Profectus igitur Callipolim et pertransiens per Lemnum detentus sum ibi et inclusus ab imperatore. Sed verbum Dei et veritatis virtus non sunt alligata, currunt potius, prospere procedunt, atque plures ex fratribus meo exsilio confidentes refutationibus prosternunt sceleratos illos et rectæ fidei paternarumque legum transgressores, et undequaque eos removent velut abjectos et impuros, nec una cum eis sacrificare sustinentes, neque eorum prorsus ut Christianorum mentionem facere. Comperio autem a Latinorum asseclis Athenarum metropolitam ordinatum esse infamem quamdam creaturam Monembasiensis, quæ ibi commorans cum Latinis sacrificat absque discrimine et illegaliter ordinat quot et qualescunque invenerit. Rogo itaque sanctitatem tuam, ut zelum pro Deo resumens tanquam vir Dei et veritatis amicus et sancti Isidori germanus discipulus exhorteris Dei sacerdotes, ut fugiant omnibus modis ipsius communionem, neque cum eo sacra celebrent, neque prorsus ejus commemorationem faciant, neque summum sacerdotem eum habeant, verum lupum et mercenarium; neque demum in Latinis ecclesiis celebrent, ne veniat etiam super vos ira Dei, quæ super Constantinopolim venit propter eas, quæ ibi fiunt, prævaricationes. Scito autem, ementitam illam unionem, in quantum nondum dissoluta est, Dei gratia ac virtute dissolutum iri, et tantum abesse ut Latinorum dogma per falsam synodum confirmatum fuerit, quod semper in votis habebant, ut magis adhuc eversum et refutatum fuerit et ut blasphemum et impium ubique traducatur, et qui illud confirmarunt, ii neque os pro eo aperire audeant. Calogerus igitur ipsius vestri mercenarii, et non pastoris, insipiens Monembasiensis, qui ab imperatore Præcursoris abbatiam accepit, neque commemorationem a suis monachis obtinet, neque honoratur prorsus ut Christianus, sed habent eum solum pro rerum administratione, ut quemdam consulem; atque imperator hoc comperto ne verbum quidem facit, imo fatetur aperte pœnitere se rerum factarum, et in eos, qui assensi sunt et subscripserunt, culpam transfert. Fugite igitur et vos, fratres, communionem cum his, quibus ea neganda est, et commemorationem eorum, qui commemorandi non sunt. Ecce ego Marcus peccator dico vobis, eum, qui commemorationem facit papæ tamquam ortho-

(a) Id est, electo Metrophane mense Maio anni 1440, in suam diœcesin Marcus abiit.

(1) Usitatius καλόγερος. Græci monachi καλογέρους quasi καλοὺς γέροντας, bonos senes, se mutuo vocant, ut virtute consenescentes. Goar. Euchol. Gr. p. 493.

doxi sacerdotis, debitorem esse, ut cuncta Latinorum expleat usque ad ipsam barbæ rasuram, et cum Latinis sentientem cum Latinis judicatum et ut fidei transgressorem reputatum iri. Sanctæ tuæ orationes sint nobiscum. Constantino Contipetræ principi et reliquis cunctis principibus, qui nos hospitio exceperunt, correctionem et eam, quæ a Deo est, benedictionem.

A νων χριθήσεται καὶ ὡς παραβάτης τῆς πίστεως λογισθήσεται. Αἱ ἁγιαί σου εὐχαὶ εἶησαν μεθ' ἡμῶν (1). Τῷ εὐλογησαμένῳ ἄρχοντι Κωνσταντίνῳ τῷ Κοντιπετρῇ καὶ τοῖς λοιποῖς πᾶσιν ἄρχουσι τοῖς ξενοδόχοις ἡμῶν μετάνοιαν καὶ τὴν ἀπὸ Θεοῦ εὐλογίαν.

Marcus Ephesi. Junii die 16.

Ὁ Ἐφέσου Μάρκος. Ἰουν. ις'

III

Marci metropolitæ Ephesii Apologia ab eo dicta ex tempore instante morte.

Μάρκου τοῦ μητροπολίτου Ἐφέσου Ἀπολογία ῥηθεῖσα ἐπὶ τῇ τελευτῇ αὐτοῦ αὐτοσχεδίως.

Exstat supra col. 535.

IV

Marci Ephesii Dialogus qui inscribitur LATINUS sive de additamento in Symbolo.

B *Μάρκου τοῦ Ἐφέσου Διάλογος, οὗ ἡ ἐπιγραφὴ ΛΑΤΙΝΟΣ, ἢ περὶ τῆς ἐν τῷ Συμβόλῳ προσθήκης (2).*

LATINUS. Miror quomodo nos vituperetis de additamento in Symbolo, quandoquidem œcumenicarum synodorum secunda totum primæ synodi symbolum immutavit et tradidit illud additionibus adjectis ad majorem claritatem explicationibus illustratum. Quare immutatio circa verba nihil obest iis qui accuratam dogmatum theologiam servant.

ΛΑΤΙΝΟΣ. Θαυμάζω πῶς ἡμῖν ἐγκαλεῖτε περὶ τῆς ἐν τῷ Συμβόλῳ προσθήκης, ὅπου γε ἡ δευτέρα τῶν οἰκουμενικῶν σύνοδος ὅλον τὸ τῆς πρώτης σύμβολον ἐναλλάξασα παραδέδωκε προσθήκαις τε ἐπαυξήσασα καὶ ἄλλα πρὸς τὸ σαφέστερον ἀναπτύξασα· ὥστε οὐδὲν ἡ περὶ τὴν λέξιν ἐναλλαγὴ λυμαίνεται τοῖς σώζουσι τὴν ἀκρίβειαν τῶν δογμάτων.

GRÆCUS. Id quidem ita se habere fatemur, atque secundæ synodi symbolum immutatum secundum verba esse relate ad primæ synodi symbolum non ignoramus ; attamen dicimus, non quia illis Patribus licuit symbolum immutare, statim id licere C etiam tibi.

ΓΡΑΙΚΟΣ. Τοῦτο μὲν οὕτως ἔχειν ὁμολογοῦμεν καὶ τὸ τῆς δευτέρας συνόδου σύμβολον ἐνηλλαγμένον εἶναι πρὸς τὸ τῆς πρώτης κατὰ τὴν λέξιν οὐκ ἀγνοοῦμεν· οὐ μὴν ὅτι γε ἐκείνοις τοῖς Πατράσιν ἐξὴν ἐναλλάξαι τὸ σύμβολον, ἤδη καὶ σοὶ τοῦτο ἐξεῖναί φαμεν.

LAT. Cur vero?

ΛΑΤ. Διὰ τί δή;

GR. Primo quidem quia illi erant œcumenica synodus, tibi autem hoc non adest, licet quam maxime jactes papam illiusque primatum. Deinde tunc quidem licuit, cum nondum esset prohibitum; tibi vero post prohibitionem additionem facere audenti nulla id concedit ratio, ut non obnoxius sis maledictionibus a Patribus pronuntiatis.

ΓΡ. Πρῶτον μὲν ὅτι ἐκεῖνοι σύνοδος οἰκουμενικὴ ἦσαν, σοὶ δὲ τοῦτο οὐ πρόσεστι, κἂν ὅτι μάλιστα τὸν Πάπαν αὐχῇς καὶ τὸ ἐκείνου πρωτεῖον. Ἔπειτα τότε μὲν ἐξὴν· οὐ γάρ πω κεκώλυτο· σοὶ δὲ μετὰ τὸ κεκωλῦσθαι τὴν προσθήκην τολμήσαντι λόγος οὐδεὶς συγχωρεῖ τὸ μὴ οὐχ ὑπεύθυνον εἶναι ταῖς ἐκφωνηθείσαις ὑπὸ τῶν Πατέρων ἀραῖς.

LAT. Quandonam id prohibitum est et quam ob causam?

ΛΑΤ. Πότε γὰρ δὴ κεκώλυτο καὶ διὰ ποίαν αἰτίαν;

GR. Ego tibi accurate omnia exponam. Post expositionem fidei a prima synodo factam, multæ et variæ fidei expositiones factæ sunt a diversis synodis, vocem *consubstantialis* e medio tollentes. D Sed istæ quidem cassatæ et rescissæ fuerunt. Secunda vero synodus, quæ et œcumenica fuit et primæ sententiam accurate servavit, propriam fecit eam expositionem, qua nunc quidem utimur nos absque additamento, vos cum additamento. Neutra autem harum duarum synodorum prohibitionem ullam immutationis sanxit. Quare in tertia œcumenica

ΓΡ. Ἐγώ σοι ἐρῶ τὸ πᾶν ἀκριβῶς. Μετὰ τὴν παρὰ τῆς πρώτης συνόδου τῆς πίστεως ἔκθεσιν πολλαὶ καὶ διάφοροι πίστεως ἐκθέσεις γεγόνασιν ὑπὸ διαφόρων συνόδων περιαιροῦσαι τὸ *ὁμούσιον*· ἀλλ' ἐκεῖναι μὲν ἠκυρώθησαν· ἡ δὲ δευτέρα σύνοδος οἰκουμενική τε οὖσα καὶ τὴν τῆς πρώτης ἔννοιαν ἀκριβῶς φυλάξασα ἔκθεσιν ἰδίαν πεποίηται ταύτην, ᾗ νῦν ἡμεῖς μὲν ἄνευ προσθήκης χρώμεθα, ὑμεῖς δὲ μετὰ τῆς προσθήκης· οὐδετέρα δὲ ὑμῶς ἀμφοῖν ταῖν συνόδοιν οὐδεμίαν κώλυσιν διωρίσατο τῆς μεταποιήσεως. Ὅθεν ἐπὶ τῆς τρίτης οἰκουμενικῆς συνό-

(1) Mon. ὑμῶν.

(2) Cod. Mon. 256, f. 287 a, Paris. 1218, n. 12 catal. p. 256). Illustrantur eo dialogo multa ex iis quæ prioribus Florentini concilii, quæ Ferra æ habebantur, sessionibus disputata sunt.

δου σύμβολον πίστεως προηνέχθη παρὰ τῶν τὰ Νεστορίου φρονούντων ἐκδιδόμενον, ἔχον τὴν τῆς αἱρέσεως δόξαν, δι' οὗ καὶ βαπτίζειν ἐτόλμων ἐν τῇ Λυδίᾳ τινάς· τοῦτο οἱ Πατέρες ἀνεγνωσμένον ἀκούσαντες καὶ οὐκ ἀνεκτὸν ἔτι κρίναντες ὑπὸ τοῦ βουλομένου μεταποιεῖσθαι τὸ σύμβολον, ὅρον εὐθὺς ἐξήνεγκαν, μηκέτι μηδένα τολμᾷν ἀναλλάττειν τὴν ὑπὸ τῶν Πατέρων ἐκτεθεῖσαν πίστιν ἤτοι τὸ τῆς πίστεως σύμβολον. Ὅθεν καὶ ὁ μακάριος Κύριλλος ἐν τῇ πρὸς τὸν Ἀντιοχείας Ἰωάννην ἐπιστολῇ τὴν οἰκείαν εἰδὼς ἀπόφασιν (αὐτὸς γὰρ ἦν ὁ τῆς μεγάλης ἐκείνης συνόδου πρόεδρος), *Κατ' οὐδέν*, φησὶ (1), *τρόπον σαλεύεσθαι ἀνεχόμεθα τὴν ἐκτεθεῖσαν ὑπὸ τῶν Πατέρων ἡμῶν πίστιν ἤτοι τὸ τῆς πίστεως σύμβολον· οὔτε μὴν ἐπιτρέπομεν ἑαυτοῖς ἢ ἑτέροις ἢ λέξιν ἀμεῖψαι τῶν ἐγκειμένων ἐκεῖσε, ἢ μίαν γοῦν παραδῆναι συλλαβήν, μεμνημένοι τοῦ λέγοντος· Μὴ μετάρῃς ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου· οὐ γὰρ ἦσαν αὐτοὶ οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὃ ἐκπορεύεται μὲν ἐξ αὐτοῦ, ἔστι δὲ οὐκ ἀλλότριον τοῦ Υἱοῦ κατὰ τὸν τῆς οὐσίας Λόγον.* Ἀκούεις ὡς οὐ τὴν διάνοιαν μόνον, ἀλλὰ καὶ (τὴν) λέξιν καὶ συλλαβὴν κωλύει μεταποιεῖν τε καὶ παραβαίνειν. *Οὐκ ἐπιτρέπομεν*, φησὶν, *ἑαυτοῖς ἢ ἑτέροις*, ὡς ἐκ προσώπου τῆς συνόδου πάσης· καίτοι γε οἰκουμενικὴ σύνοδος ἦταν· ἀλλ' αὐτοὶ τὸν ὅρον ἔθεντο τῆς κωλύσεως.

ΑΑΤ. Οὐκ. Ἀλλ' *ἑτέραν*, φησὶ, *πίστιν*, τὴν ἐναντίαν, τὴν ἀλλότριαν τῆς Ἐκκλησίας δόγματα ἔχουσαν· ἐπεὶ ἡ ἀνάπτυξιν καὶ σαφήνειαν ἔχουσα πίστις οὐκ ἂν εἴη πάντως ἑτέρα, κἂν μιᾷ, κἂν πολλαῖς διαφέρῃ λέξεσιν.

ΓΡ. Θαυμάζω πῶς οὐκ ἀπὸ τῶν λέξεων δοκιμάζεις τὴν διάνοιαν τῶν εἰπόντων, ἀλλὰ μᾶλλον τὰς λέξεις ἕλκεις πρὸς τὸ σαυτοῦ βούλημα. Τὸ γὰρ τὸ ἕτερον οἴεσθαι τὸ ἐναντίον δηλοῦν ἀνδρὸς ἐστιν ἀσόφου οὐδὲ εἰδότος ἁρμόζειν τῇ τῶν πραγμάτων φύσει τὴν ἑκάστῳ κατάλληλον λέξιν. Ἐπὶ πλέον γὰρ ἔστιν οὗ τὸ ἐναντίου τὸ ἕτερον καὶ οὐ πᾶν τὸ ἕτερόν τινος ἤδη καὶ ἐναντίον· ἄνθρωπος γὰρ ἵππου ἕτερον μὲν τῷ εἶδει, ἐναντίον δὲ οὐδαμῶς· τῇ γὰρ οὐσίᾳ οὐδὲν ἐναντίον. Οὐκ ἂν οὖν διὰ τῆς *ἑτέρας πίστεως* τὴν ἐναντίαν ἐδήλουν, ὥσπερ οὐδεὶς διὰ τοῦ ζώου δηλοῖ τὸν ἄνθρωπον. . . . . .

ΑΑΤ. Ἐγὼ μὲν οὐδέπω μέχρι καὶ νῦν ἔφθην τὰ τοιαῦτα μεμαθηκώς· θαυμάζω δὲ νῦν ἤδη τοὺς τὴν προσθήκην ἐξ ἀρχῆς τολμήσαντας, εἰ τοσούτων ὄντων τῶν κωλυμάτων οὐκ ἠδέσθησαν ὅμως αὐτὴν ἐξεπιεῖν καὶ τοῖς μετ' αὐτοὺς παραδοῦναι.

synodo symbolum fidei prolatum est a Nestorii asseclis editum, quod hæreticam sententiam continebat et per quod etiam baptizare quosdam in Lydia audebant (*a*). Hoc Patres prælectum quum audivissent et minime tolerandum id judicassent ab eo qui symbolum immutare vellet, statim definitionem protulerunt, ne amplius quis auderet immutare fidem a Patribus expositam vel fidei symbolum. Quare et beatus Cyrillus in epistola ad Joannem Antiochenum probe sciens suam ipsius præceptionem (ipse enim erat magnæ illius synodi præses), *Nullo modo*, inquit, *sinimus concuti fidem a Patribus nostris expositam sive fidei symbolum; neque enim aut nobis aut ulli omnino alteri permittimus, vel unam vocalem immutare ibi positam, vel unam etiam syllabam præterire, memores ejus qui dixit: Ne transferas terminos æternos* (antiquos), *quos posuerunt patres tui. Non enim ipsi erant qui loquebantur, sed Spiritus Patris, qui procedit quidem ex ipso, nec ob id tamen alienus est a Filio secundum essentiæ rationem.* Audis quomodo non sententiam dumtaxat, sed etiam verba et syllabas immutare et transgredi vetat. *Non permittimus*, inquit, *nobis vel aliis*, tanquam ex persona universæ synodi. Et tamen hi œcumenica synodus erant. Verum ipsi definitionem tulerunt prohibitionis (*b*).

LAT. Minime. Sed *aliam* inquit (conc. Chalced.) *fidem*, videlicet contrariam, aliena ab Ecclesia dogmata habentem. Nam fides, quæ explicationem et dilucidationem continet, non erit prorsus contraria, sive uno, sive multis verbis differat.

GR. Miror quomodo non ex verbis eruere tentas sensum loquentium, sed potius verba trahis ad tuum proprium beneplacitum. Nam arbitrari *aliud* significare id quod contrarium, viri minime sapientis est, et ejus qui neutiquam noverit rerum naturæ verbum cuilibet congruum adaptare. Latius enim patet aliud seu diversum, quam contrarium, et non omne quod a quopiam diversum est, jam ei est contrarium. Homo, verbi gratia, aliud est specie ab equo, contrarium vero nullo modo. Substantiæ enim nihil est contrarium. Non ergo per *aliam fidem* significarunt Patres contrariam, sicut nemo per *animal* significat hominem (*c*).

LAT. Ego quidem hucusque talia nondum didici; miror autem jam eos, qui primitus hanc additionem facere ausi sunt, quod cum tot essent prohibitiones, tamen non sunt veriti eam eloqui eamque posteris transmittere (*c*).

(1) Confer eumdem text. apud Cumat. c. 101. Gr. orth. t. II, p. 452, 453.)

(*a*) Vide conc. Ephesini sess. V. Hard. conc. t. I, p. 1515 seq. Mansi, t. IV, p. 1347 seq.

(*b*) Quæ in sequentibus addunturur, sunt: 1° Theodoreti verba de litteris ex Ægypto in Antiochenum patriarchatum missis, quæ vide supra apud Gregorium Constantinopolitanum in Marci confessionem cap. V; 2° Conc. Chalced. Decretum sess. V. (Hard. II, p. 455. Mansi VII, 118.— *Patr. Gr.* tom. CII, p. 364, 365.) Hæc hoc loco omissa sunt.

(*c*) Provocat breviter ad concilium septimum act. VI, a. 880, et ad spuriam Joannis VIII ad eumdem Photium epistolam. Ibique prorsus iisdem utitur verbis, quæ in ejus Confessione supra edita, cap. XVI et XVII, leguntur.

(*d*) Nimirum Latinus victas dat manus, et Ephesio placuit. Eas tam n Græcorum rationes satis infirmas et jam Ferrariæ plerumque refutatas Latini dudum perspectas habuerunt iisque nullo prorsus negotio occurrerunt.

V

Ex epistola Marci Ephesii ad Joannem Palæologum imperatorema (*a*).

Flores intuentibus voluptatem creant, sed verbo A ocius prætereunt et exspirant, ut in his instabilitatem cito perituram considerantes veram et perpetuo sibi constantem voluptatem conquiramus, beatam, sempiternam, et in omni ævo duraturam, qua hic quidem perfruitur anima, divinis sermonibus et speculationibus innutrita, et perpetuo in Domino delectatur, et in futurorum bonorum spe gaudio repletur ; verumtamen post hanc vitam, quæ desideraverat, bona consecuta in omne tempus lætitiis omnibus exsultat. Vox siquidem, dicitur, exsultationis et salutis in tabernaculis 'ustorum.

Τὰ ἄνθη τὸ τερπνὸν ἔχουσι, θᾶττον δὲ λόγου παριοῦσι καὶ φθίνουσιν, ἵνα τὸ ἐν τούτοις ἄστατον καὶ ὠκύμορον ἐννοήσαντες τὴν ἀληθῆ καὶ μόνιμον ἡδονὴν ζητῶμεν, τὴν μακαρίαν, τὴν διηνεκῆ, τὴν ἀνώλεθρον, ἣν ἐνταῦθ· μὲν ἥδεται ψυχὴ θείοις λόγοις τρεφομένη καὶ θεωρήμασι καὶ κατατρυφῶσα τοῦ Κυρίου διὰ παντὸς, τῇ δὲ τῶν μελλόντων ἐλπίδι χαίρουσα, μετὰ δὲ τὴν παροῦσαν ζωὴν ἐπιτυχοῦσα τῶν ποθουμένων εἰς αἰῶνας ἀγάλλεται· Φωνὴ γὰρ, φησὶν, ἀγαλλιάσεως καὶ σωτηρίας ἐν σκηναῖς δικαίων.

(*a*) Hæc epistola, quæ incipit : Δῶρον τοι τοῦτο μικρὸν, in testimonium veritatis, statim post mortem obtigere sanctis Dei visionem, una cum textu a Gregorio patriarcha in Eph. confess. cap. XX allato adducitur (1). Ea utitur Allatius *De synodo Photiana*. Romæ 1662, p. 544.

(1) Locus hic laudatus exstat supra col. 107 ; at ibi nulla mentio fit epistolæ Marci ad Joan. Palæologum.

ADDENDA

AD

OPERA GENNADII PATRIARCHÆ.

—

MONITUM.

—

Gennadius quinque libellos de divina providentia et prædestinatione scripsit, ut videre est in catalogo operum ejus quem a Renaudotio acceptum supra edidimus. Primus, qui incipit : Τὴν ἐξ ἀϊδίου περὶ τῶν ὄντων, prodiit in programmate academico Universitatis Hauniensis an. 1825, quod R. Thorlacius eloquentiæ professor, hoc antiquitatis sacræ monumento ornavit. Secundus is est quem David Hœschelius an. 1594, Augustæ Vind., et Fed. Morellus an. 1618, Parisiis ediderunt, et nos jam supra. Tertius, quartus et quintus nunc primum prodeunt ex codd. mss. Paris., Gennadii ipsius autographis.

—

ΓΕΝΝΑΔΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

ΠΕΡΙ

ΘΕΙΑΣ ΠΡΟΝΟΙΑΣ ΚΑΙ ΠΡΟΟΡΙΣΜΟΥ

ΛΟΓΟΣ Α'.

GENNADII PATRIARCHÆ

DE

DIVINA PROVIDENTIA ET PRÆDESTINATIONE

LIBER PRIMUS.

Τὴν ἐξ ἀϊδίου περὶ τῶν ὄντων καὶ γινομένων γνῶσίν τε καὶ διάταξιν ὑπὸ τοῦ πάντων Δημιουργοῦ ὑποθεσιν ἐν τῷδε τῷ λόγῳ ποιούμενοι, πρῶτον μὲν τὸ τῆς εἱμαρμένης ἀποπεμπόμεθα. Εἰ γὰρ καὶ δύνατόν ἐστι τὴν θείαν πρόνοιαν οὕτω καλεῖν, οὐχ ὡς ἔστιν ἐν τῷ Θεῷ μόνον πρὸ τῆς τῶν προνοουμένων ὑπάρξεως, ἀλλ' ἣ καὶ αὐτοῖς ποτε προσαγομένη τοῖς πράγμασι ταῦτα τοῖς ἀϊδίοις ἐν τῷ Θεῷ περὶ τῆς αὐτῶν ὑπάρξεως καὶ τάξεως λόγοις ἐξομοιοῖ· ἀλλὰ διὰ τὸ μὴ οὕτω τοὺς Στωικοὺς τὴν ἀρχὴν ἐκλαβεῖν τὸ ὄνομα, πάνυ δὲ φαύλως αὐτῷ χρήσασθαι, παραιτούμεθα. Ἀρκεῖ δὲ ἡμῖν τοὔνομα τῆς προνοίας καὶ τοῦ προορισμοῦ, τοῦ ἱεροῦ ὄντος καὶ ἀπλανεστάτου διδασκαλείου. Ἔπειτα ἐπειδὴ ταύτην τὴν πρόνοιαν οἱ μὲν οὐδ' εἶναι οἴονται ὅλως, ἀλλ' εἰκῇ καὶ ὡς ἔτυχεν εἶναι τὰ πάντα καὶ γίνεσθαι, οἱ δὲ διαφόρως αὐτὴν τιθεῖσι, τῶν μὲν δευτέρων διαιρεῖσθαι τὰς δόξας καὶ ἐλέγχειν μακρᾶς ἔργον σχολῆς οἰόμενοι, καὶ οὐδὲ πρόθεσιν τοιαύτην περὶ οὐδενὸς ἐν τῷ παρόντι ἔχοντες, τοῖς δὲ πρωτέροις βοηθῆσαι προῃρημένοι αἰσχίστῃ νόσῳ κατειλημμένοις, ὡς οὔσης ἀναμφισβητήτου, ἐν ἅπασι καὶ περὶ ἁπάντων τῆς τοιαύτης τοῦ θείου προνοίας εἴπερ τι καὶ ἄλλο τῶν ὁμολογουμένως ὄντων, τὰ κεφάλαια τῶν ἀληθεστέρων περὶ αὐτῆς λόγων πλείστων ὄντων ἐκθησόμεθα αὐτῆς συνεφαπτομένης, ἐξ ὧν καὶ ὅτι ὁμολογουμένως ἐστὶ, πεισθεῖεν ἂν ἱκανῶς, οἵ γε μὴ ἀνιάτως ἔχοντες. Διὰ τοῦτο γὰρ καὶ τοῖς πολλοῖς εὐσύνοπτα προαιρησόμεθα λέγειν περὶ ὑποθέσεως βαθυτάτης.

Προϋποτιθέμεθα δὲ ἀντὶ θεμελίου τῷ λόγῳ, ὅτι τὸ μὲν θελῆσαι ἑαυτὴν φανερῶσαι τὴν θείαν πρόνοιαν, τῆς εὐμενεστάτης φιλανθρωπίας ἦν, πρὸς μείζω τοῦ ἀνθρωπίνου ἐξαψὶν πόθου, καὶ ἵνα μὴ ἄκοντες περὶ τὰ μέγιστα ἀσεβῶσι, καὶ ἅμα τῷ φανεροῦσθαι αὐτὴν, τῷ εἶναι εἴπερ που καὶ ἄλλοθι συμφωνεῖ. Ὡς γὰρ ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων, φασὶν, ἀναλόγως ὁ γενεσιουργὸς θεωρεῖται, οὕτως ἐκ τῶν φανερωτάτων τῆς προνοίας ἔργων περὶ αὐτὰ ἡ ταῦτα διατιθεμένη γνωρίζεται πρόνοια. Τὸ δὲ καὶ φανερᾶς οὔσης οὕτως, μὴ ἔχειν ἡμᾶς τὸν θεῖον περὶ τὰς τοῦ ἀνθρωπίνου βίου οἰκονομίας σκοπὸν ἐννοεῖν, ἐξ ἀνάγκης ἐστὶ διὰ τὴν ποικιλίαν αὐτῆς καὶ τὸ πάνσοφον βάθος. Τίς γὰρ ἔγνω νοῦν Κυρίου, φησὶν, ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο; Ὅθεν οὐδὲ θαρρῆσαι τὸν περὶ αὐτῆς λόγον ἔστιν ἀσφαλῶς, εἰ μὴ ὅσον τις ὑπ' αὐτῆς ἐλλαμφθείη, ἢ τοῖς ἐλλαμφθεῖσιν ἔποιτο μόνοις. Διὰ τοῦτο αὐτὴν μόνην ἐλπίσαντες κἀνταῦθα συνεργὸν ἔχειν καὶ ὁδηγὸν, καὶ τὸν ἡμέτερον νοῦν καὶ λόγον ὁρίζουσαν καὶ διατιθεῖσαν πρὸς τὸν τῆς ἀληθείας σκοπὸν λέγομεν.

Αἴτιος μὲν δὴ πάντων τῶν ὄντων καὶ γινομένων ἐστὶν ὁ Θεός· οὐχ ὡσαύτως δέ· ἀλλὰ ποιεῖ μὲν τὰ ὄντα λεγόμενα, αὐτὸς μόνος Κύριος ὤν, τάς τε χωρισμένας οὐσίας, καὶ οὐρανὸν, καὶ τὰ ἐν αὐτῷ σώματα πάντα, καὶ τὰ λεγόμενα στοιχεῖα. Τῶν δὲ γινομένων καὶ τὰ ὄντα αἴτια γίνεται· οὐ γὰρ εἶναι μόνον ἐποίησεν ὁ Θεὸς τὰς τῶν ὄντων φύσεις, ἀλλὰ καὶ αἰτίοις γίνεσθαι ἄλλων αὐτοῖς δέδωκεν, αὐτοῖς τε θειότητός τι ἴχνος ἐντιθεὶς; οὕτως ἵνα ταύτῃ διαφέρῃ τῶν γινομένων, καὶ τοῖς ἐν γενέσει καὶ φθορᾷ πράγμασι μὴ ἀμέσως μόνον γενέσεώς τε αὐτῶν καὶ οὐσίας ἄρχειν τε καὶ ἐπιτροπεύειν, ἀλλὰ καὶ δι' ἄλλων ὑπουργούντων ταῦτα ποιεῖν σοφώτατον ἡγησάμενος διὰ τὸ ἐν αὐτοῖς πολὺ τὸ πλημμελὲς εἶναι, καὶ εἶναι δεῖν, τῶν εἰδῶν αὐτοῖς ἐμβεβυθισμένων τῇ ὕλῃ. Δι' ὃ καὶ φθαρτά εἰσι, καὶ ποιοῦσι μὲν κἀν τοῖς ὑποκάτω τούτοις πολλά. Ζῶά τε γὰρ ἐκ ζώων γίνεται, καὶ ἐκ φυτῶν φυτὰ, ἀλλ' ὁμοειδῶς ποιοῦντα τῷ μὲν προσεχῶς ποιεῖν, καὶ μάλιστα ἂν αἰτία εἴη, ἧττον δὲ τὸ μὴ ἀφ' ἑαυτῶν, ἀλλὰ δυνάμει ἄλλων τῶν

ὑψηλοτέρων ποιεῖν καὶ τὰ μὴ ὁμοειδῶς ποιοῦντα, μάλιστα ἂν αὐτῶν αἴτια εἴη ἄχρι δὴ καὶ αὐτῆς τῆς πρώτης αἰτίας, ἣ πάμπλειστον μὲν ὑπέρκειται τῶν γεννητῶν καὶ φθαρτῶν τούτων, αἰτιωτάτη δέ ἐστι τοῖς προσεχέσιν αἰτίοις αὐτῶν τοῦ ἐξ αὐτῶν αὐτὰ γίνεσθαι. Αὐτὴ γάρ ἐστιν, ἡ τὰς δυνάμεις τῶν ἀνωτέρων πάντων αἰτίων, καὶ αὐτοῦ τοῦ προσεχῶς καὶ τελευταίως παράγοντος τὸ γινόμενον, αὐτῷ προσάγουσα τῷ γινομένῳ, καὶ ἄνευ τῆς δυνάμεως ἐκείνης οὐδὲν ἂν γένοιτο ἐξ ἁπάντων. Διʼ ὃ καὶ τῶν ἐσχάτων ἀμέσως ποιητικός ἐστιν ὁ Θεὸς οὐδὲν ἧττον, καίτοι καὶ διʼ ἄλλων αἰτίων παραγομένων.

Ταῦτα τοίνυν τὰ ὄντα ἃ καὶ αὐτὰ τῶν γεννητῶν εἰσιν αἴτια, κινήσεσι καὶ δυνάμεσι καὶ ἐνεργείαις διαφόροις, κατὰ τὴν ἐν τῷ παντὶ τάξιν αὐτῶν, καὶ τὸ αἰτιῶδες πρὸς τὰ ἔσχατα ταῦτα ἔχουσιν εἰληφότα ἀπὸ Θεοῦ, ὥστε ἑκάστου τῶν γινομένων πάντα ὁμοῦ μετά τινος τάξεως αἴτια εἶναι· ζώου μὲν γὰρ αἴτιον τὸ ἐν αὐτῷ εἶδος ζῴων, ἵππος ἵππου, καὶ λέοντος τὸ ὁμοειδὲς, καὶ ἰχθύος δὲ ὡσαύτως, καὶ πτηνοῦ καὶ φυτοῦ· αἴτια δὲ αὐτοῦ τὰ στοιχεῖα· αἴτια δὴ καὶ σελήνη καὶ οἱ ἄλλοι ἀστέρες καὶ ἥλιος μάλιστα, καὶ οὐρανὸς ὑπὲρ ταῦτα, ὧν ἑκάστῳ μὲν ἔστιν αἰτιώτερον, τὸ συνώνυμον, ἁπλῶς δὲ τὸ κοινότερον. Ὅτι τε πλειόνων ἐστὶ, καὶ αὐτῷ τῷ ἐσχάτῳ παράγοντι τυῦ τε γενέσθαι καὶ εἶναι τοῦ τε ποιεῖν αἴτιον.

Κοινότατος δὲ καὶ ἔσχατος αἴτιος ὁ Θεός· ἔστι γὰρ τῶν δευτέρων πάντων ποιητικὸς, καὶ δυνάμεως αὐτῶν ἁπάσης, καὶ ἐνεργείας, καὶ τῇ αὐτοῦ δυνάμει ἐκεῖνα πάντα ποιοῦσιν, οὐ τῷ ἅπαξ δοθῆναι αὐτοῖς τὴν τοῦ ποιεῖν δύναμιν μόνον, ἀλλὰ καὶ τῷ διηνεκὲς τὴν αὐτὴν αὐτοῖς δίδοσθαι, ἑνὸς ὄντος περὶ αὐτῶν τροῦ θείου βουλήματος ἐξ ὅτου ὑπέστησαν, καὶ ἐκεῖθεν εἰς τοὺς αἰῶνας διατείνοντος ἐνεργοῦ. Καὶ τὸ βούλεσθαι τὸν Θεὸν τὰ αὐτὰ αὐτοῖς ἀεὶ, καὶ αὐτῶν ἐν τοῖς αὐτοῖς ἀεὶ ὄντων. Οὐ γὰρ τῷ πεφυκέναι ἐποίει ταῦτα, ἀλλὰ τῷ βούλεσθαι· διʼ ὃ καὶ χρείττω εἰσὶ γήρως τε καὶ φθορᾶς, καὶ τῆς ἐκ τοῦ χρόνου ἀσθενείας ἐν τῷ ποιεῖν, εἴτε ἔμψυχα ὄντα, εἴτε σώματα μόνον, εἴτε ὑπὸ χωριστῶν οὐσιῶν κινούμενα, τὴν χρείαν τῷ παντὶ παρέχεται ἕκαστα, τὴν ἐκ τοῦ ποιητοῦ καὶ δεσπότου σφίσιν ἀφωρισμένην. Καὶ τῶν ἐσχάτως δὲ ποιούντων ἕκαστον, φημὶ δὲ τῶν ἐν γενέσει, ἀσθενοῦν ἐν τῷ ποιεῖν, τελευταῖον τὴν τοῦ ποιεῖν ἀποβάλλει δύναμιν, καὶ τὸ εἶναι.

Τῷ μέντοι γε ξύμπαντι αὐτῶν εἶδει τὴν τοιαύτην δύναμιν ὁ Θεὸς ἐκ διαδοχῆς διαρκοῦσαν δίδωσιν, ὑπηρετουμένων τῶν ὑψηλοτέρων κτισμάτων, τῇ θείᾳ βουλήσει τὴν ἐκπλήρωσιν τῆς δυνάμεως. Ὧν δὲ οὐκ ἐξ ἀτόμων ἡ γένεσις, ἀλλʼ ἐκ τῆς τῶν στοιχείων ὕλης, οὐδὲ τούτων ἐκλείπει τὸ εἶδος, κατὰ διαδοχὴν, τῆς ἐν τῇ ὕλῃ δυνάμεως ἐκ Θεοῦ τῇ δράσει τῶν ἀνωτέρων ποιητικῶν διατιθεμένης ἐγκαίρως πρὸς τὴν τούτων παραγωγήν. Εἰ καὶ ποιητικὰ τοίνυν διὰ τοῦτο λέγονται τῶν γινομένων τὰ ὄντα τῷ τῆς αἰτίας γένει, ἀλλʼ ὀργανικόν ἐστι τὸ αἰτιῶδες αὐτῶν. Ἑκάστου τε γὰρ αὐτῶν ἡ ποιητικὴ δύναμις τῇ τοῦ ἀνωτέρου παραβαλλομένη ὀργανική ἐστι πρὸς αὐτήν. Καὶ πάντων ἅμα αἱ δυνάμεις ὀργανικαί εἰσι πολλῷ μᾶλλον πρὸς

A τὴν τοῦ πρώτου ποιοῦντος δύναμιν. Ἐκείνων μὲν γὰρ ἕκαστον τὴν τοῦ κατωτέρου δύναμιν οὐ ποιεῖ, ἀλλʼ ἐκ Θεοῦ πεποιημένῃ χρῆται μόνον. Δημιουργεῖ δὲ ὁ Θεὸς καὶ τὰς πάντων δυνάμεις μετὰ τῶν οὐσιῶν. Καὶ δημιουργὸς μέν τις ἐν ἀνθρώποις τέχνης τινὸς ποιήσειεν ἂν τὸ τῆς τέχνης ὄργανον, εἶτα καὶ χρήσαιτο, ἢ χρήσαιτο ἐξ ἄλλου λαβών· ἀλλʼ οὐκ ἄν ποτε καὶ ὀργάνου χωρὶς ἀποτελέσειέ τι τῶν τῇ τέχνῃ οἰκείων. Ὁ δὲ Θεὸς ἄνευ ὀργάνου ποιεῖν δυνάμενος ἕκαστα καὶ ποιῶν ἔστιν ἃ τὰ αὐτὰ καὶ διʼ ὀργάνων ποιεῖ περιουσίᾳ σοφίας καὶ ἀγαθότητος, τὰ ἐν τοῖς γεννητοῖς δηλονότι. Ταύτῃ τοι καὶ τὰ ὄντα πάντα ποιήματα γεγονότα αὐτοῦ κοινωνεῖ μὲν τῆς ὁμοιότητος αὐτοῦ ἀμωγέπη· δεῖ γὰρ τὸ ἔργον ἐοικέναι πη τῷ τεχνίτῃ, καὶ τὰ μὲν ἐν πλείοσι, τὰ δὲ ἐν ἐλάττοσι κοινωνεῖ κατὰ τὴν φύσιν τοῦ εἴδους εἴτε πλείους αὐτῷ, εἴτε ἐλάττους τελειότητες ἔνεισιν, ἐκ τῆς τῶν τελειοτήτων ἀνεικάστου πηγῆς. Ὁμοίωται δέ πη καὶ τῷ παράγειν, οἷς τοῦτο ἔδωκε, τὰ μὲν πλειόνων, τὰ δὲ ἐλαττόνων ὄντα πρακτικὰ, κατὰ τὴν ἐν τῷ παντὶ αὐτῶν τάξιν. Πάντα δʼ ὁμοῦ ἀπὸ τῶν ὑψηλοτέρων ἐπὶ τὰ ἔσχατα κατιόντι δοῦλά εἰσιν ὁμοίως, καὶ οὐδέν ἐστι θειότητος ἐν αὐτοῖς, εἰ μὴ ὃ ποιήμασι καὶ δούλοις τοῦ ἀρίστου δημιουργοῦ καὶ δεσπότου πρέποι.

Ταύτῃ τοι καὶ ποιητικὸν αἴτιον αὐτός ἐστι μόνος, εἰ κυρίως βουλόμεθα λέγειν, τὰ δὲ ἄλλα δουλεύει ὡς ὄργανα. Καὶ πρώτην μὲν αἰτίαν αὐτὸν, τὰ δὲ λέγοντες αἴτια δεύτερα τοῖς ὀνόμασι τῆς τάξεως καταχρώμεθα. Τὰ μὲν γὰρ τοῖς συντεταγμένοις τε καὶ συστοίχοις προσήκει. Ὁ δὲ πάντων ἀπειράκις ἀπείρως ἐξῄρηται ἐνεργείᾳ καὶ δυνάμει καὶ φύσει. Διʼ ὃ καὶ μόνος αὐτός ἐστι Θεός τε καὶ ὅσα τῷ ὀνόματι τούτῳ νοοῦμεν, καὶ τέλος αὐτός ἐστι πάντων καὶ ἀγαθὸν, καὶ οὗ πάντα ἐφίεται.

Τῇ αὐτῇ δὲ ἀγαθότητι καὶ δυνάμει ὡς ἐξ οὐκ ὄντων πεποίηκε, καὶ προνοεῖ δήπου αὐτῶν κατὰ τὰς ἑκάστων φύσεις· καὶ βούλεται μὲν ἑκάστῃ φύσει τὸ ἀγαθὸν, ὃ ποτε αὐτὸς ἐβουλήθη ἑκάστῳ ἀγαθὸν εἶναι καὶ τέλος, ἀγαθὸς ὢν, καὶ ἀγαπῶν ἃ ἐποίησε. Τάττει δὲ πρὸς τὸ οἰκεῖον ἕκαστα τέλος πάνσοφος ὢν, ὡς οὐκ ἂν ἄλλως ταχθησομένων· τὴν δὲ τοιάνδε τάξιν ἀποπληροῖ πάντα δυνάμενος. Αὐτίκα γὰρ προνοεῖ τῶν γεννητῶν τούτων πάντων, οὐ μόνον τῆς D κατὰ διαδοχὴν ἐν τῷ εἴδει διαμονῆς αὐτῶν, ἕως ἂν καὶ ἡ ἀνθρώπων γένεσις ᾖ, πρὸς ἣν τεταγμένα εἰσὶν, ἀλλὰ καὶ τῆς προσκαίρου διαμονῆς τῶν ἐν ἑκάστῳ εἴδει ἀτόμων.

Ἡ γὰρ πρόνοια τῆς ἀδιαλείπτου κινήσεως τοῦ παντὸς τούτου καὶ τῶν αὐτοῦ μερῶν ὧν ἐκ τῆς τοιᾶσδε κινήσεως αὐτὰ γίνεταί τε ὁπωσοῦν καὶ ζῇ, καὶ τῆς αὐτῶν γενέσεως καὶ ζωῆς ἐστι πρόνοια, ἑκάστοις ἀμερίστως συνδιανεμομένη γνώσεως ὑπερβολῇ καὶ δυνάμεως, ἅτε τῆς ὑπεραγάθου θελήσεως ἀκάματον ἀπὸ τῶν ὑψηλοτέρων μέχρι καὶ τῶν ἐσχάτων τὸν ἑαυτῆς δρόμον ἐξανιούσης ἐν ἑκάστῃ χρόνου ροπῇ, ὃς ἐστι τὸ ὑπὸ πάντων ἅμα μετέχεσθαι κατὰ τὴν ἀπʼ αὐτῆς ἑκάστῳ διδομένην τοῦ μετέχειν ἰσχὺν μετὰ τῆς ἐν τῷ παντὶ πάντων εὐαρμοστίας. Ἰδιαίτεσον

μὲν τοίνυν τῶν ἀτόμων προμηθεῖται ἐκείνων, ἅπερ ἀμέσως εἰς αὐτὸν τάττονται καὶ ἀμέσως αὐτοῦ ποτε δύνανται ἀπολαύειν, οἷα δὴ τὰ τῆς λογικῆς ἄτομα φύσεως. Καὶ διὰ τοῦτο ποῦ μὲν τῶν λογίων ἐστὶ τὸ χωρὶς τοῦ θείου θελήματος μηδὲ στρουθίον τῇ παγίδι ἐμπίπτειν, ποῦ δὲ τὸ μηδὲν τῷ Θεῷ περὶ τῶν βοῶν μέλειν, πάνυ ἀληθεύοντος ἑκατέρου. Ὡς γὰρ κατὰ θεῖον θέλημα στρουθίον ἁλίσκεται, οὕτω καὶ βόες τρέφονταί τε ὑπ' ἀνθρώπων καὶ θύονται. Ὃν δὲ τρόπον οὐ μέλει τῷ Θεῷ περὶ τῶν βοῶν, τοῦτον οὐδὲ τῶν στρουθίων αὐτῷ μέλει. Μέλει γὰρ αὐτῷ περὶ αὐτῶν ὥστε ἀπολαύοντα τοῦ εἶναι, εἰς ὅσον αὐτοῖς ἁρμόττει, καὶ ὡς αὐτῷ ἤρεσε κηρύττειν καὶ σιγῶντα τὸν ποιητήν, τοῖς λόγου περιουσίᾳ, καὶ ἐξ αὐτῶν δυναμένοις φιλοσοφεῖν, καὶ εἰς ἔρωτά τε καὶ θαῦμα τῆς πανσόφου δυνάμεώς τε καὶ ἀγαθότητος προκόπτουσι τελεῖσθαι· καὶ ὥστε μὴ εἴργεσθαι τὴν ἰδικὴν περὶ τῆς ἀνθρωπίνης ζωῆς πρόνοιαν, οὗ χάριν τὰ πλεῖστα ἔστι καὶ γίνεται, καὶ οὗ τῇ χρείᾳ δουλεύειν τέτακται καὶ ὑπηρετεῖν. Καὶ ἔτι μέλει περὶ αὐτῶν, ὥστε τὴν τοῦ ἀνθρώπου συμπάθειαν κἂν τοῖς ἄλλοις διαφαινομένην ὁρᾷν, ὃν προνοεῖν χρῆναι τὸν ἄνθρωπον ἕως ἂν αὐτοῦ ζῶντα ταῖς χρείαις ὑπηρετῇ.

Τοιαῦτα τῷ Θεῷ περὶ αὐτῶν μέλει, ἐπέκεινα δὲ οὐδὲν, ὅτι μηδὲν ἐπέκεινα τῆς ἐνταῦθα ζωῆς τοῖς τοιούτοις τέλος ἐστὶν, οὐδὲ αὐτῆς αἱρέσει τινὶ ἐφιεμένοις, ἀλλ' ὁρμῇ φυσικῇ μόνον· οὔτε εἰδόσι γοῦν εἴς τί ποτε αὐτοῖς ἡ πρόσκαιρος ζωὴ φέρει. Καὶ οὐ μόνον ἀνθρώπῳ ταῦτα δουλεύειν τέτακται, ἀλλὰ καὶ ἐν σφίσιν αὐτοῖς τὰ ἀσθενέστερα τοῖς ἰσχυροτέροις τροφὴ γίνεται. Καὶ ὗει μὲν ὁ Θεὸς ἵνα βοτάνη φύῃ· ἐῶ γὰρ δι' ὅσων καὶ τὸ ὗειν ποιεῖ· φύεται δὲ ἵνα τραφῇ καὶ πρόβατον, πεινῶντι δὲ ἄκος αὐτὸ γίνεται λύκῳ, καὶ λύκος ὁμοίως λέοντι. Τὸ δὲ τῶν ἀνθρώπων πρᾶγμα οὐχ ὁμοίως τοῖς ἄλλοις γεννητοῖς καὶ φθαρτοῖς ἔχει, ἀλλὰ σύγκειται μὲν ἐκ θνητοῦ καὶ ἀθανάτου τὴν ἀρχὴν ἄνθρωπος· ἀπαλλαττόμενος δέ ποτε τοῦ θνητοῦ τῷ ἀθανάτῳ ζῇ μόνῳ· καὶ εἴ ποτε τὸ θνητὸν ἀναλήψεται, ἠλλοιώθη ἤδη, ὥστε τὴν σὺν αὐτῷ ζωὴν μηδὲν διαφέρειν πρός γε τὴν νοερὰν ἐκείνην εὐδαιμονίαν τῆς τῷ ἀθανάτῳ μόνῳ ζωῆς πλὴν ὅτι τελείας αὐτῆς ἀπολαύσεται· εἶγε κατ' αὐτὸ μὲν συντίθεται, συμβεβηκότι δὲ διαλύεται, ὃ δεῖ μὴ ἄδιον εἶναι. Ταῦτα γὰρ ἀξιοῦμεν ἐκ τῆς τῶν ἱερῶν ἀξιοπιστίας λογίων, οἷς καὶ τὸ εὔλογον ἱκανὸν ἔνεστι. Διὰ τοῦτο δημιουργεῖ μὲν [illegible]τὰ ἀνθρώπινα σώματα ὁ Θεὸς, ᾗ δὴ καὶ τὰ τῶν λοιπῶν ζώων καὶ ὅσα ἐν τοῖς γεννητοῖς ζῇ ἐκ σπέρματος καὶ τῶν ὑψηλοτέρων ποιητικῶν, ταυτὸν δὲ εἰπεῖν, τῇ ὁδῷ τῆς φύσεως ᾗ τὰ μὲν ποιεῖ, τὰ δὲ γίνεται· δημιουργεῖ δὲ ἑκάστῳ σώματι ἀμέσως, ὡς τὰς κεχωρισμένας οὐσίας ἐποίησε πρότερον. Τοῦτο γάρ ἐστι τὸ πλάττειν αὐτὸν κατὰ μόνας τὰς τῶν ἀνθρώπων καρδίας, καὶ τὸ ἕως ἄρτι ἐργάζεσθαι περὶ ἀνθρώπων εἰδικώτερον εἴρηται, οὐ μόνον δημιουργουμένων πάντων ἐκ νέου, ἀλλὰ ἐκ πονηρίας ὁσημέραι εἰς ἀρετὴν ἀναπλαττομένων, ὅσοι ἑαυτοὺς ἑτοίμους παρέχουσιν.

Ἀλλ' ἐκείνας μὲν ὁμοῦ παρῆγεν, ἐν ἑκάστῳ δὲ σώματι ἀνθρώπου νέαν κτίζει ψυχὴν, ἵνα μήτε ἔξωθεν εἰσκρινομένης πολλὰ τὰ ἄτοπα καὶ ἀδύνατα ᾖ, μήτε συνούσης τῷ σπέρματι καὶ διαδοχῇ γεννωμένης χείρω ἀκολουθοίη. Καὶ ὡς μὲν ἡ ἐν τοιῷδε σώματι τοῦ ἀνθρώπου ζωὴ νῦν παρὰ τὴν ἐξ ἀρχῆς τοῦ Θεοῦ περὶ αὐτοῦ ἐστι βούλησιν καὶ ὡς δίκην τινὰ τὴν ἐν αὐτῷ ζωὴν ἡ ψυχὴ πονηρᾷ ποτε καὶ ἀλόγου ἐπιθυμίας· ὅτι τε ἡ σπουδαίως τῇδε βιώσασα καὶ καθαρθεῖσα ὡς οἷόν τε ἐκουσίως εἰς τὸν ἡτοιμασμένον ἐν οὐρανοῖς αὐτῇ τόπον ἀνίπταται εὐθὺς ἀπαλλαττομένη, τὰ τοιαῦτα ὡμολογημένα οὐκ ἐπεξεργάζεσθαι χρή. Καὶ ὅτι τὸ τέλος ἀνθρώπου, ἡ τοῦ ἐσχάτου ἀγαθοῦ μετουσία ἔνεστιν ἐν τῷ ἀμυδρῶς καὶ κατ' εἶδος νοεῖν τὸν Θεὸν, αὐτὸν ὄντα τὴν πρώτην ἀλήθειαν καὶ τὸ ἔσχατον ἀγαθόν.

Ἀλλὰ περὶ τοῦ ὅπως προνοεῖ αὐτοῦ ὁ Θεὸς οὕτω τε καὶ ἐκ τοιούτων δημιουργουμένου λέγομεν μόνον. Προνοεῖ μὲν δι' αὐτοῦ, ἁπλῶς εἰπεῖν, κρεῖττον ἢ κατὰ πάντα τά τε ὄντα τά τε γινόμενα, οὐχ ὅτι αὐτῷ μᾶλλον μέλει τὸ αὐτοῦ ἀγαθὸν ἢ ἐκείνοις τὸ οἰκεῖον ἑκάστοις, ἀλλ' ὅτι τὸ ἀνθρώπου ἀγαθὸν μεῖζον μὲν ἔστιν ἢ κατὰ τὰ ἄλλα, πολλῇ δὲ ἀνθρωπίνῃ σπουδῇ, καὶ πλείονι τῇ ἐκ Θεοῦ ῥοπῇ ἀνυστὸν, διὰ τὰς συνούσας τῷ ἀνθρωπίνῳ βίῳ δυσχερείας. Ὅθεν αὐτοῦ οἱ πλείους ἀποτυγχάνουσι δι' ἐθελοκακίας, οὐδὲ τῆς θείας ἀξιούμενοι συνεργείας σὺν δίκῃ.

Τῶν μὲν γὰρ ἄλλων γεννητῶν οὐχ ὅπως ἀεὶ εἴη προνοεῖ, ἀνθρώπου δὲ ὅπως τε εἴη, καὶ ἄμεινον εἴη· οὐρανοῦ δὲ καὶ τῶν ἄλλων σωμάτων οὐχ ὅπως ἄμεινον ἔχοι, ἀλλ' ὅπως ἀεὶ μόνον εἴη, καὶ μηδέποτε παύσαιτο τοιαῦτά τε ὄντα καὶ ἐνεργοῦντα ὑπ' ἐκείνων μὲν γὰρ οὐδέτερα νοῦν ἔχει καὶ τὴν συνοῦσαν ἀνθρώπῳ προαιρετικὴν δύναμιν· ἀλλὰ τὰ μὲν κινεῖται ἀεὶ πρὸς τὸ αὐτοῖς βέλτιστον τοιούτοις οὖσιν ἐκ τῆς θείας ἀμέσως βουλήσεως, ἢ ἔκ τινων κεχωρισμένων οὐσιῶν δυνάμεως ἐπαφῇ, μήτε εἰδότα μήτε προαιρούμενα. Εἰ δέ ποτε μεταβαλεῖ καὶ αὐτὰ οὐ κατὰ φύσιν, ταῖς δὲ κινήσεσι καὶ ταῖς δράσεσι, καὶ τοῦτο εἵνεκα τῆς τῶν ἀνθρώπων βελτιώσεως αὐτοῖς ποτε ἔσται. Τὰ δὲ κινεῖται ἕως ἂν ᾖ μηδὲ αὐτὰ ὅλως προῃρημένα. Ἄνθρωπος δὲ προαιρέσει τε κεχρημένος καὶ ἀφορμαῖς πλείοσι κατὰ τὸν βίον συνὼν τοῦ τε προαιρεῖσθαι ἀεὶ τὰ εἰς τἀγαθὸν φέροντα, τοῦ τε συνεῖναι τοῖς ἀφιστῶσιν αὐτοῦ διὰ τὸ μὴ νῷ μόνῳ καὶ διανοίᾳ ζῆν, ἀλλὰ καὶ φαντασίαις γε καὶ αἰσθήσεσι, καὶ ὀρέξεσι τοιαύταις, ἃ δὴ ἐκ τοῦ συνημμένου ἀνίσχει σώματος, καὶ ἃ πρὸς τὸ αὐτοῖς ἀγαθὸν, τοῦτο δέ ἐστι τὸ μερικὸν τὴν τοῦ ἀνθρωπίνου λόγου βιάζεται συγκατάθεσιν, ἂν μὴ σφόδρα ἐῤῥωμένος ᾖ, ὥστε αὐτὰ ἄγχειν, ἀλλ' ἔκων ἐκλύηται.

Τοιοῦτος τοίνυν ὢν, οὐκ ἄν ποτε ὑπερβαίνων τὰς δυσχερείας πάσας, καὶ τὰ ἀγαθὰ ἀεὶ προαιρούμενος, καὶ κατά τε λόγον καὶ νόμον τὸν ἐκ Θεοῦ ζῶν, καὶ τῶν μὲν μερικῶν καὶ προσκαίρων πάντων ὑπερορῶν ἀγαθῶν, εἰ μὴ ὅσον ἀνάγκη χρῆσθαι ὡς ὀχήμασι καὶ ὀργάνοις, πρὸς δὲ τὸ ὄντως ἀγαθὸν ἐπειγόμενος, καὶ οὕτω καθαιρόμενός τε καὶ τῆς δίκης ἀπολυόμενος, ὁσημέραι ἄξιος γίνοιτο εἰς τὸ οἰκεῖον πέρας ἐλθεῖν, μὴ προνοίας ἰδιαιτάτης ἐκ Θεοῦ τυγχάνων.

Αὐτῶν τε τῶν κεχωρισμένων οὐσιῶν, ἃς ἀγγέλους φαμὲν καὶ λειτουργὰ πνεύματα, οὐχ οὕτω ποικίλως καὶ πολυειδῶς προνοεῖ τὸ Θεῖον, ὡς ἡμῶν τῶν ἀνθρώπων, τὰ πλεῖστα τῆς κυβερνήσεως αὐτοῖς τοῖς πνεύμασιν ἐπιτρέψαν, καὶ ἐπιτρέπον διηνεκῶς ἰδιαίτερον ἐν τοῖς ἀξιώτερον ζῶσι. Προνοεῖ γὰρ κἀκείνων τῶν φύσεων, ὅπῃ ἂν μόνα τὰ βέλτιστα καὶ ἀληθέστατα ἐννοοῦσαι τὴν ἀρίστην τε καὶ εὐδαιμονεστάτην ἀνύωσιν ἑκεῖ ζωήν, συντηρῶν αὐτὰς ἐν τῷ ἀποδοθέντι ἑκάστῃ τῆς εὐδαιμονίας ὅρῳ, ὅπῃ ἂν μηδέποτε ἀποπίπτοιεν, ὧν ἕνιαι πεπονθυῖαι μυρίων κακῶν σφίσι τε αὐταῖς αἴτιοι, καὶ τῷ ἀνθρωπίνῳ γένει εἰσὶ καὶ γίνονται ὁσημέραι. Ἀλλ' οὐ μεταβάλλει αὐτὰς πρὸς τὸ ἄμεινον ἢ βελτιοῦσθαι προθυμουμένας χειραγωγεῖ· οὐ γὰρ ἂν τι αὐταῖς ἄμεινον γένοιτο ἐν τῷ ἐσχάτῳ τῆς εὐδαιμονίας ἱδρυμέναις ἀπὸ Θεοῦ βαθμῷ, καὶ αὐταρκουμέναις ἑκάστῃ κατὰ τὸ εἶδος· φημὶ δὲ τὸ εἶδος, ὅτι εἴδεσι διακεκριμέναι εἰσὶ, καὶ ἐν τῇ ἀτομότητι αὐτῶν εἰδός ἐστιν ἄλλο αὐτῶν ἑκάστη.

Καλῶς ἄρα ἐλέγετο ὅτι κρεῖττον, ἡ κατὰ τὰ ἄλλα πάντα, τοῦ ἀνθρώπου προμηθεῖται τὸ Θεῖον, κἀν τῇ ἀνθρωπίνῃ φύσει τὸ πάνσοφον καὶ πολυειδὲς τῆς οὐρανίου ἐπιμέλει, ἅμα δὲ καὶ εὐμενέστατον ἀναφαίνεται. Ἀλλὰ χωρίσασιν ἐπισκεπτέον ἡμῖν τὴν περὶ τὸν ἄνθρωπον κηδεμονίαν τύπῳ τε καὶ ὁλοσχερῶς. Τῆς μὲν οὖν ψυχῆς τοῦ ἀνθρώπου, ὡς εἴρηται, πρόνοιαν ποιεῖται ὁ Θεὸς μάλα ἐπιμελῶς, ὅπως τὸν οἰκειότατον καὶ λυσιτελέστατον ἑλομένη βίον ἐνταῦθα καὶ ὡς οἷόν τε ἐξανύσασα, καὶ κατὰ λόγον καὶ νόμον βεβιωκυῖα τοῦ κειμένου αὐτῇ τύχῃ τέλους, καὶ οὐ χάριν τοιαύτη γέγονε. Τί γε ἄλλο εἰ μὴ εἰκὼν ἐν γῇ τοῦ Θεοῦ, ὡς τὰ θεῖα λόγια ἀποφαίνεται, καὶ αὐτοῖς τὰ ἔργα συνηγορεῖ; Καὶ οὐ μόνον προνοεῖ τῆς φύσεως ὅλης ἀπ' ἀρχῆς ἄχρι καὶ νῦν, ἀεὶ τὸν ἀνθρώπινον καταρτίζων λόγον, νόμοις τε καὶ παραδείγμασι βίου ἀρίστου, ἃ τῷ ἀνθρωπίνῳ γένει κατέπεμψεν, ἀλλὰ καὶ ἑκάστης ψυχῆς· ἰδικώτερον προνοεῖ, ὅπως ἂν ἐφαρμόζοιτο τοῖς τῇ φύσει διδομένοις ἐξ αὐτοῦ ἀγαθοῖς. Εἰ δὲ πολλοὶ ἀποφοιτῶσι τῶν θείων μαθημάτων, ἢ οὐδὲ τὴν ἀρχὴν ἐθέλουσιν αὐτὰ ζητεῖν, καὶ διὰ τοῦτο ἐνταῦθά τε τυφλοὶ διαπορεύονται διανοίᾳ καὶ θελήσεσι διεστραμμέναις φρονοῦντές τε καὶ βιοῦντες, ὃν ζωὸν καλοῦμεν βίον, καὶ ἐπειδὰν ἀπαλλαγῶσι τοῦ σώματος, τοῦ μὲν τῇ φύσει κειμένου τέλους οὐκ ἀξιοῦνται, εἰς δὲ τὸν τῆς ἀθλιότητος καταπῶνται τόπον, ὃς ἐστιν οἰκεῖος τῇ αὐτῶν ζωῇ· τοῦτο οὐ χρὴ θαυμάζειν.

Οὐ γὰρ δὴ τοῦτο παρὰ τὸν Θεῖον σκοπόν ἐστι, τὸ ἐνδέχεσθαι τοιούτους εἶναί τινας· μὴ ἐνδέχεσθαι γὰρ τοῦτό γε οὐκ ἂν οἷόν τε ἦν, ἕως ἂν ἄνθρωποι ὦσι τῇ φύσει. Προαίρεσις δὲ τῶν ἐν ἀνθρώποις τὸ βέλτιστον καὶ τὸ τοῦ ἐν αὐτοῖς ἴδιον λόγου, καὶ ᾧ τῇ θείᾳ πῃ ἐξομοιοῦνται ζωῇ. Οὔτ' ἂν οὖν συνήνεγκεν αὐτοῖς βιάζεσθαι ἐπὶ τὸ ἀγαθὸν, οὔτ' ἂν οἷόν τ' ἦν ἕως ἂν προαιρέσει δύναιντο χρῆσθαι ἄνθρωποι ὄντες, οὔτε εἰ μὴ ἄγοιντο πρὸς τἀγαθὸν ἢ ἀπάγοιντο αὐτοῦ βιαζόμενοι, ἀλλ' αἱρούμενοι καὶ ἑκόντες, θαυμαστὸν ἐς· εἰ μὲν προῄρηνται τὸ βέλτιον, εἰ δὲ ἐπὶ τὸ χεῖρον ὥρμηνται. Οὔτε ἡ πονηρία τῶν ἀνθρώπων τοῦ περὶ αὐτοὺς ἐπικρατεῖν δόξειεν ἂν εὐλόγως θείου σκοποῦ. Εἰ γὰρ τὸ βέλος γνώμην εἶχεν, ὥστ' ἀφιέμενον ὅμως ἔρχεσθαι καὶ ἐκὸν ἐπὶ τὸν σκοπὸν ἢ παραφέρεσθαί ποι καὶ διαπίπτειν, καὶ τοιοῦτον αὐτὸ ὁποῖον ἐποίει θέλων τε καὶ δυνάμενος. Ὁ αὐτός γε ὢν καὶ ποιητὴς αὐτοῦ καὶ τοξότης, ἡ μὲν ἀγαθὴ αὐτοῦ πρόνοια διεφαίνετ' ἂν ἐν τῷ προθεῖναι μὲν τὸν σκοπὸν, καὶ οἰκεῖον τῇ δυνάμει τοῦ βέλους, ἀφεῖναι δὲ πρὸς αὐτὸν εὐφυῶς καὶ ἠρέμα τι καὶ συνεπωθεῖν, εἰ βούλοιτο, καὶ ἑαυτὸ ἄγειν· εἰ δὲ ὧδέ που παραφερόμενον, καὶ οὐχ ἑπόμενον τῷ καλῶς ἀφιέντι τε καὶ συνεπωθοῦντι, ἢ καὶ ἐδοποιοῦντι, μὴ ἐφίκοιτο τοῦ σκοποῦ, ἀλλ' αὐτοῦ που καταπίπτοιτο κείμενον, οὔτ' ἂν ἀσθένεια τῆς ἐπ' αὐτῷ προνοίας εἴη τοῦτό γε, ἢ ἐθελοκακία.

Οὕτω δὴ καὶ Θεὸς προνοεῖ μὲν ἑκάστου ἀνθρώπου, ὅπως ἂν ὡς βέλτιστος γεγονὼς, καὶ τῷ μὲν νῷ τἀληθὲς ἐκζητήσας, ὃ τέλος οἰκεῖον αὐτῷ, τῇ δὲ θελήσει τὸ ἀγαθὸν, τῇ διπλῇ ταύτῃ ὁδῷ εἰς τὸν τῆς εὐδαιμονίας ἄξιος ἀναχθῇ τόπον. Καὶ ἀνάγονταί γε ὡς πλεῖστοι, ἀλλ' οὐδένα βιάζεται, ὥστε καὶ μὴ βουληθέντα ἂν λαβεῖν ὃ παρ' αὐτῷ πρόκειται ἀγαθόν. Τοῦτο γὰρ ἀδύνατον ἂν ἦν διὰ τὰ εἰρημένα. Εὐλόγως δὲ καὶ ὁ διττὸς τοῖς ἀνθρώποις τύπος ἡτοίμασται. Εἰ γὰρ ἀϊδίως ζῇν ἔδει αὐτοὺς τοῦ σώματος ἀπαλλαττομένους, οὐκ ἂν ὁμοίως ἔδει ἐκεῖ ζῆν τοὺς μὴ ὁμοίως ἐνταῦθα προῃρημένους, μήτε τῶν αὐτῶν ἐπιθυμήσαντας διὰ βίου. Οὔτε συνεῖναι δίκαιον ἦν τοὺς πλεῖστον κἀνταῦθα τῇ προαιρέσει ἀφεστηκότας, ἀλλὰ τοὺς μὲν κεκαθαρμένους τε καὶ φιλοσοφήσαντας εἰς τὸν τοιούτοις πρέποντα ἀφικνεῖσθαι τόπον· τοὺς δὲ τῶν αἰσθητικῶν ὀρέξεων ἐμπλησθέντας, καὶ τὴν χρείαν τῆς ἐνταῦθα ζωῆς ἀγνοήσαντας ἐκεῖ μὲν οὐ παραγίνεσθαι. Ἀκάθαρτος γὰρ οὐδεὶς εἰσέλθοι δι' ἐκείνης τῆς πύλης, ὁ ἱερὸς ἔφη λόγος, σκότους δὲ καὶ ἀθλιότητος γέμοντι ἐναπολαμβάνεσθαι χώρῳ.

Τούτοιν τοῖν χωρίοιν καὶ ταῖν διατριβαῖν ὁ μὲν ἔστι κατὰ φύσιν τῷ ἀνθρώπῳ ἡτοιμασμένος, καὶ ἀποδιδόμενος τοῖς κατὰ φύσιν βεβιωκόσιν, ὁ δὲ ἀπέτευξίς ἐστι τοῦ οἰκείου τέλους τοῖς μὴ ἐπιθυμήσασιν αὐτοῦ μήτε ἐπιμεληθεῖσι τυχεῖν. Καὶ τὸν μὲν ἡ ἀγαθότης τοῦ Θεοῦ ἑτοιμάζει, τῆς δικαιοσύνης αὐτοῦ συμψηφιζομένης, ἀγαθὴ γάρ ἐστι καὶ αὐτὴ, τὸν δὲ ἡ Θεία δικαιοσύνη, τῆς ἀγαθότητος οὐκ ἀντιφερούσης, καὶ αὐτὴ γὰρ τὰ δίκαια βούλεται. Σαφώτατα δὲ καὶ τῆς σωματικῆς τοῦ ἀνθρώπου προνοεῖται ζωῆς ἐνταῦθα οὐ πρὸς αὐτὸ τὸ ζῆν μόνον, ἀλλ' ὅπως ἡ ψυχὴ αὐτῷ μὴ ἐμποδίζοιτο ὑπ' αὐτῆς πρὸς τὸ τέλος, καὶ ὁδηγοῖτο.

Ὅτι μὲν οὖν πάντων, ὧν πεποίηκεν ὁ Θεὸς καὶ ποιεῖ, προνοεῖ, καὶ διαφόρως κατὰ τὴν τάξιν τῆς ἑκάστων οὐσίας, καὶ ὅτι πέρας τῆς τοιαύτης προμηθείας ἐστὶν ἀνθρώπῳ τὸ τοῦ ἀρίστου αὐτῷ τυχεῖν, ἢ ἁπλῶς ἢ τοῦ κατὰ τὴν φύσιν, καίτοι καὶ αὐτῶν τέλος ἔσχατον τὸ ἁπλῶς ἔστιν ἄριστον, εἰ καὶ μὴ ὡς ἀπολαυστὸν, ἀλλ' ὅτι καὶ αὐτὰ τρόπον τινὰ αὐτοῦ ἐφίενται, ἐν τῷ τὴν θείαν ἐπ' αὐτοῖς βούλησιν καὶ μὴ εἰδότα ἀποπληροῦν, ἣν καὶ εἰδότα ἂν ἐπλήρου καὶ

προαιρούμενα, τοσοῦτον ὡς ἐν σημειώσει εἰρήσθω. Προὔργου γὰρ ἡμῖν ὁ περὶ ἀνθρώπου λόγος ἐστί· τὰ δ' ἄλλα ὡς ἐν τῷ ἔργῳ ταῖς περὶ αὐτὸν προνοίαις ὑπουργεῖ τοῦ Θεοῦ, οὕτω καὶ τῷ λόγῳ συνείληπται ἀναγκαίως, οὐχ ἵνα μόνον τὸ πᾶσι τοῖς οὖσιν ὑπάρχον καὶ τῷ ἀνθρώπῳ προσαρμοσθείη, ἀλλὰ καὶ ὅτι τοῦ ὑπερέχοντος τῆς περὶ αὐτὸν οὐρανίου προμηθείας ἐπιδειχθέντος τύπῳ μὲν, καὶ δι' ἐλαττόνων, ἀλλ' ἱκανῶν, ὁδὸς ἂν γένοιτο πρὸς τὴν εὕρεσιν τῆς ἀληθείας, περὶ τοῦ μάλιστα προκειμένου.

Ἐξ αὐτῶν δὲ τῶν εἰρημένων δῆλόν ἐστι, καὶ ὅτι ὥρισται τοῖς ἀνθρώποις τὸ τέλος, καὶ τὰ ἐπ' αὐτὸ φέροντα, ἄλλως γὰρ οὐδ' ἂν ἡ τοιαύτη περὶ αὐτῶν πρόνοια ἦν. Περὶ μὲν γὰρ τῶν κεχωρισμένων οὐσιῶν οὐ πάνυ ἂν τὸ τοιοῦτο ζητοῖτο· αὗται γὰρ οὐκ ἐν τῇ ὁδῷ εἰσιν, ἀλλ' ἐν τῷ τέλει, καὶ εἴποτε οὐκ ἦσάν πη ἐν τῷ τέλει, τί ἂν περὶ αὐτῶν ἐζητεῖτο, ἀφείσθω νῦν σκοπεῖν. Καὶ περὶ τῶν τοῦ παντὸς τοῦδε μερῶν, ἃ διηνεκῶς εἰσι ἑξότου γεγόνασι, σαφές ἐστιν, ὅτι ὥρισται αὐτοῖς τὸ τέλος, καὶ ἄχοντα ἐπ' αὐτὸ ἵεται, ὡς δὴ φύσει ἐρχόμενα ἐπ' αὐτὸ, εἴτε τὸ τῆς κινήσεως αὐτῶν τέλος, εἴτε τὸ τῆς ἐνεργείας ἐν τοῖς κατωτέροις τοῖς ἐν γενέσει καὶ φθορᾷ πράγμασι, καὶ οὐδέποτε ἀποτυγχάνει τοῦ τέλους καθόλου, οὐδ' αὐτῶν εἴπερ μὴ οἷόν τε ἀτευκτεῖν τὸν Θεὸν τὸν κινοῦντα αὐτὰ ἐπὶ τὸ τέλος τῇ παντοδυνάμῳ αὐτοῦ βουλήσει, δι' ἧς καὶ μὴ ὄντα ποτὲ ὑπέστησαν.

Καὶ τὰ ἐν γενέσει δὲ καὶ φθορᾷ ἀποτυγχάνει μέν ποτε ἑνία τοῦ προσεχοῦς τέλους, ἐν οἷς ἀμβλώματα καὶ πηρώματά ποτε γίνεται, διὰ τὸ τὰ εἴδη αὐτῶν ἐμβάπτεσθαι τῇ ὕλῃ, καὶ δι' ἔλλειψιν ἀρχῆς τινος προσεχοῦς, ἢ τῆς τῶν ὑψηλοτέρων αἰτιῶν συμπλοκῆς, αἳ καὶ τῶν ὑψηλοτέρων αἰτιῶν ἀποτεύγματα ἂν εἴη τρόπον τινά. Ἀλλὰ τὸ μὲν τόδε ζῷον καὶ μὴ τόδε ἀμβλωθῆναι ἢ πηρωθῆναι, ἢ τερατῶδές τι ἀποβῆναι, οὐδεὶς ἂν εἴη λόγος, ὅτου χάριν μέλλοι ἂν ὑπὸ τοῦ Θείου ὁρίζεσθαι. Τὸ μέντοι ἐν τοῖς ἔργοις τῆς φύσεως καὶ τοιάδε τινὰ γίνεσθαί ποτε ἐγχωρεῖν, τοῦτο δὴ καὶ λίαν ὥρισται δήπου, ἄλλως γὰρ οὐκ ἂν οἷόν τε ἦν οὐδέποτέ τι αὐτῶν οὕτω γίνεσθαι. Καὶ ἔοικέ πη τοῖς διὰ προαίρεσιν ἁμαρτάνουσι τὰ διὰ τὴν ὕλην κακοπραγοῦντα, πλὴν ὅτι ἀκουσίως σφίσιν τοῦτο συμβαίνει καὶ ἐπ' ἐλάχιστον.

Εἰ δὴ μόνοι ἐκ πάντων τῶν ὄντων καὶ γινομένων οἱ ἄνθρωποι ὁδοιπόροι εἰσὶν ἐν τῇ ζωῇ ταύτῃ, τὴν ἀΐδιον εὐδαιμονίαν σκοπεῖν τεταγμένοι, καὶ θέλοντες οἵ γε σπουδαῖοι περὶ αὐτῶν δὴ μάλιστα τὰ τοιαῦτα ἀκριβῶς σκοπεῖν, καὶ ταῦτα ἡμετέρου τοῦ περὶ ἡμῶν σκοπεῖν ὄντος. Πᾶσι μὲν οὖν ἀνθρώποις κοινῇ ὥρισται φύσει τὸ τῆς ζωῆς ταύτης πέρας, τοῖς μὲν κατὰ φύσιν, ζῶοι, ταυτὸν δ' εἰπεῖν κατὰ τὸν ἐν αὐτοῖς λόγον καὶ νόμον, τὸ κατὰ φύσιν τέλος· οὐ γὰρ χεῖρον τὰ αὐτὰ ἐπαναλαβεῖν, τὸ δέ ἐστιν ἡ τοῦ Θεοῦ καὶ τῶν θείων ἄμεσος γνῶσις, καὶ ἡ ἐν αὐτῇ νοερὰ ἡδονή. Νοῦς γὰρ ὢν ἄνθρωπος ἐπειδὰν τοῦ συνημμένου τοῦδε ἀπαλλαγῇ, τῶν καθόλου τε θεωρητικὸς, καὶ τῆς ἀληθείας γνωριστικὸς, ἀνεῳγὸς ἔχων τὸ ὄμμα καὶ καθαρὸν τῇ ἐντεῦθεν σπουδῇ, τοῦτ' ἂν εὐδαιμονίαν ἔχοι καὶ τέλος τὴν τῆς καθόλου ἀληθείας ἐπίγνωσιν, ἣν καὶ ἀΐδιον ζωὴν εἶναί φαμεν. Τοῖς δὲ παρὰ φύσιν βεβιωκόσι κοινῇ πᾶσιν ὥρισται ἡ τῆς αἰωνίου ζωῆς ἀπότευξις, οὗσι μὲν καὶ αὐτοῖς ἀΐδίως, ἀλλ' ἐν ζόφῳ βαθεῖ ζῶσι καὶ ἀθλιότητι, ἣν ὁποία τίς ἐστιν τὰ θεῖα ἱστορεῖ λόγια.

Ὥρισται δὲ ταῦτα ἑκατέροις οὐ τῇ αὐτῇ τοῦ Θείου βουλήσει, ἀλλὰ προηγουμένῃ μὲν τοῖς ἀγαθοῖς τὸ ἄριστον τέλος, καὶ τοῦτ' ἔστι τὸ θελήσει θέλειν. Εἴρηταί τε ἐν τοῖς λογίοις ὁ Θεὸς λέγων, οὐ θελήσει θέλειν τὸν τοῦ ἁμαρτωλοῦ θάνατον, ὥσπερ θέλει θελήσει τὸ δι' ἐπιστροφῆς ζῆν αὐτὸν αἰωνίως. Ἑπομένῃ δὲ ὥρισται τοῖς πονηροῖς ἡ τοῦ τέλους ἀπότευξις, ἀθλιότης οὖσα· θέλει γὰρ καὶ τὴν κόλασιν τῆς πονηρίας, ὡς οὕτως ἂν καὶ τῆς θείας δικαιοσύνης ἐκπληρωθησομένης. Καὶ ὡς ἐπακολουθοῦν τῷ τοὺς ὁδεύσαντας τὴν ἐπὶ τὸ ἀγαθὸν φέρουσαν ἀμεταστρέπτως ἐφικέσθαι αὐτοῦ· τὸ καὶ τοὺς μὴ ὁδεῦσαι θελήσαντας μὴ ἐφικέσθαι· ὅθεν διὰ τὸ τοὺς σωζομένους ἐκ προηγουμένης τῆς ἀγαθῆς τοῦ Θεοῦ θελήσεως ὡρίσθαι εἰς τὴν ζωὴν, διὰ τοῦτο τοὺς τῆς σωτηρίας ἐκείνης ἀξίους ἰδιαίτερον ὡρισμένους τε καὶ ὡρίσθαι φαμέν· τοὺς δὲ κολαστέους οὐχ ὡρίσθαι κυρίως εἰς τὰς αἰωνίους δίκας, ἀλλὰ μᾶλλον ἀποδεδοκιμάσθαι ἀπὸ τῆς προκειμένης ἀνθρώποις ἐκ τοῦ ἀγαθοῦ Πατρὸς ζωῆς. Ἀλλὰ νῦν ἐπὶ πάντων τὸ ὡρίσθαι λεγέσθω.

Κοινῇ μὲν δὴ οὕτω πᾶσιν ἀνθρώποις δύο ταῦτα ὥρισται πέρατα, καὶ ὡς δὴ πόρρωθεν καὶ πρὸς τῆς τοῦ κόσμου ὑπάρξεως ὡρισμένα, προωρισμένα εἶναί φαμεν τοῖς ἀνθρώποις, καὶ τοὺς εἰς ταῦτα ἐρχομένους εἰς ταῦτα καὶ προωρίσθαι· ὡρισμένου δὲ ὄντος τοῖς ἀνθρώποις τοῦ τέλους, δεῖ καὶ τὰ πρὸς αὐτὸ φέροντα ὡρίσθαι που, καὶ ὡς μὲν κοινῇ πᾶσιν ὥρισται τοῖς ἀνθρώποις τὰ τοιαῦτα δῆλον. Ὅσα τε γὰρ ὁ φυσικὸς νόμος ἐκπαιδεύει, καὶ ὁ ἐν γράμματι, καὶ ὁ τῆς χάριτος ὁ εὐαγγελικὸς καὶ οἱ τῶν ἁγίων τοῦ Θεοῦ νόμοι, καὶ σύμπασα ἡ περὶ τὰ ἤθη φιλοσοφία, περὶ τούτων εἰσὶν, ἃ πρὸς τὴν εὐδαιμονίαν φέρει, καὶ τοὐναντίον, καὶ τὰ μὲν ἀρεταὶ, τὰ δὲ κακίαι ὀνομάζονται, ἔχοντα τάξιν οἵαν καὶ τὰ μόρια τοῦ ἀνθρώπου, ὧν εἰσι καὶ ἐν οἷς γίνονται. Οἷον φρόνησις μὲν, λόγου ἀρετὴ, καὶ δικαιοσύνη ἕτερον τρόπον, σωφροσύνη δὲ ἐπιθυμίας, καὶ θυμοῦ ἀνδρία· καὶ ἄλλη μὲν ἀρετὴ διανοίας, ἄλλη δὲ γλώττης, ἄλλη δὲ ἔργου. Καὶ γεννᾷ μὲν ἥδε ἐκείνην, φύεται δὲ ἄλλη ἐκ ταύτης. Καὶ ἡ μὲν προδοποιεῖ, ἡ δὲ καθαίρει, ἡ δὲ τελειοῖ καὶ ἀνάγει, δι' ὧν ὁδεύοντα εὐτάκτως τὸν ἄνθρωπον οὐκ ἔστι μὴ εἰς τὸ τῆς εὐδαιμονίας πέρας ἐλθεῖν. Τοῖς δὲ ἐναντίοις τούτων ἡ τῆς πονηρίας ὁδὸς ἐπὶ τὴν ἀθλιότητα ἄγει τὸν διὰ τούτων ἰέναι προηρημένον. Καὶ ὥσπερ ἀδύνατον τὸν σῖτον μὴ ὁδῷ τινι γενέσθαι ὑπὸ τῆς φύσεως, καὶ δένδρου τοῦδε καρπὸν ἢ πάντων τῶν πρὸς ταῦτα ζητουμένων σὺν τάξει ἀποβαινόντων μὴ καὶ ταῦτα εὐθὺς ἐπακολουθεῖν, διὰ τὴν ἑκάτερα πρὸς ἑκάτερα ὡρίσθαι, δι' ὃ φησι καὶ Ἐκ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς· οὕτως ἀνάγκη κἀν τῷ ἀνθρωπίνῳ κατὰ προαίρεσιν βίῳ ἀρετὴν ἀρετῇ ἐπακολουθεῖν, καὶ κακίᾳ αὖθις κακίαν, ἕως ἂν διὰ τοιαύτης ἐπιπλοκῆς ἕκαστος προσήκων γένηται, ἢ τῷ

μετασχεῖν τοῦ Θεοῦ, ἢ τοῦ ἀποχωρῆσαι αὐτοῦ δυστυχῶς, ὁπότερον ἂν ἐπιμελῇ θείῃ.

Ἀλλ' εἰ δεῖ τἀληθὲς εἰπεῖν, οὔτε ἐστί τι ἡ κακία, ἀλλὰ στέρησις ἀρετῆς μόνον, οὔτε ὡρισμένον τί ἐστιν ἐν τῇ τῆς κακίας ὁδῷ, ἀοριστία δὲ μᾶλλον πάντα καὶ σύγχυσις. Ἀλλ' εἴ τι ὥρισται κἀν τούτοις, ἐκ τῆς πρὸς ἀγαθόν ἐστιν ἀντιθέσεως καὶ δι' ἀγαθόν. Τῷ γὰρ ὡρίσθαι τὰ ἀγαθὰ καὶ τὰς ἕξεις, καὶ εὐτάκτως ἀλλήλοις συνέπεσθαι καὶ αἱ στερήσεις αὐτῶν ἀλλήλαις ἀκολουθοῦσιν· οὔτε ζῇν ἔστιν ἀληθῶς τοὺς ταῖς στερήσεσι τὸν οἰκεῖον μορφοῦντας βίον, ἀλλ' ἐν εἰδώλῳ ζωῆς εἰσιν. Ὡσαύτως δὲ καὶ ἡ μετὰ ταῦτα ἀθλιότης αὐτοῖς, θανάτου παντὸς χεῖρον, οἷς συνήνεγκεν ἂν κατὰ τὸ λόγιον μηδὲ τὴν ἀρχὴν γεννηθῆναι, εἴπερ οἷόν τε ἦν αὐτοὺς πρὸ τοῦ γενέσθαι μαθεῖν, οἷα προῳρημένοις, οἷα συμβήσεται. Κοινῇ μὲν δὴ τὸ ἀνθρώπινον γένος τοιαύτης παρασκευῆς καὶ ὁδηγίας ἔτυχε ἐκ Θεοῦ πρὸς τὸ ἀγαθὸν καὶ τυγχάνει. Εἰ γὰρ πατράσι καὶ ἐθνῶν ἄρχουσι σφόδρα μέλει, ὅπως τὰ τέκνα ἢ οἱ ὑπήκοοι ζήσονται ἁρμοδίως τῇ ἐλπιζομένῃ ἐξ αὐτῶν εὐκληρίᾳ, καὶ διὰ τοῦτο ὁρίζουσι μὲν αὐτὴν αὐτοῖς, διδάσκουσι δὲ ἅττ' ἂν ποιοῦντες, καὶ ὅπως τὸν ἑαυτῶν διοικοῦντες βίον ἄξιοι αὐτῆς ποτε γένοιντο, πολλῷ μᾶλλον τὸν Θεὸν ἕδει τοῖς τέκνοις ὁρίσαι τὴν εὐδαιμονίαν καὶ τὰ εἰς αὐτὴν φέροντα, ἵνα εἰδότες πάντα δύναιντο σπεύδειν.

Ἢ δὲ περὶ ἕκαστον ἐπιμέλεια αὐτοῦ πολλῷ πλεῖω καὶ θαυμαστότερα περιέχει τῶν κοινῇ πᾶσιν ἀφωρισμένων καλῶν. Πατρὶ γὰρ πρεπόντως καὶ εὐμενεῖ ἄρχοντι τὰ μὲν ξυλλαμβάνει, τὰ δὲ ἐπανορθοῖ, οὐδὲ τὸ τέλος δείξας μόνον, καὶ τὴν ὁδὸν καὶ τὰ καταλύματα, ἀφίησιν ἑαυτοῖς χρῆσθαι μόνοις, καὶ ἄλλοις ἄλλα δίδωσι βοηθήματα προσήκοντα τῇ ἀγωγῇ αὐτῶν καὶ τῇ φύσει, καὶ ἀνέχεται ὀλιγωρούντων, καὶ γογγύζουσιν οὐκ ὀργίζεται, ἕως ὁρᾷ καὶ πειρωμένους τι ἀναλαμβάνειν ἑαυτοὺς ἀπὸ τῆς μικροψύχου ἀκηδίας, καὶ προστιθέναι τῇ ὁδῷ σὺν ἐλπίδι ἀμείνονι. Ἀλλὰ καὶ προτροπάδην ποτὲ ἐκ μέσης τῆς ὁδοῦ ὑποστρέψασιν, εἶτα βοῇ καὶ δάκρυσιν ἐκ μετανοίας εἰσελθεῖν καὶ ἁρξασθαι δρομέοις ἀμνησικάκως ἀνίησι τὴν ὁδὸν αὖθις, καὶ τοῖς μὲν τῇ ἀφθονίᾳ τῶν τοῦ σώματος καὶ ἐκτὸς ἀγαθῶν, τοῖς δὲ τῇ αὐτῶν ἐνδείᾳ τὴν αὐτὴν διάθεσιν πρὸς τἀγαθὰ καταπράττεται. Καὶ τοῖς μὲν εὐτονοῦσι πρὸς τὴν ἐν τῷ ἀγαθῷ ἐπιμονὴν αἱρουμένοις μέντοι καὶ αἱρεῖσθαι αὐτὸ θελουσιν, ὃ πολλοῖς ἐκ πολλῶν αἰτιῶν συμβαίνειν εἴωθεν, ἢ σχολὴν ἐκ τῶν ἀνθιστᾶντων ποιεῖ, ἢ τὴν προαίρεσιν ἀναλαμβάνει τε καὶ ῥωννύει πρὸς τὸ ἐπιόντα αὐτὰ νικᾷν. Πολλαὶ δὲ ἔκ τε ἀνθρώπων ἔκ τε πονηρῶν δαιμόνων γίνονται ἀνθρώποις πρὸς τὴν αἵρεσιν τοῦ ἀγαθοῦ καὶ τὴν πρᾶξιν ἐπιβουλαί, αἳ χαλεπὸν ἀντισχεῖν μὴ μετὰ Θεοῦ. Τοῖς δὲ ἐρρωμένην τὴν θέλησιν ἔχουσι καὶ συγχωρεῖ ἐπιέναι τὰς δυσχερείας, ὥστε ἀνθιστᾶντας ἀνδρικῶς καὶ νικῶντας σὺν τῇ ἀπ' αὐτοῦ ῥοπῇ ἐνδίκως μείζονος ἀξιοῦσθαι ἐκεῖ τῆς εὐδαιμονίας. καὶ τῷ ἀνθρωπίνῳ βίῳ χαρτερίας παράδειγμα ἱστασθαι τοῦ λοιποῦ. Ἀπαλλάττει δὲ ἀπροόπτων κινδύνων, καὶ ἀγαθὰ οὐ προσ- A δοκηθέντα δίδωσιν, ὅταν τινὲς εἰς αὐτὸν ἀτενῶς ἐλπίζοντες, καὶ τὸ θεῖον θέλημα διηνεκῶς μόνον ἐπιζητοῦντες, τῆς θείας ἀγάπης τὰ αὐτῶν πάντα ἐξάπτωσιν.

Ἔστι δὲ ὅτε καὶ προορώμενοι τῶν μὲν ἀξιοῦνται εὐχόμενοι, τῶν δὲ ἀπαλλάττονται, δυναμένου καὶ βουλομένου πολλὰ καὶ παρὰ τὴν ἰῶν μερικῶν ποιούντων τάξιν ποιεῖν, ἃ πάντα κρείττω λόγου ὄντα καὶ ἀριθμοῦ, ἱστορούμενά τε ἐν τῷ παλαιοτέρῳ τῶν ἀνθρώπων βίῳ εὑρίσκομεν, καὶ ὁσημέραι ἐπιτελούμενα βλέπουσιν οἱ προσέχοντες.

Τούτων δὲ τῶν περὶ ἕκαστον οἰκονομουμένων, ἐκ τοῦ Θεοῦ ἓν ἐστι τέλος ἡ τῆς θείας ἀγαθότητος καὶ δικαιοσύνης ἐκπλήρωσις, καθόσον ἕκαστος δηλονότι ἢ προώρισταί γε εἰς τὴν ζωὴν, ἢ τῶν ἀποδεδοκιμασμένων ἐστίν· ἡμῶν μὲν ἀγνοούντων ὡς ἐπὶ τὸ B πλεῖστον ἐν τῷ παραυτίκα τὴν πρὸς τὸ ἔσχατον πέρας τάξιν τῶν οἰκονομουμένων, τοῦ δὲ Θεοῦ πάντα πρὸς τὴν ἐκπλήρωσιν τῆς ἀϊδίου βουλῆς ἑτοιμάζοντος. Οὐδὲ γάρ ἐστι τῶν τοιούτων, ὃ μὴ πόρρωθεν καὶ πρὸ τῆς τοῦ κόσμου καταβολῆς ἔγνωστο τῷ Θεῷ τοιῶσδε ἀποδησομένων. Οὐδὲ γινώσκει μόνον αὐτά, ἃ δὲ ὅπη ἔτυχε γίνεσθαι ἢ τελειοῦσθαι, ἢ μὴ τελειοῦσθαι, ἀλλὰ καὶ ὡδὶ γενησόμενα διατάττεται. Οὐδὲ τοῦτο μόνον αὖ, ἀλλὰ καὶ τὴν τοιαύτην αὐτῶν τάξιν ἀποπληροῖ, καὶ ἀμέσως μόνον καὶ σὺν ὀργάνοις, ὡς εἴρηται. Οὔτε δὲ βραχύν τινα τοῦ ἀνθρωπίνου λόγον ποιεῖσθαι αὐτὸν εὔλογον ἦν, οὗ χάριν τὰ ἄλλα σχεδόν ἐστι πάντα, ὡς μηδὲ μονῆς μιᾶς ἀνθρώπου ψυχῆς εἶναι τὸν αἰσθητὸν κόσμον ἀντάξιον· ὥσπερ C ἄρα οὐδὲ τοῦ τέλους πάντα τὰ δι' αὐτὸ ὄντα, καὶ οὗ τὴν βελτίωσιν πλείσταις οἰκονομίαις καὶ μιᾷ τῇ πασῶν μεγίστῃ πεπίστευταί τε καὶ ἔγνωσται καταπράξασθαι. Οὔτε ὀλίγα πρὸς τὴν ἑκάστης ψυχῆς βελτίωσιν, ἢ κατὰ τὴν ἄλλην τοῦ συναμφοτέρου ζωὴν οἰκονομία λυσιτελεῖ· οὔτε χρὴ δεδιέναι, μὴ κάμῃ τὸ Θεῖον ἐν ταῖς τοιαύταις φιλανθρωπίαις, ἢ καὶ δι' αὐτοῦ λογιζόμενον, ἢ καὶ δι' ἄλλων ἀποπληροῦν· οὔτε τῇ κινήσει τῶν ὑφηλοτέρων σωμάτων οἷόν τε ἦν ἐπιτετράφθαι αὐτὰς μὴ δυναμένων εἰς τὸν ἀνθρώπινον νοῦν καὶ τὴν θέλησιν καὶ τὴν κατ' αὐτὰ ζωὴν ὁρᾷν, εἰ μή τι κατὰ συμβεβηκός.

Πλεῖστα δὲ τοῦ περὶ προνοίας λόγου προβαλλομένου, καὶ οὐδὲ νῦν καὶ λόγῳ περιληπτὰ, κεφαλαίῳ τῷδε τὸν περὶ ἁπάντων λόγον συγκλείσομεν ὡς οἷόν τε, ὅσα δεῖ περὶ τῆς εἰς ἀνθρώπους προνοίας οἴεσθαι εὐσεβοῦντας, τὰ μὲν ἐπαναλαμβάνοντες, τὰ δὲ προστιθέντες. Πέρας μὲν δὴ τῆς τῶν ἀνθρώπων γενέσεως καὶ ζωῆς ἡτοίμασται ἐκ Θεοῦ τούτοις διττὸν, ἐπειδὴ ἕδει προαιρουμένους οὐ φύσεως ἀνάγκῃ βιοῦν. Καὶ ἀνάγκη μὲν πάντα ὄντινοῦν ἐπὶ θάτερον σφικνεῖσθαι, ἀφικνεῖται δὲ πρὸς ὃ τις τὸν ἴδιον ἡτοίμασε βίον. Ἐρχόμενος δὲ οὐδὲν ἧττον καὶ ἄγεται· συντρέχει γὰρ πρὸς τὸν ἀνθρώπινον βίον ἥ τε προαίρεσις αὐτοῦ ἑκάστου καὶ ἡ ἐκ Θεοῦ συνεργία, ὅτι καὶ ἡ θέλησις ἡμῖν καὶ τὸ θέλειν καὶ ἡ πρᾶξις ἐκ τοῦ Θεοῦ ἐστι, παρ' οὗ καὶ τὸ εἶναι. Καθάπερ ἐν τοῖς φαύλως βιοῦσιν ἥ τε προαίρεσις συντρέχει καὶ ἡ τῆς θείας χάριτος ἀναχώρησις. Καὶ οὐ μόνον πρὸς τὸ

ἔσχατον πέρας ἀφικνεῖταί τις ἅμα καὶ ἄγεται, ἀλλὰ καὶ ὁ σύμπας ἑκάστῳ βίος οὕτως οἰκονομεῖται.

Ὥσπερ γὰρ ὅροι τινὲς τῆς πρὸς τὸ ἔσχατον πέρας κινήσεως αἱ κατὰ τόνδε τὸν βίον πράξεις εἰσὶν, ἐν τῇ πρὸς ἀλλήλους τάξει πρὸς τὸ ἔσχατον τεταγμένοι. Καὶ πρὸς τοῦτον τοίνυν τοὺς ὅρους ὁμοῦ τε κινεῖται καὶ ἄγεται ἄνθρωπος, πανταχοῦ τῆς χάριτος συνεργούσης ἢ ἐγκαταλειπούσης· ἧς συνεργούσης μὲν τῷ ἀγαθῷ, κἂν δυσχερὲς ᾖ, προσφύεται, ἀφιστα μένης δὲ, τῷ κακῷ πολλῷ ῥᾷον αὐτομολεῖ. Ἀλλ' οὐκ ἀναγκάζεται πρὸς τἀγαθὸν ἢ τὸ χεῖρον τῷ συνεῖναι τὴν θείαν χάριν ἢ ἀπολείπεσθαι· ἐκεῖνα μὲν γὰρ ὁράτως ἐπιτελοῦνται· ἡ δὲ πᾶσα πρὸς τἀγαθὸν ἢ τὸ χεῖρον ὁρμὴ τῆς ψυχῆς ἐξ αὐτῆς γίνεται. Καὶ οὐ τῷ μὴ φαίνεσθαι μόνον τὴν θείαν χάριν συνοῦσαν ἢ ἀπολιποῦσαν ἐναργῶς ἐν αὐτῷ τῷ αἱρεῖσθαι, ἀλλὰ καὶ τῷ μηδεμίαν ἐπάγειν βίαν τῇ προαιρέσει, οὐδὲν ἀνάγκης ἐκεῖθέν ἐστι πρὸς τὸ πράττειν, ὅ τι ἂν τις μὴ πάνυ βούλοιτο.

Ἔστι δ' ὅτε τὸ Θεῖον καὶ συναναγκάζειν δοκεῖ ὥσπερ τὰς ἀπαλυνομένας ἢ σκληρυνομένας καρδίας κλίνον ὅπου θέλει κατὰ τὸ λόγιον, ἀλλὰ τῇ βεβαίᾳ τῆς ψυχῆς κρίσει προστεθειμένον, ἣ λανθάνει μὲν τοὺς πολλοὺς, τὴν δὲ σοφωτάτην γνῶσιν οὐ διαφεύγει· καὶ πολλὰ μὲν, ὡς πρότερον εἴρηται, διὰ τῶν κατωτέρων διατιθεὶς αἰτιῶν, πολλὰ δὲ δι' ἀγγέλων οἰκονομῶν ἀγαθῶν, πολλὰ δὲ ἀμέσως ὁρῶν εἰς τὰς τῶν ἀνθρώπων ψυχὰς, ἄνευ βίας τοὺς ἑκάστων διατίθησι βίους. Καὶ οἰκονομεῖ μὲν πολλὰ πρὸς ὠφέλειαν κοινοτέραν, ποὺ μὲν δριμύτερον τοῖς φαυλοτέροις ἐπεξιὼν καὶ ὧν ἀπέγνω τὴν ἐπανόρθωσιν, ἵνα τοὺς ὁμοίους ἰατρεύσῃ τῷ δέει, ποὺ δὲ πρὸς τὴν ἐπίγνωσιν ἐκκαλούμενος τοῦ καλοῦ ἔκ τινος παραδοξοποιίας, ἵνα τὸ περιὸν τῆς σοφίας δείξῃ καὶ τῆς δυνάμεως· ἐνίους γὰρ δοκεῖν μὲν τοῖς πολλοῖς φαυλοτάτους γενέσθαι, ἀξιότητος δέ τινος ἐνούσης αὐτοῖς, λανθανούσης μὲν τοὺς πολλοὺς, τῷ δὲ πάντα ἐρευνῶντι γνωριζομένης πνεύματι, πρὸς τὰς τῶν θειοτάτων ὑπουργίας κληθέντα εὐδοκιμῆσαι. Ἐν τούτοις καὶ αἱ τῶν ἀδοκήτων ἐπαγωγαὶ θλίψεων, καὶ θανάτων ἴδιαι μερίδες, καὶ τὰ λεγόμενα εὐτυχήματά τε καὶ ἀτυχήματα, ὅταν τισὶ χειρόνως δόξασι βεβουλεῦσθαι ἐπακολουθήσῃ τι παρὰ δόξαν ἡδὺ ἢ τοὐναντίον, ὥσπερ ἔκ τινων ἐξωτέρων αἰτιῶν βοηθουμένοις ἢ κακουμένοις· ἐν οἷς πολὺ μὲν τὸ παράδοξον διὰ τὴν ἄγνοιαν τῶν ἐν τῇ θείᾳ προνοίᾳ κειμένων λόγων, τοὺς δὲ καλῶς ἐφιστῶντας καὶ εὐσεβῶς ἐπιτελουμένους οὐ πάντα ἂν διαφύγοι ὧν χάριν γίνεται, τοῦ Θείου φωτὸς τὴν εὐσεβ[illegible]λψαν αὐτῶν παραμυθουμένου.

Ἀλλ' εἴτε γινωσκομένων τῶν τελῶν, εἴτε ἀγνοουμένων ἔν τι τοῦτο καὶ πάνυ βέβαιόν ἐστιν, ὡς ἅρα πάντα οἰκείως καὶ κατὰ λόγον τῷ Θείῳ περὶ ἕκαστον ὑπουργεῖ σκοπῷ, καὶ τῇ πρόρρωθεν περὶ αὐτὸ διατάξει τῆς ὑψηλοτάτης προνοίας, καὶ διὰ πάντων ὁ ἄνθρωπος τῶν τε ὑπ' αὐτοῦ γινομένων τῶν τε ἐπ' αὐτῷ συμβαινόντων ὁποιωδήποτε, ἀπ' ἀρχῆς μέχρι τελευτῆς τοῦδε τοῦ βίου, πρὸ ἧς ποτε προήρηται λῆξιν, αὐτὸς ἐκ τῆς θείας προνοίας συνδιατάττεται, πάντα ταῖς ἑαυτῆς στρεφούσης οἰκονομίαις, ὅπως αὐτὸς τύχῃ τῶν προκοπτόντων τῇ ὅλῃ προαιρέσει τοῦ βίου. Καὶ διὰ τοῦτο πάντα τὰ κατὰ τὴν παροῦσαν τῶν ἀνθρώπων ζωὴν ὑπὸ Θεοῦ προώρισται καὶ προδιατέτακται. Γινώσκει μὲν γὰρ τὰς τῶν ἀνθρώπων ὁδοὺς, τάς τε τρίβους αὐτῶν καὶ τὰς σχοίνους ἐξιχνιάζει, κατὰ τὸ λόγιον, καὶ πρὶν αὐτοὺς γενέσθαι καὶ κινηθῆναι. Καὶ οὐκ ἔργα μόνον αὐτῶν, ἢ τὰς ἐνδοτέρας περὶ τῶν πρακτέων βουλὰς, ἀλλὰ καὶ τὴν πρώτην σύστασιν τοῦ νοήματος, πρὶν αὐτὸ κατεργασθῆναι καὶ μορφωθῆναι, ὁρᾷ τοῖς πάντα βλέπουσιν ὀφθαλμοῖς, τῶν οὔπω γεγονότων ἐν ἑαυτοῖς ἐν αὐτῷ πάντων ὄντων τὸν αὐτῷ προσήκοντα τρόπον. Οἶδε δὲ πολλῷ μᾶλλον καὶ ἑαυτὸν συνεργήσοντα, πρὶν ἄν τις συνεργηθείη καὶ εἴη, καὶ ἐγκαταλείψοντα πρὶν ἄν τις ἐκὼν τοῦτο πάθοι, καὶ συγκινήσοντά γε πρὸς τὴν εὐδαιμονίαν, ἢ τῷ μὴ συγκινῆσαι διὰ τὸ μὴ βούλεσθαί τινα συγκινηθῆναι, καὶ συναποδοκιμάσοντα καὶ πᾶσαν τὴν ἀνθρωπίνην ἀναστροφὴν καὶ ζωὴν διαθησόμενον, ὡς ἂν συμφέροι πᾶσι τοῖς λόγοις τῆς περὶ ἁπάντων προνοίας, αὐτοῦ τε δηλονότι τῶν ἀνθρώπων ἑκάστου, καὶ οἷς σύνεστι, καὶ τοῦ πάντων ἀνθρώπων βίου, καὶ τοῦ παντὸς τοῦδε, καὶ ὡς ἂν ἡ ἀγαθότης τοῦ διατάττοντος ἥ τε δικαιοσύνη θαυμαστῶς ἐκπληροῖντο. Ἀμήχανος γὰρ ὢν μιᾷ ψήφῳ περὶ ἑνὸς τοσαῦτα περὶ ἁπάντων ἐξανύει.

Ταῦτα δὲ πάντα βεβαίως προεγνωκὼς καὶ διατάττει κατὰ τὴν περὶ αὐτῶν πρόγνωσιν, καὶ συμπληροῖ. Οὐκ ἐξαίρει μέντοι γε τῆς τοιαύτης προγνώσεως ἢ διατάξεως ἢ τῶν διατιθεμένων ἐκβάσεως τὴν περὶ τὰς πράξεις ἰδιότητα τοῦ ἀνθρώπου, ἢ ἐστι τὸ θέλοντα καὶ αἱρούμενον πράττειν ἅττα ἂν πράττοι, ἀλλ' ἐν πᾶσιν ἐκείνοις αὐτὴ βέβαιος μένει. Καὶ ἵνα ἀφ' ἑνὸς παραδείγματος ἅπας ἡμῖν ὁ λόγος σαφὴς γένηται, ᾔδει μὲν ὁ Θεὸς ὡς ἐνδεχόμενον τὸν Ζαχαρίου Ἰωάννην, ἢ κολακεύσαντα τὸν Ἡρῴδην ὠφεληθῆναι μὲν προσκαίρως, αἰωνίως δὲ κολασθῆναι διὰ τὸ περιδεῖν τὸν τοῦ Θεοῦ νόμον πατούμενον, καὶ τοὺς πατοῦντας τὸ κατ' αὐτὸν ἀνωφελήτους περιιδεῖν, ἢ ἐλέγξαντα ἀποθανεῖν μὲν δι' αὐτὸ, στεφανωθῆναι δὲ αἰωνίως, ὅτι προείλετο ἀποθανεῖν, ἵνα μόνον παντὶ ὀφειλομένῳ τὸν τοῦ Θεοῦ νόμον ἱκανοποιήσῃ, τὸ δεύτερον προαιρήσεται· καὶ ᾔδει τοῦτο ἀϊδίως περιουσίᾳ γνώσεως ἀπείρῳ προσηκούσῃ Δημιουργῷ. Ὁμοίως ᾔδει ἐκεῖθεν ὅτι καὶ Ἡρῴδης, ἐνδεχομένου αὐτῷ, ἢ αἰδεσθέντι τὸν θεῖον νόμον καὶ τὸν ἐλέγχοντα Ἰωάννην ἀποσχέσθαι τε τοῦ ἄγους, καὶ τῷ ἀπαγαγόντι χάριν ὁμολογεῖν, ἢ ἀγανακτήσαντι, καὶ συναγανακτούσῃ χαριζομένῳ, ζητεῖν ὅπῃ ἀμύνηται αὐτὸν, ἵνα ἀνεξελέγκτως δύνηται παρανομεῖν, καὶ ἀμύνασθαί ποτε, τὸ δεύτερον προαιρήσεται, ὃ τῆς αἰωνίου κολάσεως αὐτῷ πολύτροπον αἴτιον ἔσται. Ἐνστάντος δὲ τοῦ, καὶ τὸν Ἰωάννην γενόμενον καὶ τῶν ἄλλων συνενεγχθέντων, ὡς γεννησόμενα προεγώσθη, βουλεύσασθαι ὁποτέραν δραμεῖται, οὐ γὰρ ἄνευ βουλῆς τὰ τοιαῦτα ἐκλέγεται τοῖς σπουδαίοις, ὅπου εὐθὺς μέν τινι ὑπαντᾷ τὸ ἀποθανεῖν μετ' ἀρετῆς καὶ δόξης, καὶ ἐλπίδος ἀμείνονος, ἐνθέν-

δε τὸ μετὰ τῶν τούτοις ἐναντίων ἐπιβιῶναι μικρόν. Τότε δὴ τότε οὐκ ἠνάγκαζε τὸν Ἰωάννην ὁ Θεὸς τόδε ἢ ἐκεῖνο αἱρεῖσθαι· συνήργει μόνον πρὸς τὸ θελῆσαι ἂν μᾶλλον τὸ ἀγαθὸν τῇ ἐνοικούσῃ αὐτῷ χάριτι, ἣν καὶ ἐνοικισθῆναι αὐτῷ, καὶ αὐτὸς αἴτιος ἦν ἄξιον αὐτὸν παρασχόμενος. Ὁμοίως οὐδὲ τὸν Ἡρώδην ἠνάγκαζε τόδε ἢ τόδε αἱρεῖσθαι περὶ Ἰωάννου καὶ ἑαυτοῦ, ἐνστάντος ἤδη καὶ αὐτῷ τοῦ αὐτοῦ καιροῦ περὶ τοῦ βουλεύσασθαι, ὁπότερα αὐτῷ εἴη αἱρετέα. Οὔτε τοίνυν τοῦ Θείου ἀναγκάζοντος οὔτε αὐτῶν ὑπὸ Θεοῦ ἀναγκαζομένων τόδε ὡρισμένως αἱρεῖσθαι, ἀλλ' ἐν τῇ αὐτῶν προαιρέσει ἑκατέρου κειμένου που τί ἂν φαίνοιτο αὐτοῖς αἱρετώτερον· καὶ ἐνδεχομένου ἑκατέρου ὁμοίως αἱρεθῆναι αὐτοῖς, ὅσον ἐπὶ τῇ ἐλευθερίᾳ τῆς γνώμης καὶ τῇ φύσει αὐτοῦ τοῦ πράγματος.

Ὅτι ἐν τοῖς προαιρέσει γινομένοις ἐστὶ τὸ ἐνδεχόμενον, ὁ μὲν Ἰωάννης αἱρεῖται τὸ βέλτιον, ὁ δὲ Ἡρώδης τὸ χεῖρον. Καὶ ὁ μὲν Ἰωάννης προείλετο, καὶ παντὸς παραβαλλόμενον βέλτιον ἦν αἱρεθῆναι οὕτως· τὸ δὲ τῷ Ἡρώδῃ αἱρεθὲν καὶ αὐτῷ καὶ πᾶσι χεῖρον ἐτύγχανε. Καὶ οὕτω μὲν συνεπέπλεκτο, ὥστε εἰ μὴ Ἡρώδης ᾑρει τότε καὶ ἐποίει τὰ χείρω, οὐκ αὐτὸν Ἰωάννην ἐνταῦθα τυχεῖν τοῦ βελτίονος· καὶ εἰ μὴ Ἰωάννης ἐποίει τὸ βέλτιον, οὐκ ἄν τε Ἡρώδην ἐκπληρῶσαι τὸ χεῖρον. Οὔτε μέντοι διὰ τὸν Ἡρώδην ἀγαθὸς ἦν Ἰωάννης, εἰ μὴ διὰ τὴν αὐτοῦ προαίρεσιν· οὔτε Ἡρώδης διὰ τὸν Ἰωάννην φαῦλος ἦν, εἰ μὴ δι' ἑαυτόν. Ἦν μέντ' ἂν καὶ δι' ἐκεῖνον ἀγαθὸς, εἰ τόδε μᾶλλον ᾑρεῖτο. Καὶ ἐπειδὴ ἑκάτερος εἵρετο, ὃ ἥρεσεν αὐτῷ καὶ τῇ ἕξει, κατὰ τὸν εἰπόντα, Οὐκέτι ἐργάζομαι ἐγὼ τὸ κακὸν, ἀλλ' ἡ ἐνοικοῦσα ἁμαρτία. Ὡς δὲ καὶ τὸ ἀγαθὸν ἡ χάρις ἐν τῷ ἔχοντι, ἐγὼ δὲ τῆς ἁμαρτίας αἴτιος, κἀκεῖνος τῆς χάριτος, ἄξιον τοῦ λαβεῖν ἑαυτὸν παρασχόμενος, τότε δὴ συνέτρεχε πάντα καὶ συνεργάζετο τῷ τὸν μὲν, ὧν προείλετο ἀξίως στεφανωθῆναι, τὸν δὲ κἀνταῦθα κἀκεῖ δίκας ὑποσχεῖν ἀξίας ἀκολασίας καὶ παρανομίας καὶ φόνου.

Τοῖς μὲν οὖν ἐνδεχόμενα ὁμοίως ἦν καὶ τὰ ἐναντία πρὸ τοῦ ποιῆσαι θάτερον αὐτῶν ἑλομένους, ἐπ' αὐτοῖς γὰρ ἦν ὁμοίως ἀμφότερα· ἐπὶ δὲ θάτερον ἐποίει ἑκάτερος, ἀναγκαῖον ἦν τὸ γεγενημένον, οὐ τῇ αὐτοῦ φύσει, ἀλλὰ τῷ ἐξειργάσθαι ἤδη, καὶ οὐκ ἐνδέχεσθαι, καὶ μὴ εἶναι ἐξειργασμένον, ὡς πρὸ τοῦ γενέσθαι ἐνδεχόμενον καὶ μὴ γίνεσθαι. Ἐκείνοις τε οὖν οὕτω ταῦτα εἶχε, καὶ ἡμῖν οὕτω κρίνεται, τῇ δὲ θείᾳ γνώσει προὔκειτο ὡς γεγενημένα, καὶ πρὶν γενέσθαι. Καὶ ᾔδει μὲν, ὅτι αὐτοὶ ἐνδεχομένως αἱρήσονται, ἃ αἱρήσονται καὶ οὐκ ἀνάγκῃ τινὶ τὰ ἐπ' αὐτοῖς ὄντα. Ὅτι δὲ τοδὶ αἱρήσεται ἑκάτερος καὶ μὴ τοδὶ, ἠπίστατο ὡρισμένως, καὶ ὡς προεγίνωσκε τοῦτο μέλλοντας εἰς τοσοῦτους ἐναυτοὺς, οὕτως καὶ τὸ ἐνδεχομένως ἐσόμενον ἠπίστατο ἀναγκαίως. Συναιρεῖ μὲν γὰρ ἡ θεία ἐπιστήμη τὸ πᾶν τῆς ἀνθρωπίνης αἱρέσεώς τε καὶ πράξεως, ὡς ἔχει καθ' ἑαυτὴν περὶ ὁτιοῦν. Ἅμα δὲ καὶ πρὸς τὸ ἔσχατον φέρεται, ὅπερ ἐστὶν ἓν τε ἐνδεχομένοις ἓν τε ἀναγκαίοις ὁμοίως, μᾶλλον δὲ αὐτῇ πάντα πάντῃ εἰσὶν οὕτως, ὡς ἀπείρῳ καὶ κοινοτάτῃ πάντων αἰτίᾳ· δι' ὃ καὶ τὴν σύμπασαν ἑκατέρου ἀγωγὴν οὐκ ἐγίνωσκε μόνον, ἀλλὰ καὶ συνδιετίθει οἰκείως, πρότερον μὲν ἐν τῷ θείῳ προορισμῷ, ὕστερον δὲ καὶ ἐν αὐτῷ τῷ ἔργῳ. Συνδιετίθει δὲ τῷ μὲν προστιθεὶς χάριν, τοῦ δὲ χάριτος ἀφαιρουμένης διὰ τὸ μὴ δύνασθαι τῷ σκότει τῆς ἐκουσίου κακίας τὸ φῶς τῆς χάριτος συνοικεῖν, μήτε καταλάμπεσθαι δεῖν ἄκοντας, τοὺς ἐζοφῶσθαι μᾶλλον προῃρημένους.

Καὶ οὐκ ἐποίει μὲν ἡ χάρις τὸν Ἰωάννην μὴ ἡγεῖσθαι φοβερὸν εἶναι τὸ φοβερὸν ἢ ἐφήδεσθαι ἁπλῶς τῷ θανάτῳ. Ἐποίει δὲ δεδιέναι πλέον τὸν φοβερώτερον τοῦ σῶμα μόνον ἔχοντος κτείνειν, ψυχῆς δὲ μὴ ἐφαπτομένου, ἢ συμβουλεύει τὸ λόγιον, καὶ διὰ τοῦτο ἀνδρείως αἱρεῖσθαι τὴν τελευτὴν, ἢ καὶ σφοδροτέρᾳ τοῦ Θείου ἀγάπῃ τιθέναι τὴν ψυχὴν ὑπὲρ τῶν τοῦ ἐρωμένου δογμάτων. Ἀλλὰ καίτοι βοηθούμενος ἐκ τῆς χάριτος, ὥστε κρίνειν τὸ αἱρετέον ὀρθῶς, ὅλῃ μέντοι τῇ προαιρέσει ἐλάμβανέ γε τὸ βέλτιον, καὶ τῆς αὐτοῦ γνώμης ἅπαν ἦν τὸ καλόν. Οὐδὲν δ' ἧττον καὶ τῆς χάριτος τὸ πᾶν ἦν, ὅσον ἐπ' αὐτῇ ἦκει, ἧς χωρὶς οὐ δωάμεθα ὁτιοῦν. Δι' ὃ καὶ προηγεῖσθαι μὲν αὐτὴ λέγεται διὰ τὴν τοῦ κτίσματος ἀδυναμίαν ἀφ' ἑαυτοῦ, ἕπεσθαι δὲ ἡγουμένης τῆς προαιρέσεως, διὰ τὸ μὴ ἐπαναγκάζειν, ὡς ἔχει ἐπὶ φωτὸς, καὶ τοῦ ἔχοντος ἢ θέλοντος βλέπειν αὐτῷ.

Καὶ ἔτι εὔχετο μὲν Ἰωάννης μὴ ἐγκαταλειφθῆναι ἂν, ἀλλ' ὁδηγηθῆναι πρὸς τὴν αἵρεσιν τοῦ βελτίονος, ἐπήκουσε δὲ ὁ Θεὸς πρὸς μὲν αὐτὸν Ἰωάννην καὶ τὸ ἔργον τότ' εὐθὺς, πρὸς δ' ἑαυτὸν, ἐξότου καὶ προῄδει τὸν Ἰωάννην ἄξιον ἐπακούεσθαι. Καὶ οὐ μάτην εὔχετο Ἰωάννης. Ὁ δὲ Ἡρώδης ἐσκέπτετό τε καὶ ἐποίει, οἷς ἂν ἔδει αὐτὸν ἐγκαταλιμπάνεσθαι. Οὐκοῦν καὶ αὐτοῦ ἡ πονηρία ἔπασχε τὸ ἑαυτῆς, καὶ οὐκ εἰκῇ ἐγίνετο οὐδὲ αὐτή.

Ἐκ τούτων ἁπάντων οὕτω τύπῳ διῃρημένων καὶ ὑποδείγματι ἐνὶ ἐκ πλείστων καλῶς ἐφαρμοζομένῳ δῆλόν ἐστι, καὶ τὰς ἀνθρωπίνας θελήσεις τε καὶ αἱρέσεις, καὶ τὰ ἐφ' ἡμῖν εἶναι λεγόμενα, καὶ ὅσα ἐνδεχομένως ὑφ' ἡμῶν πράττεσθαι, πάντα τῇ θείᾳ ὑποκεῖσθαι προνοίᾳ, ἥ ἐστι πρόβλεψις τοῦ συμφέροντος, ἐν ἀμεταβλήτῳ διατάξει τῶν πρὸς τοῦτο ἀποβαινόντων, προεγνῶσθαι δὲ ταῦτα ὡς ἔσται, τῇ πάντων αἰτίᾳ, καὶ προωρίσθαι· γινωσκόμενα μὲν γὰρ, ὅτι οὕτως ἔσται καὶ ὡρίσθαι οὕτως ἐχρῆν· προγινωσκόμενα δὲ καὶ προωρίσθαι δήπου· προωρισμένα δὲ οὕτω, καὶ οὕτω γίνεσθαι, ἐπειδὴ ὡς οὕτως ἐσόμενα καὶ οὕτω πρεώριστο. Οὔτε γὰρ οἷόν τε ἦν τὸ μέλλον ἀγνοεῖν τὸν Θεὸν, ἢ ὑπομένειν, ὅπως ἄν τι γένοιτο, ἵνα εἰδῇ· οὔτε ἔδει ἐγνωσμένης τῆς ἑκάστου τῶν γινομένων ἀκολουθίας τὴν θείαν διαπεσεῖν γνῶσιν, ἄλλως ἐν τῇ τοιαύτῃ ἀκολουθίᾳ τινὸς, ἢ καὶ προέγνωστο, ἀποβαίνοντος.

Ἀλλ' οὐ προωρίσθαι γε ἐν ἑαυτοῖς, οὐ γὰρ ἀεί εἰσιν αὐτὰ, ἐν τῷ Θεῷ δὲ μόνον προωρίσθαι· καὶ οὔτε ἔχειν εἰδέναι τὸν θεῖον προορισμὸν τοὺς ἀνθρώπους περὶ ὁτιοῦν τῶν ἐπ' αὐτοῖς ὄντων, ἵνα αὐτῷ καὶ ἄκοντες ἀκολουθῶσι. Καίτοι οὐκ ἀγνοοῦσιν οἵ γε σοφοὶ, ὡς ἀνάγκη πάντα ἐκεῖ ὡρίσθαι, οὗτ' ἐκεῖθεν

καὶ μὴ εἰδότας συναναγκάζεσθαι, ἵνα τὰ πεφυκότα
A μένοι καὶ πράξαντες. Ἀλλὰ τὸ προορίζειν ἀντὶ τῆς
ἐκ προαιρέσεως καὶ ἐνδεχόμενα γίνεσθαι μὴ γίνηται
οὕτως, ἢ οἱ πεφυκότες ποιεῖν οὕτω μὴ οὕτω ποιῶ-
σιν. Δῆλον δὲ καὶ ὅτι τούτων οὕτως ἐχόντων οὐδὲν
πρὸς τοῦ ἐλέσθαι τὸ βέλτιον ὠφελεῖ ὁ θεῖος προο-
ρισμὸς τοὺς προῃρημένους, εἰ μὴ ὅσον προώριστο τῇ
ἀνθρωπίνῃ φύσει κοινῶς, τὸ δεῖν κατὰ λόγον τε καὶ
νόμον βιοῦν, καὶ οὕτω βιοῦντας θεοφιλεῖς εἶναι,
τοιούτους δὲ ὄντας ἄμεινον ζήσεσθαι ἐν τῷ μέλλοντι.
Ταῦτα γὰρ καὶ πάνυ καλῶς οἴδασιν οἵ γε σπουδαῖοι.
Ἀλλ' οὐ διὰ τὸ εἰδέναι μόνον τοιοῦτοί εἰσιν· πολλοὶ
γὰρ καλῶς εἰδότες καὶ ἄλλους πείθοντες αὐτοὶ πονη-
ροὶ ἐθέλομεν εἶναι· ἀλλ' ὅτι ᾔδει καὶ τούτους ὁ Θεὸς
τὰ χείρω αἱρησομένους, καὶ προώριστο τοῦτο οὕτως
ἐν τῇ θείᾳ περὶ αὐτῶν γνώσει, οὐδὲ αὐτοὶ ἐπίστανται,
οὐκοῦν οὐδὲ βλάπτει αὐτοὺς τοῦτό γε.
B
Ἑκόντες ἄρα αἱροῦνται ἀμφότεροι, ὁπότε αἱροῦν-
ται· δι' ὃ καὶ οἱ μὲν στέφανοῦνται, οἱ δὲ κολάζονται,
ὡς ὅλῃ αὐτῶν προαιρέσει τοιοίδε ἀποτελεσθέντες.
Καὶ ὁ Θεὸς ἐν οἷς μέν ἐστιν αἴτιος, ἐν οἷς δὲ ἀναί-
τιος. Εἰ δὲ καὶ πάντων αἴτιος, ἀλλ' οὐδεμιᾷς γε
ἀνάγκης ἐν τοῖς προαιρετοῖς· ὡς γὰρ ἔμελλε γίνε-
σθαι καὶ ὡς ἐπεφύκει ἕκαστα γίνεσθαι ἢ ποιεῖν, οὕτω
προέγνωστο τῷ Θεῷ καὶ προώριστο, καὶ ὡς τὴν
θείαν περὶ ἁπάντων βούλησιν εἰκός ἐστιν ἐμπλέ-
κεσθαι τοῖς τοιούτοις, ὅπου μὲν οὐκ ἀναγκάζουσαν,
ὅπου δὲ συνεργοῦσαν μόνον, ὅπου δὲ συγχωροῦσαν
ἐπ' ὠφελείᾳ, ὅπου δὲ ἐγκαταλείπουσαν τέλεον.
C
Εἰ δέ τινες τῶν ἐνθέων χωρίζοντες τὰ ἐφ' ἡμῖν
προγινώσκειν λέγουσι τὸν Θεὸν, οὐ προορίζειν, τὸ
ἐπαναγκάζειν βούλονται λέγειν. Τοῦτο δὲ καὶ ἡμῖν
εἴρηται, ὅτι ἐν τοῖς θελήσει ποιοῦσιν οὐδὲν πλέον
ἀνάγκης ἐπάγει τὸ προεγνῶσθαι καὶ προωρίσθαι
πάντα ὑπὸ Θεοῦ, ἢ εἰ μετὰ τὸ πράττειν αὐτοὺς ἐλευ-
θέρως, ἅττ' ἂν προαιροῖντο, ἐγίνωσκεν, ὅτι τάδε πέ-
πραχται ὑπ' αὐτῶν. Τὸ μὲν γὰρ γινώσκεσθαι αὐτά
ποτε καὶ ἐξ αὐτῶν ἐστιν· ὡς γὰρ ὑπάρχοντα καὶ γι-
νώσκεται· τὸ δὲ προεγνῶσθαι τοσοῦτον χρόνον τοῦ
περιόντος τῆς θείας ἐπιστήμης ἐστίν. Οὔκουν συντε-
λεῖ αὐτοῖς ἢ ἐμποδίζει τὸ προεγνῶσθαι, ἕως ἂν μὴ καί
τις ἐπῇ ἀνάγκη ἐκ τοῦ προγινώσκοντος, ὥστε οὐδὲ
τὸ προωρίσθαι. Συντελεῖ δὲ τῷ προγινώσκειν τὸ
προωρισμένον γινώσκειν· ἀορίστων γὰρ οὐκ ἄν ποτε
γίνοιτο γνῶσις Θεῷ πρέπουσα. Οὐκοῦν δεῖ μὲν ὡρί-
σθαι τὰ γινωσκόμενα ἁπλῶς τε καὶ ὡρισμένως. Δεῖ
D δὲ καὶ προωρίσθαι τὰ προεγνωσμένα, καὶ ὡρίσθαι
γε οὐκ ἄλλοθεν ἢ ὑπ' αὐτοῦ, ποιητοῦ πάντων ὄντος
καὶ τέλους ἐσχάτου. Ταύτῃ γὰρ ἐξ αὐτοῦ καὶ εἰς αὐ-
τὸν εἶναι λέγεται πάντα ὡς αὐτοῦ γε ὄντος τοῦ τε
τάττοντος ἕκαστα, καὶ εἰς ὃν πάντα ἐσχάτως τάτ-
τονται, κἀντεῦθεν ἀκολουθεῖν τὸ καὶ εἰς τὰ προσεχῆ
αὐτῶν τέλη ἕκαστα ὑπ' αὐτοῦ τάττεσθαι.

Οὐκ οὖν οὐδ' ἐκεῖνοι τὸν θεῖον προορισμὸν καὶ ἐν
τοῖς ἐφ' ἡμῖν ἀγνοοῦσιν ὡς μόνων τῶν ἀνθρωπίνων
ἐνεργειῶν ἢ τῷ χείρους εἶναι τῶν ἄλλων οὐχ ὁριζο-
μένων, ἢ τῷ πάνυ βελτίους εἶναι, μηδὲ τῇ θείᾳ γνώ-
σει περιλαμβανομένων. Ἥκουον γάρ που τοῦ λογίου
κεκληκέναι τὸν Θεὸν, οὓς προέγνω καὶ προώρισε·
οὗτοι δὲ ἦσαν οἱ ὅσα ἦν ἐπ' αὐτοῖς θεοφιλῶς προῃρη-
μένοι καὶ πράξαντες. Ἀλλὰ τὸ προορίζειν ἀντὶ τῆς
ἀνάγκης λαμβάνουσιν, οὐ πάνυ μὲν ἀκριβῶς ἐφι-
στῶντες τῷ σημαινομένῳ τῆς λέξεως, ἀκριβῶς δὲ
πάνυ φρονοῦντες, ὡς ὁ θεῖος προορισμὸς οὐκ ἀναγ-
κάζει τὸ αὐτεξούσιον, ὡς μηδὲ τοιοῦτο λοιπὸν εἶναι.
Ὥστε καὶ αὐτοὶ τῷ πλήθει τῶν ἄλλων ἐνθέων καὶ
τῷ κανόνι τῆς ἀληθείας συνάδουσι.

Τούτων ἁπάντων οὕτω τιθεμένων, ὅτι οὐδὲν ἀναι-
ρεῖται τῶν ὁμολογουμένων, σαφὲς ἐστι· μένει μὲν
γὰρ τὸ ἐξ ἀνάγκης καλῶς, μένει δὲ τὸ ἐνδεχόμενον
ἐν τοῖς αἰτίοις τε καὶ τοῖς ἐξ αὐτῶν γινομένοις, μένει
δὲ τὸ συμβεβηκὸς ἐν τοῖς πράγμασι. Πάντα γὰρ ἐν
τῇ τάξει τῆς θείας προνοίας, ὡς εἴρηται, περιέχεται,
καὶ πάντα ἡ τάξις αὐτὴ διαλαμβάνει καλῶς, μετὰ τοῦ
ἑκάστῳ τὸ οἰκεῖον φυλάττειν. Ἀλλὰ μὲν καὶ τὸ χρή-
B σιμον τῶν εὐχῶν οὐκ ἐκβάλλεται οὕτως, οὐ μόνον ὡς
καὶ αὐτῶν ὑπὸ τὴν τάξιν οὐσῶν, ὡς ἐν τῷ τοῦ Ἰωάν-
νου ὑποδείγματι εἴρηται· ἀλλ' ὅτι καὶ πολλὰ παρὰ
τὴν τάξιν τῶν ταπεινοτέρων αἰτίων ὁ Θεὸς εἰωθε
πράττειν τὸν ἀνθρώπινον βίον οἰκονομῶν, ἃ τὴν ὅλην
διάθεσιν τῆς αὐτοῦ προνοίας καὶ τὴν πάντα περιέ-
νουσαν τάξιν οὐ μεταβάλλει οὐθ' ὑπερβαίνει. Οὐδὲν
οὖν κωλύει τοιαῦτα ποιεῖν καὶ ταῖς εὐσεβέσι τῶν ἀν-
θρώπων αἰτήσεσι χαριζόμενον, ὃς τὸ θέλημα τῶν
φοβουμένων αὐτὸν ποιεῖν λέγεται, καὶ τῆς αὐτῶν
δεήσεως ἐπακούειν, καὶ διηνεκῶς ἡμᾶς προτρέ-
πεται ἐπὶ τὸ ζητεῖν. Ἀπολέλυται γὰρ ὁμολογου-
μένως πάσης ἀνάγκης, ἣν αὐτὸς ἐνέθηκε τοῖς ποιή-
μασι, καὶ διὰ τοῦτο πᾶσαν ὡρισμένην ἐξ αὐτοῦ
τοῖς μερικοῖς αἰτίοις ἀνάγκην μεταποιεῖ θελήσας πρὸς τὴν σωτηρίαν τῶν εὐσεβῶς καταφευγόν-
C των καὶ ἐπιμόνως προσεδρευόντων, ἢ ὑπὲρ ὧν
ἱκετεύουσιν, ὧν ἁπάντων ἡ σωτηρία τῆς περὶ
αὐτοὺς προνοίας, τῆς καὶ διὰ τῶν ἄλλων κτισμάτων
ὑπουργουμένης, τέλος ἐστίν. Οὐδὲ γὰρ διαφέρει
ἧλιον στῆσαι τρέχοντα δικαίων εὐχαῖς, ἢ ἐν πανσε-
λήνῳ ποιῆσαι αὐτὸν ἐκλιπεῖν, τὸ παραδοξότερον, καὶ
μηδενὸς εὐξαμένου τοῦτό γε, ἵνα τι ἑκατέρωθεν
ἀγαθὸν καταπράξηται. Ἐν ἑκατέρῳ γὰρ τῶν θαυ-
μάτων τὴν ὡρισμένην ἀνάγκην ἦγχε τῇ ἀπολελυ-
μένῃ [sic], καὶ τὸν φονευθέντα ἂν ἐν ὕπνῳ ὑπὸ λῃ-
στῶν ἐξαναστήσας καὶ κρύψας που ἀπῆλλαξεν ἐτοί-
μης οὔσης τῆς συμφορᾶς, ἵνα τι περὶ αὐτὸν βέλτιον
ἢ περὶ ἄλλους τῇ προσθήκῃ τοῦ βίου οἰκονομηθῇ.
D Ἀλλὰ καὶ εὐχῇ ἀπῆλλαξεν ὁμοίου κακοῦ ἕτερον
ἰδόντα ἐπιὸν ἄφυκτον τὸ δεινὸν, καὶ ἐπὶ τὸν δυνάμε-
νον σώζειν καταφυγόντα. Ἔστιν ὅτε μετὰ τοῦ σῶσαι
καὶ αὐτοὺς μεταβεβλημένους τοὺς κτείναι προῃρη-
μένους, καὶ φονευθέντας μὲν ἂν ὑπὸ τῶν τυράννων,
τοὺς μέχρι θανάτου ὑπὲρ τῆς πίστεως ἀπολογουμέ-
νους διεφύλαξε καὶ μὴ δεηθέντας, οἱ βυθιζόμενοι
οὐκ ἀπεπνίγοντο, καὶ ἐμπιπράμενοι οὐ κατεκαίοντο,
καὶ θηρίων ἐπαφιεμένων οὔτε ἐβλάπτοντο ὀτιοῦν,
καὶ ἐτιμῶντο ὡς ἂν εἶχε τιμᾶν τὰ θηρία, καὶ δη-
λητηριούμενοι οὐκ ἀπέθνησκον. Δεηθέντας δέ ποτε
ἄλλους μετὰ τὴν παῤῥησίαν καὶ ἄθλους πολλοὺς ἀπο-
δεδειγμένους σὺν εἰρήνῃ ἐξῆγε τοῦ βίου, καὶ χωρίς
τινος αἰτίας φυσικῆς τῶν τὰ τοιαῦτα τέλη ἐν τοῖς
ἀνθρώποις ἐργαζομένων.

Ἐφ' ὧν ἁπάντων τὸ ὡρισμένως ἐν τοῖς κτίσμασιν ἀναγκαῖον αἰτιατὸν ὂν καὶ κτιστὸν μείζονι τῇ ἀϊδίῳ ἀνάγκῃ μεταποιεῖται. Ἡ μὲν γὰρ ἐν τοῖς ποιήμασιν ἀνάγκη διὰ τὸ θελῆσαι τὸν Θεὸν οὕτως ἐστὶ καὶ ἑκάστῳ θελῆσαι τὸ βέλτιστον τῇ αὐτοῦ φύσει, καὶ τοῖς ἄλλοις ὅσα δεῖταί τι αὐτῶν πρὸς τὸ εἶναι. Τὸ δὲ ἁπλῶς βέλτιστον ἐν τῇ θελήσει τοῦ Θεοῦ κείμενον, ὥρισται μὲν καὶ αὐτὸ ἐκεῖ ἀεὶ καὶ ἑκάστοτε τῷ τε μὴ ἂν ποτε θελῆσαί τι τὸν Θεὸν παρὰ τὴν ὡρισμένην ἐν τοῖς ποιήμασι τάξιν, ὃ μὴ ἂν εἴη ἁπλῶς βέλτιστον, ὑφ' ὃ τὸ ἐν αὐτοῖς ἀγαθὸν τέτακται, τῷ τε τυγχάνειν ὡρισμένως προεγνωκότα, ὅτι οὕτω ποιήσει. Πρὸς δὲ τὴν ἐγκαθιδρυμένην τοῖς ποιήμασι καὶ τοῖς δούλοις ἀνάγκην ἀόριστόν ἐστι καὶ ἀπολελυμένον· οὐδὲ συμπέπλεκταί γε τῇ τῶν ὄντων ἀκολουθίᾳ, ἀλλὰ τῆς ἁπλουστάτης καὶ ἐλευθέρας ἥρτηται τοῦ θείου θελήσεως, ᾗ νόμος οὐδείς ἐστιν, οὐδ' ἀνάγκη, πλὴν ἑαυτῆς. Οὐ γὰρ δύναταί ποτε εἰ μὴ τοῦ βελτίστου εἶναι, ἢ ὡρισμένως ἢ ἀπολελυμένως. Καὶ ὡς μὴ ὄντα πρότερον ἐποίει τὰ ἐν τῷ κόσμῳ, οὐ δήπου τὴν ἐν τοῖς κτίσμασιν ὡρισμένην παρ' αὐτοῦ συμπροβιβάζων ἀνάγκην, οὕτω γὰρ ἦν· οὕτω καὶ ὄντα μετασκευάζει ἐπειδὰν βουληθῇ ὀλοσχερεστάτῃ καὶ ἀρίστῃ διατάξει προνοίας, καὶ τὸ μεῖζον ἢ κοινότερον ἀγαθὸν διαπραττομένῃ μετὰ τοῦ μήτε τὰ ἄλλα ἀναιρεῖν.

Ταῦτα δὲ συνᾴδει καλῶς τοῖς ἐξ ἀρχῆς εἰρημένοις, ἐν οἷς ἐστι καὶ τὸ τὸν Θεὸν μὴ πεποιηκέναι τὰ ὄντα τῷ πεφυκέναι, ἀλλὰ τῷ βούλεσθαι. Εἰ δὴ περὶ τὰ κεφάλαια τοῦ ἀνθρωπίνου βίου τὸ τῶν εὐχῶν οὐκ ἀναιρεῖται δραστήριον, πολλῷ μᾶλλον ἐν διαθέτεσι καὶ ζῶσι καὶ τρόποις καὶ τόποις, καὶ ὅσα ἁπλῶς ταῖς ἀνθρωπίναις πράξεσιν ἢ τοῖς πάθεσι σύνεισιν. Οὔτε γὰρ ὡρισμένα ἐκ τούτων τοῖς ἀνθρώποις ἀκολουθεῖ, οὔτε ἑνὶ τρόπῳ πάντα πᾶσι συμπλέκεται. Ἀλλ' ἐνδέχεται μὲν ἐκ τῶν αὐτῶ· πρὸς τἀναντία κινεῖσθαι τὰς ἀνθρωπίνας αἱρέσεις, καὶ οὐ μόνον πλειόνων ἀνθρώπων, ἀλλὰ καὶ τῶν αὐτῶν ἐν ἄλλῳ καὶ ἄλλῳ χρόνῳ, ὡς δὲ καὶ ἐκ τῶν ἐναντίων ἢ διαφόρων ἐνδέχεται πρὸς τὸ τὰ αὐτὰ αἱρεῖσθαι, ἐνάγεσθαι. Καὶ ἐμπεριλαμβάνονται μὲν τῇ διατάξει τῇ θείᾳ· οὐκ ἐκπληροῦνται δ' ἀεὶ πάντα ἰδιαιτάτῃ τῆς θείας χάριτος ἐκπληρώσει, ὥσπερ τὰ τέλη αὐτῶν, ἀλλ' ὡς προηγούμενα μόνον ἢ ἐπακολουθοῦντα αὐτοῖς ἐνώπιόν εἰσι τῶν ὀφθαλμῶν τοῦ Θεοῦ, καὶ ὡς δι' αὐτῶν ἑκάστου ἀνθρώπου ἐπὶ τὰ κεφάλαια τοῦ ἰδίου βίου παρασκευαζομένου. Τῇ δὲ τάξει τῶν μερικῶν αἰτίων ἀφίενται ὡς ἐπίπαν καὶ τῇ ἀνθρωπίνῃ βουλῇ.

Ἐν τούτοις οὖν καὶ μάλιστα τῶν εὐχῶν ὁ Θεὸς ἐπακούων τῷ ταῖς ἀνθρωπίναις ἀσθενείαις συντρέχειν τὴν τῶν μερικῶν τοιούτων διάταξιν πρὸς τὸ συμφέρον πολλάκις μεταποιεῖ, μετὰ τοῦ καὶ τὰς θελήσεις τῶν ἀνθρώπων ἔσθ' ὅτε προσάγειν αὐτῷ τὰς οἰκοθεν κινουμένας. Ἱκετεύομεν δὲ καὶ ὑπὲρ ἀμφοῖν τούτων οἱ ἄνθρωποι· καὶ οὐχ οἷόν τ' ἦν τὸν ὑπεράγαθον τοῖ; τὸ συμφέρον αἰτοῦσι πρὸς τὴν προκειμένην ζωὴν, ἧς προὔργου ἐπιθυμεῖν φαίνονται, μὴ τά τε ἔξωθεν κωλύματα ἀναιρεῖν, καὶ τὰς ψυχὰς καταλάμπειν πρὸς τὴν εὕρεσιν τοῦ συμφέροντος, ὁπόταν μὴ πάνυ σαφὴς ᾖ. Ταῦτα δὲ καὶ χωρὶς εὐχῶν πάνυ ποιεῖ ἐν τοῖς ἀξίοις καὶ μὴ εὐχομένοις τυγχάνειν. Ὥσπερ οὖν πολλοὶ εὐχόμενοι, οὐκ ἀξίᾳ παρασκευῇ, ἢ ἀγνοίᾳ τοῦ ὠφελίμου, οἱ μὲν τῇ ὁδῷ τῆς αὐτῶν βουλῆς καταλείπονται καὶ τῆς φύσεως, ἐπ' ὠφελείᾳ δήπου τινὶ αὐτῶν ἢ ἑτέρων, εἰ καὶ κακόν τι πάσχειν δοκοῦσιν· οἱ δὲ οὐχ ὃ ζητοῦσιν, ἀλλ' ὅ σφισι συμφέρει λαμβάνουσιν. Τῆς γὰρ αὐτῆς τοῦ εὐμενεστάτου πατρὸς προνοίας ἂν εἴη, ἰχθὺν τε αἰτοῦντι μὴ ἐπιδιδόναι, φησὶν, ὄφιν, καὶ ἰχθὺν ἀναιδεύοντι ἐξηπατημένῳ παρέχειν ἰχθύν, οὐκ ὄφιν, εἴ τις τῶν ἀγαθῶν τοῦ πατρὸς δομάτων ἄξιος εἴη, τἄλλα παῖς ἀγαθὸς ὤν.

Ὁ δὲ μεῖζον εἰς ἐνδειξιν τῆς περὶ ἡμᾶς ἀγαθῆς τοῦ Θεοῦ προνοίας, ὅτι καὶ πρὸς τὸ εὔξασθαί που ἐνάγει, ἵνα σὺν ὑποσχέσει τοῦ ἀμέμπτως ποτὲ βιώσεσθαι καὶ θεοφιλῶς αὐτοῦ δεηθέντες λάβωσιν, ὃ βούλεται αὐτοῖς διδόναι βελτιωθεῖσιν, εἴτε προσθήκη ζωῆς εἴη τοῦτο, εἴτε δουλείας ἀπαλλαγή, εἴτε ὁτιοῦν. Οὐδεὶς γάρ ἐστιν, ᾧτινι ἀφορμὰς εἴδωσιν ὁ Θεὸς καθάρσεως, ἄλλῳ ἄλλας, εἰδὼς μὲν ὅσοι αὐτὰς οὐχ ἁρπάσουσιν, τὸ δὲ ἀνῆκον τῇ ἀγαθότητι ἅπαν παντὶ τῷ πλάσματι χαριζόμενος. Ἴσα περὶ τῶν ὑπολοίπων τοῖς τε βελτιουμένοις τοῖς τε ἀνεπιστρόφως ἔχουσι τῇ αὐτοῦ μέλει δικαιοσύνῃ. Τοιούτων πλήρεις αἱ ἱεραὶ ἱστορίαι· καὶ οἱ πολύθεοι δὲ τὰ αὐτὰ ἱστοροῦσι πολλὰ, εἰ καὶ περὶ τὰ αἴτια αὐτῶν καὶ τοὺς τρόπους πεπλάνηνται, θεότητα μέν τινα καὶ αὐτοὶ αἰτιώμενοι τῶν τοιούτων καὶ πρόνοιαν καὶ ἀνάγκην, διανέμοντες δὲ τὴν θεότητα οὐκ εὐσεβῶς τοῖς τοῦ μόνου Θεοῦ ποιήμασι, πρὸς τὸ αἰτιῶδες αὐτῶν ἐξηπατημένοι, τὴν δὲ πρόνοιαν ἢ οὐ πάντων ἢ οὐκ ὀρθῶς· λέγοντες, τήν τε ἀνάγκην ἱδρύοντες ἔνθα οὐ χρὴ, σὺν οὐδεμιᾷ λόγων ἀνάγκῃ, καὶ ὃ μεῖζόν ἐστιν, οὐδ' οὕτε σφίσιν αὐτοῖς ἕκαστοι, οὔτε ἀλλήλοις ὁμόλογον ἀσιοῦντες.

Ἐν τούτοις πᾶσι τοῖς περὶ θείας φιλανθρωπίας ἱστορουμένοις μετὰ τοῦ ταῦτά τε ἀληθῆ εἶναι, καὶ ἡμᾶς ὀρθοτάτῳ λογισμῷ κεχρημένους εὔχεσθαι περὶ ὧν χρὴ τῷ Δημιουργῷ, καὶ τὸ τῆς θείας προνοίας προωρισμένον καὶ ἀμετάβλητον διατὸς ἐστι. Οὔτε γὰρ διὰ τὸ ἄπαξ ἢ δὶς στῆναι τοῦ δρόμου τὸν ἥλιον τῇ τοῦ ποιήσαντος αὐθεντίᾳ ἡ περὶ αὐτὸν ἥμειπται καθόλου τῆς προνοίας διάταξις, οὔτ' ἔξω τῶν περὶ ἥλιον προωρισμένων καὶ τοῦτο ἦν. Καὶ Ἐζεκίας ὁ προσθήκην ζωῆς ἐλάμβανεν ἐκ τῆς περὶ τὸν βίον μεταμελείας καὶ καταφυγῆς εὐσεβοῦς πρὸς τὸν ζωῆς αἴτιον, οὕτως οἰκονομήσαντος τοῦ Θεοῦ, καὶ ὁρισαμένου ἂν τότε ὁμολογουμένως αὐτῷ τὴν ζωὴν, καὶ ἠπείλησεν, εἰ μὴ μετανόει. Ἀλλ' οὐ παρ' ἐντεῦθεν ὁ θεῖος ἠμείφθη προορισμὸς περὶ τῆς ἑκάστου ζωῆς τε καὶ τελευτῆς, ἐν ᾧ περιέχεται καὶ τὸ δύνασθαι ταῦτα διατιθέναι πρὸς τὸ συμφέρον τὸν θανάτου καὶ ζωῆς Κύριον. Οὔτ' ἔξω τῶν περὶ Ἐζεκίου προωρισμένων καὶ τοῦτ' ἦν τὸ εὐξάμενον σὺν βελτιώσει τοῦ βίου προσθήκην ταύτην λαβεῖν, καὶ ὃ ποτε πέρας τῆς περὶ τὸν Ἐζεκίαν καθόλου θείας προνοίας ἦν, τοῦτ' ἀμήχανον ἦν μεταποιηθῆναι. Ὥστε εἰ καὶ δὶς

αὐτῷ τοσοῦτος αὖ προσετίθετο χρόνος, ἐκεῖνος ἂν ἦν ὁ τῆς ζωῆς τελευταῖος ὅρος αὐτῷ, καὶ προσετίθετ' ἂν δήπου· οὐκ ὢν δὲ οὐδὲ προσετίθετο. Καὶ εἰ προαιρούμενος μετενόει Ἐζεκίας, ἐνδεχόμενον αὐτῷ καὶ μὴ θέλειν μετανοεῖν. Ἀλλ' ὁ Θεὸς ἦδει ὡρισμένως, ὅτι μετανοήσει, καὶ οὐκ ἀποθανεῖται εὐθὺς τότε, καὶ εἰ ἀπέθνησκεν ἂν εὐθὺς μὴ μετανοιῶν, οὐχ ὡς οὕτω καὶ προωρισμένον ἐγίνετ' ἂν οὕτως, ἀλλ' ἦν ἂν ὅτι γενήσεται οὕτω προωρισμένον τῇ πάντα περιεχούσῃ τοῦ Θεοῦ γνώσει, καὶ ἐγίνετ' ἂν τὸ ἀνθρωπίνῃ γνώμῃ γινόμενον καὶ τῇ θείᾳ γνώσει προωρισμένον. Ὁ δὲ αὐτὸς καὶ περὶ ὁμοίων ἐστὶ λόγος.

Ἐπεὶ τοίνυν οὐδὲν ἀναιρεῖται τῶν ὁμολογουμένων, ἐκ τοῦ πάντα ἐκεῖνα οὕτω τίθεσθαι, ὡς περὶ ἀληθεστάτων, τῷ δεδωκότι καὶ γνῶναι καὶ εἰπεῖν οὕτως χάριν ὁμολογοῦμεν Θεῷ, ᾧ πρέπει δόξα ἐκ πάντων εἰς τοὺς αἰῶνας. Ἀμήν.

GENNADII PATRIARCHÆ

DE PRÆDESTINATIONE

AD JOSEPHUM EXARCHUM EPISTOLA

SEU

TOTIUS OPERIS LIBER SECUNDUS

(Vide supra, col. 539.)

ΠΕΡΙ ΤΟΥ ΘΕΙΟΥ ΠΡΟΟΡΙΣΜΟΥ

ΤΡΙΤΟΝ.

—

DE DIVINA PROVIDENTIA

LIBER TERTIUS

(Ex cod. Reg. Paris. 1289, fol. 180 v° nunc primum editus.)

—

Τῷ αὐτῷ τιμιωτάτῳ ἐξάρχῳ Γεννάδιος μοναχὸς ὁ Σχολάριος.

Πολλὴν οἶδά σοι χάριν, ὁσιώτατε Πάτερ καὶ ἀδελφέ, ὅτι καίτοι πεπεισμένος ἀρκούντως τῇ συστάσει τῶν τοῦ μεγάλου Πατρὸς Βασιλείου χρήσεων, μᾶλλον δὲ τῆς κοινῆς τῶν διδασκάλων δόξης, περὶ τῶν τῆς ζωῆς ὅρων περὶ ὧν ἐπυνθάνου, ταυτὸν δ' εἰπεῖν, καὶ περὶ τοῦ θείου προορισμοῦ, ἔπεμψας ἡμῖν καὶ τὰ δοκοῦντα τῇ δόξῃ ταύτῃ προσίστασθαι ἡμῶν σοι· καὶ τοῦτο προτρεψαμένων ἅπερ ἰδόντες καὶ τρίτον ἤδη σοι συνταγμάτιον πέμπομεν ἀκολούθως τῷ καιρῷ καὶ τῇ χρείᾳ· εἰ καὶ τὸ πρότερον περὶ θείας προνοίας καὶ προορισμοῦ πεμφθέν σοι βιβλίον ἡμῶν ἀρετῇ καὶ δυνάμει πολλῷ πλέον ἢ μεγέθει ταῦθ' ὑπερβάλλει τὰ δεύτερα· ἐκεῖ μὲν γὰρ ὅλην προεστησάμεθα τὴν ὑπόθεσιν ταύτην, ἐν τούτοις δὲ λύσιν ἐνίων τῶν ἀντιπίπτειν δοκούντων ἐκτίθεσθαι σοι διέγνωμεν τῷ φιλτάτῳ. Ὁ μὲν οὖν ἱερώτατος ἀρχιερεὺς τῆς Ἐφέσου, ἐκ γὰρ τῶν ὑστέρων ὡς βελτιόνων ἄρξασθαι δεῖ, καὶ διὰ τὴν πρὸς ἐκεῖνον ἡμῶν μετ' αἰδοῦς εὔνοιαν τῇ διακρίσει τῶν μεγάλων διδασκάλων συναγωνίζεται ἣν τῷ δευτέρῳ συντάγματι φανερῶσαί σοι καλῶς προεθέμεθα καὶ ἡμῖν τὰ ἐκείνων ὡς ἐχρῆν ἐκθειάσασιν ἐπιμαρτυρεῖ· φησὶ γὰρ ἐν οἷς ἡμῖν ἔπεμψας κατὰ λέξιν ὡς εἰ μὴ καὶ πᾶσιν ἀνθρώποις, ἀλλὰ τοῖς ἀρίστοις τε καὶ οἰκειοτάτοις ὁ Θεὸς οὐ τὴν τελευτὴν μόνον, ἀλλὰ καὶ τὰ κατὰ τὸν βίον ἅπαντα προορίζει, τοῦτο δὲ καὶ ἡμῖν δι' ὅλου τοῦ δευτέρου συγγράμματος κατεσκευάζετο ὡς γνώμη τῶν διδασκάλων κοινὴ τῶν ἀκριβούντων ταῦτα καὶ σοφίᾳ καὶ χάριτι οὐ μόνον τοῦ μεγίστου Πατρὸς Βασιλείου, ὅτι τοῖς εἰς τὴν αἰώνιον προωρισμένοις ζωὴν τά τε κατὰ τὸν βίον ἅπαντα καὶ τὸ πέρας τοῦ βίου ἀκολούθως τῷ τοιούτῳ προορισμῷ ὑπὸ Θεοῦ διατάττονται, τοῦτο μόνον ἔδοξεν ἂν τισι τῷ μακαρίῳ μὲν κατὰ καιρὸν εἰρημένον, ὅτι τὴν τοῦ μεγάλου Βασιλείου βεβαιῶν φρονίμως ἀπόφασιν, ὅμως ἐκ τοῦ παρήκοντος αὐτὴν εἰπεῖν λέγει τὸν μέγαν. Ἐμοὶ δὲ ἔγνωσται μᾶλλον αὐτὸς, τὴν μὲν ἀλήθειαν δογματικῶς βεβαιῶν καὶ τῷ μεγάλῳ Βασιλείῳ κατὰ λέξιν συνᾴδων, ἐκ δὲ τοῦ παρήκοντος ἢ μᾶλλον εἰπεῖν οἰκονομικῶς πλαγιάζειν

δοκῶν εἰς ἀρέσκειαν τῶν περὶ τούτου τότε ζητούντων· τὴν γὰρ ἀπόκρισιν ταύτην μετὰ τὸ συγγράψαι μικρὸν ἐν ἱερομονάχοις ἔτι ταττόμενος ἀνέγνω τῷ βασιλεῖ Ἰωάννῃ ἐν τῷ ναῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃν πεφανερωμένον ἐκάλουν, ἔγγιστα τῇ μονῇ τῶν Μαγγάνων. Ἀνέγνω δὲ παρόντος ἐμοῦ· ἦλθε γὰρ μηνυθεὶς ἐκ τῆς ῥηθείσης μονῆς, μηνυθεὶς ἅμα καὶ τὸ σύγγραμμα φέρειν ἠκουσμένου παρ' ἡμῶν Πατρὸς τούτου τῷ βασιλεῖ, καὶ εἰ μὴ φθάσας; δέδωκε τῷ ζητήσαντι, κἂν ἐπεστάτησε βέλτιον ἐξ ὧν ἡμῶν ἤκουσεν εὐλαβῶς συνεπιψηφιζομένου τοῦ σοφοῦ βασιλέως. Ἡμῖν δὲ ἤρκεσε καὶ ἀμφοῖν τό τε συμπέρασμα τῆς ἀποκρίσεως, τῷ μεγάλῳ συμφωνοῦν Βασιλείῳ, καὶ ἐξαιτίασις ἣν παρέσχετο περὶ τοῦ δεδιέναι καθάπαξ τὴν τῶν ἰδιωτῶν ἀοριστίαν διώσασθαι ἣν περὶ τῆς ἀνθρωπίνης ζωῆς τε καὶ τελευτῆς ἰσχυρίζονται ὡς μηδὲν εἰδέναι περαιτέρω δεδυνημένοι. Ὅτι δὲ ἐκ τοῦ παρήκοντος ἀδύνατον ἦν οὕτω τε προδήλως καὶ πολλαχοῦ τὰ τοιαῦτα τὸν μέγαν φάναι Βασίλειον, κἂν μυρίοι φαῖεν αὐτὸ τῆς Ἐφεσίων πρόεδροι, ἱκανῶς σοι τότε πρῶτον ἐδείχθη, καὶ ἡμεῖς οὐ φειδοῖ μᾶλλον τοῦ καλλίστου Πατρὸς ἐκείνου ἢ ὑπονοίᾳ τοῦ καὶ ἄλλοις πισὶ τοιοῦτόν τι περὶ τοῦ μεγάλου Βασιλείου παραλόγως εἰρῆσθαι σιωπῇ παρήλθομεν τὸν εἰπόντα· τὸν δὲ λόγον μόνον ἠλέγξαμεν. Οὐκοῦν ἔχεις καὶ τὸν ἱερὸν ἄνδρα τοῦτον τὸν θεῖον βεβαιοῦντα προορισμὸν, καὶ τῷ μεγάλῳ Βασιλείῳ συνᾴδοντα. Οὔτε δὲ ὁ μέγας τῆς Ἐκκλησίας φωστὴρ ἐν ἐκείνοις τοῖς λόγοις περαιτέρω τὸν περὶ τούτων λόγον ἐξήταζεν, οὔτε ὁ ἱερὸς οὗτος τῆς Ἐφέσου πρόεδρος ἀνάγκην εἶχε πρὸς μίαν ἐρώτησιν ἀποκρινόμενος τὸν περὶ τοῦ θείου προορισμοῦ πάντα συνείρειν λόγον, ὥσπερ ἡμεῖς πρῶτα μὲν προὐργιαίτερον, εἶτα καὶ ὅς προφάσει τῆς τοῦ μεγάλου συνηγορίας τοῦτο πεπράχαμεν ὡς οἷόν τε ἦν. Ἀρκείτω δ' ἡμῖν καὶ σοὶ τῷ φιλτάτῳ ὅτι φησὶ τὸν Θεὸν τοῖς ἀγαθοῖς τῶν τέκνων ἅπασιν οὐ τὴν τελευτὴν μόνον, ἀλλὰ καί τε κατὰ τὸν βίον ἅπαντα προορίζειν. Τοῦτο δὲ καὶ ὁ μέγας εἰπὼν ἔφθη Βασίλειος. « Θάνατοι δὲ, φησὶν, ἐπάγονται τῶν ὅρων τῆς ζωῆς πληρωθέντων οὓς περὶ ἕκαστον ἔπηξεν ἡ δικαία τοῦ Θεοῦ κρίσις πόῤῥωθεν τὸ περὶ ἡμᾶς συμφέρον προβλεπομένου· » καὶ αὖθις ἄλλοθι· « Μὴ αὐτόματόν τινα εἵπῃς συντυχίαν τῶν γινομένων ἀνθρώποις ὡς μηδενὸς προστάτου τὸν κόσμον οἰκονομοῦντος πονηρὰ δόγματα ὑποτιθέμενος σεαυτῷ, μὴ καὶ ἐκπέσῃς τῶν ὅρων τῆς εὐσεβείας· ὁ γὰρ πλάσας ἡμᾶς καὶ ψυχώσας Θεὸς ἰδίαν ἔδωκεν ἑκάστῃ ψυχῇ τὴν τοῦ βίου διαγωγὴν, καὶ ἄλλους ἄλλοις ὅρους ἔπηξε τῆς ἐξόδου, » καὶ τὰ ἄλλα ὅσα πρὸς κατασκευὴν ἐπάγει τοῦ δόγματος, ὡς ἐν τῷ δευτέρῳ τῶν συγγραμμάτων αὐταῖς ἔκκειται λέξεσιν. Καθόλου δὲ περὶ τοῦ θείου προορισμοῦ καὶ τῶν τε προωρισμένων εἰς τὴν ζωὴν τὴν αἰώνιον τῶν τε ἀποδεδοκιμασμένων καὶ τῆς διαφόρου περὶ αὐτοὺς τοῦ Θεοῦ διατάξεως οἰκείας τῇ σφῶν προαιρέσει καὶ ζῶντας καὶ τελευτῶντας ὁπόσα φιλοσοφεῖ ἔστιν οἱ ταῖς πολλαῖς καὶ μεγάλαις αὐτοῦ πραγματείαις καλῶς ἐπιστήσαντες, αἷς πανταχοῦ τὸν περὶ τούτων λόγον ἐγκατασπείρει. Ὁ μὲν οὖν Ἐφέσου τοιοῦτος τῷ μεγάλῳ Πατρὶ καὶ ἡμῖν· Διοδώρου δὲ, ὅστις ποτέ ἐστιν οὗτος, οὐ φροντιστέον. Ἔνθεν, καθάπερ ἔφθην εἰπὼν, ὁ τῶν θεολόγων πάντων χορὸς συμφώνως τε καὶ ἐχριβωμένως καὶ προῤῥήγου περὶ τούτων ἔφθη διορισάμενος. Καὶ εἰ τὸν μακάριον Νύσσης Γρηγόριον οὐκ ἀξιοῦμεν ἀντιζυγοῦν μόνον τῷ τῶν διδασκάλων πάντων χορῷ ἐν δυσὶ ζητήμασι οὐδὲ τοῖς τυχοῦσιν ἰδίᾳ γνώμῃ στοιχοῦντα, ἀλλ' ἢ τοῖς συμφώνοις πᾶσι τιμῶντες; αὐτὸν ἐν τοῖς ἰδίοις τούτοις παραγραφόμεθα, καίτοι τηλικοῦτον ὄντα, τίς ἡμῖν λόγος ἔσται Διοδώρου, κἂν πτερωτὸς ἦν, οὗ μηδὲ λόγος; ἐστὶ τῇ Ἐκκλησίᾳ καὶ τοῖς ταύτης ὑπερηλικόσι μηδ' ὄνομα ἢ εἴ πού τις τῶν μοναχῶν αὐτῷ μόνῳ προσεσχηκὼς τῇ ἀοριστίᾳ τῶν ἀνθρωπίνων καὶ κυβερνησίᾳ συνηγοροίη που γράφων, ἢ μὴ τοῖς θεολόγοις ἐγκύψας ἢ μηδὲ συνιέναι τούτων δυνάμενος; Σκόπει δὲ καὶ ἃ φησιν ὁ Διόδωρος. Τὸν ἀριθμὸν, φησὶ, τῶν ἡμερῶν σου ἀναπληρώσω, τοῦτ' ἔστιν, εἰς λιπαρὸν ἄξω σε γῆρας καὶ πλήρες· οὐκοῦν Θεός ἐστι καὶ κατ' αὐτὸν ὁ τὴν τῶν ἀγαθῶν ἀνδρῶν ζωὴν ὁριζόμενος, καὶ πάλιν ὥσπερ ἀώρους ὁ Θεὸς ἀπειλεῖ θανάτους παρανομοῦσιν, οὕτω μακροβίοις ὑπισχνεῖται τοῖς ὑπακούουσι, καὶ μηκύνει μὲν τοῖς εὐσεβοῦσι τὴν ζωὴν, περικόπτει δὲ τοῖς παρακούουσιν, οὐ προσθεὶς, καὶ τὸ ἀνάπαλιν ἀληθέστατον ὄν, ὅτι καὶ συστέλλει τοῖς εὐσεβοῦσιν ἐνίοτε τὴν ζωὴν καὶ μηκύνει τοῖς ἀσεβοῦσιν, ὡς ἐν τῷ πρὸ τούτου συγγράμματι προὐργιαίτερον περὶ αὐτῶν διελόμεθα τῇ θείᾳ γραφῇ κατακολουθοῦντες. Οὐ γοῦν τοῖς τε πρωωρισμένοις εἰς τὴν ζωὴν καὶ τοῖς ἀποδεδοκιμασμένοις ὁ Θεός ἐστιν, ὁ τὴν ζωὴν ταύτην ὁροθετῶν, εἰ καὶ διάφορον αὐτοῖς τὸ τέλος μετὰ ταύτην ζωὴν σὺν αὐτῷ καὶ οἰκεῖον ἑκατέρων τῇ προαιρέσει· εἶτά φησιν ὥστε τοιαῦτα οὐ δείκνυσιν ὅρον ἔχοντα τῆς ζωῆς ἕκαστον τῶν ἀνθρώπων. Τί τούτου γένοιτ' ἂν ἀμβλύτερον; Τὸ μῆκος καὶ ἡ στενότης τῶν διαστημάτων οὐ τοῖς ὅροις διακρίνονται καὶ γνωρίζονται; καὶ ὁ μακρύνων ἢ συστέλλων τὴν ὁδὸν καὶ τὸ διάστημα τῆς ζωῆς μετ' ἐξουσίας τοιαύτης ἄλλου δεηθήσεται τοὺς ὅρους τιθέντος; Καὶ τίς ἐστιν ὁ τιθεὶς καὶ πῶς ἐξαπλωθήσεται ἢ συσταλήσεται ἡ ζωὴ παρὰ τοῦ Θεοῦ μὴ προϋποτιθεμένων τῶν τῆς ζωῆς ὅρων ὡς θελητῶν ἐν τῇ γνώσει τοῦ ἁπλοῦντος τὴν ζωὴν καὶ συστέλλοντος; Ὥστε τοὐναντίον ἐστὶν ἀληθὲς, ὡς τὰ τοιαῦτα, εἰ καὶ μηδὲν ἄλλο, δείκνυσιν ὅρους ἔχοντας τῆς ζωῆς ἐκ Θεοῦ τοὺς ἀνθρώπους. Εἶτά φησιν· Εἰ ὥριστο τῆς ζωῆς ὁ χρόνος, οὐκ ἂν ταῦτα ἦν, ἡ τῆς ζωῆς δηλονότι συστολὴ καὶ ἐξάπλωσις· ὥσπερ εἰ ἔλεγεν· Εἴ τι πέρας ἔχοι, οὐκ ἂν εἴη πεπερασμένον. Εἶτά φησιν· Εἰ ὥριστο τῆς ζωῆς ἑκάστου τὸ τέλος, οὔτε δίκαιος οὔτε ἄδικος ἠδύνατο ἂν αὐτὸ σαλεύειν. Ἀρετῇ δηλονότι καὶ πονηρίᾳ. Καὶ εἰ μὴ ὥριστο, πῶς προστίθησιν ὁ Θεὸς δι' ὀξύτητα ἐνίοις; Καὶ πῶς ἄλλων ἀφαιρεῖ δι' ἀναξιότητα; ὡρισμένῳ γάρ τι προστίθεται, καὶ ἀπὸ ὡρισμένου αὖ τι ἀφαιρεῖται, καὶ τῷ ὡρίσθαι τι γνωρίζεται ἥ τε πρόσθεσις ἥ τε ἀφαίρεσις ἂν ἀληθὴς ᾖ· καὶ αὐτὸ

δὲ τὸ προστίθεσθαι καὶ ἀφαιρεῖσθαι ὡρισμένον ποιεῖ τὸ ᾧ προστίθεται, καὶ τὸ οὗ ἀφαιρεῖται, εἴ γε μὴ εἴη ἡ προσθήκη ἄπειρος καὶ ἀόριστος. Ἀλλ' ἡ πρόσθεσις τῆς ἐνταῦθα ζωῆς ἢ μείωσις ὡρισμένον ἔχει τὸ μέτρον, ὥστε καὶ τὸ πέρας. Τὸ δὲ αὐτὸ πέρας τε καὶ ὅρος τῆς ἐνταῦθα ζωῆς ἐστι καὶ ἀρχὴ τῆς μελλούσης, εἴτε δυστυχοῦς εἴτε εὐδαίμονος. Καὶ τοῦτό ἐστι τὸ πέρας ὁ θάνατος εἶτα τὰ μὲν ἐν τῇ γαστρὶ τελευτῶντα βρέφη σκοπεῖ, τοὺς δὲ ἀπὸ γαστρὸς μητρὸς ἑπομένους τοὺς ἐκ κοιλίας μητρὸς προωρισμένους, τοὺς ἀπὸ μήτρας ἡγιασμένους, τοὺς ἐξ ἐπαγγελιῶν γεννωμένους οὐ σκοπεῖ, εἰ καὶ ἦν τι τὸ περὶ τῶν βρεφῶν πρὸς τὸν λόγον τόν τε προκείμενον; Ἀλλὰ ταῦτα παρῶμεν. Εἶτα λῃστὴν εἰσάγει καὶ διδόντα δηλητήριον, οὐ διαιρῶν τίνες οἱ λῃστευόμενοι καὶ τίνες οἱ δηλητηριούμενοι καὶ τίνων ἕνεκα. Αἰτιατέος δὲ ὁ Θεὸς ὑπὲρ οὐδετέρων, ἀλλὰ τῆς ὀφειλομένης ἀμοιβῆς τοῖς ὑπὲρ εὐσεβείας καὶ ἀρετῆς ταῦτα προαιρουμένοις ἢ ὁπωσοῦν ἄλλως πάσχουσιν ἢ ὑπομονῆς καὶ τῆς τῶν τοιούτων εὐσεβῶν προθυμίας, καὶ λίαν ὑπερδοξάσεως ἢ τοῖς ὑπὲρ αὐτοῦ θανουμένοις, ἀνθ' ὅτου τὰς τῆς καρτερίας ἀμοιβὰς ἐπαγγέλλεται μὴ βουλόμενος αὐτοὺς οὕτω φιλοσοφεῖν καὶ θνήσκειν ὑπὲρ αὐτοῦ, μᾶλλον δὲ ὑπὲρ ἑαυτῶν. Καὶ πῶς ἀπήλλαττεν ἂν ἐβούλετο θανάτων φανερωτάτων ὥστε ἀπορεῖν τοὺς ἐπάγοντας καὶ τῇ πίστει προστίθεσθαι μετὰ τοῦ θέλειν αὐτοὺς πᾶν ὁτιοῦν ὑπὲρ τῆς ἀληθοῦς ὑφίστασθαι πίστεως; ἐγκαίρως δὲ συνεχώρει στεφανοῦσθαι τῇ τελευτῇ μετὰ τὴν γενναίαν τῶν ἀγώνων ἐπίδειξιν. Εὐρυτέρας δὲ πρὸς τὰ περὶ λῃστῶν καὶ δηλητηρίων νῦν θεωρίας οὐ χρεία, ἀλλ' ὅτι μόνον εἰκὴ τὰ τοιαῦτα συνείρει. Ἀλλὰ τὰ ἄλλα τούτου παρίημι· ἡ δὲ πρόγνωσις, φησίν, οὐκ ἔστιν ὅρος· προεγίνωσκε γὰρ ὁ Θεὸς τὴν παράβασιν τοῦ Ἀδὰμ καὶ τὴν τοῦ διαβόλου τροπήν, καὶ τὰς ἐπιχειρήσεις τῶν ἀνδροφόνων καὶ τῶν ἀσεβῶν τὴν πλάνην, καὶ αὐτὸς ὥρισε λοιπὴν τούτους τοιούτους γίνεσθαι. Ἀλλὰ τοῦτο ἀσεβές, φησί, νοεῖν. Ἐξῆν μὲν οὖν τινι λέγειν πρὸς αὐτὸν ὥσπερ ἀντεπηρεάζοντι, Καὶ εἰ μὴ ὥρισεν, ἄνθρωπε, ἀλλ' οὐδ' ἐκώλυσε κωλύειν δυνάμενος. Ὁ δυνάμενος δὲ κωλῦσαι καὶ μὴ κωλύων αὐτὸς δοκεῖ πράττειν. Ἀληθέστερον δ' ἂν εἰπέ τις πρὸς αὐτὸν καὶ λίαν οἰκείως, Εἰ μὲν ὥρισε, τὸ προσέταξε λέγεις, ὦ καλὲ τῶν θείων ἐξηγητά, ἢ ἐπηνάγκασε· καὶ τίς ἐστιν ὁ τοῦτο φρονῶν ἢ λέγων; εἰ δὲ τὸ πρὸς τὸν ὅρον καὶ τὸ τέλος ἔταξε λέγεις τῇ παρ' ἑαυτοῦ χορηγίᾳ, οὐδὲ τοῦτο περὶ τοῦ Ἀδὰμ καὶ τῶν ἄλλων ἐρεῖ τις· πρὸς γὰρ τὸν ὅρον καὶ τὸ τέλος οὗ χάριν παρῆχθη οὔτε αὐτὸς ἠθέλησε ὁρισθῆναι οὔτε τῆς τοῦ ὁρίζειν δυναμένου συνεργίας ἐδεήθη καὶ ὁδηγίας, ἀλλ' εὐθὺς γινόμενον ἀφηνίασεν· ὅθεν τοῖς περὶ τῶν προωρισμένων λόγους οὐδὲ κοινὸν καὶ τοῖς πρώτοις ἀνθρώποις ὄν. Ὡρίσθαι δὲ ἄλλως ἐν τῇ θείᾳ γνώσει τε κατ' ἐκείνου; καὶ λίαν ἐστὶν ἀληθές· πονηροὺς μὲν γὰρ γενέσθαι τὸν Ἀδὰμ καὶ τὴν Εὔαν οὐδαμῶς ἦν ὡρισμένον ἐκ τοῦ Θεοῦ οὐθ' ὡς προστεταγμένον, ὅπου γε οὐδὲ πρὸς τἀγαθὸν βιάζεται τὴν ἀνθρωπίνην προαίρεσιν, οὐθ' ὡς συντεταγμένον ἐκείνοις τὸ συνεργούμενον ὁ πρὸς τἀγαθὸν ποιεῖν εἰῶθε μόνον. Τὸ δὲ πονηροὺς ἂν ἀφ' ἑαυτῶν γενομένους καὶ τὴν ποινὴν ἂν ὑποστῆναι καὶ λίαν ἦν ἐν τῇ γνώσει τοῦ ποιητοῦ ὡρισμένον. Καὶ εἰ μὴ οὕτως ἦν, οὐκ ἂν προελέγετο ὡς ᾗ ἂν ἡμέρᾳ φάγωνται ἐκ τοῦ ξύλου, θανάτῳ ἀποθανοῦνται, οὐδ' ἂν οὕτως ἐξέβαινεν. Προῤῥηθὲν δὲ οὕτω καὶ γεγονὸς καὶ ἐν τῇ θείᾳ ὡρισμένον γνώσει. Καὶ τὸν μὲν φυσικὸν τουτονὶ θάνατον, τὴν τοῦ συνημμένου διαίρεσιν δηλονότι καὶ τὴν στέρησιν τῆς ἐνταῦθα ζωῆς· σπερματικῆς, εὐθὺς ὑφίσταντο μόνον ὡς ἐπὶ πόνῳ, ζωῇ καὶ γήρᾳ καὶ νόσοις ἐπισυμβαίνειν ἀφύκτως μέλλοντά ποτε αὐτοῖς τε καὶ τοῖς ἐξ αὐτῶν ἐσομένοις, ἀντὶ τῆς ἀπόνου ζωῆς καὶ ἀθανάτοις πρεπούσης ἦν ἀποβεβληκότας μᾶλλον ἐγνώρισε· τὸν δὲ ψυχικὸν ἐκ τῆς ἀληθοῦς ζωῆς χωρισόμενον, φεῦ! καὶ τὴν τοῦ κειμένου τέλους ἀπόπτωσιν τὸν πολλῷ τοῦ προτέρου χείρω θάνατον αὐτοί τε εὐθὺς ὑπέστησαν ἔργῳ καὶ τοῖς ἐξ αὐτῶν γεννωμένοις ἀνιάτως παρίπεμπον ἄχρι τοῦ φιλανθρωποτάτου ἅμα καὶ σοφωτάτου τῆς θείας οἰκονομίας φαρμάκου. Καὶ μὴν οὐδ' ἔστι τις ὁ λέγων ὅλως εἶναι τὴν πρόγνωσιν, εἰ μὴ καὶ κίνησιν ἐθέλοι λέγειν τὸ τῆς κινήσεως πέρας. Αἴτιον δέ πως μᾶλλον τῆς προγνώσεως ὁ ὅρος ἐστί· τούτου γὰρ προϋποτιθεμένου δύναται προγινώσκεσθαι τῷ τοσαύτην ἔχοντι δύναμιν, ὅπως τόδε τι τεύξεται τοῦ ὅρου πρὸς ἐκεῖνον φερόμενον, ἢ ἀτευκτήσει μὴ φερόμενον, καὶ πῶς ἢ πότε τεύξεται. Ταῦτα μὲν οὖν ἐν περιουσίᾳ μᾶλλον χρείας εἴρηται· ἀνοικείως γὰρ τῇ περὶ τῶν ὅρων τῆς ζωῆς ὑποθέσει καὶ τοῦ θείου προορισμοῦ Διοδώρῳ τε ἠπόρηται πρότερον καὶ ἡμῖν νῦν διατριβῆς χάριν ἐπεστατήθη· ἤρκει δὲ τοσοῦτον εἰπεῖν ὡς ἄγνοιᾳ τοῦ ὅρου καὶ τοῦ προορισμοῦ καὶ τοῦ προορίζειν καὶ τῆς προνοίας, μᾶλλον δὲ ἀγνοίᾳ πολλῆς τῆς ἀνθρωπίνης τε καὶ θείας σοφίας, οὗτός τε ὁ Διόδωρος καὶ τινες ἄλλοι οὐχ οἷοί τε γεγόνασιν ἐγκύψαι τῷ βάθει τῆς ὑποθέσεως καὶ τῷ τῶν διδασκάλων σκοπῷ· δοκεῖ γὰρ οὗτος ἢ ὅρον τὴν ἀνάγκην νοεῖν καὶ τὴν πρόσταξιν πάνυ χυδαίως, ἢ ὅρων τῆς ἀνθρωπίνης ζωῆς πέρας τι βούλεσθαι νοεῖν τῆς ζωῆς τεταγμένων ἑκάστῳ τῶν ἀνθρώπων φυσικῶς ἀπαραίτητον· καὶ διὰ τοῦτό φησιν· Εἰ ὅρος ἦν τῆς ζωῆς, πῶς ἐμακρύνετο ἂν ὑπὸ Θεοῦ ἡ τῶν ἀνθρώπων ζωή; καὶ πῶς συνεστέλλετο; καὶ πῶς ἂν ἠδύνατό τις τὸν ὅρον διασαλεύειν χείρων ἢ ἀμείνων γινόμενος; Ἁπλούστερον δὲ καὶ τὸ οὕτω διανοεῖσθαι· ὅρος γὰρ φύσει τῆς ἀνθρωπίνης ζωῆς οὐδείς ἐστιν ἢ πολλῶν αἰτιῶν· διὸ καὶ εἴρηται τὸ, *Γρηγορεῖτε· ὅτι οὐκ οἴδατε ποίᾳ φυλακῇ τῆς νυκτὸς ὁ κλέπτης ἔρχεται.* Εἰ δὲ ἦν ὡρισμένον ἐν τῇ φύσει τὸ πέρας τῆς ἐνταῦθα ζωῆς, ἐν ἂν ἦν καὶ ταυτὸν ἅπασιν. Εἰ δὲ οἷόν τε ἦν φύσει καὶ διάφορον εἶναι, ἐγινώσκετ' ἂν ὑπὸ τῶν ἀνθρώπων, τοὐλάχιστον ὑπὸ τῶν σοφῶν, τῶν καὶ τἆλλα τῆς φύσεως ἐξητακότων ἔργα πάνυ καλῶς. Ἐπὶ τὸ μεῖζον μόνον ἔστι πως λαβεῖν ὅρον τῆς ἀνθρωπίνης ζωῆς, καὶ τοῦτον ἐνδεχομένως τε καὶ σπανίως, ὡς σπανίων τινῶν ἐπὶ τοῦτον ἐφικνουμένων, καθά φησιν ὁ Δαυὶδ, ἐν δυναστείαις καὶ μόλις εἰς τὴν ὀγδοηκον-

ταετῆ χρόνον ἐφικνεῖσθαι τῶν ἀνθρώπων τινάς· ἔστω δὲ καὶ ἑκατονταετῆ. Ὁ δ' εὐθὺς ἀπὸ τῆς ἐμψυχώσεως ἐν τῇ μήτρᾳ τοῦ ἀνθρώπου χρόνος μέχρι καὶ τοῦ πλείστου τῆς ζωῆς ὅρου, καὶ αὐτοῦ ἐνδεχομένου καὶ ἀορίστου ὄντος, ὡς εἴρηται, φύσει ἀπείροις μορίοις αὐτοῦ τὴν τῶν γεννωμένων ἀνθρώπων ἀορίστως ἑαυτῷ συντέμνει ζωήν, τῶν μὲν μετὰ τὸ ἐμψυχωθῆναι εὐθὺς ἀποθνησκόντων ἐν τῇ γαστρὶ τῆς μητρὸς καὶ ἄλλων μετὰ μικρὸν, καὶ ἐν ἀπείροις σχεδὸν ἀτόμοις τοῦ χρόνου τοῦ μέχρι τῆς κυήσεως ὁριζομένου, καὶ μετὰ τὴν κύησιν αὖθις τῶν ἐξελυθότων τῆς γαστρὸς μέχρι καὶ τῆς κινήσεως ἤτοι βαδίσεως, κἀκεῖθεν ἑφεξῆς ὁμοίως μυρίων καθεκάστην νεκρουμένων ἐν τῇ τῆς γεννήσεως καὶ φθορᾶς ὁδῷ ταύτῃ, καὶ τρόπος μυρίοις. Φύσει μὲν οὖν οὐδείς ἐστι τῆς ζωῆς ὅρος τοιοῦτος. Καὶ τοῦτον ἴσως τὸν ὅρον λογιζόμενος ὁ Διόδωρος ἐκεῖνα λέγει. Οὐ δυνάμενος περαιτέρω σκοπεῖν ὅτι τὴν τῶν ἀνθρώπων ζωὴν ἀφ' ἑαυτῆς ἀόριστον οὖσαν πατρικῇ προνοίᾳ περὶ αὐτοὺς ἧς αἱ ἀποδείξεις ἀναρίθμητοί τε καὶ φανερώτατα, ὁρίζει καὶ περαίνει καθὼς ἂν βουληθείη ζηλευούσης ὥσπερ δεσπότην τῆς φύσεως. Καὶ ταυτόν ἐστιν ἐν τῇ τῶν ἀνθρώπων ζωῇ τό τε κατ' αὐτὴν ἀόριστον, καὶ τὸ ὑπὸ τῆς θείας προνοίας ὁρίζεσθαι. Καίτοι καὶ ὡρισμένην ἂν ὑπ' αὐτοῦ τῇ φύσει, μεταποιεῖν εἶχεν ἂν ἐν ὁπόσοις τῶν ἀνθρώπων ἠβούλετο συντέμνων ἢ πλατύνων καὶ ὅλως ὁρίζων ἀνάγκῃ τῆς θείας ἐλευθερίας καὶ μεγαλειότητος νικώσῃ τὴν εἱμαρμένην ἀνάγκην, καθάπερ δούλῃ τῇ φύσει. Ἀρκεῖ δὲ ἡμῖν καὶ Διόδωρος· οὗτος ἐν τοῖς καιρίοις ὥσπερ προὔργου συνηγορῶν· φησὶ γὰρ θανάτους ἀώρους παρανόμων ἀνθρώπων ἀπειλουμένους ἐκ Θεοῦ καὶ γινομένους, ἢ μετανοούντων οὐ γινομένους, καὶ μακροβίωσιν αὖθις τῶν εὐσεβῶν ἐπαγγελλομένην τε καὶ τελειουμένην καὶ μηκυνομένην μὲν τοῖς φιλοθέοις ζωὴν, τοῖς δὲ παρακούουσι περικοπτομένην. Ταῦτα δὲ τό γε ἄλλο ἢ τῷ θείῳ προορισμῷ τῶν φιλοθέων καὶ τῇ ἀποδοκιμασίᾳ τῶν ἄλλως διακειμένων καὶ τῇ περὶ ἑκατέρους ἁρμοττούσῃ τοῦ Θεοῦ προνοίᾳ συνᾴδουσιν. Ὁ δὲ μετὰ τὸν Διόδωρον εὐθὺς εἰσάγει τὸν Σολομῶντα λέγοντα· *Ἵνα μὴ ἀποθάνῃς ἐν οὐ καιρῷ σου.* Εἰ οὖν ἔστι, φησὶν, ἀποθνήσκειν ἐν οὐ καιρῷ, πῶς ὅρον καὶ τάξιν δεῖ δοξάζειν; Τούναντίον δὲ μᾶλλόν ἐστιν ἀληθές· ὡς εἴπερ ἔστιν ἀποθνήσκειν ἐν οὐ καιρῷ, πῶς οὐ δεῖ δοξάζειν ὅρον καὶ τάξιν; Ἰδοὺ γὰρ καὶ καιρός ἐστι τοῦ θανεῖν τινα, ταυτὸν δ' εἰπεῖν ὅρος ζωῆς καὶ ὅρου καὶ καιροῦ μετάθεσις· εἰ μὲν γὰρ καιρὸν ἐνταῦθα νοεῖ τὴν ἐπὶ τὸ μακρότερον πέρας διάστασιν τῆς ἀνθρωπίνης ζωῆς κατὰ τὸν Δαυΐδ, ὁ Σολομῶν συμβουλεύει μὴ ἀσεβεῖν ἐπὶ πολὺ ἵνα μὴ ἀώρως ἀπόληται καὶ πρὶν εἰς τὸν καιρὸν ἐλθεῖν τὸν τῇ φύσει μὲν ὡρίσθαι δοκοῦντα ἀόριστον δὲ ὄντα τοῖς ἀτόμοις τῆς φύσεως εἰς ὃν οὕτε πάντες ἐφικνοῦνται, οὔτε πάντα αὐτοῦ διαμαρτάνουσιν. Ἀλλὰ πολλὰ φθάσαντες ἂν ἐγγύς που γενέσθαι διὰ πονηρίαν αὐτῶν οὐ συνεχωρήθησαν φθάσαι· ἢ δι' ἀρετὴν ἕτεροι κινδυνεύουσαν προηρπάγησαν, αὐτός φησιν Σολομῶν· καὶ πολλὰ μὴ φθάσαντες; ἂν ἐκ φυσικῆς ἀσθενείας, δι' ἀρετὴν ἔφθασαν, ἢ τινα ἄλλην οἰκονομίαν τοῦ κρείττονος, δι' αὐτῶν ἀνυσθησομένην ὡς ἀξίων ὀργάνων. Ἐκτείνεται δέ τισιν ἡ ζωὴ καὶ πονηροῖς οὖσι δι' ἄλλας αὖθις οἰκονομίας ἀναντιῤῥήτους περὶ ὧν ἄλλως· ἂν εἴη χρεία σκοπεῖν. Ἀλλ' ἵνα τἄλλα παρῶμεν, καιρός ἐστιν ἑκάστῳ τῆς τελευτῆς ὅταν μέλλῃ σὺν ἀγαθαῖς ἐλπίσι μεθίστασθαι, ἢ συνειδὼς ἑαυτῷ κατά τε λόγον καὶ νόμον βεβιωκότι, ἢ τὰ κατὰ τὸν βίον ὀλιγωρίας αὐτῶν ὀψὲ τῷ φαρμάκῳ τῆς μετανοίας ἰατρεύσας καλῶς. Ἔστι δ' ἄλλως καθαρθεὶς ἐκ Θεοῦ τῇ μετὰ διακρίσεως ὑπομονῇ τῶν πειρασμῶν τῶν ἐκεῖθεν συγχωρουμένων. Καὶ τὴν τοιαύτην ὁρίζει εὐκαιρίαν ὁ πάνσοφος ἰατρὸς τοῖς εἰσφέρουσί τινα πρὸς τὸ δεῖν ἰατρευθῆναι χρόνῳ διάθεσιν. Τοῖς δ' ἀσεβοῦσιν ἐπὶ πολὺ καὶ λίαν σκληρυνομένοις, ὡς τὰ τῶν ἀπεγνωσμένων νοσοῦσι τὸν τοιοῦτον ὁ Σολομῶν ἀπαγορεύει καιρὸν οὗ στερηθέντες, οὐ τῷ μὴ βιῶναι πολὺν ἐν τῇ παροικίᾳ χρόνον λυπήσονται, ἀλλὰ τῷ μηδεμίαν ἐντεῦθεν ἔχειν ἐλπίδα τῆς εὐτυχοῦς ἐν τῇ πατρίδι ζωῆς, στερήσονται δὲ ἵνα μὴ καὶ τὴν γῆν καταργῶσιν ὁμοίως τῇ τῆς ἀκάρπου συκῆς ὑποδείγματι. Εἰ δὲ καιρὸν ὁ ταῦτα λέγων νοεῖ τὸν ἐκ τῆς θείας ὠρισμένον προνοίας, οὐκοῦν καὶ Σολομῶν ὅρον καὶ καιρὸν τοιοῦτον ἠπίστατο ὃς ἔνδον μὲν ἔστι καὶ αὐτὸς τοῦ κατὰ φύσιν ὠρισμένου καιροῦ κατὰ τὸ πορρώτατον πέρας, ἀορίστου δὲ ὄντος, ὡς εἴρηται. Δύναται δὲ καὶ αὔξειν καὶ ἐλαττοῦσθαι τοῦ Θεοῦ διατάττοντος οὕτω τρόποις οἷς οἶδεν οἰκονομίας. Καὶ λέγεται μὲν αὔξειν ὁ τοιοῦτος καιρὸς, διότι ἐμειώθη ἄν, εἰ τοῦτο Θεὸς ἐβούλετο· λέγεται δὲ ἐλαττοῦσθαι, ὅτι ηὔξητο, εἰ Θεὸς τοῦτο ἐβούλετο αἰτίας τοῦ βουληθῆναι τὸν Θεὸν ἢ μὴ βουληθῆναι ἐν τοῖς τοιούτοις τῆς ἀξίας οὔσης αὐτῶν οἷς τὰ μὲν βούλεται, τὰ δ' οὐ βούλεται· καὶ ἐπὶ τὸ χεῖρον μὲν αὐτοῖς ἢ τὸ βέλτιον, ἁπλῶς δὲ πάντα ἐπὶ τὸ βέλτιον, ὁπότερον δήποτε γέγονεν, εἴτ' αὔξις ζωῆς εἴτε μείωσις ὁ τελευταῖος ἦν περὶ ἑκάστους τοῦτο σκοπὸς τοῦ Θεοῦ καὶ ὅρος· τελευταῖος μὲν ἐν τῷ ἔργῳ ὡς προηγουμένης μὲν τῆς ἀνθρωπίνης θελήσεως, ἵνα τὸ τῆς προαιρέσεως ἰδίωμα σώζοιτο, συνεπομένης δὲ τῆς ἐκ τοῦ Θεοῦ ψήφου, προηγούμενος δὲ ἐν τῇ θείᾳ γνώσει, ὡς εἰδὼς τὰ μέλλοντα γινωσκούσῃ οὐ καθό εἰσιν ἐν ἑαυτοῖς, οὐ γὰρ εἰσιν αὐτὰ, εἰδὼς, ἀλλὰ καθό εἰσιν ἐν αὐτῷ, τὰ μὲν ὡς γιγνώσκοντι καὶ ποιοῦντι, τὰ δὲ ὡς γινώσκοντι μόνον, καὶ παραχωροῦντι, κἂν μὴ ποιῇ, ὃ ταυτόν ἐστι πῶς τε ποιεῖν ὅσον πρὸς τὸ γινόμενον, εἰ καὶ μὴ ὅσον πρὸς τὸν παραχωροῦντα. Ὁ δὲ ὑπόλοιπόν ἐστι τῶν ῥητῶν ἐκείνων οὐδ' ἐπισκέψεως ἄξιον, τοῦτο μόνον σημειωτέον ἐστί. Καὶ ὅμως Διόδωρος ἔλεγεν· Εἰ ὅρος ἦν, καὶ κἂν ἐμακρύνετο ἢ συνεστέλλετό τισιν ἡ ζωὴ παρὰ τοῦ Θεοῦ. Οὗτος δέ φησι τοὐναντίον, ὡς εἴπερ ὅρος ἦν, ἐκολοβοῦτο ἂν ὑπὸ τοῦ Θεοῦ πονηροῖς τισιν ἡ ζωή. Καὶ τὸ αὐτὸ μὲν βούλονται συμπεραίνειν· ἐξ ἀντικειμένων δὲ ὑποθέσεων τοσοῦτον ἀπέχουσιν εἰδέναι περὶ ὧν προτίθενται λέγειν· περὶ δὲ τῶν μεγίστων προτίθενται. Ἴσθι τοίνυν, φιλτατέ μοι καὶ ὁσιώτατε, ὅτι τῶν πεπαιδευμένων τινὲς οὐ

δυνάμενοι τὰ τῶν διδασκάλων, φημὶ δὲ τῶν πλείστων καὶ ἀξιωτέρων, εὐσχόλως ζητεῖν, ἢ ζητοῦντες μὲν ἀλλ' οὐκ ἔχοντες συνορᾷν ὡς ἁπλούστεροι ἢ καὶ τῷ πίστει τῆς οἰκείας ξέως φιλοτιμεῖσθαι διαμαρτάνοντες τοῦ ἀληθοῦς, ὡς εἰκὸς, ταυτὸ σχεδὸν ἔπαθον τοῖς τῇ πίστει ἀντιλέγειν ποτὲ οἰομένοις, δι' ὧν ἐπειρῶντο τὰ τῆς ἱερᾶς Γραφῆς εἰς ἀντίφασιν περιάγειν· τὰ γὰρ τὸν Θεῖον προορισμὸν ἐκδιδάσκοντα καὶ βεβαιοῦντα ῥητὰ, ὧν ἡ θεία γέμει Γραφὴ σαφεστάτων εἰς ἀναίρεσιν τῶν τῇ αὐτεξουσιότητι τοῦ ἀνθρώπου συνεργούντων ῥητῶν καὶ ταῖς ταύτῃ ἀκολουθούσαις ἀμοιβαῖς ἢ ποιναῖς συνέλκειν, ἐπειρῶντο βιαίως, καὶ οὕτω τῆς Γραφῆς ἀκυρουμένης ᾤοντο τῷ δοκεῖν ἀντιφάσκειν καὶ τὴν πίστιν ἅμα συνεκκρούειν. Καὶ οὗτοι τοίνυν εἰ μὴ καὶ ἀπὸ τῆς αὐτῆς διανοίας τὰ αὐτὰ πάσχουσιν· εἰ γὰρ προώριστο τὰ τῶν ἀνθρώπων, φησὶν, ἐπὶ τὸν Θεῖον προορισμὸν, οὐκ ἔστι διαπεσεῖν, ὡς ἠναγκασμένα ἂν οὕτως ἐγίνετο, καὶ ἡ προαίρεσις οὐκ ἂν ἦν ἐν ἀνθρώποις, καὶ ἀκολούθως οὐδ' ἂν ἦν εὔλογον ἀμείβεσθαι ἢ κολάζειν τοὺς οὕτω πρὸς τάγαθὸν ἢ τοὐναντίον ἠναγκασμένους· ἐπεὶ δὲ ταῦτα ἀδύνατα, λείπεται μὴ εἶναι ὅλως ἐν τοῖς ἀνθρωπίνοις πράγμασι τὸν θεῖον προορισμὸν, καὶ τῶν δοκούντων ἀνθίστασθαι τῷ προορισμῷ λέγων, οὗτος μάλιστα τοῦ εὐλόγου δοκεῖ μετέχειν. Ἀλλ' ἡ τάξις τῶν ἀποστολικῶν αὐτοὺς ἐλέγχει χρησμῶν τοὺς εἴτε δι' ἀπιστίαν εἴτε δι' ἀγνωσίαν ταῦτα πάσχοντας, ἵνα μὴ τἆλλα τῆς ἱερᾶς Γραφῆς ἐνταῦθα συνείρωμεν ἐν τοῖς ἄλλοις συγγράμμασι καλῶς ἠθροισμένων. Γινώσκει μὲν τοίνυν ὁ Θεὸς πάντα τὰ ὄντα καὶ τὰς αὐτῶν ἐνεργείας, γινώσκει δὲ καὶ τῶν ἀνθρώπων οὐκ ἔργα μόνον ἀλλὰ καὶ διαλογισμούς· καὶ γινώσκει ταῦτα ἐν ἑαυτῷ ὡς μιᾷ καὶ πρώτῃ πάντων αἰτίᾳ, καὶ πάντα δι' ἀπειρίαν περιεχούσῃ, φύσεώς τε καὶ γνώσεως καὶ δυνάμεως· καὶ γινώσκει τῷ ἑαυτοῦ τρόπῳ· ἔστι γὰρ ἐν τῷ γινώσκοντι τὸ γνωστὸν κατὰ τὸν τοῦ γινώσκοντος τρόπον· ὅθεν καὶ γινώσκει τὰ μέλλοντα μὲν ὡς παρόντα, τὰ δὲ ἐνδεχόμενα ἀναγκαίως· οὕτω γὰρ εἰσὶν ἐν αὐτῷ. Οὐδὲ ἧττον μέντοι ταῦτα τῇ αὐτῶν φύσει μέλλοντά ἐστι καὶ ἐνδεχόμενα· οὐ γινώσκει δὲ μόνον, ἀλλὰ καὶ προνοεῖται αὐτῶν πάντων ὡς ἄνευ τῆς οὐρανίου προνοίας οὐδ' ἂν δυναμένων εἶναι καὶ σώζεσθαι. Προνοεῖται δὲ ἑκάστων ἁρμοζόντως τε καὶ οἰκείως τῇ ἑκάστῳ παρ' αὐτοῦ διδομένῃ φύσει καὶ τάξει τῷ παντὶ καὶ ταῖς αὐτῆς ἰδιότησι. Τῆς οὖν ἀνθρωπείας φύσεως εἰδικώτερον προνοεῖται τρόπον ὑψηλότερόν τε ἅμα καὶ ποικιλώτερον ἁρμοζόντως τῇ πρὸς τὰς ἄλλας φύσεις ταύτης ὑπεροχῇ· ὅθεν ἡ περὶ τὴν ἀνθρωπίνην πρόνοια φύσιν εἰδικωτέρως ὁρισμὸς ὠνόμασται, ἀγωγή τις δηλονότι καὶ ὁδηγία πρὸς τὸν προκείμενον ὅρον· τὰ μὲν γὰρ ἄλλα πρὸς τέλος ἄγονται τῇ φύσει σύστοιχον· ἀνθρώπου δὲ τὸ τέλος ὑπερφυές, πρὸς ὃ κινεῖσθαι μὲν αὐτὸν δεῖ προαιρούμενον καὶ μηδὲ οἴκοθεν ἀμελοῦντα, οὐχ οἷόν τε δὲ ἐφικέσθαι καὶ ὁρισθῆναι καλῶς πρὸς αὐτὸ μὴ ταῖς ἐκ Θεοῦ χορηγουμένοις συνεργείαις, περὶ ὧν ἐπεξειργασμένως ἐν τοῖς προτέραις συγγράμμασι διειλόμεθα, νῦν δὲ μόνον ἁπτόμεθα. Ἡ γνῶσις τοίνυν τῶν ἀνθρωπίνων πραγμάτων καὶ πρὸς τὸ τέλος αὐτῶν τὸ οἰκεῖον ὁρισμὸς, ἡ μὲν ἐστι τῷ γινώσκοντι καὶ ὁρίζοντι Θεῷ γνῶσις καὶ ὁρισμὸς, ὡς δὴ παρόντων καὶ εἰσὶ καλοῦντα χωρὶς, τῇ δὲ πρὸς τὰ γινόμενα καὶ ὁριζόμενα ἀποβλέψει πρόγνωσίς τε καὶ προορισμὸς λέγονται· ὁ δὲ προορισμὸς γενικῶς λαμβανόμενος οὕτως, εἰς τὸν κυρίως προορισμὸν διαιρεῖται, καὶ τὴν ἀποδοκιμασίαν· καὶ ἔστιν ὁ μὲν προορισμὸς τῶν ἐφικνουμένων τοῦ τέλους, ἡ δὲ ἀποδοκιμασία τῶν ἀποτυγχανόντων αὐτοῦ· οἵ τε γὰρ προωρισμένοι εἰς τὴν αἰώνιον ζωὴν, οἵ τε ἀπ' αὐτῆς ἀποδεδοκιμασμένοι διαφόρως μὲν ἀλλὰ καὶ ἄμφω τῇ διατάξει τῆς θείας προνοίας ὑποπεπτώκασιν. Ἔστι δὲ τῇ τάξει προτέρα μὲν ἡ πρόγνωσις, δεύτερος δὲ ὁ εἰδικὸς οὗτος καὶ κυρίως προορισμός· καὶ προϋποτίθησι τὴν πρόγνωσιν ὁ προορισμὸς ὡς ἀρχὴν ἑαυτοῦ καὶ τάξει προηγουμένην· ἀκολούθως δὲ καὶ τῶν ἄλλων ἐστὶ προτέρα ἡ πρόγνωσις τῶν ἑπομένων τῷ θείῳ προορισμῷ· καὶ ταύτης ἡγεμὼν ἡμῖν τῆς θεολογίας μετὰ τὸν Κύριον ἡμῶν ἐν Εὐαγγελίοις διεσπαρμένως ἡμῖν διδόντα συνάγειν ὁ Παῦλος ὁ μέγας τῆς ἀληθείας κῆρυξ γίνεται· Οὓς γὰρ προέγνω, φησὶ, καὶ προώρισε, καὶ οὓς προώρισεν ἐκάλεσε, καὶ οὓς ἐκάλεσεν ἐδικαίωσε, καὶ οὓς ἐδικαίωσεν ἐδόξασεν· ὁ Θεὸς γὰρ καὶ τὰ ἐσόμενα προγινώσκων ὃν εἴρηται τρόπον προέγνω τοὺς γνησίως αὐτὸν ἀγαπήσοντας, τό γε ἐφ' ἑαυτοὺς ἧκον, καὶ μηδὲν ἀμελῆσαι προτεθειμένους. Εἰωθὼς δὲ διὰ ὑπερβάλλουσαν ἀγαθότητα πάντα συνεργεῖν εἰς τὸ ἀγαθὸν τοῖς ἀγαπῶσιν αὐτὸν, διὰ τοῦτο τοῖς κατὰ πρόθεσιν οἰκείαν οὖσι κλητοῖς, τοῖς ἐκουσίως δηλαδὴ τό γε εἰς αὐτοὺς ἧκον τῆς κλήσεως τυγχεῖν ἐπιμελουμένοις, καὶ διὰ τοῦτο κλητοῖς οὖσι, τοῦτ' ἔστιν ἀξίοις κεκλῆσθαι, καὶ τὴν παρ' ἑαυτοῦ προστίθησιν αὐτοῖς συνεργίαν, ὡς ἄνευ αὐτῆς οὐκ ἂν ἐφικέσθαι δυνησομένοις διὰ τὰς συνούσας πολλὰς καὶ μεγάλας τῷ πράγματι δυσχερείας· διό φησι· *Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν*· διὰ τοῦτο προγνοὺς αὐτοὺς διὰ σοφίας περιουσίαν, ἑπομένως προώρισε δι' ὑπερβολὴν ἀγαθότητος, καὶ προορίσας ἐκάλεσε, καὶ τὰ ἑξῆς ἀκολούθως, ὡς δεδοξάσθαι μὲν διὰ ταῦτα τοὺς δοξαζομένους ἢ δοξασθησομένους, τοὺς δὲ δικαιωθησομένους δεδικαιῶσθαι, καὶ ἔτι πρότερον κεκλῆσθαι κληθησομένους, καὶ τἆλλα ὡσαύτως. Οὐκ ἔστιν οὖν αἰτία προηγουμένη τῆς τῶν σωζομένων δόξης ὁ θεῖος προορισμός· ἔχει γὰρ ἑαυτοῦ προηγουμένην τὴν πρόγνωσιν, ἧς ἄνευ οὐκ ἂν ὁ προορισμὸς εἴη. Ἀλλ' οὐδ' ἡ πρόγνωσις προηγουμένη ἐστὶν αἰτία, ἀλλ' ἐπείπερ ἔμελλε κατ' ἰδίας ἀφορμὰς τῶν αἱρησομένων τὸ ἀγαθὸν συμβαίνειν αὐτοῖς καὶ τὸ τοιούτοις οὖσιν ἐπακολουθοῦν τέλος· διὰ τοῦτο προέγνω ὁ εἰδὼς τὰ πάντα πρὸ γενέσεως αὐτῶν, καὶ προεγνωσμένους ὅτι τοιοῦτοι τὸ ἀφ' ἑαυτῶν ἔσονται, καὶ ἑαυτὸν συνεργήσοντα προῄδει, καὶ ὁριοῦντα τοὺς ἀφ' ἑαυτῶν μὲν ὁρίζεσθαι θελήσοντας πρὸς τὸ τέλος, τοῦ δὲ Θεοῦ τὰ πλεῖστα δεησομένους, ὥσπερ αὖ οὓς προέγνωκεν οἴκοθεν ἀπαλλοτριωθησομένους τοῦ τέλους, καὶ διὰ ταῦτα μηδ' αὐτοῦ συνεργήσοντος τευξομένους, πῶς γὰρ ἂν συνεργοίη τοῖς οὐ θέλουσι

συνεργεῖσθαι; εὐλόγως ἀποδεδοκίμακε τούτους καὶ ἀπεκλήρωσε, καὶ τὴν ὁρμόττουσαν αὐτοῖς ἀπένειμεν ἀδοξίαν ἣν ἐκουσίως προείλοντο· καθὼς γὰρ οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν τοῦ ποιεῖν τὰ μὴ καθήκοντα, καὶ ὡς ἀφ' ἑαυτῶν πρῶτοι ἀπαλλοτριωθησόμενοι ἐν τῷ ἔργῳ, εὐλόγως· ἐν τῇ θεία γνώσει ἀπηλλοτριώθησαν ἀπὸ μήτρας, καθ' ὁμοιότητα τῶν ἐκ κοιλίας μητρὸς προωρισμένων, ὃ ταυτόν ἐστι τῷ ἀπ' ἀρχῆς αὐτῶν ᾠκειῶσθαι ἢ ἠλλοτριῶσθαι τῆς ἐγνωσμένης. Ἀλλὰ καὶ πόῤῥωθεν ὡς τοιοῦτοι ἐσόμενοι προεγινώσκοντο· καὶ ἦ προωρισμένοι ἦσαν ἢ ἀποδεδοκιμασμένοι. Ταῦτα τοῦ μεγάλου Παύλου καρπὸς, καὶ τοῦ κινοῦντος αὐτὸν Πνεύματος. Εἰ καὶ ἀδύνατον τοίνυν μὴ γενέσθαι ἂν ἃ προέγνωκεν ὁ Θεὸς ὡς ἐσόμενα, ἀλλ' οὐχ ἁπλῶς ἀνάγκη γενέσθαι ταῦτα οὕτως· ἠδύναντο γὰρ ἂν μὴ γενέσθαι οὕτω τὴν ἀνθρωπίνην προαίρεσιν ἀρχὴν ἔχοντα πρώτην τοῦ γίνεσθαι, ἐσόμενα δὲ τὸ ἀφ' ἑαυτῶν οὕτω, φημὶ δὲ τῶν ἀνθρώπων, τό γε εἰς Θεὸν ἦκον οὕτω προεγινώσκοντο, θείας περιουσίᾳ γνώσεως. Οὐκοῦν ὥσπερ οὐκ ἀναγκάζει προγινώσκων ὁ Θεὸς, οὕτως οὐδὲ προορίζων ἢ ἀποδοκιμάζων, συνεργεῖ δὲ μόνον πρὸς τἀγαθὸν τοῖς πρώτοις τοῦτο προελομένοις, ὥσπερ πρὸς τοὐναντίον οὐ συνεργεῖ μὲν, ἀλλ' ἐγκαταλείπων τοὺς οἰκοθεν ἀπεστραμμένους τοῦ τέλους ἐκφέρεσθαι, καὶ τοὺς μὲν ἐν ὀλίγῳ πιστοὺς δούλους γενομένους, τῷ γε εἰς τὴν αὐτῶν ἔχοντι δύναμιν ἐπὶ πολλῶν καθίστησι τῇ παρ' ἑαυτοῦ χορηγίᾳ, ὧν οὐκ ἂν οἴκοθεν τυγχάνειν ἠδύνατο, καὶ τοῖς πονηροῖς αὖ καὶ πρὸς τἀγαθὸν ὀκνηροῖς οὔτε δίδωσι χάριν, καὶ τὴν δεδομένην ἀναλαμβάνει· ὅθεν ἅμα τῷ τὴν αἰτίαν ἐωρακέναι τοῦ δικαίου περὶ τὸν Παῦλον προορισμοῦ ὡς ἐκουσίως ὑπωπιάσει τὸ σῶμα καὶ δουλαγωγήσει, τῆς θείας ἀγάπης ἕνεκεν ἀφώριζεν αὐτὸν ἥτοι προώρισεν, ἐκ κοιλίας μητρὸς καὶ πρὸς τἀγαθὸν πᾶσι τρόποις συνήργει μέχρι τελευταίας ἀναπνοῆς. Τῷ τοιούτῳ τοίνυν ἀκολούθως πρὸς τὸ τέλος προορισμῷ καὶ ἡ σύμπασα τῶν προωρισμένων ζωὴ ὑπὸ τῆς θείας ὁρίζεται πρὸς τὸ τέλος καὶ κυβερνᾶται προνοίας, τὴν ἀγαθὴν καὶ πρώτην τοῦ προωρισμένου σπουδὴν ἐχούσης ὥσπερ ἐφόδιον καὶ πέρατος ἀκολούθως ἡ τούτων τυγχάνει ζωὴ αὐτῇ τε τοιαύτῃ οὔσῃ καὶ τῷ ἐσχάτῳ τέλει πρυτήκοντος· τὸ γὰρ αὐτό ἐστι τῆς ἐνταῦθα ζωῆς πέρα; καὶ ἀρχὴ τῆς μετὰ ταῦτα ζωῆς· τὸ δέ ἐστιν ἡ ἐντεῦθεν μετάστασις. Οἰκονομεῖται δὲ ἐκ Θεοῦ καὶ αὐτὴ χρόνῳ τε καὶ τρόπῳ καὶ τόπῳ, οἰκείως τοῖς αὐτὸν ἀγαπῶσι καὶ διὰ τοῦτο εὐλόγως συνεργουμένοις διὰ πάντων πρὸς τὴν τοῦ τέλους ἐπίτευξιν, ὅπερ ἐστὶν ἡ αἰώνιος καὶ μακαρία ζωὴ μετὰ Θεοῦ καὶ τῶν θείων. Καὶ τούτῳ τῷ τέλει συνάπτει μὲν ἡ ἐνταῦθα ζωὴ, διὰ πολλῶν τῶν μεταξὺ εὐτάκτως ταῖς βεβαίαις ἐλπίσι τοὺς σπουδῇ τε οἰκείᾳ καὶ συναντιλήψεσι θείας ὠχυρωμένους· ἡ δὲ εὐσεβὴς καὶ σὺν ἀρετῇ τελευτὴ ἀμέσως συνάπτει λοιπὸν, ἔργῳ τῶν ἐλπίδων ἀνυομένων εἰ καὶ μετά τινος ὑπερθέσεως πρὸς τὴν αὐτοῦ τελειοτέραν ἐπίτευξιν ἐν τῇ κοινῇ μισθαποδοσίᾳ τῆς φύσεως. Οὕτω δὲ καὶ τοῖς μὴ φροντίζουσι τοῦ τέλους τυχεῖν μήτε οἴκοθεν πρὸς ἐκεῖνο ὁριζομένοις· οὐδ' ὁ Θεὸς ὅπως ὁρίζοιντο συνεργεῖ, συνεργήσας ἂν ὁμοίως τοῖς ἄλλοις· ἦν γὰρ ἂν ἀνάγκης τόδε καὶ βίας. Προεγνωσμένης δέ γε τῆς αὐτῶν ἀθλιότητος, ὡς εἴωθεν ἀθλίοις χρῆται. Λοιπὸν τά τε κατὰ τὸν βίον αὐτῶν καὶ τὴν τελευτὴν οὐδεμιᾶς ἀξιῶν προνοίας; τοῖς προτέροις ὁμοίας καὶ ᾗ καιρός ἐστιν ἡ τοῦ κειμένου τέλους; ἐπίτευξις, ἀλλ' ὅσον μόνον αὐτοῖς πρὸς τὸ εἶναι καὶ ζωῇ ὡς κοινὸν τῇ φύσει δίδωκε δῶρον. Ἄξια μὲν οὖν ἐνίοις, τῇ φαυλότητι τούτων καὶ ζώντων καὶ τελευτώντων ἐπιτίθησιν ἄχθη, τρόπους οἰκονομίας μετὰ τοῦ δικαίου καὶ τὸ κοινῇ συμφέρον σκοποῦσιν. Ἀλλὰ ταῦτα μὲν ἐν τοῖς προτέροις διηρθρώθη συγγράμμασι· νῦν δὲ ἀρκεῖ τὴν σὴν ἀγάπην πληροφορῆται ὡς οὐδὲ ὧν πέπομφε κατὰ τὴν προτροπὴν ἢ ἐναντίον ἐστὶν ἢ ἐναντιοῦσθαι δύναται τοῖς προτέροις ἡμῶν ἐκείνοις συγγράμμασιν· τί γὰρ ἂν καὶ ἐναντιοῦσθαί ποτε δυνηθείη ἀληθείᾳ φανερωτάτῃ καὶ τοσούτοις τοῖς ταύτῃ συνισταμένοις; κἂν ἐναντιῶται, ψευδός ἐστι καὶ ἀδύνατον· Ἴσθι γὰρ, ἱερωτάτη καὶ φιλτάτη ψυχὴ, ὡς ἐν τοῖς ἐκκλησιαστικοῖς θεωρήμασιν, οὐδὲν ἔστι τούτου βαθύτερον· πλάτος γὰρ ἔχει πολὺ καὶ ποικίλον, ἐπιστήμης δὲ δεόμενον ἀκριβοῦς καὶ διανοίας ὑψηλοτέρας, καὶ ἔστι φιλοσοφίας καὶ θεολογίας ὥσπερ γυμνάσιον· διὸ καὶ τῶν ὑποδιεστέρων οἱ μὲν ἀπαλλάττονται καλῶς ποιοῦντες, τούτου μνησθῆναι δεῆσαν, οἱ δὲ ψηλαφῶντες ἅττ' ἂν τύχοι λέγουσιν ἐν τοῖς οἰκείοις συγγράμμασιν, οἱ δὲ τῆς Ἐκκλησίας καθηγεμόνες ἡμῖν καὶ τῆς πίστεως, ἅτε δὴ καὶ σοφίᾳ καὶ θείᾳ χάριτι καλῶς ὡπλισμένοι τὴν τοῦ ζητήματος φύσιν γενναίως τε ἅμα καὶ συμφώνως ἀλλήλοις, τοῖς ὑστέροις ἡμῖν ὑπογράφουσι τοῦ τῶν θείων Γραφῶν κανόνος ἐξεχομένην καὶ τοῖς λογίοις ἡρμοσμένην τοῦ Πνεύματος, Διονύσιος οὗτος ὁ μέγας, ὁ ἱερὸς Ἀθανάσιος, οἱ τρεῖς τῆς οἰκουμένης φωστῆρες, Αὐγουστῖνος ἐπὶ τούτοις, Θεοδώρητος, Μάξιμος, ὁ θεῖος ἐπὶ πᾶσι Δαμασκηνός. Διοδώρου δὲ καὶ Ἀναστασίου οὗτοι γε ἡμεῖς θιασῶται. Ἔνθα δὲ τοῖς μεγάλοις ἐκείνοις συμφωνοῦσι καὶ δοῦλοι, ἐπὶ τούτοις ἴσθι καλῶς ὡς ἡ περὶ τοὺς ἀνθρώπους ποικίλη καὶ πάνσοφος τοῦ δημιουργοῦ πρόνοια, δεσποτική τε ἅμα καὶ πατρικὴ καὶ ὅσα τῷ περὶ ταύτης, ταυτὸν δ' εἰπεῖν τοῦ θείου προορισμοῦ, συνυφαίνοντα λόγῳ ἰδίως μὲν εἰς τὸ δεύτερον τῆς πίστεως ἄρθρον ἀνήκει, καθόλου δὲ τὴν τῶν Χριστιανῶν ὅλην διατρέχει πίστιν καὶ πάντα τὰ περὶ αὐτῆς θεωρήματα· ὅθεν οὔτε γένοιτ' ἂν Χριστιανοῖς θεοφιλέστερον φρόνημα τοῦ τὰ τῶν ἀνθρώπων πάντα τῆς οὐρανίου καὶ θείας γνώσεώς τε καὶ κρίσεως ἐξαρτᾷν τῇ πρὸς τὸ τέλος αὐτῶν ἀποβλέψει, τῆς μέντοι προαιρέσεως αὐτῶν πρὸς ταῦτα προηγουμένης ἐν τῷ τῶν ἔργων καιρῷ, εἰ καὶ ἡ θεία γνῶσις πόῤῥωθεν αὐτοῖς ὡς γενομένοις καὶ οὐσίαν ἐπιστατεῖ τὴν ἀνθρωπίνην προϋποτιθεῖσα προαίρεσιν, καὶ προορίζει μὲν ἐν τῇ γνώσει τοὺς ἐν τῷ καιρῷ τῶν ἔργων ὁριστέους οἴκοθέν τε καὶ παρ' αὐτοῦ, προαποδοκιμάζει δὲ τοὺς ἀποδοκιμασθησομένους, ὁμοίως; οὔτε χαλεπώτερον ἂν γένοιτο φρόνημα

τοῦ τὴν ἀνθρωπίνην ζωήν τε καὶ τελευτὴν καὶ κοινῇ καὶ ἰδίως καὶ τὰς ἀνθρωπίνας ὅλως ψυχὰς καὶ ζωὰς καὶ μάλιστα τῶν σπουδαιοτέρως βιούντων τῆς περὶ τοὺς ἀνθρώπους εἰδικωτέρας καὶ πατρικῆς ὄντως καὶ σοφωτάτης καὶ ἀδιαλείπτου τοῦ δημιουργοῦ προνοίας ὁπωσοῦν χωρίζειν καὶ διατάξεως ἢ καὶ τὰς τῶν φαύλων τῆς δικαστικῆς αὐτοῦ διατάξεως ὁπόσοι τῆς πατρικῆς προνοίας ἑαυτοὺς καθάπαξ ἀπέρρηξαν ἅπερ ἐν τῷ δευτέρῳ τῶν συγγραμμάτων ἡμῖν προὔργου καὶ κατὰ μέρος ἐκτέθειται· διὸ καὶ πρό- A τερον, ὡς ἔφης, ἐκεῖθεν ἱκανωθείς, νῦν ταῖς ἐπιστασίαις τῶν δοκούντων προϊστασθαι καὶ μᾶλλον ἐνασμενίσεις, καὶ ἡμῖν εὔξῃ τὸν θεῖον οἶκτον. Καὶ ἡμεῖς δέ σοι χάριν ἴσμεν ὅτι πλείστην ἕνεκα πάντων, καὶ τοῖς εἰς τὴν αἰώνιον προωρισμένοις ζωὴν μετὰ γῆρας βαθὺ διὰ τὸ κοινῇ συμφέρον ἐντυχθῆναί σε δεόμεθα τοῦ Θεοῦ, ὅτι καὶ ἐντέταξαι καὶ ἐγκαίρως ἐντετάξῃ πάνυ βεβαίως ἐλπίζοντες. Ἀμήν. Μετάνοιαν.

ΠΕΡΙ ΤΟΥ ΘΕΙΟΥ ΠΡΟΟΡΙΣΜΟΥ

ΤΕΤΑΡΤΟΝ.

—

DE DIVINA PROVIDENTIA

LIBER QUARTUS.

(Ex eodem codice Regio 1289, fol. 199.)

—

Τῷ μεγάλῳ οἰκονόμῳ κυρῷ Θεοδώρῳ τῷ Ἀγαλλιανῷ.

Σὺ μὲν καλῶς ποιῶν, φίλτατε, ἠ διαγράφειν ἡμῖν ἐπιτρέπεις ὃν ἔπεμψας λόγον, ἂν ἀπαρίσκων δοκῇ, ἢ βεβαιοῦν ἀξιοῖς· δεῖν γὰρ περὶ τῶν τοιούτων οὐχ ἑαυτοῖς μόνοις θαῤῥεῖν, ἀλλὰ τὴν τῶν κρίνειν εἰδότων καὶ δυναμένων ψῆφον ζητεῖν μηδὲ τοῖς ἐκ τῶν ἰδιωτῶν ἐπαίνοις ἀρκεῖσθαι οὗ· καὶ ψευδόμενός τις ὑπ' ἀγνοίας ἢ σοφιζόμενος ἐλκύσειεν ἄν· ἡμεῖς δὲ καλῶς ἐπιστήσαντες τῷ συγγράμματι τῇ σῇ πολυχρονίῳ περὶ τῶν τοιούτων εἰδήσει καὶ πείρᾳ προσῆκον ἔγνωμεν ὃν καὶ πρεσβυτικὸν ἄντικρυς· ὁ μὲν γὰρ σκοπὸς αὐτῷ λίαν ἀληθὴς ἅτε καὶ τῶν διδασκάλων τῆς Ἐκκλησίας πάντων γνώμη κοινὴ καὶ δόγμα τῆς ἱερᾶς Γραφῆς ἀπαράγραπτον· ἀποδείκνυται δὲ ὡς οἷόν τε καλῶς, καὶ ὡς γένοιτο πολλοῖς εὐκατάληπτος. Ταύτην ἐκ προχείρου τὴν ψῆφόν σοι περὶ τοῦ συγγράμματος πέμπομεν· ταύτης κοινωνὸν ἕξεις ἅπαντα σοφὸν μεθ' ἡμῶν. Εἰ δὲ μή εἰσι νῦν ἐν τῷδε τῷ κλίματι τοιοῦτοι, φεῦ τῆς δεινῆς τοῦ γένους ἡμῶν ἀμορφίας! ἀλλ' ὀρκείτω σοι τῶν σοφωτάτων διδασκάλων ὁ κύκλος, οἷς ἀκολουθοῦμεν ἡμεῖς καὶ ὧν τῇ μετὰ πολλῆς σπουδῆς ἐρεύνῃ συνεωράκαμεν. Σὺ δ' ἐκείνους ἀκολουθῶν καὶ ὑμῖν εἰκότως συνᾴδεις. Διονύσιον λέγω Βασίλειον τὸν μέγαν, τὸν Θεολόγον Γρηγόριον, τὸν τὴν διάνοιαν μετὰ τῆς γλώττης Χρυσοῦν Ἰωάννην, Κύριλλον, Θεοδώρητον, Μάξιμον τὸν πάνσοφον ὁμολογητήν, Ἰουστῖνον τὸν ἐπὶ τῇ φιλοσοφίᾳ καὶ μάρτυρα, τὸν ἱερώτατον Ἀθανάσιον, ἄλλους ἐν τούτοις καὶ μετὰ τούτους πολλούς. Ἀναστάσιον δὲ τὸν B ἀπὸ Σινᾶ ἅγιον μὲν οὐκ ἂν ἀρνησαίμεθα εἶναι καὶ τοὺς ἐκείνῳ τότε συνασκουμένους πατέρας οἷς εὐλόγως καὶ διδασκάλου τόπον ἐπλήρου, θεολόγον δ' οὐκ ἄν ποτε ὀνομάσαιμεν οὐδὲ τοῖς θεολόγοις παρακολουθεῖν γνησίως δυνάμενον· ὡσαύτως δὲ καὶ εἴ τις τῶν ὑστέρων Ἀναστασίῳ συνᾴδει τῆς ὁμοίας ἕξεως ὤν· διὸ καὶ ζητεῖ μὲν ἕνα καλῶς· ἐκεῖνος, λύει δὲ οὐ πάντα προσφόρως ἐν πολλοῖς τοῖς τῶν διδασκαλίων ἱστάμενος γνώμης καὶ τῶν κοινῶν κανόνων τῆς πίστεως ὑπ' ἀγνοίας οὐ φιλονεικῶν οὐδ' ἀντιφιλοτιμούμενος· ὅθεν οὐδὲ συμβιβάζειν τοῖς διδασκάλοις τὸν Ἀναστάσιον χρὴ καὶ εἴ τις ἄλλος τῶν ἁπλουστέρων τε καὶ ὑστέρων ὑπ' ἀγνοίας τοῦ τῆς ἱερᾶς θεολογίας ἀποχωρίσῃ κανόνος, ἀλλὰ παρίεναι δεῖ μόνον αὐτοὺς εὐλαβῶς καὶ ἐκ τοῦ μὴ C πάνυ προσέχειν χωριζομένους· ἐπιστήμη γὰρ ἐπιστημῶν ἐστιν ἡ θεολογία καὶ πρώτη μὲν σοφία τῷ ὄντι, ἐσχάτη δὲ διὰ τοῦτο καὶ τελευταία τῇ μετὰ πᾶσαν ἀνθρωπίνην σοφίαν αὐτῆς ἐπιτεύξει. Τοῖς δὲ διδασκάλοις καὶ θεολόγοις μόνοις προστίθεσθαι χρὴ, τοῖς πληριστάτοις μὲν τῆς ἄλλης σοφίας, περὶ δὲ πᾶσαν τὴν ἱερὰν Γραφὴν πιστῶς ἀμέλει καὶ σπουδαίως ἠσχολημένοις. Οὐχ ἡμετέρα τοῦτο γνώμη· ἀλλ' ὁ μέγας Βασίλειος· ἐν τοῖς διαλογικοῖς τοῦτ' ἀξιοῖ· δεῖ γάρ, φησι, τῶν ἀκροατῶν τοὺς πεπαιδευμένους ταῖς θείαις Γραφαῖς δοκιμάζειν τὰ παρὰ τῶν διδασκόντων λεγόμενα, καὶ τὰ μὲν σύμφωνα ταῖς Γραφαῖς δέχεσθαι, τὰ δὲ ἀλλότρια ἀποβάλλεσθαι, καὶ τοὺς τοιούτους ἐπιμένοντας διδάγμασι σφοδρότερον ἀποστρέφεσθαι. Καὶ περὶ τούτου μὲν D ἐς τοσοῦτον· θαῦμα δὲ καὶ δακρύων, φεῦ! πολλῶν

ἄξιον ὅτι τὸν Θεὸν μέν τινες καθ' ἡμέραν ὑμνοῦσι ποιμένα καὶ καταφυγὴν καὶ ὁδηγὸν καὶ σκεπαστὴν καὶ μεθ' ἡμῶν ὄντα ἀεὶ, καὶ οὐ μεθ' ἡμῶν μόνον, ἀλλὰ καὶ κύκλῳ ἡμῶν, ὃ μεῖζον εἰς φυλακήν τε καὶ πρόνοιαν, καὶ παρήγορον ἐν ταῖς θλίψεσι καὶ ῥύστην ἐν πολέμῳ καὶ ἀντιλήπτορα καὶ φύλακα οὐ τῶν τελείων μόνων τὴν ἡλικίαν, ἀλλὰ καὶ νηπίων αὐτῶν, καὶ κατὰ τῶν ἐπηρεαζόντων ἐκδικητὴν, καὶ τῆς ζωῆς ἡμῶν ὑπερασπιστὴν καὶ ἐν ταῖς χερσὶν αὐτοῦ τοὺς ὑμετέρους ἔχοντα κλήρους καὶ ῥυόμενον ἐκ θανάτου καὶ διατρέφοντα ἐν λιμῷ καὶ ἐν γήρᾳ πληθύνοντα πίονι, καὶ ἄλλους αὖ κατὰ τὴν ἀνδρῶν ἀφανίζοντα πονηρίαν καὶ εἰς ἐχθρῶν χεῖρας παραδιδόντα, καὶ διδάσκαλον μὲν χειρῶν εἰς πρᾶξιν, δακτύλων δὲ εἰς πόλεμον, καὶ ἰατρὸν τῶν τῇ καρδίᾳ συντετριμμένων, καὶ ἀναλαμβάνοντα μὲν πρακεῖ; καὶ ὑψοῦντα, ἕως δὲ γῆς ἁμαρτωλοὺς ταπεινοῦντα, καὶ τὴν μὲν ψυχὴν ἐξαιρούμενον ἐκ θανάτου, τοὺς ὀφθαλμοὺς δὲ ἐκ δακρύων, τοὺς πόδας δὲ ἀπὸ ὀλισθήματος, καὶ οὐκ ἀνθρώποις μόνον, ἀλλὰ καὶ κτήνεσι διδόντα τροφὴν καὶ τοῖς νεοσσοῖς τῶν γεράνων, καὶ τοὺς μὲν μακρότητος ἡμερῶν ἐμπιπλῶντα, τοῖς δὲ οὐδὲ ἡμισεύειν τὰς ἡμέρας συγχωροῦντα, τοὺς δὲ πάνυ φαύλους ἐξολοθρεύοντα. Οὕτω μὲν καθ' ἡμέραν τὸν Θεὸν ἀνυμνοῦσι μετὰ τοῦ θείου Δαυὶδ, οὐρανόθεν ταῦτα ἐμπνεομένου· εἶτα φρονοῦσί τε τἀναντία τούτων, καὶ ἄλλους διδάσκουσι· καὶ, Θανατοῖ μὲν Κύριος καὶ ζωογονεῖ, λέγουσί τε καὶ τοῖς εἰποῦσιν ἀξιοῦσι πιστεύειν, ἀοριστίαν δὲ ζωῆς καὶ θανάτου καταψηφίζονται, καὶ τυχαῖόν τε καὶ αὐτόματον τὸ σύμπαν τῶν ἀνθρώπων ἡγοῦνται χρῆμα· τὸ γὰρ σύμπαν τῶν ἀνθρώπων χρῆμα ζωή τε ἐνταῦθα καὶ τῆς ζωῆς ταύτης τέλος ἐστὶ πρὸς ἄλλον βίον μετάγον. Καὶ ποιεῖν μὲν εἰρήνην καὶ κτίζειν κακὰ πόλεσί τε καὶ ἔθνεσι τὸν Θεὸν, ἀξίως τῆς ἑκάστων παρασκευῆς τε καὶ προαιρέσεως, ἀκούουσιν ὁσημέραι, λέγουσιν, ἔργῳ δὲ τούτοις διαπιστοῦσι. Καὶ αὐτὸς μὲν ὁ δημιουργὸς ἡμῶν καὶ τὰς τρίχας ἡμῶν ἠριθμῆσθαι λέγει τῇ περὶ ἡμῶν οὐρανίῳ προνοίᾳ εἰς ἔνδειξιν τοῦ πολλῷ μᾶλλον μέλλειν αὐτῇ τῶν ἄλλων ἐν ἡμῖν ἀναγκαίων· καὶ μὴ μόνον ἄνθρωπον ἐπὶ σφαγὴν ἥκειν, ἀλλ' οὐδὲ στρουθίον εἰς παγίδα πίπτειν ἄνευ θείου θελήματος· καὶ εἰ μὴ στρουθίον σχολῇ γε ἄνθρωπον, εἰ καὶ ὁ θεῖος περὶ ἑκάτερον τούτων σκοπὸς πολὺ διαφέρει εἰκείως τῇ διακρίσει τῶν φύσεων. Καὶ οὗ φησι μόνον ὁ δημιουργὸς ἡμῶν ταῦτα· ἀλλὰ καὶ τοῖς ἔργοις ἔδειξέ τε καὶ δείκνυσιν. Οἱ δὲ ὥσπερ τοῖς ἔργοις αὐτοῦ μὴ προσέχοντες καὶ τῶν αὐτοῦ μαθητῶν καὶ τῶν τοὺς ἀποστολικοὺς ἀγῶνας διαδεξαμένων μαρτύρων ἅττ' ἂν τύχοι φρονοῦσι καὶ λέγουσι. Καὶ τῷ μὲν Δαυὶδ συνᾴδουσι καθεκάστην· « Ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς· οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἕως οὗ οἰκτειρήσαι ἡμᾶς· » καὶ τῆς Χαναναίας ἐν Εὐαγγελίοις ἀκούουσι κυναρίοις ἐξομοιώσεως; ἑαυτὴν τοῖς ἐσθίουσιν ἀπὸ τῶν ψιχίων τῶν ἐπιπιπτόντων καὶ τῆς τραπέζης τῶν κυρίων αὐτῶν· διὸ καὶ δικαίως; ἐπὶ τῷ μεγέθει μακαρισθεῖσα τῆς πίστεως ἄθλον εὐθὺς αὐτῆς ἀπειλήφει τὴν ἰατρείαν. Αὐτοί γε χείρους εἶναι βούλονται τοὺς ἀνθρώπους περὶ τὸν δεσπότην οὐ δούλων, οὐ παιδευτῶν, οὐ τέκνων ταῖς μητρικαῖς σὺν ἐλπίσι προσιόντων χερσὶν, ἀλλὰ καὶ κυναρίων, ἃ ταῖς τῶν δεσποτῶν τραπέζαις ὑφεδρεύουσιν ἁπλουμέναις σαίνοντα καὶ τοὺς πόδας ὑπερχόμενα τῶν κυρίων μετὰ τῆς συμφύτου καὶ δυνατῆς αὐτῆς ἐλπίδος καὶ εὐλαβείας, ὡς φύσει τὴν τῶν δεσποτῶν περὶ αὐτὰ συμπάθειαν ἐπεγνωκότα καὶ πρόνοιαν. Εἰκότως οὖν παιδευόμεθα ὡς μηδὲ ἀνθρώπου δεσπότου μηδὲ γυναικὸς κυρίας μηδὲ πατρὸς ἢ μητρὸς εὔνοια πρὸς ἡμᾶς ἀποδιδόντος Θεῷ τῷ δι' ἡμᾶς τὸν ἅπαντα τουτονὶ ποιήσαντι κόσμον, τῷ τοσούτοις κοσμήσαντι τὴν ἡμῶν φύσιν χαρίσμασι, τῷ ὑπὲρ ἡμῶν τοσαῦτα παθεῖν ἀνασχομένῳ, τῷ μὴ δικαίους ἐλθόντι καλέσαι ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν, τῷ μὴ μόνον ὡς δούλοις ἢ τέκνοις, ἀλλὰ καὶ ὡς φίλοις καὶ ἀδελφοῖς ἡμῖν χρησαμένῳ, καὶ διὰ τοῦτο τὴν ψυχὴν καὶ ὑπὲρ φίλων ἡμῶν τεθεικότι, οὗς μεῖζον οὐδὲν εἰς φιλίας λόγον εἶναί φησιν. Οὐδ' ἅπαξ πεποιηκὼς ταῦτα πέπαυται, διηνεκῶς δὲ ποιεῖ, καὶ διηνεκῶς δίδωσιν ἑκάστης τῶν καλῶν ἁπάντων ἐκείνων ἀρχῆς εἰς πάντα διηκούσης τὸν χρόνον διὰ τὴν ἄπειρον αὐτοῦ καὶ πάντα διατρέχουσαν δύναμιν· καὶ προστάσσει μὲν ἐκεῖνος διηνεκῶς· « Αἰτεῖτε τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ τὰ ἄλλα πάντα προστεθήσεται ὑμῖν· δώσει γὰρ πολλῷ βέλτιον καὶ ἀδρότερον ἢ ζητεῖν μέλλετε· ὑμεῖς γὰρ ὄφιν ἴσως ἀντὶ ἄρτου ζητεῖτε πλανώμενοι. Ὁ δὲ ἄρτον, οὐκ ὄφιν, δώσει· καὶ πάντα, φησὶ, προστεθήσεται παρ' αὐτοῦ. Οὐκοῦν ἐπιμελεῖσθε τοῦ τελευταίου τέλους ὑμῶν δι' ὃ καὶ γεγέννησθε, τῆς αἰωνίου ὀλονότι ζωῆς, τὰ μὲν πράττοντες αὐτοὶ, τὰ δ' εὐχόμενοι· καὶ πονηροὶ μὲν γὰρ ἀπολαύουσι τῆς οὐρανίου κηδεμονίας δι' ἄκραν τοῦ δημιουργήσαντος φιλανθρωπίαν· οἱ δὲ σπουδαῖοι καὶ τῆς ἀληθοῦς ζωῆς ἐπιμελούμενοι προὔργου, μετὰ προσθήκης ταύτην καρποῦνται· εἰ γὰρ τρέφει συμφερόντως, καὶ συμφερόντως οὐ θρέψει, καὶ τῷ μὲν προσθήσει τὴν ζωὴν συμφερόντως, τῷ δ' ἐπὶ τὸ βέλτιον συντεμεῖ, μὴ κακίᾳ ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ, εἴπερ συντέμνει τε τοῖς φαύλως βιοῦσιν ἐπὶ ἄλλοις βέλτιον ὡς ἂν μήτε βλάπτοιντο ζῶντος καὶ ὠφελοῖντο τῇ τῆς πονηρίας βίᾳ ὥστε μὴ ἢ προστίθησιν ἐπὶ τὸ χεῖρον ἄλλοις, ἀξίοις ὑπ' ἐκείνου πάσχειν καλῶς. Ἀλλὰ νῦν ἡμῖν περὶ τῶν ἐντόνων καὶ σπουδαίων τέκνων ὁ λόγος ἐστὶν, οἷς αἰτοῦσι τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην ἐκεῖθεν τὰ ἄλλα προστίθεται πάντα. Εἰ τοίνυν πάντα ἀληθῶς δίδωσι, καὶ πάντων Κύριός ἐστιν· εἰ πάντων Κύριός ἐστι, καὶ ζωῆς ἡμῶν ἄρα καὶ τελευτῆς· ταῦτα γὰρ ἐνταῦθα τῶν διδομένων ἡμῶν παρ' αὐτοῦ τὰ κεφάλαια· εἰ δοτήρ ἐστι τούτων, καὶ κύριος καὶ ὁριστής ἐστιν αὐτῶν ἄρα ὡς καιρὸν καὶ τρόπον τοῖς διδομένοις ὁρίζων καὶ τάττων καὶ περιγράφων· ἔγνω τε γὰρ ἃ δώσει καὶ ὅτε καὶ ὅπως, καὶ ὡρισμένα εἶδεν ἕκαστα τούτων·

ὁρίστων γὰρ γνῶσιν ἀδύνατον εἶναι. Ὁριστὴς δὲ ὧν αὐτῶν καὶ προοριστής ἐστιν εἰδώς· οὐ γὰρ ἐγγύθεν μόνον οἶδέ τε καὶ ὁρίζει, ἀλλὰ μετὰ τῆς οὐσίας ἄῖδιον καὶ τὴν γνῶσιν ἔσχηκε πάντως, καὶ ὡς παρόντα γινώσκει, κἂν ᾖ μέλλοντα, καὶ ἀναγκαίως γινώσκει, κἂν ἐνδεχόμενα ᾖ καθ' αὑτά. Ἐντεῦθεν αἱ προφητεῖαι τῶν τε ἄλλων ἀρχῆθεν καὶ τῶν τῆς ἡμετέρας σωτηρίας ἔργων τε καὶ καιρῶν· ἐντεῦθεν ἃ γέγραπται καὶ ἅπερ ἔδει παθεῖν καὶ ποιῆσαι τὸν ἡμέτερον Ἰησοῦν. Οὗτος τῆς ἡμετέρας πίστεως ὅλης θεμέλιος· ταῦτα οἱ τῆς εὐσεβείας ἡμῶν ὅροι, κατὰ τὸν θεῖον φάναι βασίλειον, ὧν ἐκπίπτειν φησὶ τοὺς τῆς ἀνθρωπίνης ζωῆς τοὺς ὅρους ἀθετεῖν θέλοντας. Ἀλλὰ ταῦτα μὲν ὀδυρομένῳ μοι τὴν ἄγνοιαν καὶ τὴν ἄλλην ἀμορφίαν τοῦ γένους ἡμῶν (οὕτω νῦν) εἴρηται· περὶ δέ γε τοῦ θείου προορισμοῦ καὶ τῆς ἐκεῖθεν προνοίας περὶ πάντας ἀνθρώπους, εἰ μὴ τὸν αὐτὸν τρόπον ἀπολαύουσι πάντες αὐτῶν, ἀλλ' οἰκείως ἕκαστοι τῇ σφῶν διαθέσει κατά τε πίστιν καὶ βίον, εἴρηται ἡμῖν ἐν τοῖς λόγοις ἀρκούντως καὶ μετὰ πολλῆς ἐπεξεργασίας, ὧν ὁ μὲν πρότερος ἐκεῖνος οὐ καλῶς ἐν τῷ συγγράμματι μελλητικῶς, τῆς ἀληθείας ἐστὶν κατασκευαστικὸς, οἱ δὲ λοιποὶ δύο πρὸς τῷ τὴν ἀλήθειαν κατασκευάζειν σαφέστερον καὶ τὰ δοκοῦντά τισι δι' ἀπειρίαν αὐτῶν ἀνθίστασθαι λύουσι. Καὶ ἀπῆτησε μὲν αὐτοὺς ἡμῶν ὁ λογιώτατος ἐν μοναχοῖς καὶ θεοφιλέστατος Ἰωσὴφ ὁ ἐν Θεσσαλονίκῃ· ἡμεῖς δὲ τῇ τοῦ ἀνδρὸς ἀρετῇ χαριζόμενοι καὶ φιλίᾳ οὐκ ἠμελήσαμεν ἱκανοποιῆσαι τὴν αὐτοῦ ὁσίαν ψυχὴν τοῖς λόγοις ἐκείνοις ὑπὲρ ὧν καὶ πολλὴν ἡμῖν ὡμολόγηκε χάριν ἐκεῖνος· ἐκγράψας. Πέμψω σοι βουληθέντι τε καὶ ζητήσαντι· καὶ νῦν δέ σου χάριν βραχέα ταυτὶ προσδιοριζόμεθα. Ὧν τοίνυν δημιουργός ἐστιν ὁ Θεὸς, τούτων πάντων καὶ σωτὴρ ἐστι καὶ προμηθεύς, ὅπως εἴη τε καὶ πρὸς τὸ οἰκεῖον ἄγοιτο τέλος ἕκαστα ἰδιαίτερον μὲν τῶν γενετῶν ἃ καθάπαξ καὶ διηνεκοῦς δεῖται τῆς θεόθεν ἐπιστασίας, ἰδιαίτερον δ' αὐτοῦ ἀνθρωπείου παντὸς χρήματος ὡς ἀθανάτου τε τῷ βελτίονι μέρει καὶ πρὸς μεῖζον ἀγαθὸν τεταγμένου ᾖ καὶ παροῦσα ἔχει ζωὴ, ὡς ἄνευ τῆς ἐκ Θεοῦ χορηγίας· οὐ δυναμένου τοῦ τέλους τυχεῖν ὑπερφυοῦς ὄντος διὰ τὰς ἐκ τοῦ συνημμένου σώματος δυσχερείας καὶ πολλῶν ἄλλων ἕνεκα λόγων, ἰδιαίτερον δὲ ἐν ἀνθρώποις τῶν πιστῶν προνοεῖ, τὸ τῆς πίστεως ἐν αὐτοῖς αὔξων δῶρον τῇ περὶ τὰ ἄλλα κηδεμονίᾳ. Καὶ πάντων μὲν ὁμοίως αὖθις τῶν πιστῶν προνοεῖ τὰ ἐς τὴν παροῦσαν συντελοῦντα ζωήν· τῶν δὲ σπουδ ιοτέρων ἐπὶ τὸ βέλτιον αὐτοῖς προνοεῖ· οὐ γὰρ εἰδωσιν ἅπερ αὐτοὶ διὰ φιλοσοφίαν ἀπαρνοῦνται καὶ φεύγουσιν, ἀλλὰ τὴν αὐτῶν γνώμην ῥώννυσιν ἄνωθεν πρὸς τὴν τούτων φυγὴν, καὶ τοὺς μετὰ πολλῆς τῆς ἐπ' αὐτῷ πεποιθήσεως τὰς τῆς ζωῆς ἀναγκαίας φεύγοντας χρείας καὶ τό γε ἐφ' ἑαυτοῖς θνήσκειν μέλλοντας ὑπ' ἀτροφίας τε καὶ γυμνότητος τρέφει διὰ κοράκων, καὶ τῇ τῆς θείας ἰσχύος σκέπει περιβολῇ. Τοῖς δὲ τῶν τοιούτων ἢ μὴ βουλομένοις καταλαμβάν ἢ μὴ δυναμένοις διὰ τὸ προσηλῶσθαι τῷ βίῳ, μηδὲ π. σεχειν πάντας τῆς θείας ἀγάπης σπου-

A δάσμασι, τὰς περὶ τὸ ζῆν ἐπιθυμίας πληροῖ, τοῖς μὲν αὐτάρκειαν διδοὺς, τοῖς δὲ καὶ περισσείαν συγχωρῶν ἢ καλῶς γε χρῆσθαι καὶ φαύλως ἐπ' αὐτοῖς κεῖται λοιπόν. Γενικὸν μὲν οὖν ὄνομα τῆς εἰς ἅπαντα διηκούσης ἐπιστασίας Θεοῦ διοίκησίς ἐστι καὶ κυβέρνησις· ταύτης δὲ ὅσον μὲν περὶ τὰ ὄντα ἐστὶ, τῷ τοῦ γένους ὀνόματι διοίκησις λέγεται καὶ κυβέρνησις. Ὅσον δὲ περὶ τὰ γενητὰ εἰδικῶς καλεῖται πρόνοια καὶ προμήθεια. Ἔπεὶ δὲ καὶ τὰ γενητὰ καθόλου διαιρεῖται εἴς τε τὴν ἀνθρωπίνην λογικὴν καὶ εἰς τὴν ἄλογον φύσιν, ὅσον μὲν ἔστι τῆς θείας προνοίας περὶ τὰ ἄλλα τῶν γενητῶν ἰδίως τῷ τοῦ γένους· ὀνόματι καλεῖται πρόνοια· ὅσον δὲ ἔστι περὶ τὴν ἀνθρωπείαν φύσιν προορισμὸς ἰδίως καλεῖται· τῶν μὲν γὰρ ἄλλων τὸ τέλος πρόσκαιρον καὶ αὐτοῖς

B συγκαλούμενον· φημὶ δ' ὅσον αὐτοῖς ἑκάστοις ἀπεκληρώθη πρὸς ἑαυτά· ἀνθρώπου δὲ τὸ τέλος αἰώνιον· τοῦτο δ' ἐστὶν ἡ μακαρία ζωὴ ἐν τῇ γνώσει τῆς ἀληθείας συνισταμένη καὶ τῇ ἀμέσῳ τοῦ Θεοῦ καὶ νοερᾷ θεωρίᾳ, ὑπερφυῶς ὡς ἐφικτὸν διδομένῃ τοῖς τούτου τυγεῖν τοῦ τέλους σπουδάσασι μετὰ τῆς ἐκ Θεοῦ χορηγίας· ἡ μὲν γὰρ πρόσκαιρος αὕτη ζωὴ γυμνασίου πρὸς ἀρετὴν ἐπίδειξιν χρείαν πληροῖ· ὅρος δὲ αὐτῆς προσεχὴς μὲν ὁ τῆς ψυχῆς ἐκ τοῦ σώματος χωρισμὸς, τελευταῖος δὲ ἡ ἑπομένη μετ' αὐτὸν ἄῖδιος ζωὴ οἰκείως τῇ ἐνταῦθα ζωῇ ἀποδιδομένη τοῖς μὲν σπουδαίοις εὐδαίμων καὶ μακαρία, ἀθλία δὲ τοῖς ἐναντίως ἔχουσι. Διπλῆς οὖν οὔσης ἐν ἀνθρώποις τῆς ζωῆς καὶ τοῦ ταύτης ὁμοίως τέλους

C διπλοῦ καὶ τοῦ μετὰ τὴν ἐντεῦθεν ἔξοδον τέλους, ἡ μὲν περὶ ὅλην τὴν βελτίω μοῖραν τοῦ Θεοῦ διάταξις ὁρισμὸς τοῦ Θεοῦ καλεῖται ἰδίως τῷ τοῦ γένους ὀνόματι, καὶ διὰ τὸ ἐξ ἀῖδίου εἶναι αὐτὸν ἐν τῇ θείᾳ γνώσει καὶ πρὸ τῆς τῶν πραγμάτων ὑπάρξεως προορισμὸς λέγεται καὶ οἱ ταύτης ὄντες τῆς μοίρας ὡρισμένοι τε καὶ προωρισμένοι καλοῦνται· ἡ δὲ περὶ ὅλην τὴν χείρω μοῖραν διάταξις ἀπροδοκιμασία λέγεται, καὶ οἱ ταύτην πεποιθότες δικαίως ἀποδεδοκιμασμένοι· οἱ μὲν γὰρ συνεργοῦνται πρὸς τἀγαθὸν καὶ ὁρίζονται, ἀλλὰ καὶ οἴκοθεν ἄγονται πάσῃ σπουδῇ· οἱ δὲ συνεργοῦνται μὲν ἀλλ' ἀφ' ἑνιέντος ἀποπίπτουσι. Καὶ οἱ μὲν ζῶσι κατὰ θεὸν εὐσεβῶς τοῖς θείοις χρώμενοι δώροις· οἱ δὲ κατὰ τὴν ματαίαν ζῶσιν ἐπιθυμίαν καὶ τοῖς δώροις πρὸς αὐτὰς κατακέχρηνται· διὸ καὶ οἱ μὲν εὐσεβεῖ τέλει τῆς παρούσης ζωῆς

D ἐξίασι καὶ εὐέλπιδες· οἱ δὲ οἰκείως τελευτῶσι τῇ ὅλῃ τῆς ζωῆς μοχθηρίᾳ. Καὶ οἱ μὲν εἰς τὸ οἰκεῖον ἄγονται τέλος, τὴν ἐν οὐρανοῖς ζωὴν πατρικῶς· οἱ δὲ εἰς τὰς ἐν ᾅδου κατασπῶνται ποινὰς τῇ δικαστικῇ τοῦ δεσπότου ῥάβδῳ. Οἱ τοίνυν σοφώτατοι τῆς Ἐκκλησίας διδάσκαλοι τοσοῦντες μὲν ἐξηπλωμένως τὸν θεῖον προορισμὸν καθόσον τὴν σύμπασαν περὶ τοὺς ἀνθρώπους πάντας σημαίνει πρόνοιάν τε καὶ προδιάταξιν οἰκείως τῇ ἀῖδίῳ τοῦ Θεοῦ γνώσει περὶ τῶν ἐσομένων πάντας ἀνθρώπους καὶ προνοεῖσθαι καὶ προορίζεσθαι λέγουσιν ἐκ Θεοῦ· οὐ γὰρ δύναντα. τῆς θείας διατάξεως τὰ περὶ τοὺς ἀπίστους ἢ πονηροὺς ἐξαιρεῖν ὅσοι περὶ τὴν ζωὴν αὐτῶν εἰσι καὶ τὴν τελευτὴν, οὔτ' ἀληθές ἐστιν· οὐ γὰρ τῶν ἀγαθῶν

μόνων ἀρχει Θεὸς ἢ τῶν πιστῶν, ἀλλὰ καὶ τῶν ἄλλως ἐτακειμένων, καί τε καὶ προνοεῖ πάντων καὶ τὰ ἑκατέρων οἰκείως αὐτοῖς διατίθησιν. Εἰ δὲ προνοεῖ καὶ ὁρίζει, προορίζει τε μὲν τῶν ἀγαθῶν ἅπαντα ἐπὶ τὸ αὐτοῖς βέλτιον, τὰ δὲ τῶν ἄλλως διακειμένων τὰ μὲν ἐπὶ τὸ βέλτιον τὰ δ' ἐπὶ τὸ χεῖρον αὐτοῖς, μᾶλλον δὲ πάντα ἐπὶ τὸ χεῖρον αὐτοῖς ὁπότε καὶ τῆς προσκαίρου ταύτης καὶ ἐπιεικεστάτης κηδεμονίας τίσουσι δίκας, οὐδ' ὑπ' αὐτῆς οὐδὲν βελτιοῦσθαι θελήσαντες. Ἁπλῶς δὲ ἐπὶ τὸ βέλτιον καὶ τὰ ἑκατέρων ὁ Θεὸς διατίθησιν· ἀγαθὸν γάρ ἐστιν ἁπλῶς ἡ τῆς θείας δικαιοσύνης ἐκπλήρωσις περὶ τοὺς ἀξίους τῆς θείας ἀποστροφῆς καὶ τῆς ἐντεῦθεν αὐτοῖς συναντώσης δίκης, κἂν μὴ προηγουμένῃ τοῦτο θελήσει θέλῃ Θεὸς, τῇ πατρικῇ τε καὶ εὐποιητικῇ. Ἀλλ' ἡ πονηρία τῶν τέκνων ταύτην μὲν ἀργὸν ἐν αὐτοῖς ποιεῖ, ἐνεργὸν δὲ τὴν δικαστικὴν ῥάβδον ὡς πολεμίων τάξιν ἀντὶ υἱῶν εἰλήφασιν. Οὐ μόνον δὲ τὰ περὶ τῆς ζωῆς αὐτῶν διατάττεται ὡς δὴ τῆς Θείας προνοίας εἰς πάντας διατρεχούσης εὐτάκτως δι' ὑπερβολὴν ἀγαθότητος, ἀλλὰ δὲ καὶ τὰ περὶ τῆς τελευτῆς· εἰ γὰρ πρὸς τὸν τελευταῖον ὅρον οὐκ ἔστιν ἐλθεῖν οὔτ' ἀποδοκιμασθέντας ἀποτυχεῖν αὐτοῦ ἄνευ τῆς θείας διακρίσεως κατὰ τὴν ἀξίαν ἑκάστων, οὐδ' ὁ καιρὸς τῆς ἐντεῦθεν ἀπαλλαγῆς χωρὶς τῆς Θείας διατάξεως δύναιτ' ἂν γίνεσθαι, τοῦ προσεχῶς ὅρου τῆς ἐντεῦθεν ἐξόδου συνῳδοῦ πρὸς τὸν τελευταῖον ὀφείλοντος εἶναι καὶ πρὸς ἐκεῖνον οἰκείως συμβαλλομένου· δεῖ γὰρ τῇ μὲν ζωῇ τὸν προσεχῆ τοῦτον ὅρον ἐξομοιοῦσθαι μετ' ἀρετῆς τελειούμενον ἢ πονηρίας ἢ οὔσης, κἂν μὴ δοκῇ τοῖς πολλοῖς, ἢ καὶ πᾶσι φανερουμένης, τῷ δὲ ὅρῳ τούτῳ τὸν ἔσχατον οἰκείως ἐπακολουθεῖν ὅρον ἐπίτευξιν ὄντα τοῦ τέλους ἢ ἀπότευξιν. Διὰ ταῦτα μὲν οὖν ὡρίσθαι τε ἔξω καὶ πόρρωθεν ὡρίσθαι τὰ τῆς ζωῆς καὶ τῆς τελευτῆς καὶ τὰ μετ' αὐτὴν ὁμοίως τῶν τε ἀγαθῶν καὶ τῶν φαύλων, οἱ διδάσκαλοι λέγουσιν, ἐξηπλωμένως ταῦτα νοοῦντες. Ἐξῆσαν δέ ποτε τὴν περὶ τοὺς ἀγαθούς τε καὶ φαύλους θείαν διάταξιν εἰδικωτέροις ὀνόμασι διαιρεῖν τὴν μὲν περὶ τοὺς ἀγαθοὺς διάταξιν τοῦ Θεοῦ προορισμὸν καλοῦσι, καὶ εἴρηται ἀποδοκιμασία· καὶ τὴν περὶ τοὺς φαύλους καὶ τοὺς διατεταγμένους αὐτοὺς τοὺς μὲν εἰς τὴν αἰώνιον προωρισμένους ζωὴν, τοὺς δὲ ἀποδεδοκιμασμένους ἀπ' αὐτῆς λέγουσι τῇ ἱερᾷ Γραφῇ καὶ λίαν συμβαίνοντες· ὁ γὰρ ἔνθεος Παῦλος περὶ μὲν τῆς βελτίονος μοίρας ἐξελέξατο ἡμᾶς· « Ὁ γὰρ ἐν ἑαυτῷ πρὸ καταβολῆς κόσμου, » φησὶν ἐν τῇ πρὸς Ἐφεσίους, « προορίσας ἡμᾶς εἰς υἱοθεσίαν· » καὶ αὖ ἐν τῇ πρὸς Ῥωμαίους, « Οὓς προέγνω καὶ προώρισε συμφόρους, » καὶ τὰ ἑξῆς, « τούτους καὶ ἐδόξασε. » Περὶ δὲ τῆς χείρονος μοίρας, διὰ τὸ βουληθῆναι αὐτὴν χείρω γενέσθαι, ἐν τῇ πρὸς Ῥωμαίους οὕτω φησίν· « Εἰ δὲ θέλων ὁ Θεὸς ἐνδείξασθαι τὴν ὀργὴν καὶ γνωρίσαι τὴν δύναμιν αὐτοῦ, ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν, » καὶ τὰ ἑξῆς· τοὺς δ' αὐτοὺς τούτους ἐν τῇ πρὸς Ἐφεσίους ἀπηλλοτριωμένους τῆς τοῦ Θεοῦ ζωῆς καλεῖ καὶ τῇ καρδίᾳ πεπωρωμένους, καὶ σκεύη ἀργὰ σκεύη εἰς ἀτιμίαν ξύλινα καὶ ὀστράκινα, ὥσπερ ἀργυρᾶ σκεύη καὶ χρυσᾶ τοὺς ἐκλελεγμένους καλεῖ, εὔχρηστά τε καὶ εἰς πᾶν ἀγαθὸν ἔργον ἡτοιμασμένα, οἷς πᾶσι τὸ μὲν ἐσκευάσθαι θέοθεν ἦν, ἡ δ' εὐχρηστία ἢ ἀχρηστία ἐξ ἑαυτῶν γέγονεν. Ὁ δὲ Κύριος ἡμῶν καὶ ἄλλοις μὲν διαστέλλει τούτους ὀνόμασιν, ἀλλὰ καὶ τῇ τῶν προβάτων τε καὶ ἐριφίων διαφορᾷ καὶ τῇ δεξιᾷ τε καὶ εὐωνύμῳ στάσει. Καίτοι βουληθεὶς μὲν ἂν πάντας τῆς βελτίονος εἶναι κλήσεώς τε καὶ τάξεως καὶ τούτου χάριν ποιήσας καὶ πᾶσαν τῇ φύσει πρὸς τἀγαθὸν συναρμόσας παρασκευὴν, ἀλλὰ λόγῳ καὶ προαιρέσει τούτοις ἀνείθη βιοῦν οὐδαμόθεν βιαζομένοις. Οὐ τῇ ἱερᾷ δὲ Γραφῇ μόνον, ἀλλὰ καὶ τῷ λόγῳ συμβαίνουσι ταῦτα λέγοντες καὶ φρονοῦντες οἱ διδάσκαλοι· εἰ γὰρ καὶ ἀμφοῖν ἐπαληθεύει ταῖς μοίραις ἡ πρόνοια τοῦ Θεοῦ καὶ πρόγνωσις καὶ ὁ προορισμὸς ἁπάσαις ἀνάγκας οὐκ ἐξηπλωμένως νοούμενα, ἀλλὰ συνεσταλμένως καὶ εἰδικῶς, οἰκειότερόν ἐστι τῇ κρείττονι μοίρᾳ τὸν ὁρισμὸν ἐπιλέγεσθαι, τέλος γὰρ ἀνθρώπου καὶ ὅρος ἀληθῶς καὶ κυρίως ἡ αἰώνιός ἐστι ζωὴ ἧς χάριν γέγονεν, οὐχ ἡ ἐν ᾅδου ποινή. τέλος μὲν οὖσα καὶ αὐτὴ τῇ τῶν τοιούτων προαιρέσει οἰκεῖον, κυρίως δὲ τοῦ τέλους μᾶλλον ἀπόπτωσις τοῦ ἀληθοῦς καὶ γνησίου, καὶ διὰ τοῦτο κυρίως ὁρίζει καὶ προορίζει Θεὸς τοὺς πρὸς τὸν ἀληθῆ καὶ γνήσιον σπεύδοντα ὅρον. Ὁρίζειν δὲ πρὸς τὴν κακοδαιμονίαν οὐ λέγεται τοὺς ταύτης ἀξίους, ἀλλὰ αὐτοὶ μᾶλλον πρὸς τὴν ἀντικειμένην ἄγονται τῆς ἀθλιότητος τάξιν. Τοιούτους δ' ὄντας ἀποδοκιμάζεσθαι τοῦ φύσει κειμένου τέλους πᾶσα ἀνάγκη. Ταύτην τῶν διδασκάλων τὴν ἀκριβολογίαν οὐ συνορῶντες ἔνιοι τοὺς πονηροὺς καὶ ἀπίστους τῆς θείας ἐκβάλλουσι προνοίας καὶ διατάξεως ὡς μήτε ζωῆς αὐτῶν τῷ Θεῷ μέλον μήτε τελευτῆς. Οἱ δὲ χυδαιότεροι καὶ περὶ πάντων ἀνθρώπων ὁμοίως οὕτω φρονοῦσιν ἀόριστά τε καὶ τυχαῖα τὰ τῆς ἀνθρωπίνης ζωῆς τε καὶ τελευτῆς ἐθέλουσιν εἶναι, οἱ γε πολλῷ τῶν προτέρων χείρους εἰσίν· ἐπεὶ πρὸς πᾶσαν τὴν ἱερὰν Γραφὴν κωφεύειν τοῦτ' ἐστὶ καὶ τῶν τῆς εὐσεβείας ἀποχωρεῖν ὅρων, ὡς φησιν ὁ μέγας Βασίλειος· ὁ γὰρ ἔνθεος Παῦλος, τὸ τοῦ Χριστοῦ στόμα, « Πάντων, φησί, τῶν ἀνθρώπων σωτήρ ἐστιν ὁ Θεὸς, μάλιστα δὲ πιστῶν, » οὐ περὶ τῆς μελλούσης σωτηρίας τε καὶ ζωῆς αἰωνίου λέγων, οὐδεὶς γὰρ τῶν ἀπίστων ἐκείνης τεύξεται, ἀλλὰ περὶ τῆς ἐν τῇ ζωῇ ταύτῃ προνοίας ἐπομένως δὲ καὶ τῷ τῆς ζωῆς τέλει· ταυτὸν γάρ ἐστι τῆς τε ζωῆς καὶ τοῦ τέλους αὐτῆς προνοεῖν, ἢ πατρικῶς ἢ δικαστικῶς τὸ περὶ ἑκάστου δέον ἡ συμφέρον ὁριζομένης τῆς πάντα ἀγούσης σοφίας τε καὶ δυνάμεως. Οὐ τοίνυν ἐξαιρεῖται τῆς θείας περὶ τὸν ἀνθρώπινον βίον οἰκονομίας τοὺς ἀπίστους ὁ Παῦλος, οὐδ' ἔτι μᾶλλον τοὺς πονηροὺς, εἰ καὶ μᾶλλον σωτῆρα τῶν πιστῶν εἶναι τίθησι. Καίτοι καὶ προς τὴν μέλλουσαν εὐδαιμονίαν τό γε ἐπ' αὐτῷ καὶ τοὺς ἀπίστους σώζει Θεὸς, ὡς μηδὲν τῆς εἰς τοῦτο παρασκευῆς αὐτοὺς ὑφιείς· ἀλλὰ σώζει μᾶλλον ἔργῳ τοὺς τὴν παρασκευὴν δεχομένους καὶ χρωμένους πάνυ καλῶς. Οὕτω καὶ πάντας ἀγαπᾷν λέγεται πο-

νηρούς τε καὶ ἀγαθοὺς ἔν γε τοῖς πρὸς τὴν χρείαν A ροι κατὰ τὴν τῶν τόπων διαφοράν. Ἐκ δὲ τῶν ἐν
τῆς ἐνταῦθα ζωῆς ἀνήκουσιν οὐ μόνον βρέχων τε τοῖς γενητοῖς τούτοις νόμων ἃ τῶν ἀνθρώπων χάριν
πᾶσιν ὁμοίως καὶ τὸν ἥλιον φαίνων καὶ πάντα δὴ τὰ γίνονται καί εἰσιν αἱ διάφοροι τῶν ἀνθρώπων πρὸς
τοιαῦτα ποιῶν, ἀλλὰ καὶ κινδύνων προφανῶν ἐξαιρού- τὸ ζῆν χρεῖαι πληροῦνται· ὡσαύτως ἐκ τῶν ἐν
μενος, οὐδὲ πιστοὺς, μόνον ἀλλὰ καὶ ἀπίστους ὑπὸ φιλ- ἀνθρώποις φυσικῶν νόμων ἡ τῶν ἀνθρώπων διοικεῖ-
ανθρωπίας, καὶ μᾶλλον εἰ δικαίως βιοῖεν· δόξα γὰρ, ται ζωή· οὐδὲ συνίσταται μόνον, ἀλλὰ καὶ ᾠφείρε-
φησὶ, ταῦτα δηλονότι καὶ δικαίωσις ἐκ Θεοῦ τῷ ἐρ- ται. Ὑποδείγματος χάριν, νόμος ἔστι φυσικὸς τοῦ
γαζομένῳ τὸ ἀγαθὸν, μάλιστα μὲν Ἰουδαίῳ τῷ περὶ κυβερνήτου καλῶς εἰδότος κυβερνᾶν, καὶ τοῦ ναύαρ-
τὸν ἕνα Θεὸν εὐσεβοῦντι, εἶτα καὶ Ἕλληνι τῷ περὶ χου νουνεχοῦς ὄντος τὴν ναῦν διασώζεσθαι, ἂν μὴ
τὰ θεῖα πεπλανημένῳ· τῆς μὲν γὰρ ἀπιστίας ἐκεῖ κρειττων ἁπάσης τέχνης καὶ συνέσεως ὁ κλύδων
τὸν οὐκ εὐτυχῆ καρπὸν λήψεται, τῆς δ' ἄλλης ἀγα- γένηται. Ἂν δὲ ἀνεπιστήμων ὁ κυβερνῶν ᾖ ἢ ὁ
θοεργίας οὐκ ἄμισθος ἐνταῦθα καταλειφθήσεται. ναύαρχος καὶ εἰδότι τῷ κυβερνήτῃ μὴ θέλῃ προσέ-
Μᾶλλον δὲ τοὺς ἀγαθοὺς ἀγαπᾷν λέγεται τῇ πρὸς χειν μηδ' ἐᾷῃ κυβερνᾷν αὐτὸν ὡς ἐπίσταται, νόμος
τὴν ἀληθῆ τε καὶ μέλλουσαν ζωὴν ἀποβλέψει ὡς ἔστι τὴν ναῦν ἀπόλλυσθαι κλύδωνος ἐγερθέντος με-
πρὸς αὐτὴν μόνοις συνεργῶν τοῖς πρώτοις ἐπιμε- γάλου ἢ καὶ κλύδωνος ἄνευ, ἐξ ἄλλων δὴ πουθεν αἰ-
ληθῆναι ἠγαπηκόσι συνεργήσας ἂν καὶ πᾶσιν εἴ γε B τιῶν. Ἐκ τοῦδε τοῦ νόμου συμβαίνει σώζεσθαι μὲν
ἐβούλοντο, μᾶλλον δὲ καὶ συνεργήσας οἰκείως ἕως πλείστους ὄντας τοὺς πλέοντας δυοῖν ἕνεκα καλῶς
ἔδειξαν οὐ χρῄζοντες συνεργεῖσθαι. Τὰς δ' ἄλλας πράττειν εἰδότων, ἀπόλλυσθαι δὲ δυοῖν ἀσυνέτων
τῆς ἱερᾶς Γραφῆς ἀποφάσεις περὶ τῶν τῆς ζωῆς ἕνεκα καὶ ἀνεπιστημόνων. Τοὺς τοιούτους τῆς θείας
ὅρων ἔν τε τοῖς ἀγαθοῖς καὶ τοῖς φαύλοις καὶ τοῖς τάξεως νόμους οἳ τὴν φύσιν ἀμφέχουσιν ἅπασαν
εἰς τὴν αἰώνιον προωρισμένοις ζωὴν καὶ τοῖς αὐτῆς ἀνάγκη πᾶσα σώζεσθαι τό γε μέρος τῆς φύσεως.
ἀποδεδοκιμασμένοις, καὶ ὡς ἑκάτεροι Θεοῦ προστά- Καὶ τούτους ὁ Θεὸς σώζεσθαι τοὺς νόμους ὡς ἐπί-
ξει καὶ ζῶσι καὶ θνήσκουσιν ἐν τοῖς προτέροις λό- παν ἐᾷ μὴ μεταποιῶν· οὐ γὰρ ἂν ἑαυτῷ καὶ τοῖς οἰ-
γοις ὄψει συνηθροισμένας. Ἐνταῦθα δὲ ἡμῖν ὁ θεῖος κείοις ἐπιτάγμασιν ἔμελλεν ἀντιβαίνειν. Ἀλλ' οὐ
Παῦλος ἀρκεῖ. Καὶ περὶ μὲν τοῦ θείου προορισμοῦ δουλεύει τοῖς ὑπ' αὐτοῦ τεθειμένοις νόμοις καθάπαξ
τοσοῦτον ἐν τῷ παρόντι τῶν ἄλλων σοι λόγων ἐχόν- τοῖς κτιστοῖς καὶ μετὰ τῶν κτισμάτων ἠργμένοις·
των πάντα δηλοῦν ἃ τῇ περὶ τούτου σκέψει προ- καιροῖς δὲ ἰδίοις καὶ περιστάσεσιν ἰδίαις τούτους
ήκει· ἄλλο δέ τι σῆς εὐνοίας χάριν προστίθεμεν ὃ μεταποιεῖ πρὸς τὸ βέλτιον ἢ τὸ χεῖρον τοῖς ἐντεῦ-
καὶ πέρας ἔσται τοῦ λόγου. Τὸν φαινόμενον τοῦτον θεν ὠφελησομένοις ἢ βλαψομένοις ἀξίως· καὶ τῆς
ὑπὲρ γῆν κόσμον ὑπὸ νόμον τινὰ πεποίηκεν ὁ Θεὸς C χρείας τοῦ προσκαίρως μεταβαλεῖν εὐθὺς πεπαυρέ-
πολυσχιδῆ καὶ σοφίας πολλῆς γέμοντα, ὡς ἂν ἡ νης ὡς τὴν ἀρχὴν ἐτάχθησαν αὖθις σώζονται. Τοιού-
διάφορος καὶ ποικίλη τῶν ἐν αὐτῷ μερῶν κίνησις των τεραστίων, τοιούτων θαυμάτων ἱστορία πλήρης
καὶ διάστασίς τε καὶ συνδρομὴ, δουλεύουσα τῷ θείῳ πᾶσα νέα καὶ παλαιά· ὡς ἱερὰ καὶ τῶν ἔξωθεν καὶ
θελήματι, πρὸς τὴν τῶν γενητῶν καὶ φθαρτῶν τούτων νῦν ἐλάττω μὲν καὶ πλήθει καὶ τάξει τῶν προτέ-
ὕπαρξιν καὶ διαδοχὴν, ἃ πάντα χάριν ἡμῶν εἰσι, τῶν ρων, ἐκείνων δ' ἃς αἰτίας εὐλόγους ἐν ἰδίῳ λόγῳ
ἀνθρώπων καὶ διαφόρων ἀποτελεσμάτων αἰτία γί- δεδείχαμεν σπουδαίως ἐξειργασμένῳ. Γίνονται δ' οὖν
νηται, οὐκ εἰδότων μὲν αὐτῶν τῶν τοῦ κόσμου με- καὶ ὁρῶσι καλῶς οἱ μετὰ Θεοῦ τὰ τοῦ Θεοῦ βλέπον-
ρῶν ἃ ποιοῦσι, ταῖς δὲ ἐντεθείσαις αὐτοῖς θεόθεν τες· σώζει μὲν γὰρ δι' ἀρετὴν τῶν ἐμπλεόντων ναῦν
ἐπιτηδειότησι πρὸς τὸ τοιαῦτα ποιεῖν ἀκουσίως τε βυθισθεῖσαν ἂν τῇ τοῦ ναυάρχου τε καὶ κυβερνήτου μω-
καὶ φυσικῶς δουλευόντων. Ὅθεν ταῖς διαφόροις μὲν ρίᾳ, συγχωρεῖ δέ ποτε μετὰ πονηροτάτων τῶν ἐμπλε-
αὐτῶν, εὐτάκτοις δὲ κινήσεσιν ἐπιστήσαντες ἕνιοι, όντων καὶ τῶν ἀρχόντων τῆς νηὸς τοιούτων καὶ ἀγα-
εἶτα τοῖς διαφόροις αὐτῶν ἀποτελέσμασιν ἐν τοῖς θούς τινας ἐπὶ συμφέροντι βυθίζεσθαι τῶν οἰκείων
ὑποκάτω τούτοις τοῖς γενητοῖς τέχνην μὲν ἐντεῦθεν ψυχῶν, καὶ ἄλλους ἀπαλλάττει παραδόξως δι'
συνεστήσαντο πάνυ συνετῶς, τὰ τοιαῦτα ζητοῦσαν ἀγγέλων ἐξάγων τοῦ βυθοῦ μέλλοντας ἀποπνίγεσθαι.
καὶ σκοποῦσαν, ἀσυνέτως δὲ θεότητας τοῖς τοῦ κό- D ἄλλους ἐμπλεύσαντας ἂν τῇ μελλούσῃ κατάγνυσθαι
σμου μέρεσι τούτοις ἀπένειμαν τὴν ὀργανικὴν αὐ- νηῒ ἢ βυθίζεσθαι ἐπ' αὐτῷ τῷ μέλλειν ἐμβαίνειν
τῶν ὑπουργίαν ἐπιστασίαν δημιουργικὴν καὶ θείαν αἰφνιδίοις καὶ ἀδοκήτοις εἴργει κωλύμασι. Καὶ
δοξάσαντες. Ὁμοίως καὶ τὰ γενητὰ ταῦτά τε πρὸς ἀλγοῦσι μὲν εὐθὺς εἰργμένοι τοῦ πλοῦ, τὸν δὲ θεῖον
τῇ γῇ νόμοις ἰδίοις ἀνεπαισθήτως δουλεύουσιν φυ- οἶκτον ἐπεγνωκότας καλῶς μετὰ τοῦ τὴν ζωὴν
σικῶς αὐτοῖς ἐντεθεῖσιν ὑπὸ Θεοῦ, καὶ ἡ τῶν ἀν- αὐτοῖς προστεθῆναι καὶ τὴν ψυχὴν ἔτι βελτιοῦνται
θρώπων ὡσαύτως ζωὴ τοιούτοις ἰδίοις ἄγεται νό- τῷ θαύματι. Οὕτω καὶ πόλις παρανομοῦσα φαύλοις
μοις. Τοὺς τοιούτους τοίνυν ἐν πᾶσι τοῖς κτίσμασι ἄρχουσιν ἐγχειρίζεται, καὶ τοὐναντίον πολίτας
τοῦ Θεοῦ νόμους φυσικοὺς νόμους, ὡς ἐγκτισθέντας ἀγαθοῖς οἰκουμένη· « Δώσω γὰρ, φησὶν, ἄρχοντας
ὑπὸ Θεοῦ τῇ τῶν πραγμάτων φύσει, καλοῦσιν οἱ ὑμῖν κατὰ τὰς καρδίας ὑμῶν. » Καὶ βασιλεὺς μὲν
περὶ ταῦτα δεινοί. Ἐκ μὲν δὴ τῶν ἐν τοῖς ὑψηλο- ἀπολαύει τῆς τοῦ λαοῦ πονηρίας τῆς αὐτῆς αὐτῷ
τέροις νόμων ὄμβροι καὶ ἀνομβρίαι, ψύχη καὶ καύ- τε καὶ τοῖς ἀρχομένοις πληγῆς θεόθεν ἠκούσης· ὅτι
ματα ἐξ ὧν αὖθις ὑγιειναὶ καταστάσεις καὶ νοσώ- δυνάμενος κωλῦσαι τῆς πονηρίας οὐκ ἐκώλυσε
σεις ἀνθρώποις τε καὶ τοῖς ἄλλοις ζώοις συμβαίνει, χαριζόμενος· ἀπολαύει δὲ καὶ λαὸς τῆς βασιλικῆς
καὶ καρπῶν εὐφορίαι καὶ ἀφορίαι, καὶ αὗται διάφο- πονηρίας συμπαιδευόμενος ὡς ἀντὶ τοῦ διορθοῦν

ἢ ἐλαύνειν πλείου αὔξων τὴν αὐτοῦ πονηρίαν, « Ἁμαρτία γάρ, φησί, βασιλέως ἐπὶ κεφαλὴν λαοῦ, καὶ τὸ ἀνάπαλιν. » Καὶ πόλις ἡ μὲν ἀλίσκεται τοῖς πολεμίοις παρὰ δόξαν, ἡ δὲ παρὰ δόξαν αὐτῶν ἀπαλλάττεται, τῶν ἐπὶ τοῖς τοιούτοις κρατησάντων νόμων ὑποχωρούντων τῷ θείῳ θελήματι· καὶ οἱ μὲν παραδίδονται τοῖς ἐχθροῖς ἐπ' ἀπωλείᾳ διὰ πονηρίαν αὐτῶν ἀνήκεστον, οἱ δὲ πρὸς βελτίωσιν τοῦτο πάσχουσι. « Θαρσεῖτε γάρ, φησὶν ὁ Θεὸς διὰ Ἱερεμίου, τοῖς Ἰουδαίοις, ἐπράθητε τοῖς ἔθνεσιν οὐκ εἰς ἀπώλειαν. » Καὶ τοὺς ἀπηνέστερον δὲ χρησαμένους τοῖς κατὰ θείαν δουλωθεῖσι συγχώρησιν ἐπεξέρχεται ὡς διὰ Ἡσαΐου φησίν· « Ἐγὼ ἔδωκα αὐτοὺς εἰς τὴν χεῖρά σου· σὺ δὲ οὐκ ἔδωκας αὐτοῖς ἔλεος. Νῦν ἥξει ἐπὶ σὲ ἐξαίφνης ἀπώλεια, καὶ οὐ μὴ γνῷς. » Ἀλλὰ καὶ τῶν ἐν μέσοις τοῖς φαύλοις καὶ διὰ τοῦτο μέλλουσιν ἐγκαταλείπεσθαι σπουδαίως βιούντων οἱ μὲν προαρπάζονται τῶν ἡδόντων δεινῶν, οἱ δὲ ζῶντες τῇ πείρᾳ τῶν συγγενῶν κακῶν ἀμείνους δοκιμαζόμενοι γίνονται. Καὶ λοιμὸν οἰμωκτὸν ἔθνει ἢ πόλει μέλλοντά τε καὶ προλεγόμενον ὑπὸ τῶν ταῦτα σκοπούντων ἐκ τῆς κοσμικῆς, ὡς εἴρηται, διαθέσεως οὐκ ἐᾷ γίνεσθαι, καὶ ἀρξάμενον παύει τῶν ἀνθρώπων εὐσεβῶς καὶ μετὰ τῆς προσηκούσης τῶν κακῶν μετανοίας ἐπὶ τὸν θεῖον οἶκτον καταφευγόντων. Μὴ ἐπελθόντα δ' ἂν ἐκ φυσικῶν αἰτιῶν, αὐτός; τίνων τὴν φύσιν ἐπάγει ποινηλατῶν ἢ παιδεύων. Καὶ τῶν μὲν γονέων εὐδαιμονούντων κατὰ τὸν ἔξωθεν βίον, φαύλως δὲ βιούντων ἄλλως; οἱ μὲν πατέρες αὐτοὶ ποινηλατοῦνται τῆς ἐκ τῶν διαδόχων πολυειδοῦς ψυχαγωγίας στερούμενοι, οἱ δὲ παῖδες τῆς τῶν φυσάντων ἀπαλλάττονται πονηρίας· ἢ πᾶσα ἀνάγκη διορκοῦνται ἐξομοιοῦσθαι, ἢ καὶ χείρους γίνεσθαι λίαν εὐλόγως. Ἀλλὰ καὶ τοῖς γονεῦσιν εἰς συναίσθησιν ἐρχομένοις ἡ τῶν παίδων ὠφέλιμος εὐτυχία καθίσταται τῆς γνώμας βελτιουμένοις καὶ σωφρονέστερον βιοῦν ὁρμένοις, ὥσπερ αὖ ἀναισθήτως ἔχουσι καὶ μετὰ τὴν πληγὴν προσθήκη ποινῶν ἄλλη γίνεται, ὥσπερ δι' Ἱερεμίου τοῖς Ἰουδαίοις ὠνείδιζεν ὁ Θεός. *Μάτην ἐπάταξα τὰ τέκνα ὑμῶν· παιδείαν οὐκ ἐδέξασθε*, καὶ τὰ λοιπά. Δυστυχούσης καὶ τῆς πατρίδος, οἵ τε παῖδες ἀπαλλάττονται ζωῆς τοιαύτης ἀγαθῇ προνοίᾳ Θεοῦ, οἵ τε πατέρες τὴν ἐπὶ τοῖς παισὶ λύπην δυστυχῶς βιοῦν μέλλουσιν, εἰ καὶ παραυτίκα θρηνοῦσι καὶ κόπτονται, ἀγνοοῦντες; ἢ τοῦ πάθους ἡττώμενοι. Ἡ δὲ παρ' ἡμῖν οὕτω δεδουλωμένος δεινῶς; καὶ πολυειδῶς περὶ τὰ μέγιστα τῶν ἀγαθῶν κινδυνεύουσιν ἀναχώρησις των νεωτέρων τῷ θανάτῳ μ τ' εὐσεβείας ποιῶν οὐ μεγίστων εὐεργεσιῶν τοῦ Θεοῦ τοῖς γε νῦν ἔχουσι. Περὶ δὲ τῶν εἰς μέτρον ἡλικίας ἐλθόντων, ἄλλος ἂν εἴη λόγος καὶ διάφορον εἶναι καὶ ποικίλην τὴν τοῦ Θεοῦ περὶ τῶν τοιούτων διάθεσιν εἰκὸς τῇ διαφόρῳ προαιρέσει τούτων συμμετρουμένην· ἐπειδὴ τῶν τοιούτων αὐτόθι ζητημάτων πρόφασις ἦν ὁ λοιμὸς, μικρόν τε καὶ περὶ τούτου προσθήσομέν σοι τὰ πλείω σκοπεῖν ἀφέντες. Φθορὰ μὲν ἀέρος ἐστὶν ὁ λοιμὸς ἡ φυσικαῖς αἰτίαις παρισταμένη ἢ τὸν θεῖον ἐπ' αὐταῖς νόμον εἰ συγ-

A

χωροίη Θεὸς καὶ μὴ εἴργειν βούλοιτο καθάπαξ ἢ παύειν εὐθὺς γενομένην, ἄλλοις λόγοις οἰκονομίας τὸν ἐν τῇ φύσει νόμον νικῶσιν ἢ προστάξει θείᾳ καὶ παρὰ τὸν τοιοῦτον νόμον συμβαίνουσα· ὡς γὰρ δεσπότης τῆς φύσεως, δύναται καὶ παύειν κινουμένην αὐτὴν καὶ κινεῖν οὐκ ἂν κινηθεῖσαν. Ὁποτέρα δ' εἴη ἡ τοῦ ἀέρος αὕτη φθορὰ τέλος καὶ σκοπὸν ἔχει προσεχῶς μὲν τὴν τῶν ἀπαλωτέρων σωμάτων ἧττων ἢ τῶν εὐπαθεστέρων, περαιτέρω δὲ τὴν τῶν ἀποθνησκόντων πανταχόθεν ὠφέλειαν, καὶ τὴν τῶν ἀποβαλλόντων αὐτοὺς ἢ βελτίωσιν ἢ μελλόντων ἀμεταβλήτων, συμφορῶν μειζόνων προσθήκην. Οὐ πάντες δὲ θνήσκουσιν οἱ νοσήσαντες οὐδὲ πάντες οἱ τοιοῦτοι νοσοῦσι, διὰ τὸ δεῖν περὶ πάντας τὴν θείαν κρατεῖν βούλησιν τούς τε ἀνόσους διαμείναντας, τούς τε ἡττηθέντας ὑπὸ τῆς νόσου, τούς τε μετὰ ταύτην ἀπηλλαγμένους, ἄλλο τι περοὶ ἄλλους βουλομένην καὶ μὴ τὴν αὐτὴν περὶ πάντας φέρουσαν ψῆφον, μᾶλλον δὲ οὐ φέρουσαν μόνον ἐπὶ τῶν πραγμάτων, ἀλλὰ καὶ πόῤῥωθεν αὐτὴν ἐνεγκοῦσαν ἐν τῇ προαιωνίῳ γνώσει περὶ πάντων τῶν ἔργων αὐτοῦ καὶ τῶν λογικῶν, ὡς εἴρηται, μάλιστα, ὧν καὶ μᾶλλον ἀσυγκρίτως φροντίζει. Κἂν σώζωνταί τινες μεθιστάμενοι οὐδὲ τοῦτο χωρὶς προνοίας θείας ἐστὶν ἐπὶ τὸ μεταστῆναι κινούσης τὴν γνώμην αὐτῶν καὶ μὴ συνορώντων. Οἱ δὲ μένοντες ἀπηλλάττοντο ἂν, κἂν θνήσκωσιν ἕτεροι, καὶ μεθεστῶτες ὡς ἄνευ θείου μεθεστῶτες θελήματος θνήσκουσιν. Οἱ δὲ μένοντες οὐκ ἂν ἀπηλλάττοντο, καὶ μεθίστανται μὲν ἔνιοι πρὸς ὀλίγον, εἶτα θνήσκουσιν ἐπανιόντες καὶ τοῦ λοιμοῦ πεπαυμένου εἰς μεῖζω τῆς ἀληθείας ταύτης φανέρωσιν. Ἄλλοι βύονται μὲν μεταστάντες, χείρω δὲ τὴν προαίρεσιν γίνονται καὶ τῇ ψυχῇ τὴν σωτηρίαν ὁριζόμενοι μόνῃ, καὶ μὴ τῷ θείῳ θελήματι, ἄξιοι τοιούτου κρημνοῦ, καὶ διὰ τοῦτο συγχωρηθέντες ἐμπεσεῖν αὐτῷ ὃς μυρίων θανάτων ἂν εἴη χρηστὸς τοῖς πεπονθόσιν. Εἰ δὲ περὶ τῶν ἑτεροδόξων τις μέλλοι ζητεῖν, ἐπεὶ καὶ τούτους ὑπὸ τὴν θείαν πρόνοιαν ὁ ἱερὸς, εἰ καὶ μὴ καθάπαξ ὁμοίως, πίθησι λόγος, ἐξῆν μὲν καὶ περὶ τούτων τά γε ἐς τὸν λοιμὸν γινόμενα θεωρῆσαι· ἀλλὰ παρείσθω σιωπῇ τὰ μὲν νῦν πρέποντα παρ' ὧν οὐκ ἐν πᾶσι τοῖς εἰρημένοις; ἃ ὁράς εἰσιν ἐκ πελάγους; ἡ θεία περὶ τοὺς ἀνθρώπους διαφαίνεται πρόνοια, μὴ μόνον τοὺς νοῦν ἔχοντας καὶ εὐσεβοῦντας καταλάμπουσα πάνυ καλῶς, ἀλλὰ καὶ ταῖς ἱεραῖς μαρτυρουμένη Γραφαῖς ἧς ἔργων οὐ μόνον ἡ βελτίωσις περὶ τοὺς ἀγαθοὺς; οὐδ' οἶκτος περὶ τοὺς φαυλοτέρους, εὐθὺς ἐπειδὰν μετανοίᾳ διορθῶσιν, ἀλλὰ καὶ ψῆφος τῆς θείας δικαιοσύνης περὶ τοὺς ἀνίσως τε ἔχοντας, καὶ καθόλου φάναι, ἡ περὶ ἀνθρώπους τῆς θείας προνοίας διάταξις ἡ μὲν ἐνεργεῖ περὶ ἕκαστον οὐ χωρίζουσα τοῦ πλήθους οὔτε τοῦ κοινοῦ περὶ ταῦτα νόμου τῆς τάξεως, ἀλλ' ἢ συνευεργετοῦσα ἢ συγκολάζουσα· ἡ δὲ χωρίζουσα παραδόξως ἐνεργεῖ περὶ οὓς ἂν βουληθείη καὶ ἢ σώζει χωρὶς ἢ δικαστικῶς ἐπεξέρχεται. Ἀλλ' ἔνιοι περὶ ταῦτα πάντα τυφλώττοντες τὰς μὲν ἁμαρτίας οὐ φεύγουσι τὰς τῆς θείας ὀργῆς αἰτίας, ἐπὶ δὲ τόπους μεταβαίνουσιν ἄλλους ἐπὶ τῶν ὤμων

B

C

D

ἢ τῶν ἵππων οἷς ἐποχοῦνται τὰ τῆς ὀργῆς ἐφόδια φέροντες, καὶ τότε καθ' ἡμέραν ᾄδουσι· « Ποῦ πορευθῶσιν ἀπὸ τοῦ Πνεύματός σου, Κύριε, καὶ ἀπὸ τοῦ προσώπου σου, ποῦ φύγῃ; » Ἴδε γὰρ ἐκ τῶν τῆς ὀργῆς πρῶτον κρυπτομένους αἰτίων καὶ ἀσφαλιζομένους, εἶτα τῷ δυναμένῳ σώζειν, καὶ, οἴμοι! πεπιστευκότας· καὶ ἐλπιζόντας τότε τὴν ᾠδὴν ᾄδειν ἐκείνην ἀληθῶς τε ὁμοῦ καὶ φρονίμως. Ὁ δὲ Θεὸς δι' ἄκραν ἀνεξικακίαν ἀδιορθώτων μενόντων, εἶτα φευγόντων, εἶτα καὶ ψευδῶν καὶ ᾀδόντων ἀνέχεται ὁπόσων ἀνέχεται αὐτὸς μόνος εἰδὼς τὸν τῆς τοιαύτης ἀνοχῆς σκοπὸν καὶ τὸ πέρας. Σὺ δὲ χάριν ἔχε τῷ φωτίσαντί σε Θεῷ, καὶ ἐπ' αὐτῷ μόνῳ πεποιθὼς ἴσθι, ὃς ἐστι σωτὴρ καὶ προμηθεὺς πάντων ἀνθρώπων καὶ κηδεμών, μάλιστα δὲ πιστῶν, ὃς θανατοῖ καὶ ζωογονεῖ, εἴπερ οὐδὲν ἑαυτῷ ζῇ καὶ οὐδεὶς ἑαυτῷ ἀποθνήσκει κατὰ τὸν θεῖον ἀπόστολον. Τῷ μεγάλῳ Βασιλείῳ πείθου γνησίως λέγοντι· « Μὴ αὐτόματόν τινα εἶπῃς συντυχίαν τῶν γινομένων ἀνθρώποις, ὡς μηδενὸς προστάτου τὸν κόσμον οἰκονομοῦντος, πονηρὰ δόγματα ὑποτιθέμενος σεαυτῷ, μηδὲ ἐκπέσῃς τῶν ὅρων τῆς εὐσεβείας· » καὶ ἀλλοθι πάλιν λέγοντι· « Προδιατεταγμένον ἐν ἑκάστοις τὸ τῆς ζωῆς ἐστι τέλος· κἀντεῦθεν, ἄνισα καὶ ἀνόμοια γίνεται τοῖς ἀνθρώποις τοῦ βίου τὰ πέρατα κατὰ τοὺς καιροὺς ἑκάστους διαφόρους καὶ ἡμῖν ἀνεννοήτους τῆς θείας οἰκονομίας, ἄνισα μὲν κατὰ τὸν χρόνον δηλονότι, ἀνόμοια δὲ κατὰ τὸν τρόπον. » Τὰ αὐτὰ δὲ καὶ τοῖς ἄλλοις πᾶσι διδασκάλοις λέγουσι πείθου. Σφραγὶς δὲ πάντων ὁ μέγας Μάξιμος ὁμολογητῶν καὶ θεολόγων ἡ κορωνὶς, ἐν κη' κεφαλαίῳ τῆς δευτέρας *Ἑκατοντάδος* οὕτω λέγων· « Ὧ τρόπῳ βούλεται ὁ τὴν ἑκάστου πρὸ τῶν αἰώνων διορίσας ζωὴν Θεὸς ἕκαστον πρὸς τὸ οἰκεῖον τῆς ζωῆς ἄγει τέλος, εἴτε δίκαιον εἴτε ἄδικον. » Τούτοις ἅπασι πείθου. μᾶλλον δὲ κάλλιστα ποιεῖς αὐτοῖς μὲν πεπεισμένος, τοὺς δὲ βεβήλους καὶ γραώδεις μύθους κατὰ τὴν Παύλου συμβουλὴν παραιτούμενος.

ΠΕΡΙ ΤΟΥ ΘΕΙΟΥ ΠΡΟΟΡΙΣΜΟΥ

ΠΕΜΠΤΟΝ.

—

DE DIVINA PROVIDENTIA

LIBER QUINTUS.

(Ex codice Regio 1292, fol. 145.)

—

Ὅπως ἡ θεία πρόνοια καὶ ὁ θεῖος προορισμὸς οὐκ ἀναιρεῖ τὸ χρήσιμον τῶν εὐχῶν.

Ὁ περὶ τῆς θείας προνοίας λόγος πολλὴν μὲν ἐκ τῶν εὐτάκτως γινομένων ἐν τῷ παντὶ τῷδε τὴν ἰσχὺν ἔχει τῆς ἀποδείξεως, βεβαιοῦται δὲ μάλιστα ταῖς περὶ τὴν λογικὴν ἡμῶν φύσιν ἐπιμελείαις τοῦ Θείου, αἷς καὶ πολλοὶ τῶν ἔξωθεν σοφῶν πρότερον καὶ μετὰ ταῦτα τῶν τῇ θείᾳ κατηυγασμένων σοφίᾳ καὶ δι' αὐτῆς ὑψηλότερον ταυτὶ τεθεωρηκότων ἀκριβῶς ἐπιστήσαντες τὴν μὲν εὐσεβῆ περὶ τοῦ πάντων τῶν ὄντων προνοεῖν τὸν Θεὸν ἐβεβαίωσαν δόξαν, τὴν δὲ τῶν ἄλλως φρονούντων γνώμην ἐξήλεγξαν ἐν ἰδίοις περὶ τούτου συγγράμμασι. Καὶ ἡμεῖς δὲ περὶ τῆς θείας προνοίας καὶ τοῦ θείου προορισμοῦ ἐν τέτρασι πεπραγματεύμεθα βιβλίοις, φίλων σπουδῆς ἀξίων ἐπὶ τοῦτο κεκινηκότων. Ὡς οὖν τῆς θείας προνοίας περὶ τὰ ὄντα πᾶσιν ὡμολογημένοις (ὡμολογημένης) τοῖς νοῦν ἔχουσι πρὸς τὸ ζητούμενον ἐπιστραφησόμεθα νῦν μόνον, καὶ δείξομεν ὅπως αὐτῆς ὑποτεθειμένης βεβαίως καὶ ἡ τῶν εὐχῶν σώζεται χρεία καλῶς. Ἔνιοι γὰρ τὸ μὲν εὔχεσθαι κοινῇ πᾶσιν ἀνθρώποις σπουδαζόμενον ἴσασιν· ὡς μηδὲ εἰκῇ τοῦτο γίνεσθαι, εἰκῇ δ' ἂν σπουδασθῆναι νομίζουσι, τῆς τὸν αὐτὸν τοῖς ἀθέοις ἐντεῦθεν καταφερόμενοι κρημνὸν ἀγνοοῦσιν, ὡς τὸ μὴ τῶν οἰκείων ἔργων προνοεῖν τὸν Θεὸν εἰς ταυτὸν ἦκον τῷ μηδὲ τὴν ἀρχὴν αὐτὰ ὑποστῆσαι ἀφ' αὐτῶν δὲ ὑφεστηκότα καὶ ἀφ' αὐτῶν ἄγεσθαι ᾗ ἂν τύχοι ἕκαστα, οὐδὲν δὲ ἀπᾴδον θείας προνοίας· πάντα ἀγούσης καὶ πρὶν γενέσθαι καὶ εἶναι προοριζούσης, οἳ Θεὸν εἶναι φρονοῦντες εἰς ὁρίσασθαι πρῶτον καὶ διελέσθαι τὴν πρόνοιαν δι' ἐλίγων καὶ ὅσον ἐς τὴν παροῦσαν χρείαν ἀρκεῖ, καὶ οὕτως ἴέναι πρὸς τὸ ζητούμενον. Εἰ τοίνυν ἔστι Θεὸς, καὶ ποιητής ἐστιν αὐτὸς πάντων τῶν ὄντων. Εἰ γὰρ Θεός ἐστιν, αὐτογενής ἐστι καὶ ἀναίτιος καὶ παρ οὐδενὸς ἔχων τὸ εἶναι, καὶ εἰ μόνος ἐστὶ Θεὸς εἷς ὢν, καὶ μόνος ἐστὶν αὐτογενὴς καὶ ἀναίτιος· αὐτοῦ δὲ μόνου τοιούτου ὄντος τὰ ὄντα δεῖ πεποιῆσθαι ὑπ' αὐτοῦ, ἀνάγκη τε γὰρ ἄλλοθεν αὐτὰ τὸ εἶναι ἔχειν οὐχ ἀφ' αὐτῶν ἑνὸς ὄντος τοῦ αὐτογενοῦς· καὶ παρὰ τοῦ Θεοῦ τοῦτ' ἔχειν ἑνὸς ὄντος καὶ μόνου Θεοῦ τυγχάνοντος. Εἰ τοίνυν ποιητής ἐστι πάντων τῶν ὄντων καὶ προμηθεὺς ἄρα ἐστὶν αὐτῶν καὶ προνοητής, προνοεῖν μὲν γάρ ἐστι τὸ εἰς τἀγαθὸν τάττειν καὶ τὸ

οἰκεῖον τῷ προκειμένῳ τέλος, ὡς καὶ προνοεῖσθαι τὸ εἰς τάγαθὸν τάττεσθαι· εἰ δὲ μὴ εἰχῇ τὰ ὄντα γεγόνασι καὶ εἰσι, δεῖ πρὸς τὸ οἰκεῖον ἕκαστα τέλος ἄγεσθαι καὶ ἑπομένως πρὸς τὸ κοινὸν ἅπασι καὶ ἔσχατον τέλος, ὅπερ ἐστὶ τὸ κοινότατον καὶ ἔσχατον ἀγαθόν. Ἀλλὰ περὶ μὲν τοῦ ἐσχάτου τέλους νῦν οὐ σκεπτέον. Ἀλλ' ὅτι δεῖ πάντα πρὸς τὸ οἰκεῖον ἀγαθὸν τάττεσθαι ὡς τοῦτο τέλος ὂν αὐτοῖς τοῦ γενέσθαι τε καὶ εἶναι, ἀφ' αὐτῶν δὲ οὐ γινόμενα, οὐδ' ἂν ὑφ' αὐτῶν πρὸς τὸ οἰκεῖον ἄγοιντο τέλος, τάττοιντ' ἂν οὖν ὑπὸ τοῦ πεποιηκότος αὐτὰ Θεοῦ. Τάττονται δὲ οὐ τῷ πεποιῆσθαι μόνον τοιαῦτα καὶ δύναμιν αὐτοῖ; ἐντεθεῖσθαι τοῦ καὶ πρὸς τὸ τέλος ἄγεσθαι τὸ οἰκεῖον τῇ τε αὐτῶν φύσει καὶ τῇ τῷ παντὶ τῷδε τάξει ἑκάστων, ἀλλὰ καὶ τῷ τὰς σφῶν ἐνεργείας ἰθύνεσθαι, πρὸς τὸ τοῦ τέλους μᾶλλόν τε καὶ βᾷον τυγχάνειν· τοῦτο δὲ διοικεῖσθαί τε καὶ κυβερνᾶσθαι καλοῖτ' ἂν δικαίως. Πάντων ἄρα τῶν ὄντων οὐ δημιουργὸς μόνον ἐστὶν ὁ Θεὸς, ἀλλὰ καὶ προμηθεὺς καὶ διοικητὴς, καὶ κυβερνήτης καὶ πάντα ἡ θεία πρόνοια διατρέχει τὰ ὄντα ἔργῳ μὲν καὶ τῇ ἐκβάσει ἐν αὐτοῖς οὖσα καὶ θεωρουμένη ὑπὸ τῶν θεωρεῖν δυναμένων, τῷ δὲ λόγῳ τῆς τοιαύτης τῶν ἐπ' αὐτοῖς (*forsan* ὑπ' αὐτῆς) γινομένων τάξεως, ἐν τῷ Θεῷ οὖσα, ὡς λόγος τις τῆς πρὸς τὸ τέλος τάξεώς. Ἡ δὲ τάξις προῦργου μέν ἐστι πρὸς τὸ ἔσχατον ἀγαθὸν καὶ κοινότατον πάντων τέλος, ὅπερ ἐστὶν αὐτὸς ὁ Θεὸς, ἡ μία καὶ μόνη πάντων ἀρχὴ, ἑπομένως δέ γε καὶ πρὸς τὰ τέλη τῶν οἰκείων ἑκάστοις ἐνεργειῶν, δι' ὧν προσεχῶς τε πρὸς τὸ οἰκεῖον ἕκαστον τέλος ἄγοιντ' ἂν καὶ δι' αὐτῶν πρὸς τὸ πᾶσι κοινότατον καὶ ἔσχατον τέλος. Ταυτὶ δὲ τοῖς μὴ λίαν ἄγεσθαι λόγῳ δυναμένοις ἐκ τῶν ἔργων τοῦ Θεοῦ γένοιτ' ἂν δῆλα προσέχειν ἐθέλουσι, καὶ μάλιστά γε ἐπ' ἀνθρώπων, ταυτὸν δ' εἰπεῖν, ἐφ' αὐτῶν. Αὐτοὶ γὰρ ποιηταί εἰσι καὶ δημιουργοὶ κατὰ τὴν ἐν ὄψει θείαν εἰκόνα, ἄλλοι ἄλλων τῇ τε τάξει διαφερόντων καὶ τοῖς οἰκείοις ἑκάστων τέλεσι καὶ ποιηταί εἰσιν οὐ μόνον ὠφελιμέων ἔργων, ἀλλὰ καὶ οἰκείων τῇ φύσει ὧν εἰσι πατέρες. Τούτων οὖν πάντων οὐ ποιηταί εἰσι μόνον, ἀλλὰ καὶ προνοηταί, ὅπως εἶέν τε καὶ εὖ εἶεν ὡς ἑκάστοις τὸ εὖ εἶναι προσήκει καὶ ὡς αὐτοὶ προνοεῖν τούτου δύναιντ' ἂν καὶ εἰδεῖεν. Καὶ τόδε προηγουμένως μὲν ἀρετῆς ἐστιν ἔργον καὶ ἀγαθότητος ἧς ἑαυτῶν χάριν φροντίζουσι καὶ ἄλλων, καὶ μάλιστά γε τοῦ κοινῇ ὠφελίμου ὁπόσοις τοῦτο ἁρμόττει βασιλεῦσί τε καὶ ὅλως ἄρχουσιν, ἑπομένως δὲ καὶ τῆς ἀνθρωπίνης καὶ δυνατῆς αὐτοῖς σοφίας ἔργον ἐστὶν, εἶτα καὶ τῆς τῇ σφῶν φύσει προσηκούσης δυνάμεως. Τούτων δὲ τῶν τριῶν αἰτιῶν τῆς εὐποιητικῆς προνοίας ὑπεροχή τε καὶ ὕφεσις ἐν ἀνθρώποις ἐστὶν οὐκ ὀλίγη. Καὶ ταῖς τούτων διαφοραῖς οἰκείως διάφορος ἡ περὶ τὰ ἔργα προθυμία τε καὶ σοφία καὶ ἰσχὺς συναντᾷ ὡς τῇ τῶν αἰτιῶν τούτων διαφορᾷ καὶ τὴν ἐν τοῖ; ἔργοις διάφορον πρὸς τὸ οἰκεῖον ἑκάστοις ἀγαθὸν τάξιν γίνεσθαι. Εἰ τοίνυν ἐκ Θεοῦ τοῦτοις κεκόσμηται τοῖς πλεονεκτήμασι, δι' ὧν αὐτοῖς καὶ ποιηταῖς εἶναι καὶ δημιουργοῖς καὶ προνοηταῖς ἔτι καὶ κυβερνήταις περίεστιν, ὡς δὴ μετὰ τοῦ εἶναι καὶ πάντων αὐτοῦ τῶν καλῶν ἐκεῖθεν ἡκόντων, πῶς οὐ πολλῷ μᾶλλον ὁ Θεὸς προμηθεὺς ἔσται τῶν ἔργων αὐτοῦ πάντων καὶ διοικητὴς καὶ κυβερνήτης, ὡς δὴ καὶ τῶν πρὸς ταῦτα φερόντων πλεονεκτημάτων ἀγαθότητός τε δηλαδὴ καὶ σοφίας καὶ δυνάμεως οὐσιωδῶς αὐτῷ προσηκόντων οὐδὲ μᾶλλον ἑνὸς ἢ τῶν λοιπῶν ἀλλ' ἐπίσης ἁπάντων καὶ ἀπείρως πάντων καὶ τῇ τῆς οὐσίας ἀπειρίᾳ οἰκείων. Τὸ δ' ὅπως καὶ αὐτοῖς τοῖς ποιήμασιν ὀργάνοις τῆς κυβερνήσεως κέχρηται καὶ τὸ ποικίλον τῆς τοιαύτης ἐκ τῶν δούλων διακονίας, πλείστου λόγου τε καὶ θαύματος ἄξιον ὂν παρείσθω νῦν, τέον δὲ μόνον πρὸς τὸ ζητούμενον. Ἡ θεία τοίνυν πρόνοια πάντα μὲν διαλαμβάνει τὰ τοῦ Θεοῦ ἔργα ἧς ἄνευ οὐδὲν ὅλως εἴη καὶ σώζοιτο, οὐδὲν γάρ ἐστιν αὐτοῖς ἀφ' αὐτῶν ἀγαθὸν, θεόθεν δὲ ἅπαντα. Ἀλλὰ νῦν ὅσον αὐτῆς περὶ ἀνθρώπους ἐστὶ, μόνον σκοπῶμεν. Αὕτη τοίνυν ἡ θεία πρόνοια πάντας διατρέχει τοὺς ἀνθρώπους, ἔργον αὐτοῦ ὄντας καὶ τῶν φαινομένων ἔργων τὸ κάλλιστον, διαφόρως μέντοι γε κατὰ τὴν ἑκάστων τάξιν τε καὶ ἀξίαν. Τὸ μὲν γὰρ εἰς τὸν Θεὸν ἧκον μία ἐστὶν ἡ περὶ πάντας ἀνθρώπους αὐτοῦ πρόνοια. Πάντης γὰρ ἀνθρώπους θέλει, φησὶ, σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Διὸ καὶ μίαν αὐτοῖς ἀρχῆθεν τάξιν τε καὶ ἀξίαν ἔνειμεν, ἐκ δὲ τῆς διαφόρου τῶν ἀνθρώπων προαιρέσεώς τε καὶ τάξεως καὶ ἡ τάξις τῆς περὶ αὐτοὺς προνοίας ποικίλλεται· τῶν μὲν γὰρ ἀπίστων ὅσον εἰς τὴν παροῦσαν αὐτῶν ἧκει ζωὴν προνοεῖ μόνον, ὁμοίως δὲ καὶ τῶν πιστῶν μὲν, ἁμαρτωλῶν δὲ, Λάμπειν, φησὶ, τὸν ἥλιον ἐπὶ ἀγαθοὺς καὶ πονηρους καὶ βρέχειν ἐπὶ δικαίους καὶ ἀδίκους. Καὶ ἐκ δυοῖν τούτων ἔργων τῆς περὶ τὸ κοινὸν τῶν ἀνθρώπων θείας προνοίας κεφαλαιωδεστέρων τε ὄντων καὶ ἐκδήλων καὶ τὰ ἄλλα τῆς θείας προνοίας ἔργα, πρὸς πάντα διαβαίνειν ὁμοίως δηλοῦνται τὰ ἐς τὴν παροῦσαν ζωὴν τείνοντα. Τοῖς δὲ δικαίοις μάλιστα μὲν ἂν καὶ πιστοῖς ὧσι τὸ τῆς προνοίας ἀγαθὸν ἐπιλάμπει, ἧττον δὲ τοῖς ἀπίστοις, διὸ καὶ εἴρηται δόξα παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθὸν, πρῶτον μὲν Ἰουδαίῳ, τοῦτ' ἔστι πιστῷ, εἶτα καὶ Ἕλληνι, τοῦτ' ἔστιν ἀπίστῳ. Δόξαν δὲ δεῖ νοεῖν ἐνταῦθα οὐ τὴν ἀΐδιον ἐκείνην καὶ μέλλουσαν, ἀλλὰ τὴν ἐν τοῖς προσκαίροις ἐπιφαινομένην αὐτοῖς ἐκ τῆς θείας ἀγαθότητος, ἀμοιβὴν τῶν τῆς δικαιοσύνης ἔργων. Ὅτι δὲ ταὐτ' οὕτως ἔχει, ἐναργῶς ὁ θεῖος Παῦλος παρίστησι. Προνοεῖ γὰρ, φησὶν, ὁ Θεὸς πάντων ἀνθρώπων μάλιστα καὶ πιστῶν, οὐκοῦν καὶ πάντων μὲν πιστῶν, μάλιστα δὲ τῶν κατὰ λόγον τε καὶ νόμον βιούντων, καὶ τὰ πρὸς τὸ τέλος φέροντα πάσῃ μετιόντων σπουδῇ. Οὐκοῦν πάντων ἀνθρώπων τῆς θείας ἀπολαυόντων προνοίας ἐν τῇ ζωῇ ταύτῃ κατὰ τὴν κοινοτέραν ἐκδοχὴν τοῦ τῆς προνοίας ὀνόματος, οἱ πίστει καὶ βίῳ μεμορφωμένοι καλῶς προνοίας εἰδικωτάτης μόνοι τυγχάνουσιν· αὐτοί τε γὰρ προῦργου περὶ τῆς αἰωνίου μέλει ζωῆς, ὡς ὑπουργῷ καὶ συνέργῳ μόνον τῷ σώματι κεχρημένοις καὶ ὡς πάροδον διατρέχουσι τὴν ὧδε ζωὴν. Καὶ Θεὸς αὐτῶν προνοεῖ τὴν αὐτῶν προὔθέσει οἰκείως, πάντα αὐτοῖς πρὸς τἀγαθὸν συνεργῶν καὶ πρὸς τὸ τέλος συμπροβιβάζων μετὰ τοῦ

μηδὲ τῆς ζωῆς τινος ὁμελεῖν ἐ; ὅσον αὐτοῖς φροντίς A
ἐστι περὶ αὐτῆς ἔμφρων τε καὶ τῷ ζητουμένῳ τέλει
οἰκεία. Οὗτοι δὲ μόνοι προωρισμένοι εἰσὶ καὶ κα-
λοῦνται ὡς εἰς τὴν αἰώνιον προωδηγημένοι ζωήν,
προωρίσθαι δὲ λέγονται οὐχ ὡς ἠναγκασμένοι, ἀλλ'
ὡς πρὶν αὐτοὺς ὡρίσθαι ὑφ' αὑτῶν ἦτοι τετάχθαι
πρὸς τὸ οἰκεῖον τέλος, προεγνωσμένοι, ὅτι ὁρισθή-
σονταί τε καὶ τῆς αἰωνίου ζωῆς ἐφικέσθαι ἀξιωθή-
σονται, εὐσεβείας αὐτῶν ἕνεκα καὶ ἀρετῆς. Καὶ τοῦ-
τό ἐστι τὸ προωρίσθαι αὐτοὺς τὸ πρόῤῥωθεν ἐγνῶσθαι
τῷ Θεῷ ὡς ὡρισμένους πρὸς τὸ οἰκεῖον τέλος τοὺς
τό γε ἐφ' αὐτοῖς ὀψέ ποτε ὁρισθησομένους. Αὐτοὶ μὲν
γὰρ οὐκ ἀεί εἰσιν, ἀλλὰ γεννώμενοι, εἶτα ζῶντες ἐν-
ταῦθα κατὰ λόγον τε καὶ νόμον πάσῃ αὐτῶν σπουδῇ
μετὰ τῆς ἐκ Θεοῦ βοηθείας πρὸς τὸ προὔποτεθειμέ-
νον αὐτοῖς ἐκ τοῦ δημιουργοῦ καὶ πατρὸς τέλος ὁρί-
ζονται, καὶ πρὶν ὁρισθῆναι ἀφ' αὐτῶν ὁριστέοι εἰσίν. B
Ὁριστέοι δὲ ὄντες καὶ ὁρίζονταί ποτε καὶ ὡρισμένοι
τότε εἰσί. Λέγονται μὲν γὰρ ὁρίζεσθαι καὶ ἐντεῦθεν,
ἅτε τὴν πρὸς τὸν ὅρον τὸ τέλος συντείνοντες ἐπιμε-
λῶς τε καὶ ἀδιαλείπτως ὁδὸν, ὁρίζονται δὲ κυριώτε-
ρον καὶ ὡρισμένοι εἰσὶν ἐπειδὰν ἀπηλλαγμένοι τῆς
ἐνταῦθα διόδου τοῦ ὅρου τε ἐφίκωνται καὶ τοῦ τέ-
λους, καὶ οὐκ ἔτι τρέχοντες ὦσιν ἐπὶ τὸν ὅρον, ἀλλ'
ἤδη κατειληφότες. Αὐτοὶ μὲν οὖν καθ' αὑτοὺς οὕτως
ὁρίζονταί τε καί εἰσιν ὡρισμένοι, ἐν δὲ τῇ ἀϊδίῳ τοῦ
Θεοῦ γνώσει καὶ ποιητικῇ καὶ προνοητικῇ πάντων ἅμα
καὶ τὰ μέλλοντα πάρεισι καὶ ὡς παρόντα πάντα γι-
νώσκονται, προωρισμένοι καί εἰσι καὶ καλοῦνται,
τῆς ἐν τῇ λέξει ταύτῃ προθέσεως αὐτοῖς μὲν οὐδὲν C
προστιθείσης πλέον ἐν τῷ αὐτῶν ἔργῳ, τῇ δὲ θείᾳ
προνοίᾳ τὸ οἰκεῖον φυλαττούσης ἀξίωμα τὸ προῦφ-
εστάναι δηλονότι τῶν ἐσομένων πάντων τοὺς λόγους
ἐν τῇ τοῦ πονηροῦ τε ἅμα καὶ προνοητοῦ διανοίᾳ καὶ
ἀϊδίους ἀϊδίῳ παρεῖναι. Ἐντεῦθεν οὖν δῆλον ὡς ὁ
θεῖος προορισμὸς τῆς θείας προνοίας μέρος ἐστίν· ἡ
μὲν γὰρ πρὸς ἀνθρώπους ἅπαντας διατρέχει, διαφό-
ρως μέντοι γε κατὰ τὴν ἑκάστων τάξιν τε καὶ ἀξίαν·
ὁ δέ γε προορισμὸς, μόνων ἐστὶ τῶν πρὸς τὴν αἰώ-
νιον ζωὴν ἢ τὸ τέλος τῆς ἐνταῦθα ζωῆς, σπουδῇ τε
οἰκείᾳ καὶ χορηγίᾳ ὁριζομένων, καὶ ὥσπερ περὶ τοὺς
ἀνθρώπους πρόνοια, μέρος ἐστὶ τῆς περὶ τὰ ὄντα
πάντα προνοίας, καθό εἰσιν αὐτοὶ μέρος τι τῆς τῶν
ὄντων καὶ προνοουμένων πάντων ὁλότητος. Ὁ γὰρ
λόγος τῆς περὶ αὐτοὺς ἰδίας προνοίας ἐξόχως τὴν D
περὶ τὰ ἄλλα περιέχει πρόνοιαν, οὕτω καὶ τῆς περὶ
τοὺς ἀνθρώπους πάντας προνοίας μέρος ἐστὶν ἡ
περὶ τοὺς προωρισμένους εἰς τὴν αἰώνιον ζωὴν πρό-
νοια· ἀλλ' οὐδὲν ἧττον καὶ περιοχή ἐστιν αὕτη ἐκεί-
νης, ὅτι σκοπός ἐστι καὶ τέλος, τῆς ὅλης τοῦ Θεοῦ
προνοίας. Τά τε γὰρ ἄλλα πάντα τῶν ἀνθρώπων χά-
ριν γέγονε καὶ ἔστι, καὶ οἱ ἄνθρωποι τοῦ προωρίσθαι
ἕνεκα καὶ σεσῶσθαι. Ἀλλ' ἐκεῖνα μὲν καὶ ἄκοντα
τῷ περὶ τοὺς ἀνθρώπους ὑπουργοῦσι θείῳ σκοπῷ
ὡς φύσει πρὸς τὴν τοιαύτην ὑπουργίαν ἀφωρισμέ-
νων τῶν ἀνθρώπων ἅτε προαιρέσει τετιμημένων
τῷ μεγίστῳ τῶν εἰς αὐτοὺς θείων δώρων, τὸ μὲν
πλεῖστον ἀφηνιάζον ἀποχωρεῖ τοῦ θείου σκοποῦ ὅ;
ἐστι τὸ οἰκεῖον κατά τε φύσιν καὶ χάριν τέλος αὐ-

τῶν. Ὀλίγον δέ ἐστιν ἐν τῇ τῶν ἀποδεδοκιμασμένων
παραθέσει, τὸ προωρισμένον τε καὶ σωζόμενον, εἰ
καὶ ἁπλῶς πλεῖστόν ἐστι, καὶ πάντα νικῶν ἀριθμόν.
Ὅτι δὲ καὶ περὶ αὐτοὺς τοὺς προωρισμένους ποι-
κίλη καὶ διάφορος ἡ τῆς θείας προνοίας διάταξις τῷ
λόγῳ μὲν ἀϊδίως ἐν τῷ προορίζοντι καὶ προ-
νοοῦντι Θεῷ, τῷ δὲ ἔργῳ χρονικῶς ἐν αὐτοῖς τοῖς
ἐγχρόνως ὁριζομένοις, κατὰ γὰρ τὰς διαφόρους
ἕξεις τῆς ἐν αὐτοῖς σπουδαίας ζωῆς καὶ θεοφιλοῦς,
ἐνταῦθά τε διαφόρως αὐτοῖς τὸ τῆς προνοίας βοή-
θημα συναντᾷ καὶ ὀπηδεῖ καὶ συνεπωθεῖ καὶ πάν-
τα τρόπον ἀμύνει, κἀκεῖ διάφορον αὐτοὺς τὸ τῆς
εὐδαιμονίας διαδέχεται κάλλος τοῖς διαφόροις τῶν
ἐργασιῶν βαθμοῖς συμμετρούμενον. Ταῦτα καὶ τὰ
τοιαῦτα ἐν τοῖς περὶ τοῦ προορισμοῦ πλείστοις ἡμῶν B
συγγράμμασιν ἐξητασμένα παρίεμεν νῦν, ἐπὶ δὲ τὴν
ἐνισταμένην χρεὼν ἐρχόμεθα τῶν εἰρημένων ἀρκούν-
των. Οὗτοι τοίνυν οἱ προωρισμένοι πάντες καὶ μὴ εὐ-
χόμενοι περὶ τοῦ σώζεσθαι, σώζοιντ' ἂν καὶ ἀπαλλάτ-
τοιντ' ἂν πειρασμῶν οὐκ εὐχόμενοι ἀπαλλάττεσθαι·
καὶ σιωπῶντος γάρ, φησὶ, Μωσέως, ἐπακούει Θεὸς τῇ
ἀξιότητι τοῦ ἀκουσθῆναι φιλαγάθως προσέχων, οὐ
τὴν διὰ τῆς γλώττης λαλιὰν ἐνηγμένων, ἐγκαρδίως
γάρ ἐστι λαλεῖν γλώττῃ σιγῶντα. Ἐνίοτε δὲ ἅμα
τε αἰσθάνονται τῶν πειρασμῶν καὶ αὐτῶν ἀπαλ-
λάττονται, ὡς μηδὲ χρόνον εἶναι αὐτοῖς μεταξὺ τοῦ
δεηθῆναι περὶ ἀπαλλαγῆς καὶ τοῦ ἀπαλλαγῆναι· τὸ
δὲ ἔτι παραδοξότερον ὅτι καὶ ἐγγὺς ὄντος τοῦ πει-
ρασμοῦ μὴ ἠσθημένοι, μετὰ τὴν ἀπαλλαγὴν ἔγνω-
σαν ἐγγὺς ἐλθόντα καὶ ἀσθενήσαντα. Τηλικαύτη
ἐστὶν ἡ τοῦ δημιουργοῦ πρόνοια περὶ τὰ προωρι-
σμένα τῶν τέκνων, συγχωρεῖ δὲ ἄλλοις πειρασμοὺς
καὶ αὐτοῖς δὲ οὓς ἄλλων πειρασμῶν πολλάκις ἀπήλ-
λαξεν ἐπὶ διορθώσει αὐτῶν ἡ δοκιμὴ πλείονι
καὶ ἄλλων τε ὠφελείᾳ, καὶ αὐτῶν αἰωνίῳ κέρδει.
Ὁ προῦργου τοῖς σπουδαίως βιοῦσίν ἐστι καὶ οὐχ
ὥστε τυχεῖν οὐ μόνον χαίρουσιν ἔξωθεν πειραζό-
μενοι, ἀλλὰ καὶ ἑκουσίοις ὑποβάλλουσι σφᾶς αὐτοὺς
πειρασμοῖς σὺν ἡδονῇ, καὶ τούτοις τὸ σῶμα ταλαι-
πωροῦντες τὸ πνεῦμα πρὸς τὸν θεῖον μετεωρίζουσι
καλῶς ἔρωτα, καὶ καθόλου φάναι, ταῖς διαφόροις
πρὸς τὸ προκείμενον τέλος ὁδοῖς, καὶ ταῖς διαφό-
ροις διαθέσεσι τῶν τὰς τοιαύτας ὁδευόντων ὁδοὺς
χρησταῖς· μέντοι πάσαις καὶ συμφερούσαις διάφορον
καὶ τὴν πρόνοιαν ἑτοιμάζει Θεὸς καὶ δίδωσι, καὶ
μήτ' εὐξαμένοις ἂν οὖν τοῖς τοιούτοις τήν τε παροῦ-
σαν ζωὴν καὶ τὴν μέλλουσαν δι' αὐτῆς οἰκονομεῖ.
Πανσόφως καὶ πατρικῶς προτρέπεται μέντοι γε
καὶ αἰτεῖν καὶ ἐπιμόνως τοῦτο ποιεῖν· « Αἰτεῖτε γὰρ,
φησὶ, καὶ δοθήσεται ὑμῖν, » καὶ τὰ ἑξῆς τοῦ λόγου,
ἐμμικρον αὐτοῖς κατασκευάζων τὴν ὀρετὴν, θέλων
τε σώζειν αὐτοὺς καὶ τῷ τοῦ δικαίου λόγῳ μὴ μόνον
τῷ τῆς ὑπεραγάθου καὶ πατρικῆς προμηθείας. Εἰ
γὰρ αἰτεῖν μέλλουσιν ἀνυσίμως καὶ προὔργου ποιού-
μενοι τὸ λαβεῖν, καὶ παρασκευάζειν μέλλουσι σφᾶς
αὐτοὺς πρὸς τὸ καλῶς εὔχεσθαι· « Αἰτεῖτε γὰρ, φησὶ,
καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖσθε. » Εὔχονται
δὲ καλῶς καὶ ἐμπράκτως, οἱ μετὰ τῆς εἰς Θεὸν
πεποιθήσεως εὐχόμενοι, ἔχουσί τε τὴν τοιαύτην

πεποίθησιν ἀληθῶς οἱ συνειδότες σφίσιν αὐτοῖς, μήτε ἁμαρτιῶν οὖσιν ἐνόχοις ἀμετανοήτων καὶ τὴν θείαν ἐμποδιζουσῶν φιλανθρωπίαν καὶ τοὺς διατεταγμένους τῆς ἀγάπης καρποφοροῦσι καρποὺς μετὰ ταπεινώσεως· δεῖ γὰρ ἀλλήλοις συντρέχειν τό τε προωρίσθαι εἰς τὴν αἰώνιον ζωὴν καὶ τὸ μηδενὸς τῶν εἰς αὐτὴν φερόντων ὀλιγωρεῖν, ὡς ὁ μακάριος Πέτρος ἐν τῇ τῶν ἐπιστολῶν πρώτῃ φησί. Σπουδάσατε δι' ἀγαθῶν ἔργων βεβαίαν ὑμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθαι, ὡς εἶναι τῶν σπουδαίων ἑκάστῳ καθάπερ ἐχέγγυον ἡ σημεῖον τῆς ἀγνοουμένης μὲν αὐτῷ θεόθεν ἐκλογῆς ἐπ' αὐτῷ Θεῷ δὲ μόνῳ γινωσκομένης, τὴν ἐν τοῖς ἀγαθοῖς ἔργοις σπουδήν. Ὅθεν οὐδὲ συναύξουσιν οἱ τοιοῦτοι τὸν θεῖον ἐπ' αὐτοῦ προορισμὸν τῇ περὶ ταῦτα σπουδῇ, συνῳδὸν μὲν οὖν τὸν οἰκεῖον βίον ἁπάσῃ δρῶσι σπουδῇ τῷ προωρίσθαι ἄν. Τοιοῦτοι δὲ ὄντες καὶ προωρισμένοι δήπου εἰσὶ καὶ προωρισμένοι ὄντες οὕτω σπουδάζουσιν ὥστε ὁ θεῖος διὰ ταῦτα προορισμὸς οὐ μόνον οὐκ ἀναιρεῖ τὸ τῆς εὐχῆς δραστήριον, ἀλλὰ καὶ ἐπαναγκάζει καλῶς εὐχὴν ὡς αὐτῷ δήπου συνάδουσαν τὴν ἀξίαν. Οἵ τε γὰρ προωρισμένοι καλῶς εὔχονται καὶ καλῶς εὐχόμενοί εἰσιν οἱ προωρισμένοι καὶ ταυτόν ἐστι τό τε προωρίσθαι εἰς τὴν αἰώνιον ζωὴν, καὶ τὸ καλῶς εὔχεσθαι. Δεῖ μέντοι καὶ τόδε προσδιορίσασθαι, ὅτε οἱ εὐλαβῶς τε καὶ φιλοθέως τὴν εἰς Θεὸν πεποίθησιν ἔχοντες οὐ δέονται αὐτοῦ περὶ οὐδενὸς τῶν προσκαίρων, ἀλλὰ περὶ τῆς ἐν αὐτῷ βασιλείας ὥστε ταύτης τυχεῖν κατὰ τὸ θεῖον παράγγελμα καὶ βασιλεῦσαι μὲν ἐν αὐτοῖς τὸν Θεὸν ἐνταῦθα, μετασχεῖν δ' αὐτοὺς ὡς οἷόν τέ ἐστιν ὕστερον τῆς ἐν οὐρανοῖς βασιλείας. Τοῦ γὰρ κεφαλαίου τῶν ἀγαθῶν αἰτοῦσι τε αὐτοῖς καὶ σπουδάζουσι συγκαταπραττομένου θεόθεν, τὰ ἄλλα πάντα καὶ μὴ ζητοῦσι μήτε εὐχόμενοι προστίθενται. Ἔνιοι δὲ ὑψηλότερον φθάσαντες, οὐδὲ τοῦτο ταῖς εὐχαῖς ζητοῦσιν, ἀλλὰ τῇ περὶ τὴν ἀρετὴν ἐντρεχεῖ σπουδῇ καὶ τῇ ὁλοσχερεῖ τε καὶ εἰλικρινεῖ τῆς θείας ἀγάπης ἀποπληρώσει ἀρκούμενοι ὅπερ ἐστὶ τὸ ἔργῳ τὴν βασιλείαν αἰτεῖν οὐκ ἐνοχλοῦσι λοιπὸν περὶ ταύτης εὐχῇ. Εὐχὴ δέ ἐστιν αὐτοῖς ἡ διηνεκὴς δοξολογία τε καὶ εὐχαριστία σὺν μετρίῳ φρονήματι καὶ τὸ προορᾷν ἐνώπιον αὐτῶν τὸν Κύριον διὰ παντὸς ἐκ δεξιῶν ὄντα. Ἵνα μὴ σαλευθῶσιν, οἱ τοιοῦτοι οὐδὲ τοὺς πειρασμοὺς καθάπαξ ἀπεύχονται εἰδότες, ὡς ἄνευ μὲν θλίψεων ἀδύνατόν ἐστιν εἰς τὴν βασιλείαν ἐλθεῖν τοῦ Θεοῦ· εἰ δὲ τῶν πειρασμῶν αἱ θλίψεις ἀνίσχουσιν, ἀλλ' αἰτοῦσι μόνον κατὰ τὴν τοῦ Κυρίου διατύπωσιν, μὴ εἰσενεχθῆναι εἰς πειρασμόν. Τοῦτο δ' ἐστὶ μὴ πειρασμοῖς τοῖς ὑπὲρ δύναμιν ἐμπεσεῖν παραχωρηθῆναι, μηδ' ἐναποληφθῆναι τῷ βάθει τῶν πειρασμῶν. Ἐναπολαμβάνονται δὲ αὐτοῖς οἱ μικροψυχοῦντες, ὥσπερ οἱ γενναιόφρονες δι' ὑπομονῆς αὐτοὺς νικῶσι καὶ ἀπαλλάττονται, καὶ τὸ εὔχεσθαι μὴ ἐναποληφθῆναι αὐτοῖς τὸ ζητεῖν ἐστιν ἐκ Θεοῦ τὴν ὑπομονήν, δῶρον γὰρ αὕτη σωτήριον καὶ γνώσει μὲν σπειρόμενον ἐν ἡμῖν οἰκεία Θεοῦ δὲ χάριτι τελειούμενον καὶ καρποφοροῦν, νικώσῃ τὴν ἐν ἡμῖν ἀσθένειαν ἀντικαθισταμένην προθυμίᾳ τοῦ Πνεύματος. Ἡ δὲ χάρις τῇ δι' ἔργων ἀγαθῶν πεποιθήσει ἡμῶν ἐπακολουθεῖ, καθά φησιν ὁ θεῖος ἀπόστολος, « Πιστὸς ἐστιν ὁ Θεὸς, ὃς οὐκ ἐάσει ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα. » Αὐτῷ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΓΕΝΝΑΔΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

ΠΕΡΙ ΤΗΣ

ΕΝ ΤΩ ΔΕΣΠΟΤΗ ΗΜΩΝ ΧΡΙΣΤΩ ΑΝΘΡΩΠΟΤΗΤΟΣ.

(Ex cod. Græc. Paris. n. 1292, fol. 153 v°.)

Ζητοῦσί τινες πῶς ὁ Κύριος ἡμῶν Ἰησοῦς ἐν τῷ ἀνθρωπίνῳ αὐτοῦ τὴν ὑπὲρ ἁπάντων ἔστισε (fort. ἔστησε) δίκην ἀνθρώπων, οὗ χάριν μάλιστα πιστεύομεν τὸν θεῖον Λόγον ἐνανθρωπῆσαι καὶ ἅμφω ταῦτα τὸν Κύριον ἡμῶν Ἰησοῦν εἶναι, Θεὸν ἀληθῆ καὶ ἄνθρωπον ἀληθῆ δηλονότι· οἰκεῖον μὲν γὰρ ἦν ὅλην αὐτὸν προσλαβεῖν τὴν ἀνθρωπότητα ὡς ὑπὲρ ὅλης αὐτῆς ἀπολογησόμενον καὶ ὡς διαβαίνειν μελλούσης εἰς ὅλην τὴν ἀνθρωπότητα, τῆς οὕτως οἰκονομηθείσης ἀπολογίας· τοῦτο δὲ ἀδύνατον εἶναι δοκεῖ· ἡ γὰρ ἀνθρωπότης ἢ πρᾶγμά ἐστιν ὑφεστὼς καθ' αὐτὸ κατὰ τοὺς Στωϊκοὺς καὶ τῆς ὕλης πάντη κεχωρισμένον, ἢ εἶδός ἐστιν ἐξ' ἀφαιρέσεως καὶ τῆς ἐπινοίας ὂν οὐ τοῦ πράγματος κατά γε Ἀριστοτέλη καὶ τὴν ἱερὰν ἀλήθειαν. Εἰ μὲν οὖν τὸ πρῶτόν ἐστιν, οὐκ ἄρα ἀληθὴς ἐν τῷ Χριστῷ ἀνθρωπότης, ἀλλ' ἐπὶ τὸ χεῖρον μεταβεβλημένη· καὶ ἀπὸ τοῦ πάντη κεχωρισμένου καὶ νοητοῦ ἐπὶ τὸ τῇ ὕλῃ συναφθῆναι κατενεχθεῖσα, καὶ ἐπὶ τὸ μερικὸν ἀπὸ τοῦ καθόλου· ὅθεν οὔτ' ἂν καθόλου ἀνθρωπότης οὕτως εἴη ἐν τῷ Χριστῷ οὔτε πρὸς ὅλην ἂν διαβαίνοι τὴν ἐν τοῖς κατὰ μέρος ἀνθρωπότητα ἡ δι' αὐτῆς γενομένη δίκη καὶ κάθαρσις. Εἰ δὲ τὸ δεύτερόν ἐστιν ἀληθὲς περὶ τῆς ἁπλῶς ἀνθρωπότητος, ἦν ἂν οὕτω καὶ ἀληθὲς μᾶλλον τὸ κατὰ φαντασίαν ἄνθρωπον εἶναι καὶ οὐ κατ' ἀλήθειαν τὸν Κύριον ἡμῶν, ὥς τινες ἐφλυάρουν. Εἰ δ' ἐκ τῆς ἡμετέρας φύσεως ἦν ὁ τῷ θείῳ Λόγῳ προσληφθεὶς ἄνθρωπος, τουτέστιν ἐκ ψυχῆς καὶ σώματος συνεστηκώς, καὶ μερικὸν ἀνείληφεν ἄνθρωπον διὰ τοῦτο ὡς ἑκαστόν ἐστι τῶν τῆς ἀνθρωπότητος ἀτόμων, Πέτρος τυχὸν ἢ Παῦλος, πῶς τοῦ ἑνὸς οὕτως ἀνθρώπου καὶ μερικοῦ τὸ πάθος καὶ ἡ διὰ τὸ παθεῖν ἐκουσίως ἀρετὴ τὴν ἀπόλυσιν τῆς ἁμαρτίας καὶ τῆς δι' αὐτὴν παγκοίνου ποινῆς ἠδύνατο ἂν διαπράξασθαι; πῶς δὲ καὶ μία ὑπόστασις καὶ ἓν πρόσωπον ὁ Κύριος ἡμῶν Ἰησοῦς ἐστιν, εἰ ὁ θεῖος Λόγος ὑπόστασις ὢν καθ' αὐτὸν ἐν θεότητι, ἄτομον ἀνθρωπότητος καὶ ὑπόστασιν ἀνθρωπίνην ἀνέλαβεν; εἶεν γὰρ ἂν οὕτω δύο ὑποστάσεις ἅμα· τούτῳ δὲ πολλὰ ἀδύνατα ἀκολουθεῖ. Ἐπιλυόμενοι τοίνυν τὴν ἀπορίαν ταύτην ῥητέον ἂν εἴη πρῶτον μὲν ὅτι οὐ μόνον τοῦ λυθῆναι τὴν κοινὴν δίκην ἕνεκα τῆς τοιαύτης ἐδέησεν οἰκονομίας τῷ παναγάθῳ δημιουργῷ, ἀλλὰ καὶ πολλῶν ἄλλων χάριν τῇ χρείᾳ ταύτῃ συνεπομένων τε καὶ προηγουμένων, ἅπερ οὐδὲ δυνατόν ἐστιν ἀριθμεῖν οὔτε εἰδέναι καλῶς τοὺς μὴ θεόθεν πεφωτισμένους· καὶ αὐτοὶ δὲ οἱ πεφωτισμένοι τὴν τοῦ μυστηρίου τούτου λαμπρότητα πᾶσαν οὐκ ἔχουσι καταλαβεῖν, ὑπερφυῶς καὶ θεοπρεπῶς τὴν ἀνθρωπείαν γνῶσιν νικῶντος· ἔπειτα πρὸς λύσιν τῶν ζητουμένων εἰδέναι δεῖ ὅτι τὸ μὲν ὅλον τὸν ἄνθρωπον ἐν τῷ ἀνθρωπίνῳ τοῦ Χριστοῦ εἶναι λίαν ἐστὶν ἀληθὲς, ὥστε εὐλόγως ἀκολουθεῖν καὶ τὸ διαβῆναι πρὸς πάντας ἀνθρώπους δι' αὐτοῦ τὴν ἐν αὐτῷ γενομένην οἰκονομίαν.

Οὔτε δὲ κεχωρισμένον εἶδος ἀνέλαβε καὶ ἰδέαν τῆς ἀνθρωπότητος· οὐ γὰρ ἔστιν εἶδος τοιοῦτον, εἰ καί τισιν ἔδοξε πάνυ φαύλως τε καὶ ψευδῶς, οὔτε τὸ καθόλου εἶδος· οὐ γάρ ἐστι πρᾶγμα καθ' αὐτὸ τὸ τοιοῦτον εἶδος· ἀλλὰ κατ' ἐπίνοιαν ἡμετέραν μόνον ἐστί· τῇ ἐκ τῶν μερικῶν ἀφαιρέσει συνιστάμενον ἐν τῷ ἀνθρωπίνῳ νῷ, φημὶ δὲ τῷ σοφῷ, καὶ κατ' ἐπιστροφὴν αὐτῆς τοιαύτης ἐπινοίας, διατρέχον καὶ περιέχον πάντα τὰ ἄτομα· πραγματικῶς δὲ ἐν ἑκάστῳ τῶν ἀτόμων ἐστὶ μόνον, καὶ ὅλον ἐν ἑκάστῳ καὶ οὐδὲ μᾶλλον ἐν τῷδε ἢ τῷδε· ὅλην γὰρ τὴν ἀνθρωπότητα ἕκαστος ἔχει, οὐ καθό ἐστι τῶν πολλῶν ἀτόμων περιεκτικὴ λόγῳ καὶ ἐπινοίᾳ, ἀλλὰ καθὸ ὅλη ἐν ἑκάστῳ τούτων ἐγκλείεται ἔργῳ καὶ κατὰ τὸν αὐτῆς λόγον καὶ τὸ τί ἦν εἶναι τὸ ἐν τῷ πράγματι. Οὔτε τοίνυν ὡς τὴν ἰδέαν τῆς ἀνθρωπότητος, οὔτε ὡς τὴν καθόλου ἐπίνοιαν προσειληφότα, ὅλην τὴν ἀνθρωπότητα προσειληφέναι τὸν θεῖον Λόγον φωνοῦμέν τε καὶ λέγομεν, ἀλλὰ πρῶτον μὲν τῷ μοναδικῷ τῆς τοιαύτης ἑνώσεως· ἕκαστον γὰρ τῶν μοναδικῶν οὐ μόνον ἐστὶν ὅλον καὶ λέγεται τὸ ὅλον ἔργῳ τὸ εἶδος ἔχειν, ὡς ἐπὶ τοῦ Πέτρου τυχὸν, ἀλλὰ καὶ τῷ μόνον αὐτὸ τοῦτ' ἔχειν οὐχ ὡς μετέχον καθάπερ ἐπὶ τῶν ἄλλων, ἀλλ' ὡς αὐτὸ ὅλον ὂν καὶ ὡς ἀντιστρέφον· ταυτὸν γάρ ἐστιν ἥλιον φάναι καὶ ἡλιότητα καὶ εἶδος ἢ φύσιν ἡλίου, αὐτοῦ γε μόνου ἡλίου τυγχάνοντος. Ἐπεὶ τοίνυν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τῇ πρὸς τὴν θεότητα ἑνώσει μοναδικὸς ἄνθρωπος ἦν, οὐδεὶς γὰρ ἄλλος πλὴν αὐτοῦ τοιοῦτος ἄνθρωπος γέγονεν, οὔτ' ἔσται, καὶ ὅλος ἦν ὁ ἄνθρωπος καὶ ὅλην εἶχε τὴν ἀνθρωπότητα, ὥστ' εἰ καὶ γεννηθέντος αὐτοῦ κατὰ τὸ ἀνθρώπινον, συνέβαινεν ἂν πάντα εὐθὺς πεπαῦσθαι ἄνθρωπον καὶ μόνον αὐτὸν εἶναι οὐχ ὡς ἄτομον ἐν ὑπολειφθῆναι ἂν αὐτὸν τῆς ἀνθρωπότητος ὅλης, στερήσει τῶν ὁμοειδῶν ἀτόμων, ἀλλ' ὡς μόνον ὄντα καὶ ὅλον τὸν ἄνθρωπον.

Τὸ δ' αὐτὸ καὶ σωζομένων τῶν ἄλλων ἀτόμων ἐστὶν, οὐ συναριθμουμένου τούτοις οὐδὲ συνδιαιρουμένου, ἀλλ' ὑπεροχικῶς τὴν τοῦ ὅλου τάξιν πρὸς

αὐτὰ σώζοντος. Συνέδραμε δὲ εὐλόγως τῇ τοιαύτῃ τῆς ἀνθρωπότητος πρὸς τὸν θεῖον Λόγον ἑνώσει καὶ ἡ ἐκ Παρθένου γέννησις ἄνευ σπορᾶς· ἀληθῆ τε γὰρ ἄνθρωπον καὶ πάντων ἐξῃρημένον, καὶ καθαρὸν, καὶ τούτου χάριν γεγεννημένον ἐχρῆν ὑπὲρ τῶν ἀνθρώπων ἀπολογήσασθαι. Διὰ τὴν ἀξίαν τοίνυν τῆς τοῦ Λόγου θεότητος ᾗ συνῆπται προσωπικῶς τὸ ἀνθρώπινον τοῦ Χριστοῦ, καὶ ἡ ὑπεροχὴ τῆς ἀνθρωπότητος ἣν ἐν αὐτῷ, ᾗ πάντων ὁμοῦ τῶν ἀτόμων ὑπερεῖχε τῆς φύσεως· διὰ τοῦτο καὶ δίκην ἐν τῷ οἰκείῳ πάθει ὑπὲρ τῆς ὅλης δέδωκε φύσεως τῶν ἀνθρώπων αὐτοῦ γε ὄντος τοῦ τε διδόντος τοῦ τε λαμβάνοντος· ἐδίδου μὲν γὰρ ὡς ἄνθρωπος μεθ' ὑπερφυοῦς ἀρετῆς, ἐλάμβανε δὲ ὡς Θεὸς μεθ' ὑπερφυοῦς ἀγαθότητος. Καὶ ταυτὸν ἦν τὸ τὴν ἐν αὐτῷ παθεῖν ἀνθρωπότητα, καὶ τὸ πᾶσαν αὐτὴν παθεῖν τε καὶ δίκην δοῦναι. Ἐπεὶ γὰρ Θεὸς ἦν ἐν τῷ Χριστῷ, ὁ πάσης ἄρχων τῆς φύσεως, καὶ ἡ συνειλεγμένη αὐτῇ ἀνθρωπότης, θεοπρεπὴς οὖσα διὰ τὴν πρὸς Θεὸν ἕνωσιν, εὐλόγως τῆς ὅλης τῶν ἀνθρώπων φύσεως ἀντίῤῥοπος ἦν καὶ ἰσοδύναμος, καὶ ἡ μεγίστη καὶ θεοπρεπὴς ἀρετὴ ἐν τῇ ὑπὲρ παντὸς τοῦ γένους ἐκουσίῳ ποινῇ, πρὸς ἅπαν τὸ γένος ἦν διαδόσιμος.

Οὐ μόνον δὲ συνέπαθεν ἡ ἀνθρωπίνη φύσις ἅπασα τῇ ἀνθρωπότητι τοῦ Χριστοῦ, ἀλλὰ καὶ συνανέστη καὶ συνεδοξάσθη καὶ συνανελήφθη ὡς τούτων ἁπάντων ἐν αὐτῷ τῶν ἀνθρώπων εἵνεκα γενομένων καὶ πάντας διαβαίνειν δυναμένων τό γε τοῦ ποιήσαντος μέρος· τῶν μὲν γὰρ ἐνᾳδῆ κατειλημμένων ὁπόσοι πίστει μὲν καὶ ἀρετῇ ἦσαν μεμορφωμένοι, τῇ διπλῇ πρὸς τὴν εὐδαιμονίαν ὁδῷ, τὸ δὲ προγονικὸν αὐτοὺς αἶσχος καθεῖλκεν ἐκεῖ καὶ κατεῖχεν, ἀπηλλάγησαν τῷ τοῦ Χριστοῦ θανάτῳ ὡς οἰκείᾳ καὶ κοινῇ πάντων αὐτῶν ἀποτίσει, τῆς ὀφειλομένης δίκης τῷ πταίσματι· εὔχοντο μὲν γὰρ κἀκεῖνοι δίκην διδόναι ἕκαστος πρόσκαιρον εἰ οἷόν τε ἦν καὶ ἀπαλλαγῆναι· γνόντες ἐκεῖ ἐγκαίρως τὴν τῆς κακοδαιμονίας αἰτίαν, ἀντὶ τῶν ὑπὲρ τῆς εὐδαιμονίας ἐλπίδων, αἷς ἐνταῦθα συνέζησαν, ἀλλ' οὐχ οἷόν τε ἦν, οὐδενὶ τρόπῳ τὸ εὔλογον ἔχοντι. Τότε δὲ καὶ τὸν τρόπον ἔγνωσαν ᾧ λέλυνται τῶν δεσμῶν, καὶ ὡς ἐκείνῳ μόνῳ λύεσθαι ἂν ἠδύναντο. Καὶ τῶν ἀπίστων δὲ ὁπόσοι μετ' ἀρετῆς τῆς ἐνδεχομένης ἦσαν ἐνταῦθα βεβιωκότες, ἄθλον δικαιοσύνης τὸν φωτισμὸν εὑρόντες τῆς διανοίας ἐγκαίρως, καὶ τὴν δι' αὐτοῦ πίστιν καὶ αὐτοὶ τοῖς προτέροις συναπηλλάγησαν, τῶν οὐδετέρους ὁμοίων μόνων ἐναπομεινάντων τῷ ᾅδῃ.

Οὐ μόνοις δὲ τοῖς ἐν ᾅδῃ τὸ προγονικὸν ἦλθε λύσων κώλυμα ὁ Χριστὸς, ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις, μάλιστα τοῖ, τότε ζῶσι, καὶ μετὰ ταῦτα γενησομένοις· ὑπὲρ πάντων γὰρ ἦλθεν ἱκανοποιήσων τῇ θείᾳ δικαιοσύνῃ. Ἀλλὰ περὶ μὲν τῶν προτέρων ἦρκει δόντα τὴν δίκην αὐτὸν, καίτοι μηδὲν ὀφείλοντα, ἐγχαρπον αὐτοῖς ποιῆσαι τὸ τῆς πίστεως καὶ ἀρετῆς ἀγαθὸν, τοῦ κοινοῦ καὶ φυσικοῦ λυθέντος κωλύματος· καὶ τοῦτ' ἦνυσεν ὡς πάντων ἀντίῤῥοπος ὢν καὶ φύσει μὲν ὁ αὐτὸς ἐκείνοις ἅπασιν ὤν, προσωπικῇ δὲ ἀξίᾳ πάντων ὑπερέχων ὁμοῦ, δι' ἣν ἀνεπλήρου τὸ τῆς φύσεως ἔλλειμμα πρὸς τὴν ὀφειλομένην τοῦ πταίσματος ἀντισήκωσιν· τοῖς δὲ τότε ζῶσι καὶ μετὰ ταῦτα γενησομένοις οὐ πρώτοις πάντη δωρεὰν ἔδει δίδοσθαι τὴν τοιαύτην εὐεργεσίαν ὡς τοῖς προτέροις ἐκείνοις, ἀλλὰ καί τινος ἀπ' αὐτῶν προηγησαμένου δικαίου τὴν θύραν τῆς αἰωνίου ζωῆς ἀνοίγνυσθαι, καὶ τὸ προγονικὸν λύεσθαι κώλυμα ὡς ἐν τῷ καιρῷ τῶν νόμων εὑρισκομένοις καὶ τὴν θείαν εἰς αὐτοὺς πρόνοιαν ὀφείλουσί τε καὶ δυναμένοις ἐπιγινώσκειν καλῶς, εἰ βουληθεῖεν· τοῦτο δὲ πιστεύουσί τε καὶ βαπτιζομένοις εἰς τὸν αὐτοῦ θάνατον ὑπὲρ αὐτῶν ἔμελλε γίνεσθαι. Ἔδει δὲ ἐπὶ τούτῳ καὶ ἰδίαις αὐτῶν σπουδαῖς τὸν εἰς τὴν ζωὴν ἐκείνην δρόμον ἀνύειν· ἀμελοῦντας γὰρ, ἢ καὶ τὴν ἐναντίαν ὁδεύοντας, οὐκ ἂν οἷόν τε ἦν, καὶ ἀνεῳγμένης εἰσιέναι τῆς πύλης, ἀλλ' ἔμελλον ἀντὶ τοῦ φυσικοῦ καὶ πρώτου κωλύματος λελυμένου τῇ τῆς προαιρέσεως εἴργεσθαι δικαίως κωλύματι. Καὶ ἔδει πρὸς ταῦτα νόμου τελειοτάτου, διδασκαλίας, παραδείγματος, χειραγωγίας παντοίας, διὰ τὴν πολλὴν τοῦ κατ' ἀρετὴν βίου δυσχέρειαν καὶ τὸ στενὴν εἶναι καὶ τεθλιμμένην τὴν πρὸς τὴν ἀληθῆ ζωὴν φέρουσαν. Ὥσπερ τοίνυν ὁ πρῶτος ἄνθρωπος σπέρμα καὶ ἀρχὴ τῆς τῶν ἀνθρώπων φύσεως ὢν διέδωκε μὲν ἂν τοῖς ἐξ αὐτοῦ γεννωμένοις τὰ τῆς θείας ὑποταγῆς ἄθλα μετὰ τῶν ἄλλων καλῶν τῶν συγκαταβεβλημένων αὐτοῦ τῇ φύσει, ὃ δὴ καὶ θεῖος ἦν περὶ αὐτοῦ καὶ πάντων σκοπὸς, διέδωκε δὲ ἀντὶ τούτων τὴν ἁμαρτίαν καὶ τὴν ἐπ' αὐτῇ ποινὴν οἰκείως πᾶσι τοῖς σπέρμασιν· οὕτω καὶ τῇ θείᾳ φιλανθρωπίᾳ ἰατρεύειν πάντα βουλημένῃ ἐγκαίρως τε καὶ θεοπρεπῶς, ὡς πολλοὶ καὶ ἀληθεῖς αὐτὰ συνιστῶσι λόγοι, ἐδέησε, σπέρμα δικαιοσύνης τε τῆς κατὰ ἄνθρωπον καὶ τῆς ταύτῃ ἐπακολουθούσης εὐδαιμονίας κατὰ τὸν ἐξ ἀρχῆς περὶ τῶν ἀνθρώπων σκοπὸν, ἄνθρωπον ἀναστῆσαι, διδάσκαλον ἀληθείας, νομοθέτην, δικαιοσύνης παράδειγμα, οὐδὲ βίῳ μόνον καὶ λόγῳ πρὸς πίστιν καὶ ἀρετὴν ἄγοντα, ἀλλὰ καὶ θαύμασι καὶ σημείοις ὑπερφυέσι, καὶ συμμορφοῦντα οὕτως ἑαυτῷ τοὺς σώζεσθαι μέλλοντας καὶ τὴν τῆς ἀπιστίας καὶ πονηρίας ἀχλὺν ἐκ τῆς γῆς δυνάμενον πάσης διασκεδάσαι, τὸ τῆς ἀληθείας φῶς ἐπιλάμποντα, οὐ βιασθείσης οὐδὲ πάλιν τῆς προαιρέσεως, ἀλλὰ τοῦ μὲν προγονικοῦ κωλύματος τῇ πίστει καὶ τῷ βαπτίσματι λυομένου, τῆς δὲ κατ' ἐνέργειαν προσωπικῆς ἁμαρτίας τῇ τηρήσει τῶν τούτοις δεδομένων νόμων ἀπειργομένης, ἅπερ ἦν ὁ καρπὸς τοῦ θείου κηρύγματος. Τὸ μὲν οὖν φυσικὸν τῆς ἀνθρωπότητος σπέρμα ἦρκει καὶ ψιλὸν ἄνθρωπον εἶναι, ὥσπερ ἄρα καὶ ἦν· τὸ δὲ τῆς πνευματικῆς ἐπιστροφῆς καὶ διαίτης, δι' ὧν ἡ πρὸς τὴν εὐδαιμονίαν ὁδὸς ἔμελλε τοῖς προαιρουμένοις ἀνύεσθαι, μεγάλην ἔχειν ἐχρῆν τὴν ὑπεροχήν τε καὶ δύναμιν, καὶ πνευματικῷ σπέρματι πρέπουσαν· πλείστην γὰρ καὶ μεγίστην εἶχε τὸ πρᾶγμα δυσχέρειαν, ὡς τοῦ κόσμου παντὸς ἀφισταμένου μὲν ἀπ' ἀρχῆς κατὰ μικρὸν, τελευταῖον δὲ παντάπασιν ἀποστάντος ἀπὸ Θεοῦ· ὥστε ἡ παντελοῦς ἐγκαταλείψεως, ὃ ἦν λοιπὸν καὶ φθορᾶς, ἡ φιλανθρωπίας ἐπ' αὐτῷ καὶ οἰκονομίας μεγίστης καὶ θειοτάτης καὶ τῆ τῶν κακῶν ὑπερβολῇ πρέπουσαν σκευαζούσης τὴν ἰα-

τρεῖαν, ἡ δὴ καὶ γέγονε, καὶ διὰ ταῦτα Θεὸν ὁμοῦ καὶ ἄνθρωπον εἶναι ἐχρῆν τὸν ταῦτα πράξοντα.

Ταῦτα δὲ ἡ τῷ θείῳ Λόγῳ προσειλημμένη καὶ συνημμένη προσωπικῶς ἀνθρωπότης ἐν τῷ Χριστῷ ὑπούργησε καὶ συνήργησε τῷ θείῳ Λόγῳ, διὰ τὸ τῆς ὅλης ἀνθρωπότητος ἰσόρροπος εἶναι. Διὰ ταῦτα καὶ προσειλῆφθη, ἵνα τοιαύτη γένηται, καὶ τοιαύτη γε οὖσα δυνηθείη λῦσαι μὲν τὰ τοσαῦτα κακὰ, τηλικούτων δὲ ἀγαθῶν ἀρχὴ καὶ σπέρμα γενέσθαι. Εἰ τοίνυν ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκὸς, κατὰ τὸν Θεῖον Ἀπόστολον, διέδωκε τὴν ἁμαρτίαν καὶ τὴν ποινὴν τοῖς ἐξ αὐτοῦ γεννωμένοις, οἰκείως τῷ φυσικῷ σπέρματι, τί χρὴ θαυμάζειν καὶ ἀπορεῖν, ὅπως ὁ δεύτερος ἄνθρωπος ἐξ οὐρανοῦ τὸ πνευματικὸν σπέρμα, τῇ φύσει τῶν ἀνθρώπων ἁπάσῃ τῶν ἀπ' αὐτοῦ βοηθημάτων μετέδωκεν; οὐχ ὑπέστησε δὲ τὴν ἐν τῷ Χριστῷ ἀνθρωπότητα πρῶτον, ὁ πάντα ὑφιστῶν τοῦ Θεοῦ Λόγος, εἶτα αὐτῇ ἥνωται· ἀλλ' ἅμα τε ὑπερέστησε καὶ ἥνωσε ἑαυτῷ, ὡς μηδέτερον θατέρου πρότερον τότε γενέσθαι· τὸ γὰρ τὸν θεῖον Λόγον ἀϊδῶς (ἀϊδίως) τε ὑφεστάναι καὶ ἰδίαν εἶναι τῆς ἐν τῷ Θεῷ Τριάδος ὑπόστασιν ἥρκει διὰ τὴν αὐτοῦ παντοδυναμότητα ὑποστῆσαί τε ἅμα ἐν ἑαυτῷ καὶ συνάψαι τὸν ἄνθρωπον· ὅθεν οὔτε κατὰ σύνθεσιν ἥνωται ἡ ἀνθρωπότης τῇ τοῦ θείου Λόγου ὑποστάσει, οὔτε διῃρημέναι ὑποστάσεις εἰσὶν ἅμα, ἀλλ' ἦν ἡ ἀνθρωπίνη φύσις ἐν τῷ Χριστῷ διῃρημένη μὲν φύσει τῆς θείας ὑποστάσεως, ὑποστατικῶς δὲ καὶ προσωπικῶς συνημμένη τῷ ἠρτῆσθαι αὐτῆς ὡς αἰτίας, καὶ εἶναι τὴν μὲν θείαν φύσιν ἐν τῷ Χριστῷ κυρίως ὑπόστασιν, ἐνυπόστατον δὲ μᾶλλον αὐτῇ τὴν ἀνθρωπείαν φύσιν καὶ οὐχ ὑπόστασιν, ὡς ἐν ἐκείνῃ τε καὶ δι' ἐκείνης ὑφεστηκυῖαν, κἀντεῦθεν μίαν ἀληθῶς ὑπόστασιν εἶναι τὸ συναμφότερον. Διὰ τούτων μὲν ἀρκούντως ἡ πρὸς τὸ ζητούμενον δέδοται λύσις, καὶ ἀναγωγικώτερον δὲ περὶ τούτου προσθέντες λόγον παυσόμεθα.

Ὁ τοίνυν Λόγος καὶ Υἱὸς τοῦ Θεοῦ, πρὸς μὲν τὸν Θεὸν καὶ Πατέρα σκοπούμενος, εἶδος συμφυές ἐστί τε καὶ λέγεται, τοῦ γεννῶντος αὐτὸν πρώτου νοῦ καὶ εἰκὼν αὐτοῦ γεννητὴ κατὰ φύσιν, πρὸς δὲ τὰ δι' αὐτοῦ τοῦ θείου Λόγου πεποιημένα σκοπούμενος, καὶ εἶδος τῶν ὄντων δύναται λέγεσθαι, ὑπερφυὲς μέντοι, καὶ ὡς αἰτία πάντων ποιητική, ᾗ καὶ ἡ εἰδικὴ αἰτία συνέπεται· οὐδὲν γὰρ ἄνευ εἴδους ποιεῖ, ἀλλ' ἐπὶ μὲν τῶν ἄλλων ταῦτα διακέκριται καὶ διαφόροις διακρίσεων τρόποις, ἡ δὲ τῶν ὄντων πάντων αἰτία καὶ εἶδος ἡ αὐτή ἐστι πάντων ὑπερφυὴς ὡς οἰκοθεν ἔχουσα τὸ ποιεῖν, ἐπειδὰν βουληθείη οὐδαμόθεν ἄλλως συνεργουμένη. Εἶδος οὖν ἁπλοῦν τε καὶ ἓν ὁ θεῖος Λόγος ὑπάρχει, καὶ τῇ πρὸς τὰ κτίσματα ἀποβλέψει, τοὺς γὰρ διαφόρους λόγους τῶν ὄντων ἐν ἑαυτῷ περιέχει, δι' ἀπειρίαν φύσεως καὶ δυνάμεως, ὑφ' ἑνὶ τῷ ἁπλουστάτῳ τῆς αὐτοῦ θεότητος εἴδει ὁ πρὸς τὸν Πατέρα νοεῖται σκοπούμενος, καὶ τοῦ μὲν πρώτου νοῦ τοῦ Θεοῦ καὶ Πατρὸς ἐμφαντικός ἐστι μόνον ἐν ἑαυτῷ ὡς εἰκὼν αὐτοῦ κατὰ φύσιν, καὶ A εἶδος σύμφυτον, τῶν δὲ δι' αὐτοῦ γενομένων πάντων ἔξω ποιητικὸς, ὥστ' εἶναι μᾶλλον αὐτὰ τοῦ θείου Λόγου εἰκόνας κατὰ διάφορον ὁμοιότητα, ἄλλα ἄλλων ὑφαλοτέραν τε καὶ θαμαλωτέραν πάσας μέντοι γε ἔχνους ὁμοιότητας εἶναι ὡς καθ' ὁμοιότητα βουλήσεως καὶ φύσεως, ἐκεῖθεν πάντων γινομένων καὶ ὄντων.

Ἐξῄρηται δὲ τῶν ἄλλων ἡ ἐν τοῖς ἀνθρώποις εἰκὼν, ὡς καὶ καθ' ὁμοίωσιν οὖσα ὑψηλοτέραν, καὶ τῆς ἐν τῷ Θεῷ Τριάδος ἔργον ἰδιαιτάτως οὖσα καὶ ἀπεικόνισμα. Οὗτος τοίνυν ὁ τοῦ Θεοῦ Λόγος, δι' οὗ πάντα γέγονε, τὸ ποιητικὸν τῶν ὄντων ἁπάντων καὶ ἁπλούστατον καὶ ἄπειρον καὶ πάνσοφον εἶδος, ἄνθρωπον ὑποστήσας οὐ κεχωρισμένον ἑαυτοῦ, καθάπερ τ'ν πρῶτον ἔπλασεν ἄνθρωπον καὶ τοὺς ἐξ ἐκείνου διαδοχῇ, ἀλλ' ὡς ὄργανον τῆς αὐτοῦ θεότητος αὐτῷ B συνημμένον, πρὸς τὴν τῆς οἰκονομίας χρείαν ἐπὶ σωτηρίᾳ τοῦ πλάσματος, εὐλόγως τὸν συναφθέντα αὐτῷ οὕτως ἄνθρωπον, ὡς καθόλου δεδημιούργηκεν ἄνθρωπον, ἅτε τῷ ὑπερφυεῖ καὶ δημιουργῷ τῆς ἀνθρωπότητος εἴδει καὶ πάντων ἁπλῶς τῶν ὄντων συνόντα προσωπικῶς ἰδιαίτερον καὶ τούτῳ εἰδοποιούμενον, οὐ φύσει, ἀλλὰ ὑπερφυεῖ· ὅθεν ὁ τῷ θείῳ Λόγῳ συναφθεὶς ἄνθρωπος οὐ κατὰ τοὺς ἄλλους ἀνθρώπους εἰκών ἐστι τοῦ Θεοῦ μόνον καὶ ὁμοίωσις, ἀλλὰ καὶ θεότητος ὄργανον τῆς τοῦ Λόγου ἰδιαιτέρως, ἅτε προσωπικῶς αὐτῷ συνημμένον, καὶ ταύτῃ, ὡς εἶδει κοινῷ μὲν τῶν ὄντων ποιητικῷ καὶ αὐτοῦ, ἰδίῳ δὲ ἐξόχως καὶ ὑπερφυῶς ὑφιστάμενον.

C Ἐῶμεν δὲ τὴν ἄλλην τῆς ἐν Χριστῷ ἀνθρωπότητος δόξαν τῷ ἡμετέρῳ Δεσπότῃ, ἣν ὑπερεδοξάσθη τοῖς ὑπὲρ τῶν ἀνθρώπων ἀγῶσι καὶ ὑπερύψωται, τῆς ἐκ τοῦ συναφθῆναι προτέρας δόξης ὑψηλοτέραν καὶ ὄντως θεοπρεπῆ· ἄλλος γὰρ περὶ τούτων ὁ λόγος. Οὐκοῦν τοιοῦτος ὢν ὁ ἐν τῷ Χριστῷ ἄνθρωπος, καὶ τοσαύτην ἀξίας εὐρύτητα καὶ δυνάμεως ἔχων, ᾗ τῶν ἀνθρώπων πάντων τὴν φύσιν διατρέχει καὶ περιέχει, κατά γε τὴν φύσιν ἑκάστῳ τε καὶ πᾶσιν ὁ αὐτὸς γεγονὼς τὴν ἀρχὴν ὡς ἀληθὴς ἄνθρωπος εὐλόγως καὶ πάσῃ τῇ τῶν ἀνθρώπων φύσει διαλλακτὴς γέγονε πρὸς τὸν συνόντα προσωπικῶς Υἱὸν τοῦ Θεοῦ, καὶ δι' αὐτοῦ πρὸς τὸν Θεὸν καὶ Πατέρα, τοῖς οἰκείοις ὑπὲρ ἁπάντων παθήμασι καὶ δίκης τῆς πᾶσιν ὠφλημένης ἀποδότης ἐν ἑαυτῷ καὶ μεσίτης καὶ λυτρωτὴς, καὶ σπέρμα πνευματικὸν, τῆς δι' αὐτὸν D ἀληθοῦς ἀνθρωποτήτος καὶ εἶδος τῆς ἀνθρωπότητος ὁπόση τοῖς αὐτοῦ νόμοις μορφοῦται, καὶ τοῖς αὐτοῦ συμμορφοῦται παθήμασι, καὶ πρωτότοκος τῶν νεκρῶν, καὶ πρόδρομος εἰς οὐρανὸν τῶν ἀξίων, καὶ προμηθεὺς ἐκεῖθεν τῶν αὐτῷ προσεχόντων καὶ τῶν τῆς οἰκονομίας ἐκείνης καλῶν ἐκβιβαστὴς ἀδιάλειπτος, ταῖς ἄνωθεν ὑπ' αὐτοῦ χορηγίαις, καὶ δικαστὴς, ἐπειδὰν τῆς συντελείας ἐπιστῇ καιρὸς καὶ τοῖς δικαιωσομένοις, τῆς οὐρανίου εὐεργέτης καὶ κτίστης, καὶ ὡς πατὴρ, τέκνοις γνησίοις, συνεστιάτωρ καὶ σύνεδρος· αὐτῷ θεανθρώπῳ Δεσπότῃ ἡμῶν Χριστῷ, δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ADDENDA AD OPERA MARCI EPHESII

—

ΤΟΥ ΣΩΦΩΤΑΤΟΥ ΚΑΙ ΛΟΓΙΩΤΑΤΟΥ

ΜΑΡΚΟΥ ΕΥΓΕΝΙΚΟΥ

ΜΕΤΡΟΠΟΛΙΤΟΥ ΕΦΕΣΟΥ

ΕΞΗΓΗΣΙΣ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΑΚΟΛΟΥΘΙΑΣ.

—

SAPIENTISSIMI DOCTISSIMIQUE

MARCI EUGENICI

EPHESI METROPOLITÆ

EXPOSITIO OFFICII ECCLESIASTICI.

(Edita ad calcem Operum Symeonis Thessalonicensis, ἐν Γιασίῳ τῆς Μολδοβίας, 1685, fol.)

—

Necesse quidem foret, juxta præceptum, indesinenter orare et ad Deum adorationem in Spiritu et veritate dirigere ; sed præsentis vitæ curis objectis, et his quæ circa corpus versantur cogitationibus confluentibus impediuntur plerique ; removeturque regnum Dei quod intra nos est, ut requirit Dominicus sermo ; prohibenturque ne spirituali assistant altari, spirituales in illud et rationabiles hostias Deo afferentes, secundum divinum Apostolum, quoniam Dei viventis templum sumus nos, et Spiritus ejus divinus in nobis habitat. Nihilque mirum id si in multis et circa carnem occupatis accidere solet, cum eorum qui se hujus sæculi rebus abdicaverunt, nonnullos videmus rationabiliter adversus passionum tentationes dimicantes, exinde multum excitare pulverem, qui animi intellectum obcæcat ; nondumque ad veram precem eliciendam pervenientes, etsi voluntas non desit ; jucunda est in corde continua et indesinens Jesu memoria et ex ea ineffabilis illuminatio. Idcirco a sanctis divinisque nostris Patribus, qui a Jesu Christo et apostolis acceperunt, statuta sunt ad orandum tempus et locus ; cum quasi necessariam hanc et præstitutam inducerent liturgiam, ab iis Deo præstandam qui non prorsus belluino more vivunt ; imo et corporalis dispositionis habitus, et inclinatio ad quam intendentes oportet orare ; et præsertim ejus qui orat animi dispositio. Locum vero, habitum, et animi dispositionem describit divus Apostolus di-

Ἔδει μὲν κατὰ τὴν κελεύουσαν ἐντολὴν ἀδιαλείπτως προσεύχεσθαι, καὶ τὴν ἐν Πνεύματι καὶ ἀληθείᾳ προσκύνησιν τῷ Θεῷ ἀναφέρειν· ἀλλ' ἡ πρὸς τὰ βιωτικὰ τῶν λογισμῶν ἀσχολία, καὶ ὁ τῶν περὶ σῶμα φροντίδων ἐσμὸς, ἀπάγει τοὺς πολλοὺς, καὶ ἀφίστησι τὴν βασιλείαν τοῦ Θεοῦ, ἐντὸς ἡμῶν οὖσαν, ὡς ὁ Κυριακὸς λόγος ἐπιζητεῖ, καὶ τῷ νοητῷ προσεδρεύειν θυσιαστηρίῳ, τὰς πνευματικάς τε καὶ λογικὰς θυσίας προσφέροντας ἐπ' αὐτοῦ τῷ Θεῷ, κατὰ τὸν θεῖον Ἀπόστολον, εἴπερ ἐσμὲν ναὸς Θεοῦ ζῶντος ἡμεῖς, καὶ τὸ Πνεῦμα αὐτοῦ τὸ θεῖον οἰκεῖ ἐν ἡμῖν. Καὶ θαυμαστὸν οὐδὲν, εἰ ἐπὶ τῶν πολλῶν καὶ κατὰ σάρκα ζώντων τοῦτο συμβαίνειν εἴωθεν, ὅπου γε καὶ τῶν ἀποταξαμένων τοῖς κοσμικοῖς πράγμασιν ἐνίους ὁρῶμεν διὰ τὸ λογιστικῶς μάχεσθαι ταῖς προλήψεσι τῶν παθῶν, καὶ πολὺν ἐντεῦθεν κονιορτὸν ἐγείρειν, ἐπισκοτοῦντα τὸ νοερὸν τῆς ψυχῆς, οὔπω δυναμένους ἐφικέσθαι τῆς ἀληθοῦς προσευχῆς, καὶ πολλὰ βουλομένους, ἡδέα ἐστὶν ἡ ἐν καρδίᾳ συνεχὴς καὶ ἄπαυστος Ἰησοῦ μνήμη, καὶ ὁ ἐξ αὐτῆς γινόμενος ἄῤῥητος φωτισμός. Διὰ τοῦτο τοῖς ἱεροῖς καὶ θείοις ἡμῶν Πατράσιν ἐξ αὐτοῦ τοῦ Χριστοῦ καὶ τῶν ἀποστόλων παρειληφόσιν ἐπινενόηται πρὸς τὴν προσευχὴν καιρός τε καὶ τόπος, τοὺς μὴ πάντη κτηνώδεις ἐνάγοντες καθάπερ ἀναγκαίαν τινὰ ταύτην καὶ ἐμπρόθεσμον εἰσφέρειν Θεῷ λειτουργίαν, ἔτι τε σωματικῆς διαθέσεως σχῆμα, καὶ κλίμα, πρὸς ὃ δεῖ ἀφορῶντας εὔχεσθαι, καὶ πρὸ τούτων ἡ τοῦ εὐχομένου κατάστασις τῆς ψυχῆς.

Τὸν μὲν οὖν τόπον καὶ σχῆμα καὶ τὴν κατάστασιν τῆς ψυχῆς ὁ θεῖος Ἀπόστολος ὑπογράφει, ἐν οἷς φησι. *Βούλομαι τοὺς ἄνδρας προσεύχεσθαι ἐν παντὶ τόπῳ ἐπαίροντας ὁσίας χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμῶν.* Σύμφωνα δὲ τούτοις εἰς μὲν τὸν τόπον τὸ προρρητικὸν ἐκεῖνο· *Ἐν παντὶ τόπῳ θυμίαμά μοι προσφέρεται, λέγει Κύριος, καὶ θυσία καθαρά·* θυμιάματος ἐνταῦθα δηλαδὴ τῆς προσευχῆς νοουμένου, καὶ θυσίας τῆς λογικῆς αἰνέσεως· *Θῦσον γὰρ τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ Ὑψίστῳ τὰς εὐχάς σου·* εἰς δὲ τὸ σχῆμα τὸ ἐν Ψαλμοῖς εἰρημένον, *Ἔπαρσις τῶν χειρῶν μου, θυσία ἑσπερινή.* Πρὸς δὲ τὴν κατάστασιν τῆς ψυχῆς ὁ Σωτὴρ ἀπεφήνατο λέγων· *Ὅταν στήκητε προσευχόμενοι, ἀφίετε εἴ τι ἔχετε κατά τινος, ἵνα καὶ ὁ Πατὴρ ὑμῶν ἀφῇ τὰ παραπτώματα ὑμῶν.* Κλίμα δὲ δηλονότι τὸ πρὸς ἀνατολὰς ἐγκριτέον, ὡς ἥ τε ἀρχαία παράδοσις βούλεται, καὶ Σολομὼν ἐν τῇ Σοφίᾳ διδάσκει, *Ὅπως γνωστὸν ᾖ, ὅτι δεῖ φθάνειν τὸν ἥλιον ἐπ' εὐχαριστίαν σου, καὶ πρὸ ἀνατολῆς φωτὸς ἐντυγχάνειν σοι.* Πᾶς μὲν οὖν τόπος εἰς προσευχὴν ἐπιτήδειος, βέλτιον δ' ἴσως ἐν ἀποτεταγμένῳ μέρει τοῦ οἴκου, τῷ σεμνοτέρῳ τε καὶ τιμιωτέρῳ τὰς προσευχὰς ποιεῖσθαι. Καὶ πρὸς τοῦτο ἔοικε τείνειν προχείρως ἐκλαμβανόμενον τὸ, *Ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμιεῖόν σου.* Καὶ ἔτι βέλτιον ἐν ἱεροῖς τεμένεσι καὶ ναοῖς, ἐπεὶ καὶ προσευχῆς οἶκοι καλοῦνται, καὶ ἐν αὐτοῖς τὰ Ἅγια τῶν ἁγίων, ἐν οἷς ἡ μυστικὴ καὶ ἀναίμακτος ἱερουργία τελεῖται, ὅπου παρακύψαι ἐπιθυμοῦσιν ἄγγελοι, καὶ τῷ ἱερῷ σφραγιζόμενοι μύρῳ, καὶ τοῖς μαρτυρικοῖς λειψάνοις ἁγιαζόμενοι, πολύ τι συμβάλλονται τοῖς προσευχομένοις. Καὶ ὁ Ψαλμῳδὸς δέ φησι· *Προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ,* ὡς ἔξω τῆς αὐλῆς προσκυνεῖν οὐ πάνυ τι συγκεχωρημένον. Ἀλλὰ καὶ γονυκλιτεῖν ἔσθ' ὅτε καὶ ὅπου δεήσει, καθὼς ὁ Ἀπόστολος λέγει· *Τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν Πατέρα, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται.* Καὶ ἀλλαχοῦ, *Θεὶς τὰ γόνατα σὺν πᾶσιν αὐτοῖς προσηύξατο.* Καὶ ἔτι πρὸς ταῖς χερσὶ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν αἴρειν, ὡς ὁ Κύριος ὑπέδειξε προσευχόμενος ἐπὶ Λαζάρῳ, τοῦ μὲν τὴν ἀνάστασιν τῆς ψυχῆς πρὸς Θεὸν καὶ τῶν γηΐνων ἀπόστασιν ἐμφανῶς δηλοῦντος, τοῦ δὲ τὴν ὑπόπτωσιν αὖθις καὶ δουλικὴν ἱκεσίαν. Καὶ ταῦτα μὲν οὕτως· ὁ δὲ καιρὸς ἐπταχῇ διῄρηται τῆς ἡμέρας παρὰ τοῖς θείοις Πατράσιν, ἐκ τοῦ Δαβὶδ εἰληφότι φάσκοντος, *Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου.* Ἡμέρας ἐνταῦθα τοῦ νυχθημέρου συνεκδοχικῶς νοουμένου, ὡς καὶ ἐν τῇ Γενέσει· *Καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα μία.* Τάχα δὲ καὶ τὸ διὰ πάσης ἡμῶν τῆς ζωῆς εὔχεσθαι δεῖν τῷ Θεῷ διαγράφειν ἔοικεν ὁ ἑπτὰ ἀριθμός, ὡς μέτρον τε χρόνου, καθ' ὃν ἐν τῷ κόσμῳ τούτῳ βιοῦμεν, καὶ αἰώνων πέρας.

A cens : *Volo ergo viros orare in omni loco levantes puras manus, sine ira et disceptatione* [1]. Quibus consonum est, de loco quidem, illud propheticum : *In omni loco incensum mihi offertur, dicit Dominus, et oblatio munda* [2] : ubi incensum manifeste orationis intelligitur et oblatio rationabilis laudis : *Offer enim Deo oblationem laudis, et redde Altissimo preces tuas* [3]. De habitu autem hoc in Psalmis dictum : *Elevatio manuum mearum sacrificium vespertinum* [4]. De animi vero dispositione, hanc declaravit Salvator dicens : *Cum stabilis ad orandum, dimittite si quid habetis adversus aliquem, ut et Pater vester dimittat peccata vestra* [5]. Inclinationem tandem liquet faciendam esse orientem versus, sicut et antiqua vult traditio et docet in Sapientia B Salomon : *Ut notum omnibus esset quoniam oportet prævenire solem ad benedictionem tuam, et ad orientem lucis te adorare* [6]. Omnis igitur ad orandum aptus est locus ; potius tamen est fortasse in parte domus secreta decentioreque et ornatiori preces fundere. Quam ad rem facile pertinere videntur verba evangelica : *Cum oraveris, intra in cubiculum tuum* [7]. Sed potius adhuc erit (si fiat) sacris in septis templisque ; nam et vocantur orationis domus, et in illis Sancta sunt sanctorum in quibus mysticum incruentumque sacrificium conficitur, ubi adorare cupiunt angeli, ubi sacro signati unguento et martyrum reliquiis sanctificati magna ex parte orantibus junguntur. Psalmista quoque dicit : *Adorate Dominum in atrio sancto* C *ejus* [8], quasi extra atrium adorare prorsus non liceret. Sed et genu flectendum est quando et ubi oportebit, ut Apostolus dicit : *Hujus rei gratia flecto genua mea ad Patrem, ex quo omnis paternitas in cælo et in terra nominatur* [9] ; et alibi : *Positis genibus oravit cum omnibus illis* [10]. Imo etiam cum manibus oculi levandi sunt, ut ostendit Dominus cum oraret pro Lazaro ; hoc enim elevationem mentis ad Deum et rerum terrestrium repudiationem manifeste significat ; illud autem humiliationem rursus et servilem supplicationem. Et hæc ita se habent. Tempus autem diei septifariam a divis Patribus dividitur, ex verbis Davidis dicentis : *Septies in die laudem dixi tibi super judicia* D *justitiæ tuæ* [11]. Die ibi synecdochice de die et nocte intelligitur, ut et in Genesi : *Et factum est vespere et factum est mane dies unus* [12]. Mox etiam, quod per totam vitam nostram Deum orare oporteat, numerus septenarius innuit, quasi et temporis quo vivimus hoc in mundo mensura et sæculorum finis.

Περὶ τοῦ μεσονυκτικοῦ.

Ἀρχὴ δὲ πάντων τῶν εἰς Θεὸν ὕμνων καὶ προσ-

De hymno et precibus quæ media nocte peraguntur.

Omnium in Deum hymnorum et precum initium

[1] I Tim. II, 8. [2] Malach. I, 11. [3] Psal. XLIX, 14. [4] Psal. CXL, 2. [5] Matth. VI, 14. [6] Sap. XVI, 28. [7] Matth. VI, 6. [8] Psal. XCV, 9. [9] Ephes. III, 15. [10] Act. XX, 36. [11] Psal. CXVIII, 164. [12] Gen. I, 5.

est tempus mediæ noctis. Tunc enim e somno evigilantes et hanc de tenebris erroris ad liberam secundum Christum lucentemque vitam conversionem subindicamus, ex qua Deo servire incepimus : *Populus enim*, ait, *sedens in umbra vidit lucem magnam* [13]. Cum enim in medio hac hujus vitæ effusa nocte in mundum peregrinatus est Salvator et una (subindicamus) hunc futurum adventum, quando animarum sponsus media nocte secum prudentes introducens in impolluta cubicula, ubi festa celebrantium clamor et vox jubilationis non habentis finem: *Surge*, ait, *qui dormis, et exsurge a mortuis, et illuminabit te Christus* [14]. Sed etiam hinc diem resurrectionis, et dierum solemniorem, uno verbo, omnem diem incipimus, abundanti igne obscuritatem noctis illustrantes. Et adhuc sane ex parte, et minoris partis temporis divisi scilicet noctis, et diei manentis indivisi, hinc merito hymnorum in Deum initium faceremus unde vigilantes manemus quoadusque nox iterum superveniens ad quietem nos revocet. Exemplum præbent et David dicens : *Media nocte surgebam ad confitendum tibi* [15] ; et in Novo Testamento Paulus et Silas media nocte hymnis Deum orantes, quando quidem factum est illud magnum miraculum quo soluta sunt eorum vincula, et ad fidem conversus est custos. Et primum procumbentes ter adoramus, demissa voce dicentes hæc Publicani verba : *Deus, propitius esto mihi peccatori* ; et istius modum orandi vel ipso habitu imitantes : *Nolebat*, enim, ait Christus, *vel oculos ad cœlum levare* [16]. Postea inclinatos iterum surgere significaret animarum in hac vita constitutionem in modum Euripi refluentis et iterum profluentis quod non oportet in malitia jacentes manere, sed assurgere adjuvante Spiritu in orationibus infirmitates nostras.

τούτῳ καταστάσεως τῶν ψυχῶν, Εὐρίπου δίκην ἐπὶ ὡς οὐ δέον ἐγκαταμένειν τῇ πονηρίᾳ κειμένους, ματος ἐν τῇ προσευχῇ ταῖς ἀσθενείαις ἡμῶν.

Omnem igitur orationem sive incipientes sive finientes sic agimus, indicantes nobis ad Deum in humilitate accedendum, et eodem modo ad debita opera euntibus ab eo abscedendum. Protinusque cum in ecclesia sumus et sacerdotem habemus comprecantem, orationem inchoat ille Deo dicens et quæ ad gratias agendum ex verbis apostolorum accepit ; apostolorum enim coryphæus Petrus, in prima epistola catholica statim a principio : *Benedictus*, ait, *Deus et Pater Domini nostri Jesu Christi* ; et eadem etiam divus Paulus habet et in secunda ad Corinthios, et in unica ad Ephesios et in aliis quoque. — *Per preces sanctorum Patrum nostrorum*. — Ipsi autem cum separatim sumus, non jam gratias agimus sed orationem supplices inchoamus, et sanctos Patres nostros intercessores et mediatores adhibemus. Misericordiam consequi quam petimus justum est. Sacerdos enim utpote

A εὐχῶν ὁ τοῦ μεσονυκτίου καιρός. Ἐν αὐτῷ γὰρ τοῦ ὕπνου ἐξεγειρόμενοι, τήν τε ἐκ τοῦ σκότους τῆς πλάνης πρὸς τὴν κατὰ Χριστὸν ἐλευθέραν καὶ φωτεινὴν ζωὴν ὑποδηλοῦμεν μετάθεσιν, ἀφ' ἧς ἠρξάμεθα τῷ Θεῷ λατρεύειν. *Ὁ λαὸς* γὰρ, φησὶν, *ὁ καθήμενος ἐν σκότει εἶδε φῶς μέγα.* Ἐπεὶ καὶ ἐν τῷ μέσῳ τοῦ βίου τῆς κεχυμένης τῇδε νυκτὸς ἐπεδήμησεν ὁ Σωτὴρ εἰς τὸν κόσμον, καὶ ἅμα τὴν μέλλουσαν ἐκείνην ἀποκατάστασιν, ὅτι ὁ τῶν ψυχῶν νυμφίος ἐλεύσεται μέσης νυκτὸς, συνεισαγαγὼν ἑαυτῷ τὰς φρονίμους εἰς ἀκηράτους παστάδας, ὅπου ἑορταζόντων ἦχος καὶ φωνὴ ἀγαλλιάσεως, οὐκ ἐχούσης πέρας, *Ἔγειραι*, φησὶν, *ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός.* Ἀλλὰ καὶ τῆς ἀναστασίμου καὶ κυρίας τῶν ἡμερῶν, ταύτην δὲ εἰπεῖν, ἁπάσης ἡμέρας ἐντεῦθεν ἀρχόμεθα, B δαψιλεῖ τῷ πυρὶ τὸ τῆς νυκτὸς ἐλλεῖπον καταφωτίζοντες. Καὶ πρός γε ἔτι τοῦ μὲν χείρονος μέρους τοῦ χρόνου διαιρουμένου, δηλαδὴ τῆς νυκτὸς, τῆς δὲ ἡμέρας ἀδιαιρέτου μενούσης, εἰκότως ἂν ἐντεῦθεν ποιούμεθα τὴν ἀρχὴν τῶν πρὸς Θεὸν ὕμνων, ἀφ' οὗ καὶ γρηγοροῦντες διατελοῦμεν, ἕστ' ἂν ἡ νὺξ ἐπιλαβοῦσα πάλιν, εἰς τὴν ἀνάπαυσιν παραπέμψῃ. Ὑπόδειγμα δὲ ὅ τε Δαβὶδ λέγων, *Μεσονύκτιον ἐξηγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι.* Καὶ ἐν τῇ Καινῇ Παῦλος καὶ Σίλας, εἰ κατὰ τὸ μεσονύκτιον προσευχόμενοι ὕμνουν τὸν Θεὸν, ὅτε δὴ καὶ τὸ μέγα γέγονε θαῦμα τῆς αὐτῶν ἀνέσεως τῶν δεσμῶν, καὶ τῆς τοῦ δεσμοφύλακος εἰς τὴν πίστιν ἐπιστροφῆς. Καὶ πρῶτα μὲν ὑποπίπτοντες ἐπὶ τρεῖς προσκυνοῦμεν, C ὑποφθεγγόμενοι τὰς τελωνικὰς ἐκείνας φωνάς· *Ὁ Θεὸς, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ*, μιμούμενοι κἀν τῷ σχήματι τῆς προσευχῆς ἐκείνου τὸν τρόπον· *Οὐκ ἤθελε* γὰρ, φησὶν, *οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἐπᾶραι·* ἔπειτα καὶ τὸ προσκλινομένους ἀνίστασθαι πάλιν σημεῖον ἂν εἴη τῆς ἐν τῷ βίῳ τὸ χεῖρόν τε ὑποφερομένης, καὶ αὖθις ἀναγομένης· ἀλλ' ἀνίστασθαι συναντιλαμβανομένου τοῦ Πνεύ-

Πάσης οὖν προσευχῆς ἀρχόμενοί τε καὶ λήγοντες οὕτω ποιοῦμεν, δηλοῦντες ὡς ἐν ταπεινώσει προσιτέον τε Θεῷ, καὶ αὖθις ἀποστατέον, ἐπὶ τὰ προσήκοντα τῶν ἔργων μεταχωροῦντας. Ἐξῆς δὲ ἐν ἐκκλησίᾳ μὲν ὄντες, καὶ ἱερέως εὐπορούντες συνευχομένου, τοῦτον ἔχομεν προανακρούμενον τὴν εὐχὴν, καὶ τὰ τῆς εὐχαριστίας Θεῷ D προσφθεγγόμενον ἐκ τῶν ἀποστολικῶν ῥημάτων ἐξειληφότα. Πέτρος μὲν γὰρ ὁ κορυφαῖος ἐν τῇ τῶν Καθολικῶν πρώτῃ μετὰ τὴν προγραφὴν εὐθέως, *Εὐλογητὸς*, φησὶν, *ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.* Αὐτὰ δὲ ταῦτα καὶ ὁ θειότατος Παῦλος ἔν τε τῇ πρὸς Κορινθίους δευτέρᾳ, καὶ τῇ πρὸς Ἐφεσίους, καὶ δὴ καὶ ἐν ἄλλαις. —*Διὰ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν.* — Αὐτοὶ δὲ καθ' ἑαυτοὺς ὄντες, οὐκέτι μὲν εὐχαριστήριον, ἱκέσιον δὲ προφέρομεν τὴν εὐχὴν, καὶ τοὺς ἁγίους ἡμῶν Πατέρας μεσίτας καὶ πρέσβεις παραλαμβάνο-

[13] Isa. IX, 2 ; Matth. IV, 16. [14] Ephes. V, 14. [15] Psal. CXVIII, 62. [16] Luc. XVIII, 13.

μεν. Οὐ τυχεῖν ἐλέους αἰτοῦμεν, εἰκότως. Ὁ μὲν γὰρ ἱερεὺς, αὐτὸς ὢν ὁ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, εἰκόνα σώζων Χριστοῦ, καθάπερ ἤδη βεβαίαν ἔχων πληροφορίαν περὶ τῶν αἰτημάτων, εὐχαριστεῖ τῆς τε εἰς τὸ εἶναι ἡμῶν παραγωγῆς ἕνεκα, καὶ τῶν ἀρχῆθεν αὐτοῦ πρὸς ἡμᾶς δωρημάτων, καὶ τῶν ὕστερον διὰ τῆς τοῦ Μονογενοῦς σαρκώσεως καὶ ἐπιφανείας, καὶ ἔτι τῶν νῦν αἰτουμένων τε καὶ δεομένων· ὥσπερ αὐτὸς ὁ Σωτὴρ ἡμῶν ἐπὶ τῷ Λαζάρῳ, καὶ πρὶν ἀναστῆσαι τὸν κείμενον, *Εὐχαριστῶ σοι*, πρὸς τὸν Πατέρα φησὶν, *ὅτι μου ἤκουσας*. Ἡμεῖς δὲ οἱ πολλοὶ, τῶν ἰδίων μέτρων ἐπιγνώμονες ὄντες, ἐλεηθῆναι αἰτούμεθα, κατὰ τὸν τυφλὸν ἐκεῖνον, οὐχ υἱὸν μέντοι Δαβὶδ, Θεοῦ δὲ Υἱὸν τὸν Σωτῆρα ἡμῶν ὀνομάζοντες, ὡς ἕτερός που τυφλὸς μετὰ τὸ ἀναβλέψαι σύναμα τοῖς αἰσθητοῖς τοὺς νοητοὺς ὀφθαλμούς. Καὶ γὰρ ἡμεῖς ἐκ σκότους ἐκλήθημεν εἰς τὸ θαυμαστὸν τοῦ Θεοῦ φῶς, ἀλλὰ καὶ οὕτω διὰ τῶν ἁγίων ἡμῶν Πατέρων πίστει τεύξεσθαι προσδοκῶμεν τοῦ ἐπὶ πάντων Θεοῦ. — *Δόξα σοι, ὁ Θεὸς, ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.* — Τούτοις καὶ ἡμεῖς συνάπτομεν ὀοξολογίας τῆς εἰς Θεὸν μικρὰ ἅττα ῥήματα, τὰς τῶν ἀγγέλων μιμούμενοι θείας φωνὰς, αἳ πρῶται τῷ ἐπὶ γῆς σαρκουμένῳ Θεῷ προσηνέχθησαν, τὸ, *Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.* — *Βασιλεῦ οὐράνιε.* — Καὶ μετὰ ταῦτα τροπάριόν τι συντεθειμένον ἐπὶ τῇ κατὰ τὴν Πεντηκοστὴν εἰς τοὺς μαθητὰς καθόδῳ τοῦ θείου Πνεύματος, αὐτὸν ἐλθεῖν τὸν Παράκλητον προσκαλούμενοι, ἐφ' ᾧ τὴν ἐν ἡμῖν ἐνοῦσαν ἀφανίσαντα πονηρίαν, ἀξίους ἀναδεῖξαι τοῦ παρεστάναι Θεῷ. — *Ἅγιος ὁ Θεός.* — Εἶτα τὸν Τρισάγιον λεγόμενον ὕμνον, ὃν συνέθετο μὲν ἡ Ἐκκλησία παρὰ τοῦ Ἡσαΐου λαβοῦσα, ἡνίκα τῆς θαυμαστῆς ἠξιοῦτο τῶν Σεραφὶμ θεωρίας, καὶ ἔτι προσχρησαμένη τοῖς τοῦ Δαβὶδ ῥήμασιν, ἐν οἷς φησιν, *Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν, τὸν ἰσχυρὸν, τὸν ζῶντα*· ἐκύρωσε δὲ Θεὸς ἀμφιγνοούμενον ἄνωθεν, ὅτε διὰ τῆς ἁρπαγῆς τοῦ παιδὸς ἐμήνυσεν οὕτως ᾄδοντας τοὺς ἀγγέλους, ὃν καὶ τρισσοῦντες, εἰς τιμὴν καὶ τοῦτο τῆς προσκυνητῆς Τριάδος, τοσαυτάκις καὶ προσκυνοῦμεν, ἐπιδεικνύντες ἡμῶν τὸ εὐλαβὲς περὶ τὸν ἀγγελικόν τε καὶ θεῖον ὕμνον. — *Δόξα Πατρὶ.* — Εἶτα καὶ ὀνομάσαντες αὐτὰ τὰ θεαρχικὰ πρόσωπα, καὶ δόξαν αὐτοῖς προσήκειν εἰπόντες, οὐ νῦν μόνον, ἀλλὰ καὶ ἀεὶ καὶ εἰς αἰῶνα τὸν ἅπαντα, ἐπισυνάπτοντες ἐντικῶς ἐκφωνοῦμεν. — *Παναγία Τριὰς.* — Καὶ αὖθις ἐπικαλούμενοι ταῦτα, τὸν μὲν Πατέρα Κύριον ὀνομάζοντες ὡς ζημιουργὸν, τὸν Υἱὸν δὲ Δεσπότην, ὡς καὶ τοῦ ἰδίου αἵματος ἡμᾶς ἀγοράσαντα, τὸν δὲ Παράκλητον ἅγιον, ὡς ἰδίως τὴν ἐπωνυμίαν τε καὶ ἐνέργειαν ταύτην πεπλουτηκότα, παρὰ τοῦ μὲν Πασμὸν ἁμαρτιῶν ἐξαιτοῦμεν, παρὰ του δὲ τὸ πλέον τὴν συγχώρησιν τούτων, παρὰ τοῦ δὲ τὸ λοιπὸν, ἐπισκεφθῆναί τε καὶ ἰαθῆναι τὰς ἀσθενείας. Νοσοποιὸν γάρ τι καὶ δεινὸν ἁμαρτία τὴν ἕξιν τῆς ψυχῆς διαφθεῖρα·

ipse mediator Deum inter et homines Christique personam gerens, quasi jam certam habens fidem de petitis, gratias agit et de creatione nostra, et de nobis ab initio concessis donis, et de postea per Unigeniti incarnationem revelationemque datis, et adhuc de iis quæ in præsentia petimus et quæ nobis sunt concedenda : sicut ipse Salvator noster in Lazaro, et prinsquam jacentem suscitaret : *Gratias ago tibi*, ad Patrem ait, *quia me audiisti*[17]. Nos autem plerique, de propriis limitibus conscii, misericordiam petimus pro more cæci, non jam Davidis filium, sed Dei invocantes Salvatoremque nostrum, ut et alter fecit cæcus postquam tum corporis tum animi oculis illuminatus est. Enimvero nos e tenebris vocati sumus in admirabili Dei lumine, sed etiam sic per sanctos nostros Patres propitium habere omnium Deum speramus. — *Gloria tibi, Deus spes nostra, Domine, gloria tibi.* — His et nos adjungimus de laude Dei parva quadam verba, angelorum divinas voces imitantes, quæ primæ Deo in terra incarnato allatæ sunt, illud : *Gloria in altissimis Deo, et in terra pax, in hominibus bona voluntas*[18]. — *Rex cælestis.* — Et postea troparium quoddam, in descensum Spiritus sancti in discipulos die Pentecostes compositum, orantes ipsum Paracletum ut veniat et, quæ nobis inest malitia deleta, dignos nos reddat qui Deo assistamus. — *Sanctus Deus.* — Inde hymnum Trisagion dictum quem sibi ex Isaia quando ille mirabili Seraphim visione dignatus fuit, excerpens Ecclesia composuit, verbis etiam Davidis utens in quibus dicit : *Sitivit anima mea ad Deum fortem, vivum*[19] : quem de cœlo confirmavit Deus hæsitantem, quando per raptum pueri revelavit angelos sic canentes hymnum, et quidem ternum canentes in honorem adorandæ Trinitatis, toties et adoramus, nos pietatem nostram erga angelicum divinumque hymnum significantes. — *Gloria Patri.* — Exinde tres omnipotentes personas ipsas postquam nominavimus et ad eas gloriam non tantum nunc, sed et semper et per omne sæculum pertinere, postquam diximus, in unum jungentes pronuntiamus. — *Sanctissima Trinitas.* — Et rursus invocantes eas, Patrem quidem, Dominum nominamus ut creatorem ; Filium vero, magistrum nostrum, utpote qui nos sanguine suo redemit, et Spiritum sanctum, utpote qui nomen hoc hancque virtutem proprie possidet. Ab uno quidem propitiationem peccatorum petimus ; ab altero magis horum condonationem, ab altero reliquum, inspiciendas sanandasque infirmitates. Aliquid enim habet peccatum quod nos ægrotos reddat, et animæ valetudinem corrumpere queat : cui culpa liberatæ animæ Deo opus est corroborante. Et rursus in unum contrahentes addimus, — *Nominis tui causa.* — Quod igitur nomen ? Misericors, ait, et miseratione Dominus plenus, longanimis et valde miserens, cujus rei gratia et ab ipso

[17] Joan. xi, 41. [18] Luc. ii, 14. [19] Psal. xli, 3.

Domino ter ut misericordiam consequamur petimus. — *Gloria Patri.* — Et iterum ea quæ a sancta Trinitate petimus doxologia obsignamus. Quibus et satis parati, quasi digni simus qui Deum Patrem cœlestem invocemus, addimus Dominicam orationem quæ nobis in Evangelio secundum Matthæum traditur. — *Pater noster, qui es in cœlis.* — Cum autem pleraque hujus a Deo datæ orationis sunt supra dispositionem nostram meritumque nostrum, iterum ad misericordiam petendam confugimus, propitiantes si quæ, contra quod oportet, a nobis requisita petitave fuerunt. — *Kyrie eleison*, XII ; — et hoc duodecies ad exemplar, ut opinor, apostolorum, quibus primum divina hæc tradita fuit oratio. — *Gloria Patri.* — Inde ex ordine doxologia divinarum in beata Trinitate personarum iterum signamus dictas petitiones. Sed hæc sunt in communi prævia cuilibet officia : unicuique vero propria sunt ; et psalmi diversi quibus et merito ea præponuntur, quæ sunt de Novo Testamento quod sane superat Vetus ; et post eos troparia ; et post ea preces. Mediæ igitur noctis in officium primum canimus quinquagesimum psalmum qui expiatorius est pro peccatis, et confessionem habet. — *Venite adoremus.* — Et ante hunc quod cunctis etiam fit statutis psalmis, ter adoramus, id ipsum et verbis nosmet hortantes, et quasi contrahentes proprias cogitationes et animi vires ut magis intenti simus his quæ dicimus, nec sit hic illic peregre mens, quod solemus præsertim in psalmis pati, quia difficiles captu sunt, ut etiam plerumque intellectu. — *Miserere mei, Deus.* — Sufficienter vero purificati hoc psalmo pœnitentiæ : — *Beati immaculati in via,* — addimus protinus centesimum decimum octavum qui et inscriptas refert surrectionem Davidis media nocte et ab eo factam confessionem, in parem zelum nos inducens, et totus refertus est his quibus præcipue opus est oratione fiduciaque, et qui secundæ convenit Salvatoris nostri gloriosæ manifestationi media nocte futuræ, ut docet parabola virginum : illud quidem ut iis qui sedent in nocte vitæ magnus sol justitiæ splendeat ; opposito enim oppositum cedit et evanescit : hoc vero, tempore rem improvisam indicante. Sicut enim laqueus, inquit, superveniet et dormientibus plerisque adveniet sponsus. Tunc pro meritis unicuique tribuet illud : *Media nocte surgebam cum lampade lucente ad confitendum tibi super judicia justificationis tuæ, quibus in medio deorum deos judicas, reddens unicuique pro meritis, peccatores repellis ab ipsis condemnatos,* et reliqua psalmi. Quem etiam pro dormientibus in Christo canimus, declarantes qualem, is saltem qui vere Christianus est, fiduciam, pro his qui vixerunt, habere debeat. *Servavi* enim, ait, *mandata tua et judicia tua, et a testimoniis tuis non declinavi,* et alia hujusmodi. In quibus et illud quoddam gratum visu. Omnium enim hujus psalmi versuum nec unus est qui non omnino habeat ali-

καὶ δεῖ μετὰ τὴν ταύτης ἀπαλλαγὴν τοῦ βιωννύντος Θεοῦ, Καὶ ἐπιφέρομεν ἐνίζοντες αὖθις, —*Ἕνεκεν τοῦ ὀνόματός σου.* — Τί δὲ τὸ ὄνομα ; Οἰκτίρμων, φησὶ, καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος · οὗ δὴ χάριν καὶ παρ' αὐτοῦ τοῦ Κυρίου τρὶς ἐληθῆναι αἰτοῦμεν. — *Δόξα Πατρί.* — Καὶ ἐπισφραγίζομεν αὖθις διὰ τῆς δοξολογίας τὰς πρὸς τὴν ἁγίαν Τριάδα αἰτήσεις δι' ὧν καὶ ἱκανῶς παρασκευασθέντες ὡς ἄξιον λοιπὸν εἶναι τὸν ἐπουράνιον Θεὸν Πατέρα καλεῖν, ἐπισυνάπτομεν τὴν Δεσποτικὴν προσευχὴν, τὴν ἐν τῷ κατὰ Ματθαῖον Εὐαγγελίῳ ἡμῖν παραδεδομένην· — *Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς.* — Ἐπεὶ δὲ τὰ πολλὰ τῶν ἐν τῇ θεοπαραδότῳ ταύτῃ προσευχῇ παρ' ἡμῶν λεγομένων ὑπὲρ τὴν ἡμετέραν κατάστασιν καὶ ἀξίαν, αὖθις ἐπὶ τὴν τοῦ ἐλέου χωροῦμεν αἴτησιν, εἴ τι παρὰ τὸ δέον ἡμῖν ἐζήτηται ἢ ἐπῄγγελται ἰλασκόμενοι. — *Κύριε, ἐλέησον*, ιβ'. — Καὶ τοῦτο δωδεκάκις εἰς τύπον οἶμαι τῶν ἀποστόλων, οἷς ἡ θεία αὕτη προσευχὴ παραδέδοται πρώτοις. — *Δόξα Πατρί.* — Εἶτα εὐθὺς τῇ δοξολογίᾳ τῶν ἐν τῇ μακαρίᾳ Τριάδι θείων προσώπων ἐπισφραγίζομεν αὖθις τὰς εἰρημένας δεήσεις. Ἀλλὰ ταῦτα μὲν κοινῇ προκαταρκτικὰ πάσης ἀκολουθίας · ἴδια δὲ ἑκάστῃ οἵ τε ψαλμοὶ, διάφοροι ὄντες, ὧν καὶ εἰκότως ταῦτα προτέτακται τῆς Νέας ὄντα Διαθήκης, ἥτις ὑπερέχει δήπου τὴν παλαιάν. Καὶ μετ' αὐτοὺς τὰ τροπάρια, καὶ αἱ ἐπὶ τούτοις εὐχαί. Τοῦ μὲν οὖν μεσονυκτικοῦ προφθάσομεν τὸν πεντηκοστὸν ψαλμὸν, ἱλαστήριον ὄντα ὑπὲρ ἁμαρτιῶν, καὶ ἐξομολόγησιν ἔχοντα. — *Δεῦτε προσκυνήσωμεν.* — Πρὸ τούτου δὲ, ὃ καὶ ἐπὶ πάντων τῶν ὡρισμένων ψαλμῶν τρὶς προσκυνοῦμεν, αὐτὸ τοῦτο καὶ τοῖς λόγοις ἐγκελευόμενοι ἑαυτοῖς, καὶ οἷον ἐπισυνάγοντες τοὺς ἰδίους λογισμοὺς, καὶ τὰς τῆς ψυχῆς δυνάμεις, ὥστε προσέχειν τοῖς ὑφ' ἡμῶν λεγομένοις, καὶ μὴ διαχεῖσθαι τὸν νοῦν ὧδε κἀκεῖσε ῥεμβόμενον, ὅπερ εἰώθαμεν μάλιστα πάσχειν ἐν τοῖς ψαλμοῖς, διὰ τὸ δύσληπτον αὐτῶν ὡς τὰ πολλὰ καὶ δυσνόητον — *Ἐλέησόν με, ὁ Θεός.*— Καθηράμενοι δὲ ἱκανῶς ἐν τῷ ψαλμῷ τῷδε τῆς μεταγοίας · —*Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ*, — ἐπισυνάπτομεν ἑφεξῆς τὸν ριη', ὃς καὶ τὴν ἐν μεσονυκτίῳ ἐξέγερσιν καὶ ἐξομολόγησιν ὑπὸ τοῦ Δαβὶδ γινομένην ἀνάγραπτον φέρει, πρὸς τὸν ὅμοιον ζῆλον ἐπάγων ἡμᾶς, καὶ ἧς μάλιστα δεῖ προσευχῆς τε καὶ παῤῥησίας ὅλος ὑπάρχων μεστὸς, καὶ ἅμα προσήκων τῇ δευτέρᾳ τοῦ Σωτῆρος ἡμῶν ἐνδόξῳ ἐπιφανείᾳ, κατὰ τὸ μέσον τῆς νυκτὸς ἐσομένῃ, ὡς ἡ παραβολὴ τῶν παρθένων διδάσκει · τοῦτο μὲν, ἵνα τοῖς ἐν νυκτὶ τοῦ βίου καθημένοις ὁ μέγας ἥλιος τῆς δικαιοσύνης ἐκλάμψῃ, τῷ γὰρ ἐναντίῳ τὸ ἐναντίον ὑποχωρεῖ καὶ ἐξίσταται · τοῦτο δὲ τὸ ἀπροσδόκητον τοῦ καιροῦ δηλοῦντος. Ὡς παγὶς γὰρ, φησὶν, ἐπελεύσεται, καὶ ὑπνοῦσι τοῖς πολλοῖς ὁ νυμφίος ἐπιδημήσει. Τότε ἑφαρμόσει τῶν ἀξίων ἑκάστῳ τὸ, *Μεσονύκτιον ἐξηγειρόμην μετὰ φαιδρᾶς τῆς λαμπάδος, ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου, δι' ὧν ἐν μέσῳ μὲν θεῶν θεοὺς διακρίνεις, ἀντιμετρῶν ἑκάστῳ τὰ πρὸς*

ἀξίαν, τοὺς δὲ ἁμαρτωλοὺς ἀπάγεις, ὑφ' ἑαυτῶν καταχειρίμενους, καὶ τὰ λοιπὰ τοῦ ψαλμοῦ. Ὃν καὶ ἐπὶ τοῖς ἐν Χριστῷ κοιμηθεῖσιν ᾄδομεν, ἐπιδεικνύντες οἵαν δεῖ παῤῥησίαν ἐπὶ τοῖς βεβιωμένοις ἔχειν τόν γε ἀληθῶς ὄντα Χριστιανόν. Ἐφύλαξα γάρ, φησὶ, τὰς ἐντολάς σου καὶ τὰ δικαιώματά σου, καὶ τῶν μαρτυρίων σου οὐκ ἐξέκλινα, καὶ ὅσα τοιάδε. Ἐν οἷς καὶ τόδε τι χάριεν ἔνεστι κατιδεῖν. Τῶν γὰρ ἐν τῷ ψαλμῷ τούτῳ στίχων ἁπάντων οὐδεὶς ὃς οὐκ ἔχει πάντως ἔν γέ τι τούτων. Ἢ γὰρ νόμους, ἢ λόγους, ἢ ἐντολὰς, ἢ μαρτύρια, ἢ δικαιώματα, ἢ κρίματα μέμνηται, πῇ μὲν αἰτουμένου τοῦ μακαρίου προφήτου τὴν ἐν τούτοις εὐόδωσιν, πῇ δὲ ἐπαγγελλομένου ταῦτα φυλάξειν, ἂν γε τύχῃ βοηθείας καὶ ῥοπῆς τῆς ἄνωθεν. Ἔστι δ' ὅτε καὶ παῤῥησιαζομένου πεποιηκέναι τε αὐτὰ καὶ πεφυλαχέναι, καθὼς εἴρηται. Τὴν δὲ πρὸς ἄλληλα τούτων διαφορὰν κοινοτέρῳ λόγῳ ταυτὸ σημαινόντων μακρότερον ἂν εἴη νυνὶ διελεῖν. Μετὰ δὲ τοὺς εἰρημένους ψαλμοὺς ἐνδιαθήκους καὶ αὐτοὺς ὄντας ἀκολούθως ἤδη τετάχαται τὰ παρὰ τῶν ἁγίων Πατέρων συντεθειμένα τροπάρια τε καὶ εὐχαί. Καὶ τοῦτο κοινὸν ἐπὶ πᾶσίν ἐστιν. — *Πιστεύω εἰς ἕνα Θεόν.* — Ὧν προηγεῖται τὸ ἱερὸν τῆς πίστεως Σύμβολον, ὥσπερ δὴ κἀν τοῖς ἀποδείπνοις. Εἰ γὰρ ἄδηλον τὸ τῆς ζωῆς τέλος ὁπότε ἡμῖν ἐπιστῇ, πολλοὶ γὰρ ἤδη καὶ καθευδήσαντες ὑγιεῖς, ἐφ' ἕτερον ὕπνον ἀπροόπτως μετῆλθον τὸν ἐπιμήκιστον, ἀναγκαῖον ἂν εἴη καὶ ἀρχομένους τοῦ ἐγρηγορέναι, καὶ λήγοντας, τὴν ὁμολογίαν τῆς πίστεως ἀποδιδόναι Θεῷ, σύμβολόν τι καὶ σφραγῖδα τοῖς ἀπιοῦσιν ἐντεῦθεν ὑπάρχουσαν τῆς πρὸς αὐτὸν οἰκειώσεως. Οὓς δηλαδὴ καὶ ἡ Ἀποκάλυψις ἀναγράφει, τὴν σφραγῖδα ἐπὶ τοῦ μετώπου φέροντας, καὶ διὰ τοῦτο ἐν τῇ βίβλῳ τῆς ζωῆς γεγραμμένους, καὶ ὑπὸ τῶν νοητῶν ἀκρίδων μὴ βασανιζομένους. — Ἅγιος ὁ Θεός. — Ἀλλὰ δὴ καὶ ὁ Τρισάγιος λεγόμενος ὕμνος, καὶ τὰ ἑξῆς μετ' αὐτὸν, προτέτακται τούτων τῶν τροπαρίων, ὥσπερ δῆτα καὶ τῶν Ψαλμῶν. Οὐ γὰρ θέμις ἑτέρωθεν εὔξασθαι πρὶν ἐκ τῶν θείων καὶ θεοπαραδότων ῥημάτων ποιησώμεθα τὰς εὐχάς. Ὁ νοῦς δὲ ἄρα τῶν τροπαρίων τῷ τε καιρῷ πρόσφορος, Ἰδοὺ γὰρ, φησὶν, ὁ νυμφίος ἔρχεται ἐν τῷ μέσῳ τῆς νυκτὸς, καὶ τῆς ἀνωτάτω Τριάδος τὸν ὕμνον ἔχων, ἅτε δὴ ἐν πρώτοις τῶν ἄλλων αὐτὸς τεταγμένος. Καὶ τῇ Θεοτόκῳ τὸ τελευταῖον ᾄδεται. Καὶ τοῦτο συνήθως. Ὡς γὰρ ἐπὶ τὸ πολὺ ποικίλων ὄντων τῶν ᾀδομένων, εἴτε παρακλητικῶν, εἴτε ἐγκωμιαστικῶν εἰς ἕνα τινὰ τῶν ἁγίων, τῶν πρὸς τῷ τέλει δύο, τὸ μὲν τῇ πανυμνήτῳ Τριάδι, πρὸς ὁμολογίαν δηλαδὴ τῆς πίστεως, τὸ δὲ λοιπὸν τῇ παναχράντῳ Θεοτόκῳ προσήκει, πρὸς βεβαίωσιν τῆς ἐνσάρκου οἰκονομίας. Καὶ ἔστιν ἡμῖν ἡ Θεοτόκος ἐν ἅπασιν οἱονεί τι κεφάλαιον καὶ σφραγὶς τῶν ὕμνων. — *Κύριε, ἐλέησον*, μ'. — Εἶτα τὸ, *Κύριε, ἐλέησον*, αὖθις τεσσαρακοντάκις εἰπόντες, ὡς ἔστι πρὸ τῶν εὐχῶν σύνηθες, τίμιος γὰρ ὁ ἀριθμὸς, ἐπεὶ καὶ τοσούτων ἡμερῶν νηστείᾳ Θεὸς ἐξιλάσκεται, τότ' ἤδη λοιπὸν ἐπάγομεν τὰς εὐχὰς, τὴν μὲν κοινὴν πρῶτον, ἧς ἡ ἀρχὴ, Ὁ ἐν παντὶ καιρῷ, — *Δέσποτα Θεὲ*, — τὰς δὲ λοιπὰς μετ' αὐτὴν καὶ ἰδίας τῷ τε καιρῷ καὶ αὐτὰς προσηκούσας, καὶ εἰς τὴν ἁγίαν

A quid horum. Modo enim leges, modo verba, modo mandata, modo testimonia, modo justificationes, modo judicia referunt, tum quidem petente beato propheta in ea facilem viam, tum vero promittente se ea servaturum si tamen sibi obtigerit auxilium et adjutorium de cœlo. Aliquandoque etiam confidit se fecisse ea et servasse sicut dictum est. Quomodo hæc inter se differant quæ communiori sermone eadem indicant longius foret in præsentiis distinguere. Post autem dictos psalmos qui sunt ipsi de Testamento ex ordine jam disponuntur ex sanctis Patribus composita troparia et preces. Et id commune est omnibus. — *Credo in unum Deum.* — Quibus præit sanctum fidei symbolum B quasi sane vel impransis. Si enim incertum est quando adfuturus sit vitæ finis, multi enim qui jam et sani obdormierant in alterum perlongum somnum ex improviso transierunt, necesse foret et qui incipiunt et qui cessant expergefieri confessionem fidei Deo præstare quæ symbolum quoddam et signaculum conciliationis ad Deum iis sit qui inde migrent. Quos scilicet et Apocalypsis describit signum in fronte ferentes, et propterea in libro vitæ inscriptos, nec jam a spiritualibus locustis vexatos. — *Sanctus Deus.* — Sed certe, et hymnus dictus Trisagion, et quæ ex ordine eum sequuntur, præponuntur his tropariis ut et ipsis psalmis. Non enim justum est ex alia parte orare priusquam ex divinis et a Deo datis verbis utentes C preces fuderimus. Porro sensus tropariorum semper tempori accommodatur. Ecce enim, ait, Sponsus venit media nocte, et Trinitatis altissimæ hymnum habet, utpote qui in primis inter cætera disponitur. Et ultimum Matri Dei cantatur. Id autem sic fieri solet. Cum enim plerumque diversa sint quæ cantantur, sive hortentur sive laudent, alicui sanctorum, duorum in fine alterum quidem omnino venerandæ Trinitati, scilicet ad confessionem fidei, alterum vero immaculatæ Matri Dei, ad confirmationem œconomiæ incarnationis, convenit. Et nobis est mater Dei in omnibus principium quoddam et signaculum hymnorum. — *Kyrie, eleison*, XL. — Exinde *Kyrie, eleison* rursus quadragies dicto, ut mos est ante preces, solemnis enim est numerus, quo- D niam tot diebus jejunio Deus propitiavit, tunc jam tandem inducimus preces. Et primum communem precem cujus initium, Qui in omni tempore : — *Domine Deus :* — reliquas vero post eam et proprias, et tempori ipsas convenientes, et ad sanctam Trinitatem elevationem habentes. Quarum ipsarum nonnulla alia præcedunt intercipientia quæ sunt de communi, et quasi incipientia quæ sequuntur. — *Honoratiorem.* — Sunt quidem hæc et supplicationes, sanctissimæ Trinitati, et quidem vere etiam immaculatæ Virgini, cantatæ. — *Deus, miserere nostri.* Postea et a sacerdote dictus versus quasi liberans de præteritis et hortans ad futura.

Τριάδα τὴν ἀναφορὰν κεκτημένας. Ὧν καὶ αὐτῶν, ἴτερ' ἄττα προάγει, μεσολαβοῦντα ταῦτα ἀπὸ τῆς κοινῆς, καὶ οἷον καταρκτικὰ τῶν ἑξῆς. — *Τὴν τιμιωτέραν.* — Τὰ δέ ἐστιν ἱκετήριά τε καὶ τῇ παναγίᾳ Τριάδι, ναὶ μὴν καὶ τῇ πανάγνῳ Παρθένῳ ᾀδόμενα. — *Ὁ Θεὸς, οἰκτείρησαι ἡμᾶς.* — Ἐφ' οἷς καὶ παρὰ τοῦ ἱερέως ὁ λεγόμενος στίχος, ὥσπερ ἀπολύων τῶν παρελθόντων, καὶ προσβιβάζων τοῖς μέλλουσιν.

Quoniam autem, ut dictum est, hymnus mediæ noctis typus est secundi adventus Christi, et ejus quæ tunc erit resurrectionis dormientium, necessario de his preces adhibemus ut nunc quidem participes fiamus quietis a Deo, et tunc fiduciam habeamus in præclara præmiorum dignis partitione. — *Leva oculos meos*, et, *Memento, Domine.* — Rursus igitur incipientes et psalmos canimus quosdam bene conscriptos, parvos, temporique convenientes, et troparia et preces postea, juxta in his quoque dictum modum. — *Oremus.* — Deinde paucis quibusdam additis absolvimur ex parte sacerdotis, ut oremus primum pro regibus, juxta præceptum apostolorum, quibusdam quoque aliis suadentibus. Hunc sane mediæ noctis hymnum mutamus die quidem Dominica totum, solemnitatis diei causa, ejus loco unum de canonibus ternariis canentes; Sabbato autem, quia non e somno media nocte surgimus, cum sit hac die quies, officium necessario servamus. — *Te decet hymnus, Deus.* — Aliis vero psalmis et tropariis et etiam precibus hoc conteximus. Psalmi quidem nobis et resurrectionem Salvatoris describunt. Exsurgat Deus, et quæ sequuntur. Prædictos tamen psalmos transferimus in diluculo et propter officium pœnitentiæ quod dictum est, et etiam propter carnis crucifixionem resurrectionemque Salvatoris. Omnino mittimus hymnum totum, quando festo aliquo præsente per totam noctem hymnos cantamus.

A

B

C

De officio matutino.

Postea reliquum incipimus officium diluculi quo et in ecclesia et cum sacerdote stantes primum nonnullos cantamus psalmos, — *Exaudiat te Dominus*, et, *Domine, in potentia tua*, — qui sunt pro rege et constitutione publica, in quibus sacerdos ture supplicat, subindicans dari Spiritum sanctum intrantibus templum tempore orationis. Date enim, ait, thymiamata in preces sanctorum, et deinde hymnum cantamus Trisagion de more et post eum troparia quædam psalmis consona. — *Salva, Domine, populum tuum.* — Hymnus enim mediæ noctis, utpote nos e somno excitans, futuræ vitæ, ut dictum est, typus est et imago. Postea jam accedentes ad diem et ejus opera, incipientesque deinde ea canere quæ præsenti vitæ conveniant, meminimus primo eorum qui nobis placidam tranquillamque vitam agendam præstant, et tunc pro pertinentibus ad nosmetipsos Deum adimus. Cæterum, prædictos psalmos regios omittimus cum seorsim initium facimus a Trisagio. Hymnus autem Hexapsalmus dictus habet et ipse versum sanctissimæ Trinitati a sacerdote primum pronuntiatum, —

D

Ἐπεὶ δὲ, ὡς εἴρηται, τῆς δευτέρας Χριστοῦ παρουσίας τύπος ὁ μεσονύκτιος ὕμνος, καὶ τῆς κατ' αὐτὴν ἀναστάσεως τῶν κεκοιμημένων, ἀναγκαίως ὑπὲρ αὐτῶν ποιούμεθα τὰς δεήσεις, ὡς καὶ νῦν τῆς παρὰ Θεοῦ ἀναπαύσεως ἐν μεθέξει τοῦ γενέσθαι, καὶ τότε παῤῥησίαν σχεῖν ἐν τῇ λαμπρᾷ τῶν δώρων διανομῇ τοῖς ἀξίοις. — *Ἆρα τοὺς ὀφθαλμούς μοι*, καὶ, *Μνήσθητι, Κύριε.* — Ἀρξάμενοι οὖν αὖθις ψαλμούς τε ᾄδομεν εὐπεριγράπτους τινὰς καὶ μικροὺς, τῷ καιρῷ προσφόρους, τροπάριά τε καὶ εὐχὴν ἐπ' αὐτοῖς, κατὰ τὸν εἰρημένον καὶ ταῦτα τρόπον. — *Εὐξώμεθα.* — Εἶτα μικρά τινα ἐπειπόντες, ἀπολυόμεθα παρὰ τοῦ ἱερέως, εὔξασθαι ἡμᾶς πρότερον ὑπὲρ βασιλέων, κατὰ τὸν ἀποστολικὸν νόμον, καὶ ἄλλων δή τινων παρακελευσαμένων. Τοῦτον δὴ τὸν μεσονύκτιον ὕμνον ἐναλλάττομεν, ἐν Κυριακῇ μὲν ὅλον διὰ τὸ λαμπρὸν τῆς ἡμέρας, ᾄδοντες ἀντ' αὐτοῦ κανόνα τῶν τριαδικῶν λεγομένων ἕνα· Σαββάτῳ δὲ διὰ τὸ μὴ κατὰ τὸ μέσον τῆς νυκτὸς ἐγείρεσθαι ἡμᾶς ἐκ τοῦ ὕπνου, ἅτε δὴ ἀναπαύσεως οὔσης ταυτησὶ τῆς ἡμέρας, τὴν μὲν ἀκολουθίαν ἐξ ἀνάγκης τηροῦμεν. — *Σοὶ πρέπει ὕμνος, ὁ Θεός.* — Ψαλμοῖς δὲ ἑτέροις καὶ τροπαρίοις, ἔτι γε μὴν καὶ εὐχαῖς ταύτην ὑφαίνομεν. Οἱ δὲ δὴ Ψαλμοὶ καὶ τὴν σωτήριον ἀνάστασιν ἡμῖν διαζωγραφοῦσιν. Ἀναστήτω ὁ Θεὸς, καὶ ὅσα ἑξῆς. Τοὺς μέντοι προειρημένους ψαλμοὺς μετατίθεμεν ἐν τῷ ὄρθρῳ διά τε τὴν νεκρώσιμον ἀκολουθίαν, ἥπερ εἴρηται, καὶ δὴ καὶ τὴν νέκρωσίν τε καὶ ἀνάστασιν τοῦ Σωτῆρος. Καθάπαξ δὲ ἐῶμεν ὅλον τὸν ὕμνον, ὅτε δὴ, ἑορτῆς τινος οὔσης, πάννυχον τελοῦμεν τὴν ὑμνῳδίαν.

Περὶ τοῦ ὄρθρου.

Μετὰ ταῦτα λοιπὸν ἀρχόμεθα τῆς ὀρθρινῆς ἀκολουθίας, ἧς ἐν μὲν ἐκκλησίᾳ καὶ μετὰ ἱερέως ὄντες προᾴδομέν τινας τῶν ψαλμῶν — *Ἐπακούσαι σου Κύριος*, καὶ, *Κύριε, ἐν τῇ δυνάμει σου* — ὑπὲρ βασιλέως καὶ τῆς κοινῆς καταστάσεως ὄντας, ἐν οἷς καὶ ὁ ἱερεὺς θυμιᾷ, τὴν τοῦ ἁγίου μετάδοσιν Πνεύματος ἐν τῷ τῆς προσευχῆς καιρῷ τοῖς εἰσιοῦσι τὸν νεὼν αἰνισσόμενος. Δότε γὰρ, φησὶ, θυμιάματα εἰς τὰς προσευχὰς τῶν ἁγίων, καὶ ἑξῆς τὸν Τρισάγιον ὕμνον ὡς ἔθος, καὶ μετ' αὐτὸν τροπάρι' ἄττα σύμφωνα τοῖς ψαλμοῖς· — *Σῶσον, Κύριε, τὸν λαόν σου.* — Ὁ μὲν γὰρ μεσονύκτιος ὕμνος, ἅτε διεγείρων ἡμᾶς ἐκ τοῦ ὕπνου, τῆς μελλούσης ζωῆς, ὡς εἴρηται, τύπος ἐστὶ καὶ εἰκών. Μετ' αὐτὴν δὲ ἐπὶ τὴν ἡμέραν ἤδη καὶ τὰ κατ' αὐτὴν ἔργα προβαίνοντες, τὰ τῇ παρούσῃ ζωῇ πρόσφορα λοιπὸν ᾄδειν ἀρξάμενοι, τῶν ἐν γαλήνῃ καὶ ἡρεμίᾳ ποιούντων ἡμᾶς διεξάγειν τὸν βίον μεμνήμεθα πρῶτον, καὶ τότε περὶ τῶν καθ' ἡμᾶς αὐτοὺς ἐντυγχάνομεν τῷ Θεῷ. Πλήν γε δὴ τοὺς εἰρημένους ψαλμοὺς τοὺς βασιλικοὺς παρεῶμέν που κατ' ἰδίαν ὄντες, ἀπὸ τοῦ Τρισαγίου ποιούμενοι τὴν ἀρχήν. Ὁ δὲ Ἑξάψαλμος οὕτω λεγό-

μενος ὕμνος ἔχει μὲν καὶ αὐτὸς προαναφωνούμενον παρὰ τοῦ ἱερέως στίχον τῇ ὑπερτάτῃ Τριάδι — *Δόξα τῇ ἁγίᾳ* — καὶ παρ' ἡμῶν ἐπιφερομένην ὁμολογίαν τῆς θείας σαρκώσεως· διὰ τῶν ἀγγελικῶν ἐκείνων φωνῶν τοῦ, *Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία*· σύγκειται δὲ ἐκ ψαλμῶν ἕξ, ὡς καὶ αὐτὸ δηλοῖ τοὔνομα, προσευχῆς μὲν ἁπάντων πεπληρωμένων καὶ κατανύξεως, καὶ τῆς τοῦ βίου ταλαιπωρίας ἐπιεικῶς καταστεναζόντων, ἐχόντων δέ τι καὶ τῷ καιρῷ πρόσφορον· — *Κύριε, τί ἐπληθύνθησαν* — τοῦ μὲν πρώτου τὸ, *Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα, ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.* — *Κύριε, μὴ τῷ θυμῷ σου*, — τοῦ δὲ δευτέρου, *Καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου, καὶ αὐτὸ οὐκ ἔστι μετ' ἐμοῦ.* — *Ὁ Θεός, ὁ Θεός μου πρὸς σέ*, — τοῦ τρίτου δὲ, *Ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σὲ, ὅτι ἐγενήθης βοηθός μου.* Ὧν καὶ μεσολαβουμένων αὖθις τῇ τε δοξολογίᾳ, καὶ τῷ Ἀλληλούϊα τρὶς, ὃ δηλοῖ μεταλαμβανόμενον, *Αἰνεῖτε τὸν Κύριον*, ὃ καὶ ἐπὶ πάσῃ τῇ τῶν ψαλμῶν ἀναγνώσει ποιοῦμεν, οἷόν τισι σταθμοῖς αὐτὴν διορίζοντες, οἱ λοιποὶ πάλιν ἀφ' ἑτέρας ἀρχῆς ἀρξάμενοι τοῦ, *Κύριε, ἐλέησον*, καὶ τῆς μετὰ τοῦτο δοξολογίας, ὁ μὲν πρῶτος ἔχει τῷ καιρῷ πρόσφορον τὸ, *Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου*, μεθόριον γὰρ ὁ ὄρθρος ἡμέρας τε καὶ νυκτός· — *Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον* — ὁ δὲ δεύτερος τὸ, *Ἀναλαμβάνεσθαι ὡς ἀστοῦ ἡ νεότης σου.* — *Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου* — ὁ δέ γε τρίτος καὶ ἐπὶ πᾶσι τὸ, *Ἀκουστόν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.* Τούτους ἐπισφραγίζοντες αὖθις διὰ τῆς δοξολογίας τε καὶ τοῦ Ἀλληλούϊα, τοῦ ἱερέως μεταξὺ ποιουμένου τὰς ὑπὲρ ἁπάντων δεήσεις, ὡς εἴθισται, πάλιν ἡμεῖς ἐκ τοῦ Δαβὶδ εἰληφότες, ᾄδομεν μετὰ μέλους, *Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου*, συμπλέκοντες αὐτῷ καὶ τροπάριόν τι τῇ κατὰ τὴν ἡμέραν μνείᾳ προσῆκον. Καὶ ταῦτα δὲ τῆς ἐπιφανείσης τῷ βίῳ Δεσποτικῆς παρουσίας ἐπ' ἐσχάτων τῶν χρόνων ἐναργῆ σύμβολα. *Ἐπεσκέψατο* γὰρ, φησὶν, *ἡμᾶς ἀνατολὴ ἐξ ὕψους, ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις*, ἅπερ ὡς χαρμόσυνα κατὰ τὰς νηστίμους τῶν ἡμερῶν παραιτούμενοι, τὸ *Ἀλληλούϊα* ἀντ' αὐτῶν ᾄδομεν. Μετὰ τοῦτο μέρος τι τοῦ Ψαλτῆρος ἀπολαβόντες ἀναγινώσκομεν, μεσολαβοῦντες καὶ τοῦτο δοξολογίαις τε καὶ τροπαρίοις τοῖς λεγομένοις καθίσμασιν, ἐν οἷς καὶ ἑτέρωθέν ποθεν ἀναγνώσεις ποιοῦμεν καθήμενοι, ὠφελείας τε ὁμοῦ καὶ ἀναπαύλης χάριν. Ὁ δέ γε λόγος τῶν ψαλμῶν οὐχ ἕτερος ἢ τὸ πολυωφελὲς αὐτῶν καὶ ἡδονῆς θείας ἔμπλεων, καὶ τὸ δεῖν πάσαις ἀνάγκαις ὅλον πληροῦσθαι κατὰ τὴν ἑβδομάδα τὸ ἱερὸν τοῦ Δαβὶδ Ψαλτήριον, ἅπαξ ἢ καὶ δὶς ἀναγινωσκόμενον. — *Ἀσωμεν τῷ Κυρίῳ.* — Ἑφεξῆς αἱ λεγόμεναι ᾠδαὶ, παρὰ τῆς Γραφῆς εἰλημμέναι καὶ αὗται, συμπληρούμεναι δὲ εἰς ἐννέα, διὰ τὸν ἀριθμὸν οἶμαι τῶν ἀγγελικῶν καὶ θείων ταγμάτων. Ὧν ἡ μὲν πρώτη τῇ τάξει τοῦ κατὰ τὴν

A *Gloria sanctæ*, — et a nobis additam divinæ incarnationis confessionem his angelicis vocibus, — *Gloria in altissimis Deo, et in terra pax, in hominibus bona voluntas.* Constat autem sex psalmis, ut indicat vel ipsum nomen, omnibus prece cumpunctioneque plenis, miserias vitæ apte lamentantibus, et aliquid habentibus tempori congruens, — *Domine quid multiplicati sunt*, — primo quidem, hoc : *Ego dormivi et soporatus sum, et exsurrexi : quia Dominus suscipit me.* — *Domine ne in furore tuo*; — secundo, *Et lumen oculorum meorum et ipsum non est mecum.* — *Deus, Deus meus, ad te*; — tertio, *In matutinis meditabor in te quia fuisti adjutor meus.* Quibus rursus interruptis et doxologia, et ter *Alleluia*, interpretato, *Laudate Dominum*, quod et
B agimus in omni psalmorum lectione, hanc quasi quibusdam stationibus interrumpentes, cæteri iterum a novo principio incipiunt : *Kyrie, eleison*, et post id doxologiam. Primus quidem id habet tempori conforme : *Domine Deus salutis meæ, in die clamavi et nocte coram te*; interjacet enim nocti dieique diluculum. — *Benedic, anima mea, Domino.* — Secundus vero, illud : *Renovabitur ut aquilæ juventus tua.* — *Domine, exaudi orationem meam.* — Tertius tandem et ultimus, illud : *Propitiam fac mihi mane misericordiam tuam, quia in te sperari.* Hos rursus obsignamus doxologia et *Alleluia*; et sacerdos interea quæ pro omnibus sunt deprecationes facit, ut mos est, tunc rursus nos ex Davide sumentes modulate canimus : *Deus Dominus et apparuit nobis, benedictus qui venit in nomine Domini*,
C ad quod atteximus aliquod troparium dici memoriæ consonum. Et ea sunt aperta symbola de præsentia Dominica vitæ manifestata in ultimis temporibus. *Visitavit* enim *nos*, ait, *oriens ex alto, illuminaturus eos qui in tenebris et in umbra mortis sedent*, quæ ut lætificantia diebus jejunii prætermittentes, pro eis *Alleluia* cantamus. Postea partem aliquam psalterii colligentes legimus, interrumpentes quoque doxologiis et troparliis quæ dicuntur cathismata, in quibus et ex aliqua alia parte legimus sedentes, utilitatis causa simul et quietis. Ratio autem psalmorum non altera quam magna eorum utilitas et divinæ voluptatis plenitudo, et necessitas absoluta omnino totum semel
D aut etiam bis in hebdomade sacrum legendi Davidis psalterium. — *Cantemus Domino.* — Ex ordine adsunt quæ dicuntur cantica, et ipsa e Scriptura sumpta, completaque in numerum novem, propter, ut opinor, numerum ordinum angelicorum divinorumque. Quorum primus ordine memoriam renovat prodigii in mari Rubro, ex libro Exodi sumptus : — *Audi, cœlum, et loquar*; — secundus vero, et ipse ex Deuteronomio, memoriam renovat prodigiorum in deserto patratorum, et ibi datæ legis gratiæ propheticæ. — *Confirmatum est cor meum in Domino.* — Tertius adumbrationem et imaginem præbet Ecclesiæ ex gentilitate fecundæ. — *Domine, exaudiri auditionem tuam.* — Post hunc

deinde, in quarto explicatur mysterium œconomiæ divinæ seu incarnationis. *Deus* enim, ait, *e Thæmam veniet, et sanctus de monte densarum tenebrarum.* — *De nocte vigilat spiritus meus.* — Qui inter prophetas maxime sublimis est Isaias cantat quintum et ipsum tempori valde congruentem : *De nocte*, ait, *vigilat cor meum ad te, Deus*, et una præbentem prophetiam de præclara resurrectione Salvatoris nostri. — *Clamavi in tribulatione mea.* — Uti certe et beatus Jonas propheta sextum nobis actibus et verbis parat : — *Benedictus es, Domine*, et, *Benedicite, omnia opera Domini, Domino.* — Et adhuc beatissimi pueri in Babylone præbent septimum et octavum, qui laudationem omnibus communem, die jam incipiente, nobis congruenter subjicit, et ipsi sunt ex Veteri Testamento, modo dicto, dispositi. — *Magnificat anima mea Dominum.* — Nonum vero dicimus in honorem sanctissimæ Virginis et Dei Matris. Is ultimus est juxta prædicta, et eum ex Evangelio secundum Lucam exprompsimus. — *Benedictus Dominus Deus Israel.* — Et præterea canticum Zachariæ patris Præcursoris. Horum omnium excerpentes versus, præsertim finales, his interteximus apte cantus ex Patribus collectos, eosque vocamus canones quos post tertiam et sextam intercipimus et cathismatibus et his quæ dicuntur contaciis, et œcis, orante primum sacerdote : — *Illuminator Domine.* — Et quidem in fine addimus alia quædam troparia. Hæc vero illustris et apostolica nominari probamus, quia alia quidem præsentiam lucis acclamant et provocant lumen spirituale; alia vero, discipulorum in gentes die resurrectionis missionem celebrant : — *Laudate Dominum.* — Postea tres quosdam psalmos incipimus inter cæteros : quos equidem laudes dicimus, quia in ipsis inest aliqua laudatio, aliqua laus Dei per omnes ex ordine creaturas. *Laudate* enim, ait, *Dominum* hæc et illa. Ad quos in fine attexiemus nonnullos versus, adjungentes ex eorum parte alia quædam troparia, quæ plerumque catabasias nominamus. — *Gloria in altissimis Deo.* — Postea adjungimus quam diximus doxologiam, finiente nocte et incipiente die, id operantem quod vocatur. Sed ipsa mirum in modum instituitur, verbis tum e veteri tum e novo Testamento, et post eam hymnus Trisagion et aliquod a tempore tropaium, et sic postquam oravit sacerdos liberamur.

Ἐρυθρὰν θάλασσαν θαύματος ὑπόμνησιν ἔχει παρὰ τῆς ἐξόδου ληφθεῖσα — *Πρόσεχε, οὐρανέ, καὶ λαλήσω* · — ἡ δέ γε δευτέρα, τοῦ Δευτερονομίου καὶ αὕτη, τῶν κατὰ τὴν ἔρημον ὑπομιμήσκει θαυμάτων, καὶ τῆς ἐν ταύτῃ νομοθεσίας τοῦ προφητικοῦ χαρίσματος. — *Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ.* — Ἡ τρίτη ὑπογραφὴν, καὶ τῆς ἐξ ἐθνῶν Ἐκκλησίας πολυγονούσης προτύπωσιν ἔχει. — *Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου.* — Μετὰ ταύτην ἑπομένως ἐν τῇ τετάρτῃ τὸ τῆς θείας οἰκονομίας, εἴτ' οὖν σαρκώσεως, διατρανοῦται μυστήριον. *Ὁ Θεὸς* γὰρ, φησὶν, *ἀπὸ Θαιμὰν ἥξει, καὶ ἅγιος ἐξ ὄρους κατασκίου δασέος.* — *Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου.* — Ὁ τῶν προφητῶν μεγαλοφωνότατος Ἡσαΐας ᾄδει τὴν πέμπτην, τῷ καιρῷ τε καὶ αὐτὴν εὖ μάλα συμβαίνουσαν. *Ἐκ νυκτὸς*, φησὶν, *ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ, ὁ Θεὸς*, καὶ ἅμα τῆς λαμπρᾶς τοῦ Σωτῆρος ἡμῶν ἀναστάσεως ἔχουσαν προφητείαν. — *Ἐβόησα ἐν θλίψει μου.* — Ἧπερ δὴ καὶ ὁ μακάριος Ἰωνᾶς ὁ προφήτης τὴν ἕκτην ἔργοις τε καὶ λόγοις διασκευάζει. — *Εὐλογητὸς εἶ, Κύριε*, καὶ, *Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον.* — Καὶ ἔτι γε οἱ ἐν Βαβυλῶνι τρισόλβιοι παῖδες τὴν ἑβδόμην τε καὶ ὀγδόην, ἣ καὶ τὴν παγκόσμιον ὑμνῳδίαν ἀρχομένης ἤδη τῆς ἡμέρας ἡμῖν προσφυῶς ὑποβάλλει. Αὗται μὲν οὖν ἐκ τῆς Παλαιᾶς Διαθήκης, ὃν τρόπον εἰρηται τεταγμέναι. — *Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον.* — Τὴν ἐννάτην δὲ ἀφοσιοῦμεν εἰς τιμὴν τῇ παναγίᾳ Παρθένῳ καὶ Θεοτόκῳ, τελευταίαν οὖσαν κατὰ τὰ εἰρημένα, παρὰ τοῦ κατὰ Λουκᾶν Εὐαγγελίου τὴν ᾠδὴν αὐτῆς εἰληφότες. — *Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ.* — Καὶ πρὸς ταύτῃ τὴν Ζαχαρίου τοῦ πατρὸς τοῦ Προδρόμου. Τούτων ἁπασῶν ἐκλεγόμενοι τοὺς ἀκροτελευταίους, μάλιστα στίχους, ἐπιπλέκομεν αὐτοῖς καταλλήλως ᾄσματα παρὰ τῶν Πατέρων συντεθειμένα, κανόνας τούτους ἀποκαλοῦμεν, οὓς καὶ μετὰ τὴν τρίτην τε καὶ τὴν ἕκτην διαλαμβάνομεν καθίσμασί τε, καὶ τοῖς λεγομένοις κοντακίοις, καὶ οἴκοις, προσευχομένου τούτων τοῦ ἱερέως · — *Φωτόδοτα Κύριε.* — Καὶ δὴ κἂν τῷ τέλει προσυφαίνομεν ἕτερ' ἄττα τροπάρια. Φωταγωγικὰ δὲ ταῦτα καὶ Ἐξαποστελλάρια φίλον καλεῖν, ὅτι δὴ τὰ μὲν τὴν τοῦ φωτὸς παρουσίαν ἀνευφημεῖ, καὶ τὸ νοητὸν φῶς ἐπιλάμψαι αἰτεῖται, τὰ δὲ τὴν τῶν μαθητῶν ἀποστολὴν εἰς τὰ ἔθνη κατὰ τὴν ἀναστάσιμον ἡμέραν ᾠδὴν ποιεῖται. — *Αἰνεῖτε τὸν Κύριον.* — Μετὰ ταῦτα τρεῖς τινας αὖθις ψαλμοὺς ἀπολαβόντες τῶν λοιπῶν ἄδομεν · οὓς δήπου καὶ αἴνους καλοῦμεν, διὰ τὸ καὶ ἐν αὐτοῖς εὐφημίαν τινὰ καὶ αἶνον ἐμπεριέχεσθαι τοῦ Θεοῦ διὰ πάντων ἐξῆς τῶν ῥητῶν. *Αἰνεῖτε γὰρ*, φησὶ, *τὸν Κύριον* τάδε τινὰ, καὶ τάδε. Καὶ τούτοις προσυφαίνομεν ἐν τῷ τέλει στίχους τινὰς ἐφαρμόζοντες παρ' αὐτῶν ἕτερ' ἄττα τροπάρια. Καταβασίας ὡς τὸ πολὺ τὰ τοιαῦτα καλοῦμεν. — *Δόξα ἐν ὑψίστοις Θεῷ.* — Μεθ' ὃ τὴν καλουμένην δοξολογίαν ἐπισυνάπτομεν ἐπὶ τῇ παρελεύσει τῆς νυκτὸς, καὶ τῇ ἀρχῇ τῆς ἡμέρας, τοῦθ' ὃ καλεῖται ποιοῦσαν. Σύγκειται δὲ αὕτη θαυμασίως εὖ μάλα διά τε τῆς Παλαιᾶς καὶ Νέας Διαθήκης ῥητῶν ἠθροισμένων λογάδην, καὶ ὁ τρισάγιος ὕμνος ἐπ' αὐτῇ, καὶ τροπάριόν τι τῶν καιρίων, καὶ οὕτως ἐπευξαμένου τοῦ ἱερέως ἀπολυόμεθα.

De prima hora.

Celebratur hoc ob aliquod festum vel inter dies Dominicam. In communibus enim plerisque inducimus sine intermissione psalmos primæ horæ

Περὶ τῆς πρώτης ὥρας.

Καὶ τοῦτό γε ἑορτῆς τινος οὔσης, ἢ τῆς Κυρίας τῶν ἡμερῶν. Ἐν δὲ ταῖς κοιναῖς τε καὶ πλείοσιν ἐπιφέρομεν ἐφεξῆς τοὺς τῆς πρώτης ὥρας ψαλμοὺς,

οἰκείως δήπου καὶ αὐτοὺς ἔχοντας. — *Τὰ ῥήματά μου.* — Ὁ μὲν γάρ φησι, *Τὸ πρωΐ εἰσακούσῃ τῆς φωνῆς μου, τὸ πρωΐ παραστήσομαί σοι, καὶ ἐπόψῃ με — Κύριε καταφυγὴ.* — ὁ δὲ, *Τὸ πρωΐ ὡσεὶ χλόη παρέλθοι, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.* — *Ἔλεον καὶ κρίσιν* · — ὁ δέ γε λοιπὸς, *Εἰς τὰς πρωΐας ἀπέκτεινον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς.* — *Δόξα Πατρί.* — Τούτου; ἐπισφραγίζοντες διὰ τῆς συνήθους δοξολογίας τε καὶ τοῦ Ἀλληλούϊα. — *Τί σε καλέσωμεν.* — Τροπάριόν τι ἐπᾴδομεν, καὶ θεοτόκιον αὖθις. — *Τὰ διαβήματά μου.* — Καὶ διορίζοντες ταῦτα μέρει τινὶ παρὰ τῶν ψαλμῶν εἰλημμένῳ, καταλλήλως ἔχοντι πρὸς τὴν ὥραν, ἀρξάμενοι πάλιν, Τρισάγιόν τε καὶ τὰ ἑξῆς ᾄδομεν, καὶ τροπάριον ἕτερον αὖθις τῷ καιρῷ δήπου προσῆκον, καὶ ἐφεξῆς τὰς εὐχὰς, — *Ὁ ἐν παντὶ καιρῷ* — τήν τε κοινὴν, καὶ τὰς ἰδίας τῆς πρώτης, ὧν καὶ τὸ, *Κύριε, ἐλέησον*, προτέτακται τεσσαρακοντάκις · καὶ μεσολαβοῦνται δὲ αὗται τὸν εἰρημένον τρόπον, καὶ οὕτω ποιούμεθα τὴν ἀπόλυσιν. Ἡ δὲ καθόλου αἰτία τῆς ἐν τῇ πρώτῃ ὥρᾳ ταύτης ὑμνολογίας τὸ δεῖν ἡμᾶς ἀπάρχεσθαι τῷ Θεῷ διὰ βίου τῶν πρώτων κινημάτων καὶ ἔργων, καὶ περὶ τοῦ ὅλου τῆς ἡμέρας ἐκ προοιμίων εὐθὺς εὔχεσθαι.

A et ipsos scilicet vulgo se habentes. — *Verba mea.* — Unus enim dicit: *Mane exaudies vocem meam, mane astabo tibi et videbo.* — *Domine refugium;* — alter vero: *Mane sicut herba transeat;* et, *Opera manuum nostrarum dirige super nos, et opus manuum nostrarum dirige.* — *Misericordiam et judicium.* Qui autem superest, *In matutino interficiebam omnes peccatores terræ.* — *Gloria Patri;* — hos concludentes solita doxologia et Alleluia. — *Quid te invocaverimus,* — troparium quoddam addimus cantantes, et de Matre Dei rursus. — *Gressus meos.* — Tum ea interscindimus aliqua parte ex psalmis sumpta apte se habente ad horam, rursus inchoantes et Trisagion et quæ sequuntur canimus, et alterum troparium iterum tempori scilicet congruens, statimque B preces, — *Qui in omni tempore,* — et communem et proprias horæ primæ; postea et *Kyrie, eleison* prædisponitur quadragies. Hæ vero intermittuntur juxta prædictum modum, et sic absolvimus. Causa autem omnino est hujus laudationis prima hora, quod oporteat nos a Deo inchoare in vita primos motus et prima opera, et pro tota die statim a proœmiis orare.

Περὶ τῆς τρίτης ὥρας.

Κατὰ τὴν τρίτην δὲ ὥραν τῆς ὁμωνύμου ταύτῃ λειτουργίας ἀρχόμεθα· κατὰ ταύτην γὰρ ἐπεδήμησε τὸ πανάγιον Πνεῦμα τοῖς ἀποστόλοις ἐν εἴδει πυρός. Ἡ μὲν οὖν τάξις κοινὴ πρὸς τὴν πρώτην, ἴδια δὲ C οἵ τε ψαλμοὶ κἀνταῦθα τρεῖς ὄντες, τά τροπάριά τε, καὶ αἱ ἐπὶ τούτοις εὐχαὶ, τῆς τοῦ ἁγίου Πνεύματος παρουσίας ὡς τὸ εἰκὸς μεμνημένα, καὶ δεόμενα τὴν αὐτοῦ χάριν εἰσοικισθῆναι καὶ ἐν ἡμῖν, ᾗ δήπου καὶ οἱ ψαλμοὶ κατάλληλον ἔχουσιν εἰς προσευχὴν ἀρίστην ἐξειλεγμένοι — *Εἰσάκουσον, Κύριε,* — ὁ μὲν πρῶτος τὸ, *Χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σου.* — *Πρὸς σὲ, Κύριε, ἦρα·* — ὁ δεύτερος δὲ τὸ, *Νομοθετήσει αὐτῷ ἐν ὁδῷ ᾗ ᾑρετίσατο.* — *Ἐλέησόν με, ὁ Θεὸς,* — καὶ ὁ τρίτος τὸ, *Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεὸς, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου,* καὶ ὅσα ἑξῆς.

De tertia hora.

Tertia vero hora hujus nominis liturgiam inchoamus. Hac enim Spiritus sanctus in apostolos specie ignis venit. Ordo quidem communis ad normam primæ est; peculiaris vero habet et psalmos qui hic quoque tres sunt, et troparia, et postea preces. Quæ ut decet meminerunt adventus Spiritus sancti et rogant ut gratia ejus in nobis quoque inhabitet, ad quod sane et psalmi convenienter se habent, ad optimam precem selecti. — *Exaudi, Domine.* — Primus quidem id: *Satiabor cum apparuerit gloria tua.* — *Ad te, Domine, levavi;* — secundus autem hoc: *Legem statuet ei in via quam elegit.* — *Miserere mei, Deus:* — et tertius illud: *Cor mundum crea in me, Deus, et spiritum rectum innova in visceribus meis,* et quæ sequuntur.

Περὶ τῆς ἕκτης ὥρας.

Τί ἐστι τὰ τῆς ἕκτης ὥρας; Ὡσαύτως καὶ αὐτὰ τεταγμένα, λόγον μὲν ἔχουσι τὴν τοῦ Σωτῆρος ἡμῶν ἐν ταύτῃ τῇ ὥρᾳ γεγενημένην προσήλωσιν ἐπὶ τοῦ σταυροῦ, καὶ δὴ καὶ τὰς ἐν μεσημβρίᾳ τοῦ πονηροῦ καὶ ἐπιβούλου τῆς ζωῆς ἡμῶν ἐπιθέσεις, τάχα διὰ τὸ ἡσυχάζειν ὡς τὰ πολλὰ τοὺς ἀνθρώπους ἐν τῷ καιρῷ τούτῳ, καθὰ δῆτα καὶ τῆς νυκτὸς τῆς ἀντικειμένης δυνάμεως ἐνεργούσης. Πρὸς οὖν τὰς τοιαύτας ὑποθέσεις ἅπαντα νεύει, καὶ οἱ ψαλμοὶ τὰ οἰκεῖα φέρουσιν· — *Ὁ Θεὸς, ἐν τῷ ὀνόματί σου* · — ὁ πρῶτος μὲν τὸ, *Ἀλλότριοι ἐπανέστησαν ἐπ' ἐμὲ, καὶ κραταιοὶ ἐζήτησαν τὴν ψυχήν μου.* — *Ἐνώτισαι, ὁ Θεός* · — ὁ δεύτερος τὸ, *Ἑσπέρας καὶ πρωΐ, καὶ μεσημβρίας διηγήσομαι, καὶ ἀπαγγελῶ, καὶ εἰσακούσεταί τῆς φωνῆς μου,* καὶ τὸ, *Ἐπίρ-*

De sexta hora.

Quod ad sextam horam, eodem modo et ipsa dispositionem habent et Salvatorem nostrum in cruce hac hora fixum et certe tentationes mali, insidiatorisque vitæ nostræ meridianas, fortasse quia tunc temporis plerumque quiescunt homines uti certe agit inimica noctis potestas. Ad hanc igitur talem materiam omnia vergunt, et psalmi propria ferunt. — *Deus, in nomine tuo.* — Primus quidem hoc: *Alieni insurrexerunt adversum me, et fortes quæsierunt animam meam.* — *Exaudi, Deus.* — Secundus illud: *Vespere et mane et meridie narrabo et annuntiabo, et exaudiet vocem meam,* et hocce: *Siste super Dominum curam tuam, et ipse te enutriet,* nam ante cibum. — *Qui habitat in adjutorio.* — Qui vero superest et is tertius illud: *Non timebis a ti-*

more nocturno, ab incursu et dæmonio meridiano. Et vero coryphæus Petrus in Joppe talis præbuit orationis exemplum. *Ascendit* enim, ait, *in superiora ut oraret circa horam sextam*, quando stupendam illam visionem vidit.

ῥύσον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει. Πρὸ τῆς τροφῆς γὰρ — *Ὁ κατοικῶν ἐν βοηθείᾳ*·—ὁ δὲ λοιπὸς καὶ τρίτος τὸ, *Οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ.* Καὶ ὁ κορυφαῖος δὲ Πέτρος ἐν τῇ Ἰόππῃ τῆς τοιαύτης ὑπόδειγμα προσευχῆς. *Ἀνέβη γάρ*, φησὶν, *ἐπὶ τὸ δῶμα προσεύξασθαι περὶ ὥραν ἕκτην*, ὅτε καὶ τὴν θαυμαστὴν ἐκείνην ἑώρακεν ὀπτασίαν.

De sanctissima Eucharistia.

Circa prandii horam oramus oratione Dominica, quia in ea dicitur : *Panem nostrum supersubstantialem da nobis hodie.* Stantes vero et gratiis actis ritum facimus ejus quæ dicitur Sanctissima hunc in modum. Cum enim hoc in tempore primum absolveretur a sanctis apostolis mystica liturgia corporis et sanguinis Domini, qualem a Salvatore nostro in principio acceperunt : nam hic post prandium hæc sacra mysteria tradidit : sed oratoriis jam in omni terra erectis, et fidelium Ecclesia mox constituta, oportebat sane et illa reverentiori sanctiorique modo confici. Locus vero illis seligitur decentissimus in oratoriis, et maxime secretus et vulgo impervius. Tempus autem, ante prandium, dum jejuni sunt qui conficiunt preces postea, et cantus sacri suam servantes quisque propriam rationem. His igitur ita compositis, Deique Matre et Domina nostra, ad Filium et Dominum ipsa jam assumpta, visum est sanctis apostolis, in horum loco, alterum panem Dei matri reservari, et hunc in ejus, ut illa in Domini, memoria, dicari participarique. Secatur igitur in forma trianguli, pyramidalem in speciem se attollens, et reservatus elevatur ab eo cui res incumbit, voce magna clamante, — *Magnum nomen.* — Et nos ei respondemus : — *Sanctæ Trinitatis.* — Rursus ille : — *Sanctissima Mater Dei, adjuva nos ;* — et nos : — *Ejus præsidio Deus misereatur nostri.* — Et ex ordine troparia Matri Dei, et Trisagion in quibus participamus hunc sacrum panem. Et sic liberamur. Et hanc observantiam intermittimus in præclara Resurrectionis Dominicæ die. Tunc enim elevatus panis, nec cantus Matri Dei habet, nam sola hic omnino celebrantur quæ de Domino sunt ; nec tamen participatur a pransis, quia ipsius Domini imaginem servat. Inde et servatus per totam hebdomadam, et quotidie elevatus, quia nos omnes has dies quasi unam ponimus, ultima ante cibum reverenter dividitur. Ita, quæ de Sanctissima

Περὶ τῆς Παναγίας.

Κατὰ δέ γε τὴν τοῦ ἁγίστου ὥραν προσευχόμεθα μὲν τὴν Δεσποτικὴν προσευχὴν, διὰ τὸ ἐν αὐτῇ λέγεσθαι, *Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον*· ἀναστάντες δὲ καὶ εὐχαριστήσαντες, τὴν τῆς γενομένης Παναγίας τελετὴν ποιοῦμεν τόνδε τὸν τρόπον. Ἐπειδὴ γὰρ ἐν τῷ καιρῷ τούτῳ πρότερον ἐτελεῖτο τοῖς ἱεροῖς ἀποστόλοις ἡ μυστικὴ λειτουργία τοῦ Δεσποτικοῦ σώματός τε καὶ αἵματος, οὕτω παρὰ τοῦ Σωτῆρος ἡμῶν τὴν ἀρχὴν εἰληφότι· μετὰ γὰρ τὸν δεῖπνον ἐκεῖνος τὰ θεῖα ταῦτα μυστήρια παρεδίδου, τῶν εὐκτηρίων δὲ ἀνεγηγερμένων ἤδη κατὰ πᾶσαν τὴν οἰκουμένην, καὶ τῆς τῶν πιστῶν Ἐκκλησίας ἐν βραχεῖ συνεστώσης· ἔδει δήπου καὶ ταῦτα σεμνότερόν τε καὶ ἁγιώτερον ἐκτελεῖσθαι· τόπος μὲν αὐτοῖς ἐξείλεκται μάλα πρεπώδης τῶν εὐκτηρίων αὐτὸ τὸ ἐνδότατον καὶ ἄδυτον τοῖς πολλοῖς· χρόνος δὲ ὁ πρὸ τοῦ ἀρίστου, τροφῆς ἀγεύστων ὄντων τῶν τελουμένων, εὐχαί τε ἐπ' αὐτοῖς καὶ ᾄσματα ἱερὰ, τὸν ἴδιον ἕκαστον ἀποσῴζοντα λόγον. Ἐκείνων τοίνυν οὕτω μετατεθέντων, τῆς τε Θεομήτορος καὶ Δεσποίνης ἡμῶν μεταστάσης ἤδη καὶ αὐτῆς πρὸς τὸν Υἱὸν καὶ Δεσπότην, ἔδοξε τοῖς ἱεροῖς ἀποστόλοις εἰς τὸν ἐκείνων τόπον ἕτερον ἄρτον ἐξαιρεῖσθαι τῇ τοῦ Κυρίου Μητρὶ, καὶ εἰς ἀνάμνησιν αὐτῆς, ὥσπερ ἐκεῖνα τὴν τοῦ Δεσπότου, τοῦτον ἀνατιθέναι τε καὶ μεταλαμβάνειν. Τέμνεται οὖν ἐν τριγώνῳ τῷ σχήματι πυραμοειδῶς κορυφούμενος, καὶ ἐξαρθεὶς ἀνυψοῦται παρὰ τοῦ εἰς τοῦτο τεταγμένου βοῶντος λαμπρᾷ τῇ φωνῇ, — *Μέγα τὸ ὄνομα.* — Καὶ ἡμεῖς ὑποφωνοῦμεν αὐτῷ, — *Τῆς ἁγίας Τριάδος.* — Αὖθις ἐκεῖνος, — *Παναγία Θεοτόκε, βοήθει ἡμῖν,* — καὶ ἡμεῖς, — *Αὐτῆς πρεσβείαις, ὁ Θεὸς, ἐλέησον ἡμᾶς.* — Καὶ ἐξῆς τροπάριά τε τῇ Θεοτόκῳ, καὶ τὸν Τρισάγιον ὕμνον, ἐν οἷς καὶ μεταλαμβάνομεν τοῦ ἱεροῦ τούτου ἄρτου. Καὶ οὕτως ἀπολυόμεθα. Καὶ ταύτην δὲ ἐναλλάττομεν τὴν ἀκολουθίαν, κατὰ τὴν λαμπρὰν ἡμέραν τῆς Κυριακῆς ἀναστάσεως. Ὁ γὰρ τότε ἀνυψούμενος ἄρτος οὔτε τὰ τῆς Θεοτόκου προσῳδόμενα ἴσχει, μόνα γὰρ ᾄδεται τηνικαῦτα διὰ πάντων τὰ τοῦ Δεσπότου, οὔτε μὴν μεταλαμβάνεται τοῖς ἡριστηκόσι, διὰ τὸ εἰκόνα σώζειν αὐτοῦ τοῦ Κυρίου. Ἔνθεν καὶ φυλαττόμενος πᾶσαν τὴν ἑβδομάδα, καὶ ἀνυψούμενος καθ' ἑκάστην, διὰ τὸ ὡς μίαν ἡμᾶς τὰς ἡμέρας ταύτας τιθέναι, τῇ τελευταίᾳ πρὸ τῆς τροφῆς μεταδίδοται σεβασμίως, οὕτω καὶ τὰ τῆς Παναγίας.

De hora nona.

Nona hora rursus congregati, quod et ab apostolis accepimus, Petrus enim, ait, et Joannes ascendebant in templum hora orationis nona, et una mortis Domini in memoriam euntes ; *Circa enim horam nonam*, ait, *tradidit spiritum*, et psalmos cantamus eodem quo in aliis horis modo, et cætera ex ordine. In psalmis vero, quia jam ad finem

Περὶ τῆς ἐννάτης ὥρας.

Τὴν δὲ ἐννάτην ὥραν ἐπισυναγόμενοι πάλιν, καὶ τοῦτο παρὰ τῶν ἀποστόλων ἔχοντες, Πέτρος γάρ, φησὶ, καὶ Ἰωάννης ἀνέβαινον εἰς τὸ ἱερὸν ἐπὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐννάτην, καὶ ἅμα τοῦ Δεσποτικοῦ θανάτου πρὸς μνήμην ἰόντες, *Περὶ γὰρ τὴν ἐννάτην ὥραν*, φησὶ, *παρέδωκε τὸ πνεῦμα*, ψαλμούς τε ᾄδομεν ὃν τρόπον καὶ ἐν ταῖς ἄλλαις, καὶ

τὰ λοιπὰ ἀκολούθως. Τοῖς δὲ ψαλμοῖς διὰ τὸ πρὸς τέλος ἤδη τὴν ἡμέραν εἶναι κατάλληλόν ἐστιν — *Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου*, — παρὰ μὲν τῷ πρώτῳ τὸ, *Κρείσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας*, — *Εὐδόκησας, Κύριε*, — παρὰ δὲ τῷ δευτέρῳ, *Εὐδόκησας, Κύριε, τὴν γῆν σου, ἀπέστρεψας τὴν αἰχμαλωσίαν Ἰακώβ*. — *Κλῖνον, Κύριε, τὸ οὖς σου*· — παρὰ δὲ τῷ τρίτῳ, *Ἐλέησόν με, Κύριε, ὅτι πρὸς σὲ κεκράξομαι ὅλην τὴν ἡμέραν*, τά τε τροπάρια, καὶ ἡ ἐπὶ τούτοις εὐχὴ τοῦ σωτηρίου πάθους, καὶ τοῦ θανάτου μνήμην ποιοῦντα. Καὶ οὕτως ἀπολυόμενοι ταύτης, ἐπὶ τὴν ἑσπερινὴν ὑμνῳδίαν χωροῦμεν· ὅτε δηλαδὴ μὴ νηστεία τε καὶ μονοσιτία παροῦσα, διίστησι μὲν ἀπὸ τῶν ἑσπερινῶν τὴν ἐννάτην, τῇ ἕκτῃ δὲ αὐτὴν συνάπτει, πρὸ τῆς τροφῆς ᾀδομένην, ἐν ᾧ καὶ τὴν τῶν τυπικῶν καλουμένων ἀκολουθίαν. Ἔστι δὲ ταῦτα μέρη τῶν ἐν τῇ ἱερᾷ λειτουργίᾳ προσᾀδομένων, ὅτε μὴ ἐκείνη τελῆται, τὴν αὐτῆς ἀποσώζοντα χώραν, ὁτὲ μὲν ταύτῃ, φημὶ τῇ ἐννάτῃ, ὁτὲ δὲ ἐκείνῃ, τῇ ἕκτῃ δηλαδὴ συναρμόζομεν.

A procedit dies, aliquid consoni inest. — *Quam dilecta tabernacula tua.* — In primo hoc : *Melior est dies una in atriis tuis super millia.* — *Benedixisti, Domine;* — in secundo : *Benedixisti, Domine, terram tuam; avertisti captivitatem Jacob.* — *Inclina, Domine, aurem tuam ;* — in tertio, *Miserere mei, Domine, quoniam ad te clamavi tota die*, et troparia, et postea orationem quæ mentionem facit passionis et mortis Domini. Et sic hanc postquam absolvimus horam ad laudationem vespertinam cedimus. Quando scilicet jejunium et unicus cibus non adest, separat Nonam a Vesperis et Sextæ subjungit ante cibum cantatam, in quo et observantiam eorum quæ dicuntur typi. Hæ sunt partes eorum quæ sacræ adduntur liturgiæ, quando illa non perficitur, et servant ejus locum, quas modo huic, dico, nonæ, modo illi, scilicet sextæ adaptamus.

B

Περὶ τοῦ ἑσπερινοῦ.

Τοῦ δὲ ἑσπερινοῦ ὕμνου προάγει μὲν ὁ ρʹ ψαλμὸς, — *Εὐλόγει, ἡ ψυχή μου*, — τὴν τῶν κτισμάτων δημιουργίαν ἡμῖν ὑπογράφων, καὶ τὸ ἑκάστου χρήσιμον ἐκθειάζων, καὶ ἐπ' αὐτοῖς τὸν Δημιουργὸν ἀνυμνῶν· τῆς γὰρ ἡμέρας ἤδη συντελεσθείσης, ἥτις ἡμῖν εἰς ἀπόλαυσιν τῶν τοῦ Θεοῦ κτισμάτων παρ' αὐτοῦ ἐδωρήθη, δέον ἂν εἴη τὴν ἐπ' αὐτοῖς εὐχαριστίαν ἀνάπτειν τῷ κηδεμόνι τῆς ἡμετέρας ζωῆς· καὶ μετ' αὐτὴν ἕτεροι πάλιν, εὐχῶν ἱερῶν μεταξὺ γενομένων, — *Κύριε, ἐκέκραξα, καὶ φωνή μου πρὸς Κύριον*, — οἳ καὶ ᾄδονται μετὰ μέλους, ὁπότε τούτου καιρὸς, καὶ προσᾀδόμενα ἔχουσι τῶν τροπαρίων τινὰ, καὶ ἐν αὐτοῖς πολλὰ τὰ τῇ ὥρᾳ προσήκοντα, *Ἔπαρσις γὰρ τῶν χειρῶν μου, θυσία ἑσπερινή*· καὶ, *Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτὸς, ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον*, καὶ εἴ τι τοιοῦτον. Μετὰ τοῦτο κατὰ τὴν γινομένην τοῦ ἱερέως εἴσοδον, ἥτις ἡμῖν τὴν τοῦ Σωτῆρος ἐν σαρκὶ παρουσίαν ἐπὶ τὸν κόσμον, καὶ αὖθις ἐπιστροφὴν πρὸς τὸν Πατέρα ἐξεικονίζει, ὁ τοῦ μάρτυρος Ἀθηνογένους ᾄδεται ἑσπέριος ὕμνος, — *Φῶς ἱλαρὸν*, — ὃν ὁρμῶν ἐπὶ τὴν διὰ πυρὸς ἤδη τελείωσιν, ὡς ὁ μέγας φησὶ Βασίλειος, ᾖσεν, — *Εἴπωμεν πάντες*. — Εὐχαὶ ἐπὶ τούτῳ καὶ αἰτήσεις ἀγαθῶν τοῖς δεομένοις παρὰ Θεοῦ, — *Καταξίωσον, Κύριε*. — Καὶ μεταξὺ τούτων ἕτερος αὖθις ὕμνος ἀπὸ ῥητῶν ψαλμικῶν, καὶ τροπάρια πάλιν. — *Νῦν ἀπολύεις*. — Καὶ ἐπ' αὐτοῖς ἡ τοῦ θεοδόχου Συμεὼν εὐχαριστήριος εὐλογία, καθάπερ ἐκεῖνος τὴν ἀπὸ τοῦ σώματος λύσιν ἡδονῆς ὑπόθεσιν ἐποιεῖτο, τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμῖν ὑποβάλλουσα, τῆς ἐξόδου τε ὡς ἤδη παρούσης, ἣν ἡ ἑσπέρα χαρακτηρίζει μεμνῆσθαι, καὶ ἐπ' αὐτῇ τὰ εἰκότα τὸν Θεὸν εὐλογεῖν — Ἅγιος ὁ Θεὸς — ὅ τε Τρισάγιος ὕμνος, καὶ τὰ ἑξῆς μετ' αὐτὸν, καὶ τροπάριόν τι τῆς ἀπολύσεως, καὶ ἐπ' αὐτοῖς ἡ τοῦ ἱερέως εὐχὴ, καὶ ταύτης ἡμᾶς ἀποπέμπει τῆς λειτουργίας.

C

D

De hymno vespertino.

Laudationem vespertinam incipit psalmus centesimus tertius, — *Benedic, anima mea*, — quæ nobis creaturarum creationem describit et cujuslibet utilitatem laudat, et postea Creatorem celebrat; die enim jam finita quæ nobis ut Dei creaturis frueremur ab eo data est, oportebat de his rebus gratias agere Deo, cui curæ est vita nostra; et post eas alii rursus, psalmi precibus sacris interpositis, — *Domine, clamavi, et vox mea ad Dominum*, — qui cantantur modulate quando tempus est, et habent aliqua, quæ cantantur, troparia, et in ipsis multa sunt quæ horæ aptentur : *Elevatio manuum mearum sacrificium vespertinum* : et, *A custodia matutina usque ad noctem, a custodia matutina speret Israel in Domino:* et si quæ hujusmodi. Post ea in introitu sacerdotis qui nobis præsentiam Salvatoris in carne et in mundo repræsentat, et rursus reditum ejus ad Patrem, cantatur martyris Athenogenis vespertinus hymnus, — *Lumen hilare*, — quem, jam festinans ad mortem igne subeundam, ut ait magnus Basilius, cantavit: — *Dicamus omnes*, — preces post eum et petitiones quærentium bona a Deo, — *Dignare, Domine*. — Et inter eas alter iterum hymnus ex verbis psalmorum, et rursus troparia. — *Nunc dimittis*. — Et post ea ejus qui Deum suscepit Simeonis gratulatio, sicut ille liberationem a corpore causam habebat lætitiæ, eodem certe modo et nobis suggerens memoriam exitus quasi præsentis quem notat vespera, et post eum Deo digna gratulari. — *Sanctus Deus*, — et Trisagion hymnus, et quæ sequuntur, et troparium quoddam dimissionis, et post ea sacerdotis oratio ex hac liturgia nos dimittit.

Περὶ τοῦ ἀποδείπνου.

Λοιπός ἐστι καὶ τελευταῖος ὁ ἀπόδειπνος ὕμνος, ὃν ἐπὶ τὸν ὕπνον ἤδη τρεπόμενοι, καὶ τὴν ἀνάπαυ-

De officio post cœnam.

Reliquus et ultimus est, qui post cœnam, hymnus quem jam ad somnum conversi et ad quietem

carnis Deo celebramus. Et hic quidem longior breviorque est juxta dies : in diebus jejunii protendimus, in cæteris contrahimus. Et psalmi terni ibi quoque, ut dictum est, interponuntur et doxologiis et tropariis suo loco, sicut et precibus et quibusdam aliis. — *Cum invocarem.* — Primum igitur videre est quod maxime tempori aptus sit, secundum id : *In pace in idipsum dormiam et requiescam, quoniam tu, Domine, singulariter in spe constituisti me.* — *Domine, ne in furore tuo.* — Secundum vero, in his quæ dicit : *Lavabo per singulas noctes lectum meum, lacrymis meis stratum meum rigabo.* — *Usquequo, Domine ;* — tertium autem in eo : *Illumina oculos meos, ne unquam obdormiam in morte.* — *Ad te levavi.* — In secunda serie trium in eo : *Doce me, quia tu es Salvator meus, et te sustinui tota die.* — *In te, Domine, speravi* : — et, *In manus tuas commendo spiritum meum.* Imago enim quædam mortis est somnus. — *Qui habitat.*— Et rursus in hoc : *Non timebo a timore nocturno, a negotio perambulante in tenebris,* et in cæteris. Deinde partes quasdam prophetiæ Isaiæ excipientes cantamus quæ nobis contra potestatem dæmonum inserviunt, suam noctu maxime potestatem exercentium. *Nobiscum* enim, ait, *Deus, scitote, gentes, et vincimini. Populus sedens in tenebris vidit lucem magnam, quia nobiscum Deus,* et quæ ex ordine. — *Illuminare oculos meos.* — Interea vero addentes troparia quædam et preces, — *Credo in unum Deum,* — et adhuc ad symbolum fidei — *Miserere mei, Deus ;* — rursus incipientes quinquagesimum cantamus quem certe, etsi parvis quæ post cœnam, in principio ponimus, ut nunquam is omittatur qui pœnitentiam docet quam Deo per totam vitam præstare debemus. — *Domine, exaudi ;* — et post hunc alterum tempori congruentem, in his quæ dicit : *Factus sum sicut nycticorax in domicilio. Vigilavi, et factus sum sicut passer solitarius in tecto.* — *Domine, omnipotens.* — Loco autem tertii psalmi, quæ dicitur Manassis, orationem, pœnitentiæ et compunctionis vere fontem. *Deus, in adjutorium meum,* — et : *Domine, exaudi nos.* Cæteri vero iterum psalmi parvorum post prandium officiorum et ipsi precem habentes, et tempus significantes. — *Gloria in altissimis Deo.* — Et post ea doxologia et quæ post eam, omnia eodem modo ac principio diei, et troparia, et preces, et solita dimissio.

σιν τοῦ σαρκίου, τῷ Θεῷ λειτουργοῦμεν. Καὶ οὗτος δὲ μακρότερός τε καὶ ἐλάττων ὡς πρὸς τὰς ἡμέρας ἐστίν· ἐν μὲν γὰρ ταῖς νηστίμοις τοῦτον ἐκτείνομεν, ἐν δὲ ταῖς ἄλλαις συστέλλομεν. Καὶ οἱ ψαλμοὶ κατὰ τρεῖς, ὡς εἴρηται, μεσολαβοῦνται κἀνταῦθα, δοξολογίαις τε καὶ τροπαρίοις ἕσθ' ὅπου, καὶ ὃν καὶ εὐχαῖς, καὶ ἑτέροις τισίν. — Ἐν τῷ ἐπικαλεῖσθαί με. — Ἔστιν οὖν ἰδεῖν τὸν μὲν πρῶτον πρυσήκοντα τῷ καιρῷ μάλιστα, κατὰ τὸ, Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι, καὶ ὑπνώσω, ὅτι σύ, Κύριε, κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκισάς με. — Κύριε, μὴ ἐν τῷ θυμῷ σου· — τὸν δὲ δεύτερον, ἐν οἷς φησι, Λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω —Ἕως πότε, Κύριε· — τὸν δὲ τρίτον ἐν τῷ, Φώτισον τοὺς ὀφθαλμούς μου, μή ποτε ὑπνώσω εἰς θάνατον. — Πρὸς σέ, Κύριε, ἦρα ·. — τῆς δὲ δευτέρας τριάδος ἐν τῷ, Δίδαξόν με, ὅτι σὺ εἶ ὁ Θεὸς ὁ Σωτήρ μου, καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν. — Ἐπὶ σοί, Κύριε, ἤλπισα. — Καὶ τὸ, Εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου. Μίμημα γάρ τι τοῦ θανάτου ὁ ὕπνος. —Ὁ κατοικῶν· — καὶ αὖθις ἐν τῷ, Οὐ φοβηθήσομαι ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, καὶ τοῖς λοιποῖς. Μετὰ τοῦτο μέρη τινὰ Ἡσαΐου προφητείας ἀπολαβόντες ᾄδομεν, κατὰ τῆς τῶν δαιμόνων ἐνεργείας ἡμῖν συμβαλλόμενα, τῶν ἐν νυκτὶ μάλιστα τὴν πονηρὰν δύναμιν ἐπιδεικνυμένων. Μεθ' ἡμῶν γάρ, φησίν, ὁ Θεός, γνῶτε, ἔθνη, καὶ ἡττᾶσθε. Ὁ λαὸς ὁ καθήμενος ἐν σκότει εἶδε φῶς μέγα, ὅτι μεθ' ἡμῶν ὁ Θεός, καὶ ὅσα ἑξῆς. — Φώτισον τοὺς ὀφθαλμούς μου· — μεταξὺ δὲ τροπάριά τινα καὶ εὐχὰς ἐπειπόντες. — Πιστεύω εἰς ἕνα Θεόν, — καὶ πρός γε ἔτι τὸ τῆς πίστεως Σύμβολον — Ἐλέησόν με, ὁ Θεός, αὖθις ἀρξάμενοι τὸν τε πεντηκοστὸν ᾄδομεν, ὑπερ δὴ κἀν τοῖς μικροῖς ἀποδειπνοις ἐν ἀρχῇ τίθεμεν, ὡς μηδέποτε τοῦτον παραλελεῖφθαι, μετανοίας ὄντα διδακτικόν, ἣν ὀφείλομεν ἐπιδείκνυσθαι τῷ Θεῷ διὰ βίου παντός. — Κύριε, εἰσάκουσον, — καὶ ἕτερον ἐπὶ τούτῳ τῷ καιρῷ συμβαλλόμενον, ἐν οἷς φησιν, Ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ, ἠγρύπνησα, καὶ ἐγενόμην ὡς στρουθίον μονάζον ἐπὶ δώματος. — Κύριε παντοκράτορ, — ἀντὶ δὲ τοῦ τρίτου ψαλμοῦ τὴν Μανασσῆ βασιλέως προσευχὴν λεγομένην, μετανοίας τε καὶ κατανύξεως ἀφορμὴν οὖσαν — Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου, καὶ, Κύριε, εἰσάκουσον. — Ἕτεροι δὲ πάλιν οἱ τῶν μικρῶν ἀποδείπνων ψαλμοί, καὶ αὐτοὶ προσευχῆς ἐχόμενοι, καὶ σημαντικοὶ τοῦ καιροῦ. — Δόξα ἐν ὑψίστοις Θεῷ — καὶ ἐπ' αὐτοῖς ἡ δοξολογία, καὶ τὰ μετ' αὐτὴν ἅπαντα τὸν αὐτὸν τρόπον, ὃν καὶ ἐν ἀρχῇ τῆς ἡμέρας, τροπάριά τε, καὶ εὐχαί, καὶ ἡ συνήθης ἀπόλυσις.

De sacerdotis acclamationibus.

Sacerdotis voces, et in oratione a Deo data et aliis in precibus quas suo nomine facit, hanc habent rationem. Quemadmodum de aliis rebus agere quidem quæ opus est, cujuslibet est volentis, rationem vero facti enuntiare et causam, illius est qui dominatur in rem, et opus scit, ita ibi quoque necessaria a Deo petere est commune et nostrum

Περὶ τῶν τοῦ ἱερέως ἐκφωνήσεων.

Αἱ τοῦ ἱερέως ἐκφωνήσεις ἔν τε τῇ θεοπαραδότῳ προσευχῇ, καὶ ταῖς ἄλλαις αἷς αὐτὸς κατ' ἰδίαν ποιεῖται, τοιοῦτον ἔχουσι λόγον. Ὥσπερ ἐπὶ τῶν ἄλλων πραγμάτων τὸ μὲν ποιεῖν ὅ τι δή ποτε παντός ἐστι καὶ τοῦ βουλομένου, τὸ δὲ καὶ λόγον ἐκφράζειν τοῦ γενομένου, καὶ τὴν αἰτίαν, ὑπερέχοντος ἤδη τοῦτο, καὶ ἐπιστήμονος ἔργον· οὕτω κἀνταῦθα

τὸ μὲν αἰτεῖσθαι παρὰ Θεοῦ τὰ δέοντα κοινόν ἐστι, καὶ ἡμέτερον, *Αἰτεῖτε γὰρ, φησὶ, καὶ δοθήσεται ὑμῖν*, τὸ δὲ αἰτιολογεῖν τὰς αἰτήσεις, *Οὐ παρ' ἡμᾶς γὰρ, φησὶν, οὐδὲ διὰ τὴν ἡμετέραν ἀρετὴν καὶ σπουδὴν, ἀλλ' ὅτι δύνασαι. Σοῦ γάρ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα. Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις*, τά τε ἄλλα τὰ περὶ Θεοῦ ὑμνούμενα ἐξαγγέλλειν, ἐνίοτε δὲ καὶ δοξολογεῖν ἐπ' αὐτοῖς; λαμπρᾷ τῇ φωνῇ, τοῦ ἱερέως, ἂν εἴη, τοῦ τῆς θεαρχικῆς δικαιώσεως ὑποφήτου, φησὶ Διονύσιος ὁ πολὺς τὰ θεῖα. Τὰ μὲν οὖν αἰτήματα κοινῇ σὺν τοῖς ἄλλοις ἡ μόνος ὑπὲρ τῶν ἄλλων ἐκείνων ἀδόντων εἴωθεν ἐκτελεῖν, ἐπὶ δὲ τοῖς ἀκροτελευτίοις αὐτὸς ἀνακρούεται μόνος μεγάλῃ φωνῇ, πρὸς Θεὸν μὲν ἀποτεινόμενος, εἰς ὃν δήπου καὶ ἡ εὐχὴ, διδάσκων δὲ ἡμᾶς τὰς αἰτίας, ἐξ ὧν ἀκουσθῆναι μέλλομεν, εἰς ὑπόθεσιν ταπεινοφροσύνης ἅμα καὶ ἐλπίδος βεβαίας. Εἰ μὲν γὰρ ἦν, φησὶ, παρὰ τὴν ἡμετέραν ἀξίαν εἰσακουσθῆναι, τάχα ἂν εἴχομεν ἐνδοιάζειν, ὁπότε καὶ τὸ καλὸν εἰργαζόμεθα, τρεπτοὶ καθεστῶτες, καὶ οὐδέποτε ἐπὶ ταυτοῦ μένοντες· νῦν δὲ παρὰ τὰ τῷ Θεῷ προσόντα, τὰ δ' ἔστιν ἀΐδια καὶ ἀγήρω, τῶν αἰτουμένων ἔξεστιν ἀπολαύειν· ὥστε οὐκ ἂν εἴη δίκαιον ἀμφιβάλλειν. Ἀπόκρισιν οὖν τινα θείαν εἰκονίζει τοῖς αἰτουμένοις ἡ τοῦ ἱερέως φωνὴ, καὶ πληροφορίαν ἐμβάλλει ταῖς τῶν νοούντων ψυχαῖς, ἅμα δὲ καὶ κοινωνεῖ τρόπον τινὰ τῶν ἡμετέρων ᾠδῶν, δι' ὧν ἐκφωνεῖ· καὶ ἡμεῖς αὖθις αὐτῷ τῶν εὐχῶν, ἐν οἷς ὑπέχομεν ἐκφωνοῦντι τὰ ὦτα σιγῇ, καὶ προσεπιφωνοῦμέν γε τὸ, Ἀμήν.

A *Petite*, enim ait, *et dabitur vobis;* sed causas exponere. *Non ad nos*, enim ait, *non propter nostram virtutem et diligentiam, sed quia potes. Nam tuum est regnum potentia et gloria, quia Deus es bonus et homines amans*, et alia proferre de laude in Deum, aliquandoque pro aliis alta voce laudes celebrare, sacerdotis esse debet justitiæ divinæ interpretis, dicit Dionysius qui multa de divinis. Mos igitur est illum petitiones perficere una cum aliis, vel solum pro cæteris his cantantibus, in clausulis vero ipse solus magna voce intonat, ad Deum quidem intendens ad quem tendit sane et oratio, et nos docens causas per quas audiendi sumus, ut nobis subdatur humilitas simul et spes firma. Si enim, ait, oportebat nos ex nostra dignitate audiri, continuo dubitaremus cum vel quando probe agimus, versatiles constemus, nec unquam in iisdem perseverantes. Quæ vero sunt apud Deum, æterna sunt senioque immunia, et petitis frui licet, inde non justum sit dubitare ita ut rectum non foret dubitare. Responsum igitur quoddam divinum exprimit sane petitis vox sacerdotis, et plenitudinem injicit in prudentium animos, unoque participat aliquo modo nostros cantus quibus enuntians est : et nos rursus ei preces, in quibus taciti præbemus aures enuntianti, et addimus respondentes, *Amen*.

B

Περὶ τροπαρίων.

Τροπάρια λέγομεν παρὰ τὴν τροπὴν, ὅσα τῶν ψαλλομένων ὑποτέτραπται, καὶ πρὸς ἕτερα τὴν ἀναφορὰν ἔχει κατὰ τὸ μέλος, ἢ ἕτερα πρὸς αὐτά. Τὰ αὐτὰ δέ που καὶ στιχηρὰ, διὰ τὸ στίχους αὐτῶν προᾴδεσθαι παρὰ τοῦ Ψαλτῆρος, ἢ ἐτέρωθεν εἰλημμένους.

C

De tropariis.

Troparia dicimus propter conversionem, quæcunque ex his quæ psalluntur, convertuntur, et ad alia pertinent apte, vel ad ea, alia. Eadem sunt sane et stichera, quia eorum versus præcinuntur ex psalterio vel aliunde excerpti.

Περὶ εἱρμῶν.

Εἱρμοὺς διὰ τὸ εἰς αὐτοὺς ἐπιπεπλέχθαι τὰ ἑφεξῆς, καὶ οἷον σειράν τινα μίαν ἐξ αὐτῶν γίνεσθαι.

De hirmis.

Hirmos dicimus quia in eis quæ seriem efficiunt, intertexta sunt, unde et quasi funiculus quidam efficitur.

Περὶ κανόνος.

Τὸ δὲ ἐκ τῶν εἱρμῶν ἄθροισμα καθ' ἕκαστον ἦχον ἐν ταῖς ἐννέα ᾠδαῖς κανόνα καλοῦμεν, διὰ τὸ ἀεὶ ἐξεῖναι τοῖς ἤδη γεγενημένοις ἑτέρους ἐπιποιεῖν, ὡς ποδὸς αὐτοὺς ἀναφερομένους.

De canone ex pluribus hymnis constante.

Ex hirmis seriem, secundum quemque tonum in novem hymnis, canonem vocamus, quia semper licet his jam habitis alteros adjicere quasi ad eos pertinentes.

D

Περὶ καταβασίας.

Ὡσαύτως δὲ καὶ καταβασία, διὰ τὸ καταβιβάζεσθαι πρὸς αὐτὴν τὰ λοιπά

De catabasia sive hirmo finali.

Eodem modo et catabasia, quia ad eam descendunt cætera.

Περὶ προκειμένων.

Τὰ προκείμενα τῶν προφητικῶν τε καὶ ἀποστολικῶν Γραφῶν καὶ τοῦ Εὐαγγελίου προτάττονται. Στίχοι δέ εἰσιν ὡς τὸ πολὺ παρὰ τῶν ψαλμῶν, συγγενεῖς τῇ ἐννοίᾳ τῶν ἀναγινωσκομένων, καὶ οἷον προσμαρτυροῦντες αὐτοῖς. Ἅμα δὲ καὶ λεαίνουσί πως; τὴν ἀκοὴν ᾠδόμενα, καὶ τῇ ἀναγνώσει παρασκευάζουσι.

De propositis ante lectiones sacras versibus psalmorum.

Præjacentia propheticis apostolicisque Scripturis et Evangelio prædisposita sunt. Versus autem sunt plerumque ex psalmis, sensu conformes his quæ leguntur, et eis quasi testimonium præhibentes. Unaque demulcent aliquomodo aures, lectionique præparant.

Περὶ τῶν στίχων.

Τὰ τοῦ στίχου λεγόμενα τροπάρια, διὰ τὸ λέγε-

De psalmis per versus decantatis.

Sticharii dicta troparia, quia in eis nonnulli

leguntur (stichi) versus longiores majoresque cæteris omnibus in quotidianis vespertinis.

De contaciis sive brevibus hymnis Romani diaconi Emeseni.

Contaciorum auctor est mirabilis Romanus qui hanc accepit gratiam a Matre Dei quæ huic in somnis apparuit, eique particulam chartæ dedit hanc jubens ut comederet ; quod sibi visus facere statimque consurgens, dies autem erat natalis, ambonem ascendit et cœpit psallere, *Virgo hodie*, jam tum faciens et cætera. Propter hanc igitur particulam, hæc nominantur contacia : particula enim contacium.

De œcis sive hymnis longioribus.

Idem et œcos fecit quos primum psallebant cum contaciis in solis sanctis domibus, in quibus sanctus ille vir pernoctare solebat. Unde etiam hoc sibi nomen acceperunt.

De antiphonis sive hymnis chororum invicem respondentium.

Antiphona dicuntur quæ utraque chororum sibi respondentium parte hoc modo cantantur.

De quindecim genuflexionibus in diebus jejunii.

Quæ in diebus jejunii fiunt mediis in precibus geniculationes ad hunc sunt numerum qui ex tribus quinquies numeratis fit. Ter enim quinque sumptum quindecim efficit. Cum enim sensus depravavimus, sensibilibus omnino affixi sumus, et peccato mortique introitum paravimus, hujus rei gratia, pœnitentiæ sermo hos rectos reddit, supra sensum beatæ Trinitati adhærentes, et ex inclinatione ad eam mistioneque vitam divinam perficientes, triangularem quidem quia huic apta similisque fit, longam vero, quia in longitudinem extenditur : *Plenitudine*, enim ait, *dierum implebo illum, et tunc revelabo ei salutare meum.*

Quare inter modulos ad sacram communionem prævios in festis Deiparæ etiam canitur : « Calicem salutis accipiam. » (Psal. CXVI, 13.)

Commune quidem illud est omnibus diebus, et præcipue communioni congruens ; sed psallitur peculiariter Matri Dei non quidem propter primum versum, communis enim est hic, ut dictum est ; sed propter secundum qui dicit : *Et nomen Domini invocabo ;* prædictio enim illa Matri Dei conveniens est et ab ea adimplectionem habens, ut et : *Recordabor nomen tuum in omni generatione et generatione*, quod ante Evangelium cantatur. In quo et ejus oratio et invocatio inscribuntur. Tunc enim invocavit nomen Domini, quando dixit : *Magnificat anima mea Dominum, et exsultavit Spiritus meus, in Deo salutari meo. Ecce enim ex hoc nunc beatam me dicent omnes generationes, quia fecit mihi magna qui potens est, et sanctum nomen ejus.* Non

σθαι εν αὐτοῖς μακροτέρους τινὰς στίχους καὶ μείζονας τῶν λοιπῶν ἁπάντων ἐν τοῖς καθ' ἡμέραν ἑσπερινοῖς.

Περὶ τῶν κοντακίων.

Τῶν κοντακίων ποιητὴς ὁ θαυμάσιός ἐστι Ῥωμανὸς, ὃς παρὰ τῆς Θεοτόκου τοῦτο χάρισμα εἴληφεν, ἐπιφανείσης αὐτῷ καθ' ὕπνους, καὶ τόμον χάρτου ἐπιδούσης, καὶ κελευσάσης καταφαγεῖν, ὃ καὶ ποιῆσαι δόξας, εὐθὺς ἀναστὰς, ἡμέρα δὲ ἦν τῶν Γενεθλίων, ἀναβὰς ἐπ' ἄμβωνος, ἤρξατο ψάλλειν, *Ἡ Παρθένος σήμερον*, ἐκ τότε ποιήσας καὶ τὰ λοιπά. Διὰ γοῦν ἐκεῖνον τὸν τόμον κοντάκια ταῦτα καλοῦνται· τόμος γὰρ τὸ κοντάκιον.

Περὶ οἴκων.

Ὁ δ' αὐτὸς πεποίηκε καὶ τοὺς οἴκους, ψαλλομένους καὶ αὐτοὺς πρότερον σὺν τοῖς κοντακίοις ἐν μόνοις τοῖς εὐαγέσιν οἴκοις, ἐν οἷς ἐκεῖνος ὁ ἱερὸς ἀνὴρ πανυχίζειν εἰώθει. Διὸ καὶ τὴν κλῆσιν ταύτην ἐδέξαντο.

Περὶ ἀντιφώνων.

Ἀντίφωνα λέγονται τὰ παρ' ἑκατέρου τῶν χορῶν ἀντιφωνούντων ἀλλήλοις τὸν αὐτὸν τρόπον ᾀδόμενα.

Περὶ τῶν ἐν ταῖς νηστίμοις δεκαπέντε γονυκλισιῶν.

Αἱ ἐν ταῖς νηστίμοις μεταξὺ τῶν εὐχῶν γονυκλισίαι τὸν ἀριθμὸν ἔχουσι τοῦτον, ὃν ὁ τρὶς ποιεῖ ἐπὶ τὸν πέντε συντιθέμενος· τρὶς γὰρ τὰ πέντε δεκαπέντε. Ἐπειδὴ γὰρ τὰς αἰσθήσεις διεφθείραμεν τοῖς αἰσθητοῖς εἰσάπαν προσηλωκότες, καὶ τῇ ἁμαρτίᾳ καὶ τῷ θανάτῳ εἰσόδους κατασκευάσαντες, τούτου χάριν ὁ τῆς μετανοίας λόγος ἐπανορθοῖ ταύτας, τῇ ὑπὲρ τὴν αἴσθησιν μακαρίᾳ Τριάδι προσφυομένας, καὶ ἐκ τῆς πρὸς αὐτὴν νεύσεώς τε καὶ κράσεως ἀποτελούσας τὴν θεοειδῆ βίον, τρίγωνον μὲν διὰ τὸ πρὸς ταύτην εἱρμόσθαι καὶ ὁμοιοῦσθαι, προμήκη δὲ διὰ τὸ εἰς μῆκος ἐκτείνεσθαι. *Μακρότητος* γὰρ, φησὶν, *ἡμερῶν ἐμπλήσω αὐτὸν, καὶ τότε δείξω αὐτῷ τὸ σωτήριόν μου.*

Διατί τῶν κοινωνικῶν λεγομένων τὸ, Ποτήριον σωτηρίου λήψομαι, ἐν ταῖς ἑορταῖς τῆς Θεοτόκου προσᾴδεται.

Τοῦτο κοινὸν μὲν ἔστι ταῖς ἡμέραις πάσαις, καὶ τῇ κοινωνίᾳ προσῆκον μάλιστα· ψάλλεται δὲ τῇ Θεοτόκῳ ἰδίως, οὐ διὰ τὸν πρῶτον στίχον, κοινὸς γὰρ οὗτος, ὡς εἴρηται, διὰ δὲ τὸν δεύτερον, ὃς φησι, *Καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι.* Πρόῤῥησις γὰρ αὕτη τῇ Θεοτόκῳ προσήκουσα, καὶ παρ' αὐτῆς λαβοῦσα τὸ πέρας, καθάπερ καὶ τὸ, *Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ*, πρὸ τοῦ Εὐαγγελίου ᾀδόμενον· ἐν ᾧ ἡ αὐτῆς προσευχὴ καὶ ἐπίκλησις ἀναγεγραμμένη τυγχάνει. Τότε γὰρ ἐπεκαλέσατο τὸ ὄνομα Κυρίου, ἡνίκα εἶπε, *Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ Πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαὶ, ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς, καὶ ἅγιον*

τὸ ὄνομα αὐτοῦ. Οὐκ ἂν δὲ τις ἁμάρτοι καὶ τὴν θείαν τοῦ Πνεύματος χάριν ποτήριον ἐκλαβών, ὡς εὐφροσύνης ποιητικὴν καὶ ἐκστάσεως, καθ' ὃ καὶ τῷ Δαβὶδ εἴρηται, *Τὸ ποτήριόν σου μεθύσκον με ὡσεὶ κράτιστον*, οὗ πλησθεῖσα ἡ Θεοτόκος, μᾶλλον δὲ πλήρης οὖσα, τὴν τοιαύτην προσευχὴν ἐξεφώνησε. Τάχα δὲ καὶ ἡμᾶς ἐπὶ τοῦτο προτρέπεται, τὸ σωστικὸν ποτήριον δεχομένους, ὥσπερ ἐκείνη τὴν τοῦ Θεοῦ λόγου ὑπόστασιν, ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου, καὶ μεγαλύνειν σὺν αὐτῇ τὸν Κύριον, εὐχαριστεῖν τε ἀξίως τῆς τηλικαύτης χάριτος

enim erraret qui divinam Spiritus gratiam ut calicem haberet ad sapientiam et exstasim producendas, ut a Davide dictum est : *Calix tuus inebrians me quasi optimus*, quo impleta Mater Dei, vel potius plena, hanc edidit precem. Statimque nos ad id inducit calicem salutarem accipientes : sicut illa personam Verbi Dei, ut invocemus nomen Domini, et cum ea magnificemus Dominum et gratias agamus, ut decet pro tanta gratia.

ΜΑΡΚΟΥ

ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΕΦΕΣΟΥ

ΤΟΥ ΕΥΓΕΝΙΚΟΥ

ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΙΣΙΔΩΡΟΝ ΙΕΡΟΜΟΝΑΧΟΝ ΠΕΡΙ ΟΡΩΝ ΖΩΗΣ ΑΙΤΗΣΑΝΤΑ *.

—

MARCI EUGENICI

EPHESI METROPOLITÆ

EPISTOLA AD ISIDORUM HIEROMONACHUM DE VITÆ TERMINO INQUIRENTEM.

—

Οὔτ' αὐτὸς ἠπόρεις, ὦ μακάριε δέσποτα, τοῦ ζητουμένου τὴν λύσιν ἐξευρεῖν τε καὶ ἀποδοῦναι (καὶ γάρ πως ἔδειξας τοῦτο δι' ἧς πρὸς ἡμᾶς ἔπεμψας ἐπιτόμου καὶ θαυμαστῆς διαιρέσεως), καὶ, ζητῶν παρ' ἑτέρου, πρὸς ἕτερον ἀπιδεῖν ὤφειλες, ᾧ τὸ καθαρὸν μὲν τοῦ βίου θεωρημάτων πλῆθος, ἡ δὲ περὶ τὸ λέγειν ἕξις καὶ δύναμις εὐστομίαν τε καὶ καλλιέπειαν χορηγεῖ· τούτων γὰρ ἡμῖν οὐδέν τι συνῆδεις, ἀλλ' οὐδ' αὐτὸ τὸ ῥᾳδίως ὑπείκειν τοῖς τὰ τοιαῦτα κελεύουσιν. Ἀλλὰ γὰρ ἀναστῆσαι βουλόμενος ἴσως τὸ νωχελὲς ἡμῶν καὶ συμπεπτωκὸς ὑπό τε ἀθυμίας καὶ νόσου, πεῖραν δή τινα ταύτην ὑφῆκας, εἴ πως ἀνενεγκόντες ἐπὶ βραχὺ δυνηθείημεν ἄξιόν τι διαλαβεῖν τοῦ προβεβλημένου. Δυοῖν τοιγαροῦν μέσος ἀπειλημμένος, κινδύνου τε παρακοῆς (οὐ γὰρ ἁπλῶς οὕτως, οὐδ' ἐν παρέργῳ τὴν ζήτησιν ἐποιήσω), καὶ θρασύτητος ὑπολήψεως, εἰ τὰ τοῖς ἁγίοις πρότερον εἰρημένα καὶ διευκρινημένα καλῶς, ἀνασκάλλειν πειρῶμαι, αἱρήσομαι τῷ δευτέρῳ μᾶλλον ἢ τῷ προτέρῳ παρὰ παντὸς ὑποβληθῆναι τοῦ βουλομένου. Τὸ μὲν γὰρ ἐκεῖνο θεραπεύει καὶ πρόχειρον εἰς ἀπολογίαν ἐστί· τοῦ δὲ οὐκ ἔστιν ἴασις εἴ τις ἐπὶ πολὺ κελευόμενος ὄκνοιη καὶ ἀναβάλλοιτο.

Τὸ μὲν οὖν ζητούμενον ἐστίν, εἰ ὥρισται παρὰ Θεῷ τῶν ἀνθρώπων ὁ βίος, ἢ ὑπὸ τῆς φύσεως αὐτῆς ὁ θάνατος ἐπιφέρεται καὶ τῶν ἔξωθεν συμπτωμάτων· τοῦτο δὲ αὐτὸ προθεὶς εἰς ἐξέτασιν ὁ θεῖος πατὴρ Ἀναστάσιος, ὁ Σιναΐτης ἐπικληθείς, φυσικαῖς τε καὶ γραφικαῖς μαρτυρίαις, οἷος ἐκεῖνος περὶ τοιαῦτα πολύς, ἔδειξεν ἀκριβῶς μὴ δεῖν ἐπὶ ζωῆς ἀνθρωπίνης, ὥσπερ οὐδ' ἐπὶ τῶν ἄλλων τῶν κατὰ τὸν βίον πράξεων ἢ παθημάτων, ὅρον τινὰ παρὰ Θεοῦ πεπηγότα φρονεῖν, ἀλλ' ἀναίτιον εἶναι καὶ τούτου τὸ θεῖον ὥσπερ κἀκείνων, προνοητικὸν μὲν ἁπάντων ὂν καὶ δυνάμενον πάντα μεταποιεῖν ὅπως ἂν βούληται, ἐπιτρέπον δὲ ὅμως ἕκαστα τῇ φύσει τε καὶ τῇ προαιρέσει. Ταῦτα μὲν ἐκεῖνος· καὶ εἴ τις ἐπελθεῖν βούλοιτο τὰ αὐτῷ γεγραμμένα, θαυμάσει τε ἱκανῶς καὶ οὐδὲν ἐπιδεὰζων ἔσται πρὸς τὴν ἀπόφασιν· ἀλλὰ τὸ τοῦ μεγάλου πατρὸς ἡμῶν Βασιλείου, δοκοῦν ἀντιπίπτειν τοῖς εἰρημένοις, οὔτε ἔλυσεν ἱκανῶς, οὔτε ἐπεξειργάσατο πρὸς ἀκρίβειαν ἐπὶ τὰ κατεπείγοντα προχωρῶν. Λέγει δὲ

* Ex Joan. Fr. Boissonadii *Anecdot. nov.*

ἐκεῖνο διαῤῥήδην οὕτω καὶ φανερῶς, « Θανάτους ἐπάγεσθαι τοῖς ἀνθρώποις, τῶν ὅρων τῆς ζωῆς πληρωθέντων οὓς περὶ ἕκαστον ἔπηξεν ἡ δικαία τοῦ Θεοῦ κρίσις, πόῤῥωθεν τὸ περὶ ἕκαστον συμφέρον προβλεπομένου. » Ἐκ τούτου μὲν οἶμαι τὴν ζήτησιν οὐ λελύσθαι μᾶλλον ἢ τετονῶσθαι, καὶ δοκεῖν ἐπ' ἀμφότερα τὸ ἰσχυρὸν ἔχειν, ἅτε δὴ πατέρων ἐπιφανῶν καὶ μεγάλων ἑκατέρῳ μέρει τῆς ἀντιφάσεως συνεστώτων, καὶ τὸ καθ' αὑτὸν ἑκατέρου κρατύνοντος. Τί δὲ ἡμεῖς ; οὔτε θάτερον τούτων ἢ ἀμφότερα ἀνελοῦμεν, ἐπειδὴ μὴ ἀλλήλοις συμβαίνουσιν, οὔτε τοὺς εἰπόντας διαβαλοῦμεν · μὴ γένοιτο · συμβιβάσομεν δὲ μᾶλλον ἐκεῖνα, καὶ τὸ ἀληθὲς ὅπως ἔχει διαληψόμεθα τελειώτερον, εἴ πως ἡμῖν δοθείη λόγος ἐν ἀνοίξει τοῦ στόματος (1) ὑπὸ τῶν σῶν ἁγίων βουλομένοις εὐχῶν.

Πρῶτον δὲ, ἀμφοτέρους τοὺς λόγους ὡς ἐν δίκαστηρίῳ προστήσαντες, ὅπη τὸ ἰσχυρὸν ἑκάτερος ἔχει σκοπήσωμεν.

Οἱ μὲν οὖν τὸν ὅρον εἰσάγοντες τῇ προνοίᾳ τοῦ Θεοῦ δοκοῦσι συνηγορεῖν, καὶ φασὶ τῶν μὲν ἄλλων οὐδὲν ἀπεικὸς ἀναίτιον τὸν Θεὸν εἶναι τῶν πλείστων ὅσα κατὰ τὸν βίον ἐπιγίνεται τοῖς ἀνθρώποις, εἴτε φύσει διοικουμένοις, εἴτε προαιρέσει χρωμένοις, εἴτε τύχῃ δουλεύουσι · καίτοι γε κακεῖνα, εἰ καὶ μὴ παρὰ Θεοῦ, ἀλλ' οὐκ ἄνευ Θεοῦ, συγχωροῦντός τε καὶ παραχωροῦντος · « χωρὶς γὰρ αὐτοῦ, φησὶν, οὐδὲ στρουθίον ἐπὶ τὴν γῆν (2) πεσεῖται · » θανάτου δὲ, ὃς ἐστι συγκλεισμὸς ἁπάντων καὶ πέρας, μὴ Θεοῦ μόνου τὰς ἡνίας ἐξῆφθαι τις ἂν εἴποι μὴ οὐχὶ παντάπασιν ἄτοπα λέγειν δοκεῖν ἐθέλων ; Καὶ δοῦλος γάρ που, πρὸς διακονίαν ἀποστελλόμενος, τὸν μὲν τρόπον ὃν διακονήσειεν ἑαυτῷ λογιεῖται, καὶ τὰς εὐθύνας δώσει τῶν πεπραγμένων, χρόνον δὲ τῆς διακονίας ἐκεῖνον φυλάξει πάντως ὃν ὁ δεσπότης αὐτῷ ὁρεῖται. Καὶ μήν, εἰ ὁ πλεῖστος ὅρος τῆς ἀνθρωπίνης ζωῆς ἑβδομήκοντα ἢ ὀγδοήκοντα ἔτη, καθά φησιν ὁ Δαυὶδ (3), πῶς οὐκ ἀδικεῖται πάντως ὁ μὴ πρὸς τοῦτο τὸ μέτρον φθάσας ἐλθεῖν, ἀλλὰ μεταξὺ προαναρπασθείς ; εἰ μὴ τῇ θείᾳ προνοίᾳ δώσομεν ἐπὶ συμφέροντι τῷ ἑκάστου τὸν θάνατον προορίζειν τε καὶ ἐπάγειν. Οὐ γὰρ δὴ τὸ μέγιστον τοῦτο καὶ τιμιώτατον ζῶον, τὸ κατ' εἰκόνα Θεοῦ γεγονὸς (4), ὡς ἔν τι τῶν ἀλόγων εἰκῇ καταφθείρεται. Τὰ μὲν γὰρ ἀπογενόμενα πρὸς οὐδέν τι τοῦ λοιποῦ διαμένει · τοῦ δὲ τὸ κυριώτατόν τε καὶ ἄριστον μέρος ἐνθένδε ἀπαλλαγὲν, ἐπὶ τὴν οἰκείαν λῆξιν μεταχωρεῖ, τοσοῦτον ἐνταῦθα πολιτευσάμενον χρόνον, ὅσον εἴ τις ἐφ' ἡμέραν μίαν ὁ δὲ καὶ δύο πανηγυρίσας ἢ ἐν θεάτρῳ διαγαγὼν, εἶτα πρὸς ἑαυτὸν ἀναλύσειεν. Ὧ τοιγαροῦν ἡ πρόνοια τοσούτη παρὰ τὸν βίον, ὡς καὶ τὰς τῆς κεφαλῆς ἠριθμῆσθαι τρίχας (5), τούτου πῶς οἷόν τε τὴν ἐνθένδε ἀπαλλαγὴν ἄριστον εἶναι καὶ ὡς ἔτυχεν ἐπιγίνεσθαι ; κρίσει ἄρα δικαίᾳ καὶ προορισμῷ τοῦ Θεοῦ, τό τε παρελθὸν τῆς ζωῆς εἰδότος καὶ τὸ μέλλον προορωμένου, πρὸς τὸ συμφέρον ὁ θάνατος ἕπεισι. Καὶ ταῦτα διδάσκει μὲν ὁ μέγας Βασίλειος, ᾧ τοσοῦτον ὑπάρχει τὸ συγκεχωρηκὸς ἐν ἅπασι παρὰ πάντων ὡς μὴ ἂν ἕνα μηδένα τὴν ἐναντίαν θέσθαι τολμῶντα μὴ οὐ καταγέλαστον εἶναι δοκεῖν · μαρτυρεῖ δὲ Ἐζεκίας, ᾧ τῆς ζωῆς εἰς τὸ ὡρισμένον πέρας ἐλθούσης ἐτῶν ἀριθμὸς πεντεκαίδεκα προσετέθη (6). Τοὐναντίον δέ τις ἕτερος βασιλεὺς Χαλδαίων (7), ἁμαρτήσας μεγάλα, συνετμήθη τοὺς ὅρους. Καὶ ὁ Δαυὶδ δὲ, τῷ Θεῷ φάσκων (8), « Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου, » τοὺς τῆς ζωῆς που πάντως ὅρους ὑποδηλοῖ, μὴ συντμηθῆναι τούτους αἰτούμενος. Οὕτω δὴ καὶ εἴ τις ἕτερος ἐξήρπασται τοῦ θανάτου θαυματουργίᾳ τινὶ θείᾳ καὶ πρεσβείαις ἁγίων, οὐ τὸ μὴ εἶναι ζωῆς ὅρους, ἀλλὰ τὸ εἶναι μᾶλλον ἐνδείκνυται, τοῦ Θεοῦ δυναμένου τοὺς πεπηγότας ὅρους ὑπερθέσθαι τε μεταβαλλομένων ἐπὶ τὸ κρεῖττον ἡμῶν, καὶ αὖθις ἐπιτεμεῖν πρὸς τὸ χεῖρον ὑπαγομένων. Ταῦτα καὶ τοῖς ζῶσιν ὠφέλιμα, πρὸς Θεὸν μόνον ἀναπείθοντα βλέπειν ὡς ζωῆς καὶ θανάτου κύριον · « Ἐν γὰρ χειρὶ αὐτοῦ, φησὶν, ἡ πνοὴ τῶν ζώντων · » καὶ τὴν ἐπὶ τοῖς τεθνεῶσι παραιρεῖται λύπην, ὡς μεταστήσαντος αὐτοὺς ἐπὶ τῷ συμφέροντι τοῦ κοινοῦ τῶν ἁπάντων δεσπότου.

Εἴρηται θατέρῳ μέρει τὰ τῆς οἰκείας δόξης.

Οἱ δὲ τὴν ἐναντίαν αὐτοῖς ἰόντες, Οὐδ' αὐτοὶ, φασὶ, τὴν θείαν πρόνοιαν ἀναιροῦμεν, καὶ τὸ παρὰ Θεοῦ τὸν θάνατον εἶναι · καίτοιγε ἁμαρτίας ἐπιτίμιον ὄντα καὶ παρ' ἡμῶν ἡμῖν αὐτοῖς εἰσενηνεγμένον (Ὁ Θεὸς γὰρ, φησὶ (9), θάνατον οὐκ ἐποίησεν, οὐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων) κατατιθέμεθα. Οὕτω μέντοι φαμὲν τὸν θάνατον εἶναι παρὰ Θεοῦ, καθάπερ ἄν τις τὸ παρὰ τοῦ ἐπάρχου πραττόμενον παρὰ τοῦ βασιλέως εἴποι πεπράχθαι, μηδὲ συνειδότος ἐσθ' ὅτε τοῦ βασιλέως · ἀλλ' ἐπειδήπερ αὐτός ἐστιν ὁ τὸν ἔπαρχον καταστήσας, εἰς αὐτὸν ἀναφέρεται τὰ ἐκείνου. Κἀνταῦθα τοίνυν τὸν θάνατον ἐπάγει μὲν ἡ κοινὴ φύσις, καὶ ὁ τῆς γενέσεως κύκλος τοὺς μὲν εἰς τὸν βίον εἰσάγων, τοὺς δ' ἀναγκαίως ἀνθυπεξάγων · λέγεται δὲ παρὰ τοῦ Θεοῦ ἑκάστῳ πρὸς τὸ συμφέρον ἐπάγεσθαι, οὐ τῷ παρ' αὐτοῦ μόνον τὴν φύσιν εἶναι καθεσταμένην, ἀλλὰ καὶ τῷ παρακολουθοῦσαν ἐν πᾶσι τὴν θείαν προνοίαν, καὶ συνειδυῖάν γε, μὴ κωλύειν, ἀλλ' ἐπιτρέπειν τῇ φύσει τὰ ἑαυτῆς ποιεῖν. Οὕτω δὴ καὶ ἐξ ἀμελείας ἔσθ' ὅτε τις ἐτελεύτησεν, ἢ τῇ διαίτῃ κακῶς χρησάμενος, ἢ λῃσταῖς περιπεσὼν, ἢ ἐν πολέμῳ διαφθαρείς, ἢ συμπτώματι ἐναποληφθείς, ἢ ναυαγίῳ κατὰ θάλατταν ἐναποπνιγείς · ἤδη δὲ ἔνιοι καὶ ἑαυτοὺς ἀνεῖλον · ἅπερ ἅπαντα προεγνωκέναι

(1) Paulus, Ep. ad Ephes. VI, 19 : Ἵνα μοι δοθείη λόγος ἐν ἀνοίξει τοῦ στόματός μου ἐν παῤῥησίᾳ.
(2) Matth. X, 29 : Οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται ; καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν ἄνευ τοῦ Πατρὸς ἡμῶν.
(3) Psal. LXXXIX, 10.
(4) Gen. I, 26, 27.
(5) Matth. X, 30 : Ὑμῶν δὲ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσί.
(6) Res narratur IV Reg., c. XX.
(7) Baltasar, cujus narrat interitum liber Daniel, c. V.
(8) Psal. CI, 24.
(9) Sap. I, 13.

μὲν καὶ συνεγνωκέναι τὸν Θεὸν λέγομεν, ἔτι δὲ A
συγχεχωρηκέναι καθ' οὓς αὐτὸς ἐπίσταται λόγους·
προορίζειν δὲ, ἢ αἴτιον αὐτὸν εἶναι, μὴ οὕτω μανείημεν ὥστ' εἰπεῖν. Εἰ δὲ δή φαίη τις ὡς οὐ τὸν τρόπον τοῦ θανάτου προορίζει, τὸν χρόνον δὲ μόνον, καὶ τοῦτο μὲν οἷς λέγουσιν ἀναιροῦσι. Τίς γὰρ καὶ χρεία προορισμοῦ διὰ παρακλήσεως λυομένου, καὶ τοῦτό γε οὐκ ἐφ' ἑνὸς ἢ δυοῖν, ἀλλ' ἐπὶ πλειόνων; εἰ δὲ μὴ λύεται, τί καὶ παρακαλοῦμεν ἑκάστοτε; λανθάνουσι δὲ καὶ ἑαυτοὺς εἱμαρμένην τινὰ θανάτου καὶ ἀπαράβατον ἀνάγκην εὐπροσώπῳ ῥήματι τοῦ προορισμοῦ λέγοντες· καὶ ἀκουέτωσαν λοιπὸν ἅπερ οἱ τὴν εἱμαρμένην δοξάζοντες, ὡς οὔτε ἰατροὺς δεήσει καλεῖν, οὔτε τὰ πρὸς θεραπείαν τῶν νοσούντων ἐπιτηδεύειν. Πῶς δὲ καὶ ὁ λοιμὸς ἀφ' ἑτέρου πρὸς ἕτερον φυσικῶς διαδίδοται, καὶ B
πολλοὶ θεραπεύοντες ἑτέρους ἐπαπέθανον τοῖς θεραπευομένοις, λεγέτω ὁ τοὺς ὅρους εἰσάγων. Ἀλλὰ τὰ τοιαῦτα πάντα προσεχῶς μὲν ἡ φύσις ἐνεργεῖ καὶ ὁ συμπίπτων καιρὸς ἑκάστοτε· συγχωρεῖν δὲ ὁ Θεὸς, οὐκ ἐνεργεῖν λέγεται, μή τι γε δὴ προορίζειν. Οὐ γὰρ δὴ καὶ τῷ Σκύθῃ καὶ Σαυρομάτῃ τὸν θάνατον αὐτὸς προορίζει· ἀλλ', ὥσπερ τὴν γένεσιν ἡ δυοῖν ἐπὶ ταὐτὸ σύνοδος, ἀνδρός τε καὶ γυναικὸς, ἐκτελεῖ, καὶ, ὅταν ἀκούσωμεν ὅτι παρὰ Θεοῦ συνάπτεται ἀνὴρ γυναικὶ, οὐ τὸ καθ' ἕκαστον ἐννοοῦμεν, οὐδὲ τοὺς παρανόμους γάμους ἐκλογιζόμεθα· τὸ πρᾶγμα δὲ αὐτὸ καὶ τὸν καθόλου λόγον τῆς φύσεως, οὕτω δὴ, καὶ τοὐναντίον ἐπὶ θανάτου, ζωῆς ὅρον ἐκλαμ- C
βάνειν προσῆκε τὸν πεπηγότα λόγον τῆς φύσεως, ὃς ἑκάστῳ τὸ ζῆν ἐφ' ὅσονοῦν φυσικῶς ἐπεμέτρησε· λύει δὲ αὐτὸν ὁ Θεὸς, ἡνίκα βούλεται, πάντως πρὸς τὸ συμφέρον, ὁ καὶ τὴν φύσιν αὐτὴν συστησάμενος. Διὰ τοῦτο καὶ πολλοὶ πολλάκις ἐκ θανατικῶν τε νόσων καὶ κινδύνων μεγάλων παραδόξως ἐσώθησαν· ἕτεροι δὲ, νοσοῦσι συναναστρεφόμενοι καὶ τὸν αὐτὸν αὐτοῖς ἀέρα σπῶντες, ἀσινεῖς ἐφυλάχθησαν.

Οὗτοι μὲν οἱ ἐναντίοι λόγοι. Καὶ εἴ τις ἡμᾶς ὡς διαιτητὰς δέχεται, τιθέμεθα τῷ δευτέρῳ, καὶ τὴν νικῶσαν αὐτῷ δίδομεν, ἀποφαινόμεθά τε εὖ μάλα τεθαρρηκότως μὴ δεῖν τὸ πάντων ἀριστότατον ὡρίσθαι παρὰ Θεοῦ λέγειν. Τί γὰρ καὶ τοῦ ἀποθανεῖν ἄνθρωπον εὐκολώτερον; ὃν γε καὶ ψῆφ παραδραμοῦσα πολλάκις διέφθειρε, κατὰ τὸν εἰπόντα, καὶ ποτὸς πλεονάσας καὶ ἵππος συναρπάσας, καὶ D
μυρία ὅσα τοιαῦτα. Λειπόμενον δ' ἂν εἴη καὶ τὰ ῥητὰ συμβιβάσαι, καὶ ἐπιλύσασθαι τὰ τοὺς ὅρους εἰσάγοντα. Ὅ τε γὰρ μέγας Βασίλειος, καὶ ἑπομένως αὐτῷ Θεόδωρος ὁ Στουδίτης ἐν τοῖς αὐτοῦ μέλεσιν ὅρον εἶναι τῆς ζωῆς ἑκάστῳ παρὰ Θεοῦ πεπηγότα διδάσκουσιν. Οἱ μὲν οὖν λέγοντες ὅρον αὐτὴν εἶναι τὴν τοῦ Θεοῦ πρόγνωσιν, ὡς πάντα περιλαμβάνουσαν, ἐοίκασιν οὐκ ἀκριβῶς ἐπιστῆσαι τῷ σκοπῷ τῶν ῥηθέντων, ἀλλ' ἐπιπολῆς αὐτῶν ἅψασθαι. Ἔστι γὰρ οὐ ταυτὸν ὅρος καὶ πρόγνωσις, ἀλλ' ἐπὶ πλέον τοῦ ὅρου ἡ πρόγνωσις. Ὃ μὲν γάρ τις ὁρίζει, τοῦτο καὶ προγινώσκει πάντως· οὐ μὴν ὃ προγινώσκει, τοῦτο καὶ προορίζει. Καθάπερ ὃ μὲν ἄνθρωπος, τοῦτο καὶ ζῶον· οὐ μὴν ὃ ζῶον, τοῦτο καὶ ἄνθρωπος. Τὸν μὲν οὖν ἄνθρωπον ζῶον ἀληθῶς ἐροῦμεν, τὸ δὲ ζῶον ἄνθρωπον οὐδαμῶς. Καὶ κατὰ μὲν τοῦ ὅρου τὴν πρόγνωσιν ἀληθῶς που κατηγορήσομεν, κατὰ δὲ τῆς προγνώσεως τὸν ὅρον οὐκ ἀληθῶς. Ταῦτα δέ που καὶ ὁ Ἀπόστολος (1) διαστέλλειν οἶδεν ἐν οἷς φησίν· « Οὓς προέγνω καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ. » Οὐκ ἄρα οὐδὲ παρ' ἐκείνοις τοῖς διδασκάλοις ἀντὶ τῆς προγνώσεως ὁ ὅρος εἴρηται. Πόθεν οὖν τὰ ῥητὰ παραμυθησόμεθα; φαμὲν ὡς εἰ μὲν προκείμενον ἦν ἐκείνοις περὶ τοῦ ζητήματος τούτου διαλαβεῖν, ὅπερ ὁ θεῖος ἐποίησεν Ἀναστάσιος, εἶπον ἂν ὅσα ἐκεῖνος, καὶ ἔτι πλείω τε καὶ θαυμασιώτερα, καὶ τοῦ ἀκριβοῦς ἐχόμενα μᾶλλον· ἐπεὶ δὲ ἐκ τοῦ παρείκοντος εἶπον τὰ εἰρημένα, μήποτε τὸ ἐπὶ μέρους ὑπάρχον ὡς καθόλου, διὰ τὴν τῶν ἀκουόντων ὠφέλειαν, ἀπεφήναντο. Πολλὰ γὰρ οὕτω παρὰ τοῖς πατράσι καὶ τῇ θείᾳ Γραφῇ λέγεται, μερικὰ μὲν ὑπάρχοντα, ἁπλῶς δὲ καὶ ἀπολύτως λεγόμενα, καὶ διὰ τοῦτο δοκοῦντα καθόλου λέγεσθαι· οἷόν που φησιν ὁ Σωτὴρ (2)· « Ὁ πιστεύων εἰς ἐμὲ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει. » Καὶ μὴν οὐ πᾶς ὁ εἰς αὐτὸν πιστεύων μείζονα τῶν ἐκείνου ἔργων ποιεῖ. Καὶ ὁ Ἀπόστολος (3) αὖθις· « Ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν, » ἀλλ' οὐ πάντες, ἀλλ' αὐτὸς καὶ οἱ κατ' ἐκεῖνον. Καὶ πρὸς τοὺς Κορινθίους αὖθις (4)· « Ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστε ἐν Χριστῷ Ἰησοῦ. » Καίτοι γε οὐ πάντες ἐκ τοῦ Θεοῦ ἦσαν· πολλοὶ γὰρ ἦσαν τοιοῦτοι, πρὸς οὓς ἀλλαχοῦ φησίν (5)· « Ἔτι σαρκικοί ἐστε, καὶ κατὰ ἄνθρωπον περιπατεῖτε. » Καὶ ὁ Σολομών (6)· « Πλοῦτος καὶ πενία παρὰ Θεοῦ ἐστιν· » ἀλλ' οὐ πᾶς πλοῦτος, οὐδὲ πᾶσα πενία. Καὶ πολλὰ ἄν τις εὕροι τοιαῦθ' ἕτερα. Τοιοῦτον, οἶμαι, καὶ τὸ παρὰ τῷ μεγάλῳ Βασιλείῳ περὶ τῶν τῆς ζωῆς ὅρων εἶναι· « Θάνατοι γάρ, » φησίν, « ἐπάγονται τοῖς ἀνθρώποις, τῶν ὅρων τῆς ζωῆς πληρωθέντων. » Οὐ πᾶσι φησὶ τοῖς ἀνθρώποις, ἀλλὰ τοῖς πιστοῖς καὶ πρὸς οὓς ἐκεῖνος ἐποιεῖτο τὸν λόγον· καὶ τούτοις δὲ οὐ πᾶσιν, ἀλλὰ τοῖς ἀριστοῖς τε καὶ οἰκειοτάτοις· τούτων γὰρ ὁ Θεὸς οὐ τὴν τελευτὴν μόνον, ἀλλὰ καὶ τὰ κατὰ τὸν βίον ἅπαντα προορίζει. Καὶ φησὶν ὁ θεῖος Ἀπόστολος (7), οὓς προέγνω καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ. Καὶ ὁ θεολόγος Γρηγόριος (8)· « Κατὰ τὴν μεγάλην τοῦ Θεοῦ βουλήν τε καὶ πρόγνωσιν, ἣ πόρρωθεν οἶδε προκαταβάλλεσθαι τῶν μεγάλων πραγμάτων τὰς ὑποθέσεις· » καὶ καθάπερ

(1) Rom. VIII, 29.
(2) Joan. XIV, 12.
(3) I Cor. II, 16.
(4) I Cor. I, 30.
(5) I Cor. III, 3.
(6) Proverb. XXX, 8 : Πλοῦτον δὲ καὶ πενίαν μή μοι δῷς. Ipsa quæ afferi verba Eugenicus ubi lateant nescio.
(7) Rom. VIII, 29.
(8) Conf. Gregorius N. Or. 18, p. 281 : Οἶδε γὰρ πόρρωθεν καταβάλλεσθαι τῶν μεγάλων πραγμάτων ἡ σοφία τὰς ὑποθέσεις.

ἐπὶ τῆς πρώτης δημιουργίας, « ἐν μὲν τοῖς ἄλλοις » εἶπε, « φησὶν ὁ Θεὸς, *Γενηθήτω φῶς, καὶ γενηθήτω στερέωμα* (1), ἐπὶ δὲ τοῦ ἀνθρώπου καὶ βουλῆς αὐτῷ ἐδείησε τὴν εἰς αὐτὸν ἐνδεικνυμένῳ τιμήν. *Ποιήσωμεν* γὰρ, φησὶν, *ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν* (2), *καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ*. » τὸν αὐτὸν δὴ τρόπον κἀνταῦθα τοὺς μὲν ἄλλους ἅπαντας ἐπιτρέπει τῇ κοινῇ φύσει, μικρόν τι διαφέροντας τῶν ἀλόγων, εἰ μὴ καὶ χεῖρον ἐκείνων τῇ ἀλογίᾳ συζῶντας· τὰ δὲ τῶν οἰκείων αὐτῷ καὶ φίλων οὓς ἐξελέξατο ἐκ τοῦ κόσμου φησὶν (3) οὐ προγινώσκειν μόνον, ἀλλὰ καὶ προορίζειν τιμῆς τοῦτο ῥῆμα καὶ ἀξιώματος δηλωτικὸν τοῦ μεγίστου. Καθάπερ γάρ τις βασιλεὺς ἁπάντων μὲν προνοεῖται τῶν ὑπηκόων, ἀλλὰ τῶν μὲν ἐν τέλει καὶ οἰκειοτάτων δ' ἑαυτοῦ, τῶν ἄλλων δὲ δι' ἐκείνων οὕτω δήπου καὶ ὁ Θεὸς περὶ μὲν τῶν πολλῶν ἀνθρώπων, φησὶ, « τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς τε καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους (4), » κοινὰ δὲ δήπου ταῦτά καὶ τοῖς ἄλόγοις· περὶ δὲ τῶν οἰκείων, « ὑμῶν (5) δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσὶ, » τὴν ἐξαίρετον περὶ αὐτοὺς ἐνδεικνύμενος πρόνοιαν. Καὶ τοῖς μὲν πολλοῖς τὸ εἶναι μόνον δι' ἀγαθότητα χορηγεῖ (τούτου γάρτοι καὶ δέονται), τοῖς οἰκείοις δὲ καὶ τὸ εὖ εἶναι, καὶ πρός γε ἔτι τὸ ἀεὶ εὖ εἶναι. Ὁ μὲν οὖν ἐκείνων θάνατος φυσικὴς, ἐνίων δέ γε καὶ πονηρός « (Θάνατος γὰρ, φησὶν (6), ἁμαρτωλῶν πονηρός· ») πῶς δ' ἂν εἴη προωρισμένος ὁ πονηρός· ὁ δὲ τούτων τίμιος μὲν αὐτὸς, ὄξεαν δὲ τῷ Θεῷ παρέχων· « Τίμιος γὰρ, φησὶν (7), ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. » Οὗτος οὖν καὶ προωρισμένος, ὡς ὁ τοῦ θείου Πέτρου· « Ἐκτενεῖς τὰς χεῖράς σου, φησὶ (8), καὶ ἄλλος σε ζώσει καὶ οἴσει ὅπου οὐ θέλεις. » Τοῦτο δὲ ἔλεγε, σημαίνων ποίῳ θανάτῳ δοξάσει τὸν Θεόν. Βλέπεις τίς ἐστιν ὁ προωρισμένος θάνατος; ὁριζόμενος γὰρ ὁ θεῖος Μάξιμος τοὺς προορισμοὺς, θεῖα καὶ ἀγαθὰ θελήματα τούτους εἶναι φησὶ, προκαταρτισθέντας τῶν αἰώνων ἐν τῷ Θεῷ. Εἰ οὖν ἀγαθὸν μὲν θέλημα τοῦ Θεοῦ ὁ προορισμὸς, τὸν δὲ τῶν ἁμαρτολῶν οὐδαμῶς θέλει θάνατον, ἀγαθὸς ὢν (« οὐ βούλομαι γάρ, φησὶ (9), τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτὸν, ») οὐκ ἄρα προώρισται τῷ Θεῷ ὁ τῶν ἁμαρτωλῶν θάνατος, ἀλλ' οὐδ' ὁ κατὰ φύσιν ἁπλῶς ἐπερχόμενος. Εἰ δέ τις τὴν ἐπὶ τοῖς ἁμαρτωλοῖς ἐνίοις φιλανθρωπίαν προβάλλοιτο τοῦ Θεοῦ καὶ ἀναβολὴν τοῦ θανάτου, καὶ τὸ τῆς ἀκάρπου συκῆς παράγοι συγχωρουμένης τοῦτο τὸ ἔτος (10), μάλιστα μὲν κἀκεῖνοι τῆς τῶν σωζομένων ἤδη μερίδος εἰσὶ καὶ διὰ τοῦτο προωρισμένων οἷος ὁ Παῦλος, ὃς ἐπιβιῶναι τοῖς διωγμοῖς ἐκείνοις καὶ τῇ μανίᾳ συγχωρηθεὶς, ἀντὶ διώκτου κήρυξ τοῦ Εὐαγγελίου κατέστη, καὶ σκεῦος ἐκλογῆς, καὶ διδάσκαλος τῶν ἐθνῶν (11), καὶ τοῦ χοροῦ κορυφαῖος τῶν ἀποστόλων. Διὰ τοῦτο ἑαυτὸν ἀφωρίσθαι ἐκ κοιλίας μητρὸς λέγει (12) καὶ ἀφωρισμένον Θεοῦ προγράφει (13). Τί δ' ἂν εἴη τῶν πολλῶν διαφέρων οὗτος, εἰ καὶ τὰ ἐκείνων ἅπανθ' ὁμοίως ἀφωρισμένα τε καὶ προωρισμένα; Μερικὰ οὖν καὶ ταῦτα καὶ ὀλίγοις συμβαίνοντα· τὰ δὲ ἐν μέρει καθόλου κατηγορεῖν, ἄτοπον, πρὸς τῷ μηδὲ προῦργου τι εἶναι τῷ τοὺς καθόλου προορισμοὺς εἰσάγοντι λόγῳ. Εἰ γὰρ βούλεται μὲν αὐτοὺς ὁ Θεὸς ἐκκῦψαι, φείδεται δὲ παρακαλούμενος ἢ προορῶν τὸ μέλλον, οὐκ ἄρα τὸν τῶν ἁπάντων θάνατον ἁπλῶς προορίζει. Σκόπει δὲ καὶ ἐντεῦθεν· εἰ φύσει ἀόριστα τὰ μερικὰ καὶ ἄτομα, παρὰ φύσιν δὲ ὁ Θεὸς, οὐδὲν ποιεῖ, οὐκ ἄρα ὁ Θεὸς ὁρίζει τὰ ἀόριστα πλῆθει, δηλονότι τὰ μερικά· μόνα ἄρα τὰ καθόλου καὶ τῶν ἐπὶ μέρους ὅσα πρῶτα τῶν ἄλλων καὶ τιμιώτερα καὶ συνεκτικὰ τῶν ἄλλων. « Σὺ μὲν ἀριθμεῖς τὰς μυριάδας, » ἡ θεολόγος λέγει (14) φωνὴ, « Θεὸς δὲ τοὺς σωζομένους· καὶ σὺ μὲν τὸν ἀμέτρητον χοῦν, ἐγὼ δὲ τὰ σκεύη τῆς ἐκλογῆς. » Ἀλλὰ δὴ καὶ οὕτω σκεπτέον· ἅπαντα τὰ ἐν τῷ κόσμῳ γινόμενα ἢ κατ' εὐδοκίαν γίνεται τοῦ Θεοῦ, ἢ κατὰ συγχώρησιν, ἢ κατὰ παραχώρησιν, ἢ κατὰ ἐγκατάλειψιν. Ὅσα μὲν οὖν κατ' εὐδοκίαν γίνεται τοῦ Θεοῦ, τουτέστι κατὰ τὸ ἀγαθὸν αὐτοῦ καὶ εὐάρεστον καὶ τέλειον θέλημα, καθά φησιν ὁ θεῖος Ἀπόστολος (15), ταῦτα καὶ προωρίσθαι τῷ Θεῷ λέγομεν, εἴτε θάνατος, εἴτε τι τοιοῦτον ἕτερον εἴη· τὰ δὲ λοιπὰ, οὐδαμῶς, ὡς καὶ ἐξ αὐτῶν ἐστι δῆλον τῶν ὀνομάτων. Οὐκ ἄρα πᾶσαν ζωὴν ὡρίσθαι φήσομεν, οὐδὲ πάντα θάνατον προωρίσθαι· μόνον ἄρα τὸν τῶν δικαίων καὶ τῷ Θεῷ φίλων, ὧν οὐδὲ θρὶξ ἡ τῆς κεφαλῆς ἀπολεῖται μὴ βουλομένου Θεοῦ.

Ταῦτ' εἰ μὲν ἱκανῶς σοι δόξειεν ἔχειν, ἁγιώτατε δέσποτα, τῆς σῆς ἂν εἴη τοῦτο δι' εὐχῶν συνεργείας, ᾗ καὶ θαῤῥῶν ἐγὼ μάλιστα τὸν περὶ τούτων λόγον ἐνεστησάμην· εἰ δὲ πολὺ τοῦ δέοντος ἔξω πίπτει, τὸ μέν τι λελογίσθω τῇ τοῦ ἡμετέρου νοῦ βραχύτητί τε καὶ οὐδενείᾳ· τὸ δὲ τῇ νῦν ἐνοχλούσῃ μάλιστα ἀσθενείᾳ· ὑφ' ἧς καὶ ταῦτα μόλις εἰπεῖν καὶ συντάξαι συγκεχωρήμεθα.

(1) Gen. I, 3, 6.
(2) Gen. I, 26.
(3) Marc. XIII, 20.
(4) Matth. V, 45.
(5) Matth. X, 30.
(6) Psal. XXXIII, 21.
(7) Psal. CXV, 15.
(8) Joan. XXI, 18.
(9) Ezech. 18, 23 : Μὴ θελήσει θελήσω τὸν θάνατον τοῦ ἀνόμου, λέγει Κύριος, ὡς τὸ ἀποστρέψαι αὐτὸν ἐκ τῆς ὁδοῦ τῆς πονηρίας, καὶ ζῆν αὐτόν.
(10) Luc. XIII, 8.
(11) Verba sunt Dei de Paulo, Act. Apost. IX, 15. Σκεῦός ἐκλογῆς μοί ἐστιν οὗτος. Joannes Chrys., oratione in Paulum prima, init. : Ἐπειδὴ γὰρ σκεῦος ἐκλογῆς γέγονε. Gregorius Naz. orat. 26, p. 440 : Παῦλος ὁ μέγας κῆρυξ τῆς ἀληθείας, ὁ τῶν ἐθνῶν ἐν πίστει διδάσκαλος. Sæpius dictus ὁ διδάσκαλος τῆς οἰκουμένης.
(12) Paulus, Epistola ad Galatas I, 15 : Ὅτε δὲ εὐδόκησεν ὁ Θεὸς, ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου.
(13) Paulus, Ep. ad Rom. I, 1 : Παῦλος, δοῦλος Ἰησοῦ Χριστοῦ, ἀφωρισμένος εἰς Εὐαγγέλιον Θεοῦ.
(14) Significari videtur locus Gregorii Naz. Theologi.
(15) Num respectu ad verba Pauli, Epist. ad Ephes. I, 5? Κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ.

NICOLAI V

PONTIFICIS MAXIMI

AD CONSTANTINUM ROMÆORUM IMP.

EPISTOLA DE UNIONE ECCLESIARUM

Ex Latino sermone in Græcum translata (*a*) per dominum THEODORUM GAZAM.

—

NICOLAUS episcopus, servus servorum Dei, charissimo in Christo filio Constantino Palæologo, Romæorum imperatori illustri, salutem et apostolicam benedictionem.

Oratorem tuum nobilem virum Andronicum Brienium Leonardum, quem ad nos serenitas tua misit, gratissime recepimus, et lectis litteris tuis, ipsum gratius audivimus. Nam gratissime et prudentissime omnia sibi a tua serenitate commissa seriosius explicavit. Intelleximus igitur tum verbis A suis, tum ex litteris quas misisti, quanto desiderio tenearis ad promulgandum decretum unionis in universali synodo Florentina promulgatum. Intelleximus præterea quibus impediaris ne hoc tuum desiderium compleatur. Cogitavimus, et cum venerabilibus fratribus nostris sanctæ Romanæ Ecclesiæ cardinalibus sæpe consultavimus, utrum impedimenta illa tantæ retardationis verisimilia esse videretur, ut nisi novitas exaltationis tuæ ad imperium moram illam verisimilem effecisset, credidis-

ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΠΕΜΠΤΟΥ

ΡΩΜΗΣ ΑΡΧΙΕΡΕΩΣ | ΜΕΓΙΣΤΟΥ

ΠΡΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΝ ΤΟΝ ΒΑΣΙΛΕΑ ΡΩΜΑΙΩΝ

ΕΠΙΣΤΟΛΗ ΠΕΡΙ ΕΝΩΣΕΩΣ

Ἐκ τῆς Λατίνων φωνῆς μεθερμηνευθεῖσα ὑπὸ τοῦ κῦρ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΓΑΖΗ.

Ex Petri Arcudii *Opusculis aureis*.

—

ΝΙΚΟΛΑΟΣ ἐπίσκοπος, δοῦλος τῶν δούλων τοῦ Θεοῦ, τῷ προφιλεστάτῳ ἐν Χριστῷ υἱῷ Κωνσταντίνῳ Παλαιολόγῳ, αὐτοκράτορι ἐπιφανεστάτῳ Ῥωμαίων, χαίρειν καὶ ἀποστολικῆς ἀπολαύειν εὐλογίας.

Ἀνδρόνικον Βρύενιον Λεοντάριν, ἄνδρα τῶν εὖ γεγονότων, ὃν πρεσβευτὴν πέπομφας ὡς ἡμᾶς, ἡδέως εἴδομεν, καὶ τὰ παρὰ σοῦ γράμματα ἀναγνόντες, ἥδιον δὴ λέγοντος αὐτοῦ ἀκηκόαμεν. Πάντα γὰρ ὅσα τ' ἀνδρὶ ἦσθα προστεταχὼς, συνετῶς εὖ μάλα καὶ κατὰ σχῆμα τῆς καλλίστης σεμνότητος ἡμῖν διεξῆλθεν. Ἐμάθομεν οὖν τὸ μὲν, ἐξ ὧν ὅ δὲ εἰρήκει, τὸ δὲ ἐκ τῶν σῶν γραμμάτων, ὅπως σὺ προθυμίας ἔχεις εἰς κοινὸν ἐνεγκεῖν καὶ κυρῶσαι τὸν τῇ συνόδῳ τεταγμένον καὶ εἰς πάντας δοθέντα ὅρον. B Ὅθεν δὴ καὶ πολλάκις αὐτόν τε ἰδίᾳ διεσκεψάμεθα, καὶ ἅμα τοῖς ἡμετέροις ἀδελφοῖς καρδινάλεσιν ἐξετάζοντες, εἰ τὰ προτεινόμενα ταῦτα κωλύματα πιθανὰ ἄττ' εἴη εἰς βραδυτῆτα χρόνου τοσούτου. Καὶ δὴ οὖν εἰμὴ τὸ σὲ νεωστὶ παραλαβεῖν τὴν ἀρχὴν πιθανωτέραν πως τὴν διατριβὴν ἀπεδείκνυεν, ᾠόμεθα πάντως, καὶ τὸν πρεσβευτὴν καὶ τὰ γράμματα, πράγματι μὲν οὐδενὶ, ῥήμασι δὲ πραγμάτων κενοῖς, τὸ πιστὸν ἡμῖν παρέχειν πειράσθαι. Νῦν δὲ ἐπειδὴ τὰ περὶ σὲ οὕτως ἔχει, ἄκουε, υἱὲ προσφιλέστατε, καί μου τὸν λόγον ὡς εὐνουστάτου μὲν ὄντος σοι, ἐλευθέρως δὲ λέγοντος· τἀληθῆ δέχου. Ἡμεῖς ἀναμφιβόλως ἐκεῖνα περὶ τοῦ σοῦ Ἰωάννου φαμέν. Ὡς εἰ κατὰ σμικρὸν γοῦν ἐκεῖνος ἰσχὺν τοῖς γενομένοις

(*a*) At libere nimis, ut legenti patebit.

semus, tam per oratorem tuum, quam per litteras, magis quam rebus satis factum iri. Accipe igitur, charissime fili, quæ dicturi sumus, tanquam ab amantissimo animo, quem vere et libere te alloquentem deputa. Nam nos minime versamur in dubium, Joannem Palæologum tibi in imperio prædecessorem, fratrem et germanum tuum, si voluisset, pro data sibi a Deo prudentia, hanc rem ad felicem consummationem perducere potuisse. Verumtamen cum ille nimis cogitat hanc rem temporali statui suo coaptare, de medio subtractus est. Voluit divina providentia te successorem ejus illi in imperio subrogare. Serenitati nunc tuæ providendum est, ne, rem diutius protrahendo, efficiaris consors reatus et pœnæ. Nescimus si dolose, si religiose de Christiana religione cogitamus : in regno cœlorum locum dari posse iis qui a christiana unitate dissentiunt. Nam de facto primario, quoddam exordium Christianæ religionis est Symbolum profiteri, in quo unam sanctam et catholicam confitemur Ecclesiam, quæ profecto una esse non poterit, nisi unius capiti omnia ejus membra respondeant, quo dirigente, et vicem illius æterni Pontificis obtinente, qui regnat in cœlis, necesse est illius membra, mystici corporis membra, ad sua ministeria moveantur : ut si recte co-

A gitare velimus, quod duos principatus simili forma viventes, tamen propriis regibus, etiam imperatoribus servientes, unum non esse permittet imperium. Intelleximus enim diversi status imperii inde prodire rationem, quod divisa capita sibi non subordinata, sed quasi de potestate contendentia, unum esse non patiuntur imperium. Ex quo facillime datur intelligi, unam non posse Ecclesiam confici ex iis qui uni capiti subesse recusant. Nec aliquid est, quod ita evidenter vel politicæ vel imperii arguat unitatem, quam quod unitas principatus. Nec unica forma, vel finis unionis divisis principatibus possunt esse communia. Unionis autem motor efficiens, vel ductor supremus ex necessitate unicum arguit principatum ; ergo omnis qui B unam confitetur Ecclesiam, quæ in toto orbe diffusa est, oportet ut unum agnoscat caput totius militantis Ecclesiæ, cui parere et obedire teneatur. Illum recognoscens etiam Pontificis Jesu Christi Domini nostri vicem tenere in terris, et cui parere necesse sit.

Ergo qui vult vere Symbolum et unam sanctam Ecclesiam catholicam profiteri, teneat unum esse caput Ecclesiæ militantis, cui obedire necesse sit. Nec unquam in Dei Ecclesia schismata surrexerunt, nisi ex his qui huic capiti subesse noluerunt. Ex-

προσθεῖναι ἐβούλετο, οὐθὲν ἂν ἦν ἐμποδὼν, μὴ εἰς τέλος; εὐτυχὲς τὰ τῆς ἑνώσεως, προχωρῆσαι. Νῦν δὲ ἀλλ' ἅττ' οὐ καλῶς αἱεὶ προαιρούμενος, καὶ ἔργον θεῖον ἐπιθυμίᾳ πραγμάτων πολιτικῶν, μᾶλλον τοῦ δέοντος φιλοτιμούμενος ἐφαρμόσαι, ἐπίχειρα προτρέσεω; οὐκ ἀγαθῆς καταστροφὴν τοῦ βίου λαμβάνει παρὰ Θεοῦ, ἵν' αὐτὸς μὲν θᾶττον ἐκποδὼν τοῖς πράγμασι γένηται, ἕτερος δέ τις τῶν θείων προαιρετικώτερος τήν τε ἀρχὴν παραλάβῃ, καὶ ἅμα τὰ τῷ Θεῷ δοκοῦντα ὑπουργήσῃ εὐθύς. Διὸ σὲ δὴ γένει μὲν ἀδελφὸν ὄντα ἐκείνου, ἀρετῇ δὲ πολλῷ πλείω διαφέροντα, ἡ τὰ πάντα διοικοῦσα πρόνοια εἰς τὴν αὐτὴν ἀρχὴν ἀγαγοῦσα καθίστησιν, ἵνα τῶν θείων πραγμάτων ἀμελῇται μηδέν, ἐκ μηδεμιᾶς τῶν περὶ τὸν ἀνθρώπινον τουτονὶ βίον προφάσεως · ὅθεν σὴ καὶ σκεπτέα σοι νῦν ἐστι, καὶ προνοητέα σθένει παντὶ, ὅπως μὴ καὶ σὺ πάλιν τῶν αὐτῶν, ἐκὼν ἀμελήσας, καὶ μὴ καλῶς τῷ θείῳ ὑπουργικῶς θελήματι, κοινωνὸς τ' ἀδελφῷ γενήσῃ τῶν ἴσων ἀδικημάτων καὶ τιμωριῶν, ὡς εἰκὸς, τῶν αὐτῶν. Οὐ μὴ γὰρ δίκαιον, οὐ δὲ ὅσιον ἡ τοὺς μὴ τὴν τῶν Χριστιανῶν ἕνωσιν καὶ ὁμόνοιαν ὑποδεχομένους καὶ πράσσοντας μοίρας ἂν οἴεσθαι τυχεῖν τῆς οὐρανῶν βασιλείας, ἢ χάριτος ἠστινοσοῦν παρὰ τοῦ Θεοῦ. Ἔστι γὰρ ὡς ἀληθῶς τῆς Χριστιανῶν εὐσεβείας ὥσπερ τι προοίμιον ἡ τοῦ ἱεροῦ συμβόλου ὁμολογία, ἐν ᾧ μίαν ὁμολογοῦμεν ἁγίαν καὶ καθολικὴν Ἐκκλησίαν. Ταύτην δὲ μίαν ὑπάρχειν οὐχ οἷόν τε, ἂν μὴ τὰ σύμπαντα αὐτῆς μέρη ὑπὸ μίαν τυγχάνῃ κεφαλὴν ὄντα. Ἧς ἄρα ἄλλως ὀρθούσης, ἰθυνούσης, καὶ ἀντὶ Χριστοῦ τοῦ ἀϊδίου ἀρχιερέως προϊσταμένης, ἕκαστον τῶν τοῦ μυστικοῦ σώματος μορίων

C

ἐπὶ τὸ οἰκεῖον κινήσεται ἔργον. Καὶ μὲν δὴ πόλεσιν δυοῖν τ' ἄλλα μὲν ἐχούσαιν ὁμοίως, ἄρχοντι δὲ μὴ οὔσαιν τῷ αὐτῷ ὑπηκόοιν, αἴτιον τοῦ μίαν γίγνεσθαι ἡγεμονίαν ἧκιστ' ἐθέλειν, οὐθὲν ἄλλο φαίνεται σκοπουῦσιν ὀρθῶς, ἢ τῶν τὰ ἄρχοντα δύο ὄντα, καὶ μηδέτερον θατέρῳ ὑπήκοον, ἀλλὰ ἀλλήλοιν τῶν πρωτείων ἀμιλλομένων, μίαν οὐκ ἐᾷ γίγνεσθαι ἡγεμονίαν τῶν ὅλων. Οὕκουν οὐ δὲ χριστιανοῖς οἷόν τε μίαν ποτὲ ἐκκλησίαν στῆναι ἐκ τῶν μηθὲν σφᾶς αὐτοὺς τάσσειν ὑφ' ἕνα ἄρχοντα ἐθελόντων · οὐ γάρ ἐστιν ὅτι πολιτείαν ἥντινα οὖν μίαν καὶ ἀδιαίρετον ἀποφαίνεται μᾶλλον, τοῦ, τὸ ἓν εἶναι τὸ κύριον Ἀρχῆς μὲν γὰρ σχῆμα ἢ τέλος ἓν, οὐκ πλειόνων κυρίων γένοιτ' ἄν, ἓν δὲ κινήσεως ποιητικὸν αἴτιον, εἴτουν πρώτως διατακτικὸν καὶ διθυντικὸν τοῦ αὐτοῦ, ἓν τὸ κύριον ἐξ ἀνάγκης ἀποδεικνύει. Τὸν τοίνυν Ἐκκλησίαν ὁμολογοῦντα μίαν, τὴν εἰς πάντα μέρη τῆς D οἰκουμένης προβιβασθεῖσαν, ἕνα δὴ καὶ τῆς ὅλης Ἐκκλησίας ἄρχοντα τίθεσθαι δεῖ, ᾧ πειθόμενος πάντα τὸν χρόνον διατελέοι, ἅτε δὴ ἐπὶ γῆς ὄντι ἀντ' αὐτοῦ τοῦ πάντων Κυρίου Ἰησοῦ Χριστοῦ καὶ ἀϊδίου ἀρχιερέως, ᾧ πάντας ὑπακούειν ἀνάγκη πᾶσα.

Δεῖ τοιγαροῦν τοὺς τὸ σύμβολον καὶ μίαν Ἐκκλησίαν ὁμολογεῖν ἀξιοῦντας, ἕνα τῆς ὅλης Ἐκκλησίας εἶναι ὑγεμόνα νομίζειν, ᾧ πάντας πείθεσθαι ἀναγκαῖον εἴη. Ὡς τά τε σχίσματα ὁπόσα δὴ καὶ γέγονε πώποτε περὶ τὴν Θεοῦ Ἐκκλησίαν, οὐδαμόθεν ἄλλοθεν πλὴν παρὰ τῶν μὴ βουλομένων σφᾶς ὑποτάσσειν ἑνὶ ἡγεμόνι τοιούτῳ εἰσερρύη. Τοῖς τε ἔξω φερομένοις τε καὶ ἀφηνιάζουσιν, οὐκ ἔσται οὐδ' ἡ τισοῦν σωτηρία · πολλοῦ γε καὶ δεῖ. Ὅσοι γάρ τοι ἐν τῇ Νώχου λάρνακι μὴ ἐγκατακλείσαντες ἑαυ-

tra Ecclesiam non est salus : qui non fuit in arca Noe, diluvio interiit, et gravius punita sunt schismata quam alia quæcunque peccata. Nam in Core, Dathan et Abiron, qui schisma in Dei populo moliti sunt, gravius et severius legimus vindicatum quam cum iis qui idololatriam commiserunt.

Nunc ergo, serenissime princeps, intuere statum præsentium temporum, et animadverte diligenter, quo pacto fieri potuit, ut divina providentia tantam nationem sub uno imperatore, tam effusum habente imperium, quæ olim abundavit innumerabilibus sanctissimis et doctissimis viris, in præsentiarum ad id miseriæ devenire permiserit, ut sit miserrima omnium gentium ; quod profecto tam evidens est ut negari non possit. Intelligemus profecto, magnum esse hoc sacrilegii genus, quod divinam clementiam in tantam iram indignationemque concitarit. Et quia vehementer angimur, Græciam omnem eo pervenisse, ut fere totam inimicis crucis Christi parere necesse sit. Credimus ea, quæ dicimus, ita serenitati tuæ esse nota, ut notiora fieri non possint. Magnum est hoc, et valde magnum demeritum : quod divino judicio tantæ nationi, tam præclaræ, tam gloriosæ, tam diuturna, tam gravis captivitas injecta sit. Ergo aliquando cogitandum est, quænam potuerit esse causa digna horum malorum. Propter duo enim maxima peccata gens Hebræa, quæ erat populus a Deo electus, sibique peculiaris, gravi captivitate punita est. Primo, propter idololatriam a regibus Assyriorum decem tribus in Mediam translatæ sunt ; deinde regem Juda cum duabus residuis tribubus reges Chaldæorum in Babylonem deduxere, quæ usque ad septuaginta annos in captivitate manserunt. Secundo, propter sacrilegium quod in Dei Filium incarnatum commiserunt, cum a principibus Romanis Vespasiano et Tito, Hierosolyma subversa est, et omnis regio Judæa in Romanorum ditionem translata est, ita ut nationi illi, universi orbis usque in hunc diem exsilium concedatur.

Et hæc de Hebræis. Græcos autem, postquam fidem catholicam suscepere, nec ad idololatriam declinasse videmus, nec in Dei Filium ea piacula commisisse, quibus in Turcarum captivitatem divina ultione pervenerint. Ergo subest aliud sacrilegii genus, quod divina justitia impunitum esse non sinit. Nec diligenter inquirentibus, quantum cordis humani valeat infirmitas intueri, licet intelligere, hanc captivitatem non aliunde profectam, quam ex reatu schismatis, quod auctore Photio, tempore Nicolai primi, sumpsit exordium, et eousque inveteratum est, ut usque ad tempora ista pervenerit. Dolenter et anxie ista proferimus, et vellemus æterno damnare silentio. Verum si operam medicantis exspectas, oportet ut vulnus tuum detegas. Ecce jam fere quingenti anni transiere, ex quo

τοὺς διασεσώκασιν, οὗτοι ὕβρει καταχλυσθέντες ἀπώλοντο πάντες, καὶ χαλεπώτερον δὲ τὰ τοιαῦτα σχίσματα κολάζει Θεὸς, ἢ ὁτιοῦν τῶν ἄλλων ἁμαρτημάτων. Δῆλον γὰρ ὅτι τοὺς περὶ Δαθὰν, Κορὲ καὶ Ἀβειρὼν σχίσμα καὶ στάσιν πεποιηκότας ἐν τῷ λαῷ τοῦ Θεοῦ, χαλεπωτέρως ἐπεξῆλθε τὸ θεῖον ἢ τοὺς εἰδωλολατρεῖν ἐπιβαλλομένους.

Ἄθρησον οὖν, ὦ αὐτοκράτορ, τὴν παροῦσαν, ὧν ἄρχεις, τύχην, καὶ σκέψαι πρὸς Θεοῦ ἀκριβῶς, τίσι δήποτε ἁμαρτήμασιν ἔθνος τηλικοῦτον ὑφ' ἑνὸς ἀρχόμενον ἀεὶ αὐτοκράτορος, μυρίοις τὸ πρόσθεν εὐσθενοῦν ὁσιωτάτοις καὶ σοφωτάτοις ἀνδράσιν, εἰς τοῦτο κακοδαιμονίας ἐληλυθὸς περιεῖδε Θεὸς, ὥστε εἶναι νῦν πάντων ἐθνῶν κακοδαιμονέστατον. Ἢ δῆλον ὅτι ἐκεῖνο τ' ἁμάρτημα αἰτιᾶσθαι χρεὼν, ὃ φανερὸν οὕτως, ὡς μηδένα ἂν ἔχειν φάναι ὑπεναντία. Καὶ μέγιστον ἄρα τοῦτό γε ὑποληπτέον, ὁπότε τὸν ἐπιεικέστατον πᾶσιν ἀνθρώποις Θεὸν, εἰς ὀργὴν τηλικαύτην παροξυμένον ὁρῶμεν, ὅῆλα δὲ ταῦτά τοι μάλιστα ὄντα τυγχάνει. Εἴγε νῦν σύμπασα ἡ Ἑλλὰς καὶ ὅσα σχεδόν τι πρότερον ἄλλα ὑπὸ τὸν αὐτοκράτορα ἦν, εἰς τοῦτο τύχης ἐλήλυθεν, ὥστε δουλεύειν ἐλεεινότατα τοῖς τοῦ Χριστοῦ ἐχθροῖς. Μέγεθος τῷ ὄντι κακοῦ, καὶ τις ὑπερβολὴ ἁμαρτάδος, γένος Ἑλλήνων, τὸ πάλαι μέγα καὶ ἔνδοξον, δοῦλον οὕτω βαρβάροις κατὰ δίκην ἀποδείκνυσι θείαν. Ἐπισκεπτέον οὖν τίνα τῶν κακῶν τούτων ἄξιον φαίην αἰτίαν. Τὸ μὲν γὰρ Ἑβραίων γένος ὁ Θεὸς λαὸν ἑαυτῷ ἐπελέξατο, καὶ ὡς ἴδιον σύστημα ἔχων ἐφίλει, δύο τὰ μέγιστα ἡμαρτηκὸς δίκην ἔδωκε. Πρῶτον μὲν γὰρ δι' εἰδωλολατρείαν αἱ δέκα φυλαὶ τοῖς Ἀσσυρίοις αἰχμάλωτοι ἀπήχθησαν εἰς Μηδίαν, καὶ τοὺς βασιλεῖς Ἰούδα μετὰ δυοῖν ταῖν ὑπολοίποιν φυλαῖν Χαλδαῖοι αἰχμαλώτους εἰς Βαβυλῶνα ἀπήγαγον. Καὶ διέμεινε τὸ ἔθνος δουλεῦον οὕτως ἑβδομήκοντα ἔτη. Ἔπειτα δ' ἅπερ εἰς τὸν τοῦ Θεοῦ υἱὸν Ἰησοῦν ἠσέβησάν τε καὶ ὕβρισαν, αἰχμάλωτοι γίνονται πάλιν, ἡνίκα Οὐεσπασιανὸς καὶ Τίτος Ῥωμαίων στρατηγοὶ κατὰ κράτος ἑλόντες κατέσκαψαν, καὶ σύμπασαν τὴν Ἰουδαίων χώραν ἐποίησαν ὑπὸ τοὺς Ῥωμαίους. Καὶ τὰ τῆς αἰχμαλωσίας δὴ ταύτης οὔπω ἔσχηκε πέρας, ἀλλ' ἔτι πᾶσα ἡ οἰκουμένη τόπος φυγῆς τε καὶ πλάνης ἀποδέδεικται Ἰουδαίων τῷ ἔθνει.

Τὰ μὲν δὴ τῶν Ἑβραίων οὕτως. Ἕλληνας δὲ, ἐπειδὴ τὴν εὐσεβεστάτην ἐδέξαντο πίστιν, οὐδὲν ἡμαρτηκότας ὁρῶμεν τοιοῦτον, οὔτε γὰρ εἰς εἰδωλολατρείαν οἵδε ἀπέκλιναν οὐδέποτε, οὔτε τι εἰς τὸν τοῦ Θεοῦ υἱὸν ὅμοιον πεπλημμεληκότες εἰσί· δι' ὅπερ καὶ οἵητ' ἄν τις αἰχμαλώτοις παρὰ Θεοῦ τοῖς βαρβάροις παραδεδόσθαι. Τί οὖν ἀδικοῦντες ἐκεῖνα πάσχουσι ; καὶ τίποτε ἐξημαρτηκότες τὴν τοῦ Θεοῦ ψῆφον εἰς τιμωρίαν σφίσι δεινοτάτην ἐξεκαλέσαντο ; ἢ οὐθὲν καθότιον οἷον τὸ σχίσμα ἁμάρτημα ; Σχίσμα, λέγω, οὗ αἴτιος μὲν περὶ τὴν τοῦ Θεοῦ Ἐκκλησίαν ὁ Φώτιος πατριάρχης Κωνσταντινουπόλεως ἐπὶ Νικολάου πρώτου Ῥώμης ἀρχιερέως ἐγένετο. Διέμεινε δὲ οὕτως ἐπὶ πολὺ, ὥστε μηδὲ καθ' ἡμᾶς ἔξω τοῦ τοιούτου κακοῦ τὰ χριστιανῶν εἶναι. Ἡμεῖς μὲν τοίνυν περιαλγῶς τε καὶ ἀθύμως

Satan, princeps et auctor omnium peccatorum, et maxime schismatis et divisionis inductor, ab obedientia Romani pontificis, qui Petri successor est, et Jesu Christi Domini Nostri Vicarius, Constantinopolitanam seduxit Ecclesiam. Infiniti tractatus intervenere, plurima sunt celebrata concilia, innumerabiles legati in hanc rem destinati, ut tam atrox vulnus in Dei Ecclesia sanaretur. Novissime autem, Deo ita providente, in Ferrariensi et Florentino concilio Joannes Palæologus Romæorum imperator, cum magna procerum et nobilium comitiva, et Josephus Constantinopolitanus patriarcha, cum multa metropolitarum, episcoporum, abbatum, cæterorum prælatorum numerositate, convenientes una cum Eugenio papa quarto, prædecessore nostro, et venerabilibus sanctæ Romanæ Ecclesiæ cardinalibus, et prælatorum Occidentalis Ecclesiæ numerosissimo comitatu, ad exstirpandum inveteratum schisma omnem operam, atque diligentiam tribuere, et tandem, Deo inspirante, est perventum ut, difficultatibus omnibus e medio sublatis, decretum hujusmodi unionis concorditer publicaretur. Facta sunt ista, teste toto orbe terrarum, et decretum unionis hujusmodi et Græcis et Latinis

A litteris editum, cum subscriptione manuali eorum qui interfuere, terrarum ubique transmissum. Testis est Hispania, quatuor Christianis regnis ornata, Castella, Aragonia, Portugallia, Navarra. Testis est Britannia major, Anglicorum regis subjecta ditioni. Testis Hibernia et Scotia, insulæ maximæ, extra continentem positæ. Testis Germania numerosissimis populis culta, et longissimo terrarum tractu distenta. Testis Danorum regio. Testis Norvegia. Testes sub Daciam extremi populi ad Aquilonem positi. Testis Poloniæ inclytum regnum. Testis Hungariaque et Pannonia. Testis omnis Gallia ab Occiduo mari ad Mediterraneum usque distenta, quæ inter Germanos Hispanosque collocata, hac in re

B Germanis Hispanisque concordat. Hic omnis orbis habet decreti hujusmodi exemplaria, quibus instanter schisma illud inveteratum de medio sublatum est. Teste Joanne Palæologo Romæorum imperatore; teste Joseph patriarcha Constantinopolitano, cæterisque qui de Græcia in Florentina synodo convenere. Quorum subscriptiones per omnia adnotatæ sunt. Omittimus commemorare omnem Italiam, quæ nulli provinciarum secunda est: et hujus decreti exemplaria per urbes. Et ecce jam

ἔχοντες ἐπὶ τοῖς συμβᾶσι ταῦτά φαμεν, καίπερ σιωπῇ τὸν σύμπαντα χρόνον συγκρύπτεσθαι τὰ τοιαῦτα, μᾶλλον δὲ λήθης ἀφανισθῆναι βυθῷ, διαφερόντως βουλόμενοι. Οὐ μὴν ἀλλ' εἴτις τραῦμα ἔσχων, βοηθείας ἰατρικῆς τυγχάνει δεόμενος, ἀπογυμνῶσαι δεῖ καὶ δεῖξαι τῷ ἰατρῷ τὴν πληγήν, ἵν' ὃ δὲ φάρμακον ἐπιθεὶς οἰκεῖον, τὸ πάθος ἰάσηται. Ἤδη γάρ τοι πεντακόσια σχεδόν τι διεγένετο ἔτη, ἐξότου δαίμων ὁ πάντων αἴτιος τῶν κακῶν, καὶ μάλιστα τοῦ περὶ τὴν Ἐκκλησίαν σχίσματος, καὶ τῆς τοιαύτης διαιρέσεως αὐτουργός, τὴν Κωνσταντινουπόλεως Ἐκκλησίαν ἀπέστησε τῆς πρὸς τὸν Ῥώμης ἀρχιερέα ὑπακοῆς, Πέτρου διάδοχον ὄντα, καὶ Ἰησοῦ τοῦ Κυρίου σχῆμα φέροντα. Καὶ μυρία μὲν πράγματα πέπρακται, πολλαὶ δὲ γεγόνασι σύνοδοι, πλεῖστοι δὲ ἐπέμφθησαν πρέσβεις, ἵνα τῷ περὶ τὴν Ἐκκλησίαν τραύματι τουτῷ παρασκευάσαιντο ἴασιν. Τέλος δὲ, Θεοῦ τούτων προνοουμένου, συνόδου γενομένης ἐν Φερραρίᾳ καὶ Φλωρεντίᾳ πόλεσιν ἀξιολόγοις τῆς Ἰταλίας, Ἰωάννης Παλαιολόγος αὐτοκράτωρ Ῥωμαίων, σὺν πολλοῖς τῶν ἐν τέλει, καὶ εὖ γεγονότων Ἑλλήνων, καὶ Ἰώσηπος Κωνσταντινουπόλεως Πατριάρχης, μετὰ πολλῶν μετροπολιτῶν καὶ ἐπισκόπων, καὶ ἀρχιμανδριτῶν, καὶ ἄλλων ἱερατίμων εἰς ταὐτὸ συνελθόντες ἅμα τῆς Ῥώμης μεγίστῳ ἀρχιερεῖ, Εὐγενίῳ τετάρτῳ, ἐγγύτατα πρὸ ἡμῶν ἀρχιερατεύσαντι, καὶ τοῖς περὶ τὴν Ῥωμαίων Ἐκκλησίαν καρδινάλεσι, καὶ πολλοῖς τῶν ἑσπερίων ἱερατίμων ἀνδρῶν, πάντα ἐσπουδάκασί τε καὶ πεπονήκασιν, ἐφ' ᾧ τὴν περὶ τὸ πολυετὲς τουτὶ σχίσμα διαφορὰν διαλύσασθαι. Καὶ δὴ τελευτῶντες, συναιρομένου Θεοῦ, τὰ μὲν δυσχερῆ τε καὶ ἄπορα πάντα διαλυσάμενοι, πεποιήκασιν ἐκποδὼν, ψήφισμα δὲ εἶτ' οὖν θέσιν καὶ ὅρον ἑνώσεως τοιοῦτον

γνώμῃ ἐξενεγκόντες κοινῇ ἀνεκήρυξαν. Πέπρακται μὲν οὖν ταῦτα μάρτυρι πάσῃ τῇ οἰκουμένῃ, καὶ ὁ τῆς ἑνώσεως ὅρος ἑλληνιστί τε καὶ ῥωμαϊστὶ γεγραμμένος διεπέμφθη ἁπανταχοῦ. Μάρτυς Ἰβηρία πᾶσα, πολυθρύλλητος χώρα, εἰς τέταρτας Χριστιανῶν βασιλείας εὐδαιμονεστάτας διαιρουμένη, Καστελλίαν δηλονότι, καὶ Ἀραγονίαν, καὶ Πορτωγαλίαν, καὶ Ναυαρρίαν. Μάρτυς Βρετανίας νῆσος μεγίστη τῇ ἠπείρῳ παρακειμένη. Μάρτυς Ἰβέρνη τε καὶ Σκοτία νῆσοι μεγάλαι, πελάγιαι. Μάρτυς Γερμανία, χώρα ἐπὶ πλεῖστον πλάτει τε καὶ μήκει ἐκτεταμένη, καὶ πανταχῇ πολυανθρωποτάτη. Μάρτυς ἡ τῶν καλουμένων Δάνων ἀξιόλογος χώρα. Οἴδασι πάντες Νωρβέγιοι καὶ Συέτιοι γένη ἔσχατα πρὸς ἄρκτον οἰκοῦντα. Οἶδεν ἡ Πολωνίων θαυμαστὴ βασιλεία. Μάρτυς ἡ Οὐγγαρία καὶ ἡ Παννονία. Μάρτυς πᾶσα ἡ Κελτικὴ ἀπὸ τῆς ἔξω θαλάττης ἐπὶ τὸν ἐντὸς μέχρι τοῦ λογιστοῦ (?) καθήκουσα, μεταξὺ Γερμανῶν καὶ Ἰβήρων κειμένη, καὶ τῶν περιοίκων αὐτῶν μηδὲν τὰ περὶ τὴν θρησκείαν διαφέρουσα. Ἐῶ λέγειν Ἰταλίαν χώραν, οὐδεμιᾶς τῶν ἄλλων ἐλάσσω, ἣ δὴ τοσαύτας αὐτὴ τοιούτου ψηφίσματος ἴσχει ἀναγραφὰς ὅσας καὶ πόλεις. Πάντα μὲν οὖν τάδε τὰ γένη, τὸν γενόμενον εἰληφότα ὅρον, εὖ οἶδεν, ὅτι τὸ ἐκ πολλοῦ σχίσμα ἐκεῖνο γένοιτο ἐκποδὼν ἐπὶ μάρτυρι Ἰωάννῃ Παλαιολόγῳ αὐτοκράτορι, καὶ Ἰωσήπῳ πατριάρχῃ, καὶ πᾶσιν ὅσοι ἐξ Ἑλλάδος εἰς Ἰταλίαν ἀφικόμενοι τῇ συνόδῳ παραγεγόνασιν, ὧν τὰ ὀνόματα πρὸς ἀκρίβειαν τῷ ψηφίσματι ὑπεγεγραμμένα ἐστίν· ἤδη δὲ καὶ πολλὰ παρελήλυθεν ἔτη, ἐξ οὗ ταῦτα ἐπράχθη. Ἀλλ' ὅμως παρ' Ἕλλησιν ἡ τῆς τοιαύτης ἑνώσεως θέσις σιωπᾶται ἔτι καὶ λέληθε καὶ οὐδὲ ἐλπίς ἐστιν, ὡς ἔοικεν, οὐδεμία δέξασθαί ποτε τὰ ἐψηφισμένα ὑπὸ ὁμονοίας;

tot anni transiere, ex quo ista facta sunt, et tamen apud Græcos unionis hujusmodi decretum silentio tegitur. Nec ulla spes elucet animorum, qui ad hanc unionem amplectendam dispositi esse videantur. Dantur quotidie dilationes, et eædem excusationes penitus inducuntur, ne credant Græci Romanum pontificem, et omnem occidentalem Ecclesiam ; ità enim intelleginus, lumine esse privatos, quod non intelligant quod in hac dilatione responsionum suarum verba pertendant. Intelligunt, sed tolerant, intuentes Dominum Jesum Christum æternum Pontificem, qui ficulneam infructuosam (1) arborem usque in tertium annum servari jussit, cum cultor illius propter sterilitatem cuperet amputari.

Ergo serenitati tuæ hoc volumus esse responsum. Nos etiam dissimulaturos, quousque his litteris a te intelligeremus esse responsum ; et si saniore usus consilio cum proceribus tuis, et populo Constantinopolitano decretum unionis amplexaberis, habebis nos, et venerabiles fratres nostros sanctæ Romanæ Ecclesiæ cardinales, cum universa Occidentali Ecclesia, honori tuo, et statui semper intentos : sin autem unionis decretum cum populo suscipere recusaveris, compelles nos ad ea provi-

A denda, quibus et saluti vestræ et honori nostro pariter consulatur. Et ut huic rei tale exordium dones, quod certa secutura credamus, volumus ut patriarcham Constantinopolitanum ad sedem suam revoces, faciasque sibi ab omnibus talem et tantam reverentiam et obedientiam exhiberi, quæ merito suæ pontificali auctoritati debet impendi : ita ut non abjectus sacerdos, sed verus Ecclesiæ Constantinopolitanæ patriarcha teneatur ; nec in spiritualibus sine ejus consensu et auctoritate quisquam, quacunque præfulgeat dignitate, quidquam attentare præsumat. Ipse clericos et ordinet aut ordinari faciat, ipse omnia ministerii pontificalis officia in civitate et diœcesi sibi vindicet : nullusque ordinationibus, quas juxta canonicas sanctiones B semper prodire confidimus, contraire præsumat. Nomen Romani pontificis recitetur in diptychis, et pro ipso nominatim expresse ab universa Græcorum oretur Ecclesia ; sicut hi, qui Deo placuere et Constantinopolitani patriarchæ et imperatores hactenus servavere. Si qui vero sunt, qui in decreto unionis nonnulla posita minus intelligant, procures illos ad nos proficisci. Satisfaciemus, Deo concedente, eorum dubitationibus : honorabuntur a

τε καὶ ἑνώσεως. Ἀναβολαὶ γὰρ αὐτοῖς ἐπ' ἀναβολαῖς ἀεὶ γίγνονται, καὶ προφάσεις τε καὶ ἀπολογίαι αἱ αὐταὶ παντάπασιν ἐφ' ἑκάστοις. Μὴ γὰρ οἰέσθωσαν Ἕλληνες, οὕτω παντὸς στέρεσθαι νοῦν τὸν τῆς Ῥώμης ἀρχιερέα, καὶ πᾶσαν τὴν ἑσπέριον Ἐκκλησίαν, ὥστε μηδὲν συνιέναι ἔχειν, ποῖα ἄττα παρ' C ἑκάστην ἀναβολὴν αὐτοὶ ῥαψῳδοῦσιν ἀποκρινόμενοι. Εὖ μὲν γὰρ πάντα συνίεμεν, ἀνεχόμεθα δὲ ἀποβλέποντες εἰς Ἰησοῦν τὸν ἀΐδιον ἀρχιερέα καὶ κύριον, ὃς τὴν ἄκαρπον συκῆν διατηρῆσαι ἄχρι τρίτου ἔτους ἐκέλευσε, τοῦ γεωργοῦ ἐπικόπτειν ἤδη τὸ φυτὸν ἀξιοῦντος, διὰ τὸ μηδένα φέρειν καρπόν.

Ἀπόκρισις μὲν οὖν ἡ δε σοὶ παρ' ἡμῶν, ὦ αὐτοκράτορ, ὅτι καὶ ἡμεῖς δὴ ὑποκρινόμενοι διετελέσαμεν, ἕως πρὸς τὰ παρ' ἡμῶν τάδε γράμματα ἀποκρίνῃ. Καὶ ἦν μὲν ὑγιέστερον βουλευσάμενος μετὰ τῶν εὐπατριδῶν τε καὶ δημοτῶν τὴν τῆς ἑνώσεως παραλάβῃς θέσιν, καὶ στέργων τοῖς γεγραμμένοις διατελέσῃς, ἕξεις ἡμᾶς τε καὶ τοὺς ἡμετέρους ἀδελφοὺς καρδινάλεις, καὶ πᾶσαν ἁπλῶς τὴν Ἑσπέριον D Ἐκκλησίαν συμπράσσοντάς σοι ἀεὶ τὰ περὶ τὴν σὴν ἀρχὴν καὶ τιμὴν τὴν σύμπασαν προθυμότατα. Εἰ δὲ μή, ἴσθι τοιαῦτα ἄττα ἐξανάγκης προνοησομένους εἰς δὴ εἰς τιμὴν ἡμετέραν, εἰς σωτηρίαν δὲ ὑμετέραν (δεῖ γὰρ οὕτως εἰπεῖν) τῶν ὑμετέρων ψυχῶν, συνοίσει γενόμενα. Ἵνα δ' ἀρχὴν τῶν ἀμεινόνων

τοιαύτην δήποτε ποιησάμενος πρόδηλος εἶῃς, καὶ τ' ἄλλα πάντα προσθήσω καλῶς. Πράττε ὅπως ὁ Κωνσταντινουπόλεως πατριάρχης εἰς τὸν ἑαυτοῦ ἐπανήξῃ θρόνον, καὶ ἐπανήκοντι αἰδὼ καὶ τιμὴν, καὶ ὑπακοὴν, πάντας ἀπονέμειν διάταξον, ὅσην δεῖ κατὰ λόγον ἀρχιερατικοῦ ἀξιώματος · ὥστε μηκέτι τὸν ἐν ἀξίᾳ ὄντα τοιαύτῃ, καθάπερ τινὰ τῶν εὐτελῶν ἱερέων διάγειν τὸν βίον, ἀλλ' ὡς δεῖ, τὸν ἀληθῆ Κωνσταντινουπόλεως πατριάρχην. Μηδενὶ οὖν τῶν ὁσίων πραγμάτων ἄνευ τῆς αὐτοῦ πατριάρχου γνώμης καὶ αὐθεντίας μηδεὶς, κἂν εἰ ὅπως δὴ καὶ ἔχοι ἀξίας, τολμάτω ἐπιχειρεῖν. Ἀλλ' αὐτὸς τοὺς ἐκ τοῦ ἱεροῦ κλήρου πάντας διατάττεσθω, αὐτὸς πάσας τὰς τῇ ἱεραρχικῇ ἀξίᾳ ὑποκειμένας ἀρχὰς, εἴτ' ἐν Κωνσταντινουπόλει, εἴτε ὁποιασοῦν τῆς οἰκείας λήξεως, κατὰ τὸ δοκοῦν διοικείτω, μηδέ τις ταῖς αὐτοῦ διατάξεσιν, ἃς αἰεὶ γίγνεσθαι κατὰ τοὺς ἱεροὺς κανόνας πυθόμεθα, τολμάτω ἐναντιοῦσθαι. Πρὸς δὲ τούτοις τοῦνομα τοῦ τῆς Ῥώμης ἀρχιερέως ἐν τοῖς ἱεροῖς γεγράφθω διπτύχοις, καὶ ὑπὲρ αὐτοῦ μνημονευομένου εὐχέσθω ἡ τῶν Ἑλλήνων ἅπασα Ἐκκλησία, καθάπερ τῶν τε ἄλλων οἱ τὰ ἀμείνω ἑλόμενοι καὶ αὐτοκράτορες καὶ πατριάρχαι διατετηρηκότες ἄχρι τοῦδε εἰσίν. Εἰ δέ τινες τῶν ἐν τῷ ὁρῷ λεγομένων ἄττα συνιέναι οὐχ οἷοί τε, ἔστω σοι διὰ φροντίδος πέμψαι αὐτοὺς πρὸς ἡμᾶς ·

(1) *Qui ficulneam infructuosam arborem, etc.* In hoc paragrapho, sive incuria secretarii sive amanuensis, recensetur parabola contrario modo atque habetur apud Lucam cap. XIII. Ibid. enim Dominus exspectando biennio propter sterilitatem cupit ut abscindatur ficulnea ; sed rogatus a cultore concedit tertium annum. Hic quod dicitur de Domino attribuitur cultori. Quocirca ita corrigendum esset, qui cum ficulneam infructuosam arborem propter sterilitatem cuperet amputari, rogatus a cultore illius usque in tertium annum servari jussit. Theodorus Gaza, vir doctissimus in utraque lingua, secutus Latinam scriptionem, vertit in Græcum eodem modo cum errore, et corrigendus esset hoc modo : Ὃς τὴν ἄκαρπον συκῆν ἀποκόπτειν τὸ φυτὸν ἀξιῶν, διὰ τὸ μηδένα φέρειν καρπὸν, τοῦ γεωργοῦ δυσωποῦντος ἄχρι τρίτου ἔτους ἐκέλευσε τὸ φυτὸν μὴ ἐπικόπτειν.

nobis, et gaudebunt se apud nos non fuisse despectos.

Hæc sunt, charissime fili, quæ in præsentiarum et litteris tuis, et oratori ad nos transmisso responderi posse censemus. Tu pro data tibi sapientia ita rebus consultare contende, ut Deo simul et hominibus officium sapientissimi principis adimplere videaris. Vale et prospere agas.

Datum Romæ apud Sanctum Petrum anno Incarnationis Dominicæ millesimo quadringentesimo quinquagesimo primo, v Idus Octobris, pontificatus nostri anno quinto.

σὺν Θεῷ γὰρ ἱκανῶς τὰς αὐτῶν ἀπορίας ἀποκρινάμενοι διαλύσομεν, καὶ τιμήσαντες τοὺς ἄνδρας, καὶ ὡρηταμένοι ἀποπέμψομεν χαίροντας.

Ταῦτα, υἱὲ προσφιλέστατε, τοῖς τε παρὰ σοῦ γράμμασι, καὶ τῷ πεμφθέντι πρὸς ἡμᾶς πρεσβευτῇ ἀποκρινάμενοι, ψήθημεν χρῆναι. Σὺ δὲ κατὰ λόγον τῆς ἐνούσης συνέσεως καὶ παιδεύσεώς σοι, σπεῦσον οὕτω τοι ποάγμασιν ἐπαρκέσαι, ὥστε φρονιμωτάτου καὶ εὐσεβεστάτου αὐτοκράτορος ἔργον Θεῷ ἅμα καὶ ἀνθρώποις παρεσχηκὼς φανῆναι παντάπασιν. Ἔρρωσο καὶ εὐτύχει.

Ἐν Ῥώμῃ, ἔτει τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως χιλιοστῷ τετρακοσιοστῷ πεντηκοστῷ πρώτῳ, πρώτῃ ἐπὶ δέκα Ὀκτωβρίου, ἐνιαυτῷ τῆς ἡμετέρας ἀρχιερατείας πέμπτῳ.

De Petri Hispani Summa Logices et S. Thomæ sophismatibus a Georgio Scholario in Græcum versis.

Cod. Græc. Matrit. CIV, chartaceus, in quarto, foliorum duntaxat 80, duplici manu, altera quidem Constantini Lascaris maximam partem exaratus; altera vero ignota, sed ejusdem, ut videtur, ætatis, continet *Petri Hispani Logicam compendiariam*, et S. Thomæ *De Sophismatibus* librum, utraque a Georgio Scholario in Græcum sermonem translata.

Fol. 1. Πέτρου τοῦ Ἱσπανοῦ Λογικὴ συνοπτικὴ μεθερμηνευθεῖσα εἰς τὴν Ἑλλάδα φωνὴν παρὰ τοῦ σοφοῦ Γεωργίου τοῦ Σχολαρίου ἐν Βυζαντίῳ. *Petri Hispani Logica compendiaria, a sapiente Georgio Scholario in Græcum sermonem Byzantii translata.* Incipit: Διαλεκτικὴ ἐστι τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν. Desinit: Ὅθεν πᾶσα σύγχυσίς ἐστι τῇ ἀνάγκῃ τοῦ σημείου ἢ τοῦ τρόπου.

Hæc nimirum est *Summa Logices* Petri Hispani, seu potius Petri Juliani Ulyssiponensis, ad summum postea pontificatum sub Joannis XXI nomine evecti. Exstat aliud ejusdem exemplar, eodem Georgio Scholario interprete, in Cæsarea Vindobonensi bibliotheca, in cujus Catalogi Nesseliani parte v, pag. 178, num. 4, ita inscribitur: Ἐκ τῆς Διαλεκτικῆς τοῦ μαΐστορος Πέτρου τοῦ Ἱππανοῦ (leg. Ἱσπανοῦ) ἑρμηνευθὲν παρὰ τοῦ Σχολαρίου, eodem, quo nostrum, initio præditum. Hæc vero Græca interpretatio nondum, quod sciam, in lucem prodiit.

56. Foliis 4 puris interjectis, Ἐκ τῶν σοφισμάτων τοῦ ἁγίου Θωμᾶ μεθερμηνευθέντων παρὰ τοῦ προειρημένου Γεωργίου τοῦ Σχολαρίου. *Ex Sophismatis sancti Thomæ a prædicto Georgio Scholario interpretatis.* Initium: Ἐπειδὴ ἡ λογικὴ ἐπιστήμη ἐστὶ περὶ λόγους καὶ πρὸς τὰς διαλέξεις. Finis: Δῆλον οὖν ὅτι τὸ σόφισμα τοῦτο πρόεισιν, κατὰ τὸ ἓν καὶ πολλά. Καὶ ταῦτα μὲν περὶ τῶν σοφισμάτων ἀρκείτω.

Is liber, teste Jacobo Echard in *Scriptoribus ord. Prædicator. recensitis*, vol. I, p. 345, col. 2, exstat in bibliotheca Florentina Medicea, plut. 71, cod. 35, chart., in 8, sic inscriptus: *Sapientissimi Thomæ Dialectica Græce*; et huic nostro, si principium ac finem a laudato Echard repræsentatum spectes, omnino similis. Sed interpretis nomen ibi omissum, quod hic feliciter expressum gaudemus; quapropter nihil de illo *Bibliothecæ Dominicanæ* conditor, cæteroqui diligentissimus. Eodem etiam referente, « Opusculum est in impressis ordine XXXIX, hoc titulo: *De fallaciis ad quosdam nobiles artistas*... Exstat etiam in Palatina, nunc Vaticana cod. 235. »

Hanc quoque interpretationem necdum luce donatam arbitramur.

ORDO RERUM

QUÆ IN HOC TOMO CONTINENTUR.

GREGORIUS MAMMA CPOLITANUS PATRIARCHA.

De Gregorii Mammæ ætate, rebus gestis et scriptis notitia ab Editoribus adornata. 9

GREGORII MAMMÆ SCRIPTA.

Apologia contra Ephesii confessionem nunc primum edita curante D. Hergenrœther, SS. Theologiæ in Wirceburgensi litterarum Universitate professore. 13

Responsio ad epistolam encyclicam ejusdem Ephesii, ex tom. XIII Concil. ed. Labbei. 111

Ad imperatorem Trapezuntium de additione facta in Symbolo, ex Leonis Allatii *Græcia orthodoxa.* 205

GENNADIUS SEU GEORGIUS SCHOLARIUS CPOLITANUS PATRIARCHA.

De Gennadii vita et scriptis Eusebii Renaudotii Dissertatio. 249

Excerptum ex patriarchica Cpoleos historia. 311

GENNADII OPERA.

Confessio fidei I, sive sermocinatio de nonnullis capitibus fidei Christianæ de quibus disputavit cum amera Machumetis, quæ etiam inscribitur *de via salutis humanæ.* (*Vide Renaudotium in Dissertatione, col.* 290.) 319

Confessio fidei II. De Christianorum recta et vera fide homilia ad sapientes Agarenos, hortatu magni Sultani et ipso præsente dicta. (*De duplici confessione fidei vide Ern Jul Kimmel judicium in not. ad col.* 289.) 533

Homilia de sacramentali corpore Domini nostri Jesu Christi. (*Vide Renaudot. col.* 289). 551

Alia ejusdem argumenti brevis homilia, relata a Meletio Syrigo in Refutatione confessionis Cyrilli Lucaris, Cpolitani patriarchæ. (*Vide eumdem ibid.*) 575

(*Gennadii Scholarii refutationem libri Marci Ephesini contra Latinos, hucusque ineditam, vide in tomo proxime sequenti, ipso initio, ubi una edunlur Gennadius qui opus inchoaverat et Bessario qui illud absolvit. At veremur ne, quoad nomen Georgii Scholarii, doctus editor in errore versetur.*)

Georgii Scholarii Orationes in synodo Florentina habitæ. (*Vide Renaudot, col.* 287.) 581

Joan. Matthæi Caryophylli interpretis Admonitio ad Lectorem. 581

De pace deque ferendo patriæ auxilio Adhortatio ad synodum orientalem Florentiæ coactam. 585

Oratio ad synodum œcumenicam. Quod facienda sit unio dogmatica. 405

Oratio II, in qua pacis impedimenta tolluntur. 439

Oratio III, in qua exponuntur ea per quæ pax confici possit. 475

Precatio ad Dominum nostrum Jesum Christum, editore et interprete Aldo Manucio Romæ 1501, cum Prudentii et aliorum carminibus. 525

Eusebii Renaudotii Monitum in subsequentia fragmenta 529

Verba Marci Ephesii morientis ad Georgium Scholarium 529

Responsio Scholarii. 533

Extrema Marci Ephesini verba. 535

Ex epistola Gennadii ad Maximum monachum, Sophianum in sæculo appellatum, et omnes ascetas montis Sina. 537

Epistola de prædestinatione ad Josephum Exarchum. Edidit Græce Hœschelius, Augustæ Vindel. 1606, in-4; Latine Fed. Morellus Paris. 1618, in-12, 539

De Deo in Trinitate uno, adversus atheos et polytheistas. 567

Epistola ad Plethonem in ejus librum de Spiritus sancti processione seu potius ejus novitates dogmaticas 597

Epistola ad Josephum Exarchum. Nuntiat se librum Plethonis polytheismi suspectum igni multis testibus tradidisse, servatis quibusdam tantum partibus. 631

In sequentia opuscula editoris Patrologiæ Monitum. Prodeunt ex Dosithei Τόμῳ ἀγάπης *in Jassio anno* 1698 *edito.* 649

Responsio ad amicum de sententia quadam B. Theodori Grapti qua abutebantur Acindyniastæ, et de iis quæ circa processionem Spiritus sancti docent. 649

De processione Spiritus sancti, ad Joannem Comnenum imperatorem Trapezuntinum. (*Est, juxta Renaudotium, secundus tomus hujus operis. Prioris vero titulum et proœmium descripsit Renaudotius, quem vide col.* 303.) 665

De additione ad Symbolum a Latinis facta. 715

De hæresi Sbuoniaca. 731

De jejunio Sabbatino Latinorum, quod non oportet per Quadragesimam quotidie sacrificium fieri, et de conjugio sacerdotum. 737

Epistola ad Marcum Ephesi metropolitam. Librum suum transmittit quem pro Aristotelis defensione scripserat (1). 743

Fragmenta libri ejusdem. 745

(*Fragmenta ex Apologia ad Constantinum imp. Vide Gennadii Vitam, col.* 253 *et* 258.— *Fragmenta epistolæ ad Marcum Lipomanum Venetias missæ, et alterius ad Ambrosium Camaldulensem. Col.* 256. — *Fragm. querimoniæ contra Latinismum. Col.* 262.— *Fragm. monodiæ qua urbis excidium deplorat. Col.* 265. *At, quod mireris hoc fragmentum legitur etiam in Apologia pro quinque capitibus concilii Florentini quæ Gennadii non est, sed Josephi Methonensis, et edita exstat tomo superiori; inde oriretur, quod jam suboluimus, interpolationis vehemens suspicio. — Fragmentum epistolæ ad omnes fideles in Christo, cum dignitatem abdicavit. Col.* 264.—*Fragmentum epistolæ ad cives suos ecclesiasticos et seculares, scriptæ sex ante captam urbem mensibus. Col.* 272. — *Ex epistola ad Sylvestrum magnum ecclesiarcham, scripta cum liturgia publice celebraretur post renovatam unionem cum Isidoro card. Russiæ, legato apostolico. Col.* 273.)

Gennadii et Lucæ Notaræ Epistolæ amœbææ. — (*Inseritur Joannis Moscni Narratio de Lucæ Notaræ et filiorum ejus cæde, jussu Mahometis II interfectorum.*) 747

Expositio litterarum quæ in sepulcro Constantini Magni inscriptæ erant, ex Banduri *Imperio Orientali.* 767

ADDENDA.

Monitum in Gennadii libros de divina providentia et prædestinatione, partim jam editos, partim nunc primum ex codd. Paris., Gennadii autographis, exscriptos. 1103

De divina providentia et prædestinatione liber primus. 1105

De prædestinatione ad Josephum Exarchum epistola, seu totius operis liber secundus (*Exstat col.* 539). 1105

De divina providentia liber tertius, ex cod. Reg. Paris. 1289. 1125

— — liber quartus, ex eodem codice. 1137

— — liber quintus, ex eodem cod. 1149

De Christi humanatione, ex cod. Græc. Paris. 1292. 1157

(*Apologiam pro quinque capitibus concilii Florentini, quæ Græce et Latine Romæ sæculo decimo sexto sub ementito nomine Gennadii edita est, Josepho Methonensi, vero, ut videtur, auctori, restituimus in tomo superiori;*

(1) Hujus libri partem priorem edidit Minoides Minas Parisiis anno 1858, partem alteram, quam penes se habebat, mox luce etiam donaturus; at eo interim morte prævento spes de hac editione concepta evanuit. Omnia ab eo collecta anecdota monumenta ejus hæredes apud bibliothecæ imperialis administratores egerunt ut pretio redimerentur. Res hucusque nondum peracta videtur; nam Minoidæ codices, sub sigillo asservati, cum publico non communicentur. Cum igitur partem priorem libri Gennadiani, sine spe alterius mox potiundi, typis tradere non sit rationi consentaneum, ab utroque parte edenda, nunc quidem, supersedere cogimur. Ea tantum fragmenta exhibemus quæ in responsione sua Pletho ipse sibi refutanda proponit, quam responsionem vide in *Plethone*, infra, col. 979.

ai, nostro quidem judicio, ovus interpolationum expers non est.)

Recensio codicis Græci Matritensis qui continet Logicam Petri Juliani Ulyssiponensis (Joannis Papæ XXII) et S. Thomæ De Sophismatibus librum a Georgio Scholario in Græcum sermonem translatos. 1211

GEORGIUS GEMISTUS PLETHO.

Notitia ex Allatio de Georgiis. 773

Notitia altera, excerpta ex Præfatione D. Alexandri ad Plethonem de legibus, passim. 793

Hieronymi Charitonymi Laudatio funebris Plethonis 805

Gregorii monachi Monodia ejusdem argumenti. 813

PLETHONIS SCRIPTA.

De rebus Peloponnesiacis ad Manuelem imperatorem oratio I. 821

— — Oratio II. 841

Argumentum orationis quæ Manuel Palæologus Theodorum despotam fratrem defunctum laudavit. 863

Quatuor virtutum justa explicatio, ex ed. Basil. 1532. 863

Platonicæ et Aristotelicæ philosophiæ comparatio. Præcedit Georgii Chariandri Præfatio de philosophiæ usu ad cognitionem divinarum rerum accommodato. Ex ed. Basil. 1574. 889

Laudatio funebris Cleopæ Augustæ, ex editione Georgii Gustav. Fulleborn, Lipsiæ 1793, cum Michaelis Apostolii laudatione funebri Bessarionis. 939

Laudatio funebris Helenæ Palæologinæ imperatricis, quæ post susceptum sacrum habitum Hypomone monacha dicta est. Ex cod. gr. Paris n. 1760, cum interpretatione nostra. 951

Fragmenta ex libro De legibus. 953

1° Argumentum. 953

2° Tabula capitum quæ librum Plethonis integrum, antequam igni traderetur, repræsentat. 959

3° De fato. 961

4° De immortalitate humanæ animæ. 965

5° De judiciis. 965

6° Conclusio. 967

Compendium dogmatum Zoroastris et Platonis. 973

Contra dogma Latinorum de processione Spiritus sancti, ex Dosithei Τόμῳ ἀγάπης. 975

Contra Scholarii defensionem Aristotelis. 979

MATTHÆUS CAMARIOTA.

Synopsis rhetoricæ, ex Joan. Schefferi Miscellaneis. Upsaliæ 1697. 1019

Narratio lamentabilis de Cpoli capta, ex Martini Crusii *Turco-Græcia,* 1039

MARCUS EUGENICUS, EPHESIUS METROPOLITA.

Notitia historica et litteraria. 1071

SCRIPTA.

Quod non solum a voce Dominicorum verborum sanctificantur divina dona, verum a consequente oratione et benedictione sacerdotis, virtute S. Spiritus. Ex Liturgiis SS. Patrum. 1079

Confessio fidei. 1091

Epistola ad omnes orthodoxos. 1091

Sequentia, ex mss. descripta, nobis suppeditavit D. Hergenrœther, in Universitate Herbipolensi theologiæ professor.

Epistola Marci Ephesini ad Georgium Scholarium. 1091

Ejusdem epistola ad Theophanem monachum. 1096

Marci metropolitæ Ephesii Apologia ab eo dicta instante morte. 1099

Marci Ephesii Dialogus qui inscribitur *Latinus*, sive de additamento in Symbolo. 1099

Ex ejusdem epistola ad Joannem Palæologum imp. 1103

Expositio Officii ecclesiastici, edita ad calcem Operum Symeonis Thessalonicensis, ἐν Γιασίῳ τῆς Μολδοβίας, 1683 fol. 1165

Epistola ad Isidorum hieromonachum de vitæ termino. 1193

ADDENDA.

Nicolai V, Romani pontificis, Epistola ad Constantinum, Romæorum imperatorem ultimum, de unione Ecclesiarum, cum interpretatione Græca Theodori Gazæ. 1201

FINIS TOMI CENTESIMI SEXAGESIMI.

Parisiis. — Ex Typis J.-P. MIGNE.